

MEDICORVM GRAECORVM

OPERA

QVAE EXSTANT.

EDITIONEM CVRAVIT

D. CAROLVS GOTTLOB KÜHN

PROFESSOR PHYSIOLOGIAE ET PATHOLOGIAE IN LITERARVM VNIVERSITATE LIPSIENSI PVBLICVS ORDINARIVS ETC.

VOLVMEN VIII.

CONTINENS

CLAVDII GALENI T. VIII.

LIPSIAE

PROSTAT IN OFFICINA LIBRARIA CAR. CNOBLOCHII

1824.





CONTENTA TOMI VIII.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ ΒΙΒΛΙΟΝ Α.

Ed. Chart. to. VII. [p. 378.] Ed. Baf. to. III. (p. 248.)

Κεφ. α΄. Τόπους ὀνομάζουσι τὰ μόρια τοῦ σώματος οὐχ οἱ νεώτεροι μόνον, ἀλλὰ καὶ τῶν παλαιῶν ἰατρῶν οὐκ ὀλίγοι, σπουδάζουσί τε διαγινώσκειν τὰ κατ᾽ αὐτοὺς πάθη, διότι καὶ τὴν θεραπείαν ὑπαλλάττεσθαι συμβαίνει κατὰ τὰς διαφορὰς αὐτῶν. ὁπόσον μὲν οὖν τι τὸ πρὸς τὰς ἰάσεις ἐστὶ χρήσιμον ἐκ τῆς τοιαύτης γνώσεως, ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ δηλοῦται· νυνὶ δὲ μόνον, ὅπως ἄν τις διαγινώσκοι τὰ πάσχοντα μόρια, πρόκειται σκοπεῖσθαι. τὰ μὲν οὖν ἐπιπολῆς ἑτοίμως ὑποπίπτει ταῖς

GALENI DE LOCIS AFFECTIS LIBER I.

Cap. I. Locos nominant partes corporis non recentiores folum, fed et veterum medicorum non pauci, ac affectus ipforum dignoscere ftudent, propterea quod pro ipforum differentiis curationem quoque immutari contingit. At quam utilis ad curationem fit hujusmodi notitia, in opere methodi medendi declaratur. Nunc vero, quomodo affectae partes a quovis poffint dignosci, fpeculari duntaxat propofitum eft. Igitur partes in fuperficie conftitutae una cum

αἰσθήσεσιν ἅμα ταῖς ἰδέαις τῶν παθῶν· ὅσα δ᾽ ἐν τῷ βάθει κατακέκρυπται, γεγυμνασμένου δεῖται τὸν λογισμὸν ἀνδρὸς ἔν τε ταῖς ἐνεργείαις τῶν μορίων καὶ χρείαις, οὐχ ἥκιστα δὲ κἀν τῇ προηγουμένῃ τούτων ἀνατομῇ, ἥτις ἐδίδαξεν ἡμᾶς ἄλλά τε πολλὰ καὶ τῆς οὐσίας ἑκάστου τὴν ἰδιότητα. σῶμα γοῦν τι χονδρῶδές ἐστι κατὰ τὰς τοῦ πνεύμονος τραχείας ἀρτηρίας, ὃ καλοῦσι βρογχίον, οὗ τὴν ἰδιότητα μόνοις τοῖς τεθεαμένοις ὑπάρχει γιγνώσκειν. ὅταν μὲν οὖν ποτε τοῦτο μετὰ βηχὸς ἀναπτυσθῇ, μέγιστον ἕλκος ἐξ ἀναβρώσεως ἢ σηπεδόνος ἐν πνεύμονι λογιζόμεθ᾽ ὑπάρχειν. ἔστι μὲν γὰρ καὶ καθ᾽ ὅλον τὸν τράχηλον, ἐν τῷ μεταξὺ φάρυγγός τε καὶ πνεύμονος, ἡ τοιαύτη φύσις τοῦ σώματος· ἀλλ᾽ οὐχ οἷόν τε τηλικαύτην ἕλκωσιν ἐνταυθοῖ γενέσθαι· [379] φθάσει γὰρ ἀποθανεῖν τὸ ζῶον· ἐν δὲ τῷ πνεύμονι δυνατὸν, ὡς ἂν σηπομένου τε τοῦ σπλάγχνου δι᾽ ὑγρότητα ῥᾳδίως, ὑπό τε μοχθηρῶν χυμῶν ἑτοίμως ἀναβιβρωσκομένου, τῶν τε βρογχίων ἐν αὐτῷ σμικρῶν ὑπαρχόντων· οὐδὲ γὰρ οὐδὲ μόριον αὐτῶν ἀποσαπῆναι δυνατὸν, ἀλλ᾽ ὅλον ἀνενεχθῆναι τὸ βρογχίον

affectuum ideis facile fub fenfus cadunt. Quae vero in imo corpore delitescunt, exercitatae rationis virum defiderant cum in partium et actionibus et ufu, tum vel maxime in eas praecedente anatome, quae nos docuit cum alia permulta tum cujusque partis effentiae proprietatem. Corpus igitur quoddam cartilagineum eft fecundum asperas pulmonis arterias, quod bronchion appellant; cujus proprietatem folis ipfum intuitis cognoscere conceditur. Id fi aliquando per tuffim ejectum fit, maximum ulcus ab erofione, vel putredine, in pulmone effe exiftimamus. Eft enim et per totum quidem collum, inter guttur et pulmonem media, talis corporis natura; tam grandis tamen ulceratio in ipfo haudquaquam fieri poteft, prius enim mors animal occupabit. In pulmone vero fieri poteft, quum hoc viscus et ob humiditatem facile putrescat, et a vitiofis humoribus prompte erodatur, et bronchia ipfius exigua fint; nequaquam enim ulla pars ipforum exputrescere poteft, fed totum bronchium re-

Ed. Chart. VII. [379.] Ed. Baf. III. (248. 249.)

ἀναγκαῖόν ἐστιν, τῶν συναπτόντων αὐτὸ τοῖς συνεχέσιν ὑμενωδῶν δεσμῶν ἀπολυθέντων, οἵτινες πάσχουσι πολὺ πρότερον τῶν βρογχίων αὐτῶν· τὰ μὲν γὰρ χονδρώδη τέ ἐστι καὶ σκληρὰ καὶ παχέα, λεπτοὶ δὲ καὶ ἀσθενεῖς οἱ συνδοῦντες ὑμένες αὐτά. καὶ μὲν δὴ καὶ ἀγγείου τι μόριον οὐ σμικρὸν ἀναβηχθὲν ἐθεασάμεθα, σαφῶς ἐνδεικνύμενον καὶ τοῦτο τοῖς ἐμπείροις ἀνατομῆς, ὡς ἐκ τοῦ πνεύμονός ἐστι. τὰ μὲν γὰρ κατὰ τὴν ἐν τῷ τραχήλῳ τραχεῖαν ἀρτηρίαν ἀγγεῖα τριχοειδῆ πάντ᾽ ἐστὶν, ὥστ᾽ οὐ μόνον ἡ τῆς οὐσίας ἰδιότης, ἀλλὰ καὶ τὸ μέγεθος ἐνδείκνυ(249)ται πολλάκις οὐκ ἀσαφῶς, ὁποῖός τίς ἐστιν ὁ πεπονθὼς τόπος. οὕτω γ᾽ οὖν ἐν δυσεντερίᾳ θεασάμενός τις ἐντέρου χιτῶνα διαχωρηθέντα, καὶ πλάτει καὶ πάχει μείζονα τῶν ἐν τοῖς λεπτοῖς ἐντέροις, οὐκ ἂν ἀλόγως τεκμαίροιτο τὴν ἕλκωσιν ἐν τοῖς παχέσιν ἐντέροις εἶναι. καὶ μὲν δὴ κἀπὶ τοῦ μειρακίου τοῦ μετὰ βηχὸς ἀναπτύσαντός ποτε χιτῶνα παχὺν καὶ γλίσχρον ἐτεκμηράμεθα τὸ κατὰ τὸν λάρυγγα σῶμα τὸ ἔνδον, ὃ καὶ τὴν ἐπιγλωττίδα συνίστησιν, εἶναι. ἐθεραπεύθη γ᾽ οὖν τὸ μειράκιον, οὐ πάνυ τι προσ-

jici neceffe eft, membranofis vinculis, quae ipfum cum continuis partibus conjungunt, exolutis, quae fane ipfis bronchiis multo prius afficiuntur; haec enim et cartilaginea et craffa et dura funt; membranae vero, quae ipfa colligant, tenues et infirmae. Quinetiam portionem quandam vafis haud parvam tuffiendo rejectam vidimus, et ipfam diffectionis peritis plane demonftrantem fe ex pulmone fuiffe eductam. Nam quae ad afperam in collo arteriam *perveniunt* vafa, omnia capillacea funt. Proinde non folum effentiae proprietas, fed magnitudo quoque faepenumero haud obfcure indicat, quis fit affectus locus. Sic igitur qui inteftini tunicam per dyfenteriam alvo dejectam confpexerit, tum latitudine tum craffitudine tenuiorum inteftinorum *tunicis* majorem, non abs re conjiciet ulcerationem in craffis inteftinis confiftere. Ac fane et in adolescentulo, qui tuffiendo tunicam craffam viscofamque expuerat, conjecimus internum effe gutturis corpus, quod epiglottida conftituit. Itaque fanatus eft adolescentulus, non admodum fperantibus nobis;

δοκώντων ἡμῶν, ἐκακώθη μέντοι τὴν φωνήν. ἡ δὲ τῆς οὐσίας ἰδιότης καὶ τὰ κατὰ τοὺς νεφροὺς ἕλκη τῶν ἐν τῇ κύστει διορίζει, καθότι καὶ Ἱπποκράτης ἔγραψεν ἐν ἀφορισμοῖς· τὰ μὲν πεταλώδη τοῖσιν οὔροισιν ἐμφερόμενα τῆς κύστεως ἕλκωσιν σημαίνει, τὰ δὲ σαρκώδη τῶν νεφρῶν. ἀλλὰ κἀκ τῶν περιεχομένων ἔν τισι μορίοις οὐσιῶν οὐκ ὀλιγάκις ἡμῖν ἔνδειξις γίνεται τοῦ πεπονθότος τόπου. ἐν Μιτυλήνῃ γ᾽ οὖν ἐτρώθη νεανίσκος ὑπὸ ξίφους ἄχρι βάθους ἱκανοῦ περὶ τὴν ἕδραν, ἡμερῶν τε τριῶν τῶν πρώτων ἄσιτός τε καὶ ἄποτος μείνας, τὴν τετάρτην μετὰ τὴν θεραπείαν τραφεὶς καὶ πιὼν, εἶτ᾽ αὖθις ἡλίου δύνοντος θεραπευόμενος ἐξέκρινε διὰ τοῦ τραύματος οὔρου κοτύλας ὡς τέτταρας, οὐδ᾽ ὅλως πρότερον οὐρηκὼς ἐξ οὗπερ ἔτυχε τρωθείς· καὶ δὴ καὶ τοῦ βάρους ἀπηλλάχθαι τελέως ἔφη τηνικαῦτα τοῦ πρότερον ἀνιῶντος αὐτὸν ἐν τῷ κατὰ τὸ καλούμενον ἐφήβαιον χωρίῳ. δῆλον οὖν ἦν ἐπὶ τοῦδε τὴν κύστιν τετρῶσθαι· δῆλον δὲ κἀπὶ τοῦ κόπρον ἀποκρίναντος κατὰ τὸ τραῦμα τετρῶσθαί τι τῶν ἐντέρων· ὥσπέρ γε καὶ εἰ

manfit tamen vox vitiata. Praeterea fubftantiae proprietas a veficae ulceribus ea quae in renibus confiftunt, diftinguit, qua ratione in aphorismis fcripfit Hippocrates: *Quae cum urinis excernuntur, laminarum fpeciem referentia, veficae ulcus fignificant; quae vero caruneulis fimilia funt, renum.* Imo et a rebus in partibus quibusdam contentis non raro locus affectus deprehenditur. Itaque Mitylenis adolescens quidam fecundum fedem vulneratus eft gladio, vulnere fatis profundo; ac tribus primis diebus quum fine cibo et potu permanfiffet, quarto poft curationem cibum fumpfit ac bibit, deinde occidente fole iterum adhibita curatione heminas urinae circiter quatuor per vulnus excrevit, quum prius ex quo *tempore* vulneratus erat, haud prorfus minxiffet; tum vero ab onere, quo in ea regione quae circa pubem vocatam eft, gravabatur prius, fe perfecte liberatum effe dixit. Itaque in ifto conftabat veficam fuiffe vulneratam. Conftat autem et in eo qui ftercus per vulnus excrevit, inteftinorum alicui vulnus effe illatum. Quemadmodum

τροφή τισιν ἐπανέλθοι, τὴν γαστέρα τετρῶσθαι δηλώσει. καὶ μὴν καὶ φύματός τινι γεννηθέντος ὑπεράνω τοῦ βουβῶνος, ὡς ἐκπυῆσαι, τεμόντος τοῦ ἰατροῦ, κόπρος ἐπηκολούθησεν, ἐφάνη τε σαφῶς ἀπόστημα γεγονὸς ἐν κώλῳ. τοῦ δὲ αὐτοῦ γένους τούτοις ἐστὶν καὶ τὸ τοῦ θώρακος τρωθέντος ἐκφυσώμενον πνεῦμα καὶ τὸ τῆς ἀρτηρίας ἐκχεόμενον αἷμα. πολλάκις γοῦν ἀδήλου πρὸς τὴν αἴσθησιν ὄντος τοῦ τετρωμένου σώματος, ἀκριβὴς διάγνωσις ἐκ τούτων γίνεται. τὸ μὲν γὰρ ἐν ταῖς ἀναπνοαῖς τοῦ θώρακος ἐκφυσώμενον πνεῦμα τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα τετρῶσθαι σημαίνει· τὸ δ᾽ ἐξακοντιζόμενον αἷμα σφυγμωδῶς ἀρτηρίαν· εὐθὺς δὲ τοῦτο καὶ θερμότερόν ἐστι καὶ λεπτομερέστερον καὶ ξανθότερον τοῦ κατὰ τὰς φλέβας. ὥσπερ δὲ ταῦτα σαφῆ τὴν διάγνωσιν ἔχει, κατὰ τὸν αὐτὸν τρόπον, ἐὰν ἐπίπλους ποτὲ ὀφθῇ προπεσὼν διὰ τραύματος, [380] ἤ τι τῶν ἐντέρων, ἀναγκαῖόν ἐστι διῃρῆσθαι τὸ περιτόναιον· εἰ δὲ πνεύμονος ὀφθείη τι πέρας λοβοῦ προπεσὸν ἔξω τοῦ τραύματος, ἐνδείκνυται συντετρῶσθαι τὸν θώρακα· διαφέρει δ᾽ οὐδὲν

fi quibusdam cibus egrediatur, ventriculum vulneratum effe declarabit. Jam ortum fupra inguina cuidam tuberculum, ut pus excluderet, quum medicus incidiffet, ftercus fubfequutum eft, et in colo factus abfceffus manifefto apparuit. Ejusdem cum iftis generis eft et qui vulnerato thorace fpiritus efflatur, et fanguis qui ab arteria effunditur. Quum igitur faepe vulneratum corpus fenfui abditum fit, accurata ex his dignotio percipitur. Nam ex thorace fpiritus inter refpirandum efflatus membranam coftas fuccingentem vulneratam effe fignificat; fanguis faliendo ejaculatus arteriam; fed hic protinus eo, qui ex venis erumpit, et calidior et tenuior et flavus magis eft. At ut haec dilucidam habent dignotionem, ad eundem modum fi aliquando omentum, aut inteftinorum aliquod procidere per vulnus videatur, peritonaeum divifum effe neceffe eft. Si vero pulmonis aliquod fibrae extremum in externum vulnus prolapfum videatur, thoracem confoffum effe oftendit; atque nihil refert, five

ἢ τὸν ὑπεζωκότα τετρῶσθαι λέγειν, ἢ συντετρῆσθαι τὸν θώρακα. καὶ μὴν κἀκ τῶν ἐπιφυομένων ἔστιν ὅτε γνωρίζεται ὁ πεπονθὼς τόπος· ἰδιότης μὲν γὰρ τῆς οὐσίας ἐστὶ τῶν ἐπιφυομένων, ὥσπερ τῶν μυκήτων τοῖς ἐν τῇ κεφαλῇ κατάγμασιν, ὅταν ἡ μήνιγξ ᾖ πεπονθυῖα· ἰδιότης δ᾽ ἑτέρα πάλιν, ὅταν ὀστοῦν πεπόνθῃ κατά τι μόριον. ἐκ τούτου δὲ τοῦ γένους ἐστὶ καὶ ἡ ἐφελκὶς ὀνομαζομένη· δηλοῖ γὰρ ἡλκῶσθαι τὸ μόριον ἐκεῖνο, καθ᾽ ὅπερ ἂν ἐκκριθεῖσα φαίνηται, μετὰ μὲν τῶν οὔρων ὑπελθοῦσα, τῶν οὐρητικῶν τι· μετὰ δὲ βηχὸς ἀναχθεῖσα, τῶν ἀναπνευστικῶν· εἰ δ᾽ ἐμεθείη, τῶν κατὰ τὸν στόμαχόν τε καὶ γαστέρα· καθάπερ γε καὶ εἰ μετὰ τῶν διαχωρημάτων ὑπέλθοι, τῶν ἐντέρων τινὸς ἕλκωσιν ἐνδείκνυται. ἕτερος δὲ τρόπος ἐστὶ διαγνώσεως ἐκ σημείων τινῶν, ὅταν ἐν ἀλλοτρίᾳ χώρᾳ περιέχηταί τι παρὰ φύσιν, οἷον ἐν νεφροῖς ἢ κύστει λίθος, πῦον ἐν θώρακι· ἐκ τούτου δὲ τοῦ γένους ἐστὶν καὶ θρόμβος αἵματος, ἐν ᾧ περ ἂν ᾖ περιεχόμενος, ἤ τις ἕτερος χυμὸς ἀνιαρὸς ἐν τῷ σώματι τοῦ ζώου γεν-

fuccingentem membranam vulneratam effe, five thoracem confoffum dicere. Jam vero ex iis etiam rebus, quae adnascuntur, affectus locus quandoque dignoscitur; proprietas enim effentiae eft eorum quae adnascuntur, quemadmodum fungorum in fracturis capitis, quum meninx fuerit affecta. Atque rurfus alia proprietas confpicitur, quum os partis cujuspiam affectum fit. Hujus generis eft ramentum ulceris appellatum, declarat enim ulceratam effe partem, a qua excretum cernatur; cum urina quidem fi eruperit, urinae organorum aliquod; at cum tuffi eductum, fpirabilium; fi autem vomitu exclufum fit, gulae ac ventriculi; quemadmodum, fi cum alvi excrementis exierit, inteftinorum aliquod ulceratum effe indicat. Eft praeterea ex fignis quibusdam alius dignotionis modus, quum videlicet in alieno fpatio aliquid praeter naturam continetur, ut in renibus aut vefica lapis, aut pus in thorace; ex eo autem genere cenfetur et grumus fanguinis, ubicunque contineatur, aut alius quidam humor molefius in animalis corpore genitus, vel extrinfecus

νηθεὶς, ἢ ἔξωθεν ἐπεισαχθείς. ὅθεν καὶ ζήτησις, οὐδὲν μὲν εἰς τὰ τῆς ἰατρικῆς τέχνης ἔργα συντελοῦσα, λογικωτέραν δέ τινα θεωρίαν ἔχουσα, πολλοῖς τῶν νεωτέρων ἰατρῶν ἐγένετο, πότερον ἐκ τῶν πεπονθότων τόπων ἐστὶ καὶ τὰ τοιαῦτα τῶν παρὰ φύσιν ἐν ἡμῖν γινομένων, ἢ τόπος μὲν οὐδεὶς πέπονθεν, ἐνοχλεῖται δὲ τὸ ζῶον ὑπὸ τῆς παρὰ φύσιν αἰτίας. ὅτι δ', ὡς ἔφην, ἄχρηστός ἐστιν ἡ τοιαύτη ζήτησις, ἔνεστί σοι γνῶναι ῥαδίως, ἐννοήσαντι τὸ χρήσιμον εἰς τὴν τέχνην ἐκ τῶν διαγνώσεων. ὑποκείσθω γοῦν τις ἡμερῶν τριῶν μηδ' ὅλως οὐρηκώς· ἆρ' οὖν οὐκ εὐθέως ζητήσομεν, ἐν τίνι μορίῳ τοῦ σώματός ἐστιν ἡ τοῦ συμπτώματος αἰτία; πότερον ἐν τοῖς νεφροῖς, ἢ τοῖς οὐρητῆρσιν, ἢ κατὰ τὴν κύστιν, ἢ κατὰ τὴν οὐρήθραν; οὐ μὴν ἐν ἥπατί γε καὶ πνεύμονι καὶ σπληνὶ καὶ γαστρὶ καὶ καρδίᾳ ζητήσομεν αὐτὴν, οὐδ' ὅλως ἐν ἄλλῳ μορίῳ, διότι οὐδὲν ἐκείνων ἐστὶν οὐρήσεως ὄργανον. εἰ δέ γ' ἠγνοοῦμεν, ὡς ἐν μὲν τοῖς νεφροῖς πρῶτον ἡ τῶν οὔρων γίνεται διάκρισις, ἐφεξῆς δὲ διὰ τῶν οὐρητήρων ἐπὶ τὴν κύστιν ἀφικνεῖται, κἄπειτ' ἐντεῦθεν ἐκκρίνεται καθ' ὃν ἐμάθομεν τρόπον ἔμπροσθεν ἐν τοῖς τῶν φυσικῶν ἐνεργειῶν λογισμοῖς,

appulsus. Unde et juniorum medicorum compluribus orta quaestio est, ad medicae quidem artis opera nihil conferens, sed logicam magis habens contemplationem quandam, utrum hujusmodi res in nobis praeter naturam genitae ex affectis sint locis, an loco nullo affecto, animal a causa praeter naturam male afficiatur. Sed quod inutilis, ut dixi, sit hujusmodi quaestio, cognitu facile tibi est, si consideraveris, quantum dignotiones ad artem conferant. Subjiciamus ergo aliquem tribus diebus nihil urinae prorsus excrevisse; nonne protinus, in qua corporis parte sit hujusmodi symptomatis causa, investigabimus? an in renibus, aut ureteribus, aut vesica, aut urethra? neque enim in hepate, pulmone, liene, ventriculo, corde, aut alia quavis parte ipsam quaeremus, quod nulla ipsarum sit mejendi instrumentum. At si ignoraremus, urinae secretionem in renibus primum fieri, deinde eam per ureteras ad vesicam pervenire, ac demum inde excerni, quemadmodum antea in disputationibus naturalium

οὐδὲν ἂν τούτων εὑρεῖν ἠδυνήθημεν. οὐ μὴν οὐδ᾽ ἄχρι τοσούτου προελθεῖν ἀρκέσει· σκέψασθαι γὰρ ἄμεινον, ἥτίς ποτε τῶν εἰρημένων αἰτία, δι᾽ ἣν ἴσχεται τὸ οὖρον. ἡ δὲ ὁδὸς τῆς σκέψεως ἥδε. πάντ᾽ ἐπισκέψασθαι χρὴ τά τε παρόντα καὶ τὰ προγεγονότα συμπτώματα, τὰ μὲν παρόντα θεασάμενον αὐτὸν, ὅσα δ᾽ ἔμπροσθεν ἐγένετο διαπυνθανόμενον οὐ τοῦ κάμνοντος μόνον, ἀλλὰ καὶ τῶν οἰκείων. ἔστω τοίνυν, ἕνεκα παραδείγματος, ὄγκος μέν τις κατὰ τὸ καλούμενον ἐφήβαιον, ἐν περιγραφῇ σαφῶς ἐνδεικνύμενος πεπληρῶσθαι τὴν κύστιν, ἐκκρινέσθω δὲ μηδὲν, ἆρ᾽ οὐ πρόδηλον, ὡς ἤτοι παραλελύσθαι τὴν ἀποκριτικὴν τῶν οὔρων ἐνέργειαν ἀναγκαῖόν ἐστιν, ἢ τὸν τῆς οὐρήθρας πόρον ἐστεγνῶσθαι; πρῶτον μὲν οὖν ἐπισκεπτέον, εἰ παραλελύσθαι δυνατὸν, ἀναμνησθέντας, ὅπως ἡ τῶν οὔρων ἔκκρισις γίνεται τοῖς ὑγιαίνουσιν, ὅταν αὐτοὶ προέλωνται, τοῦ μὲν ἐν κύκλῳ περιβεβλημένου [381] τραχήλῳ τῆς κύστεως μυὸς παυσαμένου τῆς ἐνεργείας, αὐτῆς δὲ τῆς κύστεως ἐνεργούσης. ἔστι δὲ ἡ μὲν τοῦ μυὸς ἐνέργεια κατὰ τὴν ἡμετέραν γινομένη

actionum didicimus, nihil hujusmodi invenire potuiffemus. Verum nec eousque proceffiffe fufficiet; quin perpendere praeftat, quaenam fit dictorum caufa, ob quam urina fupprimitur. Eft autem via contemplationis haec. Intueri oportet omnia tum praeterita, tum praefentia fymptomata; praesentia quidem ipfum infpicientem; quaecunque vero antecefferunt, non folum a laborante, fed etiam ab ipfius familiaribus, interrogantem. Sit igitur, exempli gratia, tumor aliquis in pube quam vocant, evidenter quidem in circumfcriptione veficam impletam effe oftendens, nihil autem excernatur: nonne plane conftat, aut expellentem urinae actionem neceffario refolutam, aut urethrae meatum effe conftipatum? In primis igitur confiderare oportet, num refoluta effe potuerit *facultas*, memores, quomodo bene valentibus urinae fiat excretio, quum ipfi volunt; ubi musculus quidem cervicem veficae circumdans ab actione quieverit, ipfa autem vefica fuo munere fungatur. Musculi autem actio ad arbitrium noftrum perficitur, at veficae actio et in-

προαίρεσιν, ἡ δὲ τῆς κύστεως ἀπροαίρετός τε καὶ φυσική. δέδεικται γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἐν ἅπασι σχεδόν τι τοῖς τοῦ σώματος μορίοις ἀποκριτικὴν τῶν περιττωμάτων ὑπάρχειν δύναμιν, ἣν ἔχει μὲν ἀεὶ πάντα, χρῆται δ᾽ αὐτῇ, ὅταν ὑπὸ τῶν περιττωμάτων ἀνιαθῇ. ταύτης οὖν παθούσης τῆς ἀποκριτικῆς δυνάμεως, ἐγχωρεῖ ποτε γενέσθαι τὴν ὀνομαζομένην ἰσχουρίαν· ἀλλ᾽ ἐὰν οὕτω σχηματίσῃς τὸν ἄνθρωπον, ὡς κατάῤῥοπον εἶναι τὸν αὐχένα τῆς κύστεως, ἐπιθλίψῃς τε ταῖς χερσὶν τὸν παρὰ φύσιν ὄγκον, ἐκκριθήσεται τὸ οὖρον· εἰ δὲ ταῦτα παράξαντί σοι μηδὲν γίγνοιτο πλέον, ἀφίστασθαι μὲν χρὴ τῆς κατὰ τὴν παράλυσιν αἰτίας, ἐστεγνῶσθαι δὲ τὴν οὐρήθραν ὑπολαμβάνειν· ὁ γάρ τοι μῦς ὁ περικείμενος αὐτῇ παραλυθεὶς οὐκ ἰσχουρίας, ἀλλ᾽ ἀκουσίου κενώ(250)σεως τῶν οὔρων αἴτιος γίνεται. κατὰ πόσους δὴ τρόπους ἐγχωρεῖ στεγνωθῆναι τὸν πόρον τοῦ τραχήλου τῆς κύστεως, ὃν ὀνομάζουσιν οὐρήθραν, ἐφεξῆς ἂν εἴη σκέπτεσθαι. ἐμοὶ μὲν δοκοῦσι τρεῖς οἱ πάντες εἶναι, ἤτοι τοῦ σώματος αὐτῆς εἰς ὄγκον τινὰ παρὰ φύσιν ἀρθέντος οὕτω μέγαν, ὡς ὑπ᾽ αὐτοῦ καταληφθῆναι τὸν πόρον· ἢ τινος

voluntaria eſt et naturalis. Nam in commentariis de naturalibus facultatibus declaratum eſt, in omnibus propemodum corporis partibus eſſe facultatem excrementorum expultricem, quam habent omnes perpetuo, ſed ea utuntur, quum ab excrementis vexantur. Ea ergo facultate excretrice laborante, contingit aliquando urinae ſuppreſſionem fieri; ſed ſi hominem ita figuraveris, ut declivis ſit cervix veſicae, ac manibus tumorem praeter naturam compreſſeris, excernetur urina; quum autem haec feceris, ſi tibi nihil magis oboriatur, a cauſa paralyſeos credita deſiſtere, atque urethram conſtipatam eſſe ſuſpicari oportet; nam musculus ei circumdatus ſi reſolvatur, non ſuppreſſae, ſed praeter voluntatem emiſſae urinae cauſa eſt. Itaque quot modis contingat, cervicis veſicae meatum, quem urethram vocant, ſtipari, deinceps conſiderandum eſt. Equidem tres in univerſum eſſe cenſeo; aut quum corpus ipſius in tantum tumorem praeter naturam attollitur, ut meatus ab ipſo occupetur; aut quum

Ed. Chart. VII. [381.] Ed. Baſ. III. (250.)

ἐπιτραφέντος αὐτῷ παρὰ φύσιν ἤτοι σαρκοειδοῦς ἢ πωροειδοῦς σώματος, ἢ καὶ φράξαντός τινος τὸν πόρον. αὐτὸ μὲν δὴ τὸ σῶμα πρὸς ἀξιόλογον ὄγκον ἐπιδίδοται φλεγμαῖνον, ἢ σκιῤῥούμενον, ἢ ἀφιστάμενον, ἢ ὁπωσοῦν οἰδισκόμενον· ἐπιτραφήσεται δὲ τῷ πόρῳ σὰρξ μὲν, ἑλκώσεώς τινος προηγησαμένης, ἑτέρα δέ τις οὐσία χρόνῳ πολλῷ κατὰ βραχὺ χυμοῦ παχέος καὶ γλίσχρου γεννήσαντος αὐτήν. ἐμφραχθήσεται δ᾽ ὑπό τε λίθου καὶ θρόμβου καὶ πύου καὶ χυμοῦ παχέος τε καὶ γλίσχρου. ταῦτ᾽ οὖν χρὴ διορίζεσθαι πάντα, μὴ μόνον τὰ παρόντα συμπτώματα θεώμενον, ἀλλὰ καὶ τὰ προηγησάμενα. φέρε γὰρ, ὑποκείσθω παιδίον μὲν τὸ κάμνον, ἔμπροσθεν δ᾽ αὐτῷ γεγονέναι τὰ τοῦ λίθου σημεῖα, τὸ μὲν οὖρον ὑδατῶδες, ὑποστάσεις δέ τινες ψαμμώδεις ἐν αὐτῷ, καὶ κνώμενον τὸ αἰδοῖον συνεχῶς, καὶ χαλώμενον ἢ ἐντεινόμενον ἀλόγως, ἔπειτ᾽ ἐξαίφνης ἰσχουρῆσαν· ἐπὶ τούτῳ τις οὐκ ἄνευ λόγου ὑπονοήσειεν ἂν, ἐμπεπτωκέναι τῷ τραχήλῳ τῆς κύστεως τὸν λίθον. ὕπτιόν τε οὖν σχηματίσας τὸ παιδίον, ὑψηλότερά τε πολλῷ τοῦ λοιποῦ σώματος ἐργασάμενος τὰ

et quaedam moles praeter naturam, vel carnoſa, vel calloſa, innascitur, aut a re quapiam obſtruitur meatus. Corpus quidem ipſum ad inſignem tumorem attollitur, ſi vel inflammatione, vel ſcirrho, vel abſceſſu, vel alio quovis tumore fuerit affectum; in meatu autem caro quidem orietur, ſi praeceſſerit ulcus; alia vero ſubſtantia longo temporis ſpatio ex craſſo lentoque humore paulatim nasci poteſt. At obſtruetur *meatus* vel lapide, vel grumo, vel pure, vel craſſo lentoque humore. Igitur haec omnia diſtinguere oportet, non ſolum ex praeſentibus ſymptomatis, ſed etiam ex iis, quae praeterierunt. Age enim, ſubjiciatur puer aegrotus; apparuerint vero antea calculi ſigna, urina aquae ſimilis, ſedimenta in ea ſabuloſa quaedam; ipſe inſuper aſſiduo pudendum ſcalpat, idque vel laxum vel intentum praeter rationem; poſtea urina derepente ſupprimatur: non ſine ratione conjecerit quivis huic calculum in veſicae cervicem incidiſſe. Itaque ſupino figurato puero, cruribusque reliquo corpore multo ſublimioribus redditis, multiſariam ipſum

σκέλη, διασείσεις πολυειδῶς, ἐπιτεχνώμενος ἐκπεσεῖν τοῦ πόρου τὸν λίθον. ἐπειδὰν δὲ ταῦτα πράξῃς, κέλευε προθυμηθῆναι τὸ παιδίον οὐρῆσαι· κἂν μὲν ὑπακούσῃ τὸ ἔργον, ἐκκριθῇ τε τὸ οὖρον, ἅμα τῆς τ᾽ αἰτίας ἀκριβῆ διάγνωσιν ἐσχηκέναι καὶ τῆς θεραπείας εὐπορηκέναι πεισθήσῃ· μενούσης δὲ ἔτι τῆς ἰσχουρίας, ἐκ δευτέρου διασείσεις σφοδρότερον· εἰ δὲ διασείσαντος καὶ νῦν ἔτι μένοι, διὰ τοῦ καλουμένου καθετῆρος ἅμα μὲν ἀπώσῃ τὸν λίθον ἐκ τοῦ τραχήλου τῆς κύστεως, ἅμα δὲ ποδηγήσεις τοῖς οὔροις. εἰ δὲ τὰ μὲν λίθου σημεῖα μὴ φαίνοιτο προγεγενῆσθαι τῆς ἰσχουρίας, αἵματος δέ τις ἔκκρισις, εἰκὸς εἶναι θρόμβον ἐμφράττοντα τὴν οὐρήθραν· ἐγχωρεῖ δὲ καὶ τῆς κύστεως ἡλκωμένης ἔκκρισιν μὲν αἵματος μὴ προηγήσασθαι, κατὰ βραχὺ δὲ συστῆναι θρόμβον· ἐγχωρεῖ δὲ κἀκ τῶν νεφρῶν αἷμα διὰ τῶν οὐρητήρων εἰς τὴν κύστιν ῥυὲν εἰργάσθαι τὸν θρόμβον. ἀλλὰ κἀπὶ τῶν τοιούτων στοχασμῶν ὁ καθετὴρ χρήσιμος, ὥσπερ κἀπειδὰν πῦον, ἢ χυμός τις παχὺς καὶ γλίσχρος ὑπονοῆται κατειληφέναι τὸν πόρον. [382] εἰς δὲ τὴν τοιαύτην ὑπόνοιαν

concuties, fatagens, ut lapis ex meatu excidat. Quibus peractis, jube ut puer urinam reddere tentet; quod fi res fuccefferit, profluxeritque urina, fimul accuratam caufae dignotionem te habere et curationem tibi fuppetere certo credideris; perfeverante nihilominus urinae fuppreffione, rurfus concuties vehementius; fi vero concuffione facta adhuc fic permanferit, tum demiffo cathetere vocato fimul et calculum a veficae cervice repelles et urinae iter praebebis. At nullis calculi fignis retentam urinam praeceffiffe apparentibus, fed aliqua fanguinis excretione, par eft, grumum urethram obftruere; at datur etiam, ubi ulcerata eft vefica, paulatim *in ipfa* grumum concrefcere, non praecedente fanguinis fluore; accidit etiam, ut fanguis ex renibus per ureteras in veficam defluens, grumum efficiat. Atque in hujusmodi conjecturis catheter utilis eft, quemadmodum et quum vel pus, vel craffum lentumque humorem meatum intercepiffe fufpicamur. In hujusmodi vero con-

ἀφιξόμεθα διὰ τῆς τῶν προγεγενημένων γνώσεως οὕτως. εἰ μὲν γὰρ ἤτοι κατὰ κύστιν ἢ νεφροὺς εἴη τι προγεγενημένον πάθος, ὡς ἐξ αὐτοῦ δύνασθαι προσδοκῆσαι πῦον ἠθροῖσθαι τοσοῦτόν τε καὶ τοιοῦτον, ὑφ᾽ ὅσου τε καὶ οἵου φραχθῆναι τὸν πόρον εἰκός ἐστι δυνατὸν εἶναι, στοχάσεσθαι, διὰ τὴν αἰτίαν ταύτην ἐπίσχεσθαι τὸ οὖρον· ἢ εἰ καὶ ἀνωτέρω τῶν νεφρῶν ἀπόστημα καθ᾽ ἕτερόν τι μόριον προγεγενημένον εἴη, οὗ ῥαγέντος εἰκός ἐστι τὸ πῦον εἰς νεφροὺς μεταληφθῆναι. μηδενὸς δὲ τοιούτου προηγησαμένου, τὴν δίαιταν ἐξετάσομεν, εἰ ἀργὸς, ἢ διὰ πολλῶν ἐδεσμάτων παχεῖς ἢ γλίσχρους ἐργαζομένων χυμούς. οὕτω δὲ εἰ καὶ σάρκα τινὰ δι᾽ ἕλκωσιν ἐπιτραφεῖσαν ἡγούμεθα τὸν τράχηλον τῆς κύστεως ἐμφράττειν, ἔκ τε τῶν προηγησαμένων τοῦ ἕλκους σημείων ἔκ τε τοῦ κενωθῆναι τὸ οὖρον ἐπὶ τῷ καθετῆρι συλλογιούμεθα. καί ποτε καὶ γενόμενον οἶδα τοιοῦτόν τι πάθημα· διεμβαλλομένου γοῦν τοῦ καθετῆρος, ἤλγησεν κατ᾽ ἐκεῖνο τοῦ πόρου τὸ μέρος, ἔνθα καὶ πρότερον ἐτεκμηράμεθα τὴν ἕλκωσιν εἶναι· θλασθείσης δε τῆς σαρκὸς ὑπὸ τοῦ καθετῆρος, ἠκολούθησε μὲν μετὰ τὴν τῶν οὔρων ἔκκρισιν αἵματός τέ τι καὶ θρύμματα

jecturam ex praecedentium notitia hoc pacto inducemur. Etenim ſive veſica, ſive renes antea affectu aliquo laboraverint, per quem tale tantumque pus colligi potuerit, ut par ſit ab ipſo meatum fuiſſe obſtructum, probabiliter conjicies, hanc ob cauſam urinam ſupprimi; aut ſi etiam in parte aliqua renibus ſuperiore fuerit abſceſſus, quo rupto, haud abſurde pus in renes transſumptum eſſe putaveris. Quod ſi nihil hujusmodi praeceſſerit, victus rationem inquiremus, an in otio *educatus*, vel multis cibis craſſos viſcoſosque humores generantibus *fuerit uſus*. Sic etiam, ubi ob carunculam aliquam ab ulcere innatam veſicae cervicem obſtructam eſſe putamus, et ex praecedentibus ulceris ſignis et ex eo, quod demiſſo cathetere urina vacuetur, intelligemus. Nam et hunc affectum aliquando vidimus; quippe demiſſus catheter dolorem movit in ea meatus parte, ubi et antea ulcus eſſe conjiciebamus; fractaque ſub cathetere carne, ſequuta ſunt urinae excretionem et cruor aliquis

τῆς σαρκός. ταῦτα μὲν οὖν εἴρηταί μοι τῆς προκειμένης ἴδια πραγματείας ὄντα, καὶ γέγονεν ἤδη δῆλον ὡς λογικὴ μόνον ἐστὶν ἡ μικρὸν ἔμπροσθεν εἰρημένη ζήτησις, οὐδὲν ἡμᾶς ὠφελοῦσα πρὸς τὰ τῆς τέχνης ἔργα. τὸ γάρ τοι χρήσιμον εἰς ταῦτ᾽ ἐστὶ, γνῶναι τὸν πόρον ἐμπεφραγμένον ὑπὸ θρόμβου τινὸς, εἰ οὕτως ἔτυχεν, ἢ λίθου· τὸ δ᾽ εἴτε πάθος εἶναι λεκτέον τοῦ πόρου τὸ γεγονὸς, εἴτε αἴτιον ἰσχουρίας ἐν τῷ πόρῳ περιέχεσθαι, τῶν ἀχρήστων εἰς τὴν τέχνην ἐστίν. Ἀρχιγένης δ᾽ οὐκ οἶδ᾽ ὅπως ἐν τοῖς τοιούτοις σκέμμασι χρονίζει, μετὰ καὶ τοῦ γράφειν ἀσαφῶς οὕτως ὑπὲρ αὐτῶν, ὡς μηδένα νοῆσαι. πάλιν οὖν ἀναλαβόντες τὸν λόγον ἐπὶ τὰ συνεχῆ προέλθωμεν, ὡς ἐκ τῶν προγεγενημένων τε καὶ τῶν νῦν ὄντων συμπτωμάτων ἡ τῆς ἰσχουρίας αἰτία γνωρίζεται. πληγεὶς γάρ τις ἰσχυρῶς κατὰ τὸ καλούμενον περίναιον, ἐπιγενομένης τῇ πληγῇ φλεγμονῆς, οὔτε οὐρεῖν ἠδύνατο καὶ προφανῶς ἡ κύστις αὐτῷ πεπληρωμένη κατὰ περιγραφὴν ἐτέτατο. ἔπειτα τούτῳ καθετῆρα προσφέρειν οὐκ ἐδόκει, παροξυνθησομένης ὑπ᾽ αὐτοῦ τῆς φλεγμονῆς, ἀλλὰ καταντλεῖν

et carnis fragmenta. Atque haec diximus, ut quae ad inftitutum opus proprie pertineant; conftatque jam quod paulo ante citata a nobis quaeftio logica duntaxat fit, quodque nihil ad artis opera conducat. Ad haec enim utile fuerit cognoscere meatum effe obftructum a quodam grumo, fi ita contigerit, aut lapide; at quaerere, utrum morbum effe meatus factum, an caufam fuppreffionis urinae in meatu contineri dicendum fit, ad artem inutile. Archigenes autem quomodo in hujusmodi quaeftionibus immoretur me fugit, poftquam de iisdem adeo obfcure fcripferit, ut intelligatur a nemine. Igitur rurfus oratione refumpta, ad confequentia progrediamur, quomodo tum ex praecedentibus tum ex praefentibus fymptomatis fuppreffionis urinae caufa deprehendatur. Percuffus enim vehementer quidam in perinaei vocati regione, fuborta inflammatione percuffioni, urinam reddere non potuit; ac vefica ipfi repleta manifefte fecundum circumfcriptionem intenta erat. Huic poftea, ne irritaretur inflammatio, catheterem adhibere noluimus, fed aqua

Ed. Chart. VII. [382. 383.] Ed. Baf. III. (250.)

ὕδωρ θερμὸν, ἔλαιον παραχέοντας, ἄμεινον ἐφαίνετο· καὶ σχεδὸν ὥραις τρισὶ τοῦτο ποιήσαντες, ἐπειδὴ τήν τε τάσιν ἑωρῶμεν ἱκανῶς κεχαλασμένην τήν τ' ὀδύνην, ὡς αὐτὸς ὡμολόγει, πραοτέραν γεγενημένην, παρεκελευσάμεθα προθυμηθῆναι περὶ τὴν οὔρησιν· οὕτω τε πράξαντος, ἐπεθλίψαμεν ἠρέμα τὸν ὄγκον τῆς κύστεως εἰς τὸ κάτω βιαζόμενοι, καὶ ταῦτα ποιησάντων οὔρησεν ὁ νεανίσκος. ἐπὶ μὲν δὴ τῶν τοιούτων ἐναργῶς ἡμῖν ἡ τῆς ἰσχουρίας αἰτία διαγινώσκεται· κατ' ἔνια δὲ τῶν ἄλλων οὐκ ἐναργῶς, ἀλλ' ὁ συνήθως ὀνομαζόμενος ὑπὸ πάντων ἤδη χρήσιμος ἡμῖν τεχνικὸς στοχασμὸς, ὅς ἐν τῷ μεταξύ πώς ἐστιν ἀκριβοῦς τε γνώσεως καὶ παντελοῦς ἀγνοίας. ὅθεν οὐδὲ δυνατόν ἐστιν ἐπὶ πάντων τῶν νοσημάτων ποιήσασθαι τὰς ὑπὸ τῶν ἐμπειρικῶν ὀνομαζομένας παθογνωμονικὰς συνδρομὰς, ἀλλ' ὅπερ ὁ Ἐρασίστρατος εἴωθεν λέγειν, ἀληθέστατόν ἐστιν· γεγυμνάσθαι χρὴ τὸν λογισμὸν, ὅστις μέλλει διαγνώσεσθαι καλῶς οὐ μόνον τὸ πάθος ὁποῖόν ἐστιν, ἀλλὰ καὶ τὸν πάσχοντα τόπον. ἡ γυ-[383]μνασία δὲ γενήσεται προσηκόντως, οὐκ ἐὰν ζητῶμεν,

calida affufa, oleo perungere fatius effe putavimus; quumque fere tribus horis id feciffemus, quum tenfionem abunde laxatam ac dolorem, ut ipfemet fatebatur, leviorem factum effe confpiceremus, imperavimus, ut urinam reddere tentaret: quod quum feciffet, nos veficae tumorem ad inferiores partes impellendo fenfim preffimus, hisque factis juvenis urinam reddidit. Atque in his a nobis caufa ifchuriae manifefte deprehenditur; at in aliis quibusdam non manifefte, fed quae pro confuetudine artificiofa conjectura ab omnibus jam vocatur, nobis utilis eft, quae inter accuratam notitiam et univerfam ignorantiam media quodammodo exiftit. Proinde fieri non poteft, ut in omnibus morbis dentur, quae pathognomonicae fyndromae ab Empiricis nominantur; fed veriffimum eft id, quod Erafiftratus dicere folebat: *Oportet hominem exercitatum ratione effe, quicunque voluerit non folum affectus ipfius qualitatem, fed affectum quoque locum probe dignoscere.* Verum exercitatio decenter fiet,

εἴτε χρὴ φάναι πεπονθέναι τὸν τράχηλον τῆς κύστεως διὰ τὸν ἐμφράξαντα λίθον ἢ θρόμβον, εἴτε τοῦτον μὲν ὑπάρχειν ἀπαθῆ, τὴν δὲ ἐνέργειαν βεβλάφθαι. ταῦτα μὲν οὖν ὁ Ἀρχιγένης ζητεῖ, περιττὰ πρὸς τὴν τέχνην· ἕτεροι δὲ τούτων ἐπέκεινα προϊόντες οὐδὲ τὴν ἐνέργειαν βεβλάφθαι φασί· γίνεσθαι γὰρ αὐτὴν, ἀνιεμένου μὲν τοῦ σφίγγοντος μυὸς τὸν τράχηλον τῆς κύστεως, περιστελλομένης δὲ τῆς κύστεως τῷ περιεχομένῳ κατ᾽ αὐτὴν οὔρῳ, συνεπιθλιβόντων δὲ τῶν κατ᾽ ἐπιγάστριον μυῶν. ὅταν οὖν ἥ τε κύστις ἀβλαβῆ τὴν ἑαυτῆς ἐνέργειαν ἔχῃ τούς τε μῦς ἡ προαίρεσις ὡς ἂν ἐθέλῃ παρασκευάζῃ, τοὺς μὲν ἄνωθεν ἐντείνουσα, τὸν δὲ ἐπὶ τῷ τραχήλῳ χαλῶσα, πῶς ἂν ἔτι, φασὶ, δεόντως τις ὑπολάβοι βεβλάφθαι τὴν ἐνέργειαν; ἀναγκάζονται τοιγαροῦν οὗτοι, τὸ τῆς ἰσχουρίας πάθος οὐ βεβλαμμένης τῆς οὐρήσεως, ἀλλ᾽ ἐμποδιζομένης γίνεσθαι λέγειν, ὥσπερ ὠφελοῦντές τι τὴν ἰατρικὴν, εἰ τὸ βεβλάφθαι ῥῆμα μεταθέντες ἐμποδίζεσθαι λέγοιεν. αἱ μὲν δὴ τοιαῦται ζητήσεις, (251) ὡς ἔφην, λογικαί τινές εἰσιν καὶ γυμνάζουσι τὸν λογισμὸν, οὔτ᾽ εἰς τὴν τῶν

non si quaeramus an dicere oporteat, vesicae cervicem ob lapidem vel grumum obstructam affectam esse; an ipsa non affecta, actionem laesam esse. Haec igitur ad artem supervacanea Archigenes quaerit; alii vero ultra haec procedentes, ne laesam quidem esse actionem dicunt; fieri enim ipsam, musculo vesicae cervicem constringente laxato, vesica autem ipsa circa urinam in se contentam contracta, musculis vero abdominis simul exprimentibus. Quum itaque et vesica illaesam suam functionem habeat et musculos voluntas prout imperat moveat, superiores quidem intendens, eum vero, qui cervicem circumdat, laxans, quomodo, inquiunt, recte poterit aliquis suspicari laesam esse actionem? Quapropter isti dicere coguntur, ischuriae affectum fieri non laesa, sed impedita mejendi actione; tanquam arti medicae opem ferant, si vocabulum *laedi* transmutantes *impediri* dixerint. Sed hujusmodi quaestiones, ut diximus, logicae quaedam sunt ac rationem exercent, neque ad affe-

παθῶν διάγνωσιν οὔτ᾽ εἰς τὴν τῶν πεπονθότων τόπων εὕρεσιν συντελοῦσαι· ἡ δ᾽ ὑφ᾽ ἡμῶν ἀρτίως λεγομένη τῆς προκειμένης πραγματείας ἐστὶν οἰκεία, καὶ φαίνεται τό γε τοσοῦτον ἤδη κατ᾽ αὐτὴν, ὡς χρὴ γιγνώσκειν πρῶτον μὲν ἐξ ἀνατομῆς ἑκάστου τῶν μορίων ἀκριβῶς τὴν οὐσίαν, ὁποία τίς ἐστιν· ἔπειτα δὲ τὴν ἐνέργειάν τε καὶ πρὸς τὰ πλησιάζοντα μόρια κοινωνίαν, ὅπερ ἐν τῷ τῆς θέσεως ὀνόματι περιλαμβάνεται. καὶ μὴν καὶ ἡ χρεία τῶν μορίων ἑκάστου μεγάλα συντελεῖ πρὸς τὴν τῶν πεπονθότων τόπων εὕρεσιν· αἱ μὲν γὰρ ἐνέργειαι κινήσεις εἰσὶ δραστικαὶ τῶν μορίων, αἱ χρεῖαι δ᾽ ἅπασιν ὑπάρχουσι, κἂν μηδὲν ἐνεργοῦσιν. ἐπί γέ τοι τῶν κατὰ τὴν οὔρησιν ἡ μὲν ἐνέργεια τῆς ἐκκρίσεως τῇ περιστολῇ τῆς κύστεως γίνεται, συνεπιβοηθούντων ἐνίοτε καὶ τῶν καθ᾽ ὑπογάστριον μυῶν, ὅταν ἤτοι παντάπασιν ὀλίγον ᾖ τὸ περιεχόμενον οὖρον, ἢ ἄτονος ἡ κύστις· ἅπαντα δὲ τἄλλα χρήσιμ᾽ ἐστὶν πρὸς τὴν ἐνέργειαν. εἰ μὴ γὰρ ἥ τε κύστις αὐτὴ τὸ κύτος ὅλον οὕτως ἐσχημάτιστο, καὶ ὁ τράχηλος αὐτῆς ἐτέτρητο δι᾽ ὅλου, καὶ ἡ τῶν οὐρητήρων ἔμφυσις εἰς αὐτὴν ἐγένετο

ctuum dignotionem, neque ad locorum affectorum inventionem conferunt. Verum quae nuper a nobis prolata eſt, propoſiti operis propria eſt. Intelligitur autem ex ipſa jam tantum, cognoscere oportere primum quidem per anatomen accurate cujusque partis ſubſtantiam, quae et qualis ſit; deinde vero et actionem et ſocietatem, quam cum proximis habet partibus, quae ſitus vocabulo comprehenditur. Quinetiam et partium uſus ad affectorum locorum inventionem magnopere conducit; actiones enim motus ſunt partium activi; uſus vero omnibus inſunt, etiam nihil agentibus. Ergo quod ad urinae redditionem pertinet, excretionis actio fit a veſicae contractione, concurrente interdum musculorum abdominis auxilio, quum vel admodum pauca continetur urina, aut veſica ipſa infirma eſt; reliquae vero partes omnes utiles ſunt ad actionem. Niſi enim veſica ipſa toto ſpatio ſic figurata fuiſſet, ac cervix ipſius tota fuiſſet perforata, et ureteres oblique inſerti in ipſam fuiſſent, fruſtra habuiſſet

λοξὴ, μάτην ἂν εἶχε τὴν περισταλτικὴν κίνησιν. ἐξ οὖν τῆς τούτων γνώσεως ἡ τῶν πεπονθότων μορίων διάγνωσις ἅμα τοῖς κατ᾽ αὐτὰ γίνεται πάθεσιν, οὐκ ἐκ τοῦ ζητεῖν, εἴτε χρὴ πεπονθέναι φάναι τὸ ἐμπεφραγμένον ὄργανον, εἴτ᾽ ἀπαθὲς εἶναι. παραπλήσιον δὲ τούτου ζήτημά ἐστι καὶ τὸ περὶ πασχόντων μὲν ἔτι μορίων, οὐδέπω δ᾽ ἐχόντων ἐν ἑαυτοῖς διάθεσιν οἰκείαν· οἰκείαν δ᾽ ὀνομάζουσι διάθεσιν, ὅταν τοῦ ποιοῦντος αὐτὴν αἰτίου χωρισθέντος, ἔθ᾽ ὑπομένῃ· κατὰ τοῦτο γοῦν τὸ σκέμμα πάλιν λέγουσιν ἔνιοι, μηδὲν πεπονθέναι τὴν κεφαλὴν ἐν ἐκείναις ταῖς κεφαλαλγίαις, ὅσαι γίγνονται διὰ χολώδη χυμὸν ἐν τῇ γαστρὶ περιεχόμενον· ἐμεθέντος γὰρ αὐτοῦ παύεσθαι παραχρῆμα τὴν κεφαλαλγίαν, ὡς εἴγε καὶ μετὰ τὸν ἔμετον ἔτι διαμένοι, τηνικαῦτα πεπονθέναι λέγουσι τὴν κεφαλήν· πολὺ δὲ δὴ μᾶλλον, ὅταν ὅμοια τοῖς τῶν ὑποχεομένων συμπτώματα γένηται κατὰ τοὺς ὀφθαλμοὺς, ἐφ᾽ ὧν ἀθροίζεταί τι περίττωμα κατὰ τὸ τῆς γαστρὸς στόμα· ταυτὶ γὰρ οἷον σκιάς τινας εἶναι παθῶν. ἐν τοῖς τοιούτοις ἅπασι ζητήμασι πλεονάσαντες οἱ πρὸ ἡμῶν ὀλίγιστα περὶ τῆς τῶν πεπονθότων τόπων ἔγραψαν διαγνώσεως·

contrahendi motum. Ex horum itaque notitia et affectae partes et affectus ipfarum dignoscuntur, non ex ea quaeftione, qua inveftigatur, utrum dicere oporteat, obftructum inftrumentum effe affectum, an affectione carere. Confimilis huic eft quaeftio et de iis quae adhuc afficiuntur partibus, fed in fe nondum proprium affectum habent; vocant autem proprium affectum, quando feparata caufa ipfum efficiente, permanet; hac igitur confideratione rurfus dicunt nonnulli nequaquam affectum effe caput per eos capitis dolores, qui a biliofo humore in ventriculo contento proveniunt; eo namque per vomitum ejecto, capitis dolorem protinus quiescere; ut fi poft vomitum nihilominus permanferit, tum dicant affectum effe caput; idque multo magis, quum fimilia fuffufioni fymptomata oculis oboriuntur, cumulatis in orificio ventriculi excrementis; haec enim veluti umbras quasdam effe affectuum. In omnibus his quaeftionibus plurimum occupati maiores noftri pauca de affectorum locorum dignotione fcri-

ἀλλ' ἡμεῖς τὴν [384] ἐναντίαν ὁδὸν ἐκείνοις βαδιοῦμεν, γυμνάζοντές τε καὶ ὡς ἂν εἴποι τις τεχνοῦντες τοὺς ἐσπουδακότας διαγνωστικοὺς γενέσθαι τῶν πεπονθότων μορίων. ὥσπερ οὖν ὀλίγον ἔμπροσθεν ὑπέκειτο, διατεταμένης τῆς κύστεως, ἀδυνατῶν ὁ ἄνθρωπος οὐρεῖν, οὕτω νῦν ὑποκείσθω χωρὶς τοῦ κατὰ τὴν κύστιν ὄγκου γεγενημένη ἡ τῶν οὔρων ἐπίσχεσις. ἀνάγκη δήπου κατὰ τὴν τοιαύτην ἰσχουρίαν ἤτοι τοὺς οὐρητῆρας ἢ τοὺς νεφροὺς ἐμπεφράχθαι. πάλιν οὖν ἐνταῦθα σκεπτέον ἐστὶν τὰ πρὸ τῆς ἰσχουρίας συμπτώματα, πότερα λιθιώντων τῶν νεφρῶν, ἢ φλεγμαινόντων, ἤ τι ἄλλο κακὸν πασχόντων· ἐπισκεπτέον δὲ καὶ περὶ τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως, ἵνα διορισώμεθα καθ' ὅσον οἷόν τε στοχασμῷ τεχνικῷ, πότερον ἐν τοῖς νεφροῖς αὐτοῖς ἡ ἔμφραξις ἐγένετο διὰ λίθους τινὰς, ἢ παχεῖς χυμοὺς, ἢ κατὰ τοὺς οὐρητῆρας καλουμένους, οἵ πέρ εἰσιν οἱ ἀπὸ τῶν νεφρῶν ἐπὶ τὴν κύστιν ἐκτεταμένοι πόροι. τινὰ μὲν γὰρ εἰς ἀκριβῆ διάγνωσιν ἥκει, καθάπερ ὀλίγον ἔμπροσθεν ἐλέγομεν περὶ τῶν ἐμφανιζόντων τῆς πεπονθυίας οὐσίας τὴν ἰδιότητα· τινὰ δὲ ὑποπέπτωκε

pferunt. Nos vero contraria incedemus via, exercentes et ut dixerit quispiam, inftruentes ftudiofos, ut dignotionis partium affectarum peritiffimi evadant. Igitur quemadmodum paulo ante propofitum erat, quod diftenta vefica homo urinam reddere non poffet, ita nunc fubjiciatur, citra veficae tumorem urinae fuppreffionem factam effe. Ergo neceffe eft per ejusmodi ifchuriam vel ureteras vel renes effe obftructos. Quapropter rurfus hic intueri oportet, num antequam fupprimeretur urina, aut lapidis, aut inflammationis, aut alterius cujuspiam mali praeceffferint fymptomata. Confideranda quoque eft univerfi corporis difpofitio, ut poffimus, quoad artificiofa conjectura permiferit, diftinguere, utrum in ipfis renibus a lapide, vel craffis humoribus fuerit obftructio, an in vocatis ureteribus, qui meatus funt a renibus ad veficam exporrecti. Quaedam namque ad exquifitam veniunt dignotionem, ut paulo ante dicebamus de iis quae affectae fubftantiae proprietatem declarant; quaedam

τεχνικῷ στοχασμῷ, καὶ διὰ ταῦτά γε μακρὸς ὁ λόγος γίγνεται, κἂν ἀποσκευάσηταί τις τοὺς σοφιστὰς, ὥσπερ ἀμέλει καὶ νῦν Ἀσκληπιάδου κατεφρονήσαμεν ἀλλόκοτα γράψαντος, ὡς δι᾽ ἑτέρων ἐξελήλεγκται, περὶ τῆς τῶν οὔρων ἀθροίσεως ἐν κύστει. κατέγνωσται δ᾽ ἤδη πρὸς ἁπάντων τῶν ἀνατομικῶν καὶ τὰ περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ γεγραμμένα τοῖς ἐν τῇ καρδίᾳ νομίζουσιν ὑπάρχειν αὐτὸ, καὶ οἵ γε περὶ τὸν Ἀρχιγένην μήτ᾽ ἀποστῆναι φανερῶς τοῦ δόγματος ὑπομένοντες, ἐξελεγχόμενόν τε αὐτὸ διά τε πολλῶν ἄλλων ὁρῶντες, οὐχ ἥκιστα δὲ καὶ κατὰ τὰς θεραπείας τῶν φρενιτικῶν τε καὶ ληθαργικῶν, ἄνω τε καὶ κάτω τοὺς λόγους στρέφουσιν, ἄλλοτ᾽ ἄλλα λέγοντες, εἰ καὶ μηδὲν ὅλως ἀποσαφοῦντες, οἷον ἀμέλει καὶ τὸ τρίτον ἐστὶ περὶ τῶν πεπονθότων τόπων Ἀρχιγένους. ἡμῖν δὲ περὶ μὲν ἡγεμονικοῦ ψυχῆς ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπὶ πλεῖστον εἴρηται· νυνὶ δ᾽, ὡς ἀποδεδειγμένου, τὴν ἐπίσκεψιν ποιησόμεθα τῶν πεπονθότων μορίων. ὅπερ δέ ἐστι κοινὸν ἐπὶ πάντων τῶν πεπονθότων μορίων καὶ τόπων,

vero artificiofae conjecturae fubjacent, propterea que prolixa evadit oratio, etiam fi quis ableget fophiftas, quemadmodum et nunc fane Asclepiadem negligimus, qui de urinae in vefica collectione, ut alibi coarguimus, fcripfit abfurda. Porro ea etiam quae de principe animae facultate fcripta funt ab iis, qui eam in corde confiftere exiftimant, omnes anatomici jam damnarunt, atque Archigenis fectatores quum ab hac opinione aperte discedere non fuftineant, eamque convinci videant cum per alia multa, tum maxime in phreniticorum lethargicorumque curationibus, furfum ac deorfum fermones fuos volutant, alias alia dicentes, quamvis nihil omnino declarent, cujus generis eft et tertius Archigenis liber de locis affectis. A nobis vero de principe animae facultate in libris de Hippocratis Platonisque placitis copiofiffime dictum eft; nunc vero, velut hac demonftrata, affectarum partium contemplationem perficiemus. Quod autem omnibus affectis partibus locisque commune eft, id non in logi-

οὐκ εἰς λογικὴν ζήτησιν, ἀλλ' ἀναγκαίαν ἐκτεινόμενον, ἤδη σοι δίειμι.

Κεφ. β'. Τῶν κατὰ τὸ σῶμα τοῦ ζώου πασῶν ἐνεργειῶν ἑκάστης τι μόριον ἴδιόν ἐστιν, δι' οὗ γίνεται. καὶ τοίνυν καὶ βλάπτεσθαι τὴν ἐνέργειαν ἀναγκαῖόν ἐστι, παθόντος κατά τι τοῦ δημιουργοῦντος αὐτήν. πάσχει δὲ ποτὲ μὲν οὕτως εὔλυτον πάθος, ὡς εὐθὺς ἅμα τῷ δράσαντι χωρισθέντι πεπαῦσθαι, ποτὲ δ' οὕτως δύσλυτον, ὡς παραμένειν ἐπὶ πλεῖστον· ἔστιν δ' ὅτε καὶ τὸ δρῶν αὐτὸ διοδεῦον, οὐκ ἐστηριγμένον ἐν τῷ μορίῳ τὸ πάθος ἐργάζεται, καὶ τοῦτ' εἰκάζει σκιᾷ πάθους ὁ Ἀρχιγένης, ὡς ἐπὶ τῶν ὅμοια τοῖς ὑποχεομένοις φανταζομένων ὀφθαλμῶν, ἐφ' ὧν ἐν τῷ στόματι τῆς γαστρὸς ἤθροισται περίττωμα λεπτομερές· ἀτμῶν γάρ τινων ἐντεῦθεν εἰς τοὺς ὀφθαλμοὺς ἀναφερομένων, περιπίπτουσα τούτοις ἡ ὀπτικὴ δύναμις, ὁμοίως φαντάζεται τῇ κατὰ τοὺς ὑποχεομένους· καὶ μάλιστά γε συμβαίνει τὸ τοιοῦτο ἐφ' ὧν αὐτό τε τὸ κατὰ τοὺς ὀφθαλμοὺς ὑγρὸν ἀκριβῶς ἐστι καθαρὸν ἥ τ' ὀπτικὴ δύναμις αἰσθητικωτάτη.

cam, fed neceffariam quaeftionem porrectum, jam enarrare aggrediar.

Cap. II. Omnium corporis animantis functionum unicuique pars quaedam propria eft, per quam editur; ac proinde functionem laedi neceffe eft, parte ipfam efficiente aliquo modo affecta. Interdum vero accidit adeo facile morbum folvi, ut fimul atque efficiens caufa fuerit feparata, quamprimum ipfe ceffet; interdum ita eft folutu difficilis, ut diutius permaneat, *caufa etiam ablata.* Accidit etiam nonnunquam, ut efficiens caufa pertranfiens, non firmatum in parte faciat morbum, huncque Archigenes cum umbra affectus comparat, veluti quum fuffufis fimilia quaedam oculi imaginantur, collecto in ore ventriculi tenui excremento; nam inde vaporibus quibusdam in oculos fublatis, in eos videndi facultas incidens, iisdem imaginibus, quibus per fuffufiones, afficitur; idque maxime evenire folet in iis, quibus oculorum humor exquifite purus eft, et optica facultas quam

[385] κατὰ δὲ τὴν αὐτὴν αἰτίαν ἐπί τε τῶν αἱμοῤῥαγησόντων ἐν νόσοις, ἢ ἐμεσόντων, ἐνίοτε προφαίνεται τὰ τοιαῦτα συμπτώματα, καὶ γράφει γε περὶ αὐτῶν ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ ταυτί· ὅστις δ᾽ ἂν ἐν πυρετῷ μὴ θανατώδει φησὶ τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ ὀφθαλμῶν φαίνεσθαι, ἢν καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος παρέσται. καὶ μετ᾽ ὀλίγα πάλιν· οἷσι δ᾽ ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι ἀμβλυωγμὸς γίνεται, ἢ μαρμαρυγαὶ προφαίνονται, ἀντὶ δὲ τοῦ καρδιώττειν ἐν τῷ ὑποχονδρίῳ ἐπὶ δεξιὰ ἢ ἐπ᾽ ἀριστερὰ ξυντείνεταί τι, μήτε ξὺν ὀδύνῃ μήτε ξὺν φλεγμονῇ, αἷμα διὰ ῥινῶν τουτέῳ ῥυῆναι προσδόκιμον ἀντὶ τοῦ ἐμέτου. αὗται μὲν αἱ τοῦ Ἱπποκράτους ῥήσεις· ἐδίδαξε δὲ δι᾽ αὐτῶν, ὡς ἐπὶ χυμοῖς πολλάκις ἠθροισμένοις ἐν τῇ γαστρὶ συμβαίνει τινὰ φαντάσματα γίγνεσθαι κατὰ τὴν ὄψιν. ἀλλ᾽ εἴπερ ὅλως ἀπὸ τῶν χυμῶν ἐπὶ τοὺς ὀφθαλμοὺς ἀνεφέρετο μηδὲν, οὐδὲ τῶν τοιούτων συμπτωμάτων ἐγίνετό τι, καθάπερ οὐδ᾽ εἰ πρὸς τοὺς τῶν

facillime fentit. Eandem ob caufam, ubi fanguinis eruptio, aut vomitus per morbos expectatur, hujusmodi fymptomata interdum apparent, de quibus Hippocrates in prognoftico hunc in modum fcripfit: *Quicunque vero in non lethali febre dixerit caput dolere, aut ante oculos tenebrofum quiddam obverfari, fi cardiogmos acceſſerit, is bilem evomet.* Ac paulo poft: *Quibus vero in hujusmodi febre caput dolentibus pro tenebris ante oculos apparentibus vifus hebetudo contingit, aut vibrantes fplendores ipfis objiciuntur, ac pro cardiogmo in hypochondria dextra aut finiftra aliquid contenditur, neque cum dolore, neque cum inflammatione, his pro vomitu fanguis e naribus fluxurus expectandus eſt.* Haec eft verborum Hippocratis feries, quibus docuit faepenumero contingere, ut ab humoribus in ventriculo collectis imagines quaedam oculis objiciantur. Quod fi nihil omnino ab humoribus ascenderet ad oculos, nullum hujusmodi fymptomatum eveniret; quemadmodum neque fi vel

ὤτων ἠνέχθη πόρους, ἢ τοὺς τῆς ῥινὸς, ἢ τὸ τῆς γλώττης σῶμα. κἀν τῷδε δῆλον, ὡς ἀπολαῦσαί τι χρὴ τῆς κατὰ τὴν γαστέρα διαθέσεως τοὺς ὀφθαλμοὺς, εἰ μέλλει παρόψεσθαι τὸ ζῶον. οὕτως δὲ κἀπειδὰν εἴπῃ πάλιν ὁ Ἱπποκράτης· οἷσι χολώδεα διαχωρήματα, κωφώσιος ἐπιγενομένης παύεται, καὶ οἷσι (252) κώφωσις, χολωδέων ἐπιγενομένων παύεται· τίς οὕτω ληρώδης ἐξηγητὴς, ὡς ἐάσας ἐν τῷ λόγῳ τὰ ὦτα πάσχειν, ἐπειδὰν ἐπὶ τοὺς ὀφθαλμοὺς ἀνενεχθῆναι συμβῇ τὴν ἔμπροσθεν ἐκκενουμένην διὰ τῆς κοιλίας χολὴν, τηνικαῦτα φάσκῃ γενέσθαι τὴν κώφωσιν; ἀεὶ τοίνυν ἀναγκαῖόν ἐστιν ἄρχεσθαι μὲν ἀπὸ τοῦ τῆς βεβλαμμένης ἐνεργείας ὀργάνου, ζητεῖν δ' ἐφεξῆς, ὅστις ὁ τρόπος αὐτῷ τῆς βλάβης ἐστὶν, ἆρά γε διάθεσις ἤδη μόνιμος, ἢ γινομένη μὲν ἔτι, τὸ μόνιμον δὲ οὔπω προσειληφυῖα· καὶ εἰ γινομένη, πότερον ἐν αὐτῷ τῷ μορίῳ περιεχομένης τῆς ποιούσης τὸ πάθος αἰτίας, ἢ διοδευούσης αὐτό. ξηρανθέντος μὲν γὰρ ἀμέτρως τοῦ κρυσταλλοειδοῦς ὑγροῦ, μόνιμος ἡ βλάβη τῷ μορίῳ, καὶ τὸ πάθος ἴδιον τῆς οὐσίας αὐτοῦ· παχυμεροῦς δὲ ὑγροῦ συνισταμένου

ad aurium, vel ad narium meatus, vel etiam ad linguae corpus, quicquam transferatur. Unde manifeſtum eſt, quod oportet oculos participes fieri affectionis ventriculum infeſtantis, ſi videndo debeat animal errare. Ita etiam quum rurſus dicit Hippocrates: *Quibus dejectiones bilioſae ſunt, ſurditate ſuperveniente finiuntur; et quibus ſurditas adeſt, deſinit quum dejectiones ſequuntur bilioſae;* quis eſt adeo demens interpres, ut omittat in hujus ſermonis enarratione aurium affectum, ac tum dicat nasci ſurditatem, quum bilis, quae ante per alvum vacuabatur, ad oculos effertur? Igitur ſemper incipere neceſſarium eſt a laeſae actionis inſtrumento; deinde quaerere, quis ſit ipſi laeſionis motus; utrum affectus jam ſtabilis ac firmus, an qui adhuc quidem fiat, ſtabilitatem autem nondum ſit adeptus; quod ſi fiat, utrum cauſa, quae morbum efficit, in ipſa parte contineatur, an per ipſam tranſeat. Etenim areſacto immodice humore cryſtalloide, perſeverabit in parte laeſio et ſubſtantiae ipſius proprius affectus; ſi vero craſſus humor in pupilla conſiſterit,

κατὰ τὴν κόρην, οὐδέπω μὲν ἡ οὐσία βέβλαπται, τὸ δὲ τοῦ συμπτώματος αἴτιον ἐν αὐτῷ περιέχεται τῷ ὀφθαλμῷ· διέρχεται δ᾽ αὐτὸν, ὅταν ὁ ἀτμίζων χυμὸς ἐν τῇ γαστρὶ περιέχηται. τὸ δὲ τηνικαῦτα μόνον ἡγεῖσθαι πεπονθέναι τὸ μόριον, ὅταν τῆς οὐσίας αὐτοῦ μόνιμος διάθεσις γένηται, νομοθετούντων ἐστὶν ἴδια σημαινόμενα τῶν Ἑλληνικῶν ὀνομάτων. ἐπὶ μέντοι τῶν ἀλγούντων σφοδρῶς κατ᾽ ἔντερον, ἐστηριγμένῳ δὲ καθ᾽ ἕν τι μέρος τῷ πόνῳ, καὶ οἷον διατιτρῶντι, πῶς ἄν τις ἢ μηδ᾽ ὅλως πεπονθέναι τὸ ἔντερον, ἢ μὴ τὸ πάθος εἶναι κατ᾽ αὐτὸ λέγοι; καίτοι γ᾽ ἐνίοτε μιᾷ καιροῦ ῥοπῇ τὰ τοιαῦτα τῶν ἀλγημάτων ἐπαύσατο, χυμοῦ τινος ὑαλώδους ἐκκριθέντος· οὐ μὴν οὐδ᾽ ἄλλο τι τὸ τῆς ὀδύνης αἴτιον ὑπολαβεῖν ἐνδέχεται παρὰ τὸν ἐκκριθέντα χυμόν. ᾧ γὰρ ἐκκριθέντι παραχρῆμα παύσασθαι τὴν ὀδύνην ἠκολούθησεν, ἅπαντες ἄνθρωποι τοῦτο τῆς ὀδύνης αἴτιον εἶναι πεπιστεύκασι, φυσικοῦ τινος ἀξιώματος ὑπάρχοντος αὐτοῖς ἐξ ἑαυτοῦ πιστοῦ πρὸς τὴν τῶν τοιούτων αἰτίων γνῶσιν. οὐ γάρ τοι ψαύοντος μὲν ἡμῶν γίνεταί τόδε τι τὸ πάθος, ἀποχωρήσαντος δὲ

ſubſtantia quidem nondum laeſa eſt, verum ſymptomatis cauſa in oculo ipſo continetur; ſed tum per ipſum tranſit, quum evaporans humor conſiſtit in ventriculo. Tunc autem ſolum arbitrari affectam eſſe partem, quum ſubſtantiae ipſius affectus permanens fuerit, legislatorum eſt, qui Graecis nominibus propria ſignificata inſtituunt. Enimvero ubi vehemens dolor inteſtinum cruciat, firmato in una quadam parte dolore, ac tanquam pertundente, quo pacto vel nequaquam affectum eſſe inteſtinum, aut affectum in ipſo non eſſe quis dixerit? quanquam interdum hujusmodi dolores, excreto vitreo quodam humore, vel unico temporis momento finiuntur; non tamen aliud eſſe quidpiam doloris cauſam conjectare licet, praeter humorem excretum. Quo enim excreto illico dolorem ſedari ſequitur, id omnes homines doloris cauſam eſſe credunt, naturali quodam axiomate, quod ex ſeipſo ad hujusmodi cauſarum dignotionem fidem habere videtur. Id enim, quo nos tangente hic aliquis affectus fit,

παραχρῆμα παύεται, τοῦτ' αἴτιον εἶναι πεπιστεύκασι πάντες ἄνθρωποι. οὕτως οὖν καὶ τὸ πῦρ τοῦ καίειν ἡμᾶς αἴτιον εἶναι πεπίστευται, καὶ τὸ ξίφος τοῦ τέμνειν, ἕκαστόν τε τῶν [386] ἄλλων ὡσαύτως. αἴτιον οὖν ἡγητέον εἶναι καὶ τὸν κενωθέντα χυμὸν τοῦ γινομένου πάθους, ἡνίκα ἐν τῷ μορίῳ περιείχετο· πότερον δὲ τῷ ψύχειν σφοδρῶς, ἢ τῷ θερμαίνειν, ἢ ὅλως κατὰ δυσκρασίαν ἠνώχλει τὸν τόπον, ἢ τῷ διεξέρχεσθαι συνεχῆ σώματα βιαζόμενος ἐπὶ τὴν ἔκκρισιν, ἢ διὰ πνεῦμα φυσῶδες ὑπ' αὐτοῦ γενόμενον, ὡς διατείνεσθαι τὸ περιέχον, ἢ διὰ βιαίαν σφήνωσιν, ἢ τῷ διαβιβρώσκειν καὶ δάκνειν, οὐδέπω δῆλον ἔκ γε τῆς μετὰ τὴν κένωσιν ὠφελείας, ἀλλ' ὅτι μόνον ἐλύπει περιεχόμενος. οὐ μόνον οὖν αἴτιον ἡγητέον εἶναι τὸν τοιοῦτον χυμὸν τῆς ὀδύνης, ἀλλὰ καὶ τὸ μόριον ἐν ᾧ περιείχετο πάσχον ἐν ἐκείνῳ τῷ χρόνῳ, καθ' ὃν ὠδυνᾶτο διὰ τὸν χυμόν. οὕτω γέ τοι πάσχειν λέγομεν καὶ διά τι τῶν ἔξωθεν προσπιπτόντων, ἤτοι θερμαινόντων, ὡς τὸ πῦρ, ἢ ψυχόντων, ὡς ἡ χιών, ἢ θλώντων, ὡς ὁ λίθος, οὗ

et quo feparato ftatim ceffat, caufam effe omnes homines crediderunt. Sic enim et ignem uftionis et gladium fectionis caufam effe credimus, atque unumquodque aliorum eodem modo. Ergo et vacuatum humorem ejus affectus caufam fuiffe, qui quo tempore in parte continebatur, fiebat, putandum eft; fed an ob id quod vehementer refrigeraret, aut calefaceret, aut in totum per intemperiem locum infeftaret; an quia per continua corpora transiret, ea ad excretionem vi quadam excitans; aut ob flatulentum fpiritum ab eo exortum, qui continentem partem extenderet; aut ob violentam impactionem; an quia eroderet et morderet; nondum ex utilitate poft evacuationem manifeftum eft; fed folum quod, quum continebatur, molefte laederet. Igitur non folum putare oportet hujusmodi humorem effe caufam doloris, verum partem quoque, in qua continebatur, illo tempore affici, quo ob humoris praefentiam dolore cruciatur. Sic etiam affici *aliquem* dicimus, quum aliquid extrinfecus incidit, vel calefaciens, ut ignis, vel refrigerans, ut nix, vel contundens, ut lapis, quo feparato protinus finitus

χωρισθέντος εὐθὺς πέπαυται τὸ πάθος, οὐδενὸς διὰ τοῦτ' ἐροῦντος ὡς οὐκ ἔπασχεν, ὅτι μηδεμία κατὰ τὸ μόριον ὑπελείπετο διάθεσις. ὡς οὖν οὕτως ἡμῶν ἀεὶ χρησομένων τῷ τοῦ πάθους ὀνόματι καὶ τῷ τοῦ πάσχειν ῥήματι, πρόσεχε τὸν νοῦν τοῖς λεχθησομένοις, ἐπισκοπούμενος ἐν αὐτοῖς τὸ χρήσιμον εἴς τε τὰς προγνώσεις καὶ τὰς θεραπείας. ἐνίοτε μὲν γὰρ ὑπὸ μὲν αἰτίου τινὸς γίνεται τὸ πάθος, οὐ μὴν ἤδη πως μόνιμον ἔχει τὴν διάθεσιν, εἰ χωρισθείη τὸ αἴτιον· ἐνίοτε δ' ἤδη γέγονεν, ἔτι τε γίνεται· πολλάκις δὲ πέπαυται μὲν γινόμενον οἰχομένης τῆς αἰτίας, ἤδη δέ ἐστι μόνιμος ἡ διάθεσις. οἷον ἐπὶ δυσεντερίας ὁ δακνώδης χυμὸς αἴτιός ἐστιν τοῦ πάθους, ἐν ἀρχῇ μὲν ἀποῤῥύπτων τε καὶ ξύων, ἐν χρόνῳ δὲ ἑλκῶν τὸ ἔντερον. εἰ μὲν οὖν πρὶν ἑλκῶσαι παύσεται διεξιὼν, οὐδέπω δυσεντερία τὸ πάθος ἐστίν· εἰ δ' ἑλκωθῆναι φθάσειεν τὸ ἔντερον, οὐκ ἂν ἔτι συμπαύσαιτο τῷ χυμῷ τὸ γενόμενον πάθος, οὐδὲν ἡμᾶς εἰς τὰ παρόντα τοῦ παρὰ μικρὸν λόγου λυποῦντος, ὃν καὶ σωρείτην ὀνομάζουσιν· κοινὴ γὰρ ἡ ἐξ αὐτοῦ πρὸς πολλὰ τῶν κατὰ τὸν βίον ἀπορία, περὶ ὧν

fuerit affectus; nemine propter hoc dicente, partem non fuiffe affectam, quod in ipfa nulla affectio reliqua fit. Igitur tanquam nobis et nomine affectus et verbo affici ad hunc modum ufuris, ita dicendis animum adhibe, in ipfis infpiciens utilitatem, tum ad praenotiones tum curationes. Fit enim nonnunquam a caufa quadam affectus, non tamen, fi qua ratione fit feparata caufa, is jam permanentem habet difpofitionem; interdum autem partim jam factus eft, partim etiamdum fit; faepenumero fieri defiit, abeunte caufa, jam vero perfeverans manet difpofitio. Veluti in dyfenteria mordax humor caufa eft affectus, ut qui ab initio et abfterget et abradit, dein temporis tractu ulcerat inteftinum; quod fi antequam ulcus induxerit, effluere definat, affectus ipfe nondum dyfenteria dicetur; fi vero ulcus praeoccupet inteftinum, non amplius factus fimul cum humore finitur affectus. Nec officit quicquam nobis in praefentia paulatim progrediens oratio, quam acervalem vocant; communis enim eft ex ipfa difficultas ad multa vitae utilia, de quibus

Ed. Chart. VII. [386.] Ed. Baf. III. (252.)
εἴρηται καὶ δέδεικται τοῖς πρὸ ἐμοῦ φιλοσόφοις τε καὶ ἰατροῖς· διὸ κἀμοὶ μνημονεύειν αὐτῶν περιττὸν, ἔχοντί γε κατ᾽ αὐτὸ τοῦτο τῆς τέχνης τὸ μέρος ἐπιδεῖξαι τὴν ἀπορίαν. ὅτι μὲν γὰρ ἔν τινι χρόνῳ γίνεται τὰ πάθη, τῶν ὁμολογουμένων ἐστίν· εἰ δ᾽ ὥσπερ ἡ οἰκία καθ᾽ ὃν γίνεται χρόνον οὐδέπω μέν ἐστιν οἰκία, τὸ δ᾽ ὅλον τοῦτο γινομένη οἰκία, τὸν αὐτὸν τρόπον ἕκαστον τῶν νοσημάτων ἐν ᾧ γίνεται χρόνῳ γινόμενον μέν ἐστιν, ὂν δ᾽ οὐδέπω, ζητήσεως ἄξιον· οὐδὲ γὰρ ἡ αὐτὴ φύσις ἐστὶν ἁπάντων τῶν γινομένων, ἀλλ᾽ ὅσα μὲν ὁμοιομερῆ τε ὑπάρχει καὶ σχῆμα σύμφυτον ἔχει μηδὲν, οὐσία τούτων εὐθὺς ἐξ ἀρχῆς ἐστιν ἡ αὐτή· τῶν δὲ ἤτοι πολυειδῶν τὴν μορφὴν, ἢ ἀνομοιομερῶν, ἐγχωρεῖ τὴν οὐσίαν ὑστέραν εἶναι τῆς γενέσεως. οὐ γὰρ ἅμα γίνεται τῆς οἰκίας τὰ θεμέλια καὶ οἱ τοῖχοι καὶ ἡ ὀροφὴ καὶ ὁ κέραμος αἱ θύραι τε καὶ αἱ θυρίδες, ἐξ ὧν ἁπάντων ὡδί πως συγκειμένων καὶ εἰς μίαν μορφὴν ἀναγομένων σύνθετός ἐστιν ἡ τῆς οἰκίας οὐσία. τὸ δέ γε θερμὸν νόσημα καὶ τὸ ψυχρὸν ὑγρόν τε καὶ ξηρὸν εὐθὺς ἐξ ἀρχῆς, ἐπειδὰν πρῶτον ὑπερβάλῃ τοὺς ὑγιεινοὺς

nobis priores tum medici tum philofophi loquuti funt ac demonftrationes fecerunt; proinde mihi fupervacaneum effet ea nunc recenfere, praefertim quum habeam in ipfa hac parte artis, unde difficultatem oftendam. Quod enim in quodam tempore generentur affectus, omnes concedunt, an vero quemadmodum, quum domus fit, nondum eft domus, fed totum hoc fimul, quae fit domus, eodem etiam pacto unusquisque morbus quo tempore fit, eft quidem in fieri, nondum tamen exiftit, id quaeftione dignum eft. Neque enim omnium quae fiunt eadem natura eft; fed quae et fimilaria funt et nullam figuram congenitam habent, eorum fubftantia protinus ab initio eadem eft; diffimilaria vero, et quibus varia eft forma, effentiam generatione pofteriorem habere poffunt. Non enim domus fimul fiunt fundamenta, parietes, faftigium, tegulae, januae, feneftrae, ex quibus omnibus eo modo compofitis atque in unam formam redactis, domus ipfius fubftantia compofita eft; morbus vero et calidus et frigidus et humidus et ficcus, quum primum ab

ὅρους τῆς κράσεως τὸ σῶμα, τὴν αὐτὴν ἑαυτῷ φύσιν ἔχει. καὶ γὰρ εἰ διὰ σμικρότητα πολλάκις ἐκφεύγει τήν θ᾽ ἡμετέραν διάγνωσιν καὶ τὴν τῶν καμνόντων αἴσθησιν, ἀλλὰ τό γε εἶδος ἔχει τὸ οἰκεῖον. [387] οὕτω δὲ καὶ ἡ φλεγμονὴ, καθ᾽ ὅ τι περ ἂν εἴη μέρος τοῦ ζώου μέγιστον ἢ σμικρότατον, ἕν καὶ ταὐτόν ἐστι πάθος ὑπηλλαγμένον οὐκ ἰδέαις, ἀλλὰ μεγέθους διαφορᾷ· ὅτι δὲ ἐγχωρεῖ τινα παθήματα περὶ τοῖς σώμασιν εἶναι, διὰ σμικρότητα μηδέπω φαινόμενα, τεκμήριον καὶ ἡ κοιλαίνουσα τὴν πέτραν ἐν χρόνῳ πλείονι ῥανὶς, ἐφ᾽ ᾗ καὶ τοῦτο τὸ ἔπος ὀρθῶς εἰρῆσθαι πιστεύεται,

Πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείῃ.

καὶ μὴν οὐθ᾽ ὑπὸ μιᾶς ἢ δυοῖν ἢ τριῶν ἢ τεττάρων πληγῶν τοῦ ὕδατος εἰς τὴν πέτραν ἐμπεσουσῶν, ὅπου γ᾽ οὐδ᾽ ὑφ᾽ ἑκατὸν, αἰσθητή ποτ᾽ ὤφθη κοιλότης, οὔτε δυνατόν ἐστι τῆς μιᾶς πρώτης μηδὲν ἐργασαμένης τὴν δευτέραν ἐργάσασθαί τι· τὸν αὐτὸν γὰρ ἕξει πρὸς τὴν πέτραν λόγον, ὃν ἔσχεν ἡ πρώτη· δεῖ τοίνυν, εἰ δράσει τι περὶ τὴν πέτραν ἡ δευτέρα

initio corpus fanos temperamenti limites excefferit, eandem fibi ipfi naturam habet. Etenim fi is ob parvitatem plerumque et noftram dignotionem et aegrotantium fenfum effugiat, propriam tamen habet fpeciem. Ita vero inflammatio quoque, in quacunque animalis parte conftiterit, maxima vel minima, unus atque idem eft affectus, non fpecie, fed magnitudinis differentia varius. At quod poffint aliquae affectiones in corporibus confiftere, quae ob exiguitatem nondum appareant, argumento eft gutta longo temporis tractu faxum excavans, de qua recte carmen hoc proditum effe creditur,

Gutta cavat lapidem faepe cadentis aquae.

Neque tamen uno vel duobus vel tribus vel quatuor aquae ictibus in faxum incidentibus, quando ne centefimo quidem, fenfibilis vifa eft cavitas; neque etiam fieri poteft, ut primo nihil efficiente, alter aliquid faciat; quippe qui habet eandem, quam primus habuit, ad faxum rationem. Ergo fi fecunda gutta in faxum quippiam effecerit, ipfum a

Ed. Chart. VII. [387.] Ed. Baf. III. (252. 253.)

ῥανὶς, ὑπηλλάχθαι τι κατὰ τὴν προτέραν, ὡς μὴ πάντη διαμένειν ἔτι τοιαύτην, οἵαπερ ἐξ ἀρχῆς ὑπῆρχεν. εἰ γὰρ αὐτή τε κατὰ πᾶν ἡ αὐτὴ διαμένοι καὶ τὸ δρῶν εἰς αὐτὴν αἴτιον ἡ ῥανὶς τοῦ ὕδατος, ἀναγκαῖον αὐτὴν, ὥσπερ ἐπὶ τῆς πρώτης πληγῆς, οὕτω κἀπὶ τῆς δευτέρας ἀπαθῆ διαφυλαχθῆναι· εἰ δὲ τοῦτο, κἀπὶ τῆς τρίτης· ὁ γὰρ αὐτὸς λόγος· οὕτω δὲ κἀπὶ τῆς τετάρτης καὶ πέμπτης καὶ πασῶν τῶν ἐφεξῆς· ἄχρι γὰρ ἂν ὡσαύτως ἐχούσῃ τῇ πέτρᾳ προσπίπτῃ ταὐτὸν αἴτιον, οὐδὲν ἐργάζεται πλέον. εἰ δὲ μετὰ χιλίας πληγὰς αἰσθητὴ ἡ τῆς πέτρας φανείη κοιλότης, ἀναγκαῖόν ἐστιν ἑκάστην πληγὴν φάναι τὸ χιλιοστὸν (αὐτῆς) μέρος ἐργάσασθαι τοῦ φανέντος πρῶτον αἰσθητοῦ πάθους ἐν τῇ πέτρᾳ. καὶ τοίνυν καὶ τῶν αἰτίων τῶν δρώντων εἰς τὸ σῶμα τὸ μὲν τοῦ πάθους εἶδος ἐξ ἀρχῆς ταὐτὸν, ἀφανὲς δ᾽ ἐστὶ διὰ σμικρότητα. τὰ δ᾽ οὕτω σμι(253)κρὰ πάθη χωρισθέντων τῶν ποιούντων αἰτίων αὐτίκα παύεται, τῆς φύσεως ἰωμένης αὐτά. μόνα γὰρ ἐκεῖνα δεῖται τῆς ἔξωθεν βοηθείας, ὧν διὰ τὸ μέγεθος ἀδυνατεῖ κρατεῖν ἡ φύσις. ὥστε κατὰ τὸν λόγον τοῦτον, ὅταν πρῶτον

prima non nihil mutatum fuiſſe neceſſe eſt, ut non omnino idem, quale ab initio fuerat, permanſerit. Etenim ſi ipſum omnino idem permaneat, atque agens quoque in ipſum cauſa aquae gutta, neceſſe eſt, quemadmodum a primo ictu non affectum eſt, ita neque a ſecundo; quod ſi fateare, neque a tertio, nam eadem ratio eſt; ita vero et de quarto et quinto et reliquis deinceps omnibus; etenim quoad eodem modo ſe habente ſaxo eadem quoque cauſa acceſſerit, nihil amplius efficietur. Quod ſi a milleſimo ictu ſenſibilis videatur ſaxi cavitas, neceſſe eſt unumquemque ictum dicere milleſimam partem effeciſſe apparentis primum ſenſilis in ſaxo affectus. Quum itaque cauſae agunt in corpus, ſpecies affectus ab initio eſt eadem, tamen ob exiguitatem non apparet. At vero ita exigui affectus, ſeparatis cauſis efficientibus, illico finiuntur, natura ipſos ſanante; nam illi ſoli externo egent auxilio, quos ob magnitudinem natura vincere non poteſt. Igitur hac ratione, quum primum mordax hu-

Ed. Chart. VII. [387.] Ed. Baf. III. (253.)

ὁ δακνώδης χυμὸς ἀποξύσῃ τι τῶν ἐντέρων, εἰ καὶ μηδέπω φαίνεται τὸ γεγενημένον, ἀλλ᾽ ἥ γε διάθεσις ἐν τῷ τῆς δυσεντερίας ἐστὶν εἴδει. καθάπερ οὖν ἕλκη πολλάκις γενόμενα σμικρὰ χωρὶς φαρμάκου παντὸς ἡ φύσις ἐθεράπευσεν, οὕτω καὶ τὰ τῶν ἐντέρων ξύσματα. κατὰ τοῦτον μὲν οὖν τὸν λόγον οὐδ᾽ ἀληθές ἐστιν ὅλως, ὃ λέγουσί τινες, ὡς οὐδὲν ὑπολείπεται κατὰ τὰ τοιαῦτα συμπτώματα πάθος τῶν σωμάτων· εἴπερ ἦν ἀληθὲς, ἀλλ᾽ ὁπότε γε πόνος ἀξιόλογος ὑπὸ τῆς τῶν διαχωρουμένων δριμύτητος ἀναβιβρωσκομένων τῶν ἐντέρων ἐγίνετο, τηνικαῦτα ἔπασχε τὰ ἔντερα. φυλαττέσθω δὲ τοῦθ᾽ ἡμῖν ὥσπέρ τι στοιχεῖον ἐν ἅπαντι τῷ μετὰ ταῦτα λόγῳ, καὶ γινέσθω τῆς μεθόδου τῶν εὑρεθησομένων πεπονθέναι τόπων ἀρχὴ τὸ μηδέποτε βλάπτεσθαι μηδεμίαν ἐνέργειαν ἄνευ τοῦ πεπονθέναι τὸ ποιοῦν αὐτὴν μόριον. καὶ γὰρ ἐὰν ὀδύνη τις ᾖ κατ᾽ αὐτὸ, πέπονθε πάντως τι, κἂν ὄγκος τις παρὰ φύσιν, ἔτι δὲ μᾶλλον, ὅταν ἐνέργεια βλάπτηται. προείρηται δ᾽ ὅτι καὶ τῇ τῶν ἐκκρινομένων φύσει τεκμαρτέον ἐστὶ περὶ τοῦ πεπονθότος τόπου. ὅτι δὲ διττῶς τοῦτο ποιητέον, ἔστι

mor aliquod inteftinorum derafcrit, quamvis id, quod factum eft, nondum videatur, nihilominus affectio ipfa fub dysenteriae fpecie comprehenditur. Quemadmodum igitur natura parva quaedam ulcera, quae nonnunquam eveniunt, citra quodcunque medicamentum fanavit, ita et inteftinorum abrafiones. Hac ergo ratione neque verum eft omnino, quod a quibusdam dicitur, nullum per hujusmodi fymptomata relinqui corporum affectum. Quod fi verum effet, tamen inteftina tum erant affecta, quum ab acrimonia dejectionum corrofis inteftinis dolor notatu dignus percipiebatur. Hoc autem in omni fubfequenti oratione tanquam elementum quoddam a nobis obfervetur, fitque hoc initium methodi, qua inveniri debent fedes affectae, nullam actionem unquam laedi, nifi pars quae ipfam facit, affecta fit; fi enim vel dolor, vel tumor praeter naturam aliquis in ea fit, omnino aliqua re affecta eft: et magis praeterea, quum actio laeditur. At antea etiam dictum eft, quod ab excretorum natura affectae fedis conjectura facienda fit. Id vero bifariam

δῆλον, ἢ κατὰ τὴν ἰδιότητα τῆς ἐκκρινομένης οὐσίας, ἢ ἀπὸ τῶν περιεχομένων ἐν αὐτῷ. λέλεκται δ' ὅτι κἀκ τῶν ἐπιφυομένων ἐνίοτε τεκμήρασθαι δυνατόν ἐστι περὶ τῶν πεπονθότων μορίων· ἔστι δὲ ἐκ τοῦ γένους τῶν συμπτωμάτων καὶ ταῦτα, παμπόλλην ἔχοντα πρὸς ἄλληλα διαφορὰν, ὑπὲρ ἧς αὖθις εἰρήσεται.

Κεφ. γ΄. [388] Νυνὶ δὲ πάλιν ἐπ' ἀρχὴν ἀνάγωμεν τὸν λόγον, ἐφ' ἑκάστου μορίου ζητοῦντες εὑρεῖν σημεῖα, τὰ μὲν ὡς τῆς ἰδίας οὐσίας αὐτοῦ δηλοῦντα τὰ πάθη, τὰ δ' ὡς ὀργάνου. καθ' ἑκάτερόν τε πάλιν ἀφορίζοντές τε καὶ διακρίνοντες ἀπὸ μὲν τῶν γεγενημένων ἤδη παθῶν τὰ γινόμενα μὲν ἔτι, μόνιμον δὲ οὐκ ἔχοντα τὴν κατασκευήν· ἀπὸ δὲ τῶν ἐν αὐτῷ τῷ πεπονθότι περιεχομένων αἰτίων τὰ διόδῳ μόνον αὐτῷ χρώμενα· πρόδηλον δ' ὅτι καὶ σύνθετοί τινες ἐκ τῶν εἰρημένων ἔσονται τρόποι. διορίσωμεν δὲ καὶ τὰ κατὰ συμπάθειαν ἑτέρου μορίου γινόμενα πάθη τῶν κατὰ ἰδιοπάθειαν· οἰκειότερον γὰρ ἰδιοπάθειαν ὀνομάζειν, οὐχ ὡς εἴθισται

oportere fieri conſtat, vel ab excretae ſubſtantiae proprietate, vel ab iis quae in ipſa continentur. Similiter diximus ab adnatis interdum rebus de locis affectis conjecturam ſumi poſſe; ſunt autem de ſymptomatum genere et haec, permultasque habent inter ſe differentias, de quibus rurſum diſſeretur.

Cap. III. Nunc vero rurſus ad principium ſermonem reducamus, in ſingulis partibus ſtudentes invenire ſigna indicantia tum eos, qui in ipſarum propria ſubſtantia conſiſtunt, affectus, tum illos, qui ipſis ut organis inſident. Rurſus in utrisque ſeparemus et diſcernamus a factis jam affectibus eos, qui etiamdum fiunt, ſed permanentem nondum habent diſpoſitionem; item a cauſis quae in affecta parte continentur, eas, quae ea tanquam tranſitu duntaxat utuntur. Quod vero ex dictis quidam componantur modi, ſatis conſtat. Praeterea diſtinguamus affectus, qui per conſenſum alterius partis accidunt, a propriis affectibus; nam magis proprium fuerit proprium affectum, quam, ut medici

τοῖς ἰατροῖς πρωτοπάθειαν, ἀντιδιαιρουμένης τῆς συμπαθείας τῇ ἰδιοπαθείᾳ. κυρίως οὖν ὀνομάζειν βουλόμενοι, τῇ μὲν πρωτοπαθείᾳ δευτεροπάθειαν ἢ ὑστεροπάθειαν ἀντικεῖσθαι φήσομεν, ἰδιοπάθειαν δὲ τῇ συμπαθείᾳ. καὶ συνελθεῖν γε δύναται πολλάκις εἰς ταὐτὸ κατὰ συμπάθειάν τε καὶ κατ᾽ ἰδιοπάθειαν ἤδη νοσεῖν, ὅταν τῷ πάσχοντι μορίῳ μόνιμος ἐγγένηται διάθεσις· οὐ γὰρ δὴ πρωτοπαθεῖν αὐτὸ τηνικαῦτα φήσομεν, ἀλλὰ δευτεροπαθεῖν τε καὶ ἰδιοπαθεῖν. ἐναργῶς δὲ τοῦτο φαίνεται κἀπὶ τῶν ἐκτός· ὥσπερ ὅταν ἐφ᾽ ἕλκει γενομένου μεγάλου βουβῶνος ἐν πληθωρικῷ σώματι, τὸ μὲν ἕλκος εἰς οὐλὴν ἀχθῇ, μένῃ δ᾽ ὁ βουβὼν, ἤτοι γ᾽ εἰς φλεγμονὴν ἐκπυϊσκομένην μεταβάλλων, ἢ εἰς σκιῤῥώδη διάθεσιν, ἣν προσαγορεύουσιν χοιράδα. κατὰ πρωτοπάθειαν μὲν οὖν οὐκ ἄν τις φαίη γεγονέναι τὰ τοιαῦτα νοσήματα, προηγησαμένου γ᾽ ἑτέρου πάθους, ἐφ᾽ ᾧ συνέστη· κατὰ συμπάθειαν μέντοι γενόμενα μεταπεσεῖν εἰς τοιαύτην ἰδιοπάθειαν, ὡς εἰ καὶ πρωτοπάθειά τις αὐτοῖς ἐξ ἀρχῆς συνέπεσεν. ἀναμνησθῶμεν δ᾽ εἰς τὰ παρόντα χρησίμως καὶ τῶν ἐν τῇ περὶ ἰατρικῶν

ſolent, primarium affectum, nominare, oppoſito in diviſione affectu per conſenſum, proprio. Ergo, quum proprie vocabulis uti voluerimus, primario quidem affectui ſecundarium, aut poſteriorem opponemus; ei vero qui per conſenſum eſt, proprium. Equidem in idem evenire ſaepenumero poteſt, et per conſenſum et propria affectione jam aegrotare, quum in affecta *per conſenſum* parte permanens facta eſt dispoſitio; neque enim primario, ſed ſecundario et proprie ipſam tum affici dicemus. Id vero dilucide et in externis videri poteſt; ut quum in corpore plethorico, oborto ingenti bubone ab ulcere, ulcus inductum fuerit cicatrice, permaneat autem etiamdum bubo, vel in ſuppuratam inflammationem tranſiens, vel in ſcirrhoſum affectum, quem ſtrumam appellant. Nemo igitur primarios dixerit hujusmodi morbos, qui ob alium praecedentem evenerunt; at per conſenſum factos ad hujusmodi transire idiopathiam, perinde ac ſi protinus ab initio protopathia ipſis accidiſſet. At in praesentia utiliter meminerimus eorum, quae in libro de medicis

Ed. Chart. VII. [388.] Ed. Baſ. III. (253.)

ὀνομάτων πραγματείᾳ λελεγμένων, ἔνθα περὶ τῶν σημαινομένων ὁ λόγος ἦν, ἃ κακῶς συγχέουσιν οὐκ ὀλίγοι τῶν νεωτέρων ἰατρῶν τε καὶ φιλοσόφων. ἡ μὲν γὰρ κυριωτάτη χρῆσίς ἐστι τῆς πάθος φωνῆς ἀντικειμένη τῇ τῆς ἐνεργείας, ἐνεργεῖν μὲν λεγομένου τοῦ τὴν κίνησιν ἔχοντος ἐξ ἑαυτοῦ, πάσχειν δὲ τοῦ τὴν κίνησιν ἔχοντος ἐξ ἑτέρου. κινήσεως δ' οὔσης κατὰ γένος διττῆς, ἀλλοιώσεώς τε καὶ φορᾶς, ὅταν εἰς μόνιμον ἀφίκηται διάθεσιν ἡ ἀλλοίωσις, ὀνομάζεται νόσημα, παρὰ φύσιν οὖσα δηλονότι διάθεσις· καταχρώμενοι δ' ἐνίοτε καὶ τὴν τοιαύτην διάθεσιν ὀνομάζουσιν πάθος. ὥστε ἄν τις ἕπηται τῇ λέξει τῶν Ἑλλήνων, πάσχειν μᾶλλον ἐρεῖ τὰ μόρια, καθ' ἅπερ ἂν ὦσι κινήσεις παρὰ φύσιν, ὡς τά γε διαθέσεις ἔχοντα παρὰ φύσιν, ἐὰν μὲν κυρίως ὀνομάζῃ, νοσεῖν μᾶλλον ἢ πάσχειν ἐρεῖ, καταχρώμενος δ' οὐ νοσεῖν μόνον, ἀλλὰ καὶ πάσχειν. ὅπερ δ' ἀεὶ λέγων διατελῶ, τοῦτο καὶ νῦν ἐρῶ· κατὰ τὰς ἐπιστημονικὰς διδασκαλίας ἀρκεῖ τοὔνομα μόνον εἰπόντα, καὶ τὸ σημαινόμενον ἐξ αὐτοῦ, καθ' ὅ τι περ ἂν ὁ διδάσκων ἐθέλῃ, προέρχεσθαι λοιπὸν ἐπὶ τὴν τῶν πραγμάτων ὑφήγησιν.

nominibus diximus, ubi de ſignificatis eſt ſermo, quae peſſime a recentioribus tum medicis tum philoſophis confunduntur. Maxime enim proprius vocabuli *affectus* uſus eſt contrarius *voci* actionis; agere nempe id dicitur, quod ex ſe ipſo motum obtinet; affici vero, quod motum habet ab alio. Quum itaque duo ſint genere motus, alteratio et latiō; ubi ad permanentem affectum alteratio pervenerit, appellatur morbus, ſi videlicet ſit affectus praeter naturam; ſed abutuntur interdum, et hunc etiam affectum pathos nominant. Quare ſi quis Graecorum dictionem ſequatur, partes potius affici dicet, quibus motus inſunt praeter naturam; ut eas, quae affectus jam habent praeter naturam, ſi proprie loquatur, aegrotare potius quam affici dicet; quod ſi ab uſu receſſerit, non ſolum aegrotare, ſed et affici. Quod autem ſemper dicere conſuevi, nunc quoque dicam; in eis doctrinis, in quibus ſcientia acquiritur, ſatis eſt, ſi quis vocabulum atque ſignificatum ejus pro doctoris voluntate proferens procedat deinceps ad rerum enarrationem.

[389] ἐγὼ δὲ διὰ τοῦτο νῦν ἐμνημόνευσα τῶν σημαινομένων, ὅτι πρὸς τῷ διαστρέφειν ἔνιοι τὰ πρὸς τῶν Ἑλληνικῶν φωνῶν δηλούμενα καὶ τοῖς καλῶς χρωμένοις ἐγκαλοῦσι. τοιοῦτοι δ᾽ εἰσὶ καὶ οἱ φάσκοντες ἐν ταῖς βεβλαμμέναις ἐνεργείαις μηδὲν πάσχειν ἐνίοτε τὰ μέρη, διότι μηδέπω διάθεσιν ἔχει μόνιμον, ὥσπερ ἐπὶ κεφαλαλγίας τῆς διὰ τοὺς ἐν τῇ γαστρὶ περιεχομένους χυμοὺς γινομένης. ὑπαλλάξας γὰρ ἄν τις, εἰ βούλοιτο περὶ τῶν ὀνομάτων ἐρίζειν, οἰκειότερον ἑρμηνεύοι, πάσχειν μὲν λέγων τὴν κεφαλὴν, ὅταν συμπαθῇ τῇ γαστρὶ, νοσεῖν δ᾽, ὅταν ἰδιοπαθῇ· καὶ αὐτήν γε τὴν γαστέρα πάσχειν μὲν, ὅταν ὑπὸ μοχθηρῶν ἐνοχλῆται χυμῶν, νοσεῖν δ᾽, ὅταν ἤτοι κατὰ δυσκρασίαν ἰδίαν, ἢ διὰ φλεγμονὴν, ἢ ἕλκος, ἢ ἀπόστημα, παρὰ φύσιν ἔχῃ. εἰ δ᾽ ὅλως τις ἐθέλοι τὰ τοιαῦτα διαλεκτικωτέρᾳ ἀκριβολογεῖσθαι ζητήσει, ποτὲ μὲν ἅμα τῷ διεφθάρθαι τὰ σιτία καὶ τῆς πέψεως τὴν ἐνέργειαν ἐρεῖ βεβλάφθαι, ποτὲ δ᾽ ἀβλαβῆ μὲν εἶναι ταύτην, διεφθάρθαι δ᾽ ἐκεῖνα. τρεῖς γὰρ αἱ πρῶται καὶ οἷον γενικώταται τῆς

Ego vero propterea nunc memini fignificatorum, quia nonnulli non folum Graecorum vocabuloram fignificata pervertunt, fed et eos, qui recte utuntur, calumniantur. Tales autem funt ii, qui dicunt, in laefis actionibus partes interdum non affici, eo quod nondum permanentem habent affectionem, ut in capitis dolore propter humores in ventriculo contentos oborto. Nam mutata ratione, fi quis de nominibus certare velit, magis proprie interpretando dicet, affici quidem caput, quum ventriculi confenfu afficitur; aegrotare vero, quum proprio affectu laborat; et ipfum quoque ventriculum affici quidem, quum a pravis vexatur humoribus; aegrotare vero, quum aut propria intemperie, aut ob inflammationem, vel ulcus, vel abfceffum, praeter naturam afficitur. Quod fi quis omnino voluerit accuratiori quaeftione ifta disputare more dialectico, interdum fimul atque alimenta fuerint corrupta, coctionis quoque actionem laefam effe dicet; interdum hanc quidem illaefam effe, illa vero effe corrupta. Nam corruptionis ciborum tres primae ac veluti generaliffi-

Ed. Chart. VII. [389.] Ed. Baſ. III. (253.)

διαφθορᾶς τῶν σιτίων ὑπάρχουσιν αἱ διαφοραὶ, μία μὲν ἐπὶ νοσήμασιν ἰδίοις τῆς γαστρὸς, ἑτέρα δὲ ἐπὶ χυμοῖς μοχθηροῖς ἀθροιζομένοις ἐν αὐτῇ, καὶ τρίτη διὰ τὴν τῶν ἐδεσμάτων ποιότητα. τὰ γοῦν ἤτοι φύσει τι κνισῶδες, ἢ ὀξῶδες, ἢ ὅλως εὔφθαρτον ἔχοντα, καὶ τὰ τῷ τρόπῳ τῆς σκευασίας εἴς τινα τοιαύτην ἠγμένα διάθεσιν, εὔδηλον μὲν ὅτι διαφθείρεται κατὰ τὴν γαστέρα, καὶ κατὰ τοῦτ᾽ ἂν ἠπεπτῆσθαι λέγοιτο. διαφωνεῖται δὲ περὶ τοῦ πεπονθέναι τηνικαῦτα τὴν πεπτικὴν ἐνέργειαν ἐπ᾽ αὐτῶν, ἐνίων μὲν ἀπαθῆ παντάπασιν ἐν ταῖς τοιαύταις ἀπεψίαις εἶναι φασκόντων αὐτὴν, ἐνίων δὲ πεπονθέναι. καὶ μὴν καὶ τρίτη τίς ἐστι δόξα τῶν μηδ᾽ ἠπεπτῆσθαι τὰ τοιαῦτα λεγόντων, ἀλλὰ μὴ πεπέφθαι μόνον, ὡς οὐ ταυτὸν ὂν ἢ δι᾽ ἀποφάσεώς τι δηλοῦν, ἢ διὰ τῆς καλουμένης ὑπὸ τῶν διαλεκτικῶν στερητικῆς φωνῆς. κατὰ τὴν αὐτὴν ἔννοιαν, οἶμαι, καὶ ὁ Ἐρασίστρατος ἔλεγε τὰ γίγαρτα καὶ τὰ σήσαμα καὶ πάντα τὰ διαχωρούμενα παντάπασιν ἄσηπτά τε καὶ ἀμετάβλητα μηδεμίαν ἐνδείκνυσθαι τῷ ζώῳ γεγενημένην ἀπεψίαν, ἀλλ᾽ αὐτὸ δὴ τοῦτο, μὴ πεπέφθαι, μόνον.

mae ſunt differentiae, una quidem per proprios ventriculi morbos, altera a pravis humoribus in ipſo accumulatis, tertia ab alimentorum qualitate. Quae igitur ſua natura aut nidorulentam, aut acidam, aut virulentam, aut putridam, aut omnino corruptioni obnoxiam habent, quaeque ex praeparationis modo ad hujusmodi affectionem aliquam deducta ſunt, clarum eſt ea in ventriculo corrumpi; atque hoc modo inconcocta eſſe fortaſſe dicentur. Sed oritur controverſia de affecta tunc ob haec concoquendi functione, nonnullis quidem per hujusmodi cruditates eam haudquaquam affici contendentibus, aliis vero affici. Atque invenitur tertia quaedam opinio eorum, qui hujusmodi alimenta ne dicunt quidem incocta eſſe, ſed ſolum non concocta eſſe; tanquam non ſit idem per negationem aliquid enunciare, aut per privantem vocatam a dialecticis dictionem. Idem intellexiſſe Eraſiſtratum puto, quum acinos et ſeſama et reliqua omnia, quae omnino imputria et immutata dejiciuntur, nullam dixit indicare in animali factam eſſe apepſiam, ſed hoc ipſum duntaxat, non eſſe concocta.

Ed. Chart. VII. [389. 390.] Ed. Baſ. III. (253. 254.)

Κεφ. δ'. Οὔκουν ἀμελεῖν οὐδ' ἐν τούτοις προσήκει, ἀλλὰ προσ(254)έχοντας τὸν νοῦν ἀκριβῶς, ὅσα μὲν εἰς λογικὴν ἀνάγεται ζήτησιν, ἰδίᾳ καταλιπεῖν, ὅσα δ' εἰς διάγνωσιν τοῦ πεπονθότος, ἀκριβῶς ἐπισκοπεῖσθαι· τὸ γάρ τοι προγινώσκειν μὲν τὸ μέλλον ἔσεσθαι, θεραπεύειν δὲ προσηκόντως τὸ γεγονὸς ἤδη πάθος, ἐντεῦθεν ἡμῖν περιγίνεται. διὸ καὶ χωρὶς τῶν ἀμφισβητουμένων ὀνομάτων ἔνεστι τὸ χρήσιμον ἐκ τῶν πραγμάτων λαμβάνειν ὧδέ πως. ἔστω τινὰ λέγειν ἕωθεν ἀναστάντα κνισῶδες ἐρυγγάνειν, ἤ τι ἕτερον, οἷον ᾠῶν ταγηνιστῶν, ἢ δυσωδέστερον καὶ σαπρόν· ὁμολογεῖν δὲ τὸν μὲν τὸ κνισῶδες ἐρυγγάνοντα μετὰ τὸ δεῖπνον ἐδηδοκέναι πλακοῦντος κνισώδους, ὁποῖός ἐστιν ὁ διὰ [390] τοῦ ἐλαίου καὶ ἰτρίου σκευαζόμενος· ἕτερον δὲ, ταγηνιστῶν ᾠῶν, ὁμολογοῦντα καὶ τοῦτον αὐτῶν ἐκείνων ἐρυγγάνειν· ἄλλον δὲ ῥαφανίδων πολλῶν, ὡς ἄν τι δυσῶδες καὶ σαπρὸν ἐρυγγάνειν. ὅτι μὲν οὖν οὐ καλῶς ἐπέφθη τὰ σιτία τούτοις, ὁμολογήσουσι πάντες· αὐτή γε μὴν ἡ γαστὴρ οὐδὲν ἐπ' αὐτῷ πέπον-

Cap. IV. Verum neque in his negligentius verſari decet, ſed mentem accurate adhibentes, quae ad logicam quaeſtionem reducuntur, privatim praetermittere, quae vero ad affectae *ſedis* dignotionem *conferant*, accurate inſpicere; hinc enim et id quod futurum eſt, praenoscere, et affectum jam factum decenter curare poſſumus. Itaque ſine contentioſis nominibus ex rebus ipſis utilitatem conſequi licet hoc modo. Eſto ſuppoſitum, aliquem mane exurgentem dicere nidorulentum ſe ructum emittere, aut quid aliud ovis frictis ſimile, aut etiam foetidius ac putre ſubolens; illum itaque qui nidorulentum ructum percepit, ſateri ſe a coena placentam nidorulentam comediſſe, quales ſunt quae ex oleo et itriis praeparantur. Alter vero confiteatur fricta ova ſe ingeſſiſſe, atque nunc illorum nidorem eructare. Deinde alius complures radiculas *comederit,* ut foetens ac putre aliquid eructet. Igitur cibos in iis non bene fuiſſe concoctos omnes concedent, quamvis ex hac re ipſe ventriculus haudquaquam fuerit affectus; neque etiam, quod ad ipſius

θεν, οὐδὲ κατὰ τὸν ἑαυτῆς λόγον ἐσφάλη περὶ τὴν ἐνέργειαν, ὥσπερ οὐδ᾽ ὅταν ὁλόκληρα τὰ γίγαρτα διαχωρήσῃ τις. εἰ μὲν γὰρ ἐπεφύκει κατὰ τὴν τῶν ἀνθρώπων γαστέρα μεταβάλλειν τὰ γίγαρτα, τότ᾽ ἂν ᾐτιώμεθα τὸ σῶμα τῆς κοιλίας αὐτὸ, καὶ μοχθηρῶς ἔχειν ἐνομίζομεν· ἐπεὶ δ᾽ οὐ πέφυκεν, ἀλλ᾽ ἔστι τῆς τῶν γιγάρτων οὐσίας σύμπτωμα τὸ μὴ πέττεσθαι, ταῦτα μὲν εἰκότως λεχθήσεται μὴ πεπέφθαι, τὸ δὲ τῆς γαστρὸς σῶμα κατὰ φύσιν ἔχειν, ὅπερ ἐστὶν χρήσιμον ἐγνῶσθαί τε καὶ διωρίσθαι τοῖς ἰατροῖς· εἴτε δὲ βεβλάφθαι χρὴ φάναι τὴν ἐνέργειαν αὐτῆς ἐν ταῖς τοιαύταις διαχωρήσεσιν, εἴτε μὴ, περιττῶς ζητεῖται πρός γε τὰ τῆς ἰατρικῆς τέχνης ἔργα. φέρε δὴ πάλιν νῦν ἐρυγγάνειν μέν τινα κνισῶδες, ἐδηδοκέναι δὲ μηδὲν κνισῶδες, ἐπὶ τούτου θερμασίαν τινὰ πυρώδη κατὰ τὴν γαστέρα φήσομεν ὑπάρχειν, εἶθ᾽ ἑξῆς διοριούμεθα, πότερον ὑπὸ δυσκρασίας τοῦ σώματος τῆς κοιλίας αὐτοῦ τοῦτο γέγονεν, ξανθῆς χολῆς ἐν αὐτῇ περιεχομένης, ἤτοι κατὰ τὴν ἐντὸς εὐρυχωρίαν, ἢ οἷον ἀναπεπομένης δυσεκνίπτως εἰς τοὺς χιτῶνας αὐτῆς. οὐ μὴν οὐδ᾽ ἐνταῦθα, ζητήσομεν δ᾽ ἐφεξῆς, εἶθ᾽.

rationem pertinet, circa actionem erraverit, ut neque ubi quis integros acinos per alvum dejecerit. Si enim humano ventriculo innatum esset acinos transmutare, accusaremus tum ventriculi corpus, ipsumque vitiatum esse putaremus; quum vero id suae actionis non sit, sed acinorum substantiae symptomata non concoqui, haud abs re dicetur, hos non esse concoctos, ventriculi vero corpus secundum naturam se habere, quod sane et nosse et desinire medicis utile est; sed quaerere, an dicendum sit actionem ipsius per hujuscemodi dejectiones fuisse laesam, an contra, ad medicae artis opera supervacaneum est. Age rursus, nunc quispiam nidorulentum ructum emittat, nihilque nidorulentum comederit, huic igneum quendam calorem in ventriculo esse dicemus, ac deinde rursus distinguemus, utrum ab intemperie corporis ipsius ventriculi hoc obortum sit, aut a flava bile, quae in ipso continetur, aut in interiore spatio, aut in ejus tunicas, ut difficilis expurgationis sit, imbibita. Ac ne hic quidem con-

ἥπατος κακοπραγοῦντος ὁ τοιοῦτος ἀθροίζεται χυμὸς, εἴτ᾽ ἐξ ὅλου καταῤῥέει τοῦ σώματος, εἴτε καὶ κατ᾽ αὐτὴν γαστέρα. ταῦτα μὲν γὰρ ἀναγκαιότατα μέν ἐστιν ἐγνῶσθαι, δεῖται δ᾽ ἀνδρὸς γεγυμνασμένου τὸν λογισμὸν ἐν ἐπιστήμῃ τῶν πραγμάτων αὐτῶν, οὐ τῶν δηλούντων ὀνομάτων αὐτά. οὐ γὰρ ὥσπερ ἡ τῆς διαφθορᾶς ἰδέα τὴν ποιήσασαν αἰτίαν ἐνδείκνυται σαφῶς, οὕτω καὶ περὶ τῆς κατ᾽ αὐτὴν γενέσεως ἔστιν εὑρεῖν ὡρισμένην ἔνδειξιν. εἰ μὲν οὖν κνισοῦται τὰ σιτία κατὰ τὴν γαστέρα, μὴ διὰ τὴν ἑαυτῶν φύσιν, ἀναγκαῖόν ἐστι τὴν ταῦτ᾽ ἐργαζομένην αἰτίαν εἶναι θερμήν· εἰ δ᾽ ὀξύνεται, ψυχράν· οὐ μὴν ἤδη γέ πω δῆλον, εἴτε δυσκρασία τίς ἐστι κατὰ τὸ σῶμα τῆς κοιλίας, εἴτε χυμός τις μοχθηρός· ἀλλὰ διορίσασθαι χρὴ δόντα σιτία τῆς ἐναντιωτάτης φύσεως τῷ τρόπῳ τῆς διαφθορᾶς, ἄρτον μὲν εἰ τύχοι καὶ χόνδρον ἐφ᾽ ὧν κνισοῦται, μέλι δ᾽ ἐφ᾽ ὧν ὀξύνεται· κᾄπειτ᾽ ἐπισκοπεῖσθαι τά τ᾽ ἐμούμενα καὶ τὰ διαχωρούμενα, πότερον ἅμα χυμῷ τινι, τὰ μὲν χολώδει καὶ θερμῷ, τὰ δὲ φλεγματώδει καὶ ψυχρῷ λαμβάνει

fiftemus, fed quaeremus deinceps, an jecore male fuam functionem obeunte hujusmodi humor accumuletur; an is ex univerfo defluat corpore; an etiam in ipfomet generetur ventriculo. Haec enim funt cognitu perquam neceffaria, fed viro indigent exercitatae rationis, qui res ipfas potius quam nomina, quibus explicantur, fcire ftuduerit. Non enim quemadmodum corruptionis idea efficientem caufam aperte oftendit, fic etiam licet invenire definitam indicationem ejus generationis. Igitur fi in ventriculo cibi in nidorem transeunt, non fuapte natura, efficientem caufam calidam; fi vero acescunt, eam frigidam effe neceffe eft; nondum tamen jam conftat, utrum intemperies aliqua, an vitiofus quispiam humor ventriculi corpus obfideat; fed diftinguere oportet datis cibis naturae maxime contrariae modo corruptionis, ut pane quidem exempli gratia et alica illis quibus in nidorem transmutari cibi confueverunt; melle autem iis, quibus acescunt; deinde confiderare tum quae vomuntur, tum quae per alvum dejiciuntur, num humor ali-

τὴν κένωσιν, ἢ χωρὶς χυμοῦ τινος βραχεῖάν τινα μεταβολὴν ἐσχηκότα. τῆς κοιλίας μὲν γὰρ αὐτῆς δυσκράτου γεγενημένης κατὰ θερμότητα πυρώδη χωρὶς χυμοῦ, τὸν ἄρτον καὶ τὸν χόνδρον ὄψει διαχωρούμενα βραχυτάτης εἰς αὐτὰ μεταβολῆς γεγενημένης· εἰ δὲ χυμός τις εἴη μοχθηρὸς ὁ φθείρων τὴν τροφὴν, αὐτά τε τὰ σιτία δεδευμένα φαίνεται τῷ τοιούτῳ χυμῷ καὶ σαφέστερον ἠλλοιωμένα κατὰ τὴν ἐνέργειαν αὐτοῦ. πολὺ δὲ δὴ μᾶλλον ἐμέτοις διορίζεται ταῦτα, ῥᾳδίως πεφυκότος ἐμεῖν τοῦ κάμνοντος, ὡς τόν γε μὴ δυνάμενον ἀναγκάζειν ἐμεῖν οὐκ ἐπιτήδειον. ἀλλὰ ταῦτα μὲν, ὅταν ἐμπλέῃ τῷ κύτει τῆς κοιλίας ὁ λυπῶν χυμός· ἀναπεπομένου δ᾽ εἰς τοὺς χιτῶνας αὐ[391]τῆς, ναυτίαι μὲν πάντως ἕπονται, δίψος δὲ πλέον ἐπὶ τοῖς θερμοτέροις, ὥσπερ ὄρεξις ἡ πρὸς τὰ σιτία τοῖς ψυχροτέροις ἀκολουθεῖν πέφυκεν. ἐπισκοπεῖσθαι δὲ χρὴ καὶ εἰ ἀπαθές ἐστι τὸ ἧπαρ, ἢ πέπονθέ τι· καὶ τὸ πάθος ὁποῖον αὐτοῦ, πότερα θερμόν ἐστιν, ἢ ψυχρόν· ὡσαύτως δὲ καὶ περὶ τοῦ σπληνός. ἐκ γὰρ τῆς τῶν τοιούτων ἁπάν-

quis, cum illis quidem biliofus et calidus, cum his vero pituitofus ac frigidus, fimul excernatur; an nullo vacuato humore, ipfa exiguam quandam mutationem habuerint. Enimvero ubi igneo calore ventriculus fine humore intemperatus evafit, panem et alicam dejici videbis, perquam exigua in ipfis facta transmutatione; fi vero humor quidam pravus fit, qui cibum corrumpat, videntur cibi in hujusmodi humore fubmerfi et ab ipfius actione manifeftius alterati; at haec multo magis vomitionibus discernuntur, fi laborans fuapte natura facile vomere poffit; nam cogere eum, qui vomere non poteft, abfurdum eft. Atque haec ita deprehenduntur, quum in fpatio ventriculi noxius humor innatat; fi vero in tunicas ipfius imbibitus fit, naufeae quidem omnino confequuntur, fitis vero magis in calidioribus, quemadmodum ciborum appetentia in frigidioribus fubfequi folet. Verum confiderare oportet, utrum haud affectum fit hepar, an affectu quodam laboret; et qualis fit ipfius affectus, utrum calidus, an frigidus. Eodem modo et de fplene. Nam ex

των ἐπισκέψεως, ἅμα τῇ τῶν ἐσθιομένων ἢ πινομένων ὁσημέραι πείρᾳ, δυνήσεταί τις ἀκριβῶς εὑρεῖν οὐ μόνον τὸν πεπονθότα τόπον, ἀλλὰ καὶ τὴν διάθεσιν αὐτοῦ. χρησιμωτέρα γὰρ ἡ ταύτης γνῶσίς ἐστιν, παρ᾽ ὅσον ἡ τῆς θεραπείας ἰδέα κατ᾽ αὐτὴν τυποῦται. τὴν γοῦν θερμὴν διάθεσιν ἀεὶ μὲν ψυκτέον, ἐν ὁποίῳ ποτ᾽ ἂν εἴη χωρίῳ· τὸ δ᾽ ἄχρι πόσου ψυκτέον, ἢ ὅντινα τρόπον, ἢ διὰ τίνος ὕλης, ὁ πεπονθὼς συνενδείκνυται τόπος. εἰ μὲν οὖν αὐτὸ δὴ τοῦτο μόνον εἴη, δυσκρασία τις ἐν τῷ σώματι τῆς γαστρὸς αὐτῷ, ψύχων μὲν τὴν θερμὴν, θερμαίνων δὲ τὴν ψυχρὰν, ὠφελήσεις αὐτίκα τὸν ἄνθρωπον· ἔσται δέ σοι καὶ τῆς ὑπολήψεως ἣν ἔσχες οὐ ψιλὴ δόξα μόνον, ἀλλ᾽ ἐπιστήμη σαφὴς, καὶ μᾶλλον, ἐὰν ἑκατέρωθεν αὐτὴν βασανίσῃς, ἐπὶ μὲν τοῖς ψύχουσι φαρμάκοις τε καὶ διαιτήμασιν ὠφελούμενον ὁρῶν τὸν ἄνθρωπον, ἐπὶ δὲ τοῖς θερμαίνουσιν βλαπτόμενον· ἢ τοὐναντίον ἐπὶ μὲν τοῖς θερμαίνουσιν ὠφελούμενον, ἐπὶ δὲ τοῖς ψύχουσι βλαπτόμενον. ἐὰν δὲ χυμός τις ᾖ περιεχόμενος ἐν αὐτοῖς τοῖς χιτῶσι τῆς κοιλίας, αἱ μὲν ναυτίαι χωρὶς ἐμέτου γενήσονται κεναὶ, σπαράττουσαι

horum omnium confideratione, fimul cum quotidiana eduliorum potionumque experientia, exquifite poterit quis invenire non folum locum affectum, fed etiam ipfius affectum. Hujus enim notitia eft utilior, quatenus curationis fpecies per ipfam figuratur; nam calidus affectus femper refrigerandus eft, quacunque in regione fuerit; fed quousque, aut quomodo, aut qua materia, refrigerandum, locus affectus commonftrat. Igitur fi id ipfum duntaxat fuerit, in ipfo ventriculi corpore intemperies quaedam, calidam refrigerando, et frigidam calefaciendo, illico juveris hominem; neque nudam duntaxat opinionem, verum etiam fcientiam manifeftam fusceptae habebis conjecturae, ac magis, fi utrinque ipfam examinaveris, refrigerantibus quidem tum medicamentis, tum victus ratione, videndo hominem juvari, calefacientibus vero laedi; vel contra a calefacientibus quidem juvari, a refrigerantibus autem laedi. Quod fi humor quispiam in ipfis ventriculi tunicis contineatur, naufeae quidem vexabunt irritae fine vomitu, quae convellant duntaxat,

μόνον, οὐ μὴν ἐκκενοῦσαί γέ τινα χυμὸν, ὡς ἐφ᾽ ὧν ἐν αὐτῷ περιείχετο κύτει τῆς γαστρὸς κατὰ τὴν ἔνδον αὐτῆς εὐρυχωρίαν· αἱ δ᾽ ἐρυγαὶ τοῖς μὲν ὀξώδεις ἔσονται, τοῖς δὲ κνισώδεις· ὠφελήσει δὲ τοὺς μὲν τὸ διὰ τριῶν πεπέρεων φάρμακον, ἤ τι τοιοῦτον, δι᾽ ὕδατος, ἢ οἴνου ποθέν· τοὺς δ᾽ ἑτέρους ἀψίνθιόν τε καὶ ἡ διὰ τῆς ἀλόης ἱερὰ, καλοῦσι δ᾽ αὐτὴν ἔνιοι καὶ πικράν. ἐὰν οὖν εὐθέως ἅμα τῇ πρώτῃ πείρᾳ φαίνηται πρὸς τῶν οἰκείων φαρμάκων ἡ ὠφέλεια σαφὴς ἑκατέρων τῶν χυμῶν γεγενημένη, τήν τε διάγνωσιν ἐπιστημονικὴν ἕξεις ἤδη τήν τε θεραπείας ὑφήγησιν, ὡς ἐπιμένοντα τοῖς αὐτοῖς ἐκθεραπεῦσαι τὸν ἄνθρωπον· ἐὰν δὲ ἐπὶ τοῖς ὠφελεῖν εἰθισμένοις φαρμάκοις ἑκατέραν τὴν διάθεσιν ἀκολουθήσῃ ποτὲ βλάβη, περὶ τὴν διάγνωσιν εὑρήσεις ἐσφαλμένον σαυτόν. ἡ γάρ τοι βεβαιοτάτη γνῶσις ἁπασῶν τῶν τοιούτων διαθέσεων γίνεται τοῖς ἀκριβῶς ἐπισταμένοις ὑφ᾽ οἵων ἰαμάτων ἑκάστη καθίσταται. ἐγὼ γοῦν ἐνίους τῶν ὀνομαζομένων κωλικῶν ἰασάμην τῇ πόσει τοῦ διὰ τῆς ἀλόης φαρμάκου, τεκμηράμενος μὲν ἀναπεπόσθαι δακνώδη χυμὸν εἰς τοὺς χιτῶ-

nullum humorem evacuantes, quemadmodum fieri folet, ubi fecundum internam fpatii latitudinem in ventriculo humor continetur; ructus autem aliis acidi, aliis nidorulenti erunt. Auxiliabuntur autem illis quidem medicamentum ex tribus piperibus, aut aliquod hujusmodi, ex aqua, vel vino potum; his vero tum abfinthium, tum hiera ex aloe, quam nonnulli picram quoque appellant. Igitur fi per primam protinus experientiam a familiaribus medicamentis in utroque humore manifeftum videatur auxilium, jam habebis et dignotionem fcientificam, et curationis methodum, ita ut fi in his perfeveraveris, hominem fanes. At fi a folitis auxiliari medicamentis utrumque affectum interdum laefio fequatur, deceptum te ipfum circa dignotionem invenies; nam certiffima omnium hujusmodi affectuum notitia ab iis deprehenditur, qui exacte intelligunt, quibus quisque praefidiis ad naturalem ftatum reduci poffit. Sic equidem quosdam colicos vocatos fanavi dato in potu medicamento ex aloe; fane conjiciens mordacem humorem in affecti inteftini tunicas im-

νας τοῦ πεπονθότος ἐντέρου, δούς τε τοῦ φαρμάκου, διότι πάντως ἠπιστάμην ὑπ᾽ αὐτοῦ τὴν τοιαύτην διάθεσιν ὠφεληθησομένην· ὡς δ᾽ ὠφελήθη, γνοὺς ὅτι καλῶς ἐστοχασάμην, πλέον ἐδίδουν αὐτῆς. ἀλλ᾽ ἐκ τίνος γε τὴν ἐλπίδα ταύτην ἔσχον, (255) ἄμεινον εἰπεῖν. ἑώρων τὸν ἄνθρωπον ἐπὶ μὲν τοῖς θερμοῖς ἐδέσμασί τε καὶ φαρμάκοις καὶ ὅλως διαιτήμασι παροξυνόμενον, ἐπὶ δὲ τοῖς εὐχύμοις τε καὶ κατακεραστικοῖς ὀνομαζομένοις ὠφελούμενον· ἑώρων δὲ καὶ πρὸς τῆς ἀσιτίας αὐτὸν βλαπτόμενον. ὡς δὲ καὶ πυνθανομένῳ μοι καὶ περὶ τῆς κατὰ τὴν ὀδύνην ἰδέας ἔφη δακνώδη τινὰ ὑπάρχειν αὐτὴν, ἔτι δὲ καὶ μᾶλλον εἰς ἐλπίδα τῆς ἀληθοῦς διαγνώσεως ἀφικόμενος ἐτόλμησα δοῦναι τοῦ πικροῦ φαρμάκου· θεασάμενός τε προφανῶς ὠφεληθέντα τὸν ἄνθρωπον ἐπείσθην ἐγνωκέναι [392] βεβαίως, ἥ τίς ἐστιν ἡ διάθεσις. ἕτερον δ᾽ ὑπὸ τῶν εὐπέπτων σιτίων παροξυνόμενον ἀνηρώτησα τὰ προηγησάμενα, πυθόμενός τε ὅτι μετὰ καθαρτικοῦ φαρμάκου δόσιν εἰς ταύτην ἤχθη τὴν διάθεσιν, αὖθίς τε ἐρωτήσας, ὑπὸ τίνος αἰτίας ἐπὶ τὴν τοῦ φαρμάκου χρῆσιν ἧκεν, ἀκούσας τε δι᾽ ἀλγήματα δακνώδη τε καὶ διαβρωτικὰ, πολυχρονίως ἐν

bibitum, datoque medicamento, quia fciebam omnino hujusmodi affectum ejus ope adjutum iri; quod auxilium ubi contigit, intelligens recta me ductum conjectura, plus ipfius exhibui. Sed unde hanc fpem habuerim, praeftiterit enarrare. Vidi hominem a calidis tum cibis tum medicamentis atque omnino victus ratione irritari; rurfus juvari ab alimentis boni fucci et contemperantibus nominatis; vidi praeterea ab inedia ipfum laedi; ubi vero doloris fpeciem percontanti mihi mordacem effe refpondit, magis ad fpem etiam verae dignotionis appulfus, aufus fum amarum ei medicamentum exhibere. Poftremo confpiciens hominem aperte adjutum, quis fuerit affectus certo me deprehendiffe putavi. Alterum, quem cibi concoctu faciles irritabant, de praecedentibus interrogavi; refpondit is fe in hanc deductum affectionem fumpto purgante medicamento. Rurfus quoque interrogans, quam ob caufam ad medicamenti ufum veniffet, intellexi ob mordaces erodentesque dolores multo tempore in locis ad

τοῖς κατὰ τὴν γαστέρα τόποις διαμένοντα, κεκακῶσθαι τὸ ἔντερον ὑπὸ τοῦ καθαρτικοῦ φαρμάκου στοχασάμενος, ἐν διαθέσει τε γεγονέναι ῥευματικῇ, καὶ δέχεσθαι ῥᾳδίως εἰς ἑαυτὸ τὰ περιττὰ τοῦ ἥπατος, ἐπιδιαφθείρειν τε ταῦτα, τροφὴν ἔδωκα δύσφθαρτόν τε καὶ στύφουσαν· ἐφ᾽ ᾗ τῶν τε δήξεων ἐπαύσατο καὶ διεχώρησεν οὐκ ἔτι οὐδὲν, ἔμπροσθεν ἀεὶ μετὰ τὰς δήξεις ἐκκρίνων διεφθαρμένα τε ἅμα καὶ ὑγρὰ καὶ δυσώδη. προπεπυσμένος δ᾽ ὅτι χρόνῳ πλείονι μετὰ τὴν δῆξιν ἡ διέξοδος αὐτῶν ἐγένετο, τῶν μετεώρων ἐντέρων ἐστοχασάμην εἶναι τὴν διάθεσιν, ὡς ἐφ᾽ ἑτέρου τε ταχείας ἐπὶ τῇ δήξει τῆς ἐκκρίσεως γινομένης, ἐτεκμηράμην εἶναι τῶν κάτω τὴν διάθεσιν. ἐκεῖνον μὲν οὖν ἐνέσει φαρμάκου, τοῦτον δὲ τοῖς εἰρημένοις ἐδέσμασιν ἰασάμην, ἐπιστάμενός τε τοῦτο βεβαίως, ὅτι τὰ μὲν ἐγγὺς τῇ γαστρὶ τοῖς ἄνωθεν ἐσθιομένοις τε καὶ πινομένοις ἑτοιμότερον ὠφελεῖται, τὰ δ᾽ οὐ πόῤῥω τῆς ἕδρας τοῖς κάτωθεν. οὐχ ἁπλῶς οὖν προσήκει σκοπεῖσθαι τοῦτο μόνον, εἰ ἡ γαστὴρ πέπονθεν, ἤ τι τῶν ἐντέρων, ἀλλὰ καὶ τί τὸ

ventriculum ſpectantibus perſeverantes; hinc vitiatum fuiſſe a purgante medicamento inteſtinum conjiciens, ac in rheumaticam deveniſſe affectionem, et facile in ſe ipſum jecoris excrementa recipere, eaque poſtea corrumpere, cibum exhibui haud facile corruptibilem et adſtringentem; unde et mordaces dolores mitigati ſunt et nihil poſtea dejecit, quum antea ſemper poſt mordacitatis ſenſum corrupta quaedam et liquida et foetentia excerneret; quum vero multo poſt mordicationem tempore eorum dejectionem fieri audiiſſem, ſuperiorum inteſtinorum affectum eſſe conjeci; ut in alio quoque, ubi celeriter a mordicatione fieret excretio, judicavi inferiorum inteſtinorum affectum eſſe. Hunc igitur injecto medicamento, illum vero dictis jam cibis exhibitis, ſanavi; quippe certo ſciebam, quod proximae ventriculo partes exhibitis ſuperne tum cibis tum potibus, quae vero non procul a ſede diſtant, inferne *injectis medicamentis* promptius adjuvarentur. Non ſimpliciter itaque hoc ſolum conſiderare convenit, venterne affectus ſit, aut aliquod inteſti-

Ed. Chart. VII. [392.] Ed. Baf. III. (255.)

πάθος ἐστὶ, καὶ διορίσασθαί γε, τίνα μὲν ἴδια τῶν παθῶν ἐστι σημεῖα, τίνα δὲ τῶν πασχόντων μορίων· οἷον ὅτι τὸ μὲν ἀπεπτεῖν γαστρός ἐστι σύμπτωμα, τὸ δ᾽ ἐπὶ τὸ κνισῶδες ἢ ὀξῶδες ἐκτρέπεσθαι τὰ ἐδηδεσμένα τῶν κατ᾽ αὐτὴν αἰτίων τε καὶ παθημάτων. οὕτω δὲ κἀπὶ τῶν κατὰ τὸ ἔντερον ὅ τε χρόνος τῆς διεξόδου καὶ τῶν ἐκκρινομένων ἡ ἰδέα καὶ τῶν συμπτωμάτων ἡ διαφορὰ μετὰ τῶν προηγησαμένων καὶ τῶν νῦν εἰς πεῖραν ἀγομένων ἐνδείξεται συναμφότερον ἅμα, τό τε πάθος αὐτὸ καὶ τὸ μόριον ἐν ᾧ συνέστη. φέρε γὰρ ἐκκρίνειν τινὰ κατὰ γαστέρα ποτὲ μὲν ἐφελκίδας, ἢ οἷον ὑμενώδη ξύσματα, ἢ οἷον αἱματῶδές τι, ποτὲ δ᾽ ἅμα ταῦτα πάντα· τὸ μὲν ἡλκῶσθαι τὸ ἔντερον οὐκ ἂν ἀμφισβητήσειέ τις, εἴτε δὲ ἐν τοῖς λεπτοῖς ἐντέροις ἐστὶν, ἢ ἐν τοῖς παχέσιν ἡ ἕλκωσις, οὐδέπω δῆλον, ἀλλ᾽ ἔκ τε τῆς τῶν ξυσμάτων ἰδέας, ὡς ἔμπροσθεν εἴρηται, κἀκ τοῦ χρόνου τῆς διεξόδου καὶ τρίτου τοῦ μεμίχθαι τῇ κόπρῳ τὸ μὲν μᾶλλον αὐτῶν, τὸ δὲ ἧττον ἢ καὶ μηδόλως μεμίχθαι, διορισθήσεται. αἱ μὲν γὰρ ἐν τοῖς κατωτάτω μέρεσιν ἑλκώσεις οὐδ᾽ ὅλως ἔχουσιν

norum, fed et quisnam fit affectus, tum quae figna propria fint affectuum, quae partium affectarum, diftinguere; ut apepfiam ventriculi effe fymptoma; at ciborum ad nidorulentum vel acidum ructum converfionem ad caufas et affectus ipfius referendam. Sic autem de inteftinis et tempus exitus et excretorum fpecies atque fymptomatum differentia cum iis, quae praecefferunt et nunc in experientiam ducuntur, fimul utrumque, affectum ipfum et partem in qua confiftit, oftendent. Pone enim per ventrem cuidam dejici aliquando quidem ramenta, aut veluti membranarum rafuram, aut veluti cruentum quid, ac aliquando fimul haec omnia; inteftinum ulcere affectum nemo dubitaverit; at vero utrum in exilibus inteftinis, an craffis, ulcus confiftat, nondum manifeftum eft; fed, ut nuper dicebamus, et ex ramentorum fpecie et exitus tempore et tertio ex mixtione cum ftercore, modo maiore, modo minore, aut etiam nulla, diftinguetur. Nam infirmarum partium ulcera nullo modo ul-

Ed. Chart. VII. [392. 393.] Ed. Baf. III. (255.)
ἀναμεμιγμένα τοῖς διαχωρήμασι τὰ τῶν ἑλκῶν γνωρίσματα· ταῖς δ᾽ ὀλίγον ἀνωτέρω μέμικται μὲν, ἀλλ᾽ ἐπὶ βραχύ· καθάπερ γε τῶν ἐπὶ πλέον ἀνωτέρω καὶ ἡ μίξις ἐπὶ πλέον· ἔτι δὲ δὴ μᾶλλον ἐπὶ τῶν ὑψηλοτάτων ἐντέρων ἀναμέμικται τῇ κόπρῳ τὰ τῆς ἑλκώσεως ἴδια.

Κεφ. ε΄. Πολλάκις δ᾽ ἅμα τόπου τε καὶ διαθέσεως ἐξ ἑνὸς γνωρίσματός ἐστιν ἡ ἔνδειξις, ἢ τόπου τε ἅμα καὶ [393] αἰτίου· οἷον ἐπὶ μὲν τῶν τόπων ἀπό τε τῆς βεβλαμμένης ἐνεργείας καὶ τῶν ἐκκρινομένων καὶ τῆς θέσεως καὶ τῆς κατὰ τὴν ὀδύνην ἰδιότητος καὶ τῶν οἰκείων συμπτωμάτων ἡ ἔνδειξις, ἐπὶ δὲ τῶν παθῶν ἀπό τε τῆς τῶν ἐκκρινομένων ἰδέας καὶ τῆς τοῦ τόπου φύσεως καὶ τῆς κατὰ τὴν ὀδύνην ἰδιότητος καὶ τῶν οἰκείων συμπτωμάτων. ἀπὸ μὲν οὖν τῆς βεβλαμμένης ἐνεργείας ἔνδειξις τοῦ πεπονθότος μορίου γίνεται κατὰ τόνδε τὸν τρόπον. εἴ τινι σύμπτωμά τι τῆς κατὰ τὸ βλέπειν ἐνεργείας ἐστὶν, ὀφθαλμὸς ἐξ ἀνάγκης ἐκείνῳ πάσχει· πότερον δὲ κατ᾽ ἰδιοπάθειαν, ἢ κατὰ συμπάθειαν, ἢ κατὰ ἄμφω, δεύτερον ἂν εἴη σκέμμα. τῇ δὲ τῶν ἐκκρινομένων ἰδέᾳ διαγινώσκεται τὸ πεπονθὸς μόριον, ὡς ἔμπροσθεν

cerum habent notas alvi excrementis admixtas; partium vero paulo fuperiorum ulcera mixtas quidem cum ftercore habent notas, fed leviter duntaxat; quemadmodum, fi multo fint fuperiores, vehementior erit mixtura; praecipue vero in fupremis inteftinis ulceris propria vehementer ftercori funt admixta.

Cap. V. Atque faepenumero ex uno figno fimul et loci et affectus proditio eft, aut loci una et caufae; veluti locorum indicatio et ab actione laefa et excretis et fitu et doloris proprietate et propriis fymptomatis fumitur; affectuum vero et ab excretorum fpecie et loci natura et doloris proprietate et propriis fymptomatis. Sane ab actione laefa affectae partis fignificatio datur hocce modo. Si alicui fymptoma quoddam videndi fit actionis, illi oculus neceffario afficitur; verum an proprio affectu, an per confenfum, an utroque modo, alia confideratione inquirendum eft. Excretorum fpecie affecta pars dignofcitur, veluti jam antea

Ed. Chart. VII. [393.] Ed. Baf. III. (255.)

εἴρηται, διά τε τῶν τῆς οὐσίας αὐτοῦ μερῶν καὶ τῶν περιεχομένων ἐν αὐτῷ. καὶ μὴν καὶ ἡ θέσις ἱκανὴ συνενδείξασθαι τὸ πεπονθὸς μέρος. ὄγκος γοῦν σκληρὸς ἐν περιγραφῇ κατὰ τὸ δεξιὸν ὑποχόνδριον οὐ σπληνὸς, ἀλλ᾽ ἥπατος γνώρισμά ἐστι πάσχοντος· ὥσπέρ γε κατὰ τὸ ἀριστερὸν οὐχ ἥπατος, ἀλλὰ σπληνός. ὁμοίων τε τῶν ἐκκρινομένων ὄντων ἡ θέσις ἐνίοτε συνενδείκνυται τὸ πάσχον. εἰ γοῦν ὑμενώδους χιτῶνος ἐκκριθείη μόριον, ὅτι μὲν ἕλκωσίς ἐστί που, δηλώσει· τὸ δ᾽ ὁποίου τοῦ μορίου, παρὰ τῆς θέσεως διδαχθήσῃ. τὸ μὲν γὰρ ἐμούμενον ἤτοι γαστρὸς, ἢ τοῦ στομάχου τὸ πάθος εἶναι σημαίνει· τὸ δ᾽ ἀναβησσόμενον ἤτοι τοῦ λάρυγγος, ἢ τῆς τραχείας ἀρτηρίας· τὸ δὲ πτυόμενον μετὰ τὸ χρέμψασθαι τῆς φάρυγγος· εἰ δ᾽ οὐρηθείη, τῆς οὐρήθρας αὐτῆς· εἰ δὲ διὰ ἕδρας ἐκκριθείη, τῶν ἐντέρων τινός· εἰ δὲ δι᾽ αἰδοίου γυναικείου, τῶν κατὰ τὴν μήτραν. ὅτι δὲ καὶ τῶν ὀδυνῶν ἑκάστη κατὰ τὴν θέσιν ἐνδείκνυται τὸ πεπονθὸς μόριον, εὔδηλον· οὕτως γέ τοι καὶ τὰ προειρημένα διορίζεται· σημείων γὰρ φανέντων ἕλκους ἐν ἐμέτῳ, σκεπτέον ἐστὶ πότερον ἐν

dictum eft, et per partes ipfius fubftantiae et per contenta in ipfa. Ac fitus quoque ad affectam partem commonftrandam fatis eft idoneus; itaque durus et circumfcriptus in dextri hypochondrii regione tumor non lienis, fed jecinoris affecti nota eft; quemadmodum et finiftri non hepatis, fed fplenis. Ac ubi fimiliter fe habent excreta, fitus interdum affectam partem commonftrat. Si enim membranofae tunicae portiunculae excernatur, id ulcus effe alicubi oftendit; verum in qua fit parte, ex fitu discere poteris. Nam fi vomendo fuerit rejecta, aut ventriculi, aut ftomachi; fi tuffiendo, gutturis, aut asperae arteriae; fi fcreando, faucium; fi cum urina, urethrae ipfius; fi a fede, alicujus inteftinorum; fi per mulieris pudenda, uteri affectum effe fignificat. Ita vero etiam conftat, quod finguli dolores pro fitus varietate affectum locum oftendunt (hoc etiam pacto ea, quae fupra propofuimus, diftinguere oportet;) nam apparentibus per vomitum ulceris fignis, animadvertendum eft, utrum in

Ed. Chart. VII. [393.] Ed. Baf. III. (255.)

τοῖς πρόσω μέρεσιν κατὰ τὸ ὑποχόνδριον, ἢ κατὰ τὸ μετάφρενον ὄπισθεν ὀδύνη τίς ἐστιν. διορισθήσεται δὲ τῆς μὲν ἔμπροσθεν ὀδύνης κατὰ τὴν γαστέρα, τῆς δ᾽ ὀπίσω κατὰ τὸν στόμαχον γινομένης. ἀλλὰ καὶ αὐτῆς τῆς γαστρὸς τὸ στόμα τοῦ κύτους ὡσαύτως διορισθήσεται, εἰ τῶν καταπινομένων δριμέων τὸ μὲν τῷ στόματι τῆς γαστρὸς ἐργάζοιτο τὴν δῆξιν ἢ κατωτέρω, τὸ δ᾽ ἐν τῇ κατὰ τὸν θώρακα διόδῳ· τὰ γὰρ τοιαῦτα πάντα τῇ θέσει διορίζεται, καθάπερ ἄλλα τῇ τῆς ὀδύνης ἰδέᾳ. λεχθήσεται δ᾽ ἐπὶ πλέον ὑπὲρ ἀλγημάτων ἐν τῷ δευτέρῳ γράμματι, νυνὶ δὲ ἤδη καιρὸς εἰπεῖν τι παράδειγμα τῆς ἀπὸ τῶν οἰκείων συμπτωμάτων ἐνδείξεως τόπου πεπονθότος. ἔμπροσθεν μὲν οὖν ἑκάστου τῶν ἐπιφυομένων τοῖς ἕλκεσιν ἰδίαν ἔνδειξιν ἐλέγομεν εἶναι, νυνὶ δὲ καὶ τὰ τοιαῦτα προσκείσθω. ἀσώδεις μὲν ἐπὶ στόματι γαστρὸς πάσχοντι γίνονται· πλύματι δὲ κρεῶν ὅμοια κενοῦνται κάτω δι᾽ ἀτονίαν ἥπατος· ἐρυθρὰ δὲ τὰ μῆλα γίνονται τοῖς περιπνευμονικοῖς. ἀλλὰ καὶ τῶν παθῶν αὐτῶν ἐν μὲν τοῖς ἐκκρινομένοις ἴδια σημεῖα, τοῦ μὲν ἕλκους ἐφελκίς· αἱ δὲ ψαμμώ-

anterioribus hypochondrii partibus, an pofterioribue circa metaphrenum, dolor fit aliquis; dignoscetur autem, quod qui dolor in anterioribus percipitur, ventriculum; qui vero in pofterioribus, ftomachum occupet. Sed et os ventriculi a fpatio ipfius pariter diftinguetur, fi devoratis quibusdam acribus, hoc quidem in ore ventriculi aut parte inferiore mordicationem excitet, illud vero in tranfitu thoracis; omnia enim haec fitu diftinguuntur, quemadmodum alia ex doloris fpecie. Verum de doloribus latius in fecundo libro dicemus. Sed nunc jam tempus eft producendi exemplum quoddam indicationis loci affecti ex propriis fymptomatis. Itaque fupra diximus fingula, quae ulceribus adnascantur, propriam indicationem habere; haec vero nunc addantur. Orificio quidem ventriculi affecto, faftidia fuboriuntur; per hepatis vero imbecillitatem loturis carnium fimilia per inferiora vacuantur; maxillae vero rubrae fuccedunt peripneumonicis. At etiam propria affectuum ipforum figna in excretis deprehenduntur, ut ramentum ulceris; arenofa

δεις ὑποστάσεις λιθιάσεως· αἱ δὲ τοῖς τῆς κολοκύνθης σπέρμασιν ἐκκρίσεις ὅμοιαι πλατείας ἕλμινθος. ἀπὸ δὲ τῶν τόπων αὐτῶν ἔνδειξις τοῦ νοσήματος γίνεται διὰ τὸ τινὰς μὲν μόνους πάσχειν ἐκεῖνο τὸ νόσημα, (256) τινὰς δὲ μόνους μὴ πάσχειν. ὑποχέονται μὲν γὰρ οἱ ὀφθαλμοὶ μόνοι, λιθιῶσι δὲ νεφροὶ καὶ κύστις, ὡς δ᾽ ἔνιοί φασι, καὶ κῶλον· ἕλμινθες δ᾽ ἐν ἐντέροις γεννῶνται· τὴν καρδίαν δ᾽ αὖ πάλιν ἀδύνατον ἀπόστημα παθεῖν, ὥσπερ ὀδυνηθῆναι πνεύμονί τε καὶ συνδέσμοις. ἀπὸ δὲ τῆς τῶν συμπτωμάτων ἰδιότητος ἔνδειξις γίνεται τοῦ πάθους ἐν τοῖσδε. γρυποῦνται μὲν οἱ ὄνυχες ἐπὶ ταῖς φθινώδεσι [394] νόσοις· ἄλογον δὲ ῥῖγος ἅμα πυρετῷ σημεῖόν ἐστι φλεγμονῆς μεταβαλλούσης εἰς ἐμπύημα· μελαινομένη δὲ γλῶσσα καυσώδους πυρετοῦ σημεῖον, ὥσπερ γε καὶ ἡ τοῦ χρώματος ἰδιότης ἐν ὅλῳ τῷ σώματι δι᾽ ἧπαρ μὲν ἑτέρα, διὰ σπλῆνα δ᾽ ἄλλη, μὴ δυναμένη λαθεῖν τὸν ἐπιστήμονα, καθάπερ οὐδ᾽ ἡ δι᾽ αἱμοῤῥοΐδας. ἔστι δ᾽ ὀλίγα πάνυ τῶν παθῶν αὐτῶν ἴδια σημεῖα, χωρὶς τοῦ συνενδείκνυσθαι τὸν πεπονθότα τόπον. αἱ μὲν γὰρ τῆς ἐνεργείας βλάβαι

fedimenta lapidis; cucurbitae vero feminibus fimilia excrementa latorum vermium. Atque a locis ipfis morborum indicia fumuntur, eo quod quibusdam folis morbus hic accidat, quibusdam vero folis non eveniat. Nam foli oculi fuffufione laborant; lapis in renibus et vefica nascitur, atque, ut nonnulli narrant, etiam in colo; lumbrici in inteftinis gignuntur: rurfus impoffibile eft abfceffum cor pati, quemadmodum pulmonem et ligamenta dolorem. A fymptomatum quoque proprietate affectuum in his indicia oriuntur. Per tabificos morbos ungues adunci evadunt. Sine ratione invadens rigor una cum febre inflammationis ad fuppurationem transeuntis indicium eft. Lingua nigricans ardentis febris fignum eft, quemadmodum etiam coloris in univerfo corpore proprietas, alia quidem per hepatis, alia vero per fplenis affectus apparet, ita ut doctum *medicum* haudquaquam poffit fallere, ficut nec quem haemorrhoides induxerunt. At pauca funt admodum ipforum affectuum propria figna, quae fimul locum affectum non oftendant; etenim acti-

μόνον δηλοῦσι τὸ πεπονθὸς μόριον, αἱ δ᾽ ἐν αὐταῖς διαφοραὶ τὸ πάθος αὐτοῦ. μόνα τοίνυν ἐκεῖνα τῶν παθῶν ἐστιν ἴδια σημεῖα, τὰ κατά τι συμβεβηκὸς αὐτοῖς ἑπόμενα. (ὅτι μηδενὸς πάθους ἐνίοτε περὶ τὰ τῆς φωνῆς αὐτῆς ἴδια μόρια γεγενημένου, συμβαίνει βλάπτεσθαι τὴν φωνὴν ἀπορίᾳ τῆς ὕλης ἐξ ἧς ἐγίνετο) φανεῖται δέ σοι τοῦτο σαφέστερον ἐν ὅλῃ τοῦ λόγου τῇ διεξόδῳ· φανεῖται δὲ καὶ τὰ κοινὰ πάθους τε ἅμα καὶ τόπου πάσχοντος, ἢ δυοῖν παθοῖν, ἢ μορίοιν δυοῖν.

Κεφ. στ΄. Ἐν δὲ τῷ παρόντι τὸν περὶ τῶν ἰδιοπαθούντων τε καὶ συμπαθούντων λόγον ἔγνωκα προσθεὶς, ἐπ᾽ αὐτοῦ καταπαῦσαι τὸ βιβλίον, ἀναμνήσας πρότερον, ὡς τὴν ὑπὸ τῶν ἄλλων ἰατρῶν ὀνομαζομένην πρωτοπάθειαν οἰκειότερον ἔφην ἰδιοπάθειαν ὀνομάζεσθαι· διαφέρει γε μὴν οὐδὲν, οὐδ᾽ εἰ πρωτοπάθειάν τις αὐτὴν καλεῖ· βέλτιον γὰρ οὐ περὶ τῶν ὀνομάτων ἐρίζειν, ἀλλὰ τῶν πραγμάτων ἐπίστασθαι τὰς διαφοράς. ὅταν μὲν γὰρ ἐκ τῆς κοιλίας, ἤτοι γε ἀτμῶν μοχθηρῶν, ἢ καὶ τῶν χυμῶν αὐτῶν ἀναφερομένων ἐπὶ τὸν

onis laefiones affectam duntaxat partem; earum vero differentiae ipfius affectum declarant. Ea ergo fola funt affectuum propria figna, quae per aliquod accidens ipfos fequuntur. (Quod nullo interdum affectu in propriis ipfius vocis partibus oborto, vocem materiae, ex qua fit, penuria oblaedi contingat). Id vero tibi clarius in univerfo hujus operis decurfu patebit; nec non videbuntur communes quoque notae, quae fimul et affectum et fedem affectam, aut duos affectus, aut duas partes affectas, indicare poffint.

Cap. VI. Huic autem libro in praefentia finem imponere ftatui, fi de propriis affectibus et iis qui per confenfum *eveniunt*, aliquid addidero, admonens in primis, quod affectus, qui a reliquis medicis primarii vocantur, commodius proprios affectus appellaverim; quanquam nihil refert, fiquis eos primarios nominare voluerit; nam fatius eft rerum differentias intelligere, quam contendere de nominibus. Enimvero quum vel vaporibus vitiofis, vel ipfis quoque humoribus a ventriculo ad cerebrum ascendentibus

ἐγκέφαλον, ἡ διάνοια βλάπτηται, πρώτως μὲν οὐκ ἄν τις φαίη πάσχειν τὸν ἐγκέφαλον, οὐ μὴν οὐδ᾽ ἀπαθῆ γε παντάπασιν ὑπάρχειν, ἀλλ᾽ ὅ τι περ ὑπ᾽ αὐτῶν ἐκείνων ὁμολογεῖται, διὰ τοῦ συμπάσχειν ῥήματος ἀληθέστατόν ἐστιν. δηλοῦται γὰρ οὐ τὸ μηδόλως πάσχειν ἐκ τῆς συμπάσχειν φωνῆς, ἀλλὰ τὸ σὺν ἑτέρῳ πάσχειν. ἄμεινον δὲ καὶ σαφέστερον ἐφ᾽ ἑτέρῳ πάσχειν ἂν εἴποι τις τὸ συμπάσχον. ὅπερ οὖν ἔνιοι τῶν ἰατρῶν νενοήκασι μὲν ἀμυδρῶς, ὥσπερ ὀνειρώττοντες, οὐκ εἰρήκασι δὲ σαφῶς, ὅτι μηδὲ ἐγνώκασι, τοῦτ᾽ ἐγώ μοι δοκῶ διδάξειν ἀναγκαιότατον ὂν εἰς τὴν προκειμένην πραγματείαν, ἀρξάμενος ἐντεῦθεν. ἔνιαι τῶν ἐνεργειῶν ἐξ ὕλης ἐπιτηδείου γενόμεναι προπαρασκευαζομένην αὐτὴν ὑφ᾽ ἑτέρων μορίων λαμβάνουσιν· εἰκότως οὖν ἔσθ᾽ ὅτε, πάθος ἴδιον οὐδὲν ἐχόντων τῶν οἰκείων τῆς ἐνεργείας ὀργάνων, ἀπόλλυσθαι συμβέβηκεν αὐτὴν ἀπορίᾳ τῆς ὕλης ἐξ ἧς ἐγένετο, καθάπερ ἐπὶ τῆς φωνῆς ἔχει. δέδεικται γὰρ ἐν τοῖς περὶ αὐτῆς λόγοις ἡ ἐκφύσησις ὕλη μὲν οὖσα τῆς φωνῆς, γινομένη δ᾽ ὑπὸ τῶν μεσο-

mens laeditur, primigenio quidem affectu cerebrum tum laborare dicet nemo; non tamen affectus expers omnino esse, verum verbo per consensum affici, quod ab illis ipsis conceditur, id verissimum est; nam ex voce, per consensum affici, nequaquam partem non penitus affici, sed ipsam cum alia affici, declaratur. At quivis melius clariusque enarraverit, si eam partem quae per consensum afficitur, ob alteram affici dixerit. Igitur, quod multi medicorum veluti somniantes obscure intellexerunt, atque ipsum, utpote non intelligentes, haudquaquam clare enunciaverunt, id equidem veluti instituto operi perquam necessarium docere aggredior, hinc sumpto initio. Nonnullae actiones ex idonea materia genitae ipsam ab aliis partibus praeparatam accipiunt; proindeque decenter interdum, nullo existente in actionis propriis instrumentis affectu proprio, actionem ipsam deperdi contigit, defectu materiae ex qua fieri consuevit, ut in voce res sese habet. Nam in libro, quem de ipsa conscripsimus, ostensum est, quod efflatio materia quidem vocis est,

πλευρίων, μυῶν συστελλομένου τοῦ θώρακος· ὅταν οὖν οὗτοι μηκέτ᾽ ἐνεργῶσιν, ἄφωνον γίνεται τὸ ζῶον, οὐδενὸς πάθους ἐνίοτε περὶ τὰ τῆς φωνῆς αὐτῆς ἴδια μόρια γεγενημένου. ταῦτα δ᾽ ἐστὶ συ[395]νελόντι μὲν εἰπεῖν ὁ σύμπας λάρυγξ, κατὰ μέρος δ᾽ ἑρμηνευόντων, οἵ τε τρεῖς αὐτοῦ χόνδροι καὶ οἱ κινοῦντες αὐτοὺς μύες τρεῖς ἅμα τοῖς ἀπ᾽ ἐγκεφάλου νεύροις, ἔτι τε πρὸς τούτοις ἡ ἔνδον τοῦ λάρυγγος ἐπιγλωττὶς, ἥπέρ ἐστι τὸ κυριώτατον ὄργανον τῆς φωνῆς· αὕτη γὰρ ὑπὸ τῶν μυῶν ἀνοιγομένη τε καὶ συναγομένη μετρίως ἐργάζεται τὰς φωνάς· ἀλλ᾽ οὐχ οἷόν τε γενέσθαι ταύτας ἄνευ τοῦ σφοδρῶς ἔξω φέρεσθαι τὸ πνεῦμα· τοῦτο δ᾽ ὑπὸ τῶν μεσοπλευρίων ἐπιτελεῖται μυῶν. καί τις ἀφ᾽ ὑψηλοῦ πεσὼν, ὡς ἐρεῖσαι κατὰ τῆς γῆς τὴν ἀρχὴν τοῦ μεταφρένου, περὶ μὲν τὴν τρίτην ἡμέραν πάνυ μικρὸν ἐφθέγγετο, τῇ δὲ τετάρτῃ τελέως ἦν ἄφωνος, ἅμα τῷ παραλελύσθαι τὰ σκέλη, μηδὲν τῶν χειρῶν βεβλαμμένων, οὐ μὴν οὔτ᾽ ἄπνους οὔτε δύσπνους ἐγένετο· παραλυθέντος γὰρ ὅλου τοῦ μετὰ τὸν τράχηλον νωτιαίου, συνέβη τῷ θώρακι πρός τε τοῦ διαφράγματος

et efficiunt eam contracto thorace intercoftales musculi; igitur his nihil agentibus, animal vocis fit orbum, et quidem nullo interdum in propriis vocis partibus genito affectu. Sunt vero eae fummatim quidem loquendo totus larynx; fi vero particulatim explicare volueris, tres ipfius cartilagines, et qui eas movent musculi tres, cum nervis a cerebro; ac praeterea laryngis ligula, quae maxime proprium vocis inftrumentum eft. Etenim quum haec a musculis moderate et aperitur et committitur, voces efficit; quanquam eas reddi impoffibile eft, nifi vehementer foras fpiritus feratur; id vero intercoftales musculi perficiunt. Ac lapfus quidam ab alto, ut in terram dorfi initium affligeretur, tertio die exiguam admodum vocem emifit; quarto deinde omnino obmutuit, refolutaque fimul fuerunt crura, manibus omnino illaefis; fed neque fpirationem amittebat neque difficulter fpirabat. Quum enim tota fub cervice fpinalis medulla effet refoluta, accidit thoraci ut per feptum transverfum et

Ed. Chart. VII. [395.] Ed. Baf. III. (256.)
ἔτι τε καὶ τῶν ὑψηλῶν μυῶν κινεῖσθαι τῶν ἕξ, ἐπειδὴ τὰ νεῦρα τούτοις ἐκ τοῦ κατὰ τὸν τράχηλόν ἐστι νωτιαίου· τὰ δὲ τῶν μεσοπλευρίων μυῶν νεῦρα πάντ᾽ ἔπαθεν, ὑφ᾽ ὧν ἡ ἐκφύσησις ἐδείχθη γινομένη. βουλομένων οὖν τῶν ἰατρῶν ἐνοχλήσειν εἰκῇ, τοῖς μὲν σκέλεσι, διότι παρεῖτο, τῷ δὲ λάρυγγι διὰ τὸ τῆς φωνῆς πάθημα, κωλύσας ἐγὼ, μόνου προενοησάμην τοῦ πεπονθότος τόπου, καὶ γενομένου ἀφλεγμάντου τοῦ νωτιαίου μετὰ τὴν ἑβδόμην ἡμέραν ἐπανῆλθεν ἥ τε φωνὴ καὶ ἡ τῶν σκελῶν κίνησις τῷ νεανίσκῳ. τὸ μὲν δὴ τοιοῦτον εἶδος τῆς βλάβης κυριώτερον ἄν τις ὀνομάσειε συμπάθειαν, ἤπερ ὅταν ἐπὶ χυμοῖς τισι κατὰ τὴν γαστέρα περιεχομένοις ἄλγημα γίνηται τῇ κεφαλῇ· ἀναφέρεται γάρ τι πρὸς αὐτὴν ἐν ταῖς τοιαύταις διαθέσεσιν, οὐ μὴν ἐπὶ τὰ σκέλη γε φέρεταί τι τῶν βλαπτόντων ἐν ταῖς εἰρημέναις διαθέσεσιν, ἀλλὰ τοὐναντίον ἀποστερεῖται δυνάμεως ἧς πρότερον αὐτοῖς ἐχορήγει ὁ νωτιαῖος. ὁ δὲ λάρυγξ οὐκ ἀποστερεῖται μὲν εἰς τὸ παντελὲς τοῦ πνεύματος ἐν ταῖς ἀφωνίαις· ἔτι γὰρ ἐκπνεῖ τὸ ζῶον δι᾽ αὐτοῦ· στερεῖται δὲ τῆς ἐκφυσήσεως, ἥ τις ἦν

musculos fupernos fex moveretur, quum his nervi ex fpinali medulla cervicis prodeant: at intercoftalium musculorum nervi, per quos efflationem fieri diximus, omnes affecti erant. Quum itaque fruftra medici negotium facere vellent, cruribus quidem, utpote refolutis, gutturi vero, propter vocis affectum, prohibui, atque affecto duntaxat loco curationem adhibui; proinde finita tandem fpinalis medullae inflammatione a feptimo die vox reftituta eft juveni et crurum motus. Hujusmodi ergo laefionis fpeciem magis proprie quis per confenfum evenire dixerit, quam ubi ab humoribus quibusdam in ventriculo contentis capiti dolor accidit. Nam per hujusmodi affectiones elevatur ad ipfum aliquid; fed in dictis nuper affectibus nihil noxium ad crura defertur, fed contra privantur ea facultate, quam antea fpinalis medulla ipfis fuppeditabat. Guttur vero, quum vox ablata eft, non omnino privatur fpiritu, nam animal per ipfum etiamnum expirat; at efflatione privatur, quae eft

Ed. Chart. VII. [395.] Ed. Baf. III. (256.)

ἀθρόα φορὰ τοῦ πνεύματος πολλοῦ διὰ λάρυγγος ἔξω τοῦ ζώου. περὶ μὲν δὴ τῶν ὀνομάτων ἑτέροις φιλονεικεῖν ἐπιτρεπτέον· ἡμῖν δ' ἀρκέσει περὶ τῶν πραγμάτων, ὧν ἐκεῖνοι παντάπασιν ἀγνοοῦσι, διελθεῖν. ἄλλως μὲν ἐπὶ τοῖς ἐν γαστρὶ χυμοῖς κεφαλαλγοῦσι, τῶν ἀναφερομένων δηλονότι χυμῶν θερμαινόντων τε ἅμα καὶ διατεινόντων τὰ κατὰ τὴν κεφαλήν· ἄλλως δὲ τὰ τῶν ὑποχεομένων πάσχουσι φαντάσματα, μήτε θερμαινομένων τῶν ὀφθαλμῶν μήτε διατεινομένων, ἀλλὰ μόνον ἀτμοῦ διοδεύοντος αὐτούς· ἔτι τε πρὸς τούτοις ἑτέρως μὲν ὁ φραχθεὶς τὸν ἀπ' ἐγκεφάλου καθήκοντα πόρον οὐχ ὁρᾷ, καὶ τούτῳ παραπλησίως μέν πως, ἑτέρως δὲ, ὁ διὰ τὴν τοῦ νωτιαίου φλεγμονὴν παρεθεὶς τὰ σκέλη· καθ' ἕτερον δὲ τρόπον ὁ τὴν φωνὴν ἀπολέσας ἢ βλαβείς. εἰς μὲν γὰρ τὰ σκέλη δύναμίς τις ἀφικνεῖσθαι κεκώλυται χωρὶς οὐσίας, εἰς δὲ τοὺς ὀφθαλμοὺς μετ' οὐσίας, εἰς δὲ τὸν λάρυγγα τῆς ἀφικνουμένης ὕλης κεκώλυται τὸ πλῆθος· ἐπὶ δὲ τοῦ διὰ τὴν μεσοπλευρίων μυῶν σύντρησιν ἀφώνου γεγονότος ἀπόλωλε τελέως ἡ τῆς φωνῆς ὕλη. ὅστις δὲ ὁ τρόπος τοῖς σκέλεσι τῆς παραλύσεως γίνεται κατὰ τὰς εἰρημένας

multi fpiritus extra animal per guttur affatim facta emiffio. Sed de nominibus contendere caeteris permittamus; nobis enim res, quas illi penitus ignorant, pertractare fatis fuerit. Equidem aliter dolet caput, ubi contenti in ventriculo humores elevantur, qui fimul et calefacere et diftendere ea quae funt in capite poffunt; atque aliter fuffuforum apparent vifa, neque calefactis, neque diftentis oculis, fed folo vapore per ipfos transeunte. Praeterea aliter cui meatus a cerebro defcendens obftructus eft non videt, aliter ille, quamvis huic quodammodo fit fimilis, cui propter fpinalis medullae inflammationem refoluta funt crura, atque aliter is, cui vox aut periit, aut vitiata eft. Etenim ad crura facultas quaedam citra fubftantiam descendere prohibita eft; ad oculos vero cum fubftantia; verum ad guttur materiae pervenientis multitudo prohibita eft; qui vero ob intercoftalium musculorum perforationem obmutuit, is totam vocis materiam amifit. Sed quemadmodum crura per dictas fpinalis medul-

τοῦ νωτιαίου διαθέσεις, ὁ αὐτὸς καὶ τῷ λάρυγγι, τῶν νεύρων τῶν φωνητικῶν τμηθέντων ἢ βρόχῳ διαληφθέντων. ὀνομάζειν δὲ εἴωθα φωνητικὰ νεῦρα τὰ πρὸς ἡμῶν εὑρεθέντα, τῶν διδασκάλων μόνα τὰ παρὰ ταῖς ἀρτηρίαις εἰδότων. ἀκολουθεῖ μὲν οὖν κἀκείνοις ὁμοίως κακωθεῖσιν ἀπώλεια φωνῆς, ὅτι καὶ τὰ τοῦ λάρυγγος ἴδια νεῦρα, τὰ παλινδρομοῦντα πρὸς ἐμοῦ κληθέντα, μόρια τῆς οὐσίας αὐτῶν ἐστιν· [396] εἰς πολλὰ δὲ καὶ ἄλλα μόρια νενεμημένων (257) αὐτῶν, οὐκ ἔχει προσηγορίαν οἰκειοτέραν τῆς τῶν φωνητικῶν, ἅπερ ἴδια τῶν τὴν φωνὴν ῥυθμιζόντων ὀργάνων ἐστίν. ὅ γε μὴν τρόπος τῆς βλάβης τοῖς μυσὶ τοῦ λάρυγγος ὁ αὐτός ἐστιν, εἴτε τὰ παλινδρομοῦντα νεῦρα κακωθείη, εἴτε τὰ παρὰ ταῖς ἀρτηρίαις, ἑκατέρως γὰρ ἀποροῦσι δυνάμεως ψυχικῆς, ἧς χωρὶς οὐχ οἷόν τε κατὰ προαίρεσιν αὐτοῖς κινεῖσθαι. καὶ μὴν καὶ ἡ τῶν κινούντων τὴν ἐπιγλωττίδα μυῶν τομὴ, τελέως μὲν ἄφωνον ἐργάζεται τὸ ζῶον· ἀλλ᾽ οὐ κατὰ τὸν αὐτὸν ἅπαντη τρόπον, οὐ μὴν οὐδὲ πάντη διαφερόντως, ἢ εἰ τὰ νεῦρα βλαβείη· τὸ κοινὸν γὰρ τῆς βλάβης ἀμφοῖν ἐστιν ἐν τῷ στερίσκεσθαι τὴν

lae affectiones refolvuntur, ita etiam guttur, vocalibus nervis vel incifis vel laqueo interceptis; vocare autem vocales nervos confuevi eos, quos ipfe inveni; nam praeceptores mei eos duntaxat, qui apud arterias funt, cognoscebant. Igitur ob horum quoque vitia vox perire folet, quod proprii gutturis nervi, quos recurrentes nominavi, ipforum fubftantiae pars fint; fed quum hi ad multas alias partes distribuantur, nullam habent magis propriam appellationem ea, qua vocales appellantur, qui ad inftrumenta vocem concinnantia proprie pertinent. At idem eft modus laefionis gutturis musculis, five recurrentes nervi, five ii, qui fecundum arterias funt, vitientur; utrinque enim animalis facultas defideratur, fine qua voluntatis imperio moveri illis non contingit. Et quidem musculorum ligulam moventium incifio animal penitus mutum efficit, fed neque fimili omnino modo, neque etiam in totum diverfo, quam fi nervos laeferit; nam habent utrique hanc communem laefionem, quod ligula

Ed. Chart. VII. [396.] Ed. Baſ. III. (257.)

ἐπιγλωττίδα τῆς πρὸς τὴν κινοῦσαν ἀρχὴν συνεχείας, γίνεταί τε τοῦτο ἐάν τε τοὺς μῦς ἐάν τε τὰ νεῦρα τέμῃς, ἢ βρόχῳ διαλάβῃς, ἢ θλάσῃς, ἢ ὁπωσοῦν ἄλλως κακώσῃς. ἐγὼ γοῦν οἶδα καὶ ψυχθέντων ἐπὶ πλεῖον τῶν παλινδρομούντων νεύρων ἐν χειρουργίᾳ τινὶ κατὰ τράχηλον ἐν χειμῶνι γενομένῃ κακωθεῖσαν τὴν φωνὴν, ὡς ὀλίγου δεῖν ἀπολέσθαι· καὶ συνιέντες γε τοῦτ᾽ αὐτὸ θερμαίνουσι φαρμάκοις αὐτὴν ἀνεκαλεσάμεθα, τὴν κατὰ φύσιν κρᾶσιν ἀνακτησάμενοι τοῖς νεύροις. ὥσπερ δ᾽ ἐπὶ ταῖς τοῦ θώρακος συντρήσεσιν ἀπόλλυται ἡ φωνὴ στερήσει τῆς ὕλης, οὕτω κἂν τὴν τραχεῖαν ἀρτηρίαν ὅλην διατέμῃς· οὐ γὰρ ἔτι παραγίνεται τὸ πνεῦμα πρὸς τὸ τῆς φωνῆς ἴδιον ὄργανον. ἑτέρῳ δὲ τρόπῳ ταὐτὸν ἐργάζεται βρόχος ὅλῳ τῷ τραχήλῳ περιτεθείς· ἀλλ᾽ οὗτος μὲν οὐκ ἄφωνον μόνον ἀποτελεῖ τὸ ζῶον, ἀλλὰ πνίγει, στερίσκων τῆς ἀναπνοῆς· ἡ δ᾽ ἀρτηρία διαρεθεῖσα φωνὴν μὲν βλάπτει, τῆς δ᾽ ἀναπνοῆς οὐκ ἀφαιρεῖται τὸ ζῶον· αἱ δὲ κυνάγχαι καλούμεναι, φλεγμοναὶ τῶν ἔνδον τοῦ λάρυγγος οὖσαι σωμάτων, ἀνάλογον ἀγχόνῃ στερίσκουσι τῆς ἀναπνοῆς, ἐμφράττουσαι τὸν

continuitate, quam ad movens principium habet, privetur; idque fieri ſolet, ſive nervus, ſive musculus incidatur, aut laqueo intercipiatur, aut contundatur, aut quomodolibet aliter vitietur. Equidem vocem vitiatam fuiſſe memini adeo, ut pene perderetur, refrigeratis vehementer nervis recurrentibus, quum per hiemem in collo adhibita fuiſſet quaedam chirurgia; quod quum intelligerem, calefacientibus remediis naturale temperamentum nervis reſtituens, vocem revocavi. Caeterum ut ob materiae privationem perforato thorace, ita etiam aſpera arteria tota inciſa, vox perit; non enim etiamnum ad proprium vocis organum ſpiritus accedit. Idem efficit alio modo laqueus toti collo circumdatus; verum hic non ſolum mutum reddit animal, ſed etiam ſuffocat, tollendo reſpirationem. Arteria autem diſſecta vocem quidem laedit, ſed animal reſpiratione non privat. Angina vero vocata, quum ſit internarum gutturis partium inflammatio, ſtrangulationi ſimiliter reſpirationem tollit, ipſius meatum

πόρον αὐτῆς, διὸ δὴ καὶ μάλιστα τοῦ τῆς φωνῆς ὀργάνου πάθος ἴδιόν εἰσιν, ἐφεξῆς δὲ τῶν ἔξωθεν αὐτοῦ μυῶν ἡ βλάβη· τῶν δ᾽ ἄλλων ἁπάντων ὧν διῆλθον, οὐκ ἴδιον, ἀλλὰ κατὰ συμπάθειαν μᾶλλον. ἐκκόπτων γοῦν τις ἐκ τραχήλου χοιράδας ἐν τῷ βάθει κειμένας, εἶτα δὲ εἰς τὸ μὴ τεμεῖν τι ἀγγεῖον οὐ τῇ μήλῃ τέμνων τοὺς ὑμένας, ἀλλὰ τοῖς ὄνυξι διασπῶν, ἔλαθεν ὑπ᾽ ἀγνοίας συνδιασπάσας τὰ παλινδρομοῦντα νεῦρα· καὶ οὕτω τῶν μὲν χοιράδων ὑγιὲς ἀπέφηνε τὸ παιδάριον, ἄφωνον δὲ εἰργάσατο. καί τις ἄλλος ἕτερον παῖδα χειρουργῶν ὁμοίως ἡμίφωνον ἐποίησεν, ἐπὶ θατέρῳ μόνῳ νεύρῳ βλαβέντι· καὶ μέν τοι καὶ θαυμαστὸν ἐδόκει πᾶσιν, ὅτι μήτε τῆς τραχείας, μήτε τοῦ λάρυγγος παθόντων τι, τὴν φωνὴν βλαβῆναι συνέβη· δειχθέντων δ᾽ αὐτοῖς ὑπ᾽ ἐμοῦ τῶν φωνητικῶν νεύρων, ἐπαύσαντο θαυμάζοντες. ἐφ᾽ ὧν οὖν ἤτοι γ᾽ ὕλης ἢ δυνάμεως ἡ χορηγία διαφθείρεται, πιθανῶς ἄν τις λέγοι βεβλάφθαι τὴν ἐνέργειαν, ἀβλαβοῦς φυλαττομένου τοῦ ποιοῦντος αὐτὴν μορίου· τὸ δ᾽ ὑπὸ χυμῶν ἢ ἀτμῶν ἑτέρωθεν ἡκόντων εἰς αὐτὸ βλαπτόμενον οὐκ ἂν εἰκότως ἀπαθὲς

obftruendo; iccirco vocalis inftrumenti maxime proprius affectus eft, ac deinceps externorum ipfius musculorum noxa; caeterarum vero partium omnium, quarum meminimus, non proprius, fed per confenfum potius affectus eft. Quum ergo ex cervice quidam ftrumas in profundo fitas excideret, ac deinceps ne fecaret aliquod vas, membranas non fpecillo caederet, fed unguibus evelleret, imprudens ob ignorantiam fimul recurrentes nervos diftraxit; atque hoc pacto puerulum liberavit a ftrumis, fed mutum reddidit. Quidam alius in alio puero fectionem faciens, ipfum fimiliter femimutum reddidit, laefo videlicet altero duntaxat nervo. Mirabantur vero omnes, quod neque aspera arteria neque gutture quicquam affecto, vocem laedi contingeret; at quum vocales nervos illis demonftraffem, admirari defierunt. Quibus igitur partibus vel materiae vel facultatis fuppeditatio corrumpitur, actionem laedi probabiliter aliquis dixerit; parte ipfam faciente nequaquam laefa: at vero fi vel a vaporibus, vel humoribus aliunde ad ipfam venientibus laedatur, eam non

εἶναι λέγοιτο· πιθανῶς δ᾽ οὐδὲν ἧττον ἄν τις λέγοι κἀπὶ τῶν γε στερισκομένων ὕλης τινὸς ἢ δυνάμεως βεβλάφθαι τὸ μόριον, εἴ γε ἐν τῷ παραλαμβάνειν ταῦτα τὴν κατὰ φυσιν εἶχε διοίκησιν. ὥστε κἀκ τῆς τοιαύτης εἰς ἑκάτερον ἐπιχειρήσεως ἄχρηστος φαίνεται τῶν λογικῶν προβλημάτων ἡ σκέψις, οὐδὲν οὔτ᾽ [397] εἰς τὴν διάγνωσιν τῶν παθῶν οὔτ᾽ εἰς τὴν ἴασιν οὔτ᾽ εἰς τὴν τῶν ἀποβησομένων πρόγνωσιν ὠφελοῦσα. θέασαι γοῦν, ὅπως ἐγὼ μηδ᾽ ἁψάμενος αὐτῆς διηγήσομαι θεραπείαν ἐκ τῆς τοῦ πεπονθότος τόπου γνώσεως εὑρεθεῖσαν. ἔχων τις ἐπικείμενον φάρμακον τοῖς τρισὶ δακτύλοις τῆς χειρὸς, ἔφασκε τριάκονθ᾽ ἡμερῶν ἤδη τὴν αἴσθησιν αὐτῶν ἀπολωλέναι, τῆς κινήσεως ἀβλαβοῦς φυλαττομένης, ὀνίνασθαί τε μηδὲν ὑπὸ τῶν ἐπιτιθεμένων φαρμάκων. ὅπερ οὖν εἴωθα ποιεῖν ἐπὶ τῶν τοιούτων, οὐδὲ τότε παρέλιπον, ἀλλ᾽ ἠρώτησα καλέσας τὸν προνοούμενον αὐτοῦ τῶν δακτύλων ἰατρὸν, ὁποίοις τισὶ χρησάμενος εἴη φαρμάκοις· ὡς δὲ τοῖς προσήκουσιν εὗρον, ἐζήτουν τὴν αἰτίαν τοῦ μηδὲν ὠφελεῖσθαι τὸν ἄνθρωπον,

recte dixeris affectam non effe. Neque minus etiam probabiliter quis dixerit, partem vel materia vel facultate privatam laefam effe, fi his recipiendis, difpenfationem fecundum naturam habebat. Proinde ex hujusmodi in utramque partem argumentatione logicorum problematum confideratio inutilis apparet, neque ad effectuum dignotionem, neque ad curationem, neque etiam ad futurorum eventuum praefagia, quicquam conferens. Animadverte ergo, quomodo curationem ex affecti loci notitia inventam, hac confideratione neglecta, narrabo. Quidam habens medicamentum tribus manus digitis adhibitum dixit triginta jam diebus ipforum fenfum fe deperdidiffe, illaefa fervata motione, nihilque praefidii ab impofitis medicamentis percipere. Ego vero id, quod in hujusmodi cafibus facere confuevi, ne tunc quidem oblivioni tradidi; fed vocatum medicum, qui digitorum ejus curationem fusceperat, interrogavi, cujusmodi remedia adhibuiffet; quae quum intelligerem ad hanc rem effe idonea, caufam inveftigare coepi, cur nullum ab ipfis homo praefi-

ἠρώτων τε τὰ προηγησάμενα συμπτώματα. τοῦ δὲ μήτε φλεγμονήν τινα μήτε ψύξιν μήτε πληγὴν αὐτῷ προηγήσασθαι φάντος, ἀλλ' ἐκ τοῦ κατὰ βραχὺ τὴν αἴσθησιν ἀπολέσθαι, θαυμάζων πάλιν ἠρόμην, εἰ μὴ τῶν ἀνωτέρω τι μορίων ἐπλήγη. τοῦ δὲ κατὰ μὲν τὴν χεῖρα μηδὲν εἰπόντος, ἐν ἀρχῇ δὲ τοῦ μεταφρένου πληγῆναι φάσκοντος, αὖθις ἠρόμην ὅπως τε καὶ ὁπότ' ἐπλήγη. καὶ μέντοι καὶ ἀποκριναμένου, κατὰ τὴν εἰς Ῥώμην ὁδὸν ἡνίκ' ἐξέπεσε τοῦ ὀχήματος εἶναι τὸν χρόνον οὐ πολὺ πρότερον ἢ τοὺς δακτύλους ἄρξασθαι πάσχειν, ἐτεκμηράμην ἐν τῇ πρώτῃ τοῦ μετὰ τὸν ἕβδομον σπόνδυλον νεύρου διεκπτώσει μόριόν τι ἐπὶ τῇ πληγῇ φλεγμῆναν σκιῤῥώδη διάθεσιν ἐσχηκέναι. τοῦτο δ' ἐνόησα, μεμαθηκὼς διὰ τῆς ἀνατομῆς, ὅτι τὰ νεῦρα κατὰ περιγραφὴν μὲν ἰδίαν, ὡς αἱ φλέβες, ἐκφυόμενα φαίνονται, καὶ δόξαις ἂν ἓν ἀκριβῶς ἕκαστον αὐτῶν ὑπάρχειν, ὥσπερ καὶ τὴν φλέβα· τὰ δ' ἐστὶν εὐθέως ἀπὸ τῆς ἀρχῆς πολλὰ, σφιγγόμενα ἅπαντα καὶ συνεχόμενα κοινοῖς περικλήμασιν ἀπὸ τῶν μηνίγγων ἐκπεφυκόσιν. καὶ τοίνυν τοῦ τελευταίου τῶν ἐκ τοῦ τραχήλου

dium confequutus fuiffet, inquirens quae praeceſſerant fymptomata. Ipfo autem dicente, neque inflammationem, neque refrigerationem, neque ictum praeceſſiffe, fed paulatim fenfum periiffe, captus admiratione, rurfus interrogavi, num fuperiorum partium aliqua icta fuiffet, ille refpondit, manum quidem non fuiffe ictam, fed dorfi initium fuiffe. Deinde quomodo et quando id accidiffet quum interrogarem, refpondit, fe, quum Romam proficifceretur, a vehiculo decidiffe, ac non multo poft digitorum incepiffe affectum. Quocirca conjecturam feci, in primo delapfu nervi poft feptimam vertebram prodeuntis partem quampiam ob ictum inflammatam fcirrhofum induiffe affectum. Id vero intellexi, doctus ex anatome, quod nervi per propriam circumfcriptionem, veluti venae, exoriri videantur, adeo ut unumquemque eorum exquifite unum effe putes, quemadmodum et venam; verum protinus ab origine multi funt, fimul concreti et communibus involucris contenti, quae a cerebri meningibus exoriuntur. Ergo nervorum, qui a cervice prod-

Ed. Chart. VII. [397.] Ed. Baf. III. (257.)

νεύρων ἡ ταπεινὴ μοῖρα πρὸς τοὺς μικροὺς ἀφικνεῖται δακτύλους, εἰς τὸ περιέχον αὐτοὺς διασπειρομένη δέρμα, καὶ προσέτι τοῦ μέσου δακτύλου τὸ ἥμισυ μέρος· ὅπερ δὴ καὶ θαυμασιώτατον ἐδόκει τοῖς ἰατροῖς, ὅτι τὸ ἥμισυ μόνον ἐφαίνετο πεπονθός· ἐμὲ δ' αὐτὸ τοῦτο προσήγαγε μᾶλλον, ὡς ἐκεῖνο μόνον εἴη τοῦ νεύρου τὸ μέρος πεπονθὸς, ὃ κατὰ τὸν πῆχυν ἀποφυόμενον αὐτοῦ τελευτᾷ πρὸς τοὺς εἰρημένους δακτύλους· ἀποῤῥῖψαί τε κελεύσας τὸ φάρμακον, ὃ κατ' αὐτῶν ἐπέκειτο, κατ' ἐκεῖνο μάλιστα τῆς ῥάχεως ἐπέθηκα τὸ μέρος, ὃ τὴν ἀρχὴν εἶχε τοῦ πάσχοντος μορίου. καὶ οὕτως συνέβη, καθάπερ ἐδόκει τοῖς ὁρῶσι, θαυμάσιόν τε καὶ παράδοξον, οἱ τῆς χειρὸς δάκτυλοι διὰ τῶν ἐπιτιθεμένων τῇ ῥάχει φαρμάκων θεραπευόμενοι. κἀπειδὴ τελέως ἀπηλλάγη τοῦ πάθους, ζήτησις ἐγένετο τοῖς ἰατροῖς, ἥτίς ποτ' ἦν ἡ διάθεσις τῶν νεύρων, ἐν ᾗ τὴν μὲν κίνησιν αὐτῶν σώζεσθαι συμβαίνει, τὴν δ' αἴσθησιν ἀπόλλυσθαι. κἀγὼ τὸ λελεγμένον ἤδη τισὶ τῶν ἔμπροσθεν ἰατρῶν εἶπον, ὡς ἡ μὲν αἴσθησις ἐν τῷ πάσχειν, ἡ δὲ κίνησις ἐν τῷ ποιεῖν τι γίνοιτο· καὶ διὰ τοῦτο ῥώμης μὲν

eunt ultimi, humilior pars ad minores pervenit digitos, per cutem disperſa ipſos continentem, ac praeterea per medii digiti medietatem; quod etiam caeteros medicos in maximam duxit admirationem, quod dimidia duntaxat pars videretur affecta; id vero mihi perſuaſit potiſſimum, eam tantum nervi partem, quae in cubito ab ipſo egrediens jam propoſitis digitis finitur, eſſe affectam. Igitur adhibitum eis medicamentum abjicere jubens, illi praecipue ſpinae parti, quae affectae partis initium obtinebat, ipſum adaptavi; ſecutaque eſt res, ut aſpicientibus videbatur, et admirabilis et inopinata, quod digiti manus, adhibitis ſpinae medicamentis, eſſent curati. Verum affectu omnino ſummoto, orta eſt inter medicos quaeſtio, quisnam ſit ille nervorum affectus, per quem ſervato eorum motu, ſenſus pereat. Atque ego id ipſum dicebam, quod priores jam medici dixerant quidam, quod ſcilicet ſenſus patiendo, motus vero faciendo aliquid ſit; quapropter, ut quis moveatur, opus eſt robore; ſed ut

Ed. Chart. VII. [397. 398.] Ed. Baf. III. (257. 258.)

δεῖ τῷ κινήσοντι, τῷ δ᾽ αἰσθησομένῳ καὶ ἡ βραχυτάτη δύναμις ἀρκεῖ. δόξαντος δ᾽ αὐτοῖς ὀρθῶς εἰρῆσθαι τοῦ λόγου, τί οὖν, εἶπον, οὐ καὶ τοὐναντίον ἐθεάσασθέ ποτε, τῆς αἰσθήσεως σωζομένης ἐκλελοιπυῖαν τὴν κίνησιν; οἱ μὲν οὖν ἄλλοι σχεδὸν πάντες οὐδέποθ᾽ [398] ἑωρακέναι τοῦτ᾽ ἔφασαν, εἷς δέ τις ὡμολόγει, καὶ τοὔνομά γε τοῦ παθόντος ἔλεγε, καὶ μάρτυρας ἐπηγγέλλετο παρέξειν. δόξαντος δὲ τούτου μάχεσθαι τοῖς εἰρημένοις ἐπὶ (258) τῶν κινουμένων μὲν μορίων, οὐ μὴν αἰσθανομένων· ὅσον μὲν γὰρ ἐπ᾽ ἐκείνῳ τῷ λόγῳ, παντάπασιν ἀδύνατόν ἐστιν ἀπωλωλυίας αἰσθήσεως ἔτι κινεῖσθαι κατὰ προαίρεσιν· αὖθις ἐδέοντό μου τὴν αἰτίαν ἀκοῦσαι τῶν φαινομένων ἀμφοτέρων. ἔστι δὲ σαφὴς τοῖς ἐπισταμένοις ἀνατομῆς νεύρων, οὖσα τοιάδε· ἅπασα μὲν ἡ καθ᾽ ὁρμὴν κίνησις ὑπὸ μυῶν γίνεται· νεῦρον γὰρ οὐδέν ἐστιν αὐτὸ καθ᾽ ἑαυτὸ χωρὶς μυὸς οὐδὲ μίαν ἐργαζόμενον ἐν τοῖς τοῦ ζώου μορίοις οὐδαμόθι τοιαύτην ἐνέργειαν, ἀλλὰ διὰ μέσων τῶν μυῶν πάσας τὰς προαιρετικὰς ὀνομαζομένας κινήσεις ἐπιτελεῖ. καθήκουσιν δ᾽ εἰς τὰ κινηθησόμενα μόρια

ſentiat, vel minima facultas ſufficit. Quumque recte me hunc dixiſſe ſermonem putarent, quid igitur, inquam, nunquid vidiſtis aliquando contra evenire, ut ſervato ſenſu motus periret? Tum caeteris omnibus ſe nunquam conſpexiſſe dicentibus, unus id conſitebatur, ac nomine laborantis citato, teſtes quoque ſe adhibiturum pollicebatur; quod quum pugnare videretur cum enarratis de partibus, quae moventur quidem, non vero ſentiunt; etenim quod ad hanc rationem pertinet fieri haudquaquam poteſt ut, perdito ſenſu, motus a voluntatis imperio prodiens ſervetur; rurſus orabant, ut cauſam explicarem, quamobrem utraque appareant. Ea vero plana eſt iis, qui nervorum diſſectionem didicerunt, talisque eſt. Omnis voluntarius motus a musculis perficitur; nullus enim nervus per ſe ſine musculo ullam hujusmodi in animantis partibus actionem efficit, ſed per medios musculos omnes a voluntate prodeuntes motus perficit. Ad partes vero movendas musculi ipſi aliquando

Ed. Chart. VII. [398.] Ed. Bas. III. (258.)

ποτὲ μὲν ἄντικρυς οἱ μύες αὐτοὶ, ποτὲ δὲ διὰ μέσων τενόντων, οὓς ἀπονευρώσεις ἔνιοι προσαγορεύουσιν. ἐκ τούτου τοῦ γένους εἰσὶ καὶ οἱ τοὺς δακτύλους κινοῦντες τένοντες, ὁμοίως τοῖς τόνοις ὀνομαζομένοις ὑφ᾽ Ἱπποκράτους περιφερεῖς. ἐὰν μὲν οὖν τὰ τῶν μυῶν νεῦρα πάθῃ, τὴν κίνησιν ἀπολλύουσιν οἱ δάκτυλοι· τῶν δ᾽ εἰς τὸ δέρμα παραγινομένων παθόντων ἡ κατὰ τὴν ἁφὴν αἴσθησις διαφθείρεται· κατὰ δὲ τὰς ὅλων τῶν κώλων παραλύσεις, ὡς ἂν τῆς κοινῆς ἀρχῆς πεπονθυίας, ἀμφότεραι συναπόλλυνται, κινήσεις τε καὶ αἰσθήσεις. καὶ τόν γε πρωτοπαθοῦντα τόπον ἐκ τοῦ πλήθους τῶν βεβλαμμένων νεύρων μόνον ἔστιν ἐξευρεῖν, ἐάν γέ τις ἀκριβῶς ἴδῃ τὰς κοινὰς αὐτῶν ἀρχὰς, ἃς ἐν τῇ τῶν νεύρων ἀνατομῇ διῆλθον, οὐδενὸς τῶν πρὸ ἐμοῦ τὴν ἀνατομὴν ταύτην ἀκριβώσαντος, ἀλλὰ τῶν μὲν μεῖζον, τῶν δ᾽ ἔλαττον σφαλέντων. ὁ δ᾽ οὖν γεγυμνασμένος ἐν αὐτοῖς μόνος ἀκριβῶς λογίζεσθαι δύναται, κατὰ τίνα σπόνδυλον ὁ νωτιαῖος ἔπαθεν, ἤτοι γε ὅλος, ἢ τὸ ἕτερον αὐτοῦ μέρος· ἔστιν ὅτε γὰρ ἐν τῷ δεξιῷ μόνον αὐτοῦ μορίῳ τὸ πάθος ἐστὶ,

quidem manifeste perveniunt, aliquando vero per medios tendones, quos aponeuroses aliqui cognominant; atque ex hoc genere sunt tendones, quibus digiti moventur, similiter iis, qui toni ab Hippocrate nominantur, rotundi. Si itaque musculorum nervos affici contingat, motus digitorum perit; si vero eos qui ad cutem perveniunt, tangendi sensus corrumpitur; sed ubi tota resolvuntur membra, quum videlicet commune principium affectum est, simul et sensus et motus pereunt. Et locum quidem primario affectum ex laesorum nervorum multitudine duntaxat invenire licet, si quis exquisite cognoverit communia ipsorum principia, quae in nervorum dissectione percurrimus, quum nullus ante me hujusmodi dissectionem accurate tractasset, sed alii plus, alii minus, errassent. Igitur solus ille, qui in ipsis fuerit exercitatus, exquisite considerare poterit, in qua vertebra spinalis medulla sit affecta, sive tota, sive altera ejus pars; nam accidit aliquando, ut dextra ipsius pars duntaxat affecta sit,

μηδὲν θατέρου παθόντος· ἢ πάλιν τοὐναντίον, ἀπαθὲς μὲν ἔμεινε τοῦτο, μόνον δ᾽ ἔπαθε τὸ εὐώνυμον· καὶ κατὰ τοῦτο ποτὲ μὲν ἅπαντα τὰ ἐν τοῖς εὐωνύμοις παραλύεται, τῶν δεξιῶν ἀπαθῶν φυλαττομένων, ἐνίοτε δ᾽ ἔμπαλιν ἔπαθέ τε καὶ παρελύθη τὰ δεξιὰ μέρη μόνον. μηδὲν μέντοι παθόντος αὐτοῦ τοῦ νωτιαίου, μόνης δὲ μιᾶς ἐκφύσεως νεύρου, τῶν μορίων ἐκείνων παρακολουθεῖ παράλυσις, εἰς ἃ τὸ νεῦρον διασπείρεται· καὶ μὴν καὶ δύο καὶ τρεῖς ἐνίοτε μόναι τῶν ἐκφύσεων ἔπαθον, ἀπαθοῦς τοῦ νωτιαίου φυλαχθέντος. οὕτως γοῦν ἐπεπόνθει καὶ ὁ τἄλλα τῆς χειρὸς ἅπαντα παραλυθεὶς, ὡς μήτε αἰσθάνεσθαι μήτε κινεῖσθαι, κατὰ δὲ τοὺς τρεῖς δακτύλους μόνους ἔχων διασωζομένην τὴν αἴσθησιν. ἄλλῳ δ᾽ οὐκ αὐτὴ μόνον, ἀλλὰ καὶ αἱ κινήσεις ἐσώζοντο τῶν μυῶν ἐκείνων, εἰς οὓς ἡ μετὰ τὸν ἕβδομον σπόνδυλον ἔκφυσις διενέμετο. καί τις ἄλλος ἐκ καταπτώσεως σφοδρᾶς ἐκείνους μόνους τοὺς μῦς παρελύθη τοὺς ἐκ τούτου τοῦ νεύρου λαμβάνοντας μόρια· τῷ δ᾽ αὐτῷ τούτῳ καὶ τοῦ δέρματος ἐκεῖνα μόνα τὴν αἴσθησιν ἀπώλεσεν, ὅσα

altera nequaquam laefa; aut e contrario, ut illa manente integra, fola finiftra affectum ferat; atque hac ratione interdum tota pars finiftra refolvitur, dextra parte manente illaefa; interdum contra dextra pars duntaxat et affecta eft et refoluta. Ubi vero non affecta fpinalis medulla eft, fed tantum unus nervi proceffus laefus, earum duntaxat partium refolutio fequitur, in quas nervus ille diftribuitur; atque interdum duo, aut tres duntaxat nervorum proceffus affecti funt, quum interim fpinalis medulla citra affectum fervetur. Sic igitur affectus erat is, qui per reliquas manus partes omnes ita fuit refolutus, ut neque fentiret, neque moveretur, in folis tribus digitis fenfum habuit fuperftitem. Alteri non folum ipfe fenfus, fed etiam eorum musculorum, in quos nervorum propago fub feptima vertebra exorta diftribuitur, motus fervati funt. Atque alius ob cafum ab alto vehementem folos eos musculos refolutos habuit, qui hujus nervi partes fuscipiunt; idem etiam ille in iis duntaxat cutis par-

Ed. Chart. VII. [398. 399.] Ed. Baf. III. (258.)
παρὰ τοῦ λελεγμένου νεύρου τὰς ἀπονεμήσεις ἐλάμβανεν. ὅστις οὖν βούλεται γνωρίζειν, ἐν ποίῳ σπονδύλῳ τὸ πάθος ἐστὶν, ἤτοι μόνης τῆς ἐκφύσεως νεύρου τινὸς, ἢ καὶ τοῦ νωτιαίου μυελοῦ, κατὰ τὴν τῶν νεύρων ἀνατομὴν γυμνασάσθω, μέθοδον [399] ἔχων ἐν ἅπασι κοινὴν, τοὺς παραλυθέντας μῦς ἐπισκοπεῖν ἅμα τῷ τὴν αἴσθησιν ἀπολωλεκότι δέρματι. τοῦ μὲν γὰρ νωτιαίου παθόντος ὅλου κατά τινα σπόνδυλον, ἅπαντα τὰ κάτω μέρη παραλύεται· κατὰ δὲ τὸ ἕτερον μέρος εἰ βλαβείη, θατέρου μένοντος ἀπαθοῦς, ἐν τοῖς κατ' εὐθὺ μέρεσιν ἡ παράλυσις ἔσται μόνον· εἰ δὲ ῥίζα νεύρου πάθοι, τὰ μὲν ἄλλα τὰ κάτω τοῦ πεπονθότος οὐδὲν πείσεται, μόνα δ' ἐκεῖνα παραλυθήσεται τῶν μορίων, εἰς ἃ ἕκαστον τῶν νεύρων διασπείρεται. ταῦτ' οὖν ἐὰν ἀκριβῶς μάθῃς, οὐκέτ' ἐνοχλήσεις τοῖς παραλελυμένοις κώλοις, ἀφεὶς τὴν ῥάχιν, ἀλλ' ἐπ' ἐκείνην ἀφικόμενος ἐκθεραπεύσεις τὸ πεπονθός. οὕτω δὲ κἂν μὴ κατὰ τὴν ῥάχιν, ἀλλὰ κατά τι τῶν μετὰ ταύτην χωρίων τὸ νεῦρον πάθῃ, γνωρίσεις ἐκ τῶν μυῶν τε καὶ τοῦ

tibus fenfum amifit, ad quas praedicti nervi diftributiones demittuntur. Igitur quisquis fcire defiderat, in qua vertebra fit affectus, five in fola nervi cujuspiam propagine, five in fpinali quoque medulla, in nervorum diffectione exercitatus fit, communemque habeat methodum, qua refolutos musculos una cum cute, quae fenfum amiferit, obfervet. Nam fi fpinalis medulla in aliqua vertebrarum tota affecta fit, omnes partes inferiores refolvuntur; fi vero in altera parte laefa fit, altera manente illaefa, in partibus duntaxat illi e directo refpondentibus erit refolutio; fi vero nervi radix affecta fit, reliquae partes omnes affecto loco inferioros nihil afficientur, fed folae illae partes refolventur, in quas finguli nervi diftribuuntur. Haec igitur fi accurate didiceris, refoluta membra, relicta fpina, non amplius vexabis, fed huic adhibitis remediis, partem affectam curabis. Sic etiam, fi non circa fpinam, fed in regione quapiam illam fequente, nervus affectus fit, ex musculis et cute quaeren-

δέρματος. τὸ μὲν οὖν δέρμα ῥᾳδίως γνωρίσεις, ὑποπῖπτόν γε τοῖς ὀφθαλμοῖς· οἱ δὲ μύες ἐκ τῶν ἀπολωλυιῶν ἐνεργειῶν διαγινώσκονται. χρὴ τοίνυν σε καὶ περὶ τῶν μυῶν ἀνατομὴν γεγυμνάσθαι, καὶ γινώσκειν ἥστινος ἕκαστος ἐνεργείας ἐστὶν ὄργανον· οὕτω γὰρ ὑπάρξει σοι μόνως διακρίνειν δύνασθαι, τίνων μὲν ἀπόλλυται μορίων ἡ ἐνέργεια, μηδὲν νόσημα τῆς σωματικῆς οὐσίας αὐτῶν πασχούσης, τίνων δὲ νόσημα προηγεῖται, γινόμενον, ἢ γεγονός. οἶσθα δὲ τά τε γένη τῶν νοσημάτων καὶ τὰς διαφορὰς ἁπάσας ἐν ἑτέρῳ βιβλίῳ γεγραμμένας, ὃ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ἐπιγέγραπται, καθάπερ ἐν ἑτέρῳ περὶ τῆς τῶν συμπτωμάτων διαφορᾶς· ἀλλὰ καὶ περὶ τῆς τῶν αἰτίων ἑκατέρων ἰδίᾳ γέγραπται, καθ' ἓν μέν τι περὶ τῆς τῶν νοσημάτων, ἐν τρισὶ δὲ περὶ τῆς τῶν συμπτωμάτων· ἐν οἷς ἅπασι γεγυμνάσθαι προσήκει τὸν μέλλοντα ῥᾳδίως εὑρήσειν τε καὶ διακρινεῖν αἰτίαν καὶ πάθος καὶ τόπον πεπονθότα. κατὰ συνδρομὰς μὲν γὰρ οὐχ οἷόν τε πάντα διδάξαι, καίτοι γ' ἀξιούντων οὕτω τῶν ἐμπειρικῶν· ἀλλὰ τά τε προηγησάμενα

dae funt notae. Cutem quidem facile cognosces, nam oculis fubjicitur; musculi vero ex actionibus deperditis deprehenduntur. Proinde neceffe eft, circa musculorum fectionem te exercites, et cognoscas, cujus quisque actionis fit inftrumentum; fic enim duntaxat discernere poteris, quarum partium actio pereat, nullo morbo corpoream ipfarum fubftantiam afficiente; in quibus praecedat morbus, vel qui fiat, vel factus. Verum morborum genera et differentias omnes in altero libro fcriptas didiciffi, qui de morborum differentiis infcriptus eft, atque fimiliter in alio fymptomatum differentias; at de caufis utrorumque etiam feparatim fcriptum eft, in uno quidem de morborum, in tribus vero de fymptomatum; in quibus omnibus exercitari oportet eum, qui facile voluerit invenire discernereque et caufam et morbum et fedem affectam. Etenim fieri non poteft, ut omnia per fyndromas doceantur, quamvis empiricorum ea fit opinio; qui vero accurate et praecedentia et praefentia cogno-

καὶ τὰ παρόντα συμπτώματα γνοὺς ἀκριβῶς τις, ἐπί τε τὴν διὰ τῆς θεραπευτικῆς μεθόδου πεῖραν ἀφικόμενος, εὑρήσει τὸ πεπονθὸς ἅμα τῇ διαθέσει. καὶ πλεῖστον τοῦτ᾽ ἔστιν ἐπὶ τῶν ἐν τῷ βάθει τοῦ σώματος τεταγμένων μορίων, ὡς ὀλίγον ἔμπροσθεν ἐπὶ τὴν αἴσθησιν ἢ κίνησιν ἀπολλύντων ἐδείξαμεν. ἴσως μὲν οὐδὲν χεῖρον ἔτι παραγράψαι τινὰ τῶν γεγονότων, ὁποῖα καὶ ταῦτ᾽ ἐστίν. παιδίον ὡς ἐτῶν ἓξ ἀκουσίως ἀποπατεῖν ἤρξατο, παραλυθέντος ἐξαίφνης αὐτῷ τοῦ κατὰ τὴν ἕδραν μυός· ἐγένετο δὲ καὶ γέροντί ποτε τοιοῦτον σύμπτωμα· καί τινι πάλιν ἑτέρῳ παιδίῳ περὶ τεσσαρεσκαιδεκάτην ἡλικίαν ἀκούσιος ἔκκρισις ἐγένετο διαχωρημάτων, ἅμα τοῖς κατὰ τὴν κύστιν ἀλγήμασι, καὶ ἄλλῳ μετὰ τῆς τῶν οὔρων ἐπισχέσεως· ἄλλῳ δὲ πάλιν ἀκουσίως ἐξεκρίνετο τὰ οὖρα, καὶ ἄλλῳ καὶ ταῦτα καὶ τὰ διαχωρήματα. χρὴ τοίνυν ἐπὶ τῶν τοιούτων ἁπάντων πυνθάνεσθαι τὰ προγεγονότα· τοὐπίπαν γὰρ ἤτοι ψύξις τις ἢ πληγὴ κατὰ ῥάχιν αὐτῶν ἡγεῖται· ἡ μὲν ψύξις, ἕνα μόνον τὸν πεπονθότα βλάπτουσα μῦν, ἡ πληγὴ δὲ

verit fymptomata, atque fic ad methodi medendi experientiam venerit, inveniet locum affectum fimul cum ipfo affectu. Atque id maxima ex parte accidit partibus, quae in intimo corpore conftituuntur, uti paulo ante de iis, qui fenfum vel motum perdunt, demonftravimus. At nihil deterius fortaffis fuerit narrare quaedam jam facta, cujusmodi haec funt. Puer annorum fere fex invitus per alvum excrementa dejicere coepit, refoluto derepente circa fedem musculo; quinetiam feni quondam hujusmodi evenit fymptoma; atque rurfus alius puer, aetatis fere annorum quatuordecim, excrementa invitus per alvum deiecit, infeftante fimul veficam dolore, atque alteri urina quoque fuppreffa; contra alius urinam invitus excrevit, atque alius non folum urinam, fed alvi quoque excrementa. In hujusmodi omnibus ea, quae praeceffierunt, fcrutari oportet; prorfus enim vel perfrigeratio quaedam vel ictus in fpina praeceffit; frigus quidem uni duntaxat affecto musculo nocet; ictus vero

Ed. Chart. VII. [399. 400.] Ed. Baf. III. (258. 259)

πλείους ὡς τὰ πολλά· πάνυ γάρ ἐστι σπάνιον ἐπὶ πληγῇ ῥάχεως ἕνα μῦν παθεῖν, ὡς ἂν τῶν ἐκφυομένων τοῦ νωτιαίου νεύρων εἰς πλείονας μῦς κατασχιζομένων. ἀλλὰ καὶ διὰ πληγὴν αὐτοῦ τοῦ πεπονθότος μυὸς, ἀμεληθείσης ἐνίοτε καὶ σκιῤῥωθείσης τῆς ἐπιγενομένης, ἠκολούθησε παράλυσις αὐτοῦ· ἔσται δὲ καὶ τοῦτο σπάνιον· ἀλλ᾽ ἥ γε ψύξις ἔβλαψε πολλάκις ἕνα μῦν, καὶ μάλιστα τῶν ἐπιπολῆς κατὰ τὴν ἕδραν, ἤτοι καθίσαντος ἐπὶ ψυχροῦ λίθου τινὸς, ἢ ἐν ὕδατι [400] ψυχρῷ διατρίψαντος ἐπιπλέον. ὁ γοῦν παῖς ὁ βλαβεὶς τὴν κύστιν τε καὶ κατὰ τὴν ἕδραν, ἐν ποταμῷ θηρεύων ἰχθῦς, ἔπαθεν οὕτως· ἐνίοις δὲ νηξαμένοις ἐν ὕδατι ψυχρῷ τὸ τοιοῦτο συνέβη. τοὺς μὲν οὕτω παθόντας ἰάσασθαι (259) προσήκει θερμαίνοντα βοηθήματα τοῖς πεπονθόσιν τόποις προσφέροντας· οἷς δὲ τῶν ἀπὸ τοῦ νωτιαίου νεύρων ἔπαθέ τι, τῇ ῥάχει προσακτέον τὰ βοηθήματα. πολλάκις γε μὴν ἐπὶ καταπτώσεσιν ἀφ᾽ ὑψηλοῦ τόπου γενομέναις, ἢ πληγαῖς σφοδραῖς, ἰσχυρῶς παθούσης τῆς ῥάχεως, ἡ φλεγμονὴ μέχρι πλειόνων ἐκτα-

magna ex parte pluribus; nam perrarum eſt, ut icta ſpina unus aſſiciatur musculus, quoniam nervi ex ſpinali medulla orti in plures musculos dividuntur. Verum et ob ictum affecti musculi, oborta inflammatione neglecta et in ſcirrhum coacta, reſolvi aliquando ipſum contigit; quanquam id raro accidet; at vero frigus ſaepenumero unum laedit musculum, maxime eum qui in ſuperſicie ſedis eſt, ſive ſederit quis ſuper lapidem frigidum, ſive in aqua frigida ſupra modum fuerit verſatus. Igitur puer, cujus et veſica et ſedes laeſa fuit, quum in fluvio pisces venaretur, ſic fuit affectus; nonnullis etiam in aqua frigida natantibus itidem accidit. Itaque ſic affectos curare oportet calefacientia auxilia locis affectis adhibendo. Quibus vero nervorum a dorſi medulla ortorum quispiam fuerit affectus, ſpinae adhibenda ſunt remedia. At ſaepenumero ubi caſu ex alto aut vehementi fortique ictu ſpina laeſa eſt, inflammatio ad plures partes extenſa non

θεῖσα μορίων οὐ μόνους τοὺς μῦς ἔβλαψεν, ἀλλὰ καὶ τὴν κύστιν· ἐφ' ὧν ἴσχεται τὰ οὖρα, διὰ τὸ τὴν κύστιν αὐτὴν παθεῖν· ἐνίοις δ' οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ διαχωρήματα τελέως ἐπεσχέθη, παθόντων δηλονότι τῶν ἐντέρων. ὥσπερ γὰρ οἱ μύες εἰς τὰς προαιρετικὰς ἐνεργείας βλάπτουσι παθόντες, οὕτω τὰ ἔντερα καὶ ἡ κύστις εἰς τὰς φυσικὰς, ἐπειδὴ περιστελλομένων αὐτῶν ἐκκρίνεται τὰ περιεχόμενα.

Κεφ. ζ. Καὶ διαφέρει πάμπολυ κατὰ τοῦτο τὰ φυσικὰ τῶν ψυχικῶν ὀργάνων, εἴγε τοῖς μὲν φυσικοῖς ἐδείχθη σύμφυτος ἡ τῆς ἐνεργείας δύναμις οὖσα, τοῖς ψυχικοῖς δὲ ἀπὸ τῆς ἀρχῆς ἐπιῤῥεῖν ὁμοίως ἡλιακῷ φωτί. καθάπερ οὖν ἡ μαγνῆτις λίθος ἐν ἑαυτῇ δύναμιν ἔχει, καθ' ἣν ἕλκει τὸν σίδηρον, οὕτω καὶ τῶν φυσικῶν ὀργάνων ἕκαστον, ὥστε εἴπερ ἦν μόνιμος αὐτῶν ἡ οὐσία, μηδὲν δεῖσθαι μήτ' ἀρτηριῶν μήτε φλεβῶν· ἐπεὶ δὲ καὶ τρέφεσθαι δεῖται, καὶ τὴν συμμετρίαν φυλάττειν τῆς ἐμφύτου θερμασίας, διὰ τοῦτ' αὐτοῖς ἐδέησε φλεβῶν καὶ ἀρτηριῶν.

folum musculis, fed veficae quoque noxam intulit; atque illis ob veficae ipfius affectum urina fupprimitur; funt quibus non folum urina, fed alvi quoque excrementa penitus retinentur, affectis fcilicet inteftinis; nam ut musculi affecti actiones voluntarias, ita vefica et inteftina naturales actiones laedunt, quod ipfis contractis excernantur ea quae continent.

Cap. VII. Atque hac in re plurimum differunt naturalia ab animalibus inftrumentis; fiquidem naturalibus innatam actionis facultatem effe, animalibus vero a principio, veluti lumen a fole, defluere oftenfum eft. Ergo ut magneti lapidi facultas ineft, qua ferrum attrahit, ita naturalium inftrumentorum unicuique; ita ut fi permanens effet ipforum fubftantia, neque arteriis, neque venis indigerent; verum quia nutrimento egent, fervataque innati caloris fymmetria, hanc ob caufam et venis indigent et arteriis.

οἱ δὲ μύες ἕνεκα μὲν τοῦ φυλάττεσθαι τὴν οὐσίαν αὐτῶν, ὡσαύτως δέονται φυσικοῖς τοῖς ὀργάνοις ἀρτηριῶν καὶ φλεβῶν· ὅτι δ᾽ οὐκ ἔχουσι σύμφυτον αἰσθήσεώς τε καὶ κινήσεως ἀρχὴν, διὰ τοῦτο τῶν νεύρων ἀεὶ χρήζουσι, χορηγούντων αὐτοῖς ταῦτα, καθάπερ ὁ ἥλιος τὴν αὐγὴν ἅπασιν οἷς φωτίζει. καὶ διὰ τοῦτό γε μόνον τοῖς αἰσθανομένοις τε καὶ κινουμένοις μορίοις συμβαίνει, μηδὲν ἐνίοτε βεβλαμμένοις αὐτοῖς, ὅμως ἀπολλύναι τὴν ἐνέργειαν· οὐ μὴν τοῖς φυσικοῖς ὀργάνοις τοῦτό γε συμπίπτειν εἴωθεν, ἀλλ᾽ ἀεὶ τῆς κατὰ τὴν ἐνέργειαν βλάβης αὐτὰ πάσχει πρότερα. καὶ μέντοι καὶ τοῖς ψυχικοῖς ὀργάνοις ἅπασιν ἡ φυσικὴ διοίκησις ὑπάρχει, καὶ χρήζουσί γε καὶ αὐτὰ τῆς τῶν ἀρτηριῶν καὶ φλεβῶν ἐπικουρίας φυλάττειν τὴν οὐσίαν αὐτῶν· καὶ χρὴ σκοπεῖσθαί σε μάλιστα καὶ διορίζεσθαι, τίνα μὲν ὡς ψυχικοῖς, τίνα δὲ ὡς φυσικοῖς συμβαίνει τοῖς ὀργάνοις· οἷον ὅτι τὸ μὲν ἀλλοιοῦσθαι, φέρε εἰπεῖν, ὑπὸ τῶν ὁμιλούντων αὐτοῖς, ὡς φυσικοῖς· τὸ δ᾽ αἰσθάνεσθαι τῆς ἀλλοιώσεως, ὡς ψυχικοῖς· οὕτω γοῦν καὶ κατὰ τοὺς ὀφθαλμοὺς

Mufculi vero, ut fubflantiam fuam fervent, peraeque ac naturalia inftrumenta venis et arteriis indigent; at quia congenitum fenfus et motus principium non habent, idcirco nervis femper indigent, qui illis ea fuppeditent, quemadmodum fol omnibus rebus, quas illuminat, fplendorem. Quamobrem folis partibus fentiendi et movendi vim habentibus accidit, ut ipfis interdum haudquaquam oblaefis, nihilominus actio pereat; at hoc naturalibus inftrumentis accidere non confuevit, fed antequam eorum actio laedatur, femper laborant. Animalibus tamen inftrumentis omnibus naturalis difpenfatio ineft, et arteriarum venarumque adminiculo indigent ad fubflantiam fuam fervandam. Ideo accuratiffime intueri te ac difcernere oportet, quae ut naturalibus, quae ut animalibus organis accidant; ut quod alterari verbi gratia a vicinis fibi, ut naturalibus; alterationem vero fentire, ut animalibus eveniat. Sic igitur oculis quoque faepenumero

Ed. Chart. VII. [400.] Ed. Baſ. III. (259.)

γίνεται πολλάκις. οἱ γὰρ ἀπὸ τῆς γαστρὸς ἀτμοὶ πάντως ἀλλοιοῦσιν αὐτοὺς, οὐ μὴν αἰσθάνονταί γε τῆς οὕτω μικρᾶς ἀλλοιώσεως ἅπαντες, εἰ μὴ καὶ τὴν αἰσθητικὴν δύναμιν ἔχοιεν ἀκριβῆ· λέγω δὲ ἀκριβῆ τὴν καὶ τὰ σμικρότατα βλέπουσαν.

contingit; nam vapores a ventriculo elati ipſos omnino alterant; verum tam exigua alteratio non ab omnibus ſentitur, niſi exquiſitam habeant ſenſificam facultatem; voco autem exquiſitam, quae res cernit etiam minimas.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ ΒΙΒΛΙΟΝ Β.

Ed. Chart. VII. [401.] Ed. Bas. III. (259.)

Κεφ. α'. Πρόκειται μὲν, ὡς Ἐρασίστρατος ἀεὶ παρακελεύεται, γυμνάζειν τὸν λογισμὸν εἴς τε τἄλλα τῆς τέχνης ἔργα καὶ τὰ νῦν ἡμῖν προκείμενα περὶ τὰς διαγνώσεις τῶν πεπονθότων τόπων. εἰσὶ δὲ τρεῖς τρόποι γυμνασίου κατ' αὐτά· πρῶτος μὲν ὁ καθ' ἕκαστον τῶν μορίων τοῦ σώματος, ἃ τόπους ὀνομάζουσι· δεύτερος δὲ ὁ κατὰ τὰς αἰτίας τε καὶ διαθέσεις· καὶ τρίτος ὁ κατὰ τὰς τῶν συμπτωμάτων διαφοράς. ὁ μὲν οὖν κατὰ τοὺς τόπους ἐστὶ τοιόσδέ τις· ἐγκεφάλου πάσχοντος ἴδια συμπτώματα ταυτὶ, γαστρὸς πασχού-

GALENI DE LOCIS AFFECTIS LIBER II.

Cap. I. Scopus est, ut hortatur semper Erasistratus, exercere mentem cum in aliis artis operibus, tum vero in ea, quam nunc proposuimus, affectorum locorum dignotione. Sunt autem circa eam tres exercitationis modi; primus per singulas corporis partes, quas locos nominant; alter secundum causas et affectus; tertius secundum symptomatum differentias. Igitur a locis sumptus modus hujusmodi est: affecti cerebri haec sunt propria symptomata; ven-

Ed. Chart. VII. [401. 402.] Ed. Baf. III. (259.)

σης ἴδια ταυτὶ, κώλου πάσχοντος ἴδια ταυτὶ, καθ' ἕκαστόν τε τῶν ἄλλων ὁμοίως. ὁ δ' ἀπὸ τῶν διαθέσεών τε καὶ τῶν αἰτίων· φλεγμονῆς μὲν ἴδια ταῦτ' ἐστὶ συμπτώματα· σκίῤῥου δὲ ταῦτα· καὶ ψύξεως μὲν ταῦτα· πλήθους δὲ ταῦτα, καὶ διαφθορᾶς ταυτί. κατὰ δὲ τὰ συμπτώματα· τὸ μὲν ἄλγημα τόδε τῶνδε τῶν διαθέσεών ἐστι δηλωτικὸν ἢ τῶνδε τῶν τόπων, ἡ δὲ βὴξ τῶνδε· καὶ κατὰ τὸν αὐτὸν τρόπον ἔμετος, αἱμοῤῥαγία, διάῤῥοια, σπασμὸς, ῥῖγος, φρίκη, παραφροσύνη. διοριζομένων γὰρ οὕτως ἀπ' ἀλλήλων ἁπάντων αὐτῶν, εὐφωρότατον ἔσται τὸ καλῶς καὶ τὸ κακῶς λεγόμενον. ὅτι δ' οὕτως ἔχει ταῦτα, μαθήσῃ σαφῶς ἐφ' ἑκάστου σκοπούμενος.

Κεφ. β'. Οἷον εὐθέως, ἐπειδὴ πλεονάζει κατὰ τοῦτο τὸ γένος ὁ Ἀρχιγένης, ἐκ τῆς τῶν ἀλγημάτων διαφορᾶς ἡγού-[402]μενος δηλοῦσθαι τὰ πεπονθότα μόρια, σκεπτέον ὑπὲρ αὐτῶν ἀκριβῶς. τὸν γοῦν ναρκώδη πόνον ἐπὶ νεύροις γίνεσθαί φησιν, ἁμαρτάνων προφανῶς. ἡ γάρ τοι νάρκη διὰ ψυχρὰν γίνεται διάθεσιν, οὐκ ἐν νεύροις μόνον, ἀλλὰ καὶ φλεψὶ καὶ ἀρτηρίαις καὶ σαρξὶν, ὑμέσι τε καὶ χιτῶσι καὶ

triculi affecti haec propria, coli affecti haec, atque in reliquis fimiliter. Ab affectibus et caufis talis eft: inflammationis propria hujusmodi funt fymptomata, fcirrhi hujusmodi, refrigerationis haec, plenitudinis haec, corruptionis haec. A fymptomatis: hoc doloris genus hosce affectus fignificat, aut hosce locos, tuffis vero hos; ita et vomitus, fanguinis profluvium, fluor alvi, convulfio, rigor, horror, delirium, fi enim haec omnia inter fe hoc pacto diftinguantur, facile intelligetur, quid bene vel male dictum fuerit. Quod vero fic fe res habeat, plane disces, fi fingula confideraveris.

Cap. II. Itaque primo, quandoquidem in hoc genere copiofior eft Archigenes, ex dolorum differentiis locos affectos fignificari exiftimans, exacte de iis confiderandum eft. Stupidum dolorem in nervis fieri dicit, fed plane peccat. Nam ftupor a frigido affectu oritur, non in nervis duntaxat, fed et in venis, arteriis, carnibus, membranis, tunicis et

δέρματι. εἰ δ᾽ ὅτι πάντα ταῦτα διὰ νεύρων ἔχει τὴν αἴσθησιν, καὶ εἰς νεῦρα τὴν διάθεσιν ἀναφέρει, τί οὐχὶ καὶ τὰς ἄλλας ἁπάσας διαφορὰς τῶν ἀλγημάτων ἰδίας τῶν νεύρων εἶναί φησιν; ὁ γάρ τοι πόνος αἴσθησίς ἐστιν ἀνιαρὰ, καθάπερ ἡ ἡδονὴ προσηνὴς αἴσθησις. οὔκουν ὁ ναρκώδης μόνος ἐν νεύροις ἔχει τὴν γένεσιν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἕκαστος, οὓς αὐτὸς ἔγραψεν ὁ Ἀρχιγένης. ἐὰν δ᾽ ἀκριβέστερον ἐπισκοπῇς, οὐδὲ διαφορά τις ἐν πόνοις ὁ ναρκώδης ἐστὶν, ὥσπερ οὐδ᾽ ἐν ἕλκεσι τὸ φλεγμαῖνον, ἀλλὰ μᾶλλον δυοῖν σύνοδος πραγμάτοιν, ὡς ἐπὶ τούτων ἕλκους τε καὶ φλεγμονῆς ἐστιν, οὕτως ἐπ᾽ ἐκείνων πόνου τε καὶ νάρκης. ἡ γάρ τοι νάρκη ψύξις τίς ἐστιν οὐκ ἀγεννὴς, καὶ διὰ τοῦτο δυσαισθησίαν τε καὶ δυσκινησίαν ἐπιφέρει τοῖς οὕτω διατεθεῖσι σώμασιν, ὥσπέρ γε καὶ τὴν τελείαν ἀναισθησίαν τε καὶ ἀκινησίαν ἡ τελεία κατάψυξις. ὅτι δὲ διαθέσεως ὄνομά ἐστιν ἡ νάρκη, καὶ οὐκ αἰσθήσεως ἢ πόνου, δεδήλωται καὶ πρὸς Ἱπποκράτους εἰπόντος ὧδε· νάρκη γὰρ μετρίη ὀδύνης λυτική. γίνεται γὰρ ἡ νάρκη καὶ διὰ ψύξιν, ὡς ὁρᾶται φανερῶς ἐπί τε

cute. Si ob id, quod haec omnia per nervos fenfum habeant, ad nervos affectum refert, cur non et reliquas omnes dolorum differentias proprie ad nervos pertinere dicit? Nam dolor moleftus fenfus eft, ficuti voluptas placidus eft fenfus. Ergo non folum ftupidus *dolor* in nervis habet ortum, verum etiam reliquorum dolorum omnium, quos ipfe Archigenes defcripfit, unusquisque. Quod fi rem accuratius infpexeris, ne doloris quidem fpecies quaedam eft ftupidus dolor, ut neque ulceris fpecies *ulcus* inflammatum, fed duarum potius rerum, ut in his ulceris et inflammationis, ita in illis doloris et ftuporis concurfus eft. Etenim ftupor refrigeratio infignis eft, ac idcirco corporibus ita affectis et fenfus et motus difficultatem inducit, quemadmodum completa perfrigeratio et fenfum et motum omnino tollit. Sed quod ftupor affectionis fit nomen, non fenfus aut doloris, etiam ab Hippocrate fic dicente declaratur: *Stupor enim mediocris dolorem folvit.* Nam ftupor etiam ob refrigerationem fit, ut plane videre eft in his, qui hieme

τῶν ἐν χειμῶνι διὰ κρύους ὁδοιπορησάντων, ἐπί τε τῶν ψυχόντων φαρμάκων, οἷς ἄν τις ἐπὶ πλέον ἔξωθεν χρήσηται, ναρκῶδες ἀποτελεῖται τὸ μόριον, ὥσπέρ γε καὶ παντελῶς ἀναίσθητον ἐν ταῖς ἰσχυροτάταις καταψύξεσιν, οὐκ ἐκ φαρμάκου μόνον, ἀλλὰ κἀκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος γινομέναις. οἶδα γοῦν τινων ὅλους τοὺς πόδας οὕτως ψυγέντας, ὡς εἰς ἀναισθησίαν μὲν πρῶτον ἀφικέσθαι, νεκρωθέντας δὲ ἐν ταῖς ἑξῆς ἡμέραις ἀποσαπῆναι. καθάπερ οὖν καὶ ἡ παντελὴς ψύξις ἀναισθησίαν τε καὶ ἀκινησίαν ἐπιφέρει τελείαν, οὕτως καὶ ἡ μετριωτέρα δυσαισθησίαν (260) τε καὶ δυσκινησίαν· ὀνομάζεται δ᾽, ὡς ἔφην, ἡ τοιαύτη ψύξις νάρκη. καὶ τοίνυν τὸ ναρκῶδες ἄλγημα διάθεσις ἐργάζεται ψυχρά τε ἅμα καὶ ὀδυνηρὰ, δηλούσης τῆς λέξεως οὐκ ὀδύνης διαφορὰν, ὡς ἔφην, ἀλλ᾽ ὀδύνην ἅμα καὶ ἤτοι διάθεσιν ψυχρὰν ἢ τὴν ὑπ᾽ αὐτῆς γινομένην ἐν τῷ μορίῳ δυσαισθησίαν τε καὶ δυσκινησίαν. ἴσμεν δ᾽ ὅτι καὶ τοῖς θλιφθεῖσι μορίοις ἰσχυρῶς ἐγγίνεται νάρκη καὶ τοῖς ἁψαμένοις τοῦ ζώου τῆς νάρκης ἔτι ζώσης. καὶ ὅσοις γε κατά τι τῶν κώλων ἐγένετο νάρκη, τῶν

per frigora proficiscuntur, atque in refrigerantibus quoque medicamentis, quibus ſi quis extrinſecus immodice utatur, pars ipſa ſtupida redditur, quemadmodum et omnino ſenſus expers in vehementiſſimis perſrigerationibus, non ſolum a medicamento factis, ſed etiam a circumſuſo nobis aëre. Equidem novi quosdam adeo reſrigeratis univerſis pedibus, ut primum quidem in ſenſus vacuitatem devenirent, ſequentibus vero deinde diebus emortui putreſcerent. Ergo ut perfecta refrigeratio et ſenſum penitus auſert et motum, ſic moderatior et ſenſus et motus difficultatem inducit, nominaturque, ut dixi, hujusmodi reſrigeratio ſtupor. Itaque ſtupidum dolorem affectus efficit frigidus ſimul et dolorificus, indicante nomine non doloris, ut dixi, differentiam, ſed dolorem ſimul et vel frigidam affectionem vel ab ipſa parti inductam ſenſus et motus difficultatem. Scimus autem, quod conſtrictas vehementer partes, atque eos quoque, qui torpedinem animal, dum adhuc vivit, tetigerint, ſtupor obſideat. Et quibus membrum aliquod ſtuporem patitur, ii

τε ψαυόντων (τὴν) ἀμυδρὰν ἔχουσι τὴν αἴσθησιν, ἀδυνατοῦσί τε κινεῖσθαι, καὶ εἰ βιάζοιτό τις, ὀδυνῶνται· χωρὶς δὲ τοῦ πρὸς τὰς κινήσεις ἔρχεσθαι τοῦ μὲν πάθους τῆς νάρκης αἰσθάνονται σαφῶς, οὐ μὴν ὀδυνῶνταί γε. κακῶς οὖν ὁ Ἀρχιγένης νεύρων ἴδιον εἶναί φησι τὸ ναρκῶδες ἄλγημα, διαθέσεως γάρ ἐστιν, οὐ τόπου πεπονθότος, νάρκη γνώρισμα. καὶ τοίνυν μετ᾽ ὀλίγον πάλιν αὐτὸς ὁ Ἀρχιγένης ἰδίαν εἶναι μυῶν αὐτήν φησιν· ἔχει δ᾽ ἑκατέρα τῶν λέξεων οὕτως, ἡ μὲν προτέρα· τὰ δὲ νεῦρα διατείνεταί τε καὶ σκληρύνεται συστρεφόμενα· καὶ ταῦτα μὲν ναρκώδεις ἐπιφέρει τοὺς πόνους καὶ σκληρῶς διατείνοντας. ἡ δ᾽ ὀλίγον ὕστερον αὐτῆς εἰρημένη ῥῆσίς ἐστιν ἥδε· μύες δὲ σαρκός τε καὶ νεύρου μῖγμα τῶν ἰδιωμάτων, ἀμέλει δὲ καὶ ἀρτηρίας ἐν τοῖς πόνοις ἀναφέρουσι, σφριγῶντες, ὡς ἂν εἴποι τις, καὶ μετ᾽ εὐρυχωρίας διατεινόμενοι, καὶ ναρκῶδες σφύζοντες. τούτων τῶν ῥήσεων ἐν μὲν τῇ προτέρᾳ τὰ [403] νεῦρα ναρκώδεις ἐπιφέρειν τοὺς πόνους φησὶν, ἐν δὲ τῇ δευτέρᾳ τοὺς μῦς ναρκῶδες σφύζειν, οὐ τοῖς πάθεσιν ἀναφέρων τὸ ναρκῶδες, ἀλλὰ τοῖς μορίοις.

quicquid tetigerint, obfcuro et hebeti fenfu percipiunt, neque moveri poffunt, et fi cogantur, dolent; at citra hoc quod moveri tentent, affectum ipfum ftuporis manifefte fentiunt, fed nequaquam dolent. Proinde male Archigenes enunciavit ftupidum dolorem ad nervos proprie pertinere; ftupor enim affectus non loci affecti indicium eft; atque adeo paulo poft rurfus Archigenes proprie ipfum ad musculos pertinere ait, ac dictio utraque fic fe habet, prior quidem: *Nervi autem contorti diftenduntur, et indurantur, atque hi quidem ftupidos inducant dolores et dure intendentes.* Quae vero paulo poft hanc dictio enarratur, haec eft: *Musculi carnis nervorumque propriae fubftantiae mixtura, arteriarum quoque in doloribus* mixtionem *prae fe ferunt, turgentes, ut ita dixeris, atque diftenti ac ftupide pulfantes cum capaci latitudine.* In horum fermonum priore nervos ait ftupidos inferre dolores, in altero vero musculos ftupide pulfare, ftupidum non ad affectus, fed ad par-

ἔστι δ᾽, ὡς εἶπον, οὐ μορίου τινὸς ἴδιον ἡ νάρκη πάθος, ἀλλὰ διαθέσεως, ἅπασι μὲν ἐγγινομένης τοῖς σώμασιν, οὐκ ἐν ἅπασι δ᾽ αἰσθητῶς φαινομένης, ἀλλ᾽ ἐκείνοις μόνοις, ὅσα πέφυκεν αἰσθάνεσθαι τῶν ἐν αὐτοῖς παθῶν, καὶ κινεῖσθαι κατὰ προαίρεσιν. ἀλλὰ καὶ πρὸς τὸ φαινόμενον ἐναργῶς ἐπὶ τῶν μυῶν ὁ λόγος αὐτοῦ μάχεται μετὰ τοῦ ἀδιορίστως εἰρῆσθαι· τάχα δὲ καὶ ἀγνοεῖ, ὡς οὐδαμόθι τοῦ σώματος αὐτὴ καθ᾽ ἑαυτήν ἐστι σὰρξ, ἀλλὰ τῶν μυῶν τὸ μὲν νευρῶδες ἔν τε ταῖς πλείσταις τῶν κεφαλῶν ἢ τελευτῶν ἐστιν, ἐνθάδε καὶ οἱ τένοντες, ὅσον δὲ ἐν τῷ μεταξὺ πᾶν, ἡ πρὸς ἁπάντων ἀνθρώπων ὀνομαζομένη σάρξ ἐστιν, οὐδενὸς εἰδότος ὅτι μὴ ἀκριβῶς ἀνατεμόντων, ὡς οὐκ ἔστι μόνη σὰρξ, ἀλλὰ μετά τινων ἰνῶν λεπτοτάτων, εἰς ἃς τὸ νευρῶδες ἐλύθη γένος. ὀνομάζω δὲ γένος νευρῶδες εἰς μίαν ἄγων προσηγορίαν τούς τε συνδέσμους καὶ τοὺς τόνους· τούτων γὰρ διαπειρομένων τῇ σαρκὶ, τὴν τῶν μυῶν οὐσίαν ἐδείξαμεν συνισταμένην· ἕνεκα δὲ τοῦ διαμένειν αὐτὴν ἐδεήθη ἀρτηριῶν τε καὶ φλεβῶν.

tes referens. Sed, ut dicebam, ftupor non partis cujuspiam proprium pathos eft, fed affectus, qui quidem in omnibus corporibus fit, non in omnibus tamen fenfiliter apparet, fed in his duntaxat, quae fuos affectus fentire et pro voluntatis imperio moveri nata funt. Sed et his, quae manifefte in musculis apparent, fermo ipfius repugnat; quinetiam indiftincte prolatus eft: ac fortaffe non intelligit nusquam in corpore carnem ipfam per fe inveniri, fed musculorum id quod nervofum eft, in plurimis vel capitibus vel extremis partibus effe, ubi etiam tendones inveniuntur, id vero totum, quod in medio continetur, omnes homines carnem nominare, nemine intelligente, nifi quum exquifite diffecatur, non effe folam carnem, fed cum tenuiffimis quibusdam veluti fibris, in quas nervofum genus refolutum eft. Voco autem nervofum genus in unicam appellationem cogens tum vincula tum tonos, quippe ex his per carnem difperfis musculorum oftendimus fubftantiam confiftere, quae, ut permanere poffet, venis indigebat et arteriis.

Ed. Chart. VII. [403.] Ed. Baf. III. (260.)

Κεφ. γ'. Καὶ τοίνυν καὶ τὸ σφύζειν ἀνωδύνως ὑπάρχει μόναις ταῖς ἀρτηρίαις, ὑγιαίνοντος τοῦ ζώου· φλεγμονῆς δὲ μεγάλης γενομένης, ἢ ἐρυσιπέλατος, ἢ ἀποστήματος, αἰσθανόμεθα σὺν ὀδύνῃ τοῦ σφυγμοῦ τῶν ἀρτηριῶν, ἔμπροσθεν ὅθ' ὑγίαινε τὸ σῶμα μὴ ὅτι μετ' ὀδύνης, ἀλλὰ μηδὲ χωρὶς ταύτης αἰσθανόμενοι. ἔστι γὰρ δὴ τὸ συμβαῖνον τοιόνδε. τὰ φλεγμαίνοντα μόρια κατὰ δύο τούτους καιροὺς ὀδυνᾶται μεγάλως, ὅταν τε πρὸς τὰς κινήσεις ἄγηται καὶ ὅταν θλίβηται πρός τινων. ἐπειδὰν οὖν ὅλος ὁ μῦς φλεγμαίνῃ, κατὰ διττὸν τρόπον ὀδύνης αἰσθανόμεθα, διαστελλομένων τῶν ἀρτηριῶν, ὅτι τε κινοῦνται καὶ ὅτι θλίβουσί τε ἅμα τὴν περικειμένην σάρκα καὶ θλίβονται πρὸς αὐτῆς. οὗτος μὲν ὁ τρόπος ἐστὶ τοῦ κατὰ τὰ φλεγμαίνοντα μόρια σφυγμοῦ, καὶ τοῦτον μόνον ἐκάλουν οἱ παλαιότατοι σφυγμὸν, ὕστερον δὲ καὶ πᾶσαν αἰσθητὴν κίνησιν ἀρτηριῶν ὡσαύτως ὠνόμασαν. οὐ μὴν ἀχώριστόν γε μυῶν πασχόντων, ἢ ὅλως ἴδιόν ἐστι τὸ ναρκῶδες σφύζειν, ὅτι μηδὲ τὸ σφύζειν ὅλως, τοῦ σφυγμοῦ δηλοῦντος, ὡς εἴρηται, τὸ μετ' ὀδύνης·

Cap. III. Atqui citra dolorem pulfare ad folas arterias pertinet, animali bene valente, ubi vero ingens oborta eft inflammatio, vel eryfipelas, vel abfceffus, arteriarum pulfum cum dolore fentimus, quum antea per bonam corporis valetudinem neque cum dolore neque fine dolore ipfum fentiremus. Etenim res ad hunc modum fe habet. Duabus praecipue occafionibus vehemens dolor inflammatis partibus infertur, quum moventur et quum a quibusdam rebus comprimuntur. Inflammato igitur toto musculo, duplici modo, dum attolluntur arteriae, dolorem fentimus, quod et moveantur et ab adjacente carne comprimantur et ipfam comprimant. Atque hic modus eft quo partes inflammatae pulfant, quem vetuftiffimi folum vocabant pulfum; pofteriores vero omnem arteriarum motum fub fenfum cadentem fimiliter nominaverunt. Non tamen ftupide pulfare infeparabiliter aut omnino proprie ad musculos affectos pertinet, quod ne pulfare quidem *proprium eorum* omnino fit, quum

ἔν τε γὰρ τοῖς σκίῤῥοις καὶ τοῖς ἰδίως οἰδήμασιν προσαγορευομένοις ἔν τε ταῖς χωρὶς ὄγκου δυσκρασίαις ἀνώδυνός ἐστιν ἡ τῶν ἀρτηριῶν κίνησις· ἔν τε τοῖς φλεγμονώδεσι πάθεσιν οὐκ ἀεὶ μετ᾽ ὀδύνης, ἀλλ᾽ ὅταν μείζω γένηται· καὶ μὴν καὶ χωρὶς μυὸς αὐτὴ καθ᾽ ἑαυτὴν ἡ ἀρτηρία φλεγμονῶδες πάθος παθοῦσα μετ᾽ ὀδύνης σφύζει· λέγω δὲ δηλονότι φλεγμονῶδες πάθος, ἵνα συνεπινοῆται τῇ φλεγμονῇ τά τ᾽ ἐρυσιπέλατα καὶ τὰ ἀποστήματα. τῶν οὖν τοιούτων παθῶν μειζόνων γενομένων σύμπτωμ᾽ ἐστὶν τὸ σφύζειν· εἰ δέ γε ναρκώδης ποτ᾽ ἐπ᾽ αὐτῶν ὁ σφυγμὸς φαίνοιτο γινόμενος, αὐτῷ δηλονότι τῷ κάμνοντι, τούτῳ γὰρ δὴ καὶ τὸ τῆς νάρκης πάθος ἐστὶν αἰσθητόν· [404] ἰστέον εἶναι τηνικαῦτα διάθεσιν ἐν τοῖς κατὰ τὸν μῦν νεύροις, ἐπὶ παράλυσιν αὐτῶν ἀφικνουμένων· ἡ μὲν γὰρ ναρκώδης διάθεσις ἐν τῷ μεταξὺ παραλύσεώς τ᾽ ἐστὶ καὶ τῆς ὑγιεινῆς καταστάσεως. ὁ δὲ σὺν ἀλγήματι σφυγμὸς ἕπεται φλεγμονώδεσι πάθεσιν ἀξιολόγοις, ἐπ᾽ αὐτῶν μὲν ἀεὶ τῶν ἀρτηριῶν, ἤδη δὲ καὶ τῶν περιεχόντων αὐτὰς σωμάτων, ὅταν ὑπὸ στενοχωρίας θλίβωσιν αὐτὰ καὶ

pulfus, ut prius dictum eft, dolorem prodit. Nam in fcirrhis et oedematis proprie appellatis atque in intemperiebus, quae fine tumore confiftunt, motus arteriarum dolorem haudquaquam excitat, et in inflammatoriis affectibus non femper cum dolore eft, fed quum majores effecti funt; quin etiam fine musculo arteria ipfa per fe inflammatorium fuftinens affectum cum dolore pulfat; dico autem inflammatorium affectum, ut fimul cum inflammatione et eryfipelas et abfceffus intelligatur. Hujusmodi igitur affectuum, quum majores fuerint, pulfus fymptoma effe cenfetur. Quod fi quando in iis pulfus, ipfi fcilicet laboranti, ftupidus effe videatur, hic enim ftuporis affectum fentire poteft, tum fcire licet affectum in musculi nervis confiftere, ita ut ad paralyfin tendant. Nam ftupidus affectus inter refolutionem et integram valetudinem medius eft. At cum dolore pulfus fequitur inflammatorios affectus notatu dignos, femper quidem in ipfis arteriis, at et in continentibus ipfas partibus, quum ob

οἷον πλήττωσι διαστελλόμεναι, τοῦ πάσχοντος μέρους αἰσθάνεσθαι πεφυκότος. οὔτ᾽ οὖν ἐν περιπνευμονίᾳ γενήσεται πόνος σφυγματώδης οὔτ᾽ ἐν πλευρίτιδι διὰ τὴν τῶν μορίων φύσιν· ὁ μὲν γὰρ πνεύμων ἀναίσθητος, ἡ πλευρῖτις δὲ νόσημ᾽ ἐστὶ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ὃς ἐν οἷς μὲν ὁμιλεῖ τοῖς ὀστοῖς, ἐξ ἀνάγκης θλίβεται, τὸ μεταξὺ δὲ πᾶν ἄθλιπτόν τ᾽ ἐστὶν αὐτοῦ καὶ μόνον τῷ λόγῳ τῆς φλεγμονῆς ὀδυνώμενον. ἐν τούτῳ τῷ χωρίῳ καὶ ἀρτηρίαι εἰσὶν αἱ κατὰ τὰ μεσοπλεύρια καλούμενα τεταγμέναι, κατά τε τὰ παχέα καὶ χαλαρὰ μέρη τῶν πλευρῶν, ἐν βάθει τε κείμεναι μᾶλλον, ὡς μὴ ψαύειν τοῦ τὰς πλευρὰς ὑπεζωκότος χιτῶνος. οὔτ᾽ οὖν μετ᾽ ὀδύνης οὔθ᾽ ὅλως αἰσθητὴ τῷ κάμνοντι τῶν ἀρτηριῶν τούτων ἐν ταῖς πλευρίτισιν ἡ κίνησις ἔσται· φλεγμαινόντων μέντοί ποτε τῶν ἐν τοῖς μεσοπλευρίοις μυῶν, ὀδυνηρὰν ἀνάγκη γενέσθαι τὴν διαστολὴν τῶν ἀρτηριῶν, καὶ διὰ τοῦτο κατάφωρον αὐτῷ τῷ κάμνοντι· καὶ κατὰ τὸ μέγεθος τὸ τῆς φλεγμονῆς αἰσθήσεται τοῦ κατ᾽ αὐτὴν σφυγμοῦ· καὶ διὰ τοῦτό γε ἐπὶ τοῖς σφοδροτάτοις σφυγμοῖς ἐκπυΐσκεται τὰ

angustiam ipfas premunt, dum attolluntur ac veluti percutiunt, modo pars affecta fentire nata fit. Ergo neque in peripneumonia neque in pleuritide dolor pulfatorius orietur ob partium naturam; nam pulmo fenfus expers, pleuritis vero membranae coftas fuccingentis morbus eft, quae ubi offibus quidem vicina eft, neceffario comprimitur; at media ipfius tota pars comprimi non poteft, fed inflammationis duntaxat ratione dolet. Atque in hoc fpatio arteriae funt, quae per intercoftalia vocata fpatia et per craffas laxasque laterum partes extenduntur, ac in profundo magis delitescunt, ut fuccingentem coftas tunicam haudquaquam attingant. Harum igitur arteriarum motus in pleuritide neque cum dolore erit neque ab aegrotante omnino percipietur; inflammatis tamen interdum intercoftalibus musculis, arteriarum diaftolen dolorem inferre neceffe eft, ac proinde a laborante percipi; atque pro inflammationis magnitudine fentiet in illa pulfum. Ob hancque caufam, ubi vehemen-

φλεγμαίνοντα μόρια, μεγάλαις φλεγμοναῖς ἑπομένης τῆς ἐκπυήσεως. ἐξ οὖν τῶν εἰρημένων δῆλον ἤδη, ὡς ὁ σφυγμώδης τε καὶ σφυγματώδης ὀνομαζόμενος ὑπὸ τῶν ἰατρῶν πόνος ἐν πάθεσί τε γίγνεται φλεγμονώδεσι καὶ σώμασιν αἰσθητικοῖς· κατὰ μὲν αὐτοπάθειαν, ἢ ἰδιοπάθειαν, ἢ πρωτοπάθειαν ἐν ἀρτηρίαις, ὀνομαζέτω γὰρ ἕκαστος ὡς ἂν ἐθέλῃ· κατὰ δὲ τὴν ἐκ τῆς θλίψεως τῶν ψαυόντων κοινωνίαν ἐν τοῖς ἄλλοις ἅπασιν αἰσθητικοῖς.

Κεφ. δ'. Οὔκουν οὐδ' ἐν ἥπατι γένοιτ' ἂν ποτε τοιοῦτος σφυγμὸς, οὐδ' ἐν νεφροῖς, ὅτι μηδ' ἐν ἐκείνοις εἰς ὅλα διασπείρεται τὰ σπλάγχνα τὰ νεῦρα, καθ' ὅτι μηδ' ἐν πνεύμονι. καὶ διὰ τοῦτο βάρους αἴσθησις ἐπ' αὐτῶν γίνεται, περιπεσόντων νοσήμασι τοῦ γένους τῶν παρὰ φύσιν ὄγκων· ἐφ' ἑκάστου γάρ τοι τῶν εἰρημένων σπλάγχνων ὁ περικείμενος ὑμὴν, εἰς ὃν δια(261)σπείρεται τὸ νεῦρον, αἰσθητικὸς ὑπάρχει· διατεινόμενος οὖν ὑπὸ τοῦ κατὰ τὸ σπλάγχνον ὄγκου τῷ τῆς ὀδύνης εἴδει τὴν προσηγορίαν προσεπεσπάσατο. καὶ διὰ τοῦθ' Ἱπποκράτης μὲν πρῶτος ἔγραψεν·

tiſſimus fuerit pulſus, ſuppuratur inflammata pars, conſequente ſuppuratione ingentes inflammationes. Conſtat igitur ex jam enarratis, quod pulſatorius et pulſativus a medicis vocatus dolor per inflammatorios affectus fiat, atque in corporibus ſenſu praeditis; per ſe proprie primario affectu in arteriis, nominet enim quisque prout voluerit, in reliquis vero partibus ſenſibilibus omnibus eo quod a vicinorum contactu premantur.

Cap. IV. At vero neque in hepate neque in renibus unquam hujusmodi pulſus apparet, quoniam nec in illis nervi per tota viscera disperguntur, ſicuti nec in pulmone. Quocirca gravitatis in ipſis ſenſus ſit, quum tumorum praeter naturam genus aliquod ea infeſtaverit; nam in horum viscerum unoquoque circumambiens membrana, per quam nervus dispergitur, ſenſu potitur; quia igitur a tumore, qui eſt in viscere, ipſa extenditur, doloris ſpeciem appellatione dotavit. Proinde Hippocrates primus ſcripſit:

καὶ εἰς νεφρὸν ὀδύνη βαρεῖα· μετ᾽ αὐτόν τ᾽ οὐκ ὀλίγοι τῶν ἀρίστων ἰατρῶν οὐκ ὀδύνης ὀξείας, ἀλλὰ βάρους αἴσθησιν ἐν ταῖς τῶν εἰρημένων σπλάγχνων φλεγμοναῖς ἔφασαν γίνεσθαι. καὶ μὴν καὶ τοὺς ὑμένας ὡς ἂν οὐκ ἔχοντας ἐν ἑαυτοῖς ἀρτηρίας, εἰκὸς δήπου μὴ σφύζειν, ὥσπερ οὐδὲ τὸ δέρμα, κἂν ἰσχυρῶς φλεγμαίνῃ· κατὰ δὲ τὸν αὐτὸν λόγον οὐδὲ τοὺς ἀδένας, ὅσοι οὐ μετέχουσιν ἀρτηριῶν· ἀλλὰ καθ᾽ ἕνα τρόπον ἀλγήσει τὰ τοιαῦτα μόρια φλεγμαίνοντα, τὸν τῆς τάσεως· ἀχώριστος γὰρ οὗτός ἐστι τῶν αἰσθητικῶν σωμάτων ἁπάντων ἐν ταῖς τοιαύταις διαθέσεσιν.

Κεφ. ε΄. [405] Οἱ δ᾽ ἄλλοι πόνοι τισὶ μὲν ὑπάρχουσι μορίοις, τισὶ δ᾽ οὔ. μεμνῆσθαι γοῦν αὐτῶν ἀεὶ χρὴ, καὶ γιγνώσκοντα τὴν φύσιν ἑκάστου τῶν τόπων ἐπισκοπεῖσθαι, τίνας μὲν ἐγχωρεῖ δέξασθαι τρόπους ὀδύνης, τίνας δ᾽ οὔ. λέγωμεν οὖν αὖθις αὐτοὺς ἀναλαβόντες. εἷς μὲν τρόπος ὀδύνης ἐστὶν ὁ κατὰ τὴν ἀνώμαλον δυσκρασίαν ἐν αὐτῷ τῷ πάσχοντι μορίῳ συνιστάμενος, εἰ καὶ μηδενὸς ψαύοι τῶν ἔξωθεν· ἕτερος δ᾽ ὁ κατὰ τὴν τάσιν οὐκ ἔτ᾽ ἴδιος μόνου τοῦ

In renem dolor gravis; et poft eum optimorum medicorum non pauci non acuti doloris, fed gravitatis fenfum in praedictorum viscerum inflammationibus fieri dixerunt. Quinetiam membranas, ut quibus nullae infunt arteriae, non pulfare, rationi confentaneum eft; quemadmodum neque cutem, etiamfi vehemens fit inflammatio; atque eadem ratione neque adenes, quibus nullae funt arteriae; fed hujusmodi partes, quum inflammatae funt, unico duntaxat doloris modo vexabuntur, tenfionis; nam hic a nullo fentientium corporum in hujusmodi affectibus feparari poteft.

Cap. V. Caeteri vero dolores quibusdam partibus infunt, quibusdam non infunt. Igitur meminiffe eorum femper oportet, ac cognoscentes fingulorum locorum naturam, intueri, quis unicuique modus doloris peculiariter conveniat, quis vero contra. Proinde refumentes rurfus ipfos dicamus. Equidem unus doloris modus eft, qui per inaequalem intemperiem in affecta parte confiftit, vel nulla re ipfam extrinfecus attingente. Alius, qui ob tenfionem fit,

πάσχοντος, ἀλλ᾽ ἔστιν ὅτε καὶ διὰ τὰ πλησιάζοντα γινόμενος· ἄλλος δ᾽ ἐκ τῶν ψαυόντων μόνον ὁρμώμενος εἰς τὸ πάσχον, ὅταν ἤτοι θλιβόμενον, ἢ θλώμενον, ἢ τιτρωσκόμενον ὑπό τινος τῶν προσπιπτόντων ὀδυνᾶται. ὅ γε μὴν ἐκ τοῦ κινεῖσθαι τρόπος τῆς ὀδύνης διὰ μέσου τινὸς ἑτέρου τὴν ὀδύνην ἐργάζεται, καθάπερ ἐπὶ τῆς ἀρτηρίας ὀλίγῳ πρότερον ἐλέγετο· καὶ γὰρ τείνεται τὸ κινούμενον ἐξ αὐτοῦ καὶ θλίβεταί ποτε καὶ θλᾶταί τε καὶ τιτρώσκεται προσπῖπτον τοῖς πλησιάζουσιν· εἰ δὲ μηδενὶ προσπίπτοι, τῷ τείνεσθαι μόνον τὴν ὀδύνην ἐξ ἀνάγκης ἔχει· ὡς τά γ᾽ ὑφ᾽ ἑτέρων ὅλα κινούμενα, μηδενὸς ἔξωθεν αὐτῶν ἐπιψαύοντος, οὐδεμίαν ὀδύνην ἐπικτᾶται παρὰ τὴν ἀναγκαίαν. πολλάκις δ᾽ ἐν ἑτέροις εἰρηκὼς οἶδα δύο τοὺς πρώτους τρόπους ὀδύνης, ἀθρόαν ἀλλοίωσιν κράσεως καὶ συνεχείας λύσιν, οἷς οὐ μάχεται τὰ νῦν εἰρημένα. καὶ γὰρ τὸ τεινόμενον καὶ τὸ θλιβόμενον καὶ τὸ θλώμενον καὶ τὸ τιτρωσκόμενον ὀδυνᾶται, λυομένης τῆς συνεχείας αὐτοῦ. οὐδὲ γὰρ ὅταν ὑπὸ βελόνης τιτρώσκηταί τις, ἕτερον πάθος πάσχει τοῦ γινομένου κατὰ τὴν ὑπὸ δριμέος

non amplius foli affectae parti proprius, fed qui ob vicinas interdum eveniat. Alius qui a tangentibus duntaxat in affecta parte generatur, quum vel compreffa, vel contufa, vel a re quapiam superveniente vulnerata dolet. At is doloris modus, qui a motu procedit, quemadmodum paulo ante de arteria dictum eft, a re quadam media dolorem efficiente pendet: etenim quae per fe movetur pars tenditur, et ad vicinas accedens comprimitur interdum et contunditur et vulneratur; fi vero nulli inciderit, eam fola tenfione dolere neceffe eft; veluti partes omnes quae ab aliis moventur, fi nihil extrinfecus ipfas tangat, nullo praeter eum, qui neceffarius eft, dolore afficiuntur. Caeterum alibi me frequenter dixiffe memini, primas doloris fpecies duas effe, repentinam temperamenti alterationem et continuitatis folutionem; quae cum jam dictis haud pugnant, etenim pars quae diftenditur, aut contunditur, aut vulneratur, dolet ob continuitatis folutionem. Neque enim quum acu quispiam vulneratur, alio affectu laborat quam fi ab acri humore facta fuiffet erofio;

χυμοῦ διάβρωσιν· ἐν ἑκατέρῳ γέ τοι τῷ πάθει διαφθείρεται τὸ συνεχές. οὐχ ὡσαύτως οὖν ὅ τε δακνώδης χυμὸς ὀδύνην ἐργάζεται καὶ ὁ πολύς· ἀλλ᾽ ὁ μὲν τῷ διαβιβρώσκειν, ὁ δὲ τῷ διατείνειν, ὥσπερ καὶ τὸ φυσῶδες πνεῦμα, κἂν ταῖς ἰσχουρίαις τὸ οὖρον. ἐν ἐρυσιπέλασί τε καὶ φλεγμοναῖς καὶ ὅλως τοῖς φλεγμονώδεσι πάθεσιν οὐ τῷ τείνεσθαι μόνον ἐπὶ τῇ πληρώσει πονοῦσιν, ἀλλὰ καὶ τῇ δυσκρασίᾳ, οὐ σμικρὰν οὐδ᾽ αὐτῆς δύναμιν ἐχούσης πρὸς ὀδύνης γένεσιν, ὡς δηλοῦσιν οἱ ἐξ ὁδοιπορίας ἐν χειμῶνι σφοδρῷ θάλπειν ἀθρόως παρὰ πυρὶ τὰς χεῖρας ἐπιχειρήσαντες· ἀφορήτου γάρ τινος ὀδύνης αἰσθάνονται, καὶ μάλιστα κατὰ τὰς ῥίζας τῶν ὀνύχων. οἶδα δὲ καὶ ἐμαυτῷ ποτε συμβᾶσαν ὀδύνην, ὡς τρυπάνῳ δοκεῖν διατιτρᾶσθαι κατὰ τὸ βάθος τῆς κοιλίας ἐν ἐκείνῳ μάλιστα τῷ χωρίῳ, καθ᾽ ὃ τοὺς ἀπὸ τῶν νεφρῶν ἐπὶ τὴν κύστιν οὐρητῆρας ἐκτεταμένους ἴσμεν· εἶτ᾽ ἐνεθέντος πηγανίνου ἐλαίου, μικρὸν ὕστερον ἀποκρῖναι προθυμηθεὶς αὐτὸ, συνεξέκρινα μετὰ σφοδροτάτης ὀδύνης τὸν ὑαλώδη προσαγορευόμενον ὑπὸ Πραξαγόρου χυμὸν, ὃς ὑάλῳ κεχυμένῃ προσέοικεν τὴν χροιὰν καὶ

at in utroque affectu continuum corrumpitur. Igitur non eandem doloris fpeciem excitant mordax humor ac multus, fed ille rodendo, hic vero diftendendo, flatulenti fpiritus exemplo ac urinae in ifchuriis. Et in eryfipelate et inflammatione atque omnino in affectibus inflammatoriis, non folum quia diftenduntur ob repletionem, laborant, verum etiam quia intemperie afficiuntur, non exiguam etiam hac ad dolorem inducendum vim habente, ut declarant ii, qui per vehementem hiemem profecti, manus ad ignem affatim calefacere tentant; intolerabilem enim fentiunt dolorem et maxime in unguium radicibus Ac memini mihi ipfi accidiffe dolorem vehementiffimum, ut mihi viderer in intimo ventre terebro perforari, in eo potiffimum fpatio, per quod a renibus ad veficam ureteras fcimus extendi. Injecto deinde rutaceo oleo, quum id paulo poft excernere tentarem, excrevi fimul graviffimo cum dolore humorem vitreum a Praxagora appellatum, qui vitro fufo tum colore tum confiftentia confimi-

Ed. Chart. VII. [405. 406.] Ed. Baf. III. (261.)

τὴν σύστασιν· ἐθεασάμην δ᾽ αὐτὸ τοῦτο καὶ ἄλλοις συμβάν. ὅτι δὲ ψυχρότατος ὁ χυμὸς οὗτός ἐστιν, εἴρηται μὲν δήπου καὶ Πραξαγόρᾳ τῷ καὶ τοὔνομα κατ᾽ αὐτοῦ θεμένῳ τὸ ὑαλῶδες· φαίνεται δὲ σαφῶς καὶ κατὰ τὴν τῆς ἁφῆς αἴσθησιν [406] αὐτῶν τε τῶν ἀποκρινάντων αὐτὸν καὶ εἴ τις ἅψασθαι βουληθείη παραχρῆμα· καὶ θαυμάσαι γ᾽ ἐστὶ, πῶς ψυχρὸς ὑποπίπτει, μηδὲν ὑπὸ τῆς κατὰ τὴν ἔκπτωσιν βίας θερμαινόμενος. ἐγὼ μὲν οὖν ᾠήθην λίθον ἐσφηνῶσθαι κατὰ τὸν ἕτερον τῶν οὐρητήρων, οὕτω μοι τὸ τῆς ὀδύνης εἶδος αὐτοῦ τῷ τιτρᾶσθαι παραπλήσιον ἐφαίνετο· δῆλον δ᾽ ἐγένετο, μετὰ τὴν ἔκκρισιν τοῦ χυμοῦ παυσαμένης τῆς ὀδύνης, ὡς οὔτε λίθος ἦν αἴτιος οὔθ᾽ ὁ πάσχων τόπος οὐρητὴρ ἢ νεφρὸς, ἀλλά τι τῶν ἐντέρων, καὶ μᾶλλον ἴσως τῶν παχέων· οὐ γὰρ ὡς διὰ λεπτοῦ σώματος ἡ διέξοδος αὐτοῦ βραχυχρόνιος ἦν, ἀλλ᾽ ὡς ἐκ βάθους τινὸς φερομένου διὰ παχυτέρου τινὸς ἢ κατὰ τὸν χιτῶνα τῶν λεπτῶν ἐντέρων. ταύτῃ μοι δοκοῦσι καὶ οἱ ἰατροὶ σχεδὸν ἅπαντες ὀνομάσαι τὰ τοιαῦτα τῶν ἀλγημάτων κωλικὰ, καίτοι γ᾽ ὅσον ἐπὶ τῷ χωρίῳ, καθ᾽ ὃ τῆς

lis eft, atque id aliis quoque accidere confpexi. Quod vero hic humor fit frigidiffimus, jam et a Praxagora dictum eft, qui vitrei nomen ipfi impofuit; at manifefte quoque percipitur fenfu tactus, tum ipforum qui illum excernunt, tum fi quis confeftim ipfum tangere voluerit, et dignum utique admiratione eft, quomodo frigidus excidat, ab excretionis violentia minime calefactus. Equidem putabam lapidem in altero ureterum impactum, adeo erat, ut mihi videbatur, doloris ipfius fpecies perforanti fimilis; at poft vacuatum humorem dolore fedato, manifefte conftabat, neque lapidem fuiffe caufam neque ureteras aut renes fuiffe affectos, fed aliquod inteftinorum, et fortaffe magis crafforum; neque enim tanquam per tenue corpus brevi temporis fpatio pertransibat, fed tanquam a profundo per craffius quoddam corpus, quam fit tenuium inteftinorum tunica, ferretur. Ideoque hujusmodi dolores omnes fere medici colicos nominare mihi videntur; quanquam quod ad regionem attinet, qua dolor

ὀδύνης αἰσθάνονται, μηδενὸς μᾶλλον ἐνδεικνυμένου τὸ κῶλον, ἤ τι τῶν λεπτῶν ἐντέρων ὀδυνᾶσθαι. τὰ μὲν δὴ τοιαῦτα τῶν ἀλγημάτων ὡς ὑπὸ τρυπάνου φαίνεται γινόμενα, τῶν καμνόντων αὐτῶν οὕτως ἑρμηνευόντων· ἕτερα δ᾽ ὡς σκόλοπος ἐμπεπαρμένου φαίνεται, παχὺ μὲν ἐνδεικνύμενα καὶ ταῦτα τὸ πάσχον εἶναι σῶμα, διαφέροντα δ᾽ ἀλλήλων ἤτοι κατὰ τὸ πλῆθος, ἢ τὸ πάχος, ἢ τὴν κίνησιν, ἢ τὴν δύναμιν τῆς ἐργαζομένης τὴν ὀδύνην οὐσίας, εἴτε χυμὸς εἴτε πνεῦμα φυσῶδες εἴη. τὸ γὰρ ἔλαττον ἧττον ὀδυνήσει τοῦ πλέονος, ὥσπέρ γε καὶ τὸ λεπτότερον τοῦ παχυτέρου, καὶ τὸ μένον τοῦ κινουμένου, καὶ τὸ τοῦ βιαίου τῆς ψύξεως ἀπολειπόμενον· ἀλλὰ τό γε τῆς ὀδύνης εἶδος ἐντέρου παχέος ἐστὶν, ἄν θ᾽ ὡς ὑπὸ σκόλοπος ἐμπεπαρμένου τις ἄν θ᾽ ὡς ὑπὸ τρυπάνου διατιτρᾶσθαι νομίζῃ. καὶ διακρῖναί γε ταῦτα τῆς ἀπὸ λίθου σφηνώσεως οὐκ ἔστι, πρὶν περιμεῖναί τι τῶν ἐφεξῆς. οὐ μὴν οὐδὲ βλαπτόμεθά τι πρὸς τὸ πραῦναι τὴν ὀδύνην ἐκ τῆς τοιαύτης ἀγνοίας· κοινὰ γὰρ ἅπαντα τὰ τῆς ὀδύνης ἑκατέρας ἐστὶ βοηθήματα, θάλψεις μὲν ἔξωθέν τε καὶ διὰ τῶν ἐνιεμέ-

fentitur, nullum indicium fumi poteft, quod magis colon quam tenue inteftinum dolor afficiat. Hujusmodi fane dolores perinde ac fi terebro partes perforentur, moleftare folent, narrantibus ita infirmis; alii vero veluti palo infixo fieri videntur, qui et ipfi corpus affectum craffum effe fignificant, differunt autem inter fe aut multitudine, aut craffitudine, aut motu, aut potentia rei dolorem facientis, five ea humor fuerit five fpiritus flatulentus. Nam paucus multo et tenuior craffiore et permanens mobili minorem dolorem excitare folet, atque qui ad vehementem refrigerandi vim haudquaquam accedit, *vehementiffime refrigerante;* verum doloris genus craffi inteftini eft, five palo ibi infixo five terebro perforari quis fe putaverit. Atque hujusmodi dolores ab eo, quo lapis impactus eft, discerni non poffunt, nifi prius quis accidentia, quae poftea confequuntur, expectaverit. Non tamen ob hujusmodi ignorantiam, quod ad doloris mitigationem attinet, ullum damnum capimus; fiquidem utriusque doloris praefidia omnia communia funt, calorifica in

των τὸ πρῶτον, ἐπὶ ταύταις δὲ, εἰ μὴ πραΰνοιτο, καὶ τῶν ἀνωδύνων τι καλουμένων φαρμάκων, ὁποῖόν ἐστιν τὸ τοῦ Φίλωνος. ἀλλ᾽ εἰ μὲν λίθος ὁ τὴν ὀδύνην ἐργαζόμενος εἴη, ποτὲ μὲν αὐτὸς μόνος ἐκκριθεὶς ὀφθήσεται, ποτὲ δὲ καὶ μεθ᾽ αἵματος ἅμ᾽ αὐτῷ συνεξουρηθέντος, ξυσθέντων δηλονότι τῶν σωμάτων ἃ διεξῆλθεν, καὶ μᾶλλον εἰ τραχὺς ἢ ὀξὺς ὁ λίθος εἴη· καὶ μετὰ ταῦθ᾽ ὕστερον ἐπισκεπτομένῳ σοι τὰ οὖρα, ψαμμώδεις ὑποστάσεις εὑρεθήσονται· τοῦ κώλου δ᾽ εἴπερ εἴη τὸ πάθος, οὔτε ψάμμος οὔτε λίθος οὔθ᾽ αἷμα, χυμὸς δέ τις, οἷον εἶπον, ἢ τἄλλα γε τὰ κατ᾽ ἔντερον πάσχον ἐπιφαινόμενα συμπτώματα, παραχρῆμα μὲν ἐμφύσησίς τις, καὶ διάτασις, ἢ πάνυ πολλαὶ φῦσαι, καὶ μᾶλλον ἐξ ὑστέρου, καὶ στρόφοι τινὲς, καὶ διαχωρήματα φυσώδη· γνωρίσεις δ᾽ αὐτὰ τῷ καθ᾽ ὕδατος ἐποχεῖσθαι προσεοικότα βολβίτοις. ἀλλὰ καὶ τὰ τῆς ὀρέξεώς τε καὶ πέψεως χείρω, προγεγονότα τε καὶ γινόμενα καὶ συνεπόμενα, κατὰ τὴν τῆς συνεχείας κοινωνίαν τῷ (262) πρωτοπαθοῦντι συμπαθούσης τῆς γαστρός.

primis, ſive ea extrinſecus adhibeantur ſive injiciantur; deinde niſi mitigatus dolor fuerit, eorum medicamentorum, quae dolorem obtundere poſſunt, aliquod, cujusmodi eſt illud Philonis. Verum ſi lapis dolorem excitaverit, ipſe interdum ſolus, interdum una cum cruore excernitur, deraſis ſcilicet corporibus, per quae tranſit, maxime ſi vel asper vel acutus fuerit lapis; ac ſi poſtea urinas inſpexeris, ſabuloſa ſedimenta invenies. Quod ſi in colo affectus conſtiterit, neque lapis neque arena neque cruor, ſed humor aliquis, qualis jam dictus eſt, aut alia, quae ad affectum inteſtinum pertinent, ſymptomata, protinus quidem inflatio quaedam et diſtentio, vel flatus complures, praeſertimque poſtmodum et tormina quaedam et excrementa flatibus plena videbuntur; diſcernes autem ipſa, quod aquae innatent bubulo ſtercori ſimilia. Quinetiam cibi tum appetentia tum concoctio deterior, tum quae praecedit morbum tum quae comitatur, quaeque conſequitur, quoniam ventriculus per continuitatis communitatem ſimul cum ea parte, quae primario laborat,

οὐχ ἥκιστα δὲ καὶ προηγεῖται τῶν κωλικῶν ὀνομαζομένων παθῶν ἀπεψία καὶ πνευμάτωσις, ἔμετός τε καὶ ναυτίαι μέχρι πολλοῦ παραμένουσαι κεναὶ, καὶ δῆξις τῶν καθ᾽ ὑποχόνδριον, ἄση τε καὶ ἀπορία πολλή. [407] τὰ μὲν οὖν σφοδρότατα τῶν τοιούτων ἀλγημάτων εἰκὸς εἶναι κατὰ τὰ παχύτερα τῶν ἐντέρων· ὅσα δ᾽ ἐπιεικέστερα, δυοῖν θάτερον, ἢ ἐν τοῖς αὐτοῖς μένειν, ἀλλὰ διὰ μετριωτέραν αἰτίαν, ἢ ἐν τοῖς λεπτοῖς ἐντέροις συνίστασθαι. τὰ δὲ μετὰ δήξεως ἐπὶ χυμῷ δακνώδει γίνεται διαβιβρώσκοντι τὸ ἔντερον· ἀεὶ γοῦν δυσεντερίας προηγεῖται τὰ τοιαῦτα, τῆς γε μεθ᾽ ἑλκώσεως ἐντέρων γινομένης, ἣν καὶ μόνον ὀνομάζουσι δυσεντερίαν οἵ τε νεώτεροι πάντες ἰατροὶ καὶ τῶν παλαιῶν οὐκ ὀλίγοι· καλοῦσι γάρ οἱ μέν τινες αὐτῶν οὐ μόνον ταύτην δυσεντερίαν, ἀλλὰ καὶ τὴν ἄλλην τὴν αἱματώδη προσαγορευομένην διὰ τὸ τῶν ἐκκρίσεων εἶδος, ἐνίοτε μὲν αἵματος ἀκριβοῦς καὶ πολλοῦ διαχωρουμένου, ποτὲ δ᾽ ὥσπέρ τινος ἰλύος αὐτοῦ καὶ τρυγὸς, οὐκ ὀλίγου τὸ πλῆθος οὐδὲ τούτου. αὕτη μὲν οὖν σύμπτωμά ἐστιν ἥπατος πάσχοντος, ἡ δ᾽ αἵματος ἀκριβοῦς καὶ πολλοῦ τὸ

afficitur. Infuper colicos nominatos affectus magna ex parte praecedit et cruditas et flatus et vomitus et naufeae, quae multo tempore irritae permanent et in hypochondrio mordacitas et faftidium et jactatio multa. Igitur hujusmodi quidem dolorum vehementiffimum in craffis inteftinis confiftere par eft, qui vero mitiores funt, ex duobus alterum aut in his ipfis, fed a leviori caufa; aut in tenuibus inteftinis confiftere. Sed qui mordaces funt, a mordaci humore inteftinum erodente fiunt. Unde dyfenteriam femper hujusmodi dolores praecedunt, eam, quae cum inteftinorum ulceratione fit; quam etiam folam tum recentiores medici tum antiquorum non pauci dyfenteriam nominant; nonnulli enim eorum non folum hanc, fed aliam quoque, quae cruenta ob excretorum fpeciem nominatur, dyfenteriam appellant; qua interdum fincerus multusque fanguis, interdum veluti limus et faex ipfius, non pauca copia excernitur. Verum haec affecti jecoris fymptoma eft; ea vero, per quam fincerus

σύμπαν σῶμα κενοῖ πολλάκις οὕτως ὡς αἱμοῤῥοῒς ἢ κάθαρσις γυναικεία. περὶ μὲν δὴ τούτων καὶ αὖθις ἐγχωρεῖ διελθεῖν, ἐπὶ δὲ τὰ τῶν ἀλγημάτων εἴδη πάλιν ἐπάνειμι· τοῦτο γὰρ μάλιστα προὐθέμην ἐν τῷδε τῷ γράμματι διασκέψασθαι. ἀρξώμεθ᾽ οὖν αὖθις ἀπὸ τοῦ νυγματώδους ὀνομαζομένου, συνισταμένου τε περὶ τοὺς ὑμένας μάλιστα, τῆς μὲν οἷον ῥίζης τοῦ πάθους κατὰ τὸ νύττεσθαι δοκοῦν ἐρηρεισμένης, ἐκτεινομένης δ᾽ ἐπὶ πλέον ἐν κύκλῳ περὶ τοῦτο τῆς ὀδύνης· οὕτω τοι καὶ τὸ τῆς πλευρίτιδος ἄλγημα νυγματῶδες εἶναι σχεδὸν ἅπασι τοῖς ἰατροῖς ὡμολόγηται, καθάπερ τὸ τῆς φλεγμονῆς σφυγματῶδες.

Κεφ. στ´. Οὐ μὴν αἱμωδίᾳ τι προσεοικὸς ὁ πόνος ἔχει τῶν ὑμενωδῶν σωμάτων, ὡς Ἀρχιγένης ἔγραψεν· ἴσμεν γὰρ ὅτι κατὰ τὸ στόμα μόνον, οὐδὲ τοῦτο σύμπαν, ἀλλὰ τοὺς ὀδόντας τε καὶ τὰ οὖλα γίνεταί τι πάθος, ὃ καλοῦμεν αἱμωδίαν, ὃ μηδὲ ἑρμηνεῦσαι λόγῳ δυνατόν ἐστι, ἀλλ᾽ ἐκ τοῦ προηγήσασθαι μὲν ἐδωδὴν ἐδεσμάτων αὐστηρῶν τε καὶ ὀξέων, ἀκολουθῆσαι δέ τι πάθος ἐν τοῖς ὀδοῦσι καὶ τοῖς

multusque ſanguis excernitur, univerſum corpus plerumque evacuat peraeque ac haemorrhoides aut muliebris purgatio. Verum de his poſthac rurſus nobis agere licebit; nunc ad dolorum ſpecies redeo, eas enim hoc libro perſequi potiſſimum propoſuimus. Igitur iterum incipiamus ab eo quem punctorium vocant, qui circa membranas potiſſimum conſiſtit, ipſius affectus veluti radice eo loco fixa, ubi *membrana* pungi videtur, dolore vero circa locum punctum ad magnum ſpatium circulatim ſe fundente, hoc modo plenitudinis dolorem punctorium eſſe, ut inflammationis pulſatorium, apud omnes fere medicos in confeſſo eſt.

Cap. VI. Non tamen dentium ſtupori ſimile quid dolor membranoſorum corporum habet, ut Archigenes ſcripſit; ſcimus enim ori duntaxat, neque toti tamen accidere, ſed dentibus gingivisque, affectum quendam, quem haemodiam vocamus. Hunc oratione enarrare impoſſibile eſt, ſed quum quispiam auſteros et acidos cibos comederit, ita ut affectus aliquis ſequatur in dentibus et gingivis, eum in om-

οὔλοις, ἐπιστεύσαμεν ἅπασι γίνεσθαι ταὐτὸν, ὁρῶντες ἐν τοῖς πλείστοις ὁμοιοπαθεῖς ἡμᾶς ὑπάρχοντας, ὡς ἀπὸ τῶν αὐτῶν αἰτίων πάσχειν τὰ αὐτά. τὸν μὲν οὖν τοιοῦτον πόνον ἐν τῷ στόματι μόνον ἴσμεν γινόμενον, ἄλλους δέ τινας ὧν Ἀρχιγένης ἔγραψεν μὴ ὅτι γνωρίσαι γινομένους δυνατὸν, ἀλλὰ μηδὲ νοῆσαι λεγομένους, οἷον τὸν ὅλκιμον, ἢ τὸν αὐστηρὸν, ἢ τὸν γλυκὺν, ἢ τὸν ἰσχνῶς ὀξὺν, ἢ τὸν ἁλυκὸν, ἢ τὸν γλίσχρον, ἢ ἀτειρὸν, ἢ τὸν στύφοντα. τοιαῦτα γὰρ ὀνόματα καὶ κατὰ τὴν περὶ τῶν σφυγμῶν πραγματείαν ἔγραψεν, οὐδὲν διδάξαι δυνάμενα τὸν ἀκούοντα, διὰ τὸ πᾶσαν ἐπιστημονικὴν διδασκαλίαν ὀνομάτων δεῖσθαι κυρίων· εἰ μὲν περὶ χυμῶν διαλεγοίμεθα, καὶ ὅλως περὶ τῶν τῆς γλώττης ἰδίων αἰσθητῶν, αὐστηρὸν ἡμῶν λεγόντων καὶ στρυφνὸν καὶ στύφοντα καὶ δακνώδη καὶ ἁλμυρὸν καὶ γλυκὺν καὶ πικρόν· εἰ δὲ περὶ τῶν ἁπτῶν, ὑγρὸν σῶμα καὶ ξηρὸν καὶ θερμὸν καὶ ψυχρὸν καὶ τραχὺ καὶ λεῖον καὶ μαλακὸν καὶ σκληρὸν, ὀξύ τε καὶ ἀμβλύ· καθάπερ γε καὶ εἰ περὶ τῶν ὁρατῶν, ἐρυθρὸν καὶ ξανθὸν καὶ μέλαν καὶ λευκὸν καὶ φαιὸν

nibus eundem eſſe credimus; ſiquidem videmus nos magna ex parte ſimiles eſſe in affectibus habendis, ita ut ab iisdem cauſis eadem patiamur. Talem itaque dolorem in ore duntaxat fieri ſcimus. Alios vero quosdam ab Archigene ſcriptos non ſolum dum fiunt, cognosci, ſed neque dum proferuntur, intelligi poſſibile eſt, qualis eſt tractorius, auſterus, ſalſus, tenax, rigidus, aſtringens. Hujusmodi enim nomina in opere etiam de Pulſibus ſcripſit, quae auditores nihilo doctiores reddere poſſunt, eo quod omnis ſcientifica doctrina propria deſideret nomina. Si enim de ſaporibus, aut omnino de propriis, quae lingua judicantur, ſenſilibus diſſeramus, dicemus utique auſterum et acerbum et aſtringentem et mordacem et ſalſum et dulcem et amarum; ſi vero de iis, quae tactu judicantur, humidum corpus et aridum et calidum et frigidum et asperum et laeve et molle et durum et acutum et obtuſum, ut de iis quae viſu discernuntur, rubrum, flavum, nigrum, album, fuscum, aut aliud quidpiam

[408] ἤ τι τοιοῦτον ἕτερον. εἰ δ᾽ ὑπαλλάττοι τις αὐτῶν τὰς προσηγορίας, ἀσύνετα τοῖς ἀκούουσιν ἐρεῖ, καθάπερ ἐπὶ τοῦ στύφοντος ἢ αὐστηροῦ πόνου. τὸν μὲν γὰρ γλυκὺν οὐδ᾽ ἐπινοῆσαι δυνατὸν, ἀνιῶντος μὲν ἀεὶ τοῦ πόνου τὸν πάσχοντα, πάντων δὲ τῶν γλυκέων ἡδέων ὄντων. ὅτι μὲν οὖν φιλόπονος εἰς τὰ τῆς ἰατρικῆς ἔργα γέγονεν ὁ Ἀρχιγένης, ἀληθέστατόν ἐστιν· ὅπως δὲ εἰς τὰ τοιαῦτα τῶν ὀνομάτων ἐκφέρεται, πολλάκις μὲν ἐσκεψάμην, εὑρεῖν δ᾽ οὐκ ἠδυνήθην.

Κεφ. ζ. Ὅσον οὖν ἐν αὐτοῖς ἐστι σαφὲς, ἐπισκεψώμεθα, καθάπερ ὀλίγον ἔμπροσθεν ἐπὶ τοῦ ναρκώδους πόνου. δίκαιον γάρ ἐστι τὰ μὲν ἀσαφῆ τῶν ὀνομάτων ἐν ἀδήλῳ καταλιπεῖν, ἄχρηστα νομίζοντας, καθάπερ εἰ μηδ᾽ ὅλως ἐγέγραπτο· τὰ δὲ σαφῆ κρίνειν οὐ τῷ λόγῳ μόνον, ἀλλὰ πολὺ πρότερον ἔτι τῇ πείρᾳ. χαλεπὸν δὲ τὸ τοιοῦτον κριτήριον, ὡς ἂν ἑτέροις πολλάκις ἀναγκαζομένων ἡμῶν πιστεύειν, οὔτε παρακολουθοῦσιν σαφῶς οἷς πάσχουσιν διὰ μαλακίαν ψυχῆς, οὔτ᾽, εἰ καὶ παρακολουθοῖεν, ἑρμηνεῦσαι δυναμένοις,

hujusmodi. Quod fi quis appellationes ipfarum permutaverit, quid dicat, auditorum intelliget nemo, veluti de adftringente, aut aufter dolore. Nam quid fit dulcis, ne fingi quidem poteft, quum dolor femper moleftet laborantem, dulcia quaeque jucunda fint. Igitur quam veriffimum eft Archigenem circa medicae artis opera fuiffe ftudiofum; quo pacto vero in hujusmodi nomina inciderit, quum faepenumero inveftigaverim, invenire non potui.

Cap. VII. Itaque quid in ipfis manifeftum fit, ut paulo ante in torpido dolore, fpeculemur. Nam juftum eft, nos obfecura nomina in dubio derelicta inutilia reputare, perinde ac fi nunquam fcripta fuiffent; quae vero clara funt, judicare non ratione duntaxat, fed multo prius etiam experimento. Quanquam hujusmodi judicium perdifficile eft, quod plerumque aliis nos credere oporteat, qui fuos affectus ob animi mollitiem neque confequi plane, neque, fi confequantur, enarrare poffunt, aut quia oratione, quid patian-

ἢ τῷ μηδ' ὅλως οἵους τ' εἶναι λόγῳ δηλῶσαι περὶ ὧν πάσχουσιν, οὐ γὰρ μικρᾶς δυνάμεως τὸ τοιοῦτον, ἢ τῷ μηδ' εἶναι ῥητὸν αὐτό. καταλείπεται τοίνυν αὐτὸν πεπονθέναι τὸν μέλλοντα γράψειν ἑκάστου τῶν ἀλγημάτων τὴν ἰδέαν, ἰατρόν τε ὄντα καὶ ἄλλοις ἑρμηνεῦσαι δυνατὸν, ἑαυτῷ τε παρηκολουθηκότα μετὰ φρονήσεως, ἡνίκ' ἔπασχεν, ἄνευ μαλακίας ψυχῆς. οὐ μὴν ἅπαντά γε τὰ πάθη καθ' ὅλον ἑαυτοῦ τὸν βίον ἔπαθέν τις, εἰ καὶ νοσωδέστατος εἴη· διὸ καὶ θαυμάζω, τὰς ἰδιότητας αὐτῶν ἀναγιγνώσκων, ὅσας ἔγραψεν ὁ Ἀρχιγένης· ὡς γὰρ αὐτὸς ἅπαντα πεπονθὼς διηγεῖται, καίτοι γ' οὐ πάνυ τι νοσώδης γενόμενος· εἰ δὲ καὶ καθ' ἕν τι μόριον τοῦ σώματος ἀσθενὴς καὶ νοσώδης ἦν, ἀλλ' οὔπω γε πάντα, καθάπερ οὐδ' ἄλλος τις οὐδεὶς ἀνθρώπων. οὐδὲ γὰρ ἂν εὕροις τὸν αὐτὸν ἄνθρωπον ἅμα τε κεφαλὴν ἀσθενῆ καὶ θώρακα καὶ πνεύμονα καὶ ἧπαρ καὶ σπλῆνα καὶ γαστέρα καὶ νῆστιν καὶ κῶλον καὶ κύστιν, ἕκαστόν τε τῶν ἄλλων. ἔοικεν οὖν ἐπινοίαις τισὶν ἰδίαις λογικαῖς, ἢ τῇ πείρᾳ τῶν πεπονθότων, ὁ Ἀρχιγένης

tur, declarare omnino nequeunt, non enim parvae facultatis ea res existimatur, aut quia affectus ipse ineffabilis est. Ergo relinquitur, ut qui singulorum dolorum species scripturus est, ipsemet passus fuerit, sitque medicus et interpretandi aliis facultatem habeat et prudenter et sine mollitie observaverit suos affectus, dum laboraret. Atqui nemo per totum aetatis suae decursum omnes affectus sustinuit, etiamsi aegerrimus fuerit. Proinde miror, quum eorum proprietates ab Archigene scriptas lego; nam tanquam omnes ipse perpessus narrat, quanquam non admodum valetudinarius erat; quod si etiam unam aliquam partem infirmam et aegram habuit, at nondum tamen omnes, ut nec reliquorum mortalium ullus. Neque enim inveneris hominem eundem, qui simul et caput habeat infirmum et thoracem et pulmonem et hepar et lienem et ventriculum et jejunum et colon et vesicam atque reliquas id genus partes. Videtur itaque Archigenes propriis quibusdam conceptibus logicis potius credi-

ἀποπιστεῦσαι, διηγουμένων ὡς ἠδύναντο τὰς διαφορὰς τῶν ἀλγημάτων.

Κεφ. η'. Ἵν' οὖν τι πλέον ἔχωσι καὶ παρ' ἡμῶν οἱ φιλομαθεῖς, αὐτὰς ῥήσεις αὐτοῦ παραθέμενοι, ὅσα μὲν ἀληθῆ τ' ἐστὶν ἅμα καὶ σαφῆ, ταῦτ' ἐκλέξας μόνα, πιστεύειν αὐτοῖς ἀξιώσω τοὺς ἀσκουμένους κατὰ τὴν τέχνην· ὅσα δ' οὐ τοιαῦτα, παρέρχεσθαι συμβουλεύσω. μεμψάμενος οὖν ὁ Ἀρχιγένης τῷ Ἀσκληπιάδῃ τὸ μὲν πεπονθὸς νεῦρον ἐν ταῖς ἀρθρίτισιν ἀνώδυνον εἶναι λέγοντι, διότι μηδ' ὅλως αἰσθάνεται, τὴν δ' ἀπαθῆ σάρκα [409] τῇ γειτνιάσει θλιβομένην ὀδυνᾶσθαι, μετὰ ταῦτα γράφει κατὰ λέξιν οὕτως· τὰ δ' ἀγγεῖα στερεῶς ἐπιθλιβόμενα τὰς ἄνευ φλεγμονῆς κεφαλαλγίας ἐπέχει, ὥσπερ ἐμπτώσεώς τινος εἰς αὐτὰ κωλυομένης· καὶ ὁ βαρβαρικὸς διάδεσμὸς, τότε μάλιστα ἀνύει. τὰς δὲ σφακελώδεις ἑτεροκρανίας ἡ διακοπὴ αὐτῶν, καὶ μᾶλλον ἡ τῆς ἀρτηρίας, περιγράφει. ἥτις καὶ σφυγμώδη καθηγουμένη καὶ διαΐσσοντα τὸν πόνον ἐμβάλλει, καὶ στρογγύλλεται ὑποφρίσσουσα ἐπισήμως, ὥσπερ αἱ μὲν φλέβες οἷον ἀποκιρσοῦν-

diffe quam experientiae eorum, qui perpeffi funt, qui dolorum differentias ut poterant enarrarent.

Cap. VIII. Ut igitur ftudiofi aliquid uberius a nobis confequantur, propofita ejus oratione ipfa, electisque iis folis, quae vera fimul funt et manifefta, eos qui in arte exercentur, adhortabor, ut iis habeant fidem; quae vero fecus habent, ea praetereant. Igitur Archigenes, quum reprehendiffet Asclepiadem dicentem in arthritidibus nervum affectum citra dolorem effe, quod nihil omnino fentiat; carnem autem, quanquam non affectam, dolere tamen, a parte vicina compreffam; poftea ad verbum ita fcribit: *At vafa folide compreffa capitis dolores fine inflammatione obortos arcent, ut prohibita in ipfa incurfione, quod barbaricum vinculum tum maxime perficit. Sideratas vero heterocranias praecifio eorum, maxime arteriae, circumfcribit. Quae primo affecta, pulfatorium et emicantem dolorem inducit ac rotunda evadit, infigniter fubhorrescens, quemad-*

ται, τὰ δὲ νεῦρα διατείνεταί τε καὶ σκληρύνεται συστρεφόμενα. καὶ ταῦτα μὲν ναρκώδεις ἐπιφέρει τοὺς πόνους, καὶ σκληρῶς διατείνοντας καὶ βυθίους καὶ ἐμπεπαρμένους καὶ στενοχωρίας πλήρεις καὶ ἥκιστα κεχυμένους· οἱ δ᾽ ὑμένες καὶ ἐπὶ πλάτος διήκοντας αὐτοὺς παρέχουσιν, καὶ ἀνωμάλους, ὥστε καὶ αἱμωδίᾳ τι προσεοικὸς ἔχειν, τὴν τῆς ἀναδόσεως τραχύτητα. πονεῖ δὲ πολλάκις οὕτω καὶ ἡ ἐπιφάνεια καὶ οἱ μεταξὺ τῆς σαρκὸς ὑμένες, οἳ καὶ τοὺς διασπῶντας πόνους ἐπιφέρουσι. τοὺς (263) δὲ ἀπὸ τῶν περὶ τὰ ὀστέα προστυπεῖς εὑρήσεις, ὡς αὐτῶν δοκεῖν τῶν ὀστέων ὄντας. αἱ φλέβες δὲ βαρεῖς καὶ καθέλκοντας καὶ ὁμαλῶς ἐμπεπλασμένους ἐπιφέρουσιν αὐτοὺς, αἱ δὲ σάρκες κεχυμένους τε καὶ χαλαρωτέρους· διὸ φαίνονται μηδ᾽ ἐπὶ πολὺ ἐκτεινόμεναι, ὡς ἐμπλεούσης τραχύμασί τισι δοκεῖν τῆς αἰσθήσεως. οἱ μύες δὲ σαρκός τι καὶ νεύρου μίγμα τῶν ἰδιωμάτων, ἀμέλει καὶ τῆς ἀρτηρίας, ἐν τοῖς πόνοις ἀναφέρουσιν, σφριγῶντες, ὡς ἂν εἴποι τις, καὶ μετ᾽ εὐρυχωρίας διατεινόμενοι καὶ ναρκῶδες σφύζοντες. τῶν

modum venae quidem veluti varicofae fiunt, nervi vero contorti diftenduntur ac indurantur. Atque hi quidem ftupidos inferunt dolores et dure diftendentes et profundos et infixos et anguftiae plenos et minime fufos. Membranae vero in latum etiam discurrentes et inaequales ipfos excitant, ut et haemodiae fimile quidpiam habeant, transmiffionis videlicet afperitatem. Dolet vero faepenumero hoc modo etiam fuperficies et membranae in media carne contentae, quae dilaniantes quoque dolores inferunt. Eos vero, qui a partibus offa circumdantibus dependent, tundentes comperies, ac fi in offibus ipfis confifterent. A venis graves et detrahentes et aequaliter infarcti dolores fuscitantur, a carne autem fufi et laxiores; quapropter non adeo extendi videntur, fed arbitratur laborans fenfum asperis quibusdam rebus impleri. Musculi carnis nervorumque proprietatum, arteriarum quoque, in doloribus mixtionem prae fe ferunt, turgentes, ut ita dixeris, et cum capaci latitudine diftenti et ftupide pulfantes. Ex reli-

Ed. Chart. VII. [409.] Ed. Baf. III. (263.)

δ᾽ ἄλλων ὁ μὲν ἑλκώδης πόνος καὶ ἐν ἕλκεσιν ὁ ἰσχνῶς ὀξὺς, καὶ οὐχ ἥκιστα ὁ γλυκύτερος καὶ κνησμοῦ προσαγωγὸς, ἐπιφανείας ἔοικεν ὤν· ὁ δὲ νυγματώδης τοῦ βάθους· ὁ δὲ ἐνερείδων κόλπου πλησιάζοντος· ὁ δὲ διακεντῶν τὰ μὲν πεπονθέναι τι τῶν ἐν τῷ τόπῳ διασαφεῖ, τὰ δὲ μὴ, οὐκ ἐν βάθει τὴν ὑπόστασιν ἔχων· σπαράσσων δέ ἐστιν ὁ ἐν κόλποις συνιστάμενος. αὕτη μὲν ἡ πρώτη ῥῆσίς ἐστιν Ἀρχιγένους ἐκ τοῦ πρώτου τῶν πεπονθότων τόπων, ἐπιχειροῦντος διδάσκειν, ὅπως ἄν τις εὑρίσκοι τὰ πεπονθότα μέρη, τῇ τῶν πόνων διαφορᾷ προσέχων τὸν νοῦν. ἐπισκεψώμεθα δ᾽ ἀπ᾽ ἀρχῆς αὐτὴν μὴ παρέργως. τὰς σφακελώδεις, φησὶν, ἑτεροκρανίας ἡ διακοπὴ τῶν ἀγγείων περιγράφει. τίνας μὲν οὖν λέγει τὰς σφακελώδεις, χαλεπὸν εὑρεῖν, οὐδὲ γὰρ ὡμολόγηται τῆς σφάκελος φωνῆς τὸ σημαινόμενον, ἐνίων μὲν ὀδύνην λεγόντων μεγάλην δηλοῦσθαι, τινῶν δὲ φλεγμονῆς ὑπερβολὴν τηλικαύτην, ὡς ἐπιφέρειν κίνδυνον φθορᾶς τοῦ μέρους, ὅπερ ἔνιοι γάγγραιναν ὀνομάζουσιν· ἐνίων δὲ τὴν φθορὰν αὐτὴν τοῦ πάσχοντος μορίου σφάκελον ὀνομάζεσθαι

quis vero ulcerofus quidem dolor et in ulceribus graciliter acutus, et non minime dulcior et qui pruriginem inducit, ad fuperficiem pertinere videtur; punctorius autem ad profundas partes; impingens autem vicino finu; ftimulans autem partim eorum, quae in loco funt, aliquid affectum effe declarat, partim contra, ut qui haudquaquam in profundo fubfiftat; lacerans autem eft, qui in finibus confiftit. Hic eft primus Archigenis fermo ex libro primo de locis affectis, quo docere conatur, quomodo ex dolorum differentiis partes affectae poffint inveniri. Igitur rurfus ab initio ipfum examinemus, non obiter. *Sideratas*, inquit, *hemicranias vaforum diffectio circumfcribit.* Igitur quas nominet fideratas, inventu difficile eft; non enim inter omnes convenit, quid haec vox, *fphacelos*, fignificet. Sunt enim, qui dicunt ipfam vehementem dolorem declarare; alii tantum inflammationis exceffum, ut partem ad corruptionis periculum inducat, quod a nonnullis gangraena appellatur; alii partis affectae corruptionem ipfam fphacelon dici volunt;

φασκόντων· ἄλλων δὲ σπασμόν· ἄλλων τ᾽ οὐχ ἁπλῶς σπασμὸν, ἀλλὰ τὸν ἐπὶ φλεγμονῇ νευρωδῶν σωμάτων· ἐνίων τ᾽ οὐ τὸν ἤδη γινόμενον σπασμὸν, ἀλλὰ τὸν προσδοκώμενον ἐπὶ μεγέθει φλεγμονῆς· ἐνίων δ᾽ ἁπλῶς τάσιν ἰσχυράν· ἄλλων δὲ σηπεδόνα. τὸ μὲν δὴ σφακελῶδες ὄνομα, τὸ κατὰ τὴν προγεγραμμένην ῥῆσιν ὑπὸ Ἀρχιγένους εἰρημένον, εἰς τοσοῦτον ἀσαφείας ἥκει, ὡς μηδὲν δηλοῦν, μηδ᾽ ἐξήγησιν ὀνομάτων ἰατρικῶν ἐν ἑτέρᾳ πραγματείᾳ γράψαντος αὐτοῦ. τὸ δὲ περιγράφει τάχ᾽ ἄν τις ὑπονοήσειεν εἰρῆσθαι τὸ οἷον ταχέως ἢ παντελῶς ἰᾶται, καὶ κείσθω γ᾽ [410] οὕτως εἰρῆσθαι. τί γὰρ ἄν τις πάθοι νοεῖν ὀρεγόμενος ἃ μηδ᾽ ὁ γράψας αὐτὸς ἐσπούδασε νοῆσαι; σφυγματώδη οὖν καὶ διαΐσσοντα τὸν πόνον ἐμβάλλειν φησὶν τὰς ἀρτηρίας, ὅταν αὗται δηλονότι πρωτοπαθῶσι κατὰ τὰς σφακελώδεις ἑτεροκρανίας. τὸν μὲν οὖν σφυγματώδη πόνον ἐξήγημαι πρόσθεν, ὁποῖός τίς ἐστιν, ὄντα καὶ πρὸ τῆς ἐμῆς ἐξηγήσεως ἅπασι τοῖς ἰατροῖς γνώριμον, οἵ γε καὶ σύμπτωμα αὐτὸν εἶναί φασι φλεγμονῶν με-

alii convulfionem, alii non fimpliciter convulfionem, fed nervoforum corporum, quae inflammatione laborant; nonnulli non eam, quae fit, convulfionem, fed quae ex inflammationis magnitudine expectatur; alii fimpliciter vehementem tenfionem, alii putredinem. Ergo vocabulum *fphacelodes*, in jam propofita Archigenis oratione fcriptum, ad tantam pervenit obfcuritatem, ut nihil fignificet, quum ipfe nusquam medicorum nominum enarrationem fcripferit. Per verbum autem *circumfcribit* fortaffis intelliget quispiam dictum effe ab eo, veluti celeriter, vel ex toto fanat; ac ponamus ita dictum effe; nam quid facere poffit is, qui intelligere cupit ea, quae ne is quidem, qui fcripfit, intelligi voluit? Deinde pulfatorium et emicantem dolorem arterias inferre dicit, quum ipfae videlicet per fphacelodes heterocranias primigenia affectione laborant. Itaque qualis fit pulfatorius dolor, fuperius enarravimus, quamvis ante noftram enarrationem omnibus medicis notus fit, fiquidem ingentium inflammationum fymptoma ipfum effe perhibent

γάλων. ὁ δὲ διαΐσσων πόνος ἐστὶν, ὅταν ὥσπερ ἀπὸ ῥίζης ἀρχόμενος τοῦ πρωτοπαθοῦντος μορίου φέρηται ταχέως εἰς τὰ παρακείμενα, καὶ συμβαίνει τοῦτο ταῖς σφοδροτ΄ταις οὐχ ἑτεροκρανίαις μόνον, ὡς Ἀρχιγένης ἐμνημόνευσιν, ἀλλὰ καὶ ταῖς κεφαλαίαις ὀνομαζομέναις. καὶ γὰρ ἐπ᾽ ἐκείνων ἐνίοτε φανερῶς αἱ ἀρτηρίαι πρωτοπαθοῦσαι τοιοῦτον ἔχουσι τὸν πόνον, οἷον εἶπεν ὁ Ἀρχιγένης, ὥσθ᾽ ὁμολογεῖν ἐνίους, αἰσθάνεσθαι τῶν ἀγγείων αὐτῶν ἀλγούντων, ὅπερ ἑρμηνεῦσαι βουλόμενος στρογγύλλεσθαι τὴν ἀρτηρίαν ὑποφρίσσουσαν ἔφη. πότερον οὖν ὥσπερ τὰς ἀρτηρίας ἐν ταῖς σφακελώδεσιν ἑτεροκρανίαις οὕτω πάσχειν ἔφη, κατὰ τὸν αὐτὸν τρόπον ἀκούσει τις αὐτοῦ καὶ περὶ τῶν φλεβῶν, ὡς κατὰ τοῦτο τὸ νόσημα μόνον οἷον ἀποκιρσουμένων; ἢ κοινὸν σύμπτωμά ἐστι φλεβῶν ὁπωσοῦν πασχουσῶν, ἢ φλεγμαινουσῶν μόνον; καθ᾽ ὅσον μὲν γὰρ συνάπτει τῷ περὶ τῶν ἀρτηριῶν λόγῳ τὸν περὶ τῶν φλεβῶν, ἐπὶ ταὐτοῦ πάθους εἰκὸς ὑπολαμβάνειν ἐστὶν γίγνεσθαι τοὺς λόγους αὐτῷ· καθ᾽ ὅσον δ᾽ ἐφεξῆς ὑπέρ τε τῶν νεύρων γράφει καθόλου καί τινων ἄλλων μορίων τοιούτων, μὴ

Emicans autem dolor eſt, qui a parte primario affecta veluti a radice incipiens, celeriter in partes adjacentes transfertur; id vero non ſolum in heterocraniis vehementiſſimis, ut Archigeni placuit, ſed in cephalaeis quoque vocatis, evenire ſolet; etenim in his nonnunquam arteriae primario affectae hujusmodi, qualem dixit Archigenes, dolore vexantur, ita ut fateantur nonnulli, vaſorum ipſorum ſe dolorem ſentire; quod interpretari volens, arteriam ſubhorrentem fieri rotundam dixit. Utrum igitur veluti per ſphacelodes heterocranias arterias ita affici dicit, ad eundem modum de venis eum ſenſiſſe exiſtimandum eſt, quod per hunc ſolum morbum veluti varicoſae fiant? an commune ſymptoma eſt venarum quomodolibet affectarum, vel duntaxat inflammatarum? Ex eo enim quod ſermoni de arteriis jungit ſermonem de venis, par eſt, ut conjiciamus de eodem affectu ipſum fuiſſe loquutum; ex eo autem quod mox in univerſum de nervis atque de aliis hujusmodi partibus ſcribit, non ad-

Ed. Chart. VII. [410.] Ed. Baf. III. (263.)

συνάπτων ἑνὶ νοσήματι τὸν ὑπὲρ αὐτῶν λόγον, κατὰ τοσοῦτον αὖ πάλιν ὡσαύτως καὶ αὐτῷ ὑπονοήσεις λελέχθαι περὶ τῶν φλεβῶν. ἄμεινον δ' ὡς ἐν ἀδήλοις, ἐπὶ μὲν τῆς ἡμικρανίας ἡγεῖσθαι τῶν φλεβῶν αὐτῶν ἅμα ταῖς ἀρτηρίαις μνημονεύειν, ἁπλῶς δὲ τῶν ἄλλων ὀργάνων, ἄνευ πάθους τινὸς ἀφωρισμένου κατά τε τὰ νεῦρα καὶ τὰ τούτων ἐφεξῆς, ἐν οἷς πάλιν ἔφη τὰς φλέβας δὲ βαρεῖς καὶ καθέλκοντας καὶ ὁμαλῶς ἐμπεπλασμένους ἐπιφέρειν τοὺς πόνους. ταυτὶ μὲν οὖν ἀμφιβολίαν ἔχει τινά· τὸ δ' ἐφεξῆς εἰρημένον, ἔνθα φησίν· τὰ δὲ νεῦρα διατείνεταί τε καὶ σκληρύνεται συστρεφόμενα· φανερῶς ἀποχωροῦντος μέν ἐστι τῆς τῶν ἑτεροκρανιῶν διαθέσεως, ἀποφαινομένου δὲ καθόλου περὶ νεύρων ὁπωσοῦν πασχόντων. ἔστι δὲ τοῦτο φανερῶς ψεῦδος· οὐ γὰρ ἅπαν πάθος νεύρων σκληρύνει καὶ συστρέφει τὴν οὐσίαν αὐτῶν, ἀλλ' ἔστιν ἃ καὶ χαλαρὰ ποιεῖ τὰ νεῦρα, καθάπερ ἀτροφία σαφῶς· ἀλλὰ καὶ πολλάκις οὐδεμίαν αἰσθητὴν ἔχοντα διαφορὰν, ἀλλ' ἀκριβῶς ἐοικότα τοῖς ὑγιαίνουσιν, οὔτ' αἰσθή-

aptans uni morbo fermonem de ipfis habitum, rurfus putabis ab ipfo itidem de venis quoque fuiffe dictum. Itaque in hac ambiguitate fatius fuerit, ut exiftimemus in eo fermone, quem de hemicrania confcripfit, fimul cum arteriis ipfarum venarum quoque mentionem feciffe; fimpliciter vero reliquorum inftrumentorum, fine ullo diftincto affectu neque in nervis, neque in iis, quae deinceps confequuntur; in quibus rurfum dixit: *venas graves ac detrahentes atque aequaliter infarctos dolores inferre.* Haec igitur nonnihil ambiguitatis continent; quod vero deinceps fequitur, ubi dicit: *nervi vero diftenduntur et contorti indurantur;* recedit quidem manifefte ab heterocranica affectione, loquitur autem in univerfum de nervis quomodolibet affectis. Id autem plane falfum eft; non enim quilibet nervorum affectus ipforum fubftantiam indurat atque intorquet, fed nonnulli laxiores quoque faciunt nervos, ut atrophia manifefte; quinetiam faepenumero nullam fenfu perceptibilem habent differentiam, fed exquifite fanis fimiles funt, neque fenfum tamen

Ed. Chart. VII. [410. 411.] Ed. Baf. III. (263.)

σεως οὔτε κινήσεώς τι χορηγεῖ τοῖς ὑποτεταγμένοις σώμασιν. ἴσως οὖν ἐν μόναις ταῖς φλεγμοναῖς, ἢ τοῖς φλεγμονώδεσι νοσήμασιν, ἢ τοῖς παρὰ φύσιν ὄγκοις πᾶσιν, ἔφη σκληρύνεσθαί τε καὶ συστρέφεσθαι τὰ νεῦρα· καίτοι ἐν τούτοις ἐναργῶς φαινόμενόν ἐστι τὸ τείνεσθαι τὰ νεῦρα, καὶ γὰρ καὶ αὐτοῖς τοῖς κάμνουσι καὶ ἡμῖν τοῖς ὁρῶσιν αὐτὰ φαίνεται τεινόμενα, διὸ καὶ σπασμοὶ καὶ τέτανοι μὴ θεραπευθεῖσιν αὐτοῖς ἕπονται. καὶ κοινὸν ἔοικε τοῦτ᾽ εἶναι σύμπτωμα τῶν εἰς ὄγκον αἰρομένων ἁπάντων, τὸ τείνεσθαι· τεθεάμεθα γὰρ ἤδη καὶ ἀρτηρίας [411] καὶ φλέβας φλεγμαινούσας ἐναργῶς τεταμένας· τὰς μὲν, ὅταν ἐν ἄκρῳ τῷ κώλῳ φλεγμονῆς γενομένης ἐπαρθῇ βουβὼν, οὐκ ὀλιγάκις γὰρ ἐναργῶς ὤφθη τεταμένον ὅλον τὸ ἀγγεῖον ἐρυθρότερόν τε καὶ θερμότερον, ὀδυνηρότερόν τε ψαυόντων γεγονὸς, ὡς εἶναι πρόδηλον, ὅτι φλεγμαίνει σύμπαν, ἀρξάμενον ἀπὸ τοῦ πρωτοπαθήσαντος μορίου μέχρι τῆς μασχάλης καὶ βουβῶνος. καὶ καλῶς ὑπὸ τῶν ἰατρῶν εἴρηται σχεδὸν ἁπάντων, ἔρευθος καὶ τάσις καὶ ἀντιτυπία καὶ ὄγκος καὶ ὀδύνη τοῖς φλεγμαίνουσι μέρεσι συμβαίνειν· ὁ σφυγμὸς δ᾽ οὐχ ἅπασιν, ὡς εἴπομεν,

neque motum praeftant fubjectis corporibus. Itaque in folis fortaffe inflammationibus, aut inflammatoriis morbis, aut praeter naturam tumoribus omnibus, dixit nervos indurari et contorqueri; at in iis manifefte apparet nervos intendi; nam et aegrotantibus ipfis et nobis afpicientibus intendi apparent; quapropter, nifi curentur, et convulfiones et tetani ipfos fequuntur. Atque omnium, quae in tumorem attolluntur, commune fymptoma effe videtur, ut tendantur; nam et arterias et venas inflammatione affectas manifefte tendi vidimus; venas quidem, ubi per fumma membra orta inflammatione bubo exurgit; plerumque enim totum vas intentum videtur rubere magis et calere, atque majori dolore, fi tangatur, affectum, ut fit manifeftum totum inflammari, incipiendo ab ea parte, quae primario affecta eft, usque ad alas et inguina. Proinde recte dixerunt omnes fere medici, inflammatis partibus accidere, ut rubescant, tendantur, renitantur, intumescant et doleant; pulfum vero non omni-

ἀλλ᾽ ἐν οἷς ἀρτηρίαι τέ εἰσιν αἰσθηταὶ, καὶ τὸ μόριον εἰ αἰσθητικὸν ᾖ, ἀξιόλογός τε κατὰ τὸ μέγεθος ἡ φλεγμονή· τηνικαῦτα γὰρ οἱ κάμνοντες αἰσθάνονται σφυγμώδους ὀδύνης, κἂν μηδὲν αἰσθητὸν ἀγγεῖον ᾖ κατ᾽ αὐτὸ πάσχον σῶμα. τάχ᾽ οὖν ἐρήσεταί τις με τὰ καθ᾽ ἕκαστον ὄργανον ἴδια συμπτώματα· λέλεκται δ᾽ ἤδη καὶ πρόσθεν καὶ οὐχ ἅπαξ, ὡς ἡ βλάβη τῆς οἰκείας ἐνεργείας ἴδιον ἑκάστου μορίου σύμπτωμά ἐστιν, ὁποία ποτ᾽ ἂν ᾖ κατ᾽ εἶδος· οὔτε δ᾽ ἄλλο τι σύμπτωμα ἐξ ἀνάγκης αὐτοῖς οὔθ᾽ αἱ διαφοραὶ τῆς βλάβης ὑπάρχουσιν, ἀλλὰ κατὰ τὴν ἰδέαν τε καὶ μέγεθος τοῦ πάθους αἱ διαφοραὶ μὲν ἐξαλλάττονται, τὸ δὲ εἶδος, ἢ τὸ γένος, ἢ ὅπως ἂν ἐθέλῃ τις ὀνομάζειν, ἀεὶ διαμένει τοῦ συμπτώματος, ὃ κατὰ τὴν βεβλαμμένην ἐνέργειάν ἐστι. καὶ πλεονάσαι γε κάλλιον ἦν Ἀρχιγένει κατὰ τοῦτο περιλαβόντι μεθόδῳ τὸ σύμπαν, (264) ἐπειδὴ καὶ τοῖς ἄλλοις ἠμέληται· γέγραπται δ᾽ ὑφ᾽ ἡμῶν ἐν πολλαῖς ἄλλαις πραγματείαις οὐκ ὀλίγα τῶν τοιούτων, ὥσπερ ἀμέλει καὶ νῦν εἰρήσεται διὰ τῶν ἐφεξῆς, ὅσα μὲν ἑτέρωθι τελείως ἐξειργασάμεθα, συντομώτερον, ὅσα δὲ

bus, ut diximus, fed iis duntaxat, in quibus arteriae notatu dignae funt, et pars fi fenfu praedita fit et notabilis magnitudinis inflammatio; tunc enim pulfatorium dolorem fentiunt laborantes, vel nullo exiftente fenfili vafe in affecto corpore. Aliquis quaeret ex me fortaffe, quae fint fingulorum inftrumentorum propria accidentia. Id vero jam antea, neque femel duntaxat, explicatum eft, quod propriae actionis laefio, qualicunque fit fpecie, cujuslibet partis proprium eft fymptoma; neque aliud eis ex neceffitate fymptoma, neque etiam laefionum differentiae exiftunt; fed differentiae quidem variant pro affectus tum fpecie tum magnitudine; fymptomatis vero ad laefam actionem pertinentis five genus, five fpecies, aut utcunque nominare volueris, femper manet. Et fatius fane fuiffet Archigenem totum methodo complectentem, abundantius haec perfequi, quum ab aliis negligentius fint tradita, quorum non pauca in plurimis aliis libris confcripfimus, quemadmodum et pofthac deinceps dicentur, breviori quidem compendio ea, quae exacte alibi fuerunt exa-

διὰ βραχυτέρων ἐν ἄλλοις ἐῤῥέθη, μακρότερον ἐνταῦθα διερχομένων ἡμῶν αὐτά. νυνὶ δὲ τὰς ὑπολοίπους τῶν πόνων διαφορὰς ἐπέλθωμεν, ὅσων ἐμνημόνευσεν ὁ Ἀρχιγένης ἐν τῇ προγεγραμμένῃ ῥήσει. τὸ μὲν δὴ ναρκώδεις γίνεσθαι τοὺς πόνους τοῖς νεύροις, ὅπως ἡμάρτηται, καὶ ὡς οὐκ ἔστι μορίου τινὸς ἴδιον ἡ νάρκη πάθος, ἀλλ᾽ αἰτίας τε καὶ διαθέσεως, ἔμπροσθεν εἴρηται· τὸ δὲ σκληρῶς διατείνοντας ἐπ᾽ αὐτοῖς γίνεσθαι τοὺς πόνους, ὀρθῶς εἴρηται, καὶ κάλλιόν γ᾽ ἂν ἦν τὸ ἁπλῶς εἰρημένον, ἄνευ τοῦ σκληρῶς. διατείνοντες γάρ εἰσιν ἱκανῶς ἑκατέρωσε τῶν νεύρων οἱ πόνοι, διότι καὶ τείνεται πρὸς ἄμφω τὰ πέρατα, τό τε τῆς πρώτης ἀρχῆς καὶ τὸ τῆς ἐσχάτης τελευτῆς, ὥσπερ ἐν ταῖς κιθάραις αἱ χορδαὶ, καὶ ῥήγνυνταί γε πολλάκις ἐν αὐταῖς αἱ σφοδρῶς τεταμέναι, καὶ διὰ τοῦτ᾽ ἀποτιθέμενοι μετὰ τὸ χρήσασθαι τοῖς ὀργάνοις οἱ κιθαρισταὶ τὰς χορδὰς ἀνιᾶσι. καὶ μὲν δὴ καὶ ὅτι τείνονται σαφῶς ὑπὸ τῶν ἐναντίων αἰτίων τε καὶ διαθέσεων, οὐδεὶς ἀγνοεῖ, κἂν ὑγρὸν ᾖ τὸ περιέχον, ὥστε καὶ διαβρέχειν αὐτὰς καὶ πληροῦν, κἂν ξηρὸν ἱκανῶς· εἰς ἰσχάτην γὰρ

rata; longiori vero disputatione hic tractabimus ea, quae alibi breviori ſtylo percurrimus. Nunc vero reliquas dolorum differentias, quarum in praeſcripto ſermone Archigenes mentionem fecit, perſequamur. Quod igitur peccaverit, dicens torpidos dolores nervis evenire, quodque ſtupor non unius cujuspiam partis proprius ſit affectus, ſed cauſae potius ac affectionis, antea dictum eſt; quod vero *dolores dure diſtendentes* in ipſis fiant, recte dictum eſt; quanquam melius erat, ſi ſimpliciter dixiſſet, *diſtendentes*, non addendo *dure;* nam nervorum dolores utrinque vehementer diſtendunt, quia ad utraque extrema tenduntur, tum id a quo primo incipiunt, tum illud in quo finiuntur, ut chordae in cithara, quae ſaepenumero, ubi nimis intenduntur, dirumpi ſolent; ac propterea cithariſtae, quum inſtrumenta ſua poſt uſum reponunt, chordas relaxant. Et ſane quod eae a contrariis tum cauſis tum affectionibus intendantur, ignorat nemo, ſive humidus fuerit ambiens aër, ut riget ipſas et impleat, ſive vehementer aridus; ab utraque enim ambientis

ἀφικνούμεναι τάσιν ἐν ἑκατέρᾳ κράσει τοῦ περιέχοντος, εἰκότως ῥήγνυνται. καλῶς οὖν ὁ Ἱπποκράτης τοὺς σπασμοὺς τῶν νεύρων ἐπὶ πληρώσει τε καὶ κενώσει γίνεσθαί φησι, τάσεις ἀμέτρους οὔσας δηλονότι τῶν νεύρων. τὸ δὲ βυθίους εἶναι τοὺς πόνους αὐτῶν, ἀπὸ τῶν συμβεβηκότων εἴληπται τοῖς πλείστοις τῶν νεύρων. ἐπειδὴ γὰρ ἀεὶ πρῶται μὲν ἐπιπολῆς εἰσιν αἱ φλέβες, ἐφεξῆς δ᾽ αὐτῶν αἱ ἀρτηρίαι, καὶ μετὰ ταύτας τὰ νεῦρα, διὰ τοῦτ᾽ ἐν βάθει τῆς τάσεως αὐτῶν οἱ κάμνοντες αἰσθάνονται· τέ[412]νοντές γε μὴν πολλοὶ, νευρώδη σώματ᾽ ὄντες, ὑπ᾽ ἐνίων ἄντικρυς ὀνομαζόμενοι νεῦρα, τοὺς πόνους οὐ βυθίους, ἀλλ᾽ ἐπιπολῆς ἔχουσιν, ὅταν καὶ αὐτοὶ τύχωσιν οὕτως τεταμένοι, καθάπερ οἱ τοὺς δακτύλους ἐκτείνοντες· εἰσὶ δ᾽ ἀμέλει καὶ οἱ κάμπτοντες αὐτοὺς ἐπιπολῆς μὲν, ἀλλ᾽ οὐχ ὁμοίως τοῖς ἐκτείνουσιν. ὁ δ᾽ Ἀρχιγένης τοὺς πόνους τῶν νεύρων ἐμπεπαρμένους εἶναί φησι, ὑπάρχοντος τοῦ τοιούτου τῆς ὀδύνης εἴδους τῷ κώλῳ μᾶλλον, ὡς ἔμπροσθεν εἶπον· ἐγγίγνεται δὲ καὶ ὠτὶ μετά τινος σφυγμοῦ, καὶ τῶν ὀδόντων ταῖς μύλαις, ἔστι δ᾽ ὅτε καὶ

aëris temperie ad ultimam tenſionem perveniunt; unde non mirum, ſi rumpantur. Proinde recte dixit Hippocrates, *nervorum convulſiones et a plenitudine et ab inanitione evenire*, utpote quae ſint immodicae nervorum tenſiones. Sed *profundos eſſe eorum dolores*, id ab accidentibus, quae plurimis nervis eveniunt, ſumptum eſt. Etenim, quum venae quidem ſemper priores in ſuperficie ſint, deinde poſt eas arteriae, quibus poſtea nervi ſubduntur, idcirco laborantes eorum tenſionem in imo ſentiunt; quanquam multi tendones, qui nervoſa ſunt corpora et a nonnullis plane nervi nominantur, non profundos, ſed in ſuperficie dolores habent, ſi quando ipſos quoque ſic intendi contigerit, ut illos qui digitos extendunt; ſunt autem et qui illos incurvant, in ſuperficie quidem, ſed non ſimiliter, ut extendentes. Sed Archigenes *nervorum dolores infixos eſſe dicit*, quum hujusmodi doloris ſpecies, ut antea diximus, ad colon magis pertineat; accidit etiam auri cum quadam pulſatione, atque dentibus

τοῖς ὀφθαλμοῖς, ἥκιστα δὲ τοῖς νεύροις ἐμπεπαρμένος ὑπάρχει πόνος· ἐκτείνεται γὰρ ἐπὶ πλεῖστον ἑκατέρωσε μέχρι τῶν ἄνω τε καὶ κάτω τοῦ ζώου μορίων. τὸ δ᾽ ἐφεξῆς εἰρημένον ὑπὸ τοῦ Ἀρχιγένους, ὅτι καὶ στενοχωρίας πλήρεις ἔχει τὰ νεῦρα τοὺς πόνους, κακοζήλως μὲν εἴρηται τῇ λέξει· δηλοῖ δ᾽ οὐδὲν πλέον τοῦ μετ᾽ αὐτὸ, καθ᾽ ὅ φησι, καὶ ἥκιστα κεχυμένους· τῷ γὰρ ὄντι, κεχυμένους ἥκιστα, τοῦτ᾽ ἔστιν εἰς πλάτος ἐκτεταμένους οὐκ ἔχει τοὺς πόνους τὰ νεῦρα, ἀλλὰ κατὰ περιγραφήν τινα μᾶλλον, ἄνω τε καὶ κάτω τῆς τάσεως αὐτῶν διηκούσης, καὶ μᾶλλόν γ᾽ ἄνω μέχρι τῆς κεφαλῆς· καὶ τότε πρῶτον αὐτοῖς καὶ σπασμοὶ καὶ τέτανοι τοῦ παντὸς ἕπονται σώματος, οὐδενὸς τοιούτου συμβαίνοντος οὐδεμιᾷ τάσει νεύρου, πρὶν ἅψασθαι τῆς κεφαλῆς αὐτῆς. ἐφεξῆς δὲ τοῖς εἰρημένοις ὁ Ἀρχιγένης ἔγραψεν περὶ τῶν ὑμένων, ὅτι μὲν ἐπὶ πλάτος αὐτοῖς διήκουσιν οἱ πόνοι, πασχόντων αὐτῶν, ἀληθεύων· ὅτι δ᾽ αἱμωδίᾳ τι προσεοικὸς ἔχουσιν, οὐκ ἔτι ἀληθεύων, ὡς ἔμπροσθεν εἴρηται. τό γε μὴν ἀνωμάλους εἶναι τοὺς πόνους τῶν ὑμένων, οὐ διὰ παντὸς ἀληθὲς, ὅπου γε

molaribus, quinetiam quandoque oculis; minime vero nervis infixus dolor evenit; etenim magna ex parte utroque extenduntur et ad supernas et ad infernas animantis partes. Quod vero deinceps ab Archigene dictum est, *nervos angustiae plenos habere dolores,* prava locutionis imitatione dictum, ac nihil amplius declarat quam quod deinceps dicit, *et minime fusos.* Re vera enim minime fusos, hoc est in latitudinem porrectos, nervi dolores habent, sed magis quodammodo circumscriptos, utpote perveniente ipsorum tensione et ad supernas et ad infernas partes, magis vero sursum usque ad caput; ac tum primum ipsos universi corporis et convulsiones et distentiones comitantur, quum nulli nervi tensioni hujusmodi quicquam accidat, antequam caput ipsum attingat. Post haec consequenter scripsit Archigenes de membranis, quod quidem *in latum discurrant ipsis dolores;* quum afficiuntur, vere dicens, quod vero *aliquid haemodiae simile habeant,* non vere, ut antea dictum est. Neque etiam in totum verum est, *quod membranarum dolores sint*

τοὐναντίον ἀληθὲς μᾶλλόν ἐστιν· ἐοίκασι γὰρ κατὰ μὲν τὸν αὐτῶν λόγον ὁμαλοὺς ἐπιφέρειν τοὺς πόνους, ἐπειδὴ καὶ τὸ σῶμα πᾶν αὐτῶν ὁμαλόν· ἐκ δὲ τῆς πρὸς τὰ πλησιάζοντα κοινωνίας ἀνωμαλίαν τινὰ ἐπιφέρει ἔστιν ὅτε κατά τι συμβεβηκός. ὅταν γὰρ ἐπὶ τὸ πεπονθὸς αὐτῶν μέρος ἄγηται καὶ τείνηται τὰ πέριξ, ἀνομοίαν ἀναγκαῖόν ἐστιν γίγνεσθαι τὴν ὀδύνην· ἔνθα μὲν αἰσθητικώτερόν ἐστι τὸ τεινόμενον μόριον, ἐνταῦθα ὀδυνωμένων μᾶλλον, ἔνθα δὲ ἧττον αἰσθητικὸν, ἔλαττον ἀλγούντων. καὶ μὴν κἀκ τοῦ ψαύειν ἢ μὴ ψαύειν ὀστοῦ τὸ τεινόμενον ἡ διαφορὰ τῶν πόνων εἰκότως γίνεται. κατὰ τοῦτον γοῦν τὸν λόγον ἀλγοῦσι κατὰ τὴν κλεῖν ἔνιοι τῶν πλευριτικῶν, ἀνατεινομένου πρὸς τοῦτο τὸ χωρίον τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος· ἐνίοτε δ᾽ οὐκ εἰς τὴν κλεῖν, ἀλλ᾽ εἰς τὸ ὑποχόνδριον ὁ πόνος αὐτῶν διήκει, τῆς αἰσθήσεως γινομένης κατὰ τὸ διάφραγμα κινούμενον ἐξ ἀνάγκης, ὅταν ἀναπνέωσιν οἱ πλευριτικοὶ, μᾶλλον τῶν ἄλλων τοῦ θώρακος μορίων. ἡ γὰρ οἷον ῥίζα τῆς ὀδύνης ὅτ᾽ ἂν ἐν τῇ πλευρᾷ γένηται, τοῖς ἐνταῦθα μυσὶν ἀναπνεῖν ὀκνοῦσιν οἱ

inaequales, ſiquidem contrarium magis veritati conſentit; nam ex propria ſua ratione videntur aequales inducere dolores, quoniam univerſum ipſarum corpus aequale eſt; at ob communicationem cum vicinis, inaequalitatem quandam afferunt interdum per accidens. Quum enim ad affectam ipſarum partem ducuntur et tenduntur circumjacentes, inaequalem fieri dolorem neceſſe eſt; ubi enim intenta pars acutioris ſenſus eſt, ibi dolore vehementiore cruciantur; ubi vero ſenſum habet hebetiorem, ibi minus dolent. Atque ex eo quoque quod quae tenditur membrana, os ipſum vel attingit, vel non attingit, non abs re dolorum ſit differentia. Atque hac ratione nonnulli pleuriticorum jugulum dolent, porrecta in hunc locum membrana coſtas ſuccingente; aliquando tamen non ad jugulum, ſed ad hypochondrium dolor eorum tranſit, cujus ſenſus eſt in ſepto transverſo, utpote quod neceſſario movetur, quum pleuritici reſpirant, magis quam caeterae thoracis partes. Quum enim veluti radix doloris in latere conſiſtit, tum laborantes musculis qui illic ſunt reſpirare

κάμνοντες, ὥστε μόνῳ τῷ διαφράγματι τὸ τῆς ἀναπνοῆς ἔργον ἡ φύσις ἐπιτρέπει τηνικαῦτα, καθάπερ ἐν ταῖς ἀβιάστοις ἀναπνοαῖς ἐπὶ τῶν ὑγιαινόντων. ὅτ᾽ ἂν μὲν οὖν ἐν τοῖς κάτω μέρεσιν τῶν πλευρῶν ἡ φλεγμονὴ γένηται, τὸ διάφραγμα τεινόμενον ὀδυνᾶται μᾶλλον· ὅτ᾽ ἂν δ᾽ ἐν τοῖς ἄνω, κατὰ τὴν κλεῖν ἡ ὀδύνη διασημαίνει, τῷ μὲν τῆς κινήσεως λόγῳ, τὸ διάφραγμα, τῷ δὲ τῆς σκληρότητος, ἡ κλεῖς ἐργαζομένη τὴν ἀνίαν. [413] ἥπατος δὲ μεγάλως φλεγμαίνοντος ἢ σκιῤῥωθέντος, ἡ κατὰ τὴν δεξιὰν κλεῖν ὀδύνη γινομένη τῇ τάσει τῆς κοίλης φλεβὸς ἕπεται μᾶλλον ἢ τῇ τῶν ὑμένων. ὅτ᾽ ἂν δ᾽ εἴπῃ, πονεῖν πολλάκις οὕτω καὶ τὴν ἐπιφάνειαν, ὅπέρ ἐστιν, τὰ τῶν πασχόντων ὑμένων ἔχειν ἴδια, δηλοῖ σαφῶς ὁπόθεν ὁρμηθεὶς αἱμωδίᾳ τι παραπλήσιον ἔφησεν τὰς ὀδύνας ἔχειν αὐτῶν. ἐπειδὴ γὰρ ἅμα τῇ τῆς αἱμωδίας ἰδιότητι καὶ ἡ ναρκώδης ἐστὶν αἴσθησις, ὡς ἂν ὑπὸ μιᾶς αἰτίας ἀμφοτέρων γινομένων, ὁ δ᾽ ἐπιπολῆς ὑμὴν ὁ ὑποτεταμένος τῷ δέρματι πάσχει πολλάκις ὀδύνας ναρκώδεις, ὑπὸ τῶν ἔξωθεν αἰτίων τῶν ψυχρῶν ἑτοιμότερον βλαπτόμενος, διὰ

pigrescunt; quare tum foli fepto transverfo natura refpirationis officium committit, quemadmodum in prospere valentium libera refpiratione contingere folet. Igitur, quum in partibus laterum inferioribus oritur inflammatio, feptum transverfum intentum magis dolet; quum vero in partibus fuperioribus, tum jugulum dolor infeftat: caeterum feptum transverfum, quia movetur; jugulum autem, quia durum eft, dolorem efficit. Ubi vero ingens in hepate oritur inflammatio, aut fcirrhus, dolor qui jugulum in dextra parte infeftat, cavae venae magis quam membranarum tenfionem fequitur. Quum autem dixit, *hoc modo faepenumero fuperficiem quoque dolere*, quod eft habere ea quae funt propria membranarum affectarum, plane declarat, unde motus dixerit ipfas dolores habere haemodiae non diffimiles. Quia enim fimul cum haemodiae proprietate ftuporis etiam fenfus percipitur, perinde ac fi ab eadem caufa uterque affectus fiat; membrana autem quae in fuperficie cuti fubftrata eft, faepenumero ftupido dolore afficitur, utpote quae ab exter-

τοῦτο τῇ κοινωνίᾳ τῆς διαθέσεως ἀπατηθεὶς ὁ Ἀρχιγένης, αἱμωδίᾳ τι παραπλήσιον ἔφησεν τοὺς ἄλλους ὑμένας, καὶ τὴν ἐπιφάνειαν πολλάκις, οὐ κατὰ τὴν οὐσίαν αὐτοῦ τοῦ πάσχοντος μορίου γινομένης τῆς ὀδύνης, ἀλλὰ διὰ μὲν τὴν οὐσίαν αὐτῶν, ἄναιμόν τε καὶ ψυχρὰν οὖσαν, εὐκόλως ἁλισκομένων πάθεσιν ψυχροῖς, ἑπομένης δὲ τῆς τοιαύτης ὀδύνης τοῖς πάθεσι· διὸ καὶ πολλάκις ἔφη γίνεσθαι τοὺς τοιούτους πόνους, ὡς ἂν οὐ κατὰ τὴν οὐσίαν αὐτοῦ τοῦ πάσχοντος μέρους, ἀχώριστοι γὰρ ἂν οὕτως γε ἦσαν, ἀλλὰ κατά τι συμβεβηκὸς ἐπιγινομένους. ὁ μὲν οὖν ὑπὸ τῷ δέρματι τεταμένος ὑμὴν, ὁ καὶ συναποδερόμενος αὐτῷ, τονώδεις τε καὶ ναρκώδεις ἐπιφέρει τοὺς πόνους· οἱ δὲ μεταξὺ τῆς σαρκὸς οἷον διασπῶντας, εἰσὶ γὰρ πολλοὶ καὶ ἀνωμάλως ἐμφυόμενοί τε καὶ περιλαμβάνοντες αὐτήν. ὅτ᾽ ἂν οὖν ποτε ἐξ ἐναντίων καταφύσεων τείνεσθαι συμβῇ τὴν σάρκα, τοιαύτας ἀναγκαῖόν ἐστιν γίγνεσθαι τὰς ὀδύνας. ἐπί γε μὴν τοῖς πολλοῖς γυμνασίοις ἤτοι τονώδεις (265) ἢ ἑλκώδεις οἱ πόνοι γίνονται, συνιστάμενοι καθ᾽ ὅλους τοὺς μῦς, ὧν μέρος εἰσὶ καὶ αἱ σάρκες·

nis caufis frigidis celerius noxam fubit, idcirco deceptus Archigenes affectionis communitate, caeteras membranas haemodiae fimile quidpiam *pati* dixit, ac faepenumero fuperficiem quoque, non fecundum affectae partis fubftantiam facto dolore, fed quod ob fubftantiam exanguem et frigidam facile a frigidis affectibus infeftentur, affectus vero ipfos hujusmodi dolores comitentur; idcirco faepenumero dixit fieri hujusmodi dolores, non videlicet per affectae partis fubftantiam, fic enim infeparabiles effent, fed per accidens fupervenientes. Subtenfa igitur cuti membrana, quae cum ipfa fimul excoriatur, dolores facit tenfivos et torpidos; quae vero in media funt carne, veluti divellentes, funt enim plurimae inaequabiliter infitae et eam circumdantes; quum igitur ex contrariis infertionibus tendi carnem contingit, hujusmodi dolores evenire neceffe eft; at a multis exercitationibus aut tenfivi aut ulcerofi proveniunt dolores, qui totos musculos occupare confueverunt, inter quorum partes carnes quoque

Ed. Chart. VII. [413.] Ed. Baf. III. (265.)

εἴρηται δὲ περὶ τῶν τοιούτων ἀλγημάτων ἱκανῶς ἐν τοῖς ὑγιεινοῖς. ὅτι δ᾽ οἱ τῶν περικειμένων τοῖς ὀστοῖς ὑμένων πόνοι βύθιοί τ᾽ εἰσὶν, τοῦτ᾽ ἔστιν διὰ βάθους τοῦ σώματος ἐπιφέροντες αἴσθησιν, αὐτῶν τε τῶν ὀστῶν ἐπάγουσιν φαντασίαν ὡς ὀδυνωμένων, οὐδὲν θαυμαστόν. ὀνομάζουσι γοῦν αὐτοὺς ὀστοκόπους οἱ πλεῖστοι, καὶ γίνονται τὰ πολλὰ μὲν ἐπὶ γυμνασίοις, ἔστιν ὅτε δὲ καὶ διὰ ψύξιν, ἢ πλῆθος. τὰς δὲ φλέβας φησὶ βαρεῖς καὶ καθέλκοντας καὶ ὁμαλῶς ἐμπεπλασμένους ἐπιφέρειν τοὺς πόνους· ἐν ἀρχῇ δὲ ὁπότε τῆς ἡμικρανίας ἐμνημόνευσεν, ἀποκιρσοῦσθαι τὰς φλέβας ἔφη. τάχ᾽ οὖν ἐν ἐκείνῳ μόνῳ χρὴ δέξασθαι λέγειν αὐτὸν τοῦτο, γιγνώσκειν γε μέντοι δεῖ τὸν ἴδιον πόνον ἀρτηρίας καὶ φλεβὸς κατὰ μῆκος ἐκτεινομένου σώματος, οἷον χορδῆς τινος, ἔμφασιν ἔχειν, οὐ μὴν συνεμφαίνει γέ τι βάρος. τὸ δ᾽ ὁμαλῶς ἐμπεπλάσθαι τὸν πόνον τῶν φλεβῶν, οὐδὲ σαφὲς ὅλως ἐστὶν, ἐπ᾽ οὐδενὶ τῶν συμβεβηκότων αὐταῖς ἀνενεχθῆναι δυναμένου τοῦ ἐμπεπλάσθαι. περὶ δὲ τῶν σαρκῶν ἐφεξῆς φησιν, ὡς κεχυμένους τε καὶ χαλαρωτέρους ἐπιφέρουσιν τοὺς πόνους. ὅλως μὲν οὖν

numerantur; verum de hujusmodi doloribus fatis in libris de fanitate tuenda jam dictum eft. Sed quod *membranarum, quae offibus adjacent, dolores et profundi funt,* id eft in intimo corpore fenfum excitantes, *et offium ipforum veluti dolentium inducunt imaginem,* haudquaquam mirandum eft. Nam ii a quam plurimis oftocopi nominantur et frequentius ab exercitationibus oboriuntur, quamvis interdum vel ob frigus, vel plenitudinem. Infuper *venas* dixit *graves et detrahentes et aequabiliter infarctos inferre dolores;* verum ab initio, ubi hemicraniae mentionem fecit, *venas varicofas fieri* ait. Ergo in hoc folo fortaffis accidere oportet, ipfum hoc dicere; fciendum tamen proprium arteriae venaeque dolorem extenfi fecundum longitudinem corporis veluti chordae cujusdam fpeciem referre, nulla utique profunditate fimul apparente. Aequabiliter autem infigi venarum dolores, omnino obfcurum eft; quippe infigi ad nihil, quod ipfis accidere foleat, referri poteft. Deinde de carnibus dicit, *quod fufos et laxiores inducant dolores.* At in totum

πόνος οὐδείς ἐστι χαλαρὸς, ἀλλὰ τοὺς ἧττον τεταμένους ἴσως εἴρηκεν χαλαρωτέρους, ἐπειδὴ τεταμένοι μᾶλλόν εἰσιν οἵ τε τῶν ἀγγείων καὶ οἱ τῶν ὑμένων· τοῦτο γὰρ ὁμολογεῖ καὶ τὸ μηδ' ἐπὶ πλέον ἐκτεταμένους αὐτοὺς φαίνεσθαι, διὰ τὸ κατὰ περιγραφὰς βραχείας συγκεῖσθαι τὰ σαρκώδη μόρια τῶν μυῶν. εἰ δὲ καὶ τὸ τούτῳ γεγραμμένον ἐφεξῆς, ὡς ἐπιπλεούσης τραχύμασί τισι δοκεῖν τῆς ἁφῆς, ἴδιόν ἐστιν τῶν ἐν σαρξὶ πόνων, ἐπισκεπτέον. ὅτι μὲν γὰρ ἐνίοτε τοιοῦτόν τι συμβαίνει κατὰ τοὺς πόνους αὐ[414]τῶν, ἀληθές ἐστιν· ἐκ δὲ τοῦ μὴ διὰ παντὸς φαίνεσθαι, διαθέσεως μᾶλλον ἐν αὐταῖς γινομένης ὡς τὸ πολὺ μιᾶς τινος, οὐ τῆς οὐσίας αὐτῶν ἴδιον εἶναι δόξει. τὴν διάθεσιν δὲ οὐχ ἁπλῶς ὑποληπτέον εἶναι πάθος φλεγμονῶδες, ἀλλὰ καὶ μετὰ χυμοῦ τραχύνειν πεφυκότος. ἐφεξῆς δὲ περὶ τῶν μυῶν Ἀρχιγένης γράφων, σαρκὸς καὶ νεύρων μίγμα τῶν ἰδιωμάτων ἀναφέρειν αὐτούς φησιν, ὡς ἂν ἐκ τούτων συγκειμένης τῆς οἰκείας οὐσίας αὐτῶν· τὸ δὲ καὶ ἀρτηρίας, ὅτι διαπεφύκασιν αὐτῶν· ἀλλ' οὕτως καὶ τὰς

nullus dolor laxus eſt, eos tamen fortaſſe, qui minus intenduntur, laxiores vocitat, quoniam vaſorum et membranarum dolores magis intendi videntur. Id enim confitetur eos non adeo extentos conſpici, ob hoc quod carneae musculorum partes brevibus circumſcriptionibus contineantur. Sed id quod deinceps ſcribit, *videri tactum veluti aſperitatibus quibusdam innatare*, an proprie ad dolores, qui in carnibus conſiſtunt, pertineat, inquirendum eſt. Nam quod interdum aliquid hujusmodi per ipſarum dolores eveniat, verum eſt; at quia non ſemper evenit, ad unam potius quandam affectionem ut plurimum ipſis accidentem, non ad earum ſubſtantiam proprie referendum videbitur; neque ſimpliciter intelligendum eſt, eam affectionem eſſe morbum inflammatorium, ſed etiam cum humore aliquo ſua natura exaſperante Verum deinceps de musculis ſcribens Archigenes, eos *carnis nervorumque mixtam proprietatem referre dicit,* tanquam peculiari ipſorum ſubſtantia ex his conſiſtente. Addit vero arterias, quoniam in ipſis inveniuntur; at hoc

φλέβας ἐχρῆν εἰρῆσθαι καὶ τοὺς ὑμένας. τὸ δὲ σφριγῶντες ὄνομα παρὰ μὲν τοῖς Ἕλλησιν ἐπὶ τῶν εὐεκτικῶς πεπληρωμένων λέγεται, διὸ καὶ κατὰ τῶν νέων αὐτὸ μόνον εἰρήκασι, γέροντος δ᾽ οὐδενὸς, ὡς ἂν μηδὲ δυναμένου τοῦ σώματος αὐτῶν εὐεκτικὴν δέξασθαι πλήρωσιν· ὅ γε μὲν οὖν Ἀρχιγένης ἐπὶ τίνος φέρει τὴν φωνὴν ταύτην, οὐ πάνυ τι ῥᾴδιον εὑρεῖν, μάλισθ᾽ ὅτι συγχεῖ καὶ διαφθείρει πολλαχόθι τὰ σημαινόμενα τῶν Ἑλληνικῶν ὀνομάτων· εἰ δ᾽, ὡς ἄν τις ὑπονοήσειεν, ἐπὶ τῶν διὰ πλήρωσιν τεταμένων λέγοι τὸ σφριγῶντες, κοινὸν ἂν εἴη πάντων τοῦτο τῶν πεπληρωμένων σωμάτων, οὐκ ἴδιον τῶν μυῶν· τό γε μὴν μετ᾽ εὐρυχωρίας αὐτοὺς διατείνεσθαι, λελέχθαι νομίζω πρὸς αὐτοῦ τῆς ἐν τοῖς νεύροις πληρώσεως ἀφορίζοντος. ὅτι δὲ τὸ σφύζειν ναρκῶδες, οὐκ ὀρθῶς εἴρηται, δεδήλωται πρόσθεν. τῶν δ᾽ ἄλλων, φησὶ, πόνων ὁ μὲν ἑλκώδης ἰσχνῶς ὀξύς ἐστιν· ἀσαφὴς δ᾽ ἡ λέξις ἥδε καὶ καθ᾽ ἑαυτὴν ἀδύνατος διδάξαι τι, ταῖς ἄλλαις ὁμοίως ταῖς ἀσαφέσιν, ἅς γε οὐδ᾽ ἐξηγήσασθαι δυνατόν ἐστιν, εἰ μή τις αὐτὸς

pacto venas quoque dicere debuit atque membranas. Vocabulum autem *turgentes* a Graecis de iis dicitur, qui cum bono corporis habitu pleni ſunt; atque idcirco de junioribus duntaxat dici conſuevit, de ſenibus vero minime, quod non poſſit ipſorum corpus boni habitus plenitudinem ſuscipere; at vero, in quam rem hoc vocabulum Archigenes referre velit, invenire non eſt facile, maxime quia confundere multis in locis et corrumpere ſolet Graecorum nominum ſignificata. Quod ſi quis turgentes de iis dici intellexerit partibus, quae a plenitudine intenduntur, non proprie ad musculos, ſed communiter ad omnia repleta corpora pertinebit. Quum vero eos *capaci cum latitudine extendi* dixit, puto ipſum hanc a nervorum plenitudine voluiſſe ſejungere. *Torpide autem pulſare*, haudquaquam fuiſſe recte dictum, jam antea declaratum eſt. *Reliquorum vero dolorum ulceroſus,* inquit, *graciliter acutus eſt.* Eſt autem haec quoque oratio obſcura, neque per ſe quicquam docere poteſt, haud aliter quam caeterae obſcurae, quas ne explanare quidem poſ-

Ed. Chart. VII. [414.] Ed. Baf. III. (265.)
ἐπιστάμενος τὸ πρᾶγμα, προσαρμόσαι πειραθείη τῇ λέξει. καὶ νῦν γοῦν ἐπιστάμενός τις, ἑλκώδεις κόπους ὀνομάζεσθαι πρός τε τῶν ἰατρῶν καὶ τῶν γυμναστῶν, ὅτ᾽ ἂν ἐν τῷ κινεῖσθαί τις ἢ ψαύειν τῶν κεκοπωμένων μορίων αἴσθησιν ἴσχῃ τοῖς ἡλκωμένοις μέρεσιν ὁμοίαν, ἐπινοῆσαι δυνήσεται τὸν ἰσχνῶς ὀξὺν πόνον εἰρῆσθαι τοιοῦτόν τινα τὸ εἶδος, οἷον κεντούσης βελόνης ὀξείας γίνεται. δῆλον οὖν ὅτι μηδὲ συνεχής ἐστιν οὗτος, ὥσπερ γε μηδὲ ὁμαλῶς ἐκτεταμένος ἁπάντῃ. τοῦτον οὖν αὐτόν φησι γλυκύτερον εἶναι, δέον ἀσθενέστερον εἰπεῖν, ἢ ἀμβλύτερον, ἢ οὐ σφοδρὸν, ἢ ἀνιαρὸν ἧττον, ἤ τι τοιοῦτον· τὸ γὰρ γλυκύτερον οὐδ᾽ ἐφ᾽ ἑνὸς τῶν ἀνιαρῶν λέγεται κυρίως. τὸ δὲ κνησμοῦ προσαγωγὸς, ἀδιαρθρώτως εἴρηται· διαφέρει γὰρ ἐναργῶς ἡ κνησμώδης αἴσθησίς τε καὶ διάθεσις τῆς ἑλκώδους· ἀλλ᾽ ἐπεὶ καὶ προηγεῖται πολλάκις ἡ κνησμώδης τῆς ἑλκώδους, ἐκλυομένης τε καὶ παυομένης τῆς ἑλκώδους, εἰς τὴν κνησμώδη μετάπτωσις γίνεται, διὰ τοῦτο συγκεχυμένως τε καὶ ἀδιορίστως ὑπὲρ αὐτῶν ὁ Ἀρχιγένης

fibile eft, nifi quis rem per fe intelligens, eam orationi adaptare conetur. Nunc itaque aliquis etiam fciens tum medicos tum gymnaftas eos dolores vocare ulcerofos, per quos inter movendum vel tangendum laffatas partes fenfus excitatur, qualis in ulceratis partibus percipi folet, intelligere poterit per dolorem graciliter acutum hujus quempiam fpeciei fignificari, qualis ab acutae acus punctura fieri confuevit; ergo conftat hunc neque continuum effe neque aequaliter per omnes partes porrectum. Hunc itaque ipfum *dulciorem effe* dicit, quum dicere deberet, imbecilliorem, aut obtufiorem, aut non vehementem, aut minus moleftum, aut id genus quippiam; nihil enim quod moleftum eft, proprie dulcius appellatur. Id autem quod dicit, et *pruriginem inducens,* incompofite dictum eft; differt enim manifefte pruriginofus et fenfus et affectus ab ulcerofo. Verum quia crebro pruriginofa ulcerofam antecedit, atque foluta quiescenteque ulcerofa in pruriginofam transmutatio fit, inde eft quod de ipfis confufe indefiniteque Archigenes fcripfit, ut

ἔγραψεν, ὡς ἂν μηδὲ τὰς αἰτίας τῶν διαθέσεων ἀμφοτέρων ἀκριβῶς που διωρικώς. ἀλλ᾽ ἡμεῖς γε τελέως ἐξειργασάμεθα τὸν περὶ τούτων λόγον ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ. ὁ μὲν οὖν ἑλκώδης πόνος οὐκ ἐν μόνῳ τῷ δέρματι φαίνεται συνιστάμενος, ἀλλὰ καὶ διὰ τοῦ βάθους ἐκτεταμένος ἄχρι τῶν ὀστῶν· ὁ δὲ κνησμώδης ὄντως τῆς ἐπιφανείας μόνης ἐστὶν, οὐ πρώτως κατὰ τὸν ἴδιον αὐτῆς λόγον, ἀλλὰ κατὰ συμβεβηκὸς, ὅτι πυκνότερον τῶν ὑποκειμένων αὐτῷ τὸ δέρμα ἐστίν. διαθέσεως οὖν ἰδίας ἑκάτερος τῶν πόνων ἐστὶ σύμπτωμα, διὰ δριμύτητας μέν τινας γινόμενοι χυμῶν, ἀλλήλων δὲ διαφέροντες εἰς [415] ὅσον κἀκεῖναι· διώρισται δ᾽, ὡς ἔφην, ὑπὲρ αὐτῶν ἐν τοῖς ὑγιεινοῖς. ὁ δὲ νυγματώδης, φησὶ, πόνος τοῦ βάθους ἐστίν· οὐκ ὀρθῶς· ὑμένος γάρ ἐστιν, οὐ βάθους ἴδιος. ὁ δ᾽ ἐνερείδων, ὥς φησι, κόλπου πλησιάζοντος, ἀλόγως πάνυ τοῦτο γράψας· κοιλότης γάρ τίς ἐστιν ὁ κόλπος, ἐκ τοῦ διαστῆναι τὰ πλησιάζοντα πρότερον ἀλλήλοις γεγενημένη· καὶ τοίνυν ὅταν μὲν πληρωθῇ ῥεύματος, ὡς ἂν διατεινομένων τῶν περικειμένων σωμάτων, ὀδύνης

qui neque caufas utrarumque affectionum exacte alicubi tractaverit. Verum nos eas in opere de fanitate tuenda perfecte enarravimus. Igitur ulcerofus dolor non in fola cute confiftere videtur, fed per altum ad ufque offa extendi; pruriginofus autem re vera folius fuperficiei eft, non tamen primario pro ratione ipfius propria, fed per accidens; quod denfior fubjectis fibi partibus cutis fit. Horum ergo dolorum uterque propriae affectionis eft fymptoma, qui fiunt ob acres quosdam humores, atque tantum quantum affectiones ipfae inter inter fefe differunt. Sed ut dixi, de ipfis in libris de fanitate tuenda definitum eft. *Punctorius vero,* inquit, *dolor in profundo eft;* non recte, nam ad membranas, non ad imas partes, proprie pertinet. *Infixus autem,* inquit, *finu vicino;* quod praeter rationem omnino fcripfit; nam finus cavitas quaedam eft, quod partes prius conjunctae ab invicem fejunctae fint, oborta. Quum itaque fluxione impletur, quia adjacentes partes diftenduntur, tenfivum

αἰσθάνονται τονώδους οἱ κάμνοντες, οὐ κατὰ μῆκος ἐκτεταμένης ἐπὶ πλέον, ἀλλ' ἰδίαν ἐχούσης περιγραφήν. ὅτ' ἂν γὰρ ἐκκριθῇ πως ἐκ τοῦ κόλπου τὸ ὑγρὸν, ἀνώδυνοι παραχρῆμα γίνονται, πλὴν εἴ τινι τὰ περιέχοντα σώματα τὸν κόλπον ἐπὶ πλέον ἐκταθέντα τε καὶ διαταθέντα φλεγμονώδη διάθεσιν ἔσχεν. ταῦτα μὲν οὖν τὰ τῶν κόλπων ἴδια· τὸ δὲ ὑπ' Ἀρχιγένους εἰρημένον ἕτερον μέν τι τούτων ἐστὶν, ὁποῖον δέ τι νοήσας ἔγραψεν αὐτὸ, χαλεπὸν εὑρεῖν. καὶ μέν γε καὶ τὸ γεγραμμένον ἐφεξῆς ἴσην ἔχει τῷδε τὴν ἀπορίαν. ὁ διακεντῶν γάρ, φησι, πόνος οὐκ ἐν βάθει τὴν ὑπόστασιν ἔχει· τοῦτο δὲ μάχεται καὶ αὐτῷ τῷ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἰρημένῳ τόνδε τὸν τρόπον· ὁ δὲ διακεντῶν τὰ μὲν πεπονθέναι τῶν ἐν τῷ τόπῳ διασαφεῖ, τὰ δὲ μή· τοῦτο γὰρ ἐγχωρεῖ καὶ διὰ βάθους ἐγγυτάτω γενέσθαι τῶν ὀστῶν καὶ κατὰ τὸ δέρμα κἂν τῷ μεταξὺ, πάντως τοῦ τοιούτου πόνου διὰ δακνώδη χυμὸν γινομένου, διαβιβρώσκοντα τῶν αἰσθητικῶν τι σωμάτων. τὸ δ' ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως γεγραμμένον ὡδὶ, σπαράσσων δ' ἐστὶν ὁ ἐν κόλποις συνιστάμε(266)νος,

dolorem ſentiunt laborantes, non ſecundum longitudinem latius exporrectum, ſed propriis limitibus circumſcriptum. Nam excreto quomodolibet e ſinu humore, protinus dolor conquiescit; niſi ſi cui ambientia ſinum corpora adeo diſtendantur dilatenturque, ut inflammatorio affectu torqueantur. Haec ſunt, quae proprie ad ſinus pertinent; quod vero ab Archigene dictum eſt, aliud ab his eſt, verum quid intellexerit, quum ita ſcriberet, haud facile inveniri poteſt. Atque quod deinceps ſcriptum eſt, non minorem habet dubitationem. *Nam ſtimulans*, inquit, *dolor non in imo ſubſiſtit.* Hic enim ſermo cum eo, quem in initio praemiſit, pugnare videtur, quo in hunc modum ſcripſit: *ſtimulans autem partim eorum, quae in loco ſunt, quidpiam affectum eſſe declarat, partim contra;* id enim fieri poteſt tum in profundo proxime ad oſſa tum in cute atque in medio, hujusmodi dolore omnino ab humore mordaci oriente, qui ſenſibilium partium aliquam erodit. Quod vero in fine ejusdem orationis ſic ſcriptum eſt, *lacerans autem eſt, qui in ſini-*

εἰ μὲν τὸ σπαράσσων τὸ οἷον διασπῶν σημαίνει, ψεῦδός ἐστιν, ἥκιστα γὰρ ὑπάρχει τοῦτο τῷ κατὰ τοὺς κόλπους· εἰ δ' ἄλλο τι καὶ μὴ τοῦτο, πόθεν ἄν τις εὑρεῖν αὐτὸ δυνηθείη; τὰ μὲν δὴ τῆς προγεγραμμένης ῥήσεως Ἀρχιγένους τοιαῦτα.

Κεφ. θ'. Μεταβῶμεν δ' ἐφ' ἑτέραν, διδάσκουσαν καὶ αὐτὴν ἐκ τῆς τῶν πόνων διαφορᾶς διάγνωσιν τῶν πεπονθότων μορίων· ἔστι δ' ἡ ῥῆσις ἥδε· ὁ δὲ τοῦ ἥπατος ὁλκιμος, ἐμπεφυκὼς καὶ ναρκώδης ἐστὶ καὶ ἀτειρότερον ἐγκείμενος· ὁ δὲ τοῦ σπληνὸς οὐκ ὀξὺς, βάρος δ' ἅμα καὶ διάτασιν ἔχει, ἀντεντεινομένῳ πρὸς ἔνθλιψιν καὶ ἀποπίεσίν τινα ἔξωθεν ἐπικειμένην ἐοικώς. νεφροὶ δὲ αὐστηρούς τε τοὺς πόνους ἐπιφέρουσι καὶ μετ' ἐμμόνου σφίγξεως ἐπινύσσοντας. κύστις δὲ στύφουσι σφόδρα χρῆται τοῖς ἀλγήμασι καὶ σὺν διατάσεσιν νυγματώδεσιν· ὑστέρα δὲ ὀξέσι, διαΐσσουσι, νυγματώδεσι, διατείνουσιν, ἐμπίπτουσι στροφωδῶς· τοιούτῳ μίγματι πέφυκε πονεῖν, καθ' ὃ καὶ ἀπορίαν τοῦ ἰδιώματος ἐμποιεῖ. ἐν ταύτῃ τῇ ῥήσει πάλιν ὁ

bus consistit; si lacerans quidem idem significat, quod divellens, falsum est; nam illi qui in sinu est, id minime contingere solet. Quod si non hoc, sed alind quippiam, unde id potest inveniri? Atque hujuscemodi sunt quae in praescripto sermone Archigenes ait.

Cap. IX. Ad alium vero transeamus, qui et ipse ex dolorum differentia affectarum partium dignotionem docet; est autem dictio hujusmodi: *Hepatis vero dolor tractorius et inhaerens et stupidus est atque atrocius urgens; splenis autem acutus non est, sed gravitatem simul et distensionem habet, resistenti ad elisionem atque expressionem aliquam extrinsecus incumbentem similis. Renes autem austeros dolores inducunt et cum permanente strictione pungentes. Vesica vehementer adstringentibus exercetur doloribus atque tensionibus punctoriis; uterus autem acutis, emicantibus, pungentibus, distendentibus, torminatim incidentibus, hujusmodi mixtione dolere natus, quamobrem idiomatis quoque ambiguitatem inducit.* In hoc

Ἀρχιγένης εὐθέως κατὰ τὴν ἀρχὴν ὅλκιμον εἶναί φησι τὸν πόνον τοῦ ἥπατος. ἔστι μὲν οὖν ἄηθες τοὔνομα τοῖς Ἕλλησιν τὸ ὅλκιμον, ὥστ᾽ οὐδὲ τί σημαίνει ῥᾴδιον εὑρεῖν· ἐκ γὰρ πολλῆς χρήσεως ἡ τῶν σημαινομένων εὕρεσις γίνεται· τοὺς δ᾽ οὖν χρησαμένους αὐτῷ τὸ γλίσχρον οἶδα δηλοῦντας, ὃ ὥσπερ ὁ ἰξός ἐστιν, ὥστε μέρους λαβόμενον ἕλκειν δι᾽ αὐτοῦ δύνασθαι τὸ συνεχές. οὕτω [416] δὲ καὶ τὸ σταὶς ὅλκιμον εἴρηται τὸ τῶν πυρῶν, καὶ μάλιστα τὸ κάλλιστα πεφυραμένον· οὐχ ὅλκιμον δὲ τὸ τῶν κριθῶν καὶ τὸ τῆς κέγχρου. τό γε μὴν τοῦ ἥπατος ἄλγημα κατὰ τοῦτο τὸ σημαινόμενον οὐκ ἄν ποτε γένοιθ᾽ ὅλκιμον, ὥστ᾽ ἄλλό τι ζητητέον ἡμῖν ἐστιν. εἷς μὲν δή τις τῶν πρεσβευόντων τὴν Ἀρχιγένους αἵρεσιν ὅλκιμον ἔφησεν πόνον εἰρῆσθαι τὸν τοῦ ἥπατος, ἐπειδὴ καθέλκει φλεγμαῖνόν τε καὶ σκληρούμενον τὴν κλεῖν· ἕτερος δὲ τὸ χρονίζον· ἄλλος δὲ τὸ μέτριον· εἰσὶ δ᾽ οἳ τὸ βραδὺ, τοῦτο δ᾽ εἶναι τὸ ἀντικείμενον τῷ ὀξεῖ, καί φασι τὸ μὲν κατεπεῖγον καὶ σφοδρὸν, ὡς μηδεμίαν ἀνάπαυλαν ποιεῖσθαι, καλεῖν αὐτὸν ὀξὺ, τὸ δ᾽ ἐναντίον, ὅπέρ ἐστι

textu iterum Archigenes protinus ab initio hepatis dolorem tractorium esse dicit. Verum vocabulum *holcimos* apud Graecos in usu non est; proinde quid significet, haud facile invenire est; nam vocabulorum significationes ex multo usu deprehenduntur. Video autem eos, qui illo utuntur, viscidum per ipsum velle significare, quale viscum est, ut una parte tracta, possit per ipsam reliqua illi continua simul attrahi. Sic pasta quoque ex frumento holcima dicitur, maxime si accuratissime subacta fuerit; ex hordeis vero aut milio, non holcima. At sub hac significatione hepatis dolor haudquaquam holcimos erit; proinde aliam significationem quaerere nos oportet. Itaque unus ex iis, qui Archigenis sectam colunt, holcimon hepatis dolorem dici asserit, quum induratum et inflammatum detrahit jugulum; alius diuturnum, alius mediocrem; sunt qui tardum, esseque eum qui acuto adversetur; atque urgentem et adeo vehementem, ut nullam admittat requiem, acutum ab eo vocari solitum;

τὸ βραδὺ, ὅλκιμον εἰρηκέναι· τινὲς δὲ τὸν βάρους ἔμφασιν ἔχοντα φασὶν εἰρῆσθαι ὅλκιμον ἤτοι βαρὺν πόνον· ὀνομάζεσθαι γὰρ ἐν τῇ συνηθείᾳ κατὰ τοῦ βάρους τὴν ὁλκήν. πολλὰ δὲ καὶ ἄλλα διαφόρως ἐξηγούμενοι λέγουσιν οἱ θαυμάζοντες ἃ μηδεὶς νοεῖ. τὸ μὲν οὖν ὅλκιμον ὄνομα, τὸ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἰρημένον, ὅτι μηδὲν ἡμᾶς διδάσκει, πρόδηλον ἤδη γέγονεν· ἐπισκεψώμεθα δ' ἐφεξῆς, τί ποτ' ἐστὶν ὁ ἐμπεφυκὼς πόνος, ἥπατος ἴδιος εἶναι καὶ αὐτὸς εἰρημένος. ἐμοὶ μὲν δὴ πιθανώτερον εἶναι δοκεῖ, τῷ διαΐσσοντι τὸν ἐμπεφυκότα κατ' ἐναντίωσιν εἰρῆσθαι πρὸς αὐτοῦ· τί γὰρ ἂν ἄλλο τις ὑπολάβοι; καὶ μὴν εἴ τις ἄλλος πόνος εἰς συμπάθειαν ἄγει πολλὰ τῶν πέριξ σωμάτων, οὕτω καὶ ὁ τοῦ ἥπατος, ὅς γε καὶ μέχρι τῆς κλειδὸς ἐκτείνεται, καὶ δύσπνοιαν ἐπιφέρει πολλάκις, ἐνίοτε δὲ καὶ βῆχα καὶ δυσεντερίαν, εἴς γε μὴν τὰς νόθας πλευρὰς οὐκ ὀλιγάκις ἐναργῶς ὑικνεῖται· πῶς ἂν οὖν ἀληθῶς λέγοιτο κατὰ χώραν μένειν; ἆρ' οὖν ἄμεινόν ἐστιν τὸν ἐμπεφυκότα πόνον εἰρῆσθαι δοκεῖν, τὸν οἷον ἐμπεπαρμένον; καὶ μὴν ἥκιστα τοιοῦτός ἐστιν ὁ τοῦ ἥπατος,

contrarium vero, nempe tardum, holcimon dixiſſe. Nonnulli eum dolorem holcimon vel gravem nominatum dicunt, qui gravitatis ſpeciem refert; dici enim ſolere de gravitate holcen. Multa inſuper et alia varie explicant qui admirantur ea quae nemo intelligit. Conſtat igitur jam vocabulum *holcimon,* quod in propoſitae orationis initio invenitur, nihil nos poſſe docere; deinceps conſideremus, quid tandem ſit *dolor inhaerens,* ipſe quoque hepatis proprius eſſe dictus. Mihi quidem probabilius eſſe videtur, emicanti dolori inhaerentem per contrarietatem oppoſitum ab ipſo. Quid enim aliud conjicere quis poſſit? Atqui hepatis dolor, ſi quispiam alius, vicina pleraque corpora ad conſenſum inducit, quippe qui ad jugulum usque porrigitur et ſpirandi difficultatem crebro affert, atque interdum tuſſim quoque ac dyſenteriam, neque raro manifeſte nothas coſtas infeſtat; igitur quonam pacto vere dicetur eodem in loco permanere? An igitur ſatius eſt putare, inhaerentem dolorem eum dixiſſe, veluti inſixum? atqui hepatis dolor, ut nuper oſtendimus,

ὡς ἀρτίως ἐπιδέδεικται. ἐδείχθη δ᾽ ἔμπροσθεν, ὅτι μηδ᾽ ὁ ναρκώδης πόνος ἴδιός ἐστι μορίου τινὸς, ἀλλὰ διαθέσεως μᾶλλον· εἰ δὲ δὴ καὶ μορίου τινὸς, οὐδαμῶς ἥπατος, ἀλλ᾽, εἴπερ ἄρα, τῶν νευρωδῶν σωμάτων. ὁ δ᾽ ἀτειρῶς ἐγκείμενος μάχεται τῷ ναρκώδει, βίαιός τις ὢν καὶ συνεχής· ἔστι δ᾽ οὐ τοιοῦτος ὁ τοῦ ἥπατος, ἀλλὰ μᾶλλον βαρύς· οὐ μὴν οὐδὲ ὁ βαρὺς ἴδιος ἥπατος ἐξαιρέτως, ἀλλὰ κοινὸς σπληνὶ καὶ νεφροῖς φλεγμαίνουσιν. ὁ δ᾽ Ἀρχιγένης οὐκ οἶδα πῶς ἐπὶ μόνου τοῦ σπληνὸς ἐμνημόνευσεν τῆς τοιαύτης ἰδέας τοῦ πόνου, μηδ᾽ Ἱπποκράτους ἀκούσας εἰπόντος, καὶ ἐς νεφρὸν ὀδύνη βαρεῖα. τοῦτο μὲν οὖν ἔλαττον ἁμάρτημα, μέγιστον δὲ, ὅπερ εἴωθε ποιεῖν, ὀνόματα γράφων ἑτέρων αἰσθήσεων οἰκεῖα, καθάπερ καὶ νῦν ἐπὶ νεφρῶν μὲν τοὺς αὐστηροὺς πόνους, ἐπὶ κύστεως δὲ τοὺς στύφοντας· ἔστι γὰρ ταῦτα χυμῶν ὀνόματα, δι᾽ ὀργάνου μὲν τῆς γλώττης, αἰσθήσεως δὲ τῆς γευστικῆς διαγινωσκόμενα. γενικώτερον μὲν οὖν τι πρᾶγμα δηλοῦται πρὸς τῆς στῦφον φωνῆς, εἰδικώτερον δὲ

haudquaquam hujusmodi eſt. Similiter antea declaratum eſt, ne *torpidum quidem dolorem* partis cujusquam proprium eſſe, ſed affectionis potius; quod ſi etiam partis cujusdam ſit proprius, at ſane nequaquam jecoris, ſed certe nervoſorum potius corporum. At *atrociter moleſtans* cum torpido pugnat, ut qui violentus ſit atque continuus; ſed hujusmodi hepatis dolor non eſt, ſed potius gravis; at *ne gravis quidem* peculiariter proprius hepati eſt, ſed ſpleni quoque ac renibus inflammatis communis. At Archigenes, haud ſcio quo pacto, in liene duntaxat iſtius ſpeciei doloris mentionem fecit, nec audivit Hippocratem dicentem: *Et in renem dolor gravis.* Verum hoc peccatum exiguum eſt; at maximum, quod committere ſolet, nomina ſcribens caeteris ſenſibus peculiaria, quemadmodum nunc de renibus quidem auſteros dolores, de veſica vero adſtringentes; haec enim ſaporum ſunt nomina, qui lingua ut inſtrumento et guſtandi ſenſu dignoscuntur. Generalius autem quiddam ſignificatur per vocabulum adſtringens, particularius per auſterum et

Ed. Chart. VII. [416. 417.] Ed. Baf. III. (266.)

πρός τε τῆς αὐστηρὸν καὶ στρυφνόν· ἄμφω μὲν γὰρ στύφει, μᾶλλον δὲ τὸ στρυφνὸν, οἷόν πέρ ἐστιν ἡ ὀμφακῖτις ὀνομαζομένη κηκίς· αὐστηραὶ δ᾽ εἰσὶ καὶ ῥοαὶ πολλαὶ καὶ τὰ κυδώνια μῆλα καὶ ἄλλα πάμπολλα τῶν ἐδωδίμων, ἀηδῆ γε μὴν τὰ στρυφνὰ, μὴ ὅτι τὰ φάρμακα μόνον, καθάπερ ὑποκιστὶς καὶ βαλαύστιον καὶ κηκὶς καὶ ῥοῦς, ἀλλὰ καὶ τῶν ἐδωδίμων ὅσα τοιαῦτα. διόπερ οὐδὲ νοῆσαι δυνατόν ἐστιν, ὁποῖόν τινα βούλεται τὸν αὐστηρὸν ἢ τὸν στρυφνὸν εἶναι πόνον ὁ Ἀρχιγένης, οὐ μᾶλλον ἢ τὸν κυανοῦν, [417] ἢ τὸν ἐρυθρὸν, ἢ φαιὸν, ἤ τινα ἄλλον ἀπὸ τῶν χρωμάτων ὀνομαζόμενον. ὅπερ δέ τις ἔλεγεν τῶν Ἀρχιγενείων διδασκάλων, ἐπισκέψασθαι καιρός· ἐδόκει γὰρ αὐτῷ τὰς ἰδιότητας τῶν πόνων ἑρμηνεύειν ὁ Ἀρχιγένης φιλοτιμούμενος, ἀῤῥήτους κατά γε τἀληθὲς οὔσας, εἰς τὴν τοιαύτην ἀτοπίαν ἀφικνεῖσθαι τῶν ὀνομάτων· οὐκ εἰδὼς ὅτι μία μὲν ἑκάστη τῶν ποιοτήτων ἐστὶ ῥητὴ κατά τε τὴν ἁφὴν καὶ τὴν γεῦσιν, ἔνθα δ᾽ ἅμα πολλαὶ ποιότητες ἐμφαίνονται κατὰ μίαν οὐσίαν, ἐνταῦθα καὶ γενέσθαι συμβαίνει τὴν ἰδιότητα, καὶ μάλιστ᾽ ἐπὶ τῆς γεύσεως,

acerbum; quippe ambo adftringunt, fed magis acerbum, qualis eft omphacitis vocata galla; auftera vero funt multa mali punici genera, atque cydonia mala, ac alia complura efui apta; at acerba funt injucunda, non folum medicamenta, veluti hypociftis et balauftium et galla et rhus, fed etiam inter edulia quae funt hujusmodi. Quapropter excogitari non poteft, quem aufterum vel acerbum dolorem dicere voluerit Archigenes, non magis quam caeruleum, aut rubrum, aut fuscum, aut alium aliquem a coloribus nominatum. Nunc autem quod dicebat doctor quidam ex Archigenis fecta tempus eft confiderare; cenfet enim, quum dolorum proprietates Archigenes interpretari voluiffet, quae re vera ineffabiles funt, eum in hujusmodi nomina abfurda incidiffe; non intelligens unamquamque qualitatum five guftabilem five tactilem enunciari poffe; ubi vero multae qualitates circa unam fubftantiam apparent, ibi et proprietatem fieri contingere, idque maxime in guftu, quum verbi gratia et ama-

ὁπόταν, εἰ τύχοι, καὶ πικρότητός τε καὶ γλυκύτητος αὐστηρότητός τε καὶ δριμύτητος ἐμφαίνηταί τι κατὰ μίαν οὐσίαν· ἰδιότης γάρ τις οὕτως γίνεται περὶ τὴν γεῦσιν, ἄῤῥητος μὲν, εἴ τις ἐθέλοι δι᾽ ἑνὸς ὀνόματος αὐτὴν δηλῶσαι, ῥητὴ δ᾽, εἰ καθ᾽ ἑκάστην τῶν ποιοτήτων διέρχοιτο μετὰ τοῦ καὶ τὸ μᾶλλόν τε καὶ ἧττον οὐκ ἀδύνατον εἶναι προσδηλοῦν. οὕτω δὲ καὶ τὰς βοτάνας ἁπάσας τε καὶ τὴν ἄλλην ὕλην ἐδήλωσαν οὐκ ὀλίγοι τῶν ἰατρῶν, ἐξηγούμενοι τῶν ποιοτήτων ἑκάστην, ὅσαι ταῖς ἑρμηνευομέναις οὐσίαις ὑπάρχουσιν. ὥστε καὶ ὁ Ἀρχιγένης, εἰ μὲν ἑνὶ περιλαβεῖν ὀνόματι τὴν ὅλην ἰδιότητα τῆς οὐσίας ἐπεχείρει, παντάπασιν ἀμαθὴς ὑπῆρχεν, ὅπερ οὐ προσήκει λέγειν ἐπ᾽ Ἀρχιγένους· εἰ δὲ τὰς ἁπλᾶς ποιότητας, αὗται μὲν οὐκ εἰσὶν ἄῤῥητοι, τὸ δὲ ποσὸν ἐν αὐταῖς ἄῤῥητον μὲν ἀκριβεῖ μέτρῳ, ῥητὸν δ᾽ ὡς ἐν πλάτει. οὔκουν ἔτι χρὴ μηκύνειν, πεφηνυίας σαφῶς τῆς ἰδέας τῶν λόγων ᾗ χρῆσθαι δεῖ τὸν ἑρμηνεύειν ἐπιχειροῦντα τῶν αἰσθητῶν πραγμάτων ὁτιοῦν. ἴδια μὲν γὰρ ἔχομεν ἁπασῶν τῶν ἁπτῶν ποιοτήτων ὀνόματα, καθάπερ γε καὶ τῶν γευστῶν· ἴδια δὲ τῶν

ritudo et dulcedo et austeritas et acrimonia in una substantia quaedam apparet. Sic enim in gustu proprietas quaedam oritur, ineffabilis illa quidem, si quis unico nomine ipsam explicare tentaverit; sed quae dici tamen potest, si per singulas qualitates discurrat, eo addito, quod et magis et minus declarare haud impossibile est. Ita et herbas universas et reliquam quoque materiam enarraverunt medicorum non pauci, singulas qualitates, quae enunciatis rebus insunt, explicantes. Ergo Archigenes, si universam substantiae proprietatem unico nomine comprehendere volebat, indoctus omnino erat, quod de Archigene nequaquam sentiendum est; si autem simplices qualitates, ipsae quidem ineffabiles non sunt, earum vero quantitas exacta quidem mensura ineffabilis est, sub latitudine tamen explicari potest. Igitur longiori sermone uti non oportet, quum ea sermonum species ob oculos jam sit posita, qua uti debet is, qui quamlibet rerum sensilium interpretari aggreditur. Nam omnium tactilium qualitatum propria habemus nomina, ut et gustabilium; pro-

ὁρατῶν, ὥσπερ καὶ τῶν ἀκουστῶν, καὶ χρῆσθαι προσήκει πᾶσιν αὐτοῖς, ὡς ἔθος ἐστὶν τοῖς Ἕλλησι, μήτε στύφοντα μήτ᾽ αὐστηρὸν ὀνομάζοντα πόνον, ἴδιαι γὰρ αὗται χυμῶν (267) προσηγορίαι. καὶ πάμπολλοι πρὸ Ἀρχιγένους ἰατροὶ τὰς διαφορὰς τῶν πόνων γράψαντες οὐκ ἐτόλμησαν ἑτέροις ὀνόμασι χρήσασθαι τῶν συνηθῶν, ἃ καὶ παρ᾽ αὐτῶν τῶν καμνόντων ἐστὶν ἀκοῦσαι· καὶ γὰρ οὕτως ἀλγεῖν ποτε λέγουσιν, ὡς ὑπὸ βελόνης νύττεσθαι δοκεῖν· οὕτως αὖ πάλιν, ὡς ὑπὸ τρυπάνου τιτρᾶσθαι καὶ θλᾶσθαι δοκεῖν καὶ διασπᾶσθαι καὶ τείνεσθαι καὶ ἀνασπᾶσθαι καὶ κατασπᾶσθαι, καὶ βάρους τινὸς αἴσθησιν ἔχειν, ἐνίοτε μὲν ἐκκρεμαμένου τῶν ὑπερκειμένων, ἐνίοτε δ᾽ ἐγκειμένου τοῖς περιέχουσιν. τὰ μὲν οὖν τοιαῦτα πάντα συνετὰ, στύφοντες δὲ καὶ στρυφνοὶ καὶ αὐστηροὶ πόνοι τῶν ἀσυνέτων τε ἅμα καὶ ἀχρήστων εἰσίν· ὅπερ ἐχρῆν ἐννενοηκέναι τὸν Ἀρχιγένην, διδάσκειν γε βουλόμενον ἡμᾶς διαγνωστικοὺς γίνεσθαι τῶν πεπονθότων τόπων. εἰ μὴ γὰρ ἐξ ὧν οἱ κάμνοντες αὐτοὶ λέγουσι διαγνωσόμεθα, λῆρος ἂν εἴη μακρὸς ὁ περὶ τῶν ἀλγημάτων λόγος· εἰ δὲ παρ᾽ ἐκείνων

pria quoque vifibilium, ut et audibilium; atque omnibus iis Graecorum more uti debemus, et neque adftringentem neque aufterum nominare dolorem; nam hae faporum propriae funt appellationes. Ac plurimi medici ante Archigenem, quum dolorum differentias confcriberent, haudquaquam aufi funt a confuetudine in nominum ufu recedere, quae ab ipfis laborantibus audire licet; etenim ita fe dolere interdum aiunt, ut acu pungi fibi videantur; ac rurfus veluti terebro perforari et contundi fefe et divelli et tendi et retrahi et detrahi, et gravitatis cujusdam fenfum percipere, qua interdum fuperjacentium partium aliqua fuspendi videtur, interdum vero circumdantibus incumbere. Igitur hujusmodi omnia intelligi poffunt; adftringentes vero et aufteri et acerbi dolores inter ea quae non percipiuntur ac inutilia funt. Quod intelligere debuit Archigenes, quum docere nos vellet, quomodo locos affectos poffimus cognoscere; nam omnis, qui de doloribus habetur fermo, longae nugae funt, nifi ex iis, quae laborantes ipfi dicunt, eos dignoverimus; ergo fi ab

χρὴ πυνθάνεσθαι, τίνα τρόπον ἀλγοῦσι, λέγουσι δ᾽ οὐδέποτε στρυφνὸν ἢ αὐστηρὸν ἢ ἀτειρὸν ἢ ὅλκιμον πόνον, πάλιν ἄχρηστος τοιαύτη διδασκαλία. καὶ μὲν δὴ καὶ κατ᾽ ἐκεῖνον τὸν λόγον, ἐν ᾧ φασι τὰς ἰδιότητας τῶν πόνων ἐπιχειρεῖν ἑρμηνεύειν τὸν Ἀρχιγένην, τὸ τῆς τοιαύτης διδασκαλίας ἀδύνατόν τε ἅμα καὶ ἄχρηστον ἐμφαίνεται. πρῶτον μὲν ἄῤῥητός ἐστιν ἡ ἰδιότης πᾶσα κατ᾽ αὐτούς· εἰ δὲ τοῦτο, πάντως δήπου καὶ ἀδύνατον εἰς διδασκαλίαν ἐλθεῖν, ὡς ἂν [418] μόνοις γινωσκομένην τοῖς αἰσθητῶς αὐτὴν ἐγνωκόσιν. ἔπειτα δὲ καὶ ἄγνωστος ἡμῖν τοῖς μὴ πεπονθόσιν ἐστὶν, εἰ μὴ ἄρα πάντ᾽ ἔπαθεν ὁ Ἀρχιγένης τὰ τοῦ σώματος μόρια· κἂν συγχωρηθῇ δὲ τοῦτο, τίς ἂν πιστεύσειεν ὅτι καὶ πάντα τὰ καθ᾽ ἕκαστον μόριον ἔπαθεν εἷς ἄνθρωπος; ὑποκείσθω δ᾽, εἰ βούλει, καὶ τοῦτο, καίτοι γ᾽ ἀδύνατόν ἐστιν· ἀλλ᾽ ὅτι κατὰ τὴν μήτραν οὐκ ἔπαθεν ὁ Ἀρχιγένης ἄντικρυς δῆλον· καὶ μὴν καὶ τὰς κατ᾽ αὐτὴν ἰδιότητας γράφει, μόναις ταῖς πεπονθυίαις γυναιξὶν γιγνωσκομένας· ὥστέ με νὴ τοὺς θεοὺς ἀπορεῖν πολλάκις, ἐκ τίνος ποτὲ λογισμοῦ τὴν ἀλλόκοτον

ipfis, quomodo doleant, discere oportet; nunquam vero dicunt acerbum, aut aufterum, aut atrocem, aut holcimon dolorem, rurfus inutilis erit hujusmodi doctrina. Praeterea ex eo fermone, quo dicunt Archigenem interpretari velle dolorum proprietates, haec docendi ratio tum impoffibilis tum inutilis effe plane videtur. Primum ipfis auctoribus omnis proprietas enunciari non poteft; quod fi ita fit, omnino fieri non poteft, ut docendo tradatur, utpote quam ii duntaxat noscant, qui fenfiliter ipfam percepere. Deinde nobis ignota eft eam non paffis, nifi fortaffe Archigenes omnes corporis partes habuerit affectas; quod licet conceffum fit, quis tamen crediderit unum hominem omnes fingularum partium affectus fuiffe expertum? Supponatur autem, fi volueris, hoc quoque, quanquam impoffibile eft; at uteri affectus nunquam percepiffe Archigenem plane conftat; nihilominus hujus proprietates confcribit, quae a folis mulieribus expertis dignoscuntur; ut admirer, ita me dii ament, faepenumero, ex qua tandem ratiocinatione abfurdam hanc doctrinam

ταύτην ἐπετήδευσεν διδασκαλίαν, ἣν εἰ καὶ ἀληθεύειν τις ὑπόθοιτο, τό γε χρήσιμον οὐχ οἷόν τε συνυποθέσθαι, μηδενὸς τῶν νοσούντων ἑρμηνεύοντος ἃ πάσχει διὰ τῶν Ἀρχιγενείων ὀνομάτων· ἀσᾶσθαι μὲν γὰρ λέγουσι τὸν στόμαχον ἔνιοι τῶν νοσούντων, ὅπερ ἐστὶν ἡμῖν διὰ τὸ πεπονθέναι σαφῶς δῆλον· ὥσπερ γε καὶ τὸ ἀλύειν, καὶ γὰρ καὶ τοῦτο τῷ πεπονθέναι δῆλον· αὐστηρὸν δὲ πόνον, οὐδ᾽ εἰ πεπονθώς τις εἴη, νοῆσαι δύναται λεγόμενον ὑπ᾽ Ἀρχιγένους, ὡς ἂν οὐκ εἰδὼς καθ᾽ ὅτου ποτὲ πράγματος ἐπιφέρει τοὔνομα. τὸν μὲν γὰρ νυγματώδη καὶ διατείνοντα καὶ τοὺς ὁμοειδῶς αὐτοῖς λεγομένους, ἔτι δὲ μᾶλλον τὸν σφοδρὸν καὶ τὸν ἰσχυρὸν καὶ τὸν βίαιον καὶ τὸν συνεχῆ καὶ τὸν διαλείποντα νοοῦμεν ἅπαντες, ὡς ἂν ὑπὸ συνηθῶν τε τῶν ὀνομάτων ἑρμηνευομένους αὐτούς τε γινομένους ὁσημέραι παμπόλλοις· αὐστηρὸν δὲ καὶ στύφοντα καὶ ἀτειρὸν καὶ ὅλκιμον οὔτε λέγει τις οὔτ᾽ ἀκούων ἑτέρου λέγοντος νοεῖ. χρὴ δὲ καὶ τὸ πάθος εἶναι κοινὸν καὶ τὴν δηλωτικὴν αὐτοῦ προσηγορίαν συνήθη τοῖς ἀκούουσιν, ὥσπερ ἐπὶ τοῦ θλίβεσθαι τὸν στόμαχον,

collegerit; quam etiamſi quis veram ponat, at utilitatem ex ea manantem ponere ſimul non poteſt, nullo infirmo ſuos affectus per Archigenica nomina interpretante. Nam nonnulli laborantium faſtidire ſtomachum ajunt, quod nobis qui ita fuerimus affecti, notum eſt; ſicut etiam moeſtitia torqueri, etenim etiam hoc manifeſtum, quia paſſi ſumus; at vero auſterum dolorem ab Archigene dictum, etiamſi quis fuerit paſſus, intelligere non poteſt, utpote nescius, cuinam rei nomen hoc adaptaverit. Nam punctorium et diſtendentem atque eos, qui ipſis conformiter nominantur, atque etiam magis vehementem et fortem et violentum et continuum et intermittentem omnes novimus, ut qui per nomina conſueta enarrantur et quotidie plurimis eveniunt; at auſterum et adſtringentem et atrocem et holcimon nemo profert, neque, ſi quis proferat, intelligit. Oportet autem et affectum eſſe communem et appellationem ipſum declarantem auditoribus conſuetam, ut quum ſtomachum premi dicimus, quod plu-

ὃ δὴ λέγουσιν πάμπολλοι τῶν ἀνθρώπον. οὕτως γὰρ οἷον ἔξωθέν τινος ἐπικειμένου βαρέος ἡ αἴσθησις ἡμῖν γίνεται πολλάκις ἔν τισι διαθέσεσιν τοῦ στόματος τῆς κοιλίας, ὃ δὴ καταχρώμενοι προσαγορεύουσι στόμαχον οὐχ οἱ πολλοὶ τῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ τῶν ἰατρῶν οἱ δοκιμώτατοι. καὶ μὴν καὶ κατὰ δεξιὸν ὑποχόνδριον ἐν τῷ σφοδρότερον ἀναπνεῖν αἴσθησίς ποθ᾽ ἡμῖν βάρους γίνεται, κἀπειδὰν χωρὶς πυρετοῦ συμβῇ τοῦτο, δυοῖν θάτερον, ἢ ἔμφραξίν τινα κατὰ τὸ ἧπαρ ἢ σκιῤῥώδη διάθεσιν, ἢ γένεσιν ἀποστήματος εἶναι λογιζόμεθα, καθάπερ ὅτ᾽ ἂν φλεγμονὴ ᾖ, πυρετὸν ἐξ ἀνάγκης ἕπεσθαι. πάντα μὲν οὖν τὰ τοιαῦτα καὶ ῥητὰ καὶ σαφῆ καὶ γνώριμα πᾶσι τοῖς πρὸ Ἀρχιγένους ἰατροῖς ἐστιν, ἄνευ τῶν ἀλλοκότων ὀνομάτων διδασκόμενα· τῆς δ᾽ Ἀρχιγένους διδασκαλίας ἴδιον ἐξαίρετόν ἐστιν οὐ πραγμάτων ὑφήγησις καινῶν, ἀλλ᾽ ὀνομάτων οὐδὲν πρᾶγμα δηλούντων. τοιούτων ὀνομάτων καὶ τὴν περὶ τῶν σφυγμῶν ἐπλήρωσε πραγματείαν, οὐδ᾽ αὐτὴν δεομένην μεταφορᾶς

rimi dicunt homines. Sic enim faepenumero fenfu afficimur, qualem extrinfecus onus aliquod incumbens inducere poteft, in nonnullis oris ventriculi affectionibus, quod per abufionem non folum populares, fed probatiffimi quoque medici ftomachum appellant. Quinetiam inter vehementer refpirandum nonnunquam gravitatem in dextro hypochondrio fentimus; idque fi citra febrem eveniat, duorum alterum, aut obftructione aut fcirrhofa affectione hepar laborare, aut abfceffus generationem imminere conjicimus; veluti, quum inflammatione infeftatur, febrem comitari neceffe eft. Itaque omnia hujusmodi et dici poffunt et manifefta funt et omnibus medicis Archigene prioribus nota, atque fine abfurdis illis nominibus doceri poffunt. Archigenis vero doctrina hoc habet peculiare et proprium, non novarum rerum, fed nominum rem nullam declarantium, introductionem. Tractationem de pulfibus hujusmodi quoque nominibus implevit, neque ipfam, ut in commentariis

ὀνομάτων ἀκύρων, ὡς ἐπεδείξαμεν ἐν τοῖς περὶ σφυγμῶν ὑπομνήμασιν.

Κεφ. ε'. [419] Ἐγὼ δ' ἠξίουν Ἀρχιγένη μετὰ τοσούτους ἰατροὺς γεγονότα προσθεῖναί τι τῇ σαφηνείᾳ τῆς διδασκαλίας, οὐκ ἀφελεῖν τοσοῦτον, ὡς μηδ' ἡμᾶς αὐτοὺς νοεῖν ἃ λέγει, γεγηρακότας ἐν τοῖς ἔργοις τῆς τέχνης. ὅπερ οὖν ἐκεῖνον ἐχρῆν πεποιηκέναι, τοῦτ' ἐγὼ πειράσομαι πρᾶξαι, καὶ δεῖξαι μὲν πρῶτον ἐν τῷ καθόλου τὴν μέθοδον ᾗ προσήκει χρώμενον αὐτόν θ' εὑρίσκειν τοὺς πεπονθότας τόπους, ἑτέροις δὲ τὴν ὁδὸν ὑφηγεῖσθαι. μέθοδος μὲν οὖν ἐστιν, ὡς κἀν τῷ πρὸ τούτου λέλεκται βιβλίῳ, τοιάδε. πρῶτον ζητῆσαι χρὴ, πότερον ἴδια σημεῖα καθ' ἕκαστον τόπον, ὅπως ἂν πάσχῃ, δυνατὸν εὑρεῖν ἐστιν, ἢ καθ' ἕκαστον τῶν παθῶν ἀλλοιοῦται. δεύτερον ἐπὶ τῷδε, πότερον ἑκάστου τῶν παθῶν ἴδια σημεῖά ἐστιν, ἢ καθ' ἕκαστον μόριον ὑπαλλάττεται, καὶ χρὴ τόπου τε ἅμα καὶ πάθους μνημονεύσαντας λέγειν ἐφεξῆς τὰ σημεῖα· καθάπερ, εἰ τύχοι, φλεγμονῆς τοῦ πνεύμονος, ὅτι δύσπνοια μετὰ στενοχωρήσεως, ὡς πνίγεσθαι δοκεῖν,

de pulfibus oftendimus, impropriorum nominum metaphora indigentem.

Cap. V. Ego vero vellem Archigenem tantorum medicorum fucceflorem aliquid perfpicuitati doctrinae addidiffe, non ea ita obfcuraffe, ut ne nos quidem ipfi, qui in artis operibus jam fenuimus, dicta ipfius intelligere valeamus. Quod igitur illum egiffe decebat, id nos praeftare nitemur, atque in primis in univerfum oftendere methodum, qua ufum oportet et ipfum affectos locos invenire et caeteris viam oftendere. Igitur, ut in priore libro dictum jam eft, methodus hujusmodi eft. Quaerere primum oportet, utrum fingulorum locorum propria figna, quomodo afficiantur, inveniri poffint, an per fingulos affectus alterentur; deinde utrum fingulorum affectuum propria fint figna, an in qualibet parte varientur, atque ita oporteat et loci et affectus non immemores, deinceps figna dicere; veluti, fi velis, pulmonis inflammationis tantam fpirandi difficultatem cum angu-

ἀνακαθίζειν τε διὰ τοῦτ᾽ ἐπιχειρεῖν, ὅπερ ὀρθόπνοιαν ὀνομάζουσιν· ἀλλὰ καὶ ὅτι θερμῆς αἰσθάνονται τῆς ἐκπνοῆς, καὶ μᾶλλον ὅτ᾽ ἂν ἐρυσιπελατώδης ἡ φλεγμονὴ συστῇ, διόπερ ἐπὶ πλέον ἐκφυσῶντες παρηγοροῦνται, καὶ πλεῖστον ἀέρα ψυχρὸν εἰσπνεῖν ἐπιθυμοῦσιν, ἀναπτύουσί τε μετὰ βηχὸς κεχρωσμένον τὸ πτύελον ἄλλοτ᾽ ἄλλῳ χρώματι· καὶ γὰρ ἐρυθρὸν ἐνίοτε καὶ ξανθὸν καὶ πυῤῥὸν ἀφρῶδές τε καὶ μέλαν καὶ πελιδνὸν φαίνεται· καὶ μέντοι καὶ βάρους τινὸς ἐγκειμένου τῷ θώρακι πολλάκις αἰσθάνονται, καὶ διήκει εἰς αὐτὸν ἐκ τοῦ βάθους ἄλγημα κατά τε τὸ στέρνον καὶ τὴν ῥάχιν· ἔτι τε πρὸς τούτοις ὀξέως μὲν πυρέττουσι, σφυγμὸν δὲ ἔχουσιν ὁποῖον ἐν τοῖς περὶ σφυγμῶν εἴπομεν. οὕτω δὲ κἀπὶ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ἐπειδὰν φλεγμαίνῃ, πυρετὸς μὲν ὀξὺς ἅμα τῷ ἰδιώματι τῶν λελεγμένων σφυγμῶν κατὰ τὴν περὶ τῶν σφυγμῶν πραγματείαν, ἄλγημα δὲ νυγματῶδες ἅμα δυσπνοίᾳ καὶ πτυέλῳ κεχρωσμένῳ παραπλησίως τοῖς περιπνευμονικοῖς ἐπιφαίνεται τὰ πολλά. τὸ μὲν οὖν δυσπνοεῖν ἀμφοτέροις τοῖς πάθεσιν, διὰ τὸ πεπονθὸς μόριον

ftia, ut fuffocari videantur, ac ideo recti federe conentur, quem affectum orthopnoeam nominant; quinetiam calidam fentire expirationem, idque magis, fi eryfipelatodes fuerit inflammatio; quocirca, ubi plurimum efflant, juvari, ac plurimum aerem frigidum attrahere concupiscere; atque inter tuffiendum fputum expuere modo hoc, modo alio calore infectum, ut interdum rubrum, flavum aut rufum ac fpumofum quoque et nigrum et lividum appareat; infuper gravitatis cujusdam thoraci incumbentis fenfum faepenumero percipere, ac dolorem ex imo ad ipfum pervenire et ad fternum et ad fpinam; praeterea acutam effe ipfis febrem, pulfum vero habere qualem in libris de pulfibus diximus. Sic ubi membrana coftas fuccingens inflammata eft, acuta febris infeftat, cum pulfus ea, quam in commentariis de pulfibus diximus, proprietate; dolor autem punctorius una cum fpiritus difficultate magna ex parte apparet, cum fputo colore infecto, peraeque ac in peripneumonicis. Igitur utrosque affectus fpirandi difficultas neceffario comitatur, quod affecta

ἀναπνευστικὸν ὑπάρχειν, ἐξ ἀνάγκης ἕπεται· τὸ δὲ πυρέττειν
διά τε τὸ πάθος γίνεται καὶ τὴν θέσιν· ἐγγὺς μὲν τῆς καρδίας
ὅ τε ὑπεζωκὼς καὶ ὁ πνεύμων, θερμὸν δὲ πάθος ἡ φλεγμονή.
οὕτω δὲ καὶ τὸ βήττειν μὲν ὡς ἀναπνευστικοῖς ὑπάρχει, τὸ
δὲ ἀνα(268)πτύειν τι διὰ τὸ πάθος γίνεται· δέδεικται γὰρ ἐξ
ἐπιῤῥοῆς αἵματος φλεγμονὴ πᾶσα γινομένη, διόπερ ἐὰν μὲν
χολωδέστερον ᾖ τὸ αἷμα, ξανθὸν, ἢ ὠχρόν ἐστι τὸ πτυόμε-
νον· ἐὰν δὲ φλεγματικώτερον, ἀφρῶδές τε καὶ λευκόν· ἐὰν
δὲ μελαγχολικώτερον, ἤτοι μέλαν, ἢ πελιδνόν· ἐὰν δὲ μηδὲν
τούτων, ἐρυθρόν. ἔτι δὲ τῇ μὲν πλευρίτιδι πλεονάκις τὸ
χολωδέστερον, τῇ δὲ περιπνευμονίᾳ τὸ φλεγματικώτερον
πτύσμα συνέπεται· δέδεικται γὰρ ἡμῖν καὶ περὶ τούτου. τὸ
δὲ διὰ τῆς τραχείας ἀρτηρίας ἀναφέρεσθαι τὰ περιττώματα
τῶν φλεγμαινόντων μορίων διά τε τὴν θέσιν αὐτῶν γίνεται
καὶ διάπλασιν· ἐκροὴν γὰρ ἔχουσι ταύτην μόνην. γαστρὶ δὲ
διττοὶ μὲν πόροι, μᾶλλον δ᾽ ἐπιπολάζει τε [420] καὶ ἀνεμεῖ-
ται τὰ κατ᾽ αὐτὴν μοχθηρὰ, τὰ δ᾽ ἐκ τῶν ἐντέρων διαχωρεῖ-
ται· καθάπερ γε τὰ μὲν ἐκ νεφρῶν καὶ κύστεως οὐρεῖται,

pars ſpiritus ſit inſtrumentum; oritur autem febris et propter
affectum ipſum et propter ſitum; *nam* et pulmo et ſuccingens
coſtas membrana prope cor conſiſtunt, inflammatio vero calidus
affectus eſt; ſic etiam tuſſis ipſis, ut ſpirabilibus, ineſt; ſed quod
aliquid expuatur, id ob affectum fit; oſtendimus enim omnem
inflammationem ex affluxu fieri ſanguinis; quapropter, ſi bi-
lioſior fuerit ſanguis, flavum aut pallidum erit ſputum; ſi
pituitoſior, ſpumans et candidum; ſi magis melancholicus,
aut nigrum, aut lividum; ſi nihil horum, rubrum. Prae-
terea in pleuritide ſaepenumero magis bilioſum; in peripneu-
monia vero magis pituitoſum ſputum ſequitur, nam et de
hoc nobis declaratum eſt. Quod autem inflammatarum par-
tium excrementa per aſperam arteriam ſurſum ferantur, ob
ſitum et conſormationem fit; hoc enim emiſſarium ſolum ha-
bent. Ventriculus vero duos quidem habet meatus, ſurſum
tamen potius feruntur et evomuntur quae ſunt in ipſomet
prava; quae vero ab inteſtinis, dejiciuntur; ut et quae a re-

τὰ δ᾽ ἐξ ἐγκεφάλου διὰ ῥινῶν μὲν μάλιστα, ποτὲ δὲ καὶ διὰ οὐρανίσκου καὶ ὑπερῴας καὶ ὤτων ἐκκενοῦται. τὰ γνωρίσματα οὖν τῶν πεπονθότων τόπων ἀπὸ συμπτωμάτων εἰσὶν, ἀπό τε τῆς βεβλαμμένης ἐνεργείας καὶ τῆς τῶν ἐκκρινομένων ποιότητος, ἔτι δὲ τῶν παρὰ φύσιν ὄγκων, ἢ ἀλγημάτων, ἢ ἀχροίας τινὸς ἑπομένης, ἤτοι δι᾽ ὅλου τοῦ σώματος, ἢ καθ᾽ ἕν τι μόριον, ἢ δύο, μάλιστ᾽ ὀφθαλμούς τε καὶ γλῶτταν· ἔξωθεν δὲ τούτων ἐστὶ τὰ κατὰ τὴν ἰδίως ἂν ὀνομασθεῖσαν, εἴ τις βούλοιτο, συμπάθειαν, ὡς ἐν τῷ πρώτῳ λέλεκται γράμματι. νυνὶ δέ μοι καιρὸς εἶναι δοκεῖ γυμνάσαι τοὺς ἑταίρους, ὧν ἀξιωσάντων γράφεται ταῦτα. γυμνάσιον δ᾽ ἅπαν γίνεται διὰ τῶν κατὰ μέρος ὑπὸ τὴν αὐτὴν μέθοδον ἀγομένων. ἔστι δὲ χρησιμώτατον, ὡς πολλάκις ἐπιδέδεικταί μοι, τὸ τοιοῦτο τῆς διδασκαλίας εἶδος, ὡς αἵ γε μέθοδοι μόναι γνωσθεῖσαι χωρὶς τοῦ πολυειδῶς γυμνάσασθαι κατ᾽ αὐτὰς ἀδυνατοῦσι τελείους ἐργάσασθαι τοὺς μανθάνοντας. ἄνωθεν μὲν οὖν εἰπόντες τὴν μέθοδον, ἐπὶ τὸ γυμνάσιον ἴωμεν. ἐπισκέπτεσθαι χρὴ πρῶτον μὲν, εἴ τις

nibus et vefica, mictu excernuntur; quae a cerebro, per nares praecipue, nonnunquam vero per palatum et aures vacuantur. Indicia igitur locorum affectorum a fymptomatis funt, ab actione laefa et excrementorum qualitate et a tumoribus praeter naturam et doloribus et a colore vitiato quodam fequente vel in univerfo corpore, vel in una quapiam parte, vel duabus, maxime in oculis et lingua; extra horum numerum funt quae colliguntur ex ea, quae proprie fympatheia, fi velis, appellabitur, ut in primo libro jam diximus. At nunc mihi tempus effe videtur, ut amicos, quorum petitioni obtemperans haec fcribo, ad exercitationem inducam. Fit autem exercitatio omnis, quum particularia fub eandem viam et rationem ducuntur. Hujusmodi autem doctrinae fpecies, ut perfaepe oftendimus, eft utiliffima, quippe viae et rationes, ubi folae fine multiplici fecundum ipfas exercitatione cognofcuntur, haudquaquam poffunt perfectos efficere discipulos. Altius igitur methodum repetentes ad exercitationis modum accedamus. In primis quidem

Ed. Chart. VII. [420.] Ed. Baſ. III. (268.)
ἐνέργεια βέβλαπται, σὺν αὐτῇ γὰρ ἀνάγκη πεπονθέναι τὸ τῆς ἐνεργείας ἴδιον ὄργανον. εἶθ᾽ ἑξῆς εἴπερ εὕροις βεβλαμμένην τὴν ἐνέργειαν, ἐπὶ τὸν τρόπον τῆς βλάβης ἀφικόμενος ἐπισκέπτου, τίνος ἐστὶ πάθους ἴδιον. ἐπὶ τοῖσδε σκόπει τὸ πεπονθὸς μόριον, εἴ τιν᾽ ὄγκον ἢ ἄλγημα διασημαίνει, μὴ παρέργως, ἀλλὰ μετὰ τοῦ συνεπισκοπεῖσθαι τὸ καθ᾽ ἕκαστον αὐτῶν εἶδος· ἔμαθες γὰρ οὐ μόνον ὄγκων ἰδέας πλέονας, ἀλλὰ καὶ τῶν ἀλγημάτων. εἶτ᾽ ἐπισκόπει τὰ περιττώματα τοῦ πεπονθότος μορίου, διὰ τίνος ἐκκενοῦται πόρου, θεώρει τε μή τι τῆς οὐσίας τοῦ πεπονθότος ἐκκρίνεται μορίου· καὶ μετὰ ταῦτα, πότερον ἄπεπτά ἐστι παντελῶς, ἢ μετρίως πέττεται τὰ περιττώματα αὐτοῦ· κἄπειτα τίνων μὲν ἐξ αὐτοῦ συναπολαύει τὸ πᾶν σῶμα, τίνων δ᾽ ἐξαιρέτως μόρια ἄττα, τὰ μέν τι κατὰ τὴν ἐνέργειαν αὐτῶν, τὰ δὲ κατὰ τὴν χρόαν ἢ σχῆμα. φέρε γάρ τινα καθ᾽ ὃν ἀναπνεῖ καιρὸν ἀλγεῖν ἐν τῷ κατὰ τὰς νόθας πλευρὰς τόπῳ· μὴ προπετῶς ὑπολάβῃς τοῦτον εἶναι πλευριτικὸν, ἀλλὰ πρῶτον μὲν, εἰ ἀναπτύει τι βήττων, ἄθρει· κεχρωσμένον γὰρ, ὡς εἴρηται, θεασάμενος,

intueri oportet, num actio aliqua ſit laeſa; nam cum ipſa proprium actionis inſtrumentum affici neceſſe eſt. Deinde, ſi actionem laeſam eſſe perſpexeris, ad modum laeſionis accedens conſidera, ad quam affectionem proprie pertineat. Poſtea affectam partem nota, an tumorem, aut dolorem declaret, non perfunctorie, ſed cujuslibet horum ſpeciem inveſtigando; didiciſti enim non ſolum tumorum, verum etiam dolorum quoque varias eſſe ſpecies. Aſpice praeterea affectae partis excrementa, per quem meatum vacuentur; ac vide, num aliquid ſubſtantiae affectae partis excernatur; poſtea etiam utrum omnino incocta ſint ipſius excrementa, an mediocriter cocta; ac tum, quibus ex ea univerſum corpus, quibus privatim quaedam partes fruantur; quae partim ab actione, partim a colore et figura deprehendes. Eſto enim ut quispiam inter reſpirandum in notharum coſtarum loco doleat; noli protinus hunc eſſe pleuriticum ſuspicari; ſed in primis quidem, an tuſſiendo aliquid expuat, intuere; nam ſi coloratum id, ut dictum eſt, videris, tum ipſum pleuriti-

ἐρεῖς εἶναι πλευριτικόν· εἰ δὲ μηδ᾽ ὅλως ἀναπτύει βήττων, δύναται μὲν εἶναι καὶ οὗτος πλευριτικὸς, ἄπεπτον δὲ καὶ στεγνὴν ἱκανῶς ἔχων τὴν φλεγμονὴν, ὡς μηδὲν ἔξω χαλᾷν· ἐγχωρεῖ δὲ καὶ δι᾽ ἥπατος φλεγμονὴν ἀλγεῖν αὐτὸν ἐν τῷ λεγομένῳ χωρίῳ· τεινομένων γὰρ εἴσω τῶν ἀρτημάτων, οἷς ἤρτηται πρὸς τὰς πλευρὰς ἐπ᾽ ἐνίων τὸ ἧπαρ, εἰς τὸν ὑπεζωκότα συμβαίνει τὴν ὀδύνην ἐξήκειν. ἀλλά γε σφυγμὸς οὐδὲν ὅμοιον ἔχων ἐστὶν ἐπὶ φλεγμοναῖς ἥπατός τε καὶ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, οὐ μὴν οὐδὲ τὰ διὰ τῆς γαστρὸς ἐκκρινόμενα παραπλήσια· πλὴν οὐκ ἀεὶ ταῦτα συνυπάρχει φλεγμοναῖς ἥπατος, ἀλλ᾽ ἐν τοῖς καλουμένοις ἰδίως ἡπατικοῖς πάθεσιν. οὐδὲν οὖν χεῖρον ἐφ᾽ ὧν μηδὲν ἐκκρίνεται γνώρισμα, διὰ τῆς ἁφῆς ἐπισκοπεῖσθαι τὸ δεξιὸν ὑποχόνδριον, κἂν μηδεὶς ὄγκος εὑρίσκοιτο, μηδ᾽ οὕτως ἀφίστασθαι· δύναται γὰρ ἐν τοῖς σιμοῖς ἡ φλεγμονὴ μόνοις εἶναι, δύναται δὲ καὶ κατὰ τὰ κυρτὰ μὲν, ἀλλ᾽ οὐ [421] πάντα, μόνα δ᾽ ὅσα κατακρύπτουσιν αἱ νόθαι πλευραί. μέγιστον οὖν ἀναπνεῖν ἐν τῷδε κελεύειν τὸν κάμνοντα, καὶ πυνθάνεσθαι μή τινος

cum effe dices. Quod fi tuffiendo nihil omnino expuat, fieri poteft, ut nihilominus pleuriticus fit ille, fed inflammationem habeat incoctam et ftrictam admodum, ut nihil foras ejiciatur; fieri quoque poteft, ut ob hepatis inflammationem dolor in jam dicta fede excitetur; intentis enim intro vinculis, quibus nonnullorum jecur coftis alligatur, contingit dolorem ad fuccingentem *coftas membranam* pervenire. Verum nequaquam fimilis eft pulfus in hepatis et membranae coftas fuccingentis inflammatione; ac nec alvi quoque fedimenta fimilia funt, quanquam non in qualibet jecoris inflammatione haec adfunt, fed in affectibus hepaticis proprie nominatis. Igitur in quibus nihil excernitur, a quo indicium fumi poffit, fatius fuerit hypochondrium dextrum tangere; ac fi nullus appareat tumor, ne fic quidem defiftere. Nam fieri poteft ut in fola fima hepatis parte fit inflammatio; poteft etiam in gibbis partibus, fed non omnibus, verum iis duntaxat exiftere, quae a nothis coftis conteguntur. Itaque laborantem, ut vehementer refpiret, monere oportet; dein-

Ed. Chart. VII. [421.] Ed. Baf. III. (268.)

αἰσθάνεται βάρους, ἤτοι γ᾽ ἐκκρεμαμένου τῶν ὑπερκειμένων, ἢ ἐγκειμένου τοῖς περιέχουσιν· ἔστιν ὅτε γε μὴν οἷς ἐνταῦθά ἐστιν ὁ παρὰ φύσιν ὄγκος, οὗτοι δυσπνοοῦσι τῇ στενοχωρίᾳ τῶν φρενῶν, ἐρεθίζονταί γε καὶ πρὸς βραχείας βῆχας. βέβαιον οὖν ἐπὶ τῶν τοιούτων ἐστὶ σημεῖον εἰς διάγνωσιν ὁ σφυγμὸς μὲν ἐν ἅπαντι τῷ χρόνῳ τοῦ νοσήματος, ἐπὶ προήκοντι δ᾽ αὐτῷ καὶ τἄλλα συμπτώματα. καὶ γὰρ ἡ τῆς γλώττης ἀλλοιοῦται χρόα καὶ ἡ παντὸς τοῦ σώματος ἐπὶ ταῖς τοῦ ἥπατος κακοπραγίαις· ὥσπερ αὖ πάλιν αἱ βῆχες αὐξάνονται, τῶν κατὰ θώρακα πασχόντων, ἐπιφαίνεταί τε πάντως ἐν τῷ χρόνῳ τὰ μετὰ τῆς βηχὸς ἀναπτυόμενα. καθάπερ οὖν ἡ δύσπνοια χωρὶς μὲν τοῦ πάσχειν τι τῶν ἀναπνευστικῶν μορίων ἢ ὀργάνων ὁπωσοῦν οὐ δύναται γενέσθαι, συμβαίνει δ᾽ ἐνίοτε νόσημα μηδὲν ἴδιον ἐν αὐτοῖς ὑπάρχειν, ἀλλ᾽ ἤτοι κατασπωμένου τοῦ διαφράγματος ἢ θλιβομένου δυσπνοεῖν τὸν ἄνθρωπον, οὕτως ἔχει κἀπὶ τοῦ τὸ τῆς ψυχῆς ἡγεμονικὸν ἐν ἑαυτῷ περιέχοντος τόπου· κατὰ τοῦτον γὰρ ἐπιστήμης τε καὶ δόξης ἁπάσης τε διανοήσεως συνισταμένης,

de interrogare, num gravitatem fentiat, aut fufpenfam a fuperioribus, aut incumbentem vicinis. Nonnunquam fane, quibus illic eft tumor praeter naturam, ii difficulter fpirant ob fepti transverfi anguftiam et ab exigua tuffi irritantur. Ergo in hujusmodi affectionibus certum ad dignotionem fignum eft per omne tempus morbi pulfus; deinde tractu temporis reliqua quoque fymptomata. Nam et linguae et univerfi corporis color alteratur in pravis jecoris affectibus, quemadmodum rurfus thorace affecto tuffes increscunt, atque tempore omnino apparent ea, quae tuffiendo expuuntur. Igitur quemadmodum fieri non poteft, ut illaefis omnino fpirandi tum partibus tum inftrumentis difficilis fiat refpiratio, accidit autem interdum ut nullo exiftente in ipfis proprio morbo, fed transverfo fepto aut detracto aut oppreffo homo difficulter fpiret, ita etiam ufu venit in fede principem in fe animae facultatem continente; nam quum et fcientia et opinio atque cogitatio omnis in ipfa confiftat, fi

ὅταν φαίνηταί τι τούτων βεβλαμμένον, εὐθέως ὑπολαμβάνομεν ἔν τινι πάθει κἀκεῖνο ὑπάρχειν, ὅπου γε κἂν ἐν πλευρίτιδι, κἂν ἐν περιπνευμονίᾳ παραφρονήσῃ τις, οὐδείς φησι διὰ τὴν πλευρὰν ἢ τὸν πνεύμονα γεγονέναι τὸ σύμπτωμα, πάντες δ᾽ ἡγοῦνται συμπεπονθέναι τὸ μόριον ἐκεῖνο, καθ᾽ ὃ τῆς ψυχῆς ἐστι τὸ ἡγεμονικὸν, καὶ ζητοῦσί γε τὸν τρόπον τῆς συμπαθείας ὁμολογοῦντα δεῖξαι τοῖς ἰδίοις δόγμασιν· ἐπ᾽ ἄλλων δὲ παθῶν οὐ συμπαθεῖν, ἀλλὰ πρωτοπαθεῖν φασιν αὐτὸν, ὥσπερ ἐν ληθάργῳ καὶ φρενίτιδι· πανταχόθεν μέν τοι πάσχειν, ἔνθα τῶν ἰδίων τις ἐνεργειῶν αὐτοῦ βέβλαπται· λέγω δ᾽ ἰδίας ἐνεργείας, ἃς δι᾽ οὐδενὸς ἄλλου μορίου ποιεῖται, καθάπερ δι᾽ ὀργάνου· κατὰ μὲν γὰρ τὸν ἀληθῆ λόγον καὶ βλέπειν αὐτὸ τοῦτο καὶ ἀκούειν ὑποληπτέον, ἀλλὰ δι᾽ ὀφθαλμῶν μὲν βλέπειν, δι᾽ ὤτων δ᾽ ἀκούειν· ἐννοεῖν μέντοι καὶ μεμνῆσθαι καὶ λογίζεσθαι καὶ προαιρεῖσθαι, μήτ᾽ ὀφθαλμοῖς ἔτι μήτ᾽ ὠσὶ μήτε γλώττῃ μήτ᾽ ἄλλῳ τινὶ προσχρώμενον· ἀλλ᾽ εἰ μὲν οὕτως ἐστὶ τὸ μόριον τοῦτο τῆς ψυχῆς ἐν τῷ περιέχοντι σώματι, καθάπερ ἡμεῖς ἐν οἴκῳ τινὶ, τὴν μὲν ἀρχὴν ἂν ἴσως

harum aliqua laesa videatur, protinus ipfam quoque affectu quopiam laborare arbitramur. Nam etiamfi in pleuritide vel peripneumonia delirium quoddam incidat, nemo vel a cofta vel a pulmone proveniffe dixerit hoc fymptoma, fed univerfi eam partem, in qua princeps animae facultas refidet, fimul affectam effe putant, ac nituntur modum confenfus fuis dogmatis conformem oftendere; verum in aliis affectibus non confentire, fed primigenio ipfam affectu laborare aiunt, ut in lethargo et phrenitide; at undique affici, ubi propriarum ipfi actionum aliqua laeditur; proprias autem actiones dico, quas per nullam aliam partem, ut per inftrumentum, facit. Nam re vera et videre illam et audire exiftimandum eft; fed videre oculis et audire auribus; at ut cogitet et reminifcatur et exiftimet et eligat, neque oculis neque auribus neque lingua neque alia quapiam parte uti. Sed fi haec animae pars ita eft in continente ipfam corpore, ut nos in domo aliqua, in primis

οὐδ᾽ ὑπονοήσαιμεν αὐτὸ βλάπτεσθαί τι πρὸς τοῦ χωρίου· θεασάμενοι δὲ βλαπτόμενον ἐζητήσαμεν ἂν ὅπως βλάπτεται· εἰ δ᾽ ὡς εἶδός τι τοῦ σώματός ἐστιν ἀχώριστον αὐτοῦ, συνεχωρήσαμεν ὑπὸ τῆς τοῦ δεδεγμένου σώματος ἀλλοιώσεως βλάπτεσθαι· διαστάντων δὲ τῶν φιλοσόφων περὶ αὐτοῦ, καὶ (269) τῶν μὲν ὡς ἐν οἰκήματι περιέχεσθαι φασκόντων αὐτὸ, τῶν δ᾽ ὡς εἶδος, ὅπως μὲν βλάπτεται, χαλεπὸν εὑρεῖν, ὅτι δὲ βλάπτεται, τῇ πείρᾳ μαθεῖν ἔστι. ἐπί τε γὰρ τῶν ἀνατιτραμένων τὸ κατεαγὸς ὀστοῦν τῆς κεφαλῆς, εἴ τις βιαιότερον ἐπιθλίψειεν, ἀναίσθητοί τε παραχρῆμα καὶ ἀκίνητοι γίνονται, καὶ εἰ φλεγμονή τις ἐπιγένοιτο, καὶ ταῦτα μὲν ἔστιν ὅτε συμβαίνει· ἡ τῆς διανοίας οὖν βλάβη γίνεται διὰ παντός. ἐγκαυθέντες δὲ σφοδρῶς τὴν κεφαλὴν οὐκ ὀλίγοι παρεφρόνησαν· ἰσχυραῖς τε πληγαῖς εἰς αὐτὴν γενομέναις ἐν τῷ παραχρῆμα πολλάκις ἠκολούθησε κάρος· ἕτερά τε πολλὰ τοιαῦτα παθήματα περὶ τὴν κεφαλὴν συνιστάμενα σαφῶς φαίνεται βλάπτοντα τὴν διάνοιαν, ὥστε καὶ τοὺς ἰδιώτας, ὅτ᾽ ἂν παραφρονῇ τις, ἢ ὅλως ὁτιοῦν πάσχῃ κατὰ τὴν διάνοιαν,

fortasse nullam ei laesionem afferri putabimus a loco; quoniam vero ipfam laedi videmus, quomodo laedatur, effet investigandum; fi vero ut forma quaedam corporis eft ab ipfo infeparabilis, eam laedi non inficiaremur ob fufcipientis ipfam corporis alterationem. At quia de hac re inter philofophos pugna eft, et alii eam veluti in domicilio contineri dicunt, alii vero ut formam, quomodo laedatur, inventu perdifficile eft; quod vero laedatur, experientia discere licet. Etenim ubi fracto capitis offi terebra admovetur, fi quis vehementius premat, protinus fenfum omnem et motum amittunt; tum fi inflammatio quaedam oriatur, haec etiam evenire interdum contingit, mentis proinde laefio perpetuo evenit. Praeterea nonnulli ex vehemente capitis uftione deliraverunt; atque per fortes ictus capiti adactos faepenumero caros fequitur; multique alii affectus in capite confiftentes mentem aperte laedere videntur, adeo ut etiam populares, quum aut delirare aliquem aut mentem quomodo libet affici confpiciunt, capiti profpiciendum cen-

ἀξιοῦν προνοεῖσθαι τῆς κεφαλῆς. ὅτι μὲν οὖν ἀληθέστατόν ἐστι, τὸ κατάρχον αἰσθήσεώς τε [422] καὶ κινήσεως τῆς καθ' ὁρμὴν ἐν ἐγκεφάλῳ καθιδρῦσθαι, καὶ ὅτι τούτου σκεπάσματ' εἰσὶν αἱ μήνιγγες, ἐν ἑτέροις ἐπιδέδεικται· νυνὶ δ' ὅπως ἄν τις χωρίσειε τὰ κατὰ πρωτοπάθειαν αὐτῷ συμβεβηκότα τῶν κατὰ συμπάθειαν, ἐπισκεπτέον· ἴδιόν τε γὰρ τοῦτο τῆς προκειμένης πραγματείας, ἥ τε χρεία πρόδηλος, εἴ γε πρῶτον ἁπάντων ἐστὶν ὡς πρὸς τὰς ἰάσεις ἐπίστασθαι, τίνι χρὴ μορίῳ προσφέρειν τὰ βοηθήματα. πρὶν μὲν γὰρ ἰδίαν τινὰ διάθεσιν ἐν ἐγκεφάλῳ γενέσθαι, κατὰ τὸ συμπάσχειν μόνον αὐτοῦ βλαπτομένου, θεραπευθέντος τοῦ πρωτοπαθοῦντος, οὐδὲν ἂν ἔτι καταλείποιτο τούτῳ σύμπτωμα· γενομένης δέ τινος ἐν αὐτῷ μονίμου διαθέσεως ἐκ τῆς συμπαθείας, οὐ τῷ πρωτοπαθήσαντι μόνῳ τὰ βοηθήματα χρὴ προσφέρειν, ἀλλὰ καὶ τῇ κεφαλῇ· δι' αὐτὸ δὲ τοῦτο καὶ τὸ διορίζειν ἀκριβῶς, εἴτ' ἐγκέφαλός ἐστιν ὁ πρωτοπαθῶν, εἴτε μήνιγγες, οὐ μεγάλην ἔχει τὴν χρείαν, ἑκατέρως τῇ κεφαλῇ προσφερομένων τῶν βοηθημάτων. οὔκουν τοῦτο χρὴ μάλιστα σπουδάζειν, ἀλλὰ

fcant. Verum enim vero quod principium fenfus et motus voluntarii vere fedem in cerebro habeat, et quod hoc a meningibus contegatur, alibi demonftratum eft. Nunc vero quomodo quis distinguat affectus eius primitivos ab iis, qui per confenfum eveniunt, confiderandum eft; etenim id propofiti operis proprium eft et manifefta utilitas, quum ad curationes primum omnium fit, cuinam parti remedia fint adhibenda, cognoviffe. Nam priusquam in cerebro propria fit aliqua affectio, per folum confenfum laefo ipfo, fi ea pars quae primitivo affectu laborat, fuerit curata, nullum in ipfo relinquitur fymptoma; quod fi ex confenfu aliquis permanens factus in ipfo fit affectus, tum non solum parti, quae primitivo affectu laborat, fed capiti quoque remedia adhibere oportet. Ob hoc autem ipfum exacte definire, utrum cerebrum an membranae ipfius primitive afficiantur, haud magnam utilitatem afferre poteft; utrobique enim capiti auxilia adhibentur. Igitur huic rei maxime ftu-

τὴν οὐσίαν τοῦ νοσήματος εὑρίσκειν, ὁποία τίς ἐστιν. εἰ μὲν γὰρ ὑγρὸν εἴη, ξηραίνειν αὐτὸ προσῆκεν· εἰ δὲ ξηρὸν, ὑγραίνειν· οὕτω δὲ καὶ τὸ μὲν ψυχρὸν θερμαίνειν, τὸ δὲ θερμὸν ψύχειν. ἔτι δὲ καὶ εἰ κατά τινα συζυγίαν πεπόνθοι, διὰ τῆς ἐναντίας συζυγίας αὐτὸ θεραπεύειν προσήκει, τὸ μὲν ξηρὸν καὶ θερμὸν ὑγραίνοντα καὶ ψύχονται, τὸ δ᾽ ὑγρὸν καὶ ψυχρὸν ξηραίνοντα καὶ θερμαίνοντα, κἀπὶ τῶν λοιπῶν δυοῖν συζυγιῶν ἀνάλογον· οὕτω δὲ κἀπὶ τῶν ἄλλων ἁπάντων νοσημάτων πράττειν, ὧν ἑκάστου τὴν ἰδέαν ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ἐδήλωσα γράμματι. παραπλησίας οὖν τῆς θεραπείας γενομένης ἐπὶ τοῖς αὐτοῖς νοσήμασιν ἐγκεφάλῳ τε καὶ μήνιγξι, λογικὴ μᾶλλον ἡ ζήτησίς ἐστιν ἤπερ εἰς τὰς ἰάσεις χρήσιμος, ἐν ὁποτέρῳ τὸ ἡγεμονικόν· οὐ μὴν εἴ γε κατὰ τὴν καρδίαν ἐστὶν, ἀλλ᾽ ὅλῳ τῷ πράγματι διαφέρουσα. φέρε γὰρ ὑπὸ χολῆς ξανθῆς γίνεσθαι τὴν φρενῖτιν ἐν τῷ σώματι τῆς καρδίας ἀθροισθείσης τε καὶ διασαπείσης, ἆρ᾽ οὐ ληρεῖν ἂν δόξειεν ὁ καταντλεῖν κελεύων ὀξυῤῥοδίνῳ τὴν κεφαλὴν, ἐνὸν, εἴπερ ἴαμα τὸ φάρμακον τοῦτο τῆς τὴν φρενῖτιν

dere non oportet, fed potius qualis morbi effentia fit, invenire; nam humidum exiccare, aridum humectare, frigidum calefacere, calidum refrigerare opus eft, ac si conjugatus fuerit affectus, per contrariam conjugationem ipfum curare convenit, calidum et ficcum humectando et refrigerando, humidum frigidumque exiccando et calefaciendo, atque in reliquis duabus conjugationibus ad proportionem, ac in caeteris morbis omnibus ita facere, quorum uniuscujusque fpeciem in libro de morborum differentiis perfequuti fumus. Quum itaque in cerebro et meningibus iidem morbi fimili curatione indigeant, logica magis quam ad curationem utilis eft quaeftio, in utro illorum contineatur princeps animae facultas, non tamen an in corde fit, fed tota re differens. Efto enim ut a flava bile in corde accumulata et putredine affecta phrenitis excitata fit, nonne delirare videbitur is, qui caput oxyrrhodino perfundere jufferit, quum liceat, fi hoc praefidio phrenitidis caufa fanari

Ed. Chart. VII. [422.] Ed. Baſ. III. (269.)

ἐργαζομένης αἰτίας ἐστὶ, μὴ κεφαλῆς, ἀλλὰ θώρακος αὐτὸ καταχεῖν, μηδὲ τούτου παντὸς, ἀλλὰ κατ᾽ ἐκείνου μόνου τοῦ μέρους, ἔνθαπερ ἡ καρδία τέτακται; ταῦτα μὲν οὖν καλῶς ἡμῖν προδιώρισται, καὶ τὸ μὴ μόνον ἐπισκοπεῖσθαι τὸν πεπονθότα τόπον, ἀλλὰ καὶ τὴν βλάπτουσαν αἰτίαν αὐτόν. οἷον εὐθέως, ἔστι μὲν δή που καὶ ἡ παραφροσύνη σύμπτωμα τῆς κατὰ τὸν παραφρονοῦντα τόπον ἐνεργείας· ἔστι δὲ καὶ τὸ κῶμα καὶ ὁ κάρος, ἀλλ᾽ ὑπὸ τῆς ἐναντίας αἰτίας γίνεται. τὰς μὲν γὰρ ἀγρυπνίας τε καὶ παραφροσύνας θερμὸν τὴν δύναμιν αἴτιον ἐργάζεται· τὰ δ᾽ ὑπνώδη τε καὶ κωματώδη καὶ καρώδη πάθη πάντα ψυχρᾶς αἰτίας ἐστὶν ἔγγονα. καὶ τοῦτ᾽ ἔνεστί σοι καταμαθεῖν ἐναργῶς ἀπὸ τῶν φαρμάκων πρῶτον. ὅσα μὲν γὰρ αὐτῶν ἐστιν ψυχρὰ, ναρκοῖ καὶ καροῖ, τὰ θερμὰ δ᾽ ἔμπαλιν ἀγρύπνους τε καὶ πολυκινήτους ἐργάζεται. καὶ τί δεῖ μνημονεύειν ἰσχυρῶν φαρμάκων, ὁρῶντας ὁσημέραι τὰς μὲν θριδακίνας καὶ τὰ τῶν ποτίμων τε καὶ θερμῶν ὑδάτων λουτρὰ καὶ οἴνου πόσιν ὕδατι μετρίως κραθέντος ὕπνον ἐργαζόμενα, καθάπερ γε καὶ τἄλλ᾽ ὅσα

poſſit, non capiti, ſed thoraci ipſum adhibere; neque huic univerſo, ſed illi duntaxat ejus parti, in qua cor continetur? Haec igitur recte a nobis ante definita ſunt, atque hoc item, ut non ſolum affectum locum, verum etiam cauſam ipſum oblaedentem, conſideremus. Ut exempli gratia, delirium eſt ſymptoma actionis loci delirantis, eſt et coma et ſopor, ſed a contrariis cauſis oriuntur. Nam vigilias et deliria cauſa poteſtate calida efficit; at ſomnolenti et comatoſi et veternoſi affectus omnes frigidae cauſae ſunt ſoboles. Atque hoc tibi ex medicamentis primum manifeſte diſcere licet; quae namque frigida ſunt ſtuporem ſoporemque, calida vero contra vigilias et varias motiones inducunt. Sed quid opus eſt vehementia medicamenta memorare, quum quotidie videamus et lactucas et potabilium calidarumque aquarum balneas et vini aqua modice diluti potionem ſomnum inducere, reliquorum medicamentorum

πέφυκεν ὑγραίνειν τε καὶ ψύχειν, τὰ δ᾽ ἐναντία πάντα τὰς ἀγρυπνίας; κατὰ τοῦτό γέ τοι καὶ ἡ λεπτὴ δίαιτα καὶ ὁ ἄκρατος οἶνος ἀγρυπνητικά· πολὺ δὲ δὴ μᾶλλον, [423] ὅταν ὁ ἄκρατος οἶνος ᾖ φύσει θερμὸς, ἢ παλαιὸς ἱκανῶς, οἷόν τι συνέβη καὶ παρ᾽ ἡμῖν ποτε ἐν Περγάμῳ, καὶ κάλλιόν γ᾽ αὐτὸ διηγήσασθαι δέ. γραμματικοῦ μὲν ἦν τὸ παιδάριον ἐκεῖνο· καθ᾽ ἑκάστην δ᾽ ἡμέραν εἰς τὸ βαλανεῖον ἀπιὼν ὁ γραμματικὸς ἅμ᾽ ἑτέρῳ παιδὶ, κατέλειπεν ἔνδον ἐγκλείων αὐτὸ, χάριν τοῦ φυλάττεσθαί τε τὰ κατὰ τὴν οἰκίαν καὶ εὐτρεπίζεσθαι τὰ πρὸς τὴν ἐδωδήν. ἀλλὰ διψῆσάν γέ ποτε σφοδρῶς, εἶτ᾽ ἔνδον οὐκ ἔχον ὕδωρ, ἐξέπιεν οἴνου παλαιοῦ δαψιλές· ἐντεῦθέν τε τοῦ λοιποῦ χρόνου παντὸς ἄγρυπνον ἦν, ὕστερον δὲ καὶ πυρέξαν ὑπό τε τῶν ἀγρυπνιῶν καὶ τῆς ἐπιγενομένης ἐν αὐτῷ παραφροσύνης διεφθάρη. καὶ τὰ ψυχρότερα δὲ τῶν ζώων ἐν τῷ χειμῶνι φωλεύει διὰ τὴν ψύξιν, ὅμοια νεκροῖς κείμενα· καὶ τὰς ἐχίδνας ἔστιν ἰδεῖν τηνικαῦτα μηδ᾽ εἰ ταῖς χερσὶν ἀνελόμενος βαστάζοις, δακνούσας, ὡς ἔν γε τῷ θέρει καὶ τοῦτο τὸ ζῶον καὶ οἱ ἄλλοι πάντες ὄφεις, μάλιστ᾽

exemplo, quae humectant et refrigerant; his vero contraria omnia vigilias? Eodem quoque modo tenuis ratio victus et vinum meracum vigilias inducunt; idque multo magis, quum vinum meracum aut natura fuerit calidum, aut valde antiquum, quale apud noftrates Pergami olim accidit, atque fatius eft id enarrare. Grammatici erat puer ille; grammaticus autem fingulis diebus balneum petens cum altero puero, hunc inclufum domi relinquebat, ut rem familiarem fervaret, atque ea, quae ad victum effent neceffaria, praepararet. At quum vehementi aliquando fiti cruciaretur, nec effet intus aqua, vinum antiquum liberaliter potavit, indeque reliquo tempore vigil permanfit; poftea correptus febre, una cum vigiliis oborto delirio, periit. Atque animantia frigidiora per hiemem ob frigus mortuis fimilia iacent in latibulis, atque tum viperas quoque videre licet, etiamfi in manus fumas deferasque, handquaquam mordere, quum per aeftatem tum hoc animal tum

ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ὅταν ἐγκαυθῶσι σφοδρῶς, ἐοίκασιν μαινομένοις, ἡσυχάζειν οὐδ' ἐπὶ βραχὺ δυνάμενοι. τοῦτο γοῦν αὐτὸ θεασάμενος αὐτῶν καὶ ὁ Νίκανδρος ἔγραψεν περὶ τοῦ κεγχρίνου,

Μὴ σύ γε, θαρσαλέος περ ἐὼν, θέλε βήμεναι ἄντην
Μαινομένου κεγχρίνου.

περὶ μὲν δὴ τούτων ἐν ἄλλοις ἐπὶ πλέον εἴρηταί τε καὶ δέδεικται τὸ μὲν θερμὸν αἴτιον εἰς τὰς κινήσεις ἐπεγεῖρον, ἀγρυπνίας τε διὰ τοῦτο παρέχον, τὸ δὲ ψυχρὸν ἀργὸν μὲν εἰς τὰς κινήσεις, ὕπνου δὲ καὶ κώματος ἐργαστικόν. ἀλλ' ὅ γε ταῦτα γινώσκων, ὅταν ἄνθρωπον ἴδῃ, κατὰ μὲν τὰς ἀκμὰς τῶν διακαῶν πυρετῶν ἀγρυπνοῦντά τε καὶ παραφρονοῦντα, κατὰ δὲ τὰς παρακμὰς κοιμώμενόν τε καὶ κατανοοῦντα, λογιεῖται τῆς κεφαλῆς μὲν αὐτῆς οὐδεμίαν εἶναι διάθεσιν ἰδίαν, ὑπό τε τῆς κατὰ τὸν πυρετὸν θέρμης ἐκπυρούσης αὐτὴν παραφροσύνην ἐργάζεσθαι. οὕτω δὲ καὶ τὰ κατὰ περιπνευμονίαν καὶ πλευρῖτιν, ὅταν ἐν τοῖς πυρετοῖς αὐτῶν εἰς ἀκμὴν ἥκουσιν ἕπηται παραφροσύνη, τῆς κεφαλῆς

ſerpentes reliqui omnes, maxime ſub caniculae fervore, quum vehementer aeſtuant, furentibus ſimiles ſint, ut ne exiguo quidem momento quieſcere poſſint. Quod de illis intelligens Nicander, ſic de cenchride cecinit,

Ne tu quanquam audax, cenchrino occurrere contra,
Dum furit, inſiſtas.

Verum de his alibi plenius dictum et demonſtratum eſt, quod calida cauſa motus excitet, atque idcirco vigilias afferat, frigida vero ad motus pigrum reddat animal, ſomni et comatis effectrix. At qui haec intelligit, quum per ardentium febrium vigorem hominem viderit et vigilare et delirare, deinde inclinante jam febre, dormire et ſapere, in capite nullum proprium eſſe affectum, ſed ab exurente febris calore delirium fieri exiſtimabit. Sic etiam in peripneumonia et pleuritide, quum in vigore febrium illarum delirium ſequitur, non eſt capitis proprius affectus; nam

αὐτῆς ἴδιον οὐκ ἔστι πάθημα· τῷ μονίμῳ γὰρ ἐχρῆν τεκμαίρεσθαι τὸ τοῦ μέρους ἴδιον πάθος, ὅθεν εἰ καὶ πλευριτικῷ τινι μόνιμος ἐπιγένηται παραφροσύνη, νοσεῖν ἤδη λογίζου τὴν κεφαλὴν αὐτῷ νόσον ἰδίαν, ὥστε κἂν καταστῇ τὸ τῆς πλευρᾶς πάθος, ἐνδέχεσθαι μεῖναι τὸ τῆς κεφαλῆς· καὶ γὰρ τὸν ἐφ᾽ ἕλκει βου(270)βῶνα πολλάκις εἴδομεν ἐπιμένοντα ἔτι, θεραπευθέντος τοῦ ἕλκους. ὅταν οὖν ἕτερον ἑτέρῳ τῷ πρώτῳ πάσχοντι παροξυνομένῳ μὲν σφοδρῶς ἐπιγένηται, παύηται δὲ μειουμένῳ, κατὰ συμπάθειαν αὐτὸ τεκμαίρου πεπονθέναι. κοινὸν μὲν τοῦτο τεκμήριον ἕν· ἴδιον δ᾽ ἐπὶ τῶν κατὰ τὸν ἐγκέφαλον, ὡς εἴρηται, τὸ μὴ παραμένειν ἀεὶ τὴν παραφροσύνην, ἀλλὰ τῷ μεγέθει τῶν πυρετῶν ἕπεσθαι. κατὰ δὲ τὸν αὐτὸν λόγον ἐν εἰσβολαῖς παροξυσμῶν πυρετοῦ καρώδεις τινὲς ἢ κωματώδεις γίνονται, ψυχομένου σφοδρῶς ἐν ἐκείνῳ τῷ καιρῷ τοῦ ἐγκεφάλου, διὰ τὸ προπαρεσκευάσθαι πως αὐτὸν εἰς ἑτοιμότητα βλάβης τοιαύτης, ἤτοι δυσκρασίαν μὲν ἔχοντα ψυχρὰν, οὐ μὴν τοσαύτην γε, ὡς ἡ τῶν εἰρημένων συμπτωμάτων αἰτία δύναται γενέσθαι μόνη· προσελθούσης

affectus proprius ex conftantia aeftimandus eft, unde fi etiam pleuritico alicui permanens eveniat delirium, caput ipfi proprium habere morbum exiftima, ut quamvis lateris morbus quiefcat, poffit tamen capitis permanere. Saepenumero enim vidimus bubonem ob ulcus obortum ulcere curato etiamnum fuperftitem effe. Quum itaque parti alteri primario laboranti, dum vehementer exacerbatur, pars altera fecundario afficitur, fedaturque illius remiffione, eam per confenfum affici augurare; haec enim una conjectura communis eft: fed cerebri affectibus, ut dictum, proprium eft, fi non affidue delirium permaneat, fed febrium vehementiam fequatur. Atque eadem ratione in acceffionum febris infultibus fopore et comate quidam obfidentur, quod hoc tempore cerebrum vehementer refrigeretur, quod alioqui paratiffimum fit, ut noxam hujusmodi fubeat, five quia intemperiem habeat frigidam, non tamen tantam, ut haec fola praedictorum fymptomatum poffit effe caufa; fed quum ac-

Ed. Chart. VII. [423.] Ed. Baf. III. (270.)
δὲ κατὰ τὴν ἀρχὴν τοῦ παροξυσμοῦ, μέγεθος ἕξει τηλικοῦτον, ὥς καταφορὰν ἢ κάρον ἐργάζεσθαι· γίνεται μὲν οὖν, ὥς ἔφην, τοῦτο κατὰ δυσκρασίαν ψυχράν· γίνεται δε καὶ διὰ φλεγματικὸν χυμὸν ἀθροισθέντα κατὰ τὸν ἐγκέφαλον.

ceffio ab initio proceffferit, frigus adeo increfcet, ut cataphoram vel foporem inducat; id vero, ut dixi, oboritur ab intemperie frigida; oboritur et a pituitofo humore in cerebro collecto.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ ΒΙΒΛΙΟΝ Γ.

Ed. Chart. VII. [424.] Ed. Baf. III. (270.)

Κεφ. α'. Περὶ τῶν πεπονθότων τόπων, οὕτω γὰρ ὀνομάζουσι τὰ μόρια τοῦ σώματος, ὀλίγοι τε τῶν ἰατρῶν ἐπραγματεύσαντο πλέον τε παρέλιπον ἀνεξέργαστον ἢ μετεχειρίσαντο· καταλιπὼν οὖν ἐγὼ τοὺς ἄλλους, Ἀρχιγένους ἐμνημόνευσα μόνου δικαίως ὑπὲρ ἐκείνους ἅπαντας ἐπῃνημένου· λέγοντος δ' αὐτοῦ βλάπτεσθαί τινας ἐνεργείας, ἄνευ τοῦ βλάπτεσθαι τὸ μόριον τοῦ σώματος ἐν ᾧ γίνονται, διορισμοῦ τὸν λόγον ἔφην δεῖσθαι· δύνασθαι γάρ τινα λέγειν ὀρθῶς, εἰ καὶ μὴ μόνιμον ἤδη διάθεσιν ἔχοι τὸ κατὰ συμπά-

GALENI DE LOCIS AFFECTIS LIBER III.

Cap. I. De locis affectis, fic enim nominant corporis partes, pauci medici pertractaverunt, ac plura quam attigerint inexarata omiferunt. Itaque caeteris filentio praetermiffis, folius Archigenis, iure fupra illos omnes laudati, meminimus. Diximus autem eum fermonem, quo ipfe afferit actiones quasdam laedi, illaefa ea corporis parte qua ipfae eduntur, diftinctione egere; quispiam enim recte poteft eloqui etiamfi pars per alterius confenfum laefa nondum

θειαν ἑτέρου βλαπτόμενον, ἀλλ' ὡς αὐτὸς ἔφη, καθάπερ τινὰ σκιὰν αὐτὸ τοῦτο τὸ πάθος ὑπάρχειν αὐτοῦ. πυρὶ γοῦν οὕτω πλησιάσαντες, ὡς ἐγγὺς μὲν ἥκειν τοῦ καίεσθαι, μὴ μέντοι γε καίεσθαι, σφοδρῶς ἀλγοῦμεν, οὐ δήπου μηδὲν πάσχοντος τοῦ θερμαινομένου μέρους. οὕτω δὲ καὶ κρύος ἰσχυρὸν ἐν τῷ περιέχοντι γενόμενον, ἢ ψυχρὸν ὕδωρ ἀκραιφνὲς, ἢ χιὼν προσπεσοῦσα, σφοδρὰν ὀδύνην ἐργάζεται· κἂν ἀποστήσῃς τὸ λυποῦν, εὐθέως σὺν αὐτῷ παύεται τὸ πάθημα. βέλτιον οὖν ἐδόκει λέγειν, ὥσπερ καὶ αὐτὸ τοὔνομα ἐνδείκνυται, τὸ πάσχειν ἀμηγέπη τὸ συμπάσχον· οὐ γὰρ τὸ μηδόλως πάσχον, ἀλλὰ τὸ σὺν ἑτέρῳ πάσχον ὑπὸ τῆς συμπάσχον ἑρμηνεύεται φωνῆς. ὥσθ' ὅταν ἐπὶ στομαχικαῖς διαθέσεσιν ὅμοια τοῖς τῶν ὑποχεομένων κατὰ τοὺς ὀφθαλμοὺς γίνηται συμπτώματα, πάσχειν μὲν αὐτοὺς λεκτέον, ἀναφερομένης ἐπὶ τὴν κεφαλὴν ἀναθυμιάσεώς τινος καπνώδους τῶν ἐν τῇ γαστρὶ περιεχομένων χυμῶν, οὐ μὴν ἤδη γέ πω διάθεσιν ἔχειν τοιαύτην, ὡς ἀπελθόντος τοῦ λυποῦντος ἰδίας ἐπιμελείας δεῖσθαι.

permanentem habeat dispofitionem, fed veluti umbram quandam, ut ipfe dicebat, ei hanc ipfam ineffe affectionem. Nam si ad ignem ita propius accefferimus, ut fere comburamur, non tamen adhuc comburamur, dolemus vehementer, non paffa nihil fcilicet calefacta parte. Sic etiam ambiens aër vehementer frigidus, aut aqua exacte frigida, aut nix allapfa, gravem admodum dolorem excitat; at fi quod laedit eximas, quamprimum cum eo fedatur affectus. Quamobrem fatius videbatur dicere, quemadmodum et ipfum indicat nomen, affici quodammodo eam partem, quae alterius confenfu afficitur; neque enim pars, quae nullo modo afficitur, fed quae cum alia afficitur, affectae per confenfum vocabulo fignificatur. Itaque quum in affectibus ftomachicis oculi fimilibus infeftantur fymptomatis, quales in fuffufionibus apparere folent, dicendum eft illos affici, elato ad cerebrum ab humoribus in ventriculo contentis fuliginofo quopiam vapore; nondum tamen adeo affici, ut ablata re, quae moleftiam infert, propria curatione egeant.

τὰ μὲν οὖν τοιαῦτα λογικώτερά πως ἔφην εἶναι· λογικὰ γὰρ ὄντως ἐστὶν ὅσα τῆς χρείας ἐπέκεινα προερχόμενα τὴν φύσιν ἀθρεῖ τῶν πραγμάτων, ὁποία τις ὑπάρχει κατὰ τὴν οἰκείαν οὐσίαν. οὕτως γοῦν καὶ Χρύσιππος ὁ φιλόσοφος ἔγραψεν περὶ τῶν τῆς ψυχῆς παθῶν ἓν μὲν τὸ θεραπευτικὸν βιβλίον, οὗ μάλιστα χρήζομεν εἰς τὴν ἴασιν αὐτῶν, ἕτερα δὲ τρία λογικὰς ἔχοντα ζητήσεις.

Κεφ. β'. [425] Ὅπερ δ' ἦν ἄμεινόν τε καὶ πολὺ χρησιμώτερον εἰς τὴν προκειμένην πραγματείαν, οὐκ ἀκριβῶς διήρθρωσεν ὁ Ἀρχιγένης, ὁπόσοι τρόποι τῶν βλαπτομένων ἐνεργειῶν εἰσιν· οὕτω γὰρ οἵ τε πρωτοπαθοῦντες, ἢ ἰδιοπαθοῦντες, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, τόποι τοῦ σώματος εὑρεθήσονται, καὶ τῆς ἰάσεως αὐτῶν εὐπορήσομεν. ἐγὼ δ' ἐπί τε τῶν φωνητικῶν ὀργάνων ἐδείκνυον τοῦτο καὶ τοῦ βλαβέντος εἰς αἴσθησιν τοὺς δακτύλους τῆς χειρὸς, οὐδὲν αὐτοὺς πεπονθότας, ἐφ' οὗ τὸ πρῶτον πάσχον εὑρεθὲν ἐν ἀρχῇ τοῦ μεταφρένου τὴν προσήκουσαν ἐνεδείξατο θεραπείαν.

Verum hujusmodi difputationem dixi ad logicam potius pertinere; logica enim revera funt, quaecunque ufum transgreffa, qualis fit rerum natura fecundum propriam effentiam, indagant. Sic igitur Chryfippus philofophus de animi paffionibus fcripfit unum de curandi ratione librum, quo maxime ad earum curationem indigemus; tum tres alios, qui logicas continent quaeftiones.

Cap. II. Quod autem melius fuerat, et huic noftro inftituto commodius, Archigenes non accurate declaravit, quot fint laefarum actionum modi; fic enim et primario affectae corporis partes, aut proprio affectu laborantes, aut quomodocunque quis nominare voluerit, deprehendentur, et curandi ratio abunde nobis fuppetet. Ego vero in vocalibus inftrumentis id expofui, ac in eo, qui in manu fenfum amifit digitorum, ipfis non affectis; quippe inventa in dorfi initio pars, quae primo afficiebatur, idoneam curationem oftendit.

Ed. Chart. VII. [425.] Ed. Baf. III. (270.)

Κεφ. γ'. Ἄλλῳ μὲν γὰρ τρόπῳ τῆς γαστρὸς πασχούσης ὑποχύσεως φαίνεται συμπτώματα· καθ' ἕτερον δὲ τρόπον οὐδὲν τῶν φωνητικῶν ὀργάνων πεπονθότων ὁ καταπεσὼν ἐξ ὑψηλοῦ τὴν φωνὴν ἐβλάβη, καὶ τούτων γ' ἀμφοτέρων κατ' ἄλλο συμπαθείας εἶδος ὁ τοὺς δακτύλους ἀναισθήτους ἔχων. ἐπὶ μὲν γὰρ τῶν ὀφθαλμῶν, ἀναφερομένου τινὸς ἐπ' αὐτούς· ἐπὶ δὲ τῆς ἀφωνίας τῷ τὴν ὕλην τῆς φωνῆς βεβλάφθαι· τὸ δὲ κατὰ τοὺς δακτύλους σύμπτωμα μηκέτ' εἰς αὐτοὺς ἀφικνουμένης τῆς αἰσθητικῆς δυνάμεως ἐγένετο. καὶ βέλτιον ἦν, εἴπερ ἄρα, μηδὲν ὅλως ἡγεῖσθαι πεπονθέναι τὰ φωνητικὰ μόρια καὶ τοὺς δακτύλους ἤπερ τοὺς ὀφθαλμούς· ἐπ' ἐκείνων μὲν γὰρ αὐτὸ δὴ τοῦτο πάθος ἐστὶν τὸ πληροῦσθαί τινος ἀναθυμιάσεως καπνώδους· ἐπὶ δὲ τῶν φωνητικῶν τε καὶ τῶν δακτύλων οὐ τῷ παραγίνεσθαί τι παρὰ φύσιν εἰς αὐτοὺς, ἀλλὰ τῷ μὴ παραγίνεσθαι τὸ κατὰ φύσιν ἀφικνούμενον, ἐνέργειά τις βλάπτεται. δύναμις μὲν οὖν αἰσθητικὴ τοῖς δακτύλοις οὐκέτ' ἐπιῤῥεῖ, βλαβείσης τῆς κατὰ τὸν νωτιαῖον ἐκφύσεως τοῦ νεύρου· πνεῦμα δ' ἐκφυσώμενον ὁ λάρυγξ οὐκέτι δέχεται, τῶν μεσοπλευρίων μυῶν παραλυθέν-

Cap. III. Alio namque modo eveniunt fuffufionis fymptomata affecto ventriculo; alio ei, qui ab alto decidit, nequaquam vocalibus inftrumentis affectis, vox laefa eft; denique ab his duobus alia confenfus fpecie *laborabat* is, cuius digiti fenfum amiferant. Nam oculi *vexabantur*, quod afcenderet ad eos aliquid; vox autem, quod materia ejus effet oblaefa; digitis aderat fymptoma, quod fentiendi facultas ad ipfos non accederet. Proindeque fatius fane fuerit, vocales partes digitosque nulla prorfus affectione laborare arbitrari quam oculos: nam his is ipfe affectus eft, quod fumosa quadam exhalatione repleantur; vocalium vero partium atque digitorum, non quod veniat ad eos quippiam praeter naturam, fed quod non accedat, quod fecundum naturam ad ipfos pervenire folet, actio laeditur. Itaque facultas fenfitrix digitis non amplius influit, exortu nervi a fpinali medulla laefo; guttur, refolutis intercoftalibus mufculis, efflatum fpiritum non amplius recipit; ni-

των· ἀλλ' ὅμως κἀπὶ τούτων ἐγχωρεῖ λέγειν αὐτὸ τοῦτο πάθος εἶναι τὸ μὴ παραγίνεσθαι πρὸς τὰ μόρια τὰ πρότερον, ἡνίκ' εἶχε κατὰ φύσιν, ἥκοντα· καὶ γὰρ τῶν κρηνῶν οὐκ ἄν τις ἀλόγως πάθος εἶναι νομίζοι τὸ μηκέθ' ἥκειν ἐπ' αὐτὰς τὸ ὕδωρ, καὶ τῶν ἐκ τῆς γῆς φυομένων δημητρίων φυτῶν τὸν ἄμετρον αὐχμὸν, καὶ τῶν ζώων ἀπορίαν τροφῆς ἢ ποτοῦ· τὸ γὰρ ἐλλεῖπον ὁπωσοῦν ἑκάστῳ πρὸς τὴν κατὰ φύσιν αὐτοῦ διοίκησιν εἰκότως ἄν τις πάθος ἐκείνου νομίζοι. ἀλλὰ ταῦτα μὲν, ὡς ἔφην, λογικωτέραν ἔχει τὴν ζήτησιν· ἐπὶ δὲ τῶν βεβλαμμένων τε καὶ ἀπολωλυιῶν ἐνεργειῶν ἡ ἀναγκαία σκέψις ἠμέληται τοῖς πλείστοις τῶν ἰατρῶν. δυοῖν γὰρ ἢ καὶ τριῶν ἐνεργειῶν ἔσθ' ὅτε τούτων οὐσῶν, ἐνίοτε μὲν ἑνὸς μορίου πεπονθότος τἄλλα συμπάσχοντα συμβλάπτεται τὰς ἐνεργείας, ἐνίοτε δὲ πάνθ' ὡσαύτως πέπονθεν· ἔστι δ' ὅτε τὰ μὲν αὐτῶν ἔχει διάθεσιν ἑκτικὴν, ὡς ἂν [426] εἴποι τις, τὰ δὲ λοιπὰ τὴν, ὡς ἂν φαίη τις, κατὰ σχέσιν· ὑπὲρ ὧν εἴρηται μὲν ἤδη κἂν τῷ δευτέρῳ περὶ τῆς τῶν ζώντων ἀνατομῆς, εἴρηται δ'

hilominus in his dici poteſt hunc ipſum eſſe affectum, quod non perveniant ad partes ea, quae antea, quum ſecundum naturam ſe haberent, venire ſolebant. Etenim fontium affectum haud abſurde quis putaverit, ſi non perveniat ad ipſos aqua; ac cerealium quoque frugum e terra prodeuntium ſquallorem immodicum, et animalium cibi potionisque penuriam; nam quod alicui ad naturalem ejus gubernationem quomodocunque deeſt, ipſum ſane quispiam affectionem illius merito putarit. Sed haec, ut jam dixi, magis ad logicam quaeſtionem pertinent. Verum in laeſis ac deperditis actionibus neceſſaria conſideratio a plurimis medicis neglecta eſt. Quum enim duae tresve fuerint aliquando hujusmodi actiones, accidit interdum, ut una parte affecta, reliquae illi conſentientes in ſuis actionibus ſimul laedantur; interdum vero, ut omnes eodem modo afficiantur. Atque accidit interdum, ut harum aliquae affectum habeant, ut ita dicam, in habitu, reliquae vero, ut quispiam dixerit, in diſpoſitione, de quibus ſecundo libro de vivorum diſſectione, atque in eo, qui hunc praecedit, jam

ἔτι καὶ κατὰ τὸν πρὸ τού(271)του λόγον, εἰρήσεται δὲ καὶ αὖθις, ὡς ἂν καὶ τοῦ μέλλοντος ἡμῖν περαίνεσθαι λόγου χρήζοντος ἐξ ἀνάγκης τοιούτων διορισμῶν. ὃ δέ ἐστι χρήσιμον οὐδὲν ἧττον ἐν τῷδε τῷ τόπῳ προειρῆσθαι, διὰ τοὺς λόγῳ μὲν ἐπιχειροῦντας ἀποδεικνύειν ἀναγκαίαν τοῖς ἰατροῖς τὴν τῶν πεπονθότων ζήτησιν, ἔργῳ δ᾽ ἀνατρέποντας, ἤδη σοι δίειμι, προχειρισάμενος ἕν τι πάθος ἕνεκα παραδείγματος. ἔστω δὴ τοῦτο πλευρῖτις· ἐφ᾽ ἧς ὅτι μὲν ἡ πλευρὰ πέπονθεν, ἔνδειξις ἐκ τοῦ κατ᾽ αὐτὴν ἀλγήματος γίνεται· πότερον δ᾽ ὁ ὑπεζωκὼς ὀνομαζόμενος εἴθ᾽ ὑμὴν εἴτε χιτὼν, οὐδὲν γὰρ διαφέρει, φλεγμαίνει τοῖς πλευριτικοῖς, ἢ καί τι μόριον ἄλλο κατὰ τὰς πλευρὰς, καὶ πότερον ὁ πνεύμων ἐξ ἀνάγκης καὶ αὐτὸς πέπονθεν κατὰ τοὺς λοβοὺς, ἢ παντάπασιν ἀπαθής ἐστιν, οὐκ ἀναγκαῖον ἐπίστασθαί φασιν οἱ τὴν ἐμπειρίαν πρεσβεύοντες· ἑωρακέναι γὰρ ἤδη παμπόλλους πλευριτικοὺς, τοὺς μὲν ἅμα τοῖς διδασκάλοις, τοὺς δ᾽ ὑφ᾽ ἑαυτῶν μόνων θεραπευθέντας, ὡς Ἱπποκράτης ἔγραψεν ἐν τῷ περὶ διαίτης ὀξέων νοσημάτων, ἀκριβῶς τε γιγνώσκειν ἤδη, τίνα μὲν αὐτοὺς

diximus, ac nonnihil in fequentibus quoque dicemus, quod videlicet futurus fermo hujusmodi diftinctionum indigeat. Quod autem utile non minus eft hic praedixiffe propter eos, qui verbo quidem demonftrare nituntur affectorum locorum inveftigationem medicis effe neceffariam, opere vero illam evertunt, jam tibi enarrabo, uno aliquo affectu in exemplum fumpto; fit itaque is pleuritis, in qua latus effe affectum, dolor ipfius declarat; fed utrum quae fuccingens appellatur, five membrana five tunica, nihil enim refert, inflammetur in pleuriticis, an alia quaedam laterum pars; praeterea utrum pulmo in lobis neceffario afficiatur, an omnino affectionis fit expers, fcire non effe neceffarium autumant ii, qui experientiam praeferunt; multos enim fe vidiffe jam pleuriticos, tum a praeceptoribus tum a feipfis folis curatos, obfervatis iis praeceptis, quae ab Hippocrate in libro de ratione victus in acutis morbis praefcripta funt; fe jam quid ipfis profit, quid noceat, probe nofcere, et di-

ὠφελεῖ, τίνα δὲ βλάπτει, καὶ διορισμοὺς ἔχειν ἀναμιμνήσκοντας ἐπὶ σημείων ἐναργῶς φαινομένων, ὧν δεῖ φλέβα τέμνειν, ὧν δὲ μή· καὶ περὶ πυριάσεως δ᾽ αὐτῶν, ἔτι τε καταπλασμάτων, καὶ διαιτημάτων, ὑπαγωγῆς τε γαστρὸς, αὐτάρκη γνῶσιν ἔχειν ἐκ μακρᾶς πείρας. ὅθεν μὲν οὖν Ἱπποκράτης κινηθεὶς, ἤ τις ἄλλος πρὸ αὐτοῦ, τὴν εὕρεσιν ἐποιήσατο τῶν βοηθημάτων, ἀγνοεῖν ὁμολογοῦσιν· ἑαυτοῖς δ᾽ ἀρκεῖν φασιν τοῖς εὑρημένοις χρῆσθαι προσηκόντως, ὡς καὶ τοὺς ἄλλους τεχνίτας ὁρῶμεν· οὔτε γὰρ ὁ χαλκεὺς, οὔθ᾽ ὁ τέκτων, οὔθ᾽ ὁ σκυτοτόμος, ὅπως εὑρέθησαν αὐτῶν αἱ τέχναι ζητοῦσιν, ἀλλ᾽ ἅ γε παρὰ τῶν διδασκάλων ἔμαθον, αὐτοί τε χρώμενοι τῇ πείρᾳ δοκιμάσαντες ἐβεβαιώσαντο, ταῦτα πράττοντες εὐδοκιμοῦσιν. ἐγὼ μὲν οὖν, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὅταν ἀκούσω λεγόντων ταῦτα τῶν ἐμπειρικῶν ἰατρῶν, ἡγοῦμαι πάνυ πιθανοὺς εἶναι τοὺς λόγους αὐτῶν, εὑρίσκω τε τὰς πρὸς αὐτοὺς ὑπὸ τῶν δογματικῶν εἰρημένας ἀντιλογίας οὐ πάνυ τι γενναίας· ὥσπερ δ᾽ ἐν ἅπασι τοῖς ἄλλοις καθ᾽ ὅλον τὸν βίον ἐμαυτὸν ἀεὶ προπετοῦς συγκαταθέσεως ἐπέσχον, οὕτω καὶ

ftinctiones habere, quae ex fignis evidenter apparentibus in memoriam revocent, cui venam fecare oporteat, cui non; tum de fomentis ipforum, cataplasmatis, victus ratione, alvi ductione, fufficientem habere notitiam ex longa experientia. Igitur quid vel Hippocratem, vel alium quempiam illo priorem induxerit, ut haec inveniret auxilia, fe fatentur ignorare; fed fibi fatis effe proferunt, fi inventis commode utantur, ut et alios quoque artifices facere videmus; neque enim faber, five lignarius, five aerarius, neque cerdo, quo pacto artes fuae fuerint inventae, inquirunt; fed quae a praeceptoribus didicerunt, et ufu probarunt ipfi confirmaruntque, ea facientes clarum nomen affequuntur. Equidem, ut verum fatear, quum medicos empiricos talia proferentes audio, inducor certe ut probabiles putem eorum rationes; videnturque mihi parum valida quae dogmatici contra illos difputarunt; at ut caeteris in rebus omnibus per totam vitam me femper a temerario affenfu cohibui, ita et

περὶ τούτων ἐζήτησα πολλῷ χρόνῳ κατ᾽ αὐτὴν τὴν ἐπὶ τῶν νοσούντων εὕρεσιν τῶν βοηθημάτων, εἴτε προσδέομαί τινος ἐνδείξεως λογικῆς, εἴτ᾽ ἀρκεῖ μοι τὰ διὰ τῆς πείρας ἐγνωσμένα παρά τε τοῖς διδασκάλοις καὶ κατ᾽ ἐμαυτόν. ἅπερ οὖν ἔκρινα βέλτιστα, πολλῷ χρόνῳ ζητήσας, ἐπικαλεσάμενος θεοὺς μάρτυρας, ἀγορεύσω τοῖς ἀληθείας ἐρῶσιν. οὐδὲ γὰρ αἰτίαν ἔχω τοῦ ψεύδεσθαι, καθάπερ οἱ μανθάνοντες αἵρεσιν μίαν, εἶτα πάντη τε καὶ πάντως ἔνδοξοι κατ᾽ αὐτὴν γενέσθαι προῃρημένοι· τούτοις γὰρ ἀναγκαῖόν ἐστι φιλονείκως ἀγωνίζεσθαι περὶ τῆς κατὰ τὴν αἵρεσιν ἀληθείας, ἣν μόνην γινώσκουσιν, ὡς ἂν ἐξ ἄλλης ἀγωγῆς λόγων ἀδυνατοῦσιν πορίζεσθαι δόξαν· ἐγὼ δ᾽ ἔργῳ διεδειξάμην ἐν ἐπιδείξεσίν τε δημοσίαις καὶ ταῖς τῶν βουληθέντων ἡντιναοῦν αἵρεσιν ἐκδιδαχθῆναι παρ᾽ ἐμοῦ, μηδενὸς ἧττον, ἵνα μή τι μεῖζον εἴπω, γινώσκων ἁπάσας αὐτάς. οὐ μὴν οὐδὲ λόγων αὐτοσχεδίων ἀπορίᾳ, συναγορεύειν ἑλόμενος αἱρέσει μιᾷ, ῥᾳδίως ἂν ὑπό τινος ἐξηλέγχθην· ἔμαθον γὰρ οὐκ ἐξ ὑπομνημάτων αὐτὰς, ὥς τινες, ἀλλὰ παρὰ τοῖς πρωτεύουσι δι-

de his in inveſtigandis ipſis ſingulorum morborum remediis diu apud me inquiſivi, an logica indicatione indigerem, an mihi ſufficerent, quae per experientiam a praeceptoribus atque ex me ipſo didiceram. Igitur quae poſt diuturnam inquiſitionem optima judicavi, deos teſtes advoco, veritatis amatoribus enunciabo. Non enim mihi mentiendi cauſa eſt, quemadmodum iis, qui uni ſectae addicti omnem ex ipſa gloriam quaerunt; his enim neceſſe eſt contentioſe pro ſectae veritate dimicare, quam unicam noverunt, quod ex nullo alio diſciplinarum genere gloriam ſperare poſſint. Ego vero re ipſa et publice et privatim apud eos, qui ſectam quamlibet a me diſcere cupiebant, oſtendi, in omnium ſectarum ſcientia, ne majus quicquam dixerim, me eſſe poſthabendum nemini. Quod ſi uni ſectarum patrocinium facere velim, quamvis ex tempore ac pro re nata dicendum fuerit, haud tamen facile ab aliquo convinci me rationum penuria patiar. Non enim, ut nonnulli faciunt, ex libris eas didici, ſed praeſtantiſſimis in unaquaque ſecta praece-

[427]δασκάλοις καθ᾽ ἑκάστην αἵρεσιν. οὔτ᾽ οὖν πρὸς ἐμπειρικούς ἐστί μοί τι μῖσος, ὧν γε τοῖς λόγοις ἐνετράφην, οὔτε πρὸς δογματικῶν τινας· ὁμοτίμως τε γὰρ ἐσπούδασα τὰ πάντων ἐκμαθεῖν, ἐφοίτησά τε τοῖς ἐνδοξοτάτοις διδασκάλοις καθ᾽ ἑκάστην αἵρεσιν· ἀπό τε τῶν ἔργων τῆς τέχνης ἐγνώσθην, οὐκ ἀπὸ λόγων σοφιστικῶν, τοῖς τ᾽ ἄλλοις τῶν ἐν Ῥώμῃ πρώτων ἀνδρῶν καὶ πᾶσιν ἐφεξῆς τοῖς αὐτοκράτορσιν· ὥστ᾽ οὐδὲν ἄν μοι λείποι πρὸς τὸ μὴ οὐ λέγειν ἀληθῶς ἃ φρονῶ καθ᾽ ἑκάστην αἵρεσιν. εὗρον οὖν ἐπὶ τῶν ἔργων τὴν διὰ τῆς ἀληθοῦς ἐνδείξεως εὕρεσιν τῶν βοηθημάτων ἐν τοῖς σπανίως ἀποβαίνουσιν πλεονεκτοῦσαν τῆς ἐμπειρικῆς γνώσεως· καὶ διὰ τοῦτο τοῖς ἐναντιωτάτοις βοηθήμασιν ἐνίοτε τῶν ἐκ τῆς ἐμπειρίας ἐγνωσμένων ἐθεράπευσα πολλὰ τῶν παθῶν, ἅπερ ἐπὶ πλέον ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ διέρχομαι.

Κεφ. δ΄. Νυνὶ δ᾽ εἰρήσεται μόνα τὰ πρὸς τὴν ἐνεστῶσαν ὑπόθεσιν χρήσιμα. τὰς γάρ τοι τῶν ἐνεργειῶν βλάβας εὗρον οὐ μόνον ἐπὶ τοῖς ὁμοιομερέσιν, ὑφ᾽ ὧν γίγνονται,

ptoribus ufus fum. Neque igitur odi empiricos, quorum fermonibus fum innutritus, neque ullos dogmaticos; pari enim ftudio omnibus dedi operam, verfatusque fum cum praeftantiffimis in unaquaque fecta praeceptoribus. Itaque innotui Romae tum primoribus ejus urbis civibus tum Imperatoribus deinceps omnibus, ob artis opera, non ob fophifticas rationes. Quamobrem nihil prohibet, quo minus de unaquaque fecta vere dicam quae fentio. Igitur per artis exercitationem comperi, eam remediorum inventionem, quae ex vera indicatione procedit, in iis quae raro accidunt, empiricae cognitioni praeftare. Unde multos morbos curavi praefidiis interdum plane contrariis illis, quae experientia cognita funt, quae quidem in opere methodi medendi latius explico.

Cap. IV. Nunc vero fola explicabuntur ea, quae ad praefentem praepofitionem utilia funt. Nam comperi laefiones actionum non folum ob fimilares, a quibus edun-

Ed. Chart. VII. [427.] Ed. Baf. III. (271.)

νοσοῦσιν βλαπτομένας, ἀλλὰ κἀπὶ τοῖς ἄλλοις μορίοις, ὧν χρεία μέν τίς ἐστιν, ἐνέργεια δ᾽ οὐκ ἔστιν· εὗρον δὲ καὶ τὰ τῶν ὀργανικῶν μορίων νοσήματα βλάπτοντα τὰς ἐνεργείας. ἐπὶ τούτοις προεγνωσμένοις ἑξῆς εὗρον ἔνια μὲν νοσήματα συνεχῶς γινόμενα τοῖς πολλοῖς τῶν ἀνθρώπων, ἔνια δὲ σπανίως· τὴν δ᾽ ἐμπειρικὴν ἰατρείαν ἑώρων οὐ τὸ σπάνιον, ἀλλὰ τὸ πολλάκις ἀποβαῖνον ἐν μνήμῃ τε καὶ μιμήσει τιθεμένην, καὶ διὰ τοῦτ᾽ ἠμελημένας τῶν σπανίων διαθέσεων οὐ μόνον τὰς θεραπείας, ἀλλὰ καὶ τὰς προηγουμένας αὐτῶν διαγνώσεις. ὅπως οὖν χρὴ διαγιγνώσκειν αὐτὰς πρῶτον ἐζήτησα, καὶ τούτων τινὰς μὲν ἐπιστημονικὴν διάγνωσιν ἐχούσας εὗρον, ἐνίας δ᾽ ὑποπεπτωκυίας τῷ καλουμένῳ τεχνικῷ στοχασμῷ, καὶ διὰ τοῦτο καὶ αὐτὰς ὡς τὸ πολὺ κατορθουμένας, ἡ γὰρ τοῦ τεχνικοῦ στοχασμοῦ δύναμις τοιαύτη τίς ἐστιν· ἀλλὰ καὶ ταύτας καὶ πρὸ τούτων ὅσαι τῶν σπανίων διαθέσεων ἐπιστημονικὴν διάγνωσιν ἔχουσιν, εὗρον ἀεὶ δεομένας τῆς τῶν πεπονθότων μορίων διαγνώσεως. ἐγὼ μὲν οὕτως ἰατρεύων ἄχρι γήρως οὐδαμόθι μέχρι σήμερον ἠσχημόνησα

tur, aegrotantes contingere, verum etiam ob alias partes, quae actionem non habent, ufum tamen quendam praeftant. Sic etiam organicarum partium morbos actiones laedere deprehendi. Quibus praecognitis inveni deinceps morbos quosdam continenter plurimis hominibus oboriri, alios vero raro. At empiricam medicinam videbam non quod raro, fed quod crebro accidit in memoria et imitatione collocare; quocirca difpofitionum raro evenientium non folum curationem, verum etiam praevias ipfarum dignotiones negligere. Proinde primum inveftigavi, quomodo cognofcendae fint, invenique earum quasdam fcientificam habere dignotionem, nonnullas vero artificiofae vocatae conjecturae fubjectas, atque idcirco ipfas etiam magna ex parte rectas; ejusmodi enim eft artificiofae conjecturae vis. Verum et has et his prius affectiones raras, quae fcientificam dignotionem habent, indigere femper inveni affectarum partium dignotione. Ego quidem medicinam hoc pacto profeffus usque ad fenectutem, nullam in hodiernum usque diem ca-

Ed. Chart. VII. [427. 428.] Ed. Baf. III. (271.)

κατὰ θεραπείαν, ἢ πρόγνωσιν, ὡς ἄλλους πολλοὺς εἶδον ἐνδοξοτάτους ἰατρούς· εἰ δέ τις ἐθέλει καὶ αὐτὸς ἀπὸ τῶν ἔργων τῆς τέχνης, οὐκ ἀπὸ λόγων σοφιστικῶν ἔνδοξος γενέσθαι, πάρεστι τούτῳ χωρὶς ταλαιπωρίας ἀναλέγεσθαι τὰ πρὸς ἡμῶν ηὑρημένα μετὰ πολλῆς ζητήσεως ἐν ὅλῳ τῷ βίῳ. γινωσκέτω τοιγαροῦν οὗτος ἐν τοῖς σπανίοις πάθεσιν, ἐν οἷς οὔτε διδάσκαλον εἶδον ἰασάμενόν τινα τῶν πασχόντων οὔτ᾽ αὐτός ποτε ἐπειράθην βοηθήματος, ὁδῷ τοιαύτῃ με χρησάμενον εἰς τὴν τῶν ἰαμάτων εὕρεσιν. ἔστωσαν οὖν μοι καὶ νῦν θεοὶ τοῦ λόγου μάρτυρες· ἐζήτησα γὰρ ἀεὶ, τίνος τόπου πεπονθότος, ἢ τίνος αὐτῷ συμπάσχοντος ἡ τῆς ἐνεργείας ἐγένετο βλάβη, καὶ πείσας ἐμαυτὸν εὑρηκέναι τὸ μόριον, ἐφεξῆς ἐζήτησα τὴν διάθεσιν αὐτοῦ, κᾀκ τούτων εὐθὺς ἀμφοτέρων ἔλαβον ἔνδειξιν ὅλου τοῦ τῆς θεραπείας γένους, εἴς τε τὸ ποσὸν καὶ τὸ ποιὸν τῶν [428] βοηθημάτων, καὶ τὴν τῶν ἐπιτηδείων ὑλῶν εὕρεσιν, ἐπισκοπούμενος ἅμα τοῖσδε τὴν ἡλικίαν τε καὶ φύσιν τοῦ κάμνοντος, ὥραν τε καὶ χώραν, καὶ τἄλλα ὅσα πολλάκις ἤδη λέλεκται κατὰ

lumniam fubii neque curando, neque praefagiendo, quod celeberrimis multis medicis accidere memini. Quod fi quis et ipfe gloriam ab artis operibus, non a fophifticis fermonibus, affequi voluerit, is nullo negotio facili compendio colligere poterit ea, quae per omnem aetatem diligenti inquifitione inveni. Hic igitur fibi perfuafum habeat, hac via et ratione medicamenta me inveniffe, quibus morbos raro evenientes curarem, quum antea neque praeceptorem vidiffem hujusmodi morbos curantem, neque ipfe aliquod expertum haberem remedium. Sint igitur et hujus fermonis dii mihi teftes. Quaefivi enim perpetuo, cujus loci affecti, aut cujus partis per confenfum ipfius laborantis effet actionis laefio; quumque partem me inveniffe crederem, tum quaefivi affectum ipfius, atque ex his ftatim utrisque totius curationis generis indicationem fumpfi ad remediorum et quantitatem et qualitatem, et idoneae materiae inventionem, infpiciens cum praedictis et aetatem et naturam laborantis, tum anni tempus et regionem et id genus alia, quorum in

τὴν Ἱπποκρατείων βιβλίων ἐξήγησιν. ἀλλ' ὁ πεπονθὼς τόπος, εἴ τι μεμνήμεθα τῶν ἐν τοῖς πρὸ τοῦδε δύο βιβλίοις, ἔκ τε τῶν ἐκκρινομένων ἐγνωρίζετο καὶ τῶν ἐπιτρεφομένων τοῖς πάσχουσι μέρεσι καὶ τῶν ἐνεργειῶν τῆς βλάβης, ἐν οἷς περιέχεται καὶ τὰ παρὰ φύσιν χρώματά τε καὶ σχήματα· ὄντων τε τῶν ἐκκρινομένων καὶ αὐτῶν τῷ γένει τριττῶν· ἤτοι γὰρ τῶν πεπονθότων τόπων ἐκκρίνεται μέρη, διαλυομένης αὐτῶν ἢ ἀποθρυπτομένης τῆς οὐσίας, ἤ τι τῶν (272) περιεχομένων ἐν αὐτοῖς, ἤ τι τῶν ταῖς νοσώδεσι διαθέσεσιν ἑπομένων ἢ μόναις, ἢ διὰ παντὸς, ἢ ὡς ἐπὶ τὸ πολύ· τῶν μὲν ἄλλων οὐδὲν εὕρισκον ἐπί τινων παθῶν, μόνη δέ μοι τηνικαῦτα τῆς εὑρέσεως τῶν πεπονθότων μορίων ὁδὸς ὑπελείπετο ἡ διὰ τῆς βεβλαμμένης ἐνεργείας.

Κεφ. έ. Εἰς ἀνάγκην οὖν ποτε καταστὰς ἀνακτήσασθαί τινος ἀπολωλυῖαν μνήμην, ἔτι νεώτερος ὢν, οὔτε τῶν διδασκάλων ἑωρακώς τινα θεραπεύοντα τοῦτο τὸ πάθος οὔτ' ἀνεγνωκὼς παρά τινι τῶν ἀρχαίων τὴν ἴασιν, ἐζήτουν κατ' ἐμαυτὸν πρῶτον μὲν εὑρεῖν, τίς ἂν εἴη ὁ πεπονθὼς τόπος,

Hippocraticorum librorum enarratione faepe jam memini. Verum fedes affecta, fi dictorum fuperioribus duobus libris meminimus, dignofcitur ab excretis et iis, quae affectis partibus adnafcuntur, et actionum laefione, quibus comprehenduntur et colores praeter naturam et figurae: quumque excreta ipfa trifariam dividantur; vel enim affectarum sedium partes ipfarum fubftantia vel foluta vel confracta, excernuntur; vel ea, quae in ipfis continentur; vel aliquid, quod morbofas affectiones fequitur vel folas, vel femper, vel magna ex parte; in quibusdam affectibus nulla alia mihi occurrebant, fed fola mihi inventionis affectarum partium via, quae per laefam actionem procedit, relinquebatur.

Cap. V. Igitur quum deperditam cujusdam memoriam reftituere me aliquando oporteret, effemque adhuc junior, ac neque praeceptorem unquam vidiffem hujusmodi affectionem curantem, neque apud ullum antiquorum curationem legiffem, primum quidem apud me ipfum invefti-

Ed. Chart. VII. [428.] Ed. Baf. III. (272.)

ᾧ προσάξω τὰ καλούμενα τοπικὰ βοηθήματα, μετὰ τὴν τοῦ παντὸς σώματος ἐπιμέλειαν δηλονότι, κοινὸν γὰρ τοῦτο ἐπὶ πάντων ἐστὶ τῶν παθῶν· εἶθ᾽ ἑξῆς, ἐκ τίνος ὁδοῦ τῶν ἰαμάτων ἕκαστον εὑρήσω. τὸν μὲν δὴ πεπονθότα τόπον ἡγούμην εἶναι τὸν αὐτὸν τῷ τὸ καλούμενον ἡγεμονικὸν ἐν ἑαυτῷ περιέχοντι, τὰ δ᾽ ἰάματα τῇ κατ᾽ αὐτὸν ἐναντία διαθέσει. παυσαμένους τοίνυν ἀξιῶ πάντας, ὅσοι τοῖσδε τοῖς γράμμασιν ὁμιλοῦσι, τῆς ψώρας, ἢ λύττης, ἢ μανίας ἧς ἔχουσι περὶ τὰς αἱρέσεις, ὡς ἀνθρώπους σώφρονας ἐπισκέψασθαι τὴν ἀκολουθίαν τῶν ἐφεξῆς εἰρησομένων. ἐν ᾧ γὰρ ἐσκοπούμην ἃ εἴρηκα, πυθόμενος τῷ Ἀρχιγένει τι γεγράφθαι βιβλίον, ἔνθα διδάσκει μνήμης βεβλαμμένης ἀνάκτησιν, εὐθέως περιῆλθον ἁπάσας μὲν τὰς βιβλιοθήκας, ἅπαντας δὲ τοὺς βιβλιοπώλας, ἅπαντας δ᾽ οὓς ᾔδειν ἰατροὺς ἐσπουδακότας περὶ τὰ συγγράμματα τἀνδρὸς, εὐπορῆσαι τοῦ βιβλίου προῃρημένος, ὅπως μοί τι συντελέσειεν πρὸς τὴν τῶν βοηθημάτων εὕρεσιν, οὐ τοῦ τόπου τοῦ πεπονθότος· ἄντικρυς γὰρ ἡγούμην ὑπ᾽ αὐτοῦ λελέχθαι τὸν τόπον τοῦτον, οὐκ

gavi, quaenam pars effet affecta, cui topica vocata remedia adhiberem, prius videlicet univerfi corporis curatione praemiffa, id enim in omnibus morbis commune eft; deinde qua via remedia fingula invenirem. Affectam itaque fedem eam ipfam effe exiftimavi, qua princeps animae facultas continetur, medicamenta autem, quae hujus fedis affectui effent contraria. Oratos igitur habere velim omnes, qui hos libros legunt, ut pruritum, vel rabiem, vel infaniam, quam de fectis conceperunt, deponant et, ut fapientes viros decet, dicendorum feriem confiderent. Quum enim quae enarrata funt, perpenderem, accepi Archigenem librum quendam de oblaefae memoriae inftauratione edidiffe; quocirca omnes bibliothecas illico percurri, bibliopolas omnes, atque medicos omnes quoque, quos fcriptorum ejus viri ftudiofos effe fciebam, quo ejus libri copia mihi fieret, ut mihi quidpiam conferret ad remediorum, non ad loci affecti inventionem; quod plane exiftimarem nullam aliam a corde fedem

ἄλλον τινὰ παρὰ τὴν καρδίαν, ἐπειδὴ κατὰ ταύτην ἡ αἵρεσις αὐτοῦ τὸ τῆς ψυχῆς ἡγεμονικὸν εἶναι πεπίστευκεν· ἐζήτουν δ' ἐγνωκέναι, τίνα δυσκρασίαν αὐτῆς αἰτίαν ἡγεῖται εἶναι τοῦ πάθους. οὐδὲ γὰρ ὅτι δυσκρασίαν τινὰ εἶναι νενόμικεν, ἠμφίβαλλον, εἰδὼς τὴν αἵρεσιν τοῦ ἀνδρός· ἀλλ' ἐπειδὴ δυσκρασίας ᾔδειν ὀκτὼ καθ' ἕκαστον μόριον συνισταμένας, τέτταρας μὲν ἁπλᾶς, τέτταρας δὲ συνθέτους, ἐπεθύμουν γνῶναι, τίνα τούτων ὁ Ἀρχιγένης ἀπεφήνατο τῆς βεβλαμμένης ἐνεργείας αἰτίαν εἶναι, πότερα ψύξιν ἢ ὑγρότητα τοῦ κατὰ τὴν καρδίαν πνεύματος, ἢ σύνθετον ἐκ ψύξεώς τε καὶ ὑγρότητος, [429] ἢ ξηρότητα μετὰ ψύξεως ὑπολαμβάνει δύνασθαι τὸ πάθος ἐργάσασθαι τοῦτο· πρόδηλον γὰρ ἦν, ὅτι τῆς θερμότητος ἀποστήσεται. τί ποτ' οὖν μοι συνέβη, τοῖς, ὡς ἔφην, ἀποτιθεμένοις τὴν τῆς αἱρέσεως μανίαν, ἐφεξῆς φράσω, παραγράψας αὐτὰς τὰς πρώτας ῥήσεις τοῦ βιβλίου, καθ' ὃ θεραπείαν ὁ Ἀρχιγένης ἔγραψεν τῆς ἐπιλησμοσύνης, ἢ λήθης, ἢ μνήμης ἀπωλείας, ἢ βλάβης, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ τὸ προκείμενον ἐν τῷ λόγῳ πάθος, ἢ εἰ μὴ πάθος, ἀλλὰ

huic affectioni ipfum deftinaffe, fecta ipfius defendente, principem animae facultatem in ea parte fedem fibi vendicare; at intelligere cupiebam, quam intemperiem ejus affectionis caufam effe putaret. Neque enim dubitabam, quin intemperiem aliquam effe duxiffet, viri fectam non ignorans; fed quum fcirem octo intemperies in quaque parte confiftere, quatuor fimplices et quatuor compofitas, nofcere cupiebam, quam earum Archigenes laefae actionis caufam effe declaraffet, frigusne, an humiditatem fpiritus in corde, an compofitam ex frigore et humiditate, aut ariditatem cum frigore, putaret hujusmodi poffe affectionem producere; etenim manifeftum erat, eum in hac re nihil tributurum calori. Quid igitur mihi acciderit, iis qui fectae infaniam, ut dixi, abjecerint, deinceps narrabo, ipfas primas dictiones adfcribens ejus libri, in quo Archigenes curationem fcripfit deletae recordationis, five oblivionis, five memoriae deperditae aut laefae, vel utcunque quis fupra propofitam affectionem nominare voluerit, aut fi non affectionem, faltem morbum,

Ed. Chart. VII. [429.] Ed. Baf. III. (272.)

νόσον, ἢ σύμπτωμα, ἢ ἀῤῥώστημα· ταῦτα γὰρ οἱ σοφισταὶ ζητοῦσιν, μὴ ὅτι μικρὸν, ἀλλὰ μηδὲ τοὐλάχιστον εἰς τὴν θεραπείαν συντελοῦντα. σαφηνείας δὲ ἕνεκα τῶν μελλόντων εἰρήσεσθαι τοσοῦτον προειπεῖν ἀναγκαῖόν ἐστιν, ὅτι βιβλίων Ἀρχιγένει γεγραμμένων ἐπιστολικῶν ἕνδεκα τὸν ἀριθμὸν, ἐν τῷ πρώτῳ γέγραπται πρὸς Μάρσον ἐπιστολὴ, δι᾽ ἧς αὐτῷ συμβουλεύει περὶ τοῦ πατρὸς, ὅπως ἀνακτήσηται τὴν μνήμην αὐτῷ· ἐν ἀρχῇ μὲν οὖν αὐτῆς μετὰ τὸ προοίμιον, ὁπότε τῆς θεραπείας ἄρχεσθαι μέλλει, γέγραπται ταῦτα κατὰ λέξιν· ἀφαίρεσιν μὲν οὖν αἵματος σύμμετρον καὶ ἐπαφαίρεσιν πεποιῆσθαι ἡμᾶς ἀρχομένης τῆς ἀποθλίψεως πέπεισμαι, εἰ μή τις ἀσθένεια γέγονεν ἐμποδών. εἶτ᾽ ἐφεξῆς πάλιν· οἶμαι δὲ ὅτι καὶ ἐμβρέγμασί τε κατὰ καιρὸν χρήσασθαι καὶ θάλψεσι μὲν ὅλου τοῦ σώματος, ψιλώσει τε τῆς κεφαλῆς, καὶ σικυῶν προσβολῇ. ταῦτ᾽ ἀναγνοὺς ἐσκοτοδινίασα, χρὴ γὰρ ἴσως εἰπεῖν με τἀληθῆ· πῶς δ᾽ οὐκ ἔμελλον, ἁμαρτὼν τῆς ἐλπίδος ἣν ἤλπισα παρ᾽ ἀνδρὸς ἔσεσθαί μοι, μυριάκις ἐν πολλοῖς συγγράμμασιν τήν τε τῶν πεπονθότων τόπων ἐπιστήμην

aut fymptoma, aut infirmitatem; talia namque fophiftae inquirunt, quae non modo non parum, fed ne minimum quidem ad curationem conducunt. Verum quo clariora reddantur ea, quae pofthac dicemus, hoc praedicere neceffe eft, quum Archigenes undecim libros epiftolarum fcripferit, in primo extare ad Marfum epiftolam, qua ipfi confilium dat, quomodo patri memoriam reftituat; hujus igitur initio poft prooemium, ubi curationem tractare incipit, ita ad verbum fcriptum eft: *Detractionem igitur fanguinis moderatam et ejusdem iteratam detractionem faciendam nobis incipiente interceptione, mihi perfuadeo, nifi imbecillitas quaedam obftiterit.* Deinceps rurfus: *Puto autem et irrigationibus opportune ufuros et fotibus totius corporis, et capitis derafione, et cucurbitularum appofitione.* His lectis, obfcura vertigine conturbatus fum; aequa namque mihi dicenda eft veritas; quomodo vero non effem turbatus, dejectus fpe, quam a viro mihi futuram conceperam, qui millies in multis commentariis, affectorum locorum at-

καὶ τὴν τῆς διαθέσεως αὐτῶν ἀναγκαίαν εἶναι φάσκοντος εἰς τὸ καλῶς ἰᾶσθαι τὰς νόσους; πῶς γὰρ ἂν ἔτι χρήσιμοι πρὸς τοῦτο εἶεν, εἰ μὴ τὴν ἀπ᾽ αὐτῶν τις ἔνδειξιν ἐπιδείξειεν ἡγεῖσθαι τῆς τῶν βοηθημάτων εὑρέσεως; ἐκ τίνος, Ἀρχίγενες, λόγου πιθανοῦ πεισθέντες ἐπὶ τὴν κεφαλὴν ἀφιξόμεθα τὴν καρδίαν ἀφέντες, ἧς ἓν μέν τι τῶν συμφύτων ἔργων ἐστὶν τὸ μεμνῆσθαι, τὸ πάθος δὲ τῆς ἐνεργείας ἐστὶν ἡ ταύτης ἀπώλεια; τίνα δὲ διάθεσιν ἡ τῇ κεφαλῇ προσφερομένη σικύα θεραπεύουσα τὴν μνήμην ἀνακαλέσεται; τίνι λόγῳ τὰ βοηθήματα ταῦτα συνεβούλευσας; ὡς ἔγωγε καὶ νῦν θεῶμαι κατὰ τὰς τῶν νοσούντων ἐπισκέψεις τοὺς ἰατροὺς ἐν τῇ κοινολογίᾳ πυνθανομένους ἀλλήλων, κατὰ τίνα λόγον τόδε βοήθημα πρὸ τοῦδε συνεβούλευσεν, ἄχρι καὶ τῶν σμικροτάτων τοῦτο δρῶντας, οὐ τῶν οὕτω μεγάλων ὁποῖόν ἐστι σικύα προσφερομένη τῇ κεφαλῇ. ἐγὼ μὲν οὖν οὐδ᾽ εἰ τῷ θώρακι προσήγετο, καθ᾽ ὃ μέρος ἡ καρδία τέτακται, λόγον εἰπεῖν εὑρίσκω δι᾽ ὃν ὤνησεν ἄν τι τὸν τοῦ Μάρσου πατέρα, μετὰ τοῦ μηδὲ εἰ τῷ θώρακι προσῆγε, πότερον μετ᾽ ἀμυχῶν τὰς σικύας, ἢ χωρὶς τούτων ἐβούλετο προσβεβλῆσθαι, δεδηλῶσθαι διὰ

que affectus ipforum fcientiam neceffariam ad rectam morborum curationem effe dixiffet? Enimvero quomodo etiamnum ad hoc erunt utiles, nifi ab ipfis ad remediorum inventionem dirigamur? Qua igitur, o Archigenes, probabili ratione perfuafi caput aggrediemur, relicto corde, cujus congenitum quoddam opus memoria eft, affectus vero actionis ejus eft deperditio? quam affectionem fanando cucurbitula capiti adhibita memoriam revocabit? qua ratione hujusmodi fuades remedia? Ita nunc quoque inter vifitandum aegros per communes confultationes video medicos inter fe interrogantes, qua ratione hoc potius quam illud remedium adhibere fuaferit, ne minimis quidem neglectis, nedum tantis qualis eft cucurbitula capiti adhibita. Ego quidem, etiamfi thoraci e regione cordis fuiffet adhibita, rationem proferendam non invenio, qua Marfi patrem juvare potuiffet, praeterquam quod propofita jam verborum feries non explicat, utrum concifa ante fcalpello, an in-

τῆς ἀρτίως εἰρημένης ῥήσεως. δυναμένης γὰρ, εἰ οὕτως ἔτυχεν, τῆς διαθέσεως ψυχρᾶς καὶ ξηρᾶς εἶναι, τὸ μὲν αἵματος ἀφελεῖν ἔσχατον κακόν ἐστιν· τὸ δὲ σικύαις μόναις κεχρῆσθαι χάριν μὲν τοῦ θερμῆναι χρήσιμον, ἄλλως δ' οὐδαμῶς· ἐπισπῶνται γὰρ ἐκ τοῦ βάθους εἰς αὐτὰ αἱ σικύαι τὴν ὑγρότητα, τοῦτο δ' ἐναντιώτατόν ἐστι διαθέσει ξηρᾷ. μὴ γινωσκόντων οὖν ἡμῶν μηδέπω, τίς ἦν ἡ διάθεσις ἐν τοῖς κατὰ τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας χωρίοις, οὐκ ἀσφαλὲς ἦν ἔξω τοῦ κρανίου ποιεῖσθαι τὴν ἀντίσπασιν. προειρηκέναι τοιγαροῦν ἐχρῆν αὐτὸν ὡδί πως· ἐπειδὴ ψυχρόν ἐστιν καὶ ὑγρὸν τὸ πάθος ἐν τῇ κεφαλῇ, τοιαύτης γενομένης διαθέσεως, εἴη μὲν ἂν ἐν τῷ θερμαίνειν καὶ ξηραίνειν [430] τὸ τῆς θεραπείας κεφάλαιον, ὕλαις δ' ἄν τις εἰς τοῦτο βοηθημάτων χρήσαιτο τοιαῖσδε. μόγις γοῦν ἐπεγείρας ἐμαυτὸν ἐκ τῆς σκοτοδινίας ἐπὶ τὴν τῶν ἐφεξῆς γεγραμμένων ἀνάγνωσιν ἧκον, ἐνδέχεσθαι νομίζων, εἰ καὶ μὴ κατὰ τάξιν, ἀλλ' οὖν γε παρὰ τάξιν εἰρῆσθαί τινα τοιοῦτον λόγον, οἷον ἄρτι διῆλθον ἐπὶ τοῦ παραδείγματος. καὶ τοίνυν εὗρον ἅπαντα τῶν βοηθημάτων τὸν κατάλογον

tegra cute, cucurbitulas thoraci aptari voluerit. Cum enim esse posset, si casus ita ferat, frigida aridaque affectio, sanguinis quidem detractio ad extremum ducit periculum; solae vero cucurbitulae non alio nomine quam caloris excitandi gratia utiles sunt; cucurbitulae enim attrahunt ad sese humorem ex imo, quod aridae affectioni maxime adversatur. Ignorantibus itaque prorsus nobis, quae sit affectio, quae vel caput, vel membranas ipsius afficit, haudquaquam tutum fuerit in exteriores calvariae partes materiam revellere. Sic igitur praedicere debuerat: quum frigida humidaque capitis affectio sit, ipso hoc modo affecto, curationis summa in calefaciendo exiccandoque posita est, hancque praesidiorum materiam ad hoc adhibere oportet. Quum ergo vix ex obscura me vertigine recollegissem, sequentia legere aggressus sum, invenire me posse sperans, si non ordine, saltem sine ordine, hujusmodi aliquem sermonem, qualis is erat, quem nuper exempli causa percurrimus. Deprehendi itaque universum praesidiorum catalogum vehemen-

Ed. Chart. VII. [430.] Ed. Baf. III. (272. 273.)

ἱκανῶς θερμαίνοντά τε καὶ ξηραίνοντα, μέχρι τοῦ καὶ τῷ καλουμένῳ πρὸς αὐτοῦ σιναπισμῷ καὶ ὅλην κεφαλὴν ἐκθερμαίνειν, καὶ τούτῳ γ᾽ αὐτῷ σφοδροτάτῳ· κελεύει γὰρ, ἀρθέντος τοῦ νάπυος, νίτρῳ καταπάσαντας τὴν κεφαλὴν, ἔπειθ᾽ ὕδατι καταντλεῖν θερμῷ, οὗ βοήθημα βιαιότερον οὐδὲν ἂν εὕροις ἄλλο τῶν κατ᾽ ἰατρικήν· ὁμοίαν γὰρ ἔχει τὴν ὀδύνην καυτηρίῳ, πολυχρονιωτέραν δὲ τὴν ἐνέργειαν. ἀμέλει καὶ αὐτὸς ὁ Ἀρχιγένης ἐπιφέρων ἔφη· δυσυπομόνητον μὲν οὖν ἔχει τὴν ὀδύνην, ἀλλ᾽ οὐδενὸς χεῖρόν ἐστι τοῦτο τῶν μεγίστων βοηθημάτων. καὶ μὴν διὰ νάπυος, καὶ καρδάμου, καὶ κόκκου κνιδίου, καὶ σταφίδος ἀγρίας, ἀποφλεγματισμοὺς ποιεῖσθαι συμβουλεύει, καὶ πταρμικοῖς χρῆσθαι κελεύει, καὶ προποτισμοῖς, διὰ τῶν ἱκανῶς θερμαινόντων τε καὶ ξηραι(273)νόντων φαρμάκων ἀμφότερα τὰ βοηθήματα ποιούμενος, ὡς εἶναι δῆλον αὐτὸν ὑγρότητα καὶ ψύξιν ἡγούμενον εἶναι τὴν διάθεσιν, ἤτοι κατὰ τὸν ἐγκέφαλον, ἢ τὰς μήνιγγας· οὐ γὰρ δὴ κατά γε τὸ κρανίον ἡ τοιαύτη διάθεσις γενομένη τῆς μνήμης ἀφαιρήσεται τὸν ἄνθρωπον. ἀλλὰ ταῦτα μὲν εἰρήσθω κατὰ τὸ πάρεργον,

ter calefacientem et exiccantem, adeo ut totum caput ipfo etiam fmapismo a fe vocato calefaceret, et eo quidem ipfo vehementiffimo; nam ablato finapi, caput nitro confpergere, mox aqua calida rigare jubet, quo medicamento nullum in arte medica violentius invenies; fiquidem dolorem velluti cauterium excitat, fed diutius durat ejus operatio. Itaque Archigenes inferens inquit: *Igitur toleratu difficilem habet dolorem, fed nulli vel maximorum praefidiorum cedit hoc medicamentum.* Quin etiam ex finapi, nafturtio, grano cnidio, uva taminea apophlegmatismos fieri confulit ac fternutamenta movere, et potiones propinare jubet, ex vehementer calefacientibus et exiccantibus medicamenta utraque componens; ut facile conftet ipfum crediliffe ad humiditatem et frigiditatem vel cerebri vel meningum hanc affectionem pertinere; neque enim hujusmodi affectio, fi calvariam tantum affecerit, hominem memoria privabit. Verum haec obiter dicta fint, quod quum nusquam demon-

Ed. Chart. VII. [430.] Ed. Baf. III. (273.)

ὡς οὐδαμόθι δείξας ὑγρότητι καὶ ψύξει γίνεσθαι τὴν ἐπιλησμοσύνην, ἔπειτα ξηραίνοντα καὶ θερμαίνοντα βοηθήματα παρέχει· τὸ δὲ τῇ κεφαλῇ τοσαῦτα πράγματα παρέχειν, ἑτέρου πεπονθότος μορίου, πῶς οὐκ ἄν τις ἀγανακτήσειεν; περὶ γοῦν τῶν σικυῶν τῇ κεφαλῇ προσβολῆς, ὧν ἀδιορίστως ἐμνημόνευσεν ἐν ἀρχῇ τοῦ λόγου, μετὰ ταῦτα προελθὼν ἔγραψε σαφέστατα τήνδε τὴν λέξιν· ἐρεθισμούς τε διὰ νάπυος καὶ σικυῶν |κούφων, τὰ πολλὰ μὲν ἠπίων, ὁτὲ δὲ καὶ πάνυ εὐτόνων· ἀνυστικώτεραι δ᾽ εἰσὶν αἱ μετ᾽ ἀμύξεως. ἀλλὰ πάντα τε ταῦτα κατ᾽ οὐδένα λόγον, Ἀρχίγενες γενναιότατε, τῇ κεφαλῇ προσφέρεις, ἐν καρδίᾳ τοῦ πάθους ὄντος. οὐδὲ γὰρ ἐκ πείρας, ἵνα τι καὶ πρὸς τοὺς ἐμπειρικοὺς εἴπω, τῶν τοιούτων εὑρῆσθαί τι δύναται· καυσούμενος μὲν γὰρ ἄνθρωπος ἐν πυρετῷ διακαεῖ ψυχρὸν ὕδωρ ὑπ᾽ ἀκρασίας προσενεγκάμενος ὤνητο μὲν αὐτός ποτε, μιμήσεως δ᾽ ἀρχὴν ἰατροῖς παρέσχεν ἄνευ λογικῆς ἐνδείξεως· ἡ δὲ τῆς σικύας πρόσθεσις οὐδεμίαν ἔχει περίπτωσιν ἡγουμένην, ἀλλ᾽ ἐκ λογικῆς ἐνδείξεως ἅπασα γέγονεν, μήτ᾽ αὐτῆς ποτε δυναμένης τῆς σικύας αὐτομάτως

ſtraverit ab humore frigoreque oblivionem fieri, poſtea calefacientia et exiccantia offerat remedia; caput vero tantis vexari negotiis, alia parte affecta, quis non moleſte ferat? Quod itaque de cucurbitulis ab initio indeterminate protulit, poſtea pergens hujusmodi verborum ſerie manifeſtiſſime ſcripſit: *Irritationesque ex ſinapi et cucurbitulis levibus, ſaepius quidem blandis, interdum autem admodum validis; efficaciores autem ſunt quae cum ſcarificationibus.* Verum, o generoſiſſime Archigenes, nulla ratione capiti iſta omnia adhibes, ſi affectio conſiſtat in corde. Neque enim ab experimento, ut etiam empiricos alloquamur, talia poſſunt inveniri. Aeſtuans enim homo in ardente febre frigidam aquam per intemperantiam ingeſſit, et nonnihil praeſidii expertus, medicis imitationis initium ſine rationali indicatione aperuit; cucurbitulae vero admotio nullam occaſionem fortuitam ducem habet, ſed ex indicatione rationali tota facta eſt; neque enim ſua ſponte cucurbitula unquam

γεννηθῆναι μήτ᾽, εἰ κἂν τοῦτό τις συγχωρήσειε, κολληθῆναί ποτε τῇ κεφαλῇ κατὰ περίπτωσιν, καὶ μάλιστ᾽ ἐπὶ πάθους σπανίου. τῶν γοῦν καθ᾽ ἡμᾶς ἰατρῶν, ὅσοι γέροντές εἰσι καὶ τριβακοὶ, πυνθανόμενος, εἴ τινος ἐθεράπευσάν ποτε τοιοῦτο πάθος, ὀλίγου δεῖν ἁπάντων ἤκουσα μηδ᾽ ἐπικεχειρηκέναι λεγόντων, μόνος δ᾽ εἷς ἔφη τολμῆσαι μὲν ἐπὶ τὴν θεραπείαν ἐλθεῖν, ἀνύσαι δὲ μηδὲν ἐπ᾽ αὐτῇ. πῶς οὖν ἐκ πείρας μιμητικῆς τῶν κατὰ περίπτωσιν ὀφθέντων ἡ τοῦ βοηθήματος ἐγένετο γνῶσις, αὐτοῦ γε τοῦ πάθους σπανίως τινὶ συμβαίνοντος, αὐτομάτως τε τῆς σικύας τῇ κεφαλῇ κολληθῆναι κατὰ περίπτωσιν οὐδέποτε δυναμένης; ψυχροῦ μὲν γὰρ πόσις, ἕκαστόν τε τῶν τοιούτων βοηθημάτων, ὧν ὁσημέραι πεῖραν ἔχομεν ἐπὶ πολλῶν πολλάκις, ἐκ πείρας εὑρῆσθαι δύναται μιμητικῶς· ἡ δὲ τῆς σικύας προσβολὴ μετ᾽ [431] ἀμυχῶν, ἢ ἄνευ τούτων, οὐδεμίαν ἐκ πείρας ἀφορμὴν ἐσχηκέναι δύναται. οὐδὲ γὰρ ὥσπερ ἐπ᾽ ἄλλων παθῶν πολλῶν ὁ πεπονθὼς τόπος, εἰ καὶ μὴ πρὸς ἀκρίβειαν, ἀλλὰ πρός γε τὴν τῶν βοηθημάτων αὐτῷ προσφορὰν, αὐτάρκως

gigni, neque, etiamfi hoc concedatur, per fortuitam occafionem capiti potuit applicari, praefertim in affectione perrara. Interroganti igitur mihi noftrae tempeftatis medicos fenes et exercitatos, curaffentne unquam hujusmodi affectum, omnes paene refponderunt nunquam id fe tentaffe, uno duntaxat excepto, qui diceret curationem quidem aliquando fe aggreffum, nihil vero in ea profeciffe. Quo pacto igitur experientia eorum, quae fortuito accidunt, imitatrice, auxilii cognitio orta eft, quum raro alicui eveniat hujusmodi affectus, neque fieri poffit, ut cucurbitula per occafionem capiti adaptetur? Frigidae enim potio, caeteraque id genus remedia, quorum quotidie crebrum in multis facimus periculum, per experimenta imitando inveniri poffunt; fed cucurbitulae appofitio cum concifionibus aut fine ipfis, nullam ab experientia occafionem accipere potuit. Non enim quemadmodum in aliis affectionibus locus affectus, etfi non accurate, ad auxiliorum tamen ipfi

Ed. Chart. VII. [431.] Ed. Baf. III. (273.)

φαίνεται δι᾽ αἰσθήσεως, οὕτω κἀπὶ τῆς μνήμης· ἄλλων δὲ λέγω παθῶν τῶν τοιῶνδε, πλευρίτιδος, περιπνευμονίας, νεφρίτιδος, κωλικῆς διαθέσεως, ἡπατικῆς, σπληνικῆς, ἢ κατ᾽ ἔντερον, ἢ κατὰ κύστιν, ἢ μήτραν, ἤ τι τοιοῦτον μόριον ἕτερον, ἐφ᾽ ὧν ἁπάντων αἵ τ᾽ ὀδύναι καὶ τὰ διὰ τῶν πόρων ἐκκρινόμενα τὸν πεπονθότα τόπον, εἰ καὶ μὴ κατὰ τὸ ἀκριβέστατον, ἀλλ᾽ ἐν πλάτει γε διασημαίνουσι. κατά τε γὰρ τῆς πλευρᾶς ὅλης ἐν πλευριτικοῖς ἐπιθεῖναι ῥᾷστόν ἐστιν ὅ τι περ ἂν βουληθῇς, ἐπί τε τῆς κοιλίας ἐν κωλικοῖς, ὥσπερ καὶ κατὰ τῶν ὑποχονδρίων ἐφ᾽ ἥπατός τε καὶ σπληνὸς φλεγμοναῖς, ὡσαύτως δὲ καὶ τῶν ἄλλων μορίων· ἔνθα δὲ ἀπόλωλεν ἡ μνήμη, σημεῖον οὐδέν ἐστι τόπου πεπονθότος, οὐκ ὄγκος παρὰ φύσιν, οὐκ ὀδύνη τις, οὐκ ἔκκρισις, οὐκ ἄλλο οὐδέν· ὥσπέρ γε καὶ ἐπὶ μελαγχολίας καὶ φρενίτιδος καὶ μανίας, ἐπιληψίας τε καὶ ληθάργου καὶ κάρου καὶ τῆς ὀνομαζομένης ὑπὸ τῶν νεωτέρων ἰατρῶν κατοχῆς τε καὶ καταλήψεως· ἀλλ᾽ οὐδὲ τῶν ὅλου τοῦ σώματος σπασμῶν, ἢ παλμῶν, ἢ τῆς ἐξ ἡμίσεος αὐτοῦ μέρους παραλύσεως, ἡ οἷον ῥίζα προβάλλει

oblationem, fatis fenfibus deprehenditur; fic et in memoria. In aliis dico affectionibus talibus, pleuritide, peripneumonia, nephritide, affectione colica, hepatica, fplenica aut inteftini, aut veficae, aut uteri affectu, atque id genus caeterarum partium; in quibus omnibus et dolores et ea, quae per meatus excernuntur, etfi non exactiffime, in latitudine certe, locum affectum declarant. In pleuriticis enim facile eft univerfo lateri admovere quod volueris; fimiliter ventri in colica; quemadmodum, fi hepar, aut lien inflammetur, hypochondriis, atque fimiliter in caeteris partibus; deperdita vero memoria nullum eft affecti loci fignum, non tumor praeter naturam, non dolor aliquis, non excretio, non aliud quippiam; quemadmodum neque in melancholia, phrenitide, mania, morbo comitiali, lethargo, fopore et in ea affectione, quam recentiores medici catochen atque catalepfin appellant. Sed neque in totius corporis convulfionibus, vel palpitationibus, vel in dimidii corporis paralyfi.

τι σημεῖον, οὔτε δι᾽ ὄγκου παρὰ φύσιν, οὔτε δι᾽ ὀδύνης, οὔτε διὰ χρώματος ἐξηλλαγμένου παρὰ τὸ πρόσθεν, ἢ διά τινος τῶν ἐκκρινομένων· ὥστ᾽ οὐδ᾽ ἐπὶ τούτων ἡ Ἀρχιγενικὴ τῶν βοηθημάτων εὕρεσις δύναται γενέσθαι, λήρώδους μὲν οὔσης τῆς τῶν ἐμπειρικῶν περιπτώσεως, τοῦ δ᾽ Ἀρχιγενείου λόγου πρὸς τὴν καρδίαν ἡμᾶς ὁδηγοῦντος. ἀλλὰ δῆτα συγκεχωρήσθω τὴν πεῖραν εὑρηκέναι τὰ βοηθήματα τῶν εἰρημένων παθῶν, ἆρ᾽ οὐ φανερὸς ἔλεγχός ἐστι τῆς ψευδοῦς ἀλαζονείας τῶν δογματικῶν ἀνδρῶν, οὐδ᾽ οὗτος αὐτὸς ἁπλοῦς, ἀλλὰ διττὸς, καὶ ἰσχυρὸς ἑκάτερος; ἐκ γὰρ τοῦ τὴν πεῖραν οὕτως εἶναι χρήσιμον, ὡς μὴ μόνον εὑρίσκειν ἄνευ λόγου τὰς ἰάσεις, ἀλλὰ καὶ διελέγχειν αὐτὸν, ὡς ἔστι προφανῶς ψευδὴς, οὐ μόνον ἄχρηστος ὁ λόγος, ἀλλὰ καὶ πρὸς κακοῦ φαίνεται τοῖς δογματικοῖς ἰατροῖς ἐπιτηδευόμενος. ἤρκει μὲν οὖν, ὥς φασι, καὶ ὁ περὶ τῆς ἀχρηστίας ἔλεγχος· ὁπότε δὲ καὶ βλάπτων ὁ λόγος φαίνεται, τί ἂν ἔτι μεῖζον ἔχοι τις εἰπεῖν εἰς τὴν μοχθηρίαν αὐτοῦ; οἱ πολλοὶ γοῦν λόγοι περὶ ψυχῆς ἡγεμονικοῦ διαλεκτικῶς ἐρωτηθέντες, ἅμα τοῖς περὶ τῆς τῶν πεπονθότων

id quod veluti radix eft, ullum fignum prodit, vel tumore praeter naturam, vel dolore, vel colore mutato a priori, vel aliquo excretorum. Quare neque in his Archigenica remediorum inventio fieri poteft, fiquidem nugaces funt fortuitae empiricorum occafiones, atque Archigenis fermo nos ducit ad cor. Verum concedamus ab experientia praedictarum affectionum auxilia prodiiffe, numquid manifefte deprehenditur falfa dogmaticorum virorum arrogantia, ac ne fimpliciter quidem, fed dupliciter, atque utrinque valide? Si enim usque adeo utile fit experimentum, ut non folum citra rationem inveniat remedia, verum etiam coarguat ipfam tanquam aperte falfam, non folum ratio inutilis eft, fed etiam cum damno a dogmaticis medicis ufurpatur. Satis quidem, ut ajunt, erat reprehenfio ab inutilitate ducta, at quum ratio etiam nocere videatur, quod majus argumentum defideras ejus vitii? multas fcilicet de principe animae facultate rationes dialectico more difputatas, una cum affecto-

τόπων εὐχρηστίας, ἐνδεικνύμενοι τῇ καρδίᾳ προσφέρειν ἐπὶ τῶν ψυχικῶν παθῶν τὰ βοηθήματα, κατεφρονήθησαν ἐξαίφνης ὑπὸ τοῦ τριβακωτάτου περὶ τὰς θεραπείας Ἀρχιγένους, ὡς ἐᾶσαι μὲν ὅλως τὰ κατὰ τὸν θώρακα μόρια, τὴν κεφαλὴν δὲ σικυάζειν καὶ κατατέμνειν καὶ κατακαίειν οὐδὲν πεπονθυῖαν. ἆρ᾽ οὖν, ὦ πρὸς Διὸς, ἐψευσάμην, ὀλίγον ἔμπροσθεν εἰπὼν, ἐσχάτην προδοσίαν γίνεσθαι τῆς λογικῆς ὁδοῦ πρὸς τὴν τῶν βοηθημάτων εὕρεσιν ὑπὸ τῶν τὴν πατρίδα μᾶλλον ἢ δόγμα προδοῦναι πεπεισμένων; προδοσία γὰρ αὐτοῖς εἶναι δοκεῖ τἀληθῆ λέγειν, ὅταν μέλλωσι διαφωνεῖν τοῖς ἀπὸ τῆς τοιαύτης αἱρέσεως. ὥσπερ δ᾽ ἐνταῦθα φιλονεικίαν αἰσχρὰν ἐπιδείκνυνται προφανῶς, οὕτως ἄνοιαν, ὅταν οἴωνται πάνθ᾽ ἑαυτῶν σαλεύεσθαι τὰ δόγματα, κἂν ἓν ὁτιοῦν ἐλεγχθῇ· τινὰ μὲν γὰρ ἀλλήλοις ἀκολουθεῖ, καθάπερ γε πάλιν ἕτερα μάχεται, τινὰ δὲ οὔτ᾽ ἀκολουθίαν οὔτε μάχην ἀναγκαίαν ἔχει, καθάπερ αὐτὸ τοῦτο τὸ περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ. ἐάν τε γὰρ ἐν καρδίᾳ τις ἐάν τ᾽ ἐν ἐγκεφάλῳ περιέχε[432]σθαι τοῦτό φησι, δυνατόν ἐστιν αὐτῷ καὶ περὶ τῶν φυσικῶν στοι-

rum locorum ufu, quibus indicabatur in animalibus affectibus auxilia cordi adhibenda effe, fubito contempfit Archigenes in curandi ratione exercitatiffimus, ut neglectis omnino pectoris partibus capiti cucurbitulas adaptaret ipfumque haud affectum et incideret et ureret. Num igitur per Iovem, mentitus fum paulo ante, quum dicerem, rationalem viam, quod ad remediorum inventionem pertinet, omnino prodi ab iis, qui patriam potius quam fectam fuam prodere in animum induxerunt? Nam proditionem effe arbitrantur, fi vera dicendo diffentiendum fit ab iis a quibus ea fecta defenditur. Ut vero in his turpem contentionem manifefte declarant, fic etiam haud obfcuram dementiam, quum putant omnia fua decreta turbari, fi vel unum quodvis reprehendatur; alia enim mutua confequentia cohaerent, ut alia contra inter fe pugnant, alia neque confequuntur fefe neque pugnant neceffario, ut hoc ipfum de principatu animae. Sive enim aliquis in corde five in capite hunc contineri afferat, poterit de naturalibus elemen-

χείων ἣν ἂν ἐθελήσῃ δόξαν ἑλομένῳ μήτε μάχεσθαι τούτῳ μήτ᾽ ἀκολουθεῖν· καὶ περὶ γενέσεως καὶ φθορᾶς ὁμοίως, ὥσπέρ γε καὶ περὶ ψυχῆς οὐσίας καὶ περὶ θεῶν καὶ προνοίας καὶ εἱμαρμένης καὶ τοῦ γεννητὸν εἶναι τὸν κόσμον, ἢ ἀγέννητον, ἄπειρόν τε τὸ πᾶν ἢ πεπερασμένον, ἢ πολλοὺς εἶναι κόσμους ἢ ἀπεριλήπτους κατὰ τὸν ἀριθμὸν, ἢ ἕνα μόνον τοῦτον. οὐδενὶ γὰρ ὧν εἴρηκα δογμάτων οὔτ᾽ ἀκολουθία τίς ἐστιν οὔτε μάχη πρὸς τὸ τῆς ψυχῆς ἡγεμονικὸν, ἐάν τε ἐν καρδίᾳ τις ἐάν τε ἐν ἐγκεφάλῳ φησὶ περιέχεσθαι. προδιδόασιν οὖν ὅλην τὴν δογματικὴν αἵρεσιν οἱ τοιαύτας γράφοντες θεραπείας· περὶ γὰρ ἡγεμονικοῦ ψυχῆς ἀποδείξεων οὐσῶν ἐναργῶν, ὡς ἅπασιν ἀνθρώποις πεπιστεῦσθαι τὸ μόριον ἐν ᾧ κατῴκισται, μόνοις ἰατρῶν τε καὶ φιλοσόφων τοῖς ἀρίστοις οὐ φαίνεται, τοῖς ἐν καρδίᾳ τιθεμένοις αὐτό. τὰς μὲν οὖν ἀποδείξεις ἐν τοῖς ὑπομνήμασιν εἶπον ἐν οἷς ἔγραψα περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων· ὅτι δὲ καὶ πᾶσιν ἀνθρώποις πεπίστευται, τὸ μὲν λογιζόμενον ἐν ἐγκεφάλῳ

tis quamcunque voluerit eligere opinionem, cum priore ſententia neque pugnando neque conſequens aliquod adducendo, ac ſimiliter de ortu ac interitu, ut et de animae eſſentia, de diis, de providentia, de fato; item genitusne ſit mundus an ingenitus, ſinitum univerſum, an inſinitum; praeterea an plures ſint mundi, an numero incomprehenſibiles, an unus hic duntaxat. Nulli namque dictorum placitorum conſequentia quaedam eſt aut pugna, quod ad animae principatum ſpectat, ſive quis in corde ſive in cerebro eum contineri dixerit. Itaque univerſam ſectam dogmaticam produnt, qui hujusmodi ſcribunt curationes; nam quum de principatu animae adeo maniſeſtae ſint demonſtrationes, ut omnibus hominibus comprobata ſit pars, in qua reſidet, ſolis tum medicis tum ſummis philoſophis, qui in corde eum collocant, non apparet. Demonſtrationes ſane ipſas in commentariis quos de Hippocratis Platonisque decretis edidi jam dixi; quod vero rationalem animae facultatem in cerebro, virilem atque iraſcibilem in corde,

καθιδρύσθαι, τὸ δ᾽ ἀνδρεῖόν τε καὶ θυμοειδὲς ἐν καρδίᾳ, τὸ δ᾽ ἐπιθυμητικὸν ἐν ἥπατι, (274) μαθεῖν ἔστιν ὁσημέραι λεγόντων αὐτῶν ἀκούοντα, πρὸς μὲν τὸν ἀνόητον, ὡς ἐγκέφαλον οὐκ ἔχει· πρὸς δὲ τὸν ἄτολμον καὶ δειλὸν, ὡς ἀκάρδιος εἴη· τοῦ Τιτυοῦ δ᾽ ὑπ᾽ ἀετοῦ τὸ ἧπαρ ἐσθιόμενον, οὐ μόνον ἐν ποιήμασι λεγόντων, ἀλλὰ καὶ πλαττόντων τε καὶ γραφόντων.

Κεφ. στ᾽. Ὥρα τοίνυν ἐπανελθεῖν ἤδη μοι πρὸς τὸ προκείμενον. ὁμολογουμένου μὲν ἅπασι τοῖς ἰατροῖς αὐτοῖς τοῖς ἔργοις, οἷς δρῶσιν κατὰ πάντα τὰ τοῦ λογιστικοῦ πάθη, τὴν κεφαλὴν ὑπάρχειν οἶκον αὐτοῦ, προσῆκον ἦν ἐπισκέψασθαι περὶ τῆς ἑκάστου πάθους διαθέσεως ὁποία τίς ἐστιν· οἷον ἡ τῆς μνήμης βλάβη, ἐπειδὴ προὐθέμην ὑπὲρ αὐτῆς διελθεῖν. ἅμα μὲν γὰρ αὐτὴ φαίνεται πολλάκις γενομένη μετὰ βλάβης τινὸς τοῦ λογισμοῦ, καθάπέρ γε καὶ ἡ τοῦ λογισμοῦ βλάβη μετὰ τοῦ καὶ τὴν μνήμην βεβλάφθαι, τῆς μὲν διαθέσεως ἀμφοτέροις τῆς αὐτῆς οὔσης, ἐπιτεταμένης δὲ, ὁπότε τῇ μνήμῃ συναπόλωλεν ὁ λογισμὸς, ὅπερ ὀνομάζεται μώρωσις.

concupifcibilem in jecore fitam effe, nemini non perfuafum eft; id quotidie difcere licet, dicentes audiendo, fatuo quidem, cerebrum ipfum non habere; timido et pufillanimi, cor ei deeffe; Tityo vero jecur a vulture erodi, non folum in poëmatis canentes, verum etiam pingentes et fculpentes.

Cap. VI. At mihi jam tempus eft redeundi ad propofitum. Sane cum in confeffo fit omnibus medicis ex ipfis operibus, quae in omnibus rationalis facultatis affectionibus faciunt, caput fedem ipfius effe, conveniens erat confiderare, qualis in quacunque affectione difpofitio fit; verbi gratia, memoriae laefio, quoniam de ipfa loqui inftituimus; ipfa enim faepe una cum laefione quadam rationis fieri confpicitur, quemadmodum et rationis laefio una cum memoria laefa; utriusque laefione ab eadem difpofitione procedente, quae intenditur, ubi fimul cum memoria ratio quoque deperditur, quae affectio ftultitia nominatur.

ἀπόλλυται δὲ ἄμφω ταῦτα καὶ κατὰ τοὺς ληθάργους τε καὶ τὰ καρώδη πάθη πάντα, καὶ τὴν διάθεσιν αὐτῶν ἀναγκαῖον ὑπάρχειν ὁμογενῆ· κατὰ μὲν τὸ πρῶτον γένος, ὅτι δυσκρασία, δέδεικται γὰρ αὕτη τῶν ὁμοιομερῶν μορίων, ἃ πρώτως ἐνεργεῖ, διάθεσις εἶναι κοινή· κατὰ δεύτερον δὲ, ὅτι ψυχρά τίς ἐστιν ἡ δυσκρασία πάντως, αὕτη γὰρ ὁρᾶται ναρκοῦσα τὰς ψυχικὰς ἐνεργείας, ὡς τά γε διὰ κρύος ἀναγκαζόμενα φωλεύειν ζῶα σαφῶς ἐνδείκνυται, καὶ πάντα τὰ ψύχοντα φάρμακα, καὶ τῶν ἐδεσμάτων δὲ τὰ ψυχρὰ, καθάπερ ἡ θριδακίνη καταφορικοὺς ἐργάζεται τοὺς ὕπνους, εἰ πολλὴν αὐτὴν προσενέγκαιτό τις· ἀλλὰ καὶ τὰ βάρη τῆς κεφαλῆς, ὅσα χωρὶς ὀδύνης δακνώδους συνίσταται, πάνθ᾽ ὑπνώδη τε καὶ καταφορικὰ γίνεται, καὶ φαίνεται δι᾽ ἀποφλεγματισμῶν μεγάλως ὀνινάμενα. πρὸς δὲ τούτοις ἔγκαυσίς τε καὶ ψύξις τῆς κεφαλῆς ἐνδείκνυται ταὐτόν· ἀγρυπνητικαὶ μὲν αἱ ἐγκαύσεις, καταφο[433]ρικαὶ δ᾽ αἱ ψύξεις γινόμεναι. καὶ μὴν καὶ τὰ χολώδη τῶν νοσημάτων καὶ θερμὰ τὰς ἀγρυπνίας καὶ παραφροσύνας καὶ φρενίτιδας ἐργαζόμενα φαίνεται· τούτοις δ᾽ ἔμπαλιν τὰ φλεγματικὰ καὶ ψυχρὰ νωθρότητάς τε καὶ καταφοράς.

Ac in lethargo atque omnibus foporofis affectionibus utraque deperditur, atque difpofitionem ipforum ejusdem effe generis neceffe eft; per primum quidem genus, quoniam intemperies eft; jam enim demonftravimus eam fimilarium partium, quae primo operantur, communem effe affectionem; per fecundum vero, quoniam frigida omnino intemperies eft; haec enim animales actiones torpidas efficit, ut animalia, quae per frigora latere coguntur, manifefte declarant, et refrigerantia medicamenta ac frigidi cibi; ut lactuca cataphoricos inducit fomnos, fi multam ipfam fumpferit aliquis. Sed et capitis gravitates, quae sine mordaci confiftunt dolore, fomnolentae et cataphoricae funt, quibus apophlegmatismi magnopere opitulari videntur. Ad haec id demonftrant capitis tum ardor tum refrigeratio; fiquidem ardor vigilias, refrigeratio foporem inducit. Item biliofi calidique morbi vigilias, deliria, phrenitidas; contra pituitofi frigidique veternum et cataphoram efficiunt.

Ed. Chart. VII. [433.] Ed. Baf. III. (274.)
ἡ μὲν δὴ πρώτη δύναμις ἐν τῇ κατὰ τὸ θερμόν τε καὶ ψυχρόν ἐστι δυσκρασίᾳ, τῶν ἀγρυπνητικῶν τε καὶ καταφορικῶν νοσημάτων· ἐφεξῆς δ᾽ αὐτῆς ἡ καθ᾽ ὑγρότητα καὶ ξηρότητα. τά τε γὰρ λουτρὰ πάντας ὑπνώδεις ἐργάζεται τὴν κεφαλὴν ὑγραίνοντα, καὶ οἴνου πόσις εὔκρατος, καὶ ὑγραίνουσαι τροφαὶ πᾶσαι. καὶ τῶν ἡλικιῶν ὑπνώδης μὲν ἡ τῶν παιδίων δι᾽ ὑγρότητα· τῶν γερόντων δ᾽ ἀγρυπνητικὴ διὰ ξηρότητα. ταῦτ᾽ οὖν ἅπαντα τεκμήρια γενέσθω τοῦ δευτέραν μὲν ἔχειν χώραν εἰς ἀργίαν ψυχῆς τὴν παρὰ φύσιν ὑγρότητα, προτέραν δ᾽ αὐτῆς εἶναι τὴν ψυχρότητα· διὸ καὶ μόνη μὲν ὑγρότης πλεονάσασα μακροὺς καὶ βαθεῖς ὕπνους ἐργάζεται, καθάπερ γε καὶ μόνη ξηρότης ἀγρυπνίας, ἐφ᾽ ὧν διαθέσεων εἴρηται πρὸς Ἱπποκράτους, ὕπνος καὶ ἀγρυπνίη ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, μοχθηρόν. εἰ δὲ ψυχρότης μεθ᾽ ὑγρότητος ἱκανῆς προσέλθοι, καταφορικὰ καὶ καρώδη πάθη συνίσταται· χωρὶς δὲ ταύτης αἵ τε τῆς μνήμης βλάβαι καὶ αἵ γε μωρώσεις. οὔσης δὲ πολλῆς διαφορᾶς ἐν τῷ μᾶλλόν τε καὶ ἧττον οὐ καθ᾽ ὑγρότητα καὶ ψυχρότητα μόνον, ἀλλὰ καὶ κατὰ ξηρότητα καὶ θερμότητα, ποικιλία

Enimvero quod ad vigilias foporesque per morbos pertinet, calida frigidaque intemperies primam fibi facultatem vendicat; altera vero ab hac, quae ad humiditatem ariditatemque refertur. Nam balnea quod caput humectent, omnibus fomnos conciliant, et vini modice diluti potio, et omnes cibi humectantes. Atque ex aetatibus pueritia ob humiditatem fomnolenta eft; fenes vero ob ariditatem vigiliis vexantur. Igitur omnia haec argumento fint, ad animi ignaviam inducendam humiditatem praeter naturam fecundas partes obtinere; frigiditatem vero priores. Proinde humiditas fola abundans longos profundosque fomnos, ut et ariditas quoque fola vigilias efficit; de quibus affectionibus ab Hippocrate dictum eft: *Somnus et vigilia, utraque fi modum excefferint, malum eft.* Si vero frigus cum humiditate multa accefferit, fomnolentae et foporofae affectiones conftituuntur, fine hac vero memoriae laefiones ac ftultitiae. At quum non folum in frigiditate humiditateque, verum etiam in ariditate et calore non parvum fecundum

Ed. Chart. VII. [433.] Ed. Baf. III. (274.)

πολυειδὴς γίνεται τῶν βλαπτόντων τὰς ψυχικὰς ἐνεργείας αἰτίων. ἕνεκα δὲ σαφοῦς διδασκαλίας αἱ μὲν τοῦ λογιστικοῦ τῆς ψυχῆς ἐνέργειαι καλείσθωσαν ἡγεμονικαὶ, αἱ δὲ τῶν ἀλόγων ἠθικαὶ, περὶ ὧν οὐ πρόκειται λέγειν, ὅτι μηδὲ περὶ τῶν τῆς καρδίας, ἢ τοῦ ἥπατος παθῶν. ὥσπερ οὖν ὕπνος καὶ ἀγρυπνία μᾶλλον τοῦ μετρίου γίνεται, τὸ μὲν δι᾽ ὑγρότητα, τὸ δὲ διὰ ξηρότητα κράσεως, οὕτως ἐν αὐτοῖς τούτοις τὸ μᾶλλόν τε καὶ ἧττον ἐν ἀγρυπνίαις τε καὶ ὕπνοις ἕπεται τῷ μᾶλλον καὶ ἧττον ἐν ὑγρότητι καὶ ξηρότητι. καὶ διττῶς γε τῶν τοιούτων δυσκρασιῶν γινομένων, ὡς ἐπιδέδεικται, διττὸς ἔσται τρόπος ἑκάστης διαθέσεως, ὁ μὲν ἕτερος ἐπὶ τοῖς ὑγροῖς καὶ ξηροῖς χυμοῖς, ὁ δὲ ἕτερος ἐπ᾽ αὐτοῖς τοῖς σώμασιν, ὅτ᾽ ἂν γε εἰς τὰς αὐτὰς ἀφίκηται δυσκρασίας τὰ στερεὰ τοῖς ὑγροῖς. καὶ πρός γε ταῖς εἰρημέναις δυσκρασίαις ἐναντίαις ἄλλη τις ἐξ ἀμφοῖν γίνεται μικτὴ, καθάπερ ἐν τοῖς ἀγρύπνοις κώμασιν, ἐφ᾽ ὧν φλεγματώδης καὶ χολώδης πλεονάζει χυμός. οἱ δ᾽ αὐτοὶ τρόποι τῶν θ᾽ ἁπλῶν δυσκρασιῶν καὶ τῆς ἐξ ἀμφοῖν μικτῆς ἐν τῇ κατὰ τὸ θερμόν τε καὶ

magis et minus fit discrimen, varietas multiplex contingit caufarum animales actiones laedentium. Clarioris autem doctrinae gratia rationalis animae actiones principales, irrationalis vero morales vocentur, de quibus differere propofitum non eft, ut nec de cordis vel jecoris affectibus. Igitur quemadmodum fomnus et vigilia modum excedunt, ille ob humiditatem, haec ob temperamenti ficcitatem, ita et in his ipfis major vel minor tum fomnus tum vigilia fequitur majorem vel minorem aut humiditatem aut ficcitatem. Quumque bifariam, ut jam declaratum eft, fiant hujusmodi intemperies, duplex quoque erit utriusque affectionis modus; unus quidem in humidis ficcisque humoribus; alter vero in corporibus folidis, quum in easdem intemperies folidae partes cum humoribus inciderint. Praeterea ultra jam dictas intemperies contrarias alia quaedam fit mixta ex utrisque, ut in vigilanti comate, in quo pituitofus biliofusque humor abundat. Atque in calidi frigidique contrarietate iidem quoque modi tum fimplicium intemperie-

ψυχρὸν ἐναντιώσει συνίστανται. χολῆς γοῦν, εὔδηλον δ' ὅτι τῆς ξανθῆς λέγω, φλέγματι μεμιγμένης, ἡ κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν ἐπίμικτος γίνεται διάθεσις· εἰ δὲ κἂν τοῖς στερεοῖς μορίοις αὐτοῖς τοῦ σώματος ἡ ἐκ τῶν ἐναντίων μικτὴ διάθεσις ὁμολογηθείη γίνεσθαι, κατ' ἐκείνην τρεῖς αἱ πρῶται γενήσονται δυσκρασίαι καθ' ἑκατέραν ἀντίθεσιν. ἅπαντα μὲν οὖν τὰ τοιαῦτα πάθη κατὰ τὸν ἐγκέφαλον γίνεται, διαφέρει δ' ἀλλήλων οὐ μόνον ταῖς ποικιλίαις τῶν μίξεων, οὐδὲ τῷ μᾶλλόν τε καὶ ἧττον ἔν τε ταῖς ἁπλαῖς διαθέσεσιν καὶ ταῖς μικταῖς, ἀλλὰ καὶ τῷ ποτὲ μὲν ἐν ταῖς κοιλίαις τοῦ ἐγκεφάλου συνίστασθαι τὰς δυσκρασίας, ποτὲ δ' ἐν τοῖς καθ' ὅλον αὐτὸν ἀγγείοις, ἢ τὴν παρεσπαρμένην ὑγρότητα τῷ σώματι τοῦ κεφάλου, καὶ τέταρτον ἐπὶ τούτοις, ὅταν αὐτὸ τὸ σῶμα τοῦ ἐγκεφάλου δύσκρατον γένηται.

Κεφ. ζ. [434] Παραφυλάττειν οὖν χρὴ τοὺς ὕπνους τῶν ἀπολωλεκότων τὴν μνήμην, ἢ τὴν σύνεσιν, ἀπώλεια γὰρ τῆς συνέσεως ἡ μώρωσίς ἐστι, πότερον ὑπνώδεις ἱκανῶς οἱ κάμνοντές εἰσιν, ἢ μετρίως ὑπνώδεις, ἢ τὴν ἀρχὴν οὐδ',

rum tum ex ambabus mixtae conſtituuntur. Pituitae enim ſi bilis miſceatur, flavam dico, mixta fit ex calido frigidoque affectio. Quod ſi et in ſolidis corporis partibus mixtam ex contrariis affectionem fieri fateamur, tres ab ipſa prodibunt ex utraque oppoſitione intemperies. Igitur hujusmodi affectus omnes cerebro oboriuntur; inter ſe autem differunt non ſolum mixtionis varietate, aut eo quod magis minusve intenduntur, tum in ſimplicibus, tum in mixtis diſpoſitionibus, verum etiam quod ventriculi cerebri interdum afficiuntur hujusmodi intemperiebus, interdum univerſa ejus vaſa, aut humiditas quae per corpus cerebri diſperſa eſt, et quarto inſuper modo, quum ipſummet corpus cerebri intemperatum eſt.

Cap. VII. Quibus itaque vel memoria, vel intellectus periit, nam intellectus deperditio ſtultitia eſt, eorum ſomnos obſervare oportet, utrum vehementer ſomnolenti, an modice ſomnolenti ſint aegri, an omnino non ſomnolenti,

ὑπνώδεις, ἀλλ᾽ ὅσον ἐπὶ τούτῳ κατὰ φύσιν ἔχουσιν· οὕτω γὰρ ἂν ἐξεύροις τὴν ἐπικρατοῦσαν δυσκρασίαν. ἐπιθεωρητέον δὲ καὶ πότερον ἐκκρίνεταί τι διά τε ῥινῶν καὶ στόματος ἐκ τῆς κεφαλῆς καταφερόμενον, ἢ ξηρὰ φαίνεται τὰ χωρία· δυνήσῃ γὰρ κἀκ τούτου στοχάσασθαι τὴν διάθεσιν, ὥσπερ ἐπὶ κατάῤῥου καὶ κορύζης· καὶ γὰρ ἐπὶ τούτων ἥ τε ποιότης καὶ ἡ ποσότης τῶν ἐκκρινομένων, μετὰ τοῦ συνεπισκέψασθαι τὰς προηγησαμένας αἰτίας, ἐνδείκνυται τὴν διάθεσιν τῆς κεφαλῆς, ἤτοι θερμὴν οὖσαν, ὡς ἐπ᾽ ἐγκαύσεως, ἢ ψυχρὰν, ὡς ἐπὶ ψύξεως· ἄνευ γὰρ τοῦ διορίσασθαι ταῦτα πάντα, τὴν προσήκουσαν ἑκάστῃ διαθέσει θεραπείαν ἀδύνατον εὑρεῖν. ἐπὶ γοῦν τῆς ἀπολωλυίας ἢ μεγάλως βεβλαμμένης μνήμης ψυχρὰ μὲν δυσκρασία πάντως ἐστὶ, καὶ θερμαίνειν αὐτὴν προσῆκεν, οὐ μὴν ἐξ ἀνάγκης γε καὶ ξηραίνειν, ὥσπερ οὐδὲ ὑγραίνειν· ἀλλ᾽ εἰ μὲν μεθ᾽ ὑγρότητος εἴη, ξηραίνειν, εἰ δὲ μετὰ ξηρότητος, ὑγραίνειν, εἰ δ᾽ ἐν τῷ μέσῳ τούτων, ἐν ταύτῃ τῇ καταστάσει φυλάττειν. ἐγὼ γοῦν οἶδά τινα καὶ τὴν μνήμην μὲν ὀλίγου δεῖν ἀπολέσαντα, καὶ τὸν λογισμὸν δὲ βλαβέντα, διὰ φιλοπονίαν τε καὶ ἀγρυπνίαν ἐπὶ

ſed quantum ad hoc pertinet, ſecundum naturam ſeſe habeant; ſic enim exuperantem invenies intemperiem. Praeterea conſiderandum eſt, utrum excernatur quippiam per nares et os a capite defluens, an aridae partes ſint; nam et ex his affectionem conjectura aſſequi poteris, quemadmodum in catarrho et gravedine; ſiquidem in his qualitas et quantitas excretorum, cum cauſarum quae praeceſſerunt contemplatione, capitis affectionem declarat, ſive calida fuerit, ut in uſtione, ſive frigida, ut in refrigeratione; niſi enim omnia haec diſtinxeris, idonea affectioni curatio non poteſt inveniri. Itaque in deperdita aut magnopere laeſa memoria frigida omnino intemperies eſt, quocirca calefacere ipſam oportet; non tamen exiccare aut humectare neceſſarium eſt; ſed ſi humiditati copuletur, areſacere; ſi ariditati, madeſacere; ſi inter has medium obtinet, in eo ſtatu ſervare. Equidem novi quendam, qui ob laborem in ſtudiis atque vigilias memoriam paene amiſerat, laeſa etiam

μαθήμασιν· ἕτερον δ᾽ ἀμπελουργὸν, ἐπὶ τοῖς κατὰ τὴν ἀμπελουργίαν πόνοις, καὶ διαίτῃ λεπτῇ, ταὐτὰ τούτῳ παθόντα· καὶ προφανῶς ἑκάτερος αὐτῶν ὑπὸ μὲν τῶν ξηραινόντων τε καὶ θερμαινόντων ἐβλάπτετο πάντων, ὑπὸ δὲ τῶν ὑγραινόντων ἅμα τῷ θερμαίνειν ὠφελεῖτο. γίνονται μὲν οὖν καὶ μετὰ πυρετοῦ βλάβαι τῶν ἡγεμονικῶν ἐνεργειῶν, ὡς ἐπὶ φρενίτιδός τε καὶ ληθάργου· γίνονται δὲ καὶ χωρὶς (275) πυρετοῦ, καθάπερ ἐπὶ μανίας τε καὶ μελαγχολίας· ὥσπέρ γε καὶ κατὰ συμπάθειάν τε καὶ πρωτοπάθειαν ἐγκεφάλου· τὰ μὲν ἠκριβωμένα τοῖς ἰδίοις συμπτώμασι καὶ διηνεκῆ καὶ μὴ προηγησαμένων ἑτέρων γενόμενα κατὰ πρωτοπάθειαν· τὰ δὲ μήτ᾽ ἠκριβωμένα τοῖς ἰδίοις συμπτώμασι μήτε παραμένοντα διαπαντὸς, ἐφ᾽ ἑτέροις τε συστάντα κατὰ συμπάθειαν, μεμνημένων ἡμῶν ὅτι καὶ τῆς συμπαθείας ἡ μὲν ἐν τῷ γίνεσθαι τὸ εἶναι λαμβάνουσα συναποκαθίσταται τοῖς ποιοῦσιν αἰτίοις, ἡ δὲ μόνιμον ἤδη τὴν τῶν συμπαθούντων διάθεσιν ἐσχηκυῖα, κἂν τὰ ποιήσαντα παύσηται, παραμένει. τὸ μὲν οὖν ἐγκεφάλῳ πάντα γίνεσθαι τὰ τῶν ἡγεμονικῶν ἐνερ-

ratione; alterum etiam vinitorem, qui ob labores, quos vites colendo fubierat, ac tenuem victum, eodem modo affectus eft. Atque manifefte eorum uterque exiccantibus calefacientibusque omnibus laedebatur; humectantibus vero fimul et calefacientibus juvabatur. Laeduntur fane etiam cum febre principes animae functiones, ut in phrenitide et lethargo; laeduntur et fine febre, ut in mania et melancholia; quemadmodum et per confenfum, et primaria affectione cerebri; quae propriis fymptomatis exacte dignofcuntur et perpetua funt, neque aliis praecedentibus fupervenerunt, primigenia affectione; quae vero propriis fymptomatis non dignofcuntur, neque perpetuo permanent, atque aliis fuccedunt, per confenfum; in quo latere nos non debet, eum confenfum qui in fieri habet effe, deletis efficientibus caufis, fimul deleri; qui vero permanentem jam habet difpofitionem, quamvis quiefcat caufa efficiens, ipfum tamen permanere. Igitur quod in cerebro confiftant omnes prin-

γειῶν πάθη, πᾶσι τοῖς ἰατροῖς, ὅσοι γε μὴ διὰ φιλονεικίαν αἱρέσεως ἄλλα μὲν ἐν τῇ ψυχῇ φρονοῦσιν, ἄλλα δὲ λέγουσιν, ὡμολόγηται· τὸ δὲ τὴν δυσκρασίαν ὁποία τίς ἐστιν εὑρεῖν, οὐ σμικρὸν ἔργον, ἐν ᾧ χρὴ φιλόπονόν τε καὶ ζητητικὸν εἶναι τὸν ἰατρὸν, οὐκ ἐν τῷ σκοπεῖν ὅπως ἀντείπῃ τοῖς καλῶς εἰρημένοις ὑπὸ τῶν παλαιῶν περὶ ψυχῆς ἡγεμονικοῦ, πράγματος οὕτως ἐναργοῦς, ὡς καὶ τοῖς ἰδιώταις πεπιστεῦσθαι κατὰ τὸν ἐγκέφαλον εἶναι. φιλοσόφοις μὲν οὖν ἐν γωνίᾳ καθημένοις ἁμαρτάνειν ἐν τῷδε τάχ᾽ ἄν τις συγγνοίη· γεγηρακόσι δ᾽ ἐν τοῖς ἰατρικοῖς ἔργοις ἀσύγγνωστος ἡ φιλονεικία, τάχα δ᾽ ἀληθέστερόν ἐστιν εἰπεῖν, [435] ἀναισχυντία· τῶν τε γὰρ ἀγρυπνούντων πάντων ἀῤῥώστων τὴν κεφαλὴν καταντλοῦσι τῶν τε παραπαιόντων καὶ φρενιτιζόντων καὶ ληθαργικῶν· Ἀρχιγένης δὲ καὶ τῶν τὴν μνήμην βλαβέντων τῇ κεφαλῇ προσφέρει τὰ βοηθήματα, κᾂν μωρωθέντα δέ τινα θεραπεύειν ἐπιχειρήσῃ, καὶ τούτου τῇ κεφαλῇ προσοίσει πάντα. τίς δὲ τριβακὸς ἰατρὸς ἀποπλήκτους, ἢ ἐπιλήπτους, ἢ ὀπισθοτονικοὺς, ἢ ἐμπροσθοτονικοὺς, ἢ τετανικοὺς ἑτέρως ἰᾶται;

cipum animae actionum affectus, conceditur ab omnibus medicis, qui non fectae contentione alia mente concipiunt, alia ore proferunt; at qualis fit intemperies, invenire, non parvi eft operis, in quo medicum laboriofum et fagacem effe oportet, non ut quaerat quomodo fapientibus antiquis contradicat de animae principatu, re adeo aperta, ut eam in cerebro effe etiam idiotis conftet. Philofophis fortaffe in angulo fedentibus facilius hujus erroris quis veniam dederit; medicis vero, qui jam in artis operibus ad fenectutem usque verfati funt, ignofci fua contendendi libido, vel fortaffe dicam verius, impudentia, non debet; quippe qui vigilantibus omnibus infirmis et delirantibus et phreniticis et lethargicis caput irrigent; quin et Archigenes fi quibus laefa memoria eft, capiti admovet remedia, etiamque fi ftultum curare aggrediatur, capiti cuncta adhibebit. Quis vero exercitatus medicus apoplexiam, aut morbum comitialem aut opifthotonon, aut emprofthotonon, aut tetanon, aliter cu-

τίς δὲ παραλυθέντας τὸ τοῦ σώματος ἥμισυ μέρος; ἆρ' οὐχὶ τῶν μὲν σπασμωδῶν παθῶν ἅπαντες ἤδη κἀξ αὐτῆς τῆς πείρας τὸ κῦρος τῆς θεραπείας κατὰ τοὺς πρώτους ποιοῦνται σπονδύλους, ὥσπέρ γε καὶ τῶν παραλελυμένων τὸ ἥμισυ μέρος ὅλου τοῦ σώματος, συνεκθερμαίνουσιν δὲ καὶ τὸν ἐγκέφαλον; ὥσπερ καὶ τοὺς ἀποπλήκτους ἰῶνται, καθάπέρ γε καὶ τοὺς ἐπιλήπτους· ὅταν μὲν ἐπὶ στομάχῳ γίνηται τὸ πάθος ἤ τινι τῶν ἄλλων μορίων, ἐκεῖνο μὲν μάλιστα καὶ πρῶτον ἐκθεραπεύουσιν, παρασκευάζουσιν δὲ καὶ τὸν ἐγκέφαλον εἰς δυσπάθειαν. καὶ χρὴ ταῦτα μᾶλλον ζητεῖν, οὐ περὶ τοῦ σαφέστατα φαινομένου πᾶσι τοῖς ἀδιαστρόφοις τὴν γνώμην ἡγεμονικοῦ, καθάπερ οὐδὲ περὶ τῆς τῶν νεύρων ἀρχῆς, ἣν οὐ χρὴ πορευθέντας εἰς θεοὺς διὰ μαντείας ἐξευρεῖν, ἀλλὰ παρά τινι τῶν ἀνατομικῶν ἀνδρῶν παιδευθέντας.

Κεφ. η'. Ἔνιοι γὰρ ἀναπείθουσιν ἑαυτοὺς, ἀρχὴν εἶναι τῶν νεύρων τὴν καρδίαν, ἐκ τοῦ μὴ δύνασθαι διακρῖναι σύνδεσμον νεύρου, συντελούσης εἰς τοῦτο καὶ τῆς ὁμωνυμίας, ἐπειδὴ πολλοὶ τῶν ἰατρῶν καὶ τοὺς συνδέσμους ὀνομάζουσιν

rat? quis denique dimidiam partem corporis resolutam? Nonne in convulsivis affectibus omnes summam curationis jam ipsa experientia ducti in primis vertebris moliuntur, quemadmodum ubi dimidia quoque universi corporis pars resoluta est, cerebrum autem etiam calefaciunt? quemadmodum apoplecticos quoque curant, ut etiam epilepticos; quum vel ob stomachum vel ob aliquam aliam partem affectio sit, eam maxime et in primis curant, cerebrum vero etiam praeparant, ut non facile afficiatur. Haec itaque potius inquirenda sunt, non princeps animae facultas omnibus haud perversae mentis apertissima, ut neque nervorum origo, quam non divinantium more a diis petere, sed ab anatomicis viris discere oportet.

Cap. VIII. Nonnulli enim sibi persuaserunt, nervorum principium cor esse, eo quod nequeant ligamentum a nervo discernere; ad id conferente etiam homonymia, quandoquidem ligamenta multi medici colligantes nervos appel-

νεῦρα συνδετικά. τῆς μὲν οὖν προσηγορίας οὐδεὶς αὐτοῖς φθόνος, ἄν γε μνημονεύωσι τῶν προαιρετικῶν νεύρων, ὡς αὐτοὶ καλοῦσιν, ὧν τὴν ἀρχὴν ἐγκέφαλον εἶναί φαμεν, οὐ τῶν συνδέσμων· οὐδὲ γὰρ οὐδ᾽ αὐτοὶ τῶν συνδετικῶν νεύρων πάθος εἶναί φασι τὸν σπασμὸν, ἢ τὴν παράλυσιν, ἀλλὰ τῶν προαιρετικῶν. ὅταν οὖν ὅλον τὸ σῶμα φαίνηται σπώμενον, ἅπαν μὲν εὐθὺς παρίσταται πεπονθέναι τὸ τοιοῦτον μέρος, ὃ καθάπερ ἐν δένδρῳ τὸ στέλεχος τῶν κλάδων, οὕτως αὐτὸ κοινὸν τῶν νεύρων ἁπάντων οἷον πρέμνον ἐστὶν, οὐχ οἷον κλάδος ὀλίγων τινῶν ἐν ἑνὶ μορίῳ, καθάπερ ὅταν ἤτοι σκέλος ἢ μία χεὶρ ἂν τύχῃ σπωμένη. κώλου μὲν γὰρ ὅλου σπασμὸς τὴν ἀρχὴν τῶν εἰς αὐτὸ καθηκόντων νεύρων ἐνδείκνυται πεπονθέναι, καθάπερ εἰ κλάδου τινὸς ἐν δένδροις· ὅταν δ᾽ ὅλον ἁλῷ τὸ σῶμα τῷ πάθει, τὴν κοινὴν ἁπάντων ἀρχὴν τῶν κάτω τοῦ προσώπου νεύρων, ἀνάλογον τῷ κατὰ τὸ δένδρον πρέμνῳ πεπονθέναι χρὴ νομίζειν, ἥτις ἐστι τοῦ νωτιαίου μυελοῦ τὰ πρῶτα μέρη, διὸ καὶ τούτῳ τὰ βοηθήματα προσφέρουσιν οἱ τριβακοὶ πάντες ἰατροὶ, τῆς καρδίας

lant. Verum ipſis ſane ita nominare liceat, ſi nervorum meminerint voluntariorum, ut ipſi vocant, quorum principium cerebrum eſſe dicimus, non ligamentorum; neque enim illi ipſi convulſionem, aut paralyſin, colligantium nervorum, ſed voluntariorum affectum eſſe dicunt. Quum igitur totum corpus convelli apparet, omnis ſtatim affici putatur ejusmodi pars, quae ut in arbore caudex ramorum, ſic ipſa ſit omnium nervorum communis veluti caudex, non paucorum in una parte, quemadmodum ramus, veluti quando vel crus, vel una manus forte convellitur; totius enim membri convulſio nervorum qui ad ipſum perveniunt principium affectum eſſe declarat, rami cujuspiam exemplo in arbore; quum autem univerſum corpus afficitur, communem originem omnium infra faciem nervorum, quae arboris caudici proportione reſpondet, affectam eſſe putandum eſt, quae ſunt primae ſpinalis medullae partes; proinde exercitatiſſimi quique medici huic remedia admovent, cordis vero in hac

οὐδὲ τὴν ἀρχὴν ὅλως ἐν τῷ τοιούτῳ παθήματι μεμνημένοι. εἰ δὲ καὶ τὰ κατὰ πρόσωπον ἅμα τῷ παντὶ σώματι φαίνοιτο σπώμενα, τὸν ἐγκέφαλον αὐτὸν ἤδη θεραπεύομεν, οὐ μόνον τὴν ἔκφυσιν τοῦ νωτιαίου· καὶ γὰρ καὶ χείλη σπώμενα θεώμεθα πολλάκις, καὶ ὀφθαλμοὺς, καὶ τὸ κατὰ μέτωπον δέρμα, καὶ ὅλας τὰς γένυας, ὥσπέρ γε καὶ τὴν ῥίζαν τῆς γλώττης· ἀλλ᾽ ἐπειδὴ ταῦτα πάντα διὰ τῆς ἀνατομῆς ἐμάθομεν ὑπὸ μυῶν κινεῖσθαι παρ᾽ ἐγκε[436]φάλου λαμβανόντων νεῦρα, τὸν ἐγκέφαλον ἐπ᾽ αὐτῶν πεπονθέναι πεπείσμεθα· καθάπερ ὅταν ὁρῶμεν ἀπαθῆ μὲν ἐκεῖνα, σπώμενα δὲ τἄλλα σύμπαντα μόρια, τὴν ἀρχὴν τοῦ νωτιαίου πειθόμεθα πεπονθέναι. ταῦτα μὲν οὖν, ὅπερ ἔφην, ἑτοίμως ἐχρῆν ἡμᾶς μαθόντας ἐπισκοπεῖσθαι τὰς διαθέσεις αὐτῶν· ἔνιοι δὲ τῶν ἰατρῶν τὰς μὲν διαθέσεις οὐδ᾽ ἐπιχειροῦσι ζητεῖν, ἐρίζουσι δὲ περὶ τῶν ἐναργῶς φαινομένων, ἀπολλύντες ἡμῶν τὸν χρόνον, ὃν ἐχρῆν οὐκ εἰς ἀντιλογίαν τῶν ἀναιρούντων τὰ καλῶς ὑπὸ τῶν παλαιῶν ἰατρῶν εἰρημένα καταναλίσκειν, ἀλλ᾽ εἰς εὕρεσιν ὧν ἐκεῖνοι παρέλιπον, ἤτοι παντάπασιν οὐδὲν ἀποφηνάμενοι περί τινων

affectione nullam omnino mentionem faciunt. Si vero fimul cum univerfo corpore facies quoque convulfa videatur, non folum exortum fpinalis medullae, verum etiam cerebrum ipfum jam curamus. Etenim labra quoque faepenumero convelli videmus, item oculos, frontis cutem, totas mandibulas, fimiliter et linguae radicem: at quia omnes jam dictas partes a mufculis ex cerebro nervos fufcipientibus moveri, ex anatome didicimus, cerebrum in ipfis credimus effe affectum, ut ubi ipfis illaefis caeteras partes convelli videmus, dorfalis medullae initium affectum effe fatemur. Haec igitur funt, quae nos, ut dixi, prompte difcere, mox ipforum affectiones confiderare oportet. Nonnulli vero medici affectiones ipfas ne aggrediuntur quidem disquirere, certant de rebus manifefte apparentibus; jacturamque noftri temporis moliuntur, quod non erat confumendum refpondendo iis, qui recta medicorum veterum decreta evertunt, fed inveniendo potius ea, quae illi filentio praeterierunt, vel nihil omnino differentes de quibusdam rebus, vel fine

Ed. Chart. VII. [436.] Ed. Baf. III. (275.)

πραγμάτων, ἢ χωρὶς ἀποδείξεως ἢ διορισμοῦ προσήκοντος ἢ ἐλλιπῶς ἀποφηνάμενοι, καθάπερ ὁ Ἱπποκράτης ὑπὸ πληρώσεως γίνεσθαι τὸν σπασμὸν εἰπών. ἀληθὴς μὲν γὰρ ὁ λόγος, ἀλλ᾽ ὑπὸ τίνων πεισθεὶς οὕτως ἀπεφήνατο, μόνοις τοῖς συνετοῖς ἀνδράσιν καὶ νομίμως μεμαθηκόσι τὰ πρῶτα τῆς ἰατρικῆς δῆλόν ἐστι, οὐ τοῖς ἐπιτυχοῦσιν. ταῦτα γοῦν αὐτὰ κἀγὼ προμεμαθηκὼς ἐπείσθην ὑφ᾽ ὧν εἶπεν Ἱπποκράτης αἰτίων γίγνεσθαι τὸν σπασμόν. εἰ γὰρ ἅπασα μὲν ἡ κατὰ προαίρεσιν κίνησις ὁρᾶται τῶν μυῶν ἐπισπωμένων εἰς ἃ καταφύονται μέρη γιγνομένη, τὸ δὲ ἐπισπᾶσθαι χωρὶς τοῦ πρὸς τὴν ἰδίαν ἀρχὴν ἀνασπᾶσθαι τὸν μῦν οὐχ οἷόν τέ ἐστι γενέσθαι, μόνῳ τῷ χωρὶς τῆς ἡμετέρας προαιρέσεως γίγνεσθαι τὸν σπασμὸν ἐν τοῖς σπωμένοις μέρεσιν, ἡ κίνησις διοίσει τῆς κατὰ φύσιν. ὥσπερ οὖν ἐν τῷ κατὰ φύσιν ἔχειν ἡ κατὰ τὴν ἀρχὴν τῶν νεύρων ἐν ἐγκεφάλῳ τεταγμένη προαίρεσις ἀρχὴν κινήσεως πρώτοις μὲν τοῖς νεύροις, δι᾽ αὐτῶν δὲ καὶ τοῖς μυσὶν δίδωσιν, οὕτως ἄνευ τῆς ἀρχῆς ταύτης ἐὰν εὕρωμεν ὑπὸ τίνος αἰτίας σπασθῆναι δύναται τὰ νεῦρα, τῆς τῶν

demonftratione, vel fine idonea determinatione, vel non fatis abunde explicantes, quemadmodum Hippocrates, ubi *convulfionem, vel a plenitudine, vel a vacuitate fieri dicit.* Etenim verus eft fermo, fed quibus rationibus adductus ita pronuntiarit, non quibuslibet, fed doctis duntaxat viris, qui et diligenter prima medicinae rudimenta didicerunt, notum eft. Haec igitur ipfa quum didiciffem, facile mihi perfuafi convulfionem fieri ob eas caufas, quae ab Hippocrate dictae funt. Si namque omnis motus, qui a voluntate procedit, attractis mufculis in eas quibus innafcuntur partes, fieri videtur; neque poteft fieri attractio, nifi ad fuam originem retrahatur mufculus; convulfio in convulfis partibus facta, hac fola ratione a motu fecundum naturam differet, quod praeter voluntatem noftram fiat. Itaque quemadmodum in eo qui fecundum naturam habet, voluntas in cerebro ad nervorum ortum ordinata motus principium primis dat nervis, ac per ipfos mufculis; ita fi fine hujusmodi principio invenerimus, a qua nervi caufa con-

σπασμῶν γενέσεως ἐπιστήμην ἕξομεν. ἀνθρώπῳ τοίνυν ἑωρακότι νευρώδη σώματα, τὰς ἐν ταῖς λύραις χορδὰς οὕτω σφοδρῶς τεινομένας πολλάκις ὑπὸ τῆς τοῦ περιέχοντος ἀμέτρου κράσεως, ὡς ῥήγνυσθαι, χαλεπὸν οὐδὲν ἐννοῆσαι τὴν αὐτὴν διάθεσιν ἐν τοῖς τῶν ζώων νεύροις γίνεσθαι. πῶς οὖν ἔχοντος τοῦ ἀέρος αἱ χορδαὶ τείνονταί τε καὶ ῥήγνυνται; ξηροῦ τε πάνυ καὶ λίαν διύγρου γινομένου· τὸ μὲν οὖν ὑγρὸν διαβρέχον αὐτὰς εἰς ὄγκον αἴρει παρὰ φύσιν, ἐφ᾽ ᾧ τείνονται· τὸ δὲ ξηρὸν, ὥσπερ ὁ ἥλιος ξηραίνων τὰς βύρσας συσπᾷ, καὶ αὐτὸ τὰς χορδὰς οὕτως ἕλκει τε καὶ τείνει· φαίνονται γοῦν καὶ οἱ ἱμάντες, ὅταν ὑπὸ πυρὸς ξηραίνωνται, συσπώμενοί τε καὶ τεινόμενοι. τούτων προεγνωσμένων, οὐδέν ἐστι χαλεπὸν ἐπὶ τῶν σπωμένων ἐξευρεῖν, εἴτε διὰ (276) ξηρότητα τὸ πάθος αὐτοῖς γέγονεν, ὅπέρ ἐστιν ἔνδεια τῆς ὑγρᾶς οὐσίας καὶ κένωσις· εἴτε διὰ πλῆθος ὑγρότητος, ὅπέρ ἐστιν ἐναντίον ἐνδείᾳ πάθος, ὑφ᾽ Ἱπποκράτους ὠνομασμένον πλήρωσις. ἐκ πόνων μὲν γὰρ καὶ ἀγρυπνιῶν, ἐνδείας τε καὶ φροντίδων, καὶ πυρετοῦ ξηροῦ καὶ διακαοῦς, οἷος καὶ ὁ τῶν φρενιτικῶν ἐστιν,

velli possint, ortus convulsionum scientiam consequemur. Qui igitur viderit aliquando nervosa corpora, lyrae chordas ob ambientis aëris immoderatum temperamentum adeo vehementer ut rumpantur intentas, haud difficulter intelliget idem animantium quoque nervis posse contingere. At quomodo affecto aere tenduntur chordae et rumpuntur? si vel multum aridus, vel admodum humidus sit; humor namque madefaciens ipsas in tumorem praeter naturam attollit, unde tenduntur; siccitas vero, ut sol tergora arefaciens contrahit, ita chordas et trahit et tendit; sic lora quoque quum ab igne exiccantur, contrahi tendique videntur. His ita praecognitis, haud difficile inventu fuerit in convulsis, utrum ab ariditate, quae est humidae substantiae penuria et vacuatio, an ab humoris plenitudine, quae penuriae contraria est, et ab Hippocrate repletio nominata, affectus ipse prodierit. Nam quum convulsio fit a laboribus, vigiliis, fame, sollicitudine, et arida aestuanteque febre, qualem in

ὅταν ὁ σπασμὸς γένηται, ξηρότητά τε καὶ κένωσιν αἰτιάσασθαι χρή· μεθυσκομένῳ δ' ἀνθρώπῳ καὶ διὰ παντὸς ἐμπιπλαμένῳ καὶ ἀργῶς βιοτεύοντι τὴν ἐναντίαν διάθεσιν εὔλογόν ἐστι τὸν σπασμὸν ἐργάσασθαι· κενώσει δ' ἐναντίον ἐστὶ πλήρωσις.

Κεφ. θ'. [437] Ἀλλὰ καὶ ἡ ἐπιληψία σπασμός ἐστιν ἁπάντων τῶν τοῦ σώματος μορίων, οὐ συνεχὴς ὡς ἐμπροσθότονός τε καὶ ὀπισθότονος καὶ τέτανος, ἀλλ' ἐκ διαστημάτων χρόνου γιγνόμενος· οὐ μόνον δὲ τούτῳ διενήνοχεν τῶν εἰρημένων σπασμῶν, ἀλλὰ καὶ τῇ βλάβῃ τῆς διανοίας καὶ τῶν αἰσθήσεων· ᾧ καὶ δῆλον ὡς ἄνω που κατ' αὐτὸν ἐγκέφαλον, ἡ τούτου τοῦ πάθους ἐστὶ γένεσις. ἐπειδὴ δὲ καὶ ταχὺ παύεται, κατὰ τὰς κοιλίας αὐτοῦ μᾶλλον εὔλογόν ἐστιν παχὺν χυμὸν ἐμφράττοντα τὰς διεξόδους τοῦ πνεύματος ἐργάζεσθαι τὸ πάθος, ἑαυτὴν κλονούσης τῆς ἀρχῆς τῶν νεύρων ὑπὲρ τοῦ διώσασθαι τὰ λυποῦντα· τάχα δὲ καὶ διαβρεχομένης τῆς ἐκφύσεως ἑκάστου νεύρου, παραπλησίως τοῖς ἀπὸ τοῦ νωτιαίου τὴν ἀρχὴν ἔχουσι σπασμοῖς, καὶ ὁ τῶν ἐπιλήπτων γίνεται. τὸ δ' ἐξαιφνίδιον αὐτοῦ τῆς γενέσεως καὶ τῆς λύσεως ἐνδείκνυ-

phreniticis videre eſt; cauſam ejus ariditatem et vacuationem oportet arbitrari: at temulento ac omnino pleno homini et in otio degenti contrarium affectum convulſionis cauſam eſſe rationi par eſt. Atqui evacuationi contraria eſt repletio.

Cap. IX. Verum et epilepſia convulſio eſt omnium corporis partium, non continua ut emproſthotonos et opiſthotonos atque tetanos, ſed quae ex temporum accidit intervallis; neque ſolum hac re, ſed mentis quoque ac ſenſuum oblaeſione a jam dictis convulſionibus differt; unde conſtat in ſuperioribus corporis partibus, cerebro videlicet, hujus affectus ortum eſſe. Quoniam vero et velociter ceſſat, in ventriculis ipſius potius conſentaneum eſt a craſſo humore vias ſpiritus obſtruente hunc affectum procreari, nervorum principio ſe ipſum quatiente, quo excutiat ea quae noxia ſunt; fortaſſe vero et irrigato ſingulorum nervorum exortu, ſimiliter iis quae a ſpinali medulla principium habent convulſionibus, epilepticorum quoque convulſio fit. Verum nequaquam ob ſiccitatem et vacuationem, ſed perpe-

Ed. Chart. VII. [437.] Ed. Baf. III. (276.)

ται μηδέποτε διὰ ξηρότητά τε καὶ κένωσιν, ἀεὶ δὲ διὰ πάχος χυμοῦ γίγνεσθαι τὸ πάθος· ἔμφραξις μὲν γὰρ τῶν πόρων ἐξαίφνης ὑπὸ παχέος ἢ γλίσχρου χυμοῦ γένοιτ᾽ ἄν· εἰς ξηρότητα δὲ τοσαύτην ἐλθεῖν, ὡς βύρσῃ παραπλήσιόν τι παθεῖν, τὸν ἐγκέφαλον ἢ τὴν κατ᾽ αὐτὸν μήνιγγα τὴν λεπτὴν, οὐχ οἷόν τε χωρὶς χρόνου πολλοῦ. πρόσεστι δὲ τούτῳ καὶ τὸ μήθ᾽ ὁρᾷν μήτ᾽ ἀκούειν μήθ᾽ ὅλως ἐνεργεῖν αἰσθήσει τινὶ σὺν τῷ μηδὲ παρακολουθεῖν τὸν κάμνοντα τοῖς γινομένοις, ἀλλὰ τὸν λογισμὸν βεβλάφθαι μετὰ τῆς κατὰ τὴν μνήμην δυνάμεως. ἐκ τούτων οὖν ἁπάντων εὔλογόν ἐστι κατὰ τὸν ἐγκέφαλον γεγονέναι τὸ πάθος, ἐμποδίζοντος τοῦ χυμοῦ ταῖς διεξόδοις τοῦ ψυχικοῦ πνεύματος, ὃ κατὰ τὰς κοιλίας ἐστὶν αὐτοῦ. διὰ τί δ᾽ ὀνομάζεται τοῦτο τὸ πνεῦμα ψυχικὸν, ἥτίς τε δύναμίς ἐστιν αὐτοῦ, κατὰ τὰ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ὑπομνήματα δέδεικται. τοῖς γὰρ ἐκ τῆς ἀνατομῆς φαινομένοις ἀκολουθοῦσιν ἡμῖν εὔλογον ἐφαίνετο, τὴν μὲν ψυχὴν αὐτὴν ἐν τῷ σώματι τοῦ ἐγκεφάλου κατῳκῆσθαι, καθ᾽ ὃ καὶ τὸ λογίζεσθαι γίγνεται, καὶ ἡ τῶν αἰσθητι-

tuo ob humoris craffitiem, affectum fieri, tum ortus, tum folutionis celeritas demonftrat; nam fubitaria meatuum obftructio a craffo vifcofove humore fieri poteft; ut autem vel cerebrum, vel tenuior ipfius membrana ad tantam perveniat ariditatem, ut corio fimile quippiam pati videatur, non fine multo tempore fieri poteft. Accedit ad haec, ut is qui fic laborat, neque videat neque audiat, neque ullo fenfu quicquam percipiat ac ne intelligat quidem quid fiat, fed cum memoriae viribus ratio quoque laedatur. Ex his igitur omnibus rationi confentaneum eft, in cerebro hunc affectum fieri, impediente humore animalis fpiritus, qui in ventriculis ejus eft, exitum. Sed quamobrem hic fpiritus vocetur animalis, aut quae fit ejus potentia, in commentariis de Hippocratis Platonisque placitis demonftratum eft. Quum enim ea quae per diffectiones confpiciuntur, obfervaremus, rationi confonum videbatur, animam quidem in cerebri corpore fedem obtinere, atque in ipfo et rationem et fenfibi-

κῶν φαντασιῶν ἀπόκειται μνήμη· τὸ πρῶτον δ᾽ αὐτῆς ὄργανον εἰς ἁπάσας τὰς αἰσθητικάς τε καὶ προαιρετικὰς ἐνεργείας εἶναι, τὸ κατὰ τὰς κοιλίας αὐτοῦ πνεῦμα, καὶ μᾶλλόν γε κατὰ τὴν ὄπισθεν· οὐ μὴν οὐδὲ περὶ τῆς μέσης κοιλίας ἀπογινώσκειν προσῆκεν ὡς οὐ κυριωτάτης· πολλὰ γὰρ εὔλογα καὶ πρὸς ταύτην ἡμᾶς ἄγει, καθάπερ γε τῶν ἐμπροσθίων δυοῖν ἀπάγει. εἴς γε μὴν τὴν τῆς θεραπείας εὕρεσιν οὐδὲν ὀνίνησιν ἡ περὶ τούτων ἀκριβὴς γνῶσις· ἱκανὸν γὰρ εἰς τὸ καλῶς θεραπεύειν ἐπίστασθαι τὸν μὲν πεπονθότα τόπον ἐγκέφαλον εἶναι, χυμὸν δὲ τὸν γλίσχρον, ἢ παχὺν ἐν ταῖς κοιλίαις ἀθροιζόμενον αὐτοῦ. καθάπερ δὲ χρήσιμα ταῦτα πρὸς τὰς ἰάσεις ἐστὶν, ὧν ἕνεκα καὶ τοὺς πεπονθότας τόπους καὶ τὰς ἐν αὐτοῖς διαθέσεις ζητοῦμεν, οὕτω καὶ τῶν παχέων χυμῶν αἱ διαφοραὶ πότερα φλεγματώδεις εἰσὶν, ἢ μελαγχολικαί· μεμνημένων αὖ πάλιν ἡμῶν ἐνταῦθα φλεγματικοὺς μὲν ὀνομάζεσθαι πάντας, ὅτ᾽ ἂν ἁπλῶς οὕτως λέγωμεν, ἐφ᾽ ὧν ἐπικρατεῖ κατὰ τὴν κρᾶσιν ὑγρότης καὶ ψύξις· μελαγχολικοὺς [438] δὲ, ἐφ᾽ ὧν ξηρότης τε καὶ ψύξις, ἐπεί τοι διαφοραὶ

lium imaginum memoriam federe; primum autem ipfius inftrumentum, tum in fenfibilibus actionibus omnibus, tum in iis quae a confilio et voluntate prodeunt, fpiritum effe, qui in ipfius ventriculis maximeque in poftremo continetur; neque tamen contemnendus eft medius ventriculus, tanquam haud nobiliffimus; multae enim rationes et ad hunc nos adducunt, ut et a duobus anterioribus avertunt. Verum exacta horum notitia ad curationis inventionem nihil conducit; nam fatis eft ad probe curandum, noffe locum affectum effe cerebrum, atque in ejus ventriculis humorem craffum vel vifcidum coacervari. Quemadmodum autem haec ad curationes, quarum gratia et affectas fedes et earum affectiones inquirimus, funt utilia, fic crafforum quoque humorum differentiae, utrum pituitofi fint, an melancholici; fi tamen in praefentia meminerimus pituitofos quidem omnes nominari, quum fimpliciter ita dicimus, in quibus humiditas frigiditasque; melancholicos vero, in quibus ficcitas atque frigiditas temperamenti dominantur; quamvis magnae pecu-

μεγάλαι κατά τε τοὺς φλεγματικοὺς εἰσὶ καὶ τοὺς μελαγχολικοὺς ἑκατέρων ἴδιαι. τοῦ γοῦν φλέγματος τὸ μὲν ἐφ᾽ ἡμέρᾳ πολλοῖς ἀναχρεμπτομένοις καὶ ἀνεμοῦσι καὶ ἀπομυττομένοις ἐκκρινόμενον ἀτμώδους πνεύματος ὑπάρχει μεστὸν, ὡς μηδὲ πρὸς αἴσθησιν ὁμοιομερὲς εἶναι· ἕτερον δέ τι φλέγμα φαίνεται μὲν ὁμοιομερὲς, ἴσως δ᾽ οὐκ ἔστιν, ἐξ οὗ γένους ἐστὶν ὅ τ᾽ ἐν τοῖς οὔροις ὑφιστάμενος ὠμὸς χυμὸς ὅ θ᾽ ὑπὸ Πραξαγόρου κληθεὶς ὑαλώδης· ἀλλὰ καὶ τὸ μὴ λίαν ὑγρὸν μηδ᾽ ὑδατῶδες σίαλον ἐκ τούτου τοῦ γένους εἶναι φαίνεται. καὶ μέντοι καὶ κατὰ τὴν γευστικὴν αἴσθησιν οὐ μίαν ἔχον οὐδ᾽ αὐτὸ τὸ σίαλον ποιότητα φαίνεται, μήτιγε δὴ τὸ σύμπαν φλέγμα· καὶ γὰρ ἁλυκοῦ καὶ ὀξέος καὶ ἁλμυροῦ πολλάκις αἰσθανόμεθα σαφῶς τοῦ κατὰ τὸ στόμα σιάλου, καθάπερ καὶ ἀποίου τε καὶ οἷον ὑδατώδους τὴν γεῦσιν, ὅτ᾽ ἂν ἀμεμπτότατα διάγωμεν. ὡσαύτως δὲ καὶ ὁ μελαγχολικὸς χυμὸς ἐν τῇ συστάσει σαφεῖς ἔχει τὰς διαφορὰς, ὁ μὲν οἷον τρὺξ αἵματος, ἐναργῶς φαινόμενος ἱκανῶς παχὺς, ὥσπερ ἡ τοῦ οἴνου τρύξ· ὁ δὲ πολλῷ μὲν τούτου λεπτότερος κατὰ τὴν

liaresque utrorumque differentiae, tum pituitoforum tum melancholicorum humorum inveniantur. Pituita quidem illa, quae quotidie a multis fcreantibus et vomentibus et emungentibus excernitur, vaporofo fpiritu plena eft, ut ne ad fenfum quidem fimilaris fit. Alia vero pituita fimilaris quidem videtur, fortaffe vero non eft; cujus generis eft tum crudus humor, qui in urinis fubfiftit, tum is qui a Praxagora vitreus appellatur, atque ex hoc genere effe videtur faliva, quae neque liquida admodum eft neque aquofa. Verum nec faliva unica duntaxat qualitate fenfum guftus afficit, nedum univerfa pituita; faepenumero enim acrem et acidam et falfam in ore falivam manifefte deprehendimus, ut et cum fani maxime degimus, nulla qualitate infectam ac veluti aquofam guftui. Sic et melancholicus humor in fubftantia non obfcuras habet differentias; qui veluti faex fanguinis eft, admodum craffus confpicitur, faecibus vini confimilis; alius vero, quam fuperior, fubftantiae eft multo

σύστασιν, ὀξὺς δὲ καὶ τοῖς ἐμέσασιν αὐτὸν φαινόμενος καὶ τοῖς ὀσμωμένοις· οὗτος καὶ ξύει τὴν γῆν, ἐξαίρων τε καὶ ζυμῶν καὶ πομφόλυγας ἐγείρων, οἷαι τοῖς ζέουσι ζωμοῖς ἐφίστανται· ὃν δ᾽ ἔφην ἐοικέναι παχείᾳ τρυγὶ, τήν τε ζύμωσιν οὐκ ἐργάζεται κατὰ τῆς γῆς ἐκχυθεὶς, πλὴν εἰ μὴ πάνυ σφόδρα τύχοι τότε κατοπτηθεὶς ἐν διακαεῖ πυρετῷ, καὶ ἥκιστα μετέχει ποιότητος ὀξείας, ἡνίκα καὶ καλεῖν αὐτὸν εἴωθα μελαγχολικὸν χυμὸν ἢ μελαγχολικὸν αἷμα, μέλαιναν γὰρ χολὴν οὐδέπω δικαιῶ τὸν τοιοῦτον ὀνομάζειν. γεννᾶται δ᾽ ὁ χυμὸς οὗτος ἐνίοις πολὺς, ἢ διὰ τὴν ἐξ ἀρχῆς κρᾶσιν, ἢ δι᾽ ἔθος ἐδεσμάτων εἰς τοιοῦτον χυμὸν ἐν τῇ κατὰ τὰς φλέβας πέψει μεταβαλόντων. ὥσπερ δ᾽ ὁ παχὺς χυμὸς τοῦ φλέγματος, οὕτω καὶ οὗτος παχὺς χυμὸς ὁ μελαγχολικὸς ἐπιληψίας ποτ᾽ ἐργάζεται κατὰ τὰς ἐκροὰς τῶν ἐν ἐγκεφάλῳ κοιλιῶν ἰσχόμενος, ἤτοι τῆς μέσης, ἢ τῆς ὄπισθεν· ὅτ᾽ ἂν δ᾽ ἐν αὐτῷ πλεονάσῃ τῷ τοῦ ἐγκεφάλου σώματι, μελαγχολίαν ἐργάζεται, καθάπερ ὁ ἕτερος χυμὸς τῆς μελαίνης χολῆς, ὁ κατωπτημένης

tenuioris atque vomentibus eum et olfacientibus acidus videtur, qui etiam terram radit, attollit et fermentat, atque ampullas, quales ferventibus jufculis fupernatare videmus, excitat; quem vero craffae faeci fimilem effe dixi, in terram effufus non inducit fermentationem, nifi forte in ardente febre ipfum tunc maximopere praeaffari contingat, neque ulla etiam acida qualitate participat; quamobrem et ipfum nominare confuevi melancholicum fuccum, aut melancholicum fanguinem; hic enim, meo quidem judicio, non recte adhuc atra bilis appellari poteft. Generatur autem hujusmodi humor in quibusdam copiofus, vel a temperie ab initio comparata, vel a cibis confuetis, qui quum in venis concoquuntur, in hujusmodi humorem transmutari folent. Igitur ut craffus pituitae fuccus, ita hic quoque craffus melancholicus epilepfiam efficit, ubi in meatibus ventriculorum cerebri retinetur, five is medius fit, five poftremus; ubi vero in ipfo cerebri corpore abundat, melancholiam efficit; quemadmodum alter atrae bilis fuccus, qui

τῆς ξανθῆς χολῆς γενόμενος, τὰς θηριώδεις παραφροσύνας ἀποτελεῖ χωρὶς πυρετοῦ τε καὶ σὺν πυρετῷ, πλεονάζων ἐν τῷ σώματι τοῦ ἐγκεφάλου. καὶ διὰ τοῦτο τῆς φρενίτιδος ἡ μέν τίς ἐστι μετριωτέρα, τὴν γένεσιν ἐκ τῆς ὠχρᾶς ἔχουσα χολῆς· ἡ δέ τις σφοδροτέρα, τῆς ξανθῆς ἔγγονος ὑπάρχουσα· καί τις ἄλλη θηριώδης τε καὶ μελαγχολικὴ παραφροσύνη γίνεται, κατοπτηθείσης τῆς ξανθῆς χολῆς. ὅσαι δ᾽ ἐν ταῖς ἀκμαῖς τῶν πυρετῶν γίγνονται παραφροσύναι, κατὰ συμπάθειαν αὗται πάσχοντα τὸν ἐγκέφαλον, οὐ κατ᾽ ἰδιοπάθειαν ἔχουσιν· καὶ διὰ τοῦτο παραπαῖσαι μὲν καὶ παραφρονῆσαι καὶ παρακόψαι τούτους οὐ μόνον οἱ ἰατροὶ λέγουσιν, ἀλλὰ καὶ ἰδιῶται, φρενιτικοὺς δ᾽ οὐκ ὀνομάζουσιν, οὐ γὰρ συναποκαθίστανται ταῖς ἀκμαῖς τῶν πυρετῶν αἱ φρενιτικαὶ παραφροσύναι, καθάπερ οὖν ὁ τῶν φρενιτικῶν πυρετὸς ἕν τι τῶν συμπτωμάτων τῆς ἐγκεφάλου διαθέσεώς ἐστιν, οὕτω τῶν διακαῶν πυρετῶν ἡ παραφροσύνη, πολλῶν ἀτμῶν θερμῶν ἀναφερομένων εἰς αὐτόν. παραπλησία δ᾽ ἐστὶν τῇδε καὶ τῶν ὁμοίων τοῖς ὑποχεομένοις συμπτωμάτων γένεσις, ἐκ τῶν τῆς γαστρὸς ὁρμωμένη διαθέσεων· ἥ τε γὰρ κοιλία τῇ κεφαλῇ

praeaſſata flava bile naſcitur, ferina deliramenta inducit, modo ſine febre, modo cum febre, in cerebri corpore abundans. Atque hanc ob cauſam phrenitis nonnunquam mitior eſt, quum a pallida bile ortum contraxit; interdum vehementior, quum flava bilis eam peperit; atque inſuper alia nonnunquam deſipientia occurrit ferina et melancholica, flava bile praeaſſata. Quae autem deliria per febrium vigores accidunt, non propria cerebri affectione, ſed per conſenſum fiunt; proinde eos delirare et deſipere et vacillare, non ſolum medici, ſed privati quoque dicere conſueverunt; phreniticos vero non nominant; non enim phreniticorum deliria quieſcunt, mitigato febrium vigore. Igitur quemadmodum phreniticorum febris unum quoddam ſymptomatum eſt cerebri affecti; ſic ardentium febrium delirium, multis elatis ad ipſum vaporibus calidis. Huic autem conſimilis eſt ſimilium ſuffuſionibus ſymptomatum generatio, a ventriculi affectionibus procedens. Nam cerebrum ventri-

καὶ ἡ κεφαλὴ τῇ κοιλίᾳ [439] μεταδίδωσι τῶν παθημάτων, διὰ τὸ μέγεθος τῶν ἐξ ἐγκεφάλου καθηκόντων νεύρων εἰς τὸ στόμα τῆς γαστρὸς, ὑφ᾽ ὧν καὶ τὸ περιττὸν τῆς αἰσθήσεως ὑπὲρ τἄλλα μέρη τοῦ σώματος ὑπάρ(277)χει τῷ μορίῳ τῷδε. καὶ διὰ τοῦτο τοῖς κατὰ τὴν κεφαλὴν κατάγμασιν, ὅσα πρὸς τὰς μήνιγγας ἐξικνεῖται, χολεμεσίαι παρακολουθοῦσι· καὶ τοῖς ὁπωσοῦν γενομένοις ἀλγήμασι τῆς κεφαλῆς ἀνατροπή τε τοῦ στομάχου καὶ δῆξις ἐνίοτε· τοῖς δὲ ὑποχονδριακοῖς καὶ φυσώδεσιν ὀνομαζομένοις πάθεσιν δυσθυμίαι μελαγχολικαὶ, καὶ γὰρ καὶ τοῦτο τοιοῦτόν ἐστιν, ὁποῖον ἡ τοῖς ὀξέσι πυρετοῖς ἐπιγινομένη παραφροσύνη, καί τισι διαθέσεσιν τοῦ στόματος τῆς κοιλίας ἡ τῶν τοῖς ὑποχεομένοις ὁμοίων συμπτωμάτων. οὕτω δὲ καὶ τοῖς νευρώδεσι μορίοις φλεγμήνασιν ἑτοιμότερον ἢ τοῖς ἄλλοις ἐπιγίγνονται παραφροσύναι, ποτὲ μὲν αὐτῆς μόνης τῆς θερμασίας κατὰ τὸ συνεχὲς ἐπὶ τὴν κεφαλὴν ἀνερχομένης, ποτὲ δὲ πνεύματος ἀτμώδους, ἢ καπνώδους, ἢ αἰθαλώδους.

Κεφ. ι'. Ὥσπερ δ᾽ ἐν τοῖς κατὰ συμπάθειαν οὐ σμικρὰ διαφορὰ γίνεται τοῖς πάθεσι τῆς κεφαλῆς, οὕτω καὶ

culo et ventriculus cerebro fuas affectiones transmittit, propter nervorum a cerebro ad os ventriculi defcendentium magnitudinem, per quos etiam fenfus huic parti quam ulli reliquarum corporis partium acutior eft. Quocirca capitis fracturas, quum ad meninges usque perveniunt, biliofi vomitus fequuntur; ac dolores capitis, quomodocunque fiant, fubverfio ftomachi et morfus aliquando; hypochondriacas vero et flatulentas vocatas affectiones melancholica triftitia, haud fecus quam acutam febrem delirium, et quasdam oris ventriculi affectiones ea quae in fymptomatis fuffufioni fimilatur affectio. Sic nervofis partibus inflammatis promptius quam reliquis delirium fupervenit, afcendente ad caput interdum per continuas partes folo calore, interdum vero fpiritu vaporofo vel fumofo aut fuliginofo.

Cap. X. Quemadmodum autem in his qui per confenfum oriuntur, ita et in illis qui primario affectu contin-

Ed. Chart. VII. [439.] Ed. Baſ. III. (277.)

ἐν αὐτοῖς τοῖς κατὰ πρωτοπάθειαν. οἱ γοῦν κατ' αὐτὴν τὴν οὐσίαν τοῦ ἐγκεφάλου πλεονάσαντες παχεῖς χυμοὶ ποτὲ μὲν ὡς ὀργανικῷ μορίῳ λυμαίνονται, ποτὲ δὲ ὡς ὁμοιομερεῖ· κατὰ μὲν τὰς ἐμφράξεις τῶν πόρων ὡς ὀργανικῷ μορίῳ, κατὰ δὲ τὰς ἀλλοιώσεις τῆς κράσεως ὡς ὁμοιομερεῖ. καὶ διὰ τοῦτο καὶ ἥδε ἡ λέξις ἐπὶ τῇ τελευτῇ γέγραπται τοῦ ἕκτου τῶν ἐπιδημιῶν· οἱ μελαγχολικοὶ καὶ ἐπιληπτικοὶ εἰώθασι γίγνεσθαι ὡς ἐπὶ πολὺ καὶ οἱ ἐπιληπτικοὶ μελαγχολικοί· τούτων δ' ἑκάτερον μᾶλλον γίνεται, ἐφ' ὁπότερον ἂν ῥέψῃ τὸ ἀῤῥώστημα· ἢν μὲν εἰς τὸ σῶμα, ἐπίληπτοι· ἢν δὲ εἰς τὴν διάνοιαν, μελαγχολικοί. κατὰ ταύτην τὴν ῥῆσιν πρῶτον μὲν ὅτι μὴ διὰ παντὸς, ἀλλ' ὡς τὸ πολὺ μετάπτωσις εἰς ἄλληλα γίνεται τοῖς πάθεσιν ἐδήλωσεν· οὐ γὰρ ὑπὸ μελαγχολικοῦ χυμοῦ μόνον, ἀλλὰ καὶ φλεγματικοῦ τῆς ἐπιληψίας ἀποτελουμένης, ἡ μὲν ὑπὸ τοῦ μελαγχολικοῦ χυμοῦ γινομένη μεταπίπτει ποτὲ εἰς μελαγχολίαν, ἡ δ' ὑπὸ τοῦ φλεγματικοῦ πρὸς ἄλλο μέν τι μεθίσταται πάθος, ὑπὲρ οὗ μικρὸν ὕστερον ἐρῶ, μελαγχολίαν δὲ οὐκ ἐργάζεται. δεύτερον δ' ἐπὶ

gunt, capitis morbis, non eſt parva differentia. Igitur craſſi humores, qui in ipſa cerebri ſubſtantia exuberant, interdum eam ut organicam, interdum ut ſimilarem partem laedunt; meatuum quidem obſtructionibus ut organicam; temperamenti vero alterationibus ut ſimilarem. Proinde hic ſermo in fine ſexti libri de vulgaribus morbis ſcriptus eſt: *Melancholici etiam epileptici plerumque fieri conſueverunt, et epileptici melancholici. Atque horum alterum magis accidit, prout vel in hanc vel in illam partem infirmitas repit; ſi in corpus, epileptici; ſi in mentem, melancholici.* Hoc ſermone primum quidem declaravit, quod non ſemper, ſed plerumque horum affectuum alter in alterum tranſit; quum enim non ſolum melancholicus humor, verum etiam pituitoſus morbum comitialem efficiat, is quem melancholicus humor conſtituit, in melancholiam interdum tranſit; quem vero pituitoſus, in alium quidem affectum, de quo paulo poſt dicturus ſum, permutatur, melancholiam vero haudquaquam efficit. Alterum vero in

Ed. Chart. VII. [439.] Ed. Baf. III. (277.)

τῷδε θεώρημά τι περιέχεται κατὰ τὸν εἰρημένον ὑφ᾽ Ἱπποκράτους λόγον οὐ σμικρόν. ἐπεὶ γὰρ ἤτοι κρᾶσίς ἐστιν ἡ ψυχὴ τῶν δραστικῶν ποιοτήτων, ἢ ὑπὸ τῆς κράσεως αὐτῶν ἀλλοιοῦται, τὴν μὲν ὡς ὀργανικῷ μορίῳ τῷ ἐγκεφάλῳ λυμαινομένην χολὴν ἐπὶ τὸ σῶμα τετράφθαι φησὶ τοῦ ἐγκεφάλου, γίγνεται δὲ τοῦτο κατὰ τὰς ἐμφράξεις· τὴν δ᾽ ὡς ὁμοιομερεῖ τὴν κρᾶσιν ἀδικοῦσαν ἐπὶ τὴν διάνοιαν. ἀλλ᾽ ἐκεῖνό γε διορίσασθαι πρότερον ἀναγκαῖον εἶναί μοι δοκεῖ τὸ παραλελειμμένον τοῖς ἰατροῖς· ὥσπερ γὰρ ἐν τοῖς φαινομένοις μέρεσι τοῦ σώματος ἐνίοτε μὲν ἅπασιν ἡ αὐτὴ φαίνεται κρᾶσις, ὡς ἐν ἰκτέροις τε καὶ κατὰ τὸν καλούμενον ἐλέφαντα καὶ τοὺς ὑδέρους, ἔτι τε καχεξίας, καὶ πρὸς ταύταις ἐν ἡπατικαῖς τε καὶ σπληνικαῖς ἀχροίαις, ἐνίοτε δ᾽ ἕν τι μόριον ἤτοι πικρόχολον ἢ φλεγματικὸν ἢ μελαγχολικὸν ὑποδεξάμενον χυμὸν αὐτὸ μόνον ἐξαλλάττεται τὴν κρᾶσιν, οὕτως ἐγχωρεῖ καὶ τὸν ἐγκέφαλον ἐνίοτε μὲν, ἅπαντος τοῦ κατὰ τὰς φλέβας αἵματος μελαγχολικοῦ γενομένου, τῷ κοινῷ λόγῳ τῆς βλάβης καὶ αὐτὸν βλαβῆναι· καθ᾽ ἕτερον δὲ τρόπον ἀπαθοῦς διαμένον-

Hippocratis fermone continetur, non parvum theorema. Quum enim anima aut fit temperamentum activarum qualitatum, aut ab ipfarum temperamento alteretur, bilem, quum cerebrum ut partem organicam laedit, ad cerebri corpus accedere ait, et id per obftructiones fit; quum vero temperamentum mutando, ut fimilarem oblaedit, ad mentem. Verum hoc quod medici dereliquerunt, definire in primis neceffarium effe videtur. Quemadmodum enim in manifeftis corporis partibus interdum omnibus eadem apparet temperies, ut in morbo regio et elephante vocato et hyderis et cachexia, ad haec et in hepaticis ac fplenicis decolorationibus, interdum vero unius duntaxat partis, quae biliofum aut pituitofum aut melancholicum humorem fufcipit, temperies permutatur, ita etiam cerebrum poteft nonnunquam univerfo in venis fanguine melancholico procreato, ob communem laefionis rationem ipfum quoque laedi; nonnunquam vero permanente citra affectionem totius ho-

Ed. Chart. VII. [440.] Ed. Baf. III. (277.)

[440]τος τοῦ καθ᾽ ὅλον τὸν ἄνθρωπον αἵματος, ἀλλοιωθῆναι τὸ κατὰ μόνον τὸν ἐγκέφαλον, καὶ συμβῆναι τοῦτο διττῶς, ἢ ῥυέντος εἰς αὐτὸν ἑτέρωθεν, ἢ γεννηθέντος ἐν τῷ τόπῳ τοῦ μελαγχολικοῦ χυμοῦ· γεννᾶται δ᾽ ὑπὸ θερμασίας πολλῆς ἐγχωρίου, κατοπτώσης ἤτοι τὴν ξανθὴν χολὴν, ἢ τὸ παχύτερόν τε καὶ μελάντερον αἷμα. διαφέρει δ᾽ εἰς τὴν θεραπείαν οὐ σμικρὸν ὁ διορισμὸς οὗτος· ὅτ᾽ ἂν μὲν γὰρ ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχῃ τὸ αἷμα, τὴν ἀρχὴν τῆς θεραπείας ἀπὸ φλεβοτομίας προσῆκεν ποιεῖσθαι· ὅτ᾽ ἂν δὲ τὸ κατὰ μόνον τὸν ἐγκέφαλον, οὐ χρήζει φλεβοτομίας ὁ κάμνων, ὅσον γε ἐπὶ τῇ διαθέσει ταύτῃ, κατ᾽ ἄλλο γάρ τι δυνατόν ἐστι χρήζειν αὐτόν. ἡ δ᾽ οὖν διάγνωσις ἀπὸ τῶνδέ σοι γιγνέσθω, πότερον ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχει χυμὸν, ἢ κατὰ μόνον τὸν ἐγκέφαλον ἤθροισταί τις τοιοῦτος, καὶ ἀξιῶ σε πρῶτον μὲν ἐπισκέψασθαι τὴν τοῦ σώματος ἕξιν ὁποία τίς ἐστιν, μεμνημένον, ὡς οἱ μὲν ἁπαλοὶ καὶ λευκοὶ καὶ πίονες ἥκιστα μελαγχολικὸν ἴσχουσι χυμὸν, οἱ δ᾽ ἰσχνοὶ καὶ μελάντεροι καὶ δασεῖς καὶ φλέβας εὐρείας ἔχοντες, ἐπιτηδειότατοι πρὸς ταυτοῦ

minis fanguine, folus is, qui in cerebro eft, alterari, idque bifariam accidere, aut aliunde in ipfum defluente, aut in ipfo loco genito melancholico humore; gignitur autem a multo ejus loci calore, aut flavam bilem, aut craffum atrumque fanguinem fuperaffante. Atque haec diftinctio non parvum habet in curatione momentum. Quum enim univerfum corpus fanguinem melancholicum continet, curationis principium a venae fectione ducere oportet; ubi vero folum cerebrum, infirmus, quod ad hanc affectionem attinet, fanguinis detractione non indiget, qua tamen aliam ob caufam aliquam indigere poteft. Itaque dignotio ab his tibi fuccurrat, utrum melancholicum fanguinem univerfum corpus habeat, an is in cerebro fit accumulatus. In primis corporis habitum, qualis fit, confideres velim, memineris que quod molles et candidi et obefi nequaquam humorem habent melancholicum, macri vero et nigri et hirfuti et quibus latae funt venae, ad hujusmodi humoris generationem aptiffi-

τοιούτου χυμοῦ γένεσιν ὑπάρχουσιν, ἔσθ᾽ ὅτε δὲ καὶ οἱ ἐξέρυθροι τὴν χρόαν ἄνθρωποι μεταπίπτουσιν ἀθρόως ἐπὶ τὴν μελαγχολικὴν κρᾶσιν· ἐφεξῆς δ᾽ αὐτῶν οἱ ξανθοὶ, καὶ μάλισθ᾽ ὅταν ἐν ἀγρυπνίαις καὶ πόνοις πλείοσι καὶ φροντίσι καὶ λεπτῇ διαίτῃ προδεδιῃτημένοι τύχωσιν. ὁμογενῆ δὲ τούτοις ἐστὶ καὶ τὰ τοιαῦτα γνωρίσματα· πότερον ἐπέσχηταί τις αἱμοῤῥοῒς, ἢ καί τις ἄλλη συνήθης αἵματος κένωσις, ἢ καταμήνια ταῖς γυναιξί· καὶ τούτων ἐφεξῆς ὁποίαις ἐχρήσατο τροφαῖς, ἆρά γε ταῖς μελαγχολικὸν αἷμα γεννώσαις, ἢ ταῖς ἐναντίαις· λέγω δὲ μελαγχολικὸν μὲν αἷμα γεννᾷν αἰγείων καὶ βοείων ἐδωδὴν κρεῶν, καὶ μᾶλλον ἔτι τῶν τραγείων τε καὶ ταυρείων, ἔτι δὲ μᾶλλον ὀνείων τε καὶ καμηλείων, ἐσθίουσι γὰρ ἔνιοι καὶ τούτων, ὥσπέρ γε καὶ ἀλωπέκων τε καὶ κυνῶν. οὐχ ἥκιστα δὲ καὶ ἡ τῶν λαγωῶν ἐδωδὴ τοιοῦτον αἷμα γεννᾷ, καὶ πολὺ μᾶλλον ἡ τῶν ἀγρίων συῶν· καὶ οἱ κοχλίαι δὲ μελαγχολικὸν αἷμα γεννῶσιν, εἴτις ἐν αὐτοῖς πλεονάσειεν, καὶ πάντα τὰ ταριχευθέντα κρέα τῶν ἐπιγείων ζώων· ἐνύδρων δὲ τά τε τῶν θύννων καὶ φαλαίνης καὶ φώκης καὶ δελφῖνος καὶ κυνὸς

mi funt; fitque interdum, ut praerubro colore homines affatim in melancholicam temperiem decidant, atque poft hos flavi, idque maxime quando et vigiliis et multis laboribus et follicitudine et tenui victu fuerint educati. Hujus quoque generis hae notae funt, an haemorrhois aliqua fuppreffa fit, aut alia quaepiam confueta fanguinis vacuatio, aut mulieribus menftrua; infuper quibus cibis quis fuerit ufus, utrum iis qui fuapte natura melancholicum fanguinem procreant, an e diverfo. Dico vero fanguinem melancholicum procreare caprinarum bubularumque carnium efum, magisque hircinarum et taurinarum, fed maxime afinorum camelorumque, nam et his nonnulli vefcuntur, ut etiam vulpinarum caninarumque; nec vero minime leporum efus ejusmodi fanguinem generat, et multo magis aprorum; fed limaces quoque melancholicum fanguinem generant, fi frequens fit eorum ufus, et omnes terrenorum animalium carnes fale conditae; aquatilium vero thunni, balaenae, vituli

καὶ τῶν κητωδῶν ἁπάντων· τῶν δὲ λαχάνων σχεδὸν ἡ κράμβη μόνη τοιοῦτον αἷμα γεννᾷν πέφυκεν, ὥσπέρ γε καὶ τῶν δένδρων οἱ βλαστοὶ δι' ἅλμης καὶ ὀξάλμης συντιθέμενοι, σχίνου λέγω καὶ τερμίνθου καὶ βάτου καὶ κυνοσβάτου· καὶ μέν τοι καὶ τῶν ὀσπρίων ἥ τε φακὴ μελαγχολικώτατόν ἐστιν ἔδεσμα καὶ μετὰ ταύτην οἱ πιτυρῖται καλούμενοι τῶν ἄρτων, οἵ τε ἐκ τῆς τίφης καὶ τῶν μοχθηρῶν σπερμάτων, οἷς ἀντὶ πυρῶν ἔνια τῶν ἐθνῶν χρῆται, διώρισται δὲ περὶ αὐτῶν ἐν τῷ πρώτῳ τῶν περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων. ἀλλὰ καὶ τῶν οἴνων οἵ τε παχεῖς καὶ μέλανες ἐπιτηδειότατοι γεννῆσαι τὸν μελαγχολικὸν χυμὸν, ἄν τις ἐν αὐτοῖς πλεονάζων ὑπὸ περιστάσεώς τινος ἐν θερμασίᾳ πλείονι τὸ σῶμα σχῇ· καὶ οἱ παλαιοὶ δὲ τυροὶ ῥᾷστοι γεννῆσαι τὸν τοιοῦτον χυμὸν, ὅτ' ἂν ἐν τῷ σώματι τύχωσιν ὑπερθερμανθέντες. εἰ μὲν οὖν ἐν τοιαύτῃ διαίτῃ πρὸ τοῦ νοσεῖν ὁ ἄνθρωπος εἴη γεγενημένος, ἔξεστι κἀκ ταύτης στοχάσασθαί τι πλέον· εἰ δ' ἐν εὐχύμοις ἐδέσμασιν, ἐπισκέπτεσθαι περί τε τῶν γυμνασίων αὐτοῦ καὶ

marini, delphini, canis, atque cetaceorum omnium; ex oleribus autem braffica fere fola hujusmodi fanguinem gignere confuevit; quemadmodum et arborum germina, ubi vel muria, vel oxhalme condiuntur, lentifci dico, terebinthi, rubi, canis rubi. Leguminum vero omnium maxime lentes melancholica funt edulia; tum panes furfuracei, et qui ex tipha atque vitiatis feminibus fiunt, quorum apud quasdam nationes ufus loco frumenti habetur; verum de his in primo libro de alimentorum facultatibus dictum eft. Praeterea vina craffa nigraque aptiffima funt, ut ex ipfis melancholicus humor fiat, praefertim fi quis his uberius utens, oblata occafione in majori calore corpus contineat. Vetus denique cafeus, ubi forte fortuna in corpore fuerit fupercalefactus, facile hujuscemodi procreat humorem. Igitur fi quis antequam in morbum inciderit, hujusmodi victus ratione fuerit educatus, majorem quandam inde licet facere conjecturam; fi vero boni fucci cibis ufus fuerit, confiderare oportet exercitationes ipfius, moellitiam, vigilias, fol-

λύπης καὶ ἀγρυπνίας καὶ φροντίδος· ἔνιοι δὲ καὶ κατ᾽ αὐτὰ τὰ πυρετώδη νοσήματα, καθότι προείρηται, τὸν μελαγχολικὸν ἴσχουσι γενόμενον χυμόν. εἰς δὲ [441] τὴν βεβαιοτέραν διάγνωσιν οὐ σμικρὰ συντελεῖ καὶ ἡ ὥρα τοῦ ἔτους καὶ ἡ γεγενημένη τε καὶ οὖσα κατάστασις, ἔτι τε τὸ χωρίον, ἥ τε τοῦ κάμνοντος ἡλικία. ταῦτα πάντα προδιασκεψάμενος, ὅτ᾽ ἂν ἐλπίσῃς ἐν ταῖς καθ᾽ ὅλον τὸ σῶμα φλεψὶ μελαγχολικὸν (278) αἷμα περιέχεσθαι, τὴν βεβαιοτάτην ἐπάγαγε διάγνωσιν ἐκ τοῦ τέμνειν τὴν κατ᾽ ἀγκῶνα φλέβα· βέλτιον δὲ τὴν μέσην τέμνειν, ἐπειδὴ κοινὴ πρὸς ἀμφοτέρας ἐστὶ, τήν τε ὠμιαίαν ὀνομαζομένην καὶ τὴν διὰ τῆς μασχάλης ἐπὶ τὴν χεῖρα φερομένην· εἶτα εἰ μὲν μὴ φαίνοιτο μελαγχολικὸν εἶναι τὸ ῥέον, ἐπίσχες εὐθέως· εἰ δὲ τοιοῦτον φαίνεται, κένωσον ὅσον ἂν ὑπολάβῃς αὔταρκες ἔσεσθαι τῇ τοῦ πάσχοντος ἕξει σώματος. ἔστι δὲ καὶ τρίτη τις διαφορὰ μελαγχολίας, ὥσπερ ὅτ᾽ ἂν ἐπιληψία τὴν ἀρχὴν ἀπὸ τῆς κοιλίας ἴσχει· καλοῦσι δὲ ἔνιοι τῶν ἰατρῶν ὑποχονδριακόν τε καὶ φυσῶδες νόσημα τὴν αὐτὴν διάθεσιν. ἀρκέσει δέ μοι παραθέσθαι τὰ ὑπὸ Διοκλέους γεγραμμένα συνεδρεύειν αὐτῷ συμπτώματα, κατὰ τὸ βιβλίον ὃ ἐπιγράφεται,

licitudines. Ac nonnulli per febriles, ut dictum eſt, morbos melancholicum humorem contraxerunt. Atque ad efficaciorem dignotionem non parum confert anni tempus ac praeterita praeſensque conſtitutio, item regio ac laborantis aetas. His itaque omnibus praemeditatis, quum ſperaveris in univerſi corporis venis melancholicum ſanguinem contineri, quo certiſſimam habeas notitiam, cubiti venam ſeca, praecipueque mediam, quoniam utrique communis eſt, et ei quae humeralis nominatur et ei quae per axillam ad manum fertur. Quod ſi tum fluens ſanguis non videatur melancholicus, ſtatim ſupprimatur; ſi vero talis appareat, vacua quantum pro laborantis corporis habitu ſatis eſſe conjeceris. Eſt praeterea tertia melancholiae differentia, morbi comitialis exemplo, quum ortum a ventriculo habuerit; vocitant autem nonnulli medicorum hanc affectionem hypochondriacum flatuoſumque morbum. Verum ſatis mihi fuerint ea ſymptomata, quae a Diocle ſcripta ſunt illi aſſidere in libro cui titulus eſt, *affectio, cauſa,*

Ed. Chart. VII. [441.] Ed. Baf. III. (278.)

πάθος, αἰτία, θεραπεία· κατὰ τοῦτο γὰρ ὁ Διοκλῆς ἔγραψεν αὐτοῖς ὀνόμασιν οὕτως· ἄλλο δὲ γίγνεται μὲν περὶ τὴν κοιλίαν, ἀνόμοιον δ᾽ ἐστὶ τοῖς προειρημένοις, καλοῦσι δ᾽ αὐτὸ οἱ μὲν μελαγχολικὸν, οἱ δὲ φυσῶδες. ἕπονται δὲ τούτῳ μετὰ τὰς ἐδωδὰς, καὶ μάλιστα τῶν δυσπέπτων τε καὶ καυστικῶν, πτύσεις ὑγραὶ καὶ πολλαὶ, ὀξυρεγμίαι, πνεύματα, καῦμα πρὸς ὑποχονδρίοις, ἐγκλύδαξις οὐκ εὐθὺς, ἀλλ᾽ ἐπισχοῦσιν· ἐνίοτε δὲ καὶ πόνοι κοιλίας ἰσχυροὶ, διήκοντες ἐνίοις εἰς τὸ μετάφρενον· πραΰνονται δὲ πεφθέντων τῶν σιτίων, πάλιν τε μετὰ τὸ φαγεῖν τὰ αὐτὰ συμβαίνει, πολλάκις δὲ καὶ νήστεσιν καὶ μετὰ τὸ δεῖπνον ἐνοχλεῖ, καὶ ἐμοῦντες ὠμὰ τὰ σιτία ἐμοῦσι, καὶ φλέγματα ὑπόπικρα καὶ θερμὰ καὶ ὀξέα, ὥστε καὶ τοὺς ὀδόντας αἱμωδιᾷν. καὶ τὰ πολλὰ γίνεται τούτων εὐθὺς ἐκ νέων, μηκύνει δὲ ὅπως ἂν γένηται πᾶσι. ταῦτα προειπὼν ὁ Διοκλῆς ἐφεξῆς αὐτοῖς προσέθηκε τὴν αἰτίαν ὧδέ πως γράψας· τοὺς δὲ φυσώδεας καλουμένους ὑπολαμβάνειν δεῖ πλεῖον ἔχειν τὸ θερμὸν τοῦ προσήκοντος ἐν ταῖς φλεψὶ ταῖς ἐκ τῆς γαστρὸς τὴν τροφὴν δεχομέναις, καὶ τὸ

curatio; in quo Diocles ad verbum ita fcripfit: *Sed alius oritur circa ventriculum morbus, qui fupradictis diffimilis eft, nominaturque ab aliis melancholicus, ab aliis flatuofus; quem fumpto cibo maxime coctu difficili et cauftico, fputum humidum idemque multum comitatur, item ructus acidus, flatus, aeftus in hypochondriis, fluctuatio non illico, fed quum retinuerint; interdum ventriculi quoque vehementes dolores, qui nonnullis ad dorfum usque procedunt; concoctis deinde cibis quiescunt, mox aliis ingeftis eadem rurfus revertuntur, quae interdum jejunos, interdum etiam a coena moleftant; atque vomentes evomunt crudos cibos et phlegmata fubamara et calida et acida adeo, ut nonnunquam dentes torpedine afficiantur. Atque horum plurima ab ineunte ftatim aetate eveniunt; utcunque tamen acciderint, omnibus producuntur.* Haec praefatus Diocles, mox caufam fubjungens ita fcribit: *Caeterum flatulentos vocatos fuspicandum eft plus caloris quam decet habere in iis venis, quae alimentum a ventriculo excipiunt, fanguinem-*

αἷμα πεπαχύνθαι τούτων· δηλοῖ γὰρ ὅτι μέν ἐστιν ἔμφραξις περὶ ταύτας τὰς φλέβας, τὸ μὴ καταδέχεσθαι τὸ σῶμα τὴν τροφὴν, ἀλλ' ἐν τῇ γαστρὶ διαμένειν ἀκατέργαστον, πρότερον τῶν πόρων τούτων ἀναλαμβανόντων, τὰ δὲ πολλὰ ἀποκρινάντων εἰς τὴν κάτω κοιλίαν· καὶ τὸ τῇ δευτεραίᾳ ἐμεῖν αὐτοὺς, οὐχ ὑπαγόντων εἰς τὸ σῶμα τῶν σιτίων. ὅτι δὲ τὸ θερμὸν πλεῖόν ἐστι τοῦ κατὰ φύσιν, μάλιστ' ἄν τις κατανοήσειεν ἔκ τε τῶν καυμάτων τῶν γινομένων αὐτοῖς καὶ τῆς προσφορᾶς· φαίνονται γὰρ ὑπὸ τῶν ψυχρῶν ὠφελούμενοι σιτίων, τὰ δὲ τοιαῦτα τὸ θερμὸν καταψύχειν καὶ μαραίνειν εἴωθεν. ἐφεξῆς δὲ τούτων καὶ τἄλλα προσέγραψεν ὁ Διοκλῆς ἐν τῇδε τῇ λέξει· λέγουσι δέ τινες ἐπὶ τῶν τοιούτων παθῶν τὸ στόμα τῆς γαστρὸς τὸ συνεχὲς τῷ ἐντέρῳ φλεγμαίνειν, διὰ δὲ τὴν φλεγμονὴν ἐμπεφράχθαι καὶ κωλύειν καταβαίνειν τὰ σιτία εἰς τὸ ἔντερον τοῖς τεταγμένοις χρόνοις· τούτου δὲ γινομένου, πλείονι χρόνῳ τοῦ δέοντος ἐν τῇ γαστρὶ μένοντα, τούς τε ὄγκους παρασκευάζει καὶ τὰ καύματα καὶ τἄλλα τὰ προειρημένα. ταῦτα μὲν οὖν ὁ Διοκλῆς ἔγραψε,

que ipſis craſſiorem factum. Nam conſtat has venas eſſe obſtructas, quod alimentum corpori non diſtribuatur, ſed in ventriculo maneat inconfectum, quum antea a meatibus his ſusciperetur, magnaque ipſius pars in imum ventrem excerneretur; tum quod poſtero die vomant, utpote non digeſtis per corpus cibis. Sed quod calor uberior ſit, quam qui ſecundum naturam eſt, facillime intelliges tum ab aeſtu, qui ipſis accidit, tum ab iis quae ingeruntur; ſiquidem juvari videntur a frigidis cibis, qui calorem refrigerare extinguereque ſolent. Deinde alia quoque Diocles jam propoſitis in hoc ſermone addidit: *Ajunt autem nonnulli os ventriculi, inteſtinis continuum, in hujusmodi affectibus inflammari, ac ob inflammationem ipſam obſtrui et prohibere, ne alimenta ſtatuto tempore ad inteſtina deſcendant; quamobrem diutius quam decet in ventriculo manentia tumores et aeſtus atque caetera praedicta efficiunt.* Haec quidem Diocles literis prodidit; verum in hoc ſymptoma-

παραλιπὼν ἐν τῷ καταλόγῳ τῶν συμπτωμάτων τὰ κυριώτατα τῆς ὅλης συνδρομῆς, ὅσα τήν τε μελαγχολίαν χαρακτηρίζει καὶ τὸ φυσῶδες καὶ ὑποχονδριακὸν πάθος· καί μοι δοκεῖ, διότι ταῦτα ἐκ τῆς προσηγορίας τοῦ νοσήματος ἐνδεικτικῶς ἐδηλοῦτο, παραλελοιπέναι, μεμαθηκότων γ᾽ ἡμῶν ὑφ᾽ Ἱπποκράτους, ἢν φόβος καὶ δυσθυμίη πολὺν χρόνον ἔχοντα διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτο. διὰ τί δὲ ἐν τῇ τῆς αἰτίας ἀποδόσει τῶν μὲν ἄλλων [442] συμπτωμάτων ἔγραψε τὰς αἰτίας, αὐτοῦ δὲ τοῦ βλάπτεσθαι τὴν διάνοιαν οὐκ ἔγραψεν, ζητῆσαι ἄξιον. εἴτε γὰρ τὸ θερμὸν ἐν ταῖς κατὰ τὴν γαστέρα φλεψὶ πλέον ἐπ᾽ αὐτῶν ἐστιν, εἴτε φλεγμονὴ τῶν κατὰ πυλωρὸν μερῶν, διὰ τί τούτοις ἀκολουθεῖ τὰ μελαγχολικὰ συμπτώματα, παραλέλειπται. τὸ μὲν γὰρ ἐμπιπλᾶσθαι τὴν γαστέρα φυσώδους πνεύματος, εἶτα ταῖς ἐρυγαῖς αὐτοῦ κουφίζεσθαι, καὶ προσέτι τοῖς εἰρημένοις ὑπὸ τοῦ Διοκλέους ἐμέτοις, εὔδηλόν ἐστι, κἂν ἐκεῖνος μὴ λέγῃ· τὰ δὲ τῆς μελαγχολίας ἴδια, χαλεπὸν ἦν αὐτῷ συγγράψαι τῇ κατὰ τὴν γαστέρα λελεγμένῃ διαθέσει. προσθῶμεν οὖν ἡμεῖς τοῦτο, τὴν διά-

tum catalogo praecipua totius concurfus fymptomata filentio praeteriit, quae melancholiam et flatulentam hypochondriacamque affectionem charactere defignant; atque haec omifit, ut puto, quod ex morbi ipfius nomine manifefte declarentur, quum nos ab Hippocrate didicerimus: *Si metus et moeftitia longo tempore obfidentia perfeverent, melancholicus eft hujuscemodi affectus.* Verum haud abfurda quaeftio eft, quare quum caufas aliorum fymptomatum redderet, quam ob caufam mens laedatur, non fcripferit; five enim venarum, quae ad ventriculum funt, calor in illis exuperat, five partes quae funt ad pylorum inflammatione laborant, quid caufae fit, cur melancholica comitentur fymptomata, dereliquit. Etenim quod venter flatulento fpiritu impleatur, ac deinde ructibus levetur, ac praeterea vomitione a Diocle memorata, vel nihil ipfo dicente manifeftum eft; at propria melancholiae fymptomata fimul cum dicta ventriculi affectione fcribere, arduum ei fuit. Id itaque addamus ac fimul, qualis

θεσιν τῆς γαστρὸς ὁποία τις ἐν τοῖς τοιούτοις γίνεται πάθεσιν ἑρμηνεύσαντες σαφῶς. ἔοικε μὲν γὰρ εἶναί τις ἐν αὐτῇ φλεγμονὴ, τὸ δ᾽ ἐν τῷ φλεγμαίνοντι μορίῳ περιεχόμενον αἷμα παχύτερόν τε καὶ μελαγχολικώτερον ὑπάρχειν. ὥσπερ οὖν ἐπὶ τοὺς ὀφθαλμοὺς ἀναφερομένης ἐκ τῆς γαστρὸς αἰθαλώδους τινὸς ἢ καπνώδους ἀναθυμιάσεως, ἢ ὅλως ἀτμῶν τινων παχέων, ὅμοια τοῖς ὑποχεομένων γίγνεται συμπτώματα, κατὰ τὸν αὐτὸν λόγον καὶ νῦν ἐπὶ τὸν ἐγκέφαλον ἀναφερομένης τῆς μελαγχολικῆς ἀναθυμιάσεως, οἷον αἰθαλώδους τινὸς, ἢ καπνώδους ἀναθυμιάσεως, τὰ μελαγχολικὰ γενήσεται περὶ τὴν διάνοιαν συμπτώματα. καὶ μὴν καὶ συνεχέστατα θεώμεθα τὴν κεφαλὴν ὀδυνωμένην ἐπὶ τῇ ξανθῇ χολῇ κατὰ τὴν γαστέρα περιεχομένῃ, καθάπερ γε καὶ παραχρῆμα γινομένην ἀνώδυνον, ἐμεθείσης τῆς χολῆς· καὶ τά γε τοιαῦτα τῶν ἀλγημάτων δακνώδη τέ ἐστιν καὶ διαβρωτικὰ, καθάπερ ἄλλα μέν τινα μετὰ βάρους, ἄλλα δὲ μετὰ τάσεως ἢ καταφορᾶς ὁρᾶται γινόμενα. συμπεφώνηται δὲ τοῖς ἀρίστοις ἰατροῖς, οὐ ταῦτα μόνον ἀπὸ τῆς γαστρὸς τῇ κεφαλῇ συμπίπτειν, ἀλλὰ καὶ τὴν ἐπιληψίαν. ἀεὶ μὲν οὖν

ſit in hujusmodi affectibus ventriculi dispoſitio, manifeſta interpretatione enarremus. Videtur enim in ipſo quaedam inflammatio eſſe; ſanguis autem in parte inflammata contentus et craſſior et magis melancholicus. Itaque quemadmodum elato ex ventriculo ad oculos fuliginoſo quodam aut fumoſo halitu, aut craſſis omnino vaporibus, ſimilia ſuffuſionis ſymptomata contingunt, eadem ratione ſublata ad cerebrum ab atra bile evaporatione veluti fuliginoſa fumoſaque melancholica evenient in mente ſymptomata. Ac certe quam frequentiſſime videmus flava in ventriculo bile contenta, caput dolore affici; ut et mox bile per vomitum ejecta dolorem ſedari. Atque hujusmodi dolores mordaces et erodentes ſunt, quemadmodum alii quidam cum gravitate, alii cum tenſione, alii cum cataphora fieri videntur. Atque inter optimos medicos convenit, non ſolum haec, verum etiam morbum comitialem capiti a ventriculo procedere. Igitur

οἱ φόβοι συνεδρεύουσι τοῖς μελαγχολικοῖς, οὐκ ἀεὶ δὲ ταὐτὸν εἶδος τῶν παρὰ φύσιν αὐτοῖς γίγνεται φαντασιῶν, εἴγε ὁ μέν τις ὀστρακοῦς ᾤετο γεγονέναι, καὶ διὰ τοῦτ᾽ ἐξίστατο τοῖς ἀπαντῶσιν, ὅπως μὴ συντριβείη· θεώμενος δέ τις ἄλλος ἀλεκτρυόνας ᾄδοντας, ὥσπερ ἐκεῖνοι τὰς πτέρυγας προσέκρουον πρὸ ᾠδῆς, οὕτω καὶ αὐτὸς τοὺς βραχίονας προσκρούων ταῖς πλευραῖς ἐμιμεῖτο τὴν φωνὴν τῶν ζώων. φόβος δ᾽ ἦν ἄλλῳ, μή πως ὁ βαστάζων τὸν κόσμον Ἄτλας ἀποσείσηται κεκμηκὼς αὐτὸν, οὕτως τε καὶ αὐτὸς συντριβείη καὶ ἡμᾶς αὐτῷ συναπολέσειεν· ἄλλα τε μυρία τοιαῦτα φαντασιοῦνται. διαφέρονται δὲ ἀλλήλων οἱ μελαγχολικοὶ, τὸ μὲν φοβεῖσθαι καὶ δυσθυμεῖν καὶ μέμφεσθαι τῇ ζωῇ καὶ μισεῖν τοὺς ἀνθρώπους ἅπαντες ἔχοντες, ἀποθανεῖν δ᾽ ἐπιθυμοῦντες οὐ πάντες, ἀλλ᾽ ἔστιν ἐνίοις αὐτῶν αὐτὸ δὴ τοῦτο κεφάλαιον τῆς μελαγχολίας, τὸ περὶ τοῦ θανάτου δέος· ἔνιοι δὲ ἀλλόκοτοί σοι δόξουσιν, ἅμα τε καὶ δεδιέναι τὸν θάνατον καὶ θανατᾷν. ὥστε ὀρθῶς ἔοικεν ὁ Ἱπποκράτης εἰς δύο ταῦτα ἀναγαγεῖν τὰ συμπτώματα αὐτῶν πάντα, φόβον καὶ δυσθυμίαν· ἐπὶ γέ τοι τῇ τοιαύτῃ δυσθυμίᾳ

melancholicis timores femper affident, non autem femper eadem imaginationum praeter naturam fpecies ipfis obverfatur, fiquidem alius teftaceum fe factum putavit, atque idcirco occurfantibus cedebat, ne confringeretur; alter gallos cantare confpiciens, ut hi alarum ante cantum, fic ille brachiorum plaufu latera quatiens, animantium fonum imitatus eft. Fuit item alteri timor, ne Atlas mundum bajulans gravatus onere ipfum excuteret, atque fic ipfe contereretur ac nos quoque fecum perderet; aliaque hujusmodi infinita imaginantur. Differunt autem inter fe melancholici; nam omnes timent, moerent, vitam damnant, odio habent homines, fed non omnes mori cupiunt; imo hoc ipfum nonnullis melancholiae caput eft, quod mortem pertimescant; quosdam etiam alieno admodum videbis animo, utpote qui fimul et mortem metuant et mori cupiant. Proinde recte videtur Hippocrates omnia ipforum fymptomata in duo haec coëgiffe, metum et moeftitiam. Moeftitia nimirum eos in-

μισοῦσιν πάντας, οὓς ἂν βλέπωσιν, καὶ σκυθρωποὶ διὰ παντός εἰσι, δειμαίνοντες, ὥσπερ ἐν σκότῳ βαθεῖ τά τε παιδία φοβεῖται καὶ τῶν τελείων οἱ ἀπαίδευτοι. καθάπερ γὰρ καὶ τὸ ἔξωθεν σκότος εἰς φόβον ἄγει σχεδὸν ἅπαντας ἀνθρώπους, πλὴν τῶν ἤτοι πάνυ φύσει τολμηρῶν, ἢ πεπαιδευμένων, οὕτως καὶ τῆς μελαίνης χολῆς τὸ χρῶμα παραπλησίως σκότῳ τὸν φρονοῦντα τόπον ἐπισκιάζον ἐργάζεται τοὺς φόβους. ὅτι γὰρ οἵ τε χυμοὶ καὶ ὅλως ἡ τοῦ (279) σώματος κρᾶσις ἀλλοιοῖ τὰς ἐνεργείας τῆς ψυχῆς, ὡμολόγηται τοῖς ἀρίστοις ἰατροῖς τε καὶ φιλοσόφοις, ἐμοί τε δι' ἑνὸς ὑπομνήματος ἀποδέδεικται, καθ' ὃ ταῖς τοῦ σώματος κράσεσιν ἀκολουθούσας ἀπέδειξα τὰς τῆς ψυχῆς δυνάμεις· ὅθεν οὐδὲ γράψαι τι περὶ μελαγ[443]χολίας ἐτόλμησαν οἱ τὴν τῶν χυμῶν δύναμιν ἀγνοήσαντες, ἐξ ὧν εἰσι καὶ οἱ περὶ τὸν Ἐρασίστρατον. ἄξιον δέ ἐστι κἀν τούτῳ θαυμάσαι τὰς κοινὰς ἐννοίας τῶν ἀνθρώπων, ὥσπερ καὶ τἄλλα πολλὰ δόγματα, περὶ ὧν ἠγνόησαν οὐκ ὀλίγοι φιλοσόφων τε καὶ ἰατρῶν· ἅπαντες γοῦν ὀνομάζουσιν τὸ πάθος τοῦτο μελαγχολίαν, ἐνδεικνύμενοι διὰ

ducit, ut odio profequantur omnes, quos viderint, perpetuo moeftitiam prae fe ferant, ac terreantur, ut in tenebris profundis pueri, atque ex adultis indocti. Quemadmodum fane externae tenebrae omnibus fere hominibus pavorem inducunt, nifi vel audaces admodum, vel docti fuerint, fic atrae bilis color, mentis fedem peraeque ac tenebrae obfcurans, timorem efficit. Etenim fummis tum medicis tum philofophis in confeffo eft, tum humores tum omnino corporis temperamentum animae actiones alterare; quod nos quoque uno commentario docuimus, quo demonftratum eft, animae facultates corporis temperaturam fequi. Quocirca humorum vim ignorantes, in quorum numero et Erafiftratus eft, ne fcribere quidem de melancholia quicquam aufi funt. Sed et in hoc par eft admirari tum communes hominum notiones tum plurima quoque dogmata, quae non pauci philofophi et medici ignoraverunt. Igitur ab omnibus affectus hic melancholia vocitatur, indicante nomine humorem, qui

τῆς προσηγορίας τὸν αἴτιον αὐτοῦ χυμόν. ἐὰν μὲν οὖν ἄρξηταί γε πρῶτα τὰ κατὰ τὴν γαστέρα συμπτώματα, καὶ μείζοσιν αὐτοῖς γινομένοις ἀκολουθήσῃ τὰ μελαγχολικὰ πάθη, κουφίζηταί τε ταῖς διαχωρήσεσιν καὶ τοῖς ἐμέτοις καὶ ταῖς κάτω φύσαις καὶ ταῖς ἐρυγαῖς ὁ ἄνθρωπος, ὑποχονδριακὸν μὲν ὀνομάσομεν οὕτως γε καὶ φυσῶδες τὸ νόσημα, συμπτώματα δὲ εἶναι φήσομεν αὐτοῦ, τήν τε δυσθυμίαν καὶ τὸν φόβον· ὅταν δὲ τὰ μὲν τῆς μελαγχολίας ἴδια συμπτώματα φαίνηται μεγάλα, κατὰ δὲ τὴν κοιλίαν ἤτοι μηδὲν, ἢ σμικρὰ, τὸν ἐγκέφαλον ἡγητέον ἐπὶ τούτων πρωτοπαθεῖν, ἠθροισμένης ἐν αὐτῷ μελαίνης χολῆς. ἐξ ὧν δὲ χρὴ διορίζεσθαι, πότερον ἐν αὐτῷ μόνῳ τῷ ἐγκεφάλῳ περιέχεται τοιοῦτός τις χυμὸς, ἢ καθ᾽ ὅλον ἐστὶ τὸ σῶμα, λέλεκται μικρὸν ἔμπροσθεν· ἀναμιμνήσκω δὲ τοὺς ἰδόντας ἑταίρους διά τε λουτρῶν πολλῶν καὶ διαίτης εὐχύμου τε καὶ ὑγρᾶς τὴν τοιαύτην μελαγχολίαν ἐκθεραπεύοντά με χωρὶς ἑτέρου βοηθήματος, ὅταν γε μήπω διά τε χρόνου μῆκος δυσεκκένωτος ᾖ ὁ λυπῶν χυμός· ὡς ὅταν γε ἤδη κεχρονικὸς ὑπάρχῃ τὸ νόσημα, μειζόνων ἑτέρων ἐπὶ

ipfius caufa eft. Itaque fi circa ventriculum prima inceperint fymptomata, ipfisque auctis melancholicae fequantur affectiones, deinde alvi dejectionibus, vomitibus et flatibus per inferiora emiffis, ructibusque levetur homo, hypochondriacum flatulentumque morbum ipfum nominabimus, fymptomata vero ipfius effe dicemus moeftitiam et metum; quum autem propria melancholiae fymptomata magna videntur, circa ventriculum vero aut nulla aut parva, his exiftimandum primitivam in cerebro affectionem confiftere, ob atram bilem in ipfo congeftam. Caeterum quibus fignis discernatur, utrum in folo ipfo cerebro, an in univerfo corpore hujuscemodi humor contineatur, paulo ante dictum eft; moneo autem amicos, qui me curantem viderunt frequentibus balneis, victuque humido bonique fucci, nullo alio adhibito praefidio, hujusmodi morbum, ubi nondum ob longum temporis tractum noxius humor multum vacuationi refifteret; quum enim diuturnus jam factus eft morbus, majora prae-

Ed. Chart. VII. [443.] Ed. Baſ. III. (279.)
τοῖς εἰρημένοις δεῖται βοηθημάτων. ἐπιγίνεται δὲ ἡ τοιαύτη μελαγχολία προηγησαμέναις θερμαῖς διαθέσεσι τῆς κεφαλῆς, ἤτοι γε ἐξ ἐγκαύσεως, ἢ φλεγμονώδους ἐν αὐτῇ γενομένου πάθους, ἢ καὶ φρενίτιδος· ἐπιγίγνεται δὲ καὶ φροντίσι καὶ λύπαις μετ' ἀγρυπνιῶν. περὶ μὲν οὖν μελαγχολίας ἱκανὰ καὶ ταῦτα.

Κεφ. ια'. Περὶ δὲ τῶν ἐπιληπτικῶν παθῶν, ἐπειδὴ καὶ ταῦτα γίνεται ποτὲ μὲν αὐτῆς τῆς κεφαλῆς πασχούσης, ποτὲ δὲ ἄλλοις συμπασχούσης, διοριστέον ἐπιμελῶς· ἠμέληται γὰρ ἅπασι σχεδὸν τοῖς ἰατροῖς, ὥσπερ ὁ τῶν τριῶν μελαγχολιῶν διορισμὸς, οὕτως καὶ ὁ τῶν ἐπιληψιῶν, τρεῖς ἐχουσῶν διαφοράς. ἁπασῶν μὲν οὖν αὐτῶν κοινόν ἐστι παθεῖν τὸν ἐγκέφαλον, ἤτοι ἐν αὐτῷ τοῦ πάθους συστάντος, ὡς τοῖς πλείστοις γίγνεται τῶν ἐπιλήπτων, ἢ ἀπὸ τοῦ τῆς γαστρὸς στόματος, ὃ δὴ καὶ στόμαχον εἰώθασι καλεῖν οἱ ἰατροὶ, κατὰ συμπάθειαν ἀνιόντος ἐπὶ τὸν ἐγκέφαλον, ἀνάλογον τοῖς γινομένοις συμπτώμασιν περὶ τοὺς ὀφθαλμοὺς ἀπὸ τοῦ στομάχου παραπλησίως τοῖς ὑποχεομένοις· ἐν δὲ τῷ

dictis oportet adhibere remedia. Succedit autem hujusmodi melancholia iis, qui praeceſſerunt, calidis capitis affectibus aut ob aeſtum aut phlegmonoſum in ipſo factum morbum, aut etiam phrenitidem; ſuccedit vero et ſollicitudini et moeſtitiae cum vigiliis. Verum ſatis fuerit haec de melancholia dixiſſe.

Cap. XI. At de epilepticis affectibus deinceps, quandoquidem hi quoque interdum ipſo capite affecto, interdum aliis conſentiente, ortum habent, accurate diſtinguendum eſt. Ut enim triplicem melancholiam, ita epilepſiam quoque tres ſortitam differentias, omnes prope medici diſtinguere neglexerunt. Omnibus itaque commune eſt, cerebrum affici, vel conſiſtente in ipſo affectu, quod plurimis epilepticis accidit; aut a ventriculi ore, quod ſtomachum vocare ſolent medici, ad cerebrum per conſenſum ascendente, quod genus proportione reſpondet ſymptomatis, quae oculis a ſtomacho adveniunt, veluti in ſuffuſionibus. Fit etiam, ſed raro, tertia

Ed. Chart. VII. [443. 444.] Ed. Baf. III. (279.)

σπανίῳ γίγνεταί τι καὶ ἕτερον ἐπιληψίας εἴτε εἶδος, εἴτε γένος, εἴτε διαφορὰν ἐθέλεις ὀνομάζειν, ἀπὸ μορίου τινὸς οὗ ἔτυχεν ἀρχομένου τοῦ πάθους, εἶτ' αἰσθητῶς αὐτῷ τῷ κάμνοντι τὴν ἄνοδον ἐπὶ τὴν κεφαλὴν ποιουμένου. καὶ τοῦτ' ἐθεασάμην ἐπὶ πρώτου μὲν παιδὸς ὡς ἐτῶν τρισκαίδεκα, μειράκιον ὢν αὐτὸς, ἅμα τοῖς ἀρίστοις ἰατροῖς τοῖς παρ' ἡμῖν συνελθοῦσιν ἐπὶ τὴν τῆς θεραπείας αὐτοῦ σκέψιν. [444] ἤκουον οὖν τοῦ παιδὸς διηγουμένου τὴν ἀρχὴν τῆς διαθέσεως αὐτῷ κατὰ τὴν κνήμην γίνεσθαι, κἄπειτ' ἐντεῦθεν ἀνιέναι κατ' εὐθὺ διά τε τοῦ μηροῦ καὶ τῆς ὑπερκειμένης λαγόνος τε καὶ πλευρᾶς, ἐπὶ τὸν τράχηλον ἄχρι τῆς κεφαλῆς, ἐπειδὰν δὲ πρῶτον ἐκείνης ψαύσῃ, μηκέτι παρακολουθεῖν ἑαυτῷ. τὴν μέντοι ποιότητα τοῦ φερομένου πρὸς τὴν κεφαλὴν ἐρωτώμενος ὑπὸ τῶν ἰατρῶν ὁποία τις εἴη, λέγειν οὐκ εἶχεν ὁ παῖς· ἀλλ' ἕτερός γέ τις ἐκείνου νεανίσκος, οὐκ ἄφρων, ἀλλ' ἱκανῶς αἰσθάνεσθαι τοῦ γιγνομένου δυνάμενος, ἑρμηνεῦσαι θ' ἑτέρου δυνατώτερος, οἷον αὔραν τινὰ ψυχρὰν ἔφασκεν εἶναι τὴν ἀνερχομένην. ἐδόκει δὴ τῷ διδασκάλῳ Πέλοπι δυοῖν θάτερον, ἤτοι ποιότης ἀναδίδοσθαι ἀλλοιουμένων τῶν μορίων

morbi comitialis five fpeciem, five genus, five differentiam nominare velis, quum a parte aliqua qualibet incipit affectus, qui deinde fentiente aegro ad cerebrum ufque ascendit. Atque hoc primum vidi in puero, qui decimumtertium fere aetatis annum agebat, quum adolescens effem, cum optimis ejus tempeftatis medicis, qui convenerant ad ipfius curationem. Audivi igitur tum narrantem puerum, affectionis initium in tibia fibi fieri, mox illinc recta ascendere per femur et illi fuperpofita ilia ac latera, ad cervicem et caput usque; quod ubi primum attigiffet, fe non amplius fibi conftare. Interrogatus tamen a medicis, quale effet id, quod ferebatur ad caput, nihil habuit puer, quod refponderet. Sed alius quidam ab hoc adolescens compos mentis, quique fatis poterat et fentire quod fiebat et altero difertius enarrare, dicebat veluti frigidam quandam auram effe id quod ascendebat. Unde ex duobus alterum Pelopi praeceptori placebat; aut qualitatem quandam, alteratis per continuationem

κατὰ τὸ συνεχὲς, ἢ πνευματική τις οὐσία. θαυμαστὸν δὲ οὐδὲν ἔφασκεν, δύναμιν ἰσχυρὰν ἴσχειν τὸν ἐν τῷ πάσχοντι μορίῳ γεννηθέντα παρὰ φύσιν χυμὸν, ὁποῖοι τοῖς πονηροῖς θηρίοις εἰσὶν οἱ ἰοί. τίς γὰρ οὐκ ἂν ἠπίστησεν, εἰ μὴ πολλάκις ἑωρῶμεν αὐτὸ γιγνόμενον, ἐπί τε τῶν σκορπίων ἐγχριμψάντων τῷ κέντρῳ, καὶ φαλαγγίων μικροτάτων δακνόντων, μεγάλην καὶ ἐξαίσιόν τινα μεταβολὴν ἴσχειν ὅλον τὸ σῶμα, καίτοι βραχυτάτης οὐσίας εἰς αὐτὸ καταβαλλομένης ὑπὸ τῶν θηρίων; ἐπὶ μὲν οὖν τοῦ δάκνοντος φαλαγγίου, κἂν εἰ μικρὸν εἴη τὸ ζῶον, ὅμως δ᾽ οὖν ἐπινοεῖν ἡμᾶς ἰόν τινα διὰ τοῦ στόματος αὐτοῦ καθιέναι τῷ δηχθέντι σώματι. τὸ δὲ τῆς θαλαττίας τρυγόνος κέντρον, ὥσπερ καὶ τὸ τοῦ χερσαίου σκορπίου, φαίνεται σαφῶς εἰς ὀξύτατον πέρας τελευτῶν, ὃ μηδὲν ἔχει κατὰ τὸ πέρας τρῆμα, δι᾽ οὗ προΐησι τὸν ἰόν· ἀλλ᾽ ὅμως ἀναγκαῖον ἐννοεῖν ἡμᾶς εἶναί τινα οὐσίαν ἤτοι πνευματικὴν, ἢ ὑγρὰν, ἥ τις ὄγκῳ μέν ἐστιν ἐλαχίστη, μεγίστη δὲ τῇ δυνάμει. πεπληγὼς γοῦν τις ἔναγχος ὑπὸ σκορπίου χαλάζαις ἔφη δοκεῖν βάλλεσθαι, καὶ ἦν ὅλος ψυχρὸς,

partibus, aut fpiritalem fubftantiam transmitti. Neque mirandum effe dicebat, validam vim effe humori, qui in affecta parte praeter naturam genitus fuiffet, qualis perniciofarum ferarum venenis ineft. Quis enim crederet, nifi faepe id fieri videremus, vel a fcorpionibus infixo aculeo, vel a phalangiorum parvorum morfibus, totum corpus ingenti et inufitata mutatione affici, minimam licet quandam fubftantiam feris in ipfum demittentibus? Quum itaque phalangium aliquem momordit, quamvis parvum fit animal, exiftimare nos *debemus* venenum ex ipfius ore in morfum corpus defcendiffe. Porro paftinacae marinae, quemadmodum et terreni fcorpionis, aculeus, in partem extremam acutiffimam manifefte finitur, ubi nullum foramen eft, per quod venenum dejiciat; neceffe tamen eft, ut cogitemus fubftantiam quandam effe aut fpiritalem, aut humidam, quae mole minima, facultate maxima fit. Etenim nuper ictus quidam a fcorpione, videbatur fibi, ut ajebat, grandine percuti, eratque totus frigidus, cum fudore etiam frigido, tandemque

ἱδρου τε ψυχρὸν, ἐσώθη τε μόγις βοηθούμενος. οὔκουν ἀδύνατον ἔφασκεν ὁ Πέλοψ εἶναι καὶ κατὰ τὸ σῶμα τοιαύτην τινὰ οὐσίαν γεννηθῆναι χωρὶς τῆς ἔξωθεν αἰτίας, καὶ ταύτην ὅταν ἐν νευρώδει μορίῳ τὴν σύστασιν σχῇ, κατὰ τὸ συνεχὲς εἰς τὴν ἀρχὴν τῶν νεύρων ἀναπέμπειν τὴν δύναμιν, ἤτοι κατ' ἀλλοίωσιν, ὡς ἔφην, ἢ καί τινος οὐσίας πνευματικῆς ἀναφερομένης, ὥσπερ αὔρας. καὶ γάρ τοι καὶ φαίνονται πολλάκις ἐναργῶς, ὅταν ὁ σκορπίος ἐναπερείσηται τὸ κέντρον εἰς νεῦρον, ἢ ἀρτηρίαν, ἢ φλέβα, σφοδροτάτοις συμπτώμασιν οἱ πληγέντες οὕτως ἁλισκόμενοι. τὸ μὲν οὖν τοῦ σκορπίου κέντρον ἐγχωρεῖ καὶ μέχρι βάθους τοῦ σώματος ἐξικνεῖσθαι, διεξελθὸν ὅλον τὸ δέρμα, τὸ δὲ τῶν μικρῶν φαλαγγίων δῆγμα περὶ τὴν ἐπιφάνειαν μόνην γίνεται τοῦ δέρματος· ὥστε δῆλον ἐκ τοῦδε, καὶ διὰ τοῦ δέρματος ἐνίοτε μόνου τὴν δύναμιν τοῦ ἰοῦ φέρεσθαι πρὸς ὅλον τὸ σῶμα. συνεχές τε γὰρ αὐτῷ τὸ δέρμα πᾶν ὑπάρχει καὶ νευρῶδες· οὔκουν οὐδαμῶς ἀδύνατον εἰς ὅλον αὐτὸ διαδιδομένην ἐν τάχει τὴν ἐκ τοῦ καταβληθέντος ἰοῦ δύναμιν, ἐξ αὐτοῦ πάλιν τοῦδε κατὰ τὴν αὐτοῦ ψαῦσιν, εἰς ἕκαστον τῶν ὑποκειμένων αὐτῷ

adjutus remediis vix ſervatus eſt. Itaque Pelops non impoſſibile eſſe dicebat, in corpore ſimilem aliquam ſubſtantiam generari citra cauſam externam, quae ubi nervoſam aliquam partem occupaſſet, per continuas partes usque ad nervorum principium vim ſuam transmitteret, ſive per alterationem, ut ipſe dicebam, ſive ſpiritali eſſentia veluti aura ad ipſum elata; ſaepenumero enim inſigente aculeum ſcorpione, aut in nervum, aut arteriam, aut venam, manifeſte videmus ita percuſſos vehementiſſimis infeſtari ſymptomatis. Atqui ſcorpionis quidem aculeus totam cutem penetrando ad profundum usque poteſt pervenire; phalangiorum vero parvorum morſus ſolam afficit cutis ſuperficiem; unde conſtat, interdum per ſolam cutem veneni vim ad totum corpus deferri. Nam tota cutis ſibi ipſi continua eſt et nervoſa; proinde haudquaquam impoſſibile eſt, per totam ipſam celeriter diſtributam immiſſi veneni vim, inde ex eadem rurſus ipſius contactu in ſingulas ſubjectarum partium

μεταλαμβάνεσθαι, πάλιν τε ἐξ ἐκείνων εἰς ἄλλα κατὰ συνέχειαν, εἶτ᾽ αὖθις ἐκ τῶν παθόντων εἰς ἄλλα, κἀπειδὰν ἐπί τι τῶν κυρίων μορίων ἀφίκηται, κινδυνεύειν ἀπολέσθαι τὸν ἄνθρωπον. ἐνάγουσι δ᾽ εἰς τοῦτο μάλιστα μὲν καὶ οἱ τοῖς ὑπερκειμένοις μέρεσι δεσμοὶ προσφερόμενοι, φανερωτάτην ὠφέλειαν ἐνδεικνύμενοι. καὶ [445] γὰρ ἐπὶ τῶν ἐχιδνῶν ἐπειράθημεν τούτου καὶ τῶν σκορπίων, ἤδη δὲ καὶ ἀσπίδων, ᾧ καὶ μάλιστα ἄν τις ἠπίστησεν διὰ τὸν ἐπικείμενον αὐτίκα θάνατον. ἀλλ᾽ ὅμως ἐπὶ τῆς Ἀλεξανδρείας ὄντος μου, δηχθείς τις ἄγροικος οὐ πόῤῥω τῆς πόλεως ἕνα τῶν κατὰ τὴν χεῖρα δακ(280)τύλων, ἔδησέ τε δεσμῷ σφοδροτάτῳ τὴν πρὸς τῷ μετακαρπίῳ ῥίζαν αὐτοῦ, καὶ δραμὼν ἐπὶ τὴν πόλιν πρὸς ἰατρὸν συνήθη, παρέσχεν ἀποτεμεῖν ὅλον τὸν δάκτυλον ἀπὸ τῆς εἰς τὸ μετακάρπιον διαρθρώσεως, ἐλπίζων ἐκ τούτου μηδὲν πείσεσθαι· καὶ μέντοι γε καὶ προὐχώρησεν αὐτῷ κατὰ τὴν ἐλπίδα, διεσώθη γὰρ οὐδὲν ἄλλο πραγματευόμενος ἔτι. καθάπερ ἕτερον οἶδα πιόντα τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου, μετὰ τοῦ τὸν δάκτυλον ἀποτεμεῖν, ὑγιασθέντα· καὶ μέντοι γε

recipi; mox ex illis in alias continuas, atque iterum ex iis, quae afficiuntur, in alias; quumque ad principum partium aliquam pervenerit, tum mortis periculum homini inftare. Ad hanc rem in primis conferunt vincula fuperioribus partibus injecta, a quibus praefentaneum praefidium percipitur. Etenim in viperarum fcorpionumque ictibus haec expertus fum, item afpidum quoque, quod propter imminens fubitariae mortis periculum, magis incredibile eft. Attamen quum Alexandriae effem, rufticus quidam non longe ab urbe in uno manus digitorum ictus, ejus radicem in poftbrachiali validiffimo vinculo ligavit, accurrensque in urbem ad familiarem fibi medicum, totum digitum ab ipfa dearticulatione, quae ad poftbrachiale eft, abfcindendum praebuit, fperans inde nihil fe paffurum; neque fane fruftratus eft fua fpe, quippe nihil aliud faciens falvus evafit. Similiter alium novi, qui epoto ex viperis medicamento, refciffo prius digito, a periculo liberatus eft. Vidi praeterea alterum rufticum, cujus

καὶ ἄλλον ἐθεασάμην ἄγροικον, ὅλον τὸν δάκτυλον ὑπὸ ἐχίδνης δηχθέντα, δρεπάνῳ μὲν, ὃ τότ᾽ εἶχεν, ἦν γὰρ ἀμπελουργὸς, ἀπὸ τῆς ὑστάτης διαρθρώσεως ἀποτεμόντα τὸ δεδηγμένον μέρος, ἄνευ δὲ πόσεως φαρμάκου διασωθέντα, τοῦ δακτύλου κατουλωθέντος ὑπὸ τῶν συνηθῶν φαρμάκων. ἀλλὰ καὶ τὸν ἀπὸ τῆς κνήμης ἐπίληπτον παῖδα θεραπεύειν ἐπιχειρήσαντες οἱ τότε συναθροισθέντες εἰς τὴν σκέψιν ἰατροὶ, δόξαν αὐτοῖς προκαθήραντας ὅλον τὸ σῶμα προσενεγκεῖν τῷ μέρει τὸ διὰ τῆς θαψίας ἢ νάπυος φάρμακον, ἐν τῷ μεταξὺ δήσαντες τὸ κῶλον ἀνωτέρω τοῦ πρωτοπαθοῦντος μορίου, διεκώλυσαν γενέσθαι τὸν παροξυσμὸν, καίτοι καὶ καθ᾽ ἑκάστην ἡμέραν γινόμενον. ἀλλὰ ταῦτα μὲν ἐκ περιουσίας εἰρήσθω μοι τοῦ μὴ θαυμάζειν ἕνεκα, ὅπως ἀπὸ μορίου τινὸς ἀκύρου γένεσιν ἴσχει τηλικοῦτον πάθος· ὑπολείπεται δ᾽ ἔτι ζητῆσαι τὴν αἰτίαν τῶν ἐπὶ ταῖς τοιαύταις συμπαθείαις γιγνομένων ἐπιληπτικῶν σπασμῶν· οὐδὲ γὰρ ὁ Πέλοψ εἰς τοῦτο πιθανὸν οὐδὲν εἶπεν, ὥσπερ οὐδ᾽ ἄλλος οὐδεὶς ὧν ἐκοινωνήσαμεν. ἐμοὶ γοῦν θεασαμένῳ ποτὲ τὴν ἐπὶ τῇ τοιαύτῃ συμπαθείᾳ κατάπτωσιν

totum digitum vipera momorderat, qui falce, quam tunc forte habebat, erat enim vinitor, ab ultimo articulo icta parte refecta, deinde inducta ufitatis medicamentis digito cicatrice, nullo epoto medicamento fanatus eft. Sed puerum quoque, cujus morbus comitialis a tibia oriebatur, medici, qui tunc ad curationem ejus convenerant, fanare aggreffi, cum vifum ipfis effet vacuato prius univerfo corpore, medicamentum ex thapfia, aut finapi, parti adhibere, ligato interea membro fupra eam partem, quae primario affectu erat obfeffa, acceffionem reverti prohibuerunt, quamvis quotidie accederet. Verum haec mihi ex abundanti dicta fint, ne quis miretur, quo pacto ab ignobili aliqua parte tantus morbus ortum habeat. Supereft, ut caufam inveftigemus, quamobrem in hujusmodi per confenfum affectionibus epilepticae fiant convulfiones; nam ne Pelops quidem ullam hujus rei attulit probabilem rationem, ut neque alius quisquam, cum quo nobis aliqua fuerit confuetudo. Mihi itaque per hujusmodi confenfum videnti aliquando hominem

τοῦ κάμνοντος ἀνθρώπου χωρὶς σπασμῶν σφοδρῶν γιγνομένην, ἐν βραχείαις κατὰ διαλείμματα παλμώδεσι κινήσεσι, πιθανὸν ἐφαίνετο γίγνεσθαί τι τοιοῦτον, οἷον ὁρᾶται συνεχέστατα καὶ ἐπὶ τοῦ στομάχου συμβαῖνον ἐν τοῖς λυγμοῖς. ἐγὼ γοῦν αὐτὸς, ὅταν ποτὲ πεπέρεως προσενέγκωμαι πλέον, εὐθέως λύζω, καὶ ἄλλοις δέ τισιν οὐκ ὀλίγοις εἶδον τοῦτο συμβαῖνον, οἷς αἰσθητικὸν ἱκανῶς ἦν τὸ τῆς γαστρὸς στόμα· προείρηται δ᾽ ὅτι καὶ τοῦτο συνήθως ὀνομάζουσιν οὐχ οἱ ἰατροὶ μόνον, ἀλλὰ καὶ πάντες ἄνθρωποι στόμαχον· εἶδον γοῦν ἐν τῇ καταπτώσει τῶν κατὰ συμπάθειαν, οὐκ ἰδιοπάθειαν ἐγκεφάλου πασχόντων ἐπιλήπτων οἷον παλμώδη τινὰ κλόνον ἐκ διαστημάτων γιγνόμενον, οὐ συνεχῆ σπασμὸν, ὥστέ με τεκμαίρεσθαι παραπλησίαν τινὰ κίνησιν γίγνεσθαι κατὰ τὸν ἐγκέφαλον τῇ κατὰ τὸν στόμαχον ἐπὶ τοῖς ἀνιῶσιν αὐτὸν ἐνίοτε συμπιπτούσῃ. καὶ γὰρ ἐπὶ τροφῆς πλήθει βαρυνόμενος, ὥσπερ οὖν καὶ δακνόμενος ἐπὶ ταῖς διαφθοραῖς αὐτῆς, φαίνεται λύζων· καὶ διὰ δριμύν τε χυμὸν, οὐ μόνον λυγμὸν, ἀλλὰ καὶ σπασμὸν εἶδον οὐκ ὀλιγάκις ὅλῳ τῷ σώματι γιγνό-

laborantem fine vehementi convulfione concidere, cum brevibus per intervalla palpitantibus motibus, probabile vifum eft, tale quippiam fieri, quale frequentiffime fieri cernimus in ftomachi fingultibus. Atque ego ipfe fingultum illico patior, fi quando piperis plusculum ingefferim; idque aliis quibusdam non paucis, quibus exquifitus erat oris ventriculi fenfus, accidiffe vidimus; jam autem fupra memoratum eft id non folum medicis, verum etiam univerfis hominibus ftomachum appellari. Itaque vidi quum cecidiffent qui non ex propria cerebri affectione, fed per confenfum comitiali morbo laborabant, non perpetuam convulfionem, fed veluti palpitantem per intervalla concuffionem fieri; proinde exiftimavi fimilem aliquem cerebro motum evenire, qualis ftomacho interdum a re quapiam oblaedente accidit. Etenim quum a ciborum plenitudine gravatur et ab eorum corruptionibus lancinatur, tum fingultu affici confpicitur, atque acrem quoque humorem, non fingultum modo, verum etiam convulfionem, per univerfum corpus efficere faepenumero

μενον· ἐμεθέντος δὲ τοῦ δάκνοντος, εὐθέως ἐπαύσατο. θαυμαστὸν οὖν οὐδέν ἐστιν, καὶ τὴν ἀρχὴν τῶν νεύρων εἰς τοιαύτην κίνησιν ἀχθῆναι, διώσασθαι σπεύδουσαν ὅ τι περ ἂν ᾖ τὸ ἐπ' αὐτὴν ἀπὸ τοῦ πρωτοπαθοῦντος μέρους ἀναφερόμενον· οὕτω δέ μοι δοκεῖ καὶ τἄλλα [446] πάντα τὰ κλονοῦντα τὸ νευρῶδες γένος ἐπιγίνεσθαι συμπτώματα, τὰ δὲ εἰς κατάπτωσιν ἀναίσθητον ἄγοντα χωρὶς κινήσεως σπασμώδους, ἢ παλμώδους, ἐπὶ καταψύξει γίγνεσθαι σφοδρᾷ· τούτου δὲ γένους ἐστὶ καὶ ὁ λήθαργος. ἡ δὲ ἀποπληξία διὰ τὴν ἐξαίφνης γένεσιν ἐνδείκνυται ψυχρὸν χυμὸν, ἢ παχὺν, ἢ γλίσχρον ἀθρόως πληροῦντα τὰς κυριωτέρας τῶν κατὰ τὸν ἐγκέφαλον κοιλιῶν, οὐ κατὰ δυσκρασίαν ὅλης τῆς οὐσίας αὐτοῦ γίνεσθαι, καθάπερ ὅ τε λήθαργος καὶ ἡ φρενῖτις, αἵ τε μανίαι καὶ αἱ μελαγχολίαι καὶ αἱ μωρώσεις, ἀπώλειαί τε τῆς μνήμης, ἀμυδρότης τε τῶν αἰσθήσεων, καὶ τῶν κινήσεων ἐκλύσεις. ἐπὶ δ' οὖν ἁπάντων τῶν τοιούτων παθῶν, ὁποῖόν ἐστι καὶ τὸ τῆς ἀποπληξίας, τὸ μέγεθος τοῦ κινδύνου τεκμαίρου τῷ μεγέθει τῆς κατὰ τὴν ἀναπνοὴν βλάβης. ὥσπερ γὰρ ἐπὶ τῶν κοιμωμένων ἡ ἀναπνοὴ γίνεται, καίτοι μηδεμίαν

obſervavi; deinde vomitu ejecto eo, quod mordebat, illico quievit. Nihil igitur mirandum eſt, ſi nervorum principium hujuscemodi motu concutiatur, ut a ſe expellat quicquid fuerit id, quod a parte primo affecta ad ipſum effertur. Ad hunc modum reliqua quoque ſymptomata, quibus nervoſum genus concutitur, fieri puto; ea vero, in quibus deperdito ſenſu quis concidit citra motum convulſivum vel palpitantem, a vehementi frigore ortum trahere, cujus generis eſt lethargus. Apoplexia autem quod ſubito eveniat, frigidum humorem indicat, aut craſſum, aut viscidum, qui principaliores cerebri ventriculos affatim implet, non totius ſubſtantiae intemperiem ſibi cauſam eſſe, veluti lethargo, phrenitidi, maniae, melancholiae, ſtultitiae, amiſſae memoriae, ſenſuum hebetationi, reſoluto motui. Porro in omnibus hujuscemodi affectibus, qualis eſt apoplexia, periculi magnitudinem ex reſpirationis laeſione conjice. Quemadmodum enim dormientes reſpirant, quamvis nulla alia accidente vo-

ἄλλην ἐνέργειαν ἐνεργούντων τῶν προαιρετικῶν, ἀλλ' ὑπτίων ἐπὶ τῆς κλίνης ἀκινήτων ἀνακειμένων, οὕτως κἂν τοῖς καρώδεσι πάθεσιν ἅπασι μήτ' αἰσθανομένου μήτε κινουμένου τοῦ σώματος, ὅμως ἡ ἀναπνοὴ μόνη διασώζεται, τῶν κινούντων τὸν θώρακα μυῶν ἔργον οὖσα· τούτου γὰρ ἐπιστήμην ἔχομεν βεβαίαν ἀποδεικτικῷ νόμῳ γεγονυῖαν, ὥσπέρ γε καὶ ὅτι τοῖς μυσὶν ἅπασιν ἡ ἀρχὴ τῆς κινήσεως ἀπὸ τῶν ἐμφυομένων αὐτοῖς γίνεται νεύρων· ἡ δὲ ἀνατομὴ σαφῶς ἡμᾶς ἐδίδαξεν, ἁπάντων τῶν νεύρων εἶναι τὴν πρώτην ἀρχὴν τὸν ἐγκέφαλον. οὐχ ἁπλῶς δ' εἶπον ἀρχὴν, ἀλλὰ πρώτην τῷ λόγῳ προσέθηκα, διὰ τὸν νωτιαῖον· ὁρᾶται μὲν γὰρ ἐκφυόμενα τούτου νεῦρα πάμπολλα, τὴν χορηγίαν δ' ὧν ἔχει δυνάμεων, αὐτὸς ὁ ἐγκέφαλος ἐπιπέμπει καὶ τῷ νωτιαίῳ. τὴν τοίνυν ἀναπνοὴν ὅταν ἱκανῶς ἐμποδιζομένην ἴδῃς καὶ μόγις γινομένην, οὐ μικρὰν τεκμαίρου τὴν νοσώδη διάθεσιν ἐν ἐγκεφάλῳ γεγονέναι, κατὰ πάσας τὰς καρώδεις νόσους.

Κεφ. ιβ'. Ταῦτά τε οὖν ἅπαντα σαφῶς τὰ πάθη περὶ τὴν κεφαλὴν γίνεται, καὶ προσέτι τὸ καλούμενον σκοτωμα-

luntaria actione, fed fupini in cubili jacentes, ita in foporofis affectibus omnibus, quamvis neque fentiat corpus neque moveatur, tamen fola refpiratio fervatur, quae musculorum pectus moventium munus eft; cujus rei firmam ac demonftrativa lege ftabilitam habemus fcientiam, quemadmodum etiam, quod musculis omnibus motus principium ab infertis ipfis nervis accedit; at ex anatome didicimus, nervos omnes a cerebro primarium fumere initium; neque vero fimpliciter initium dixi, fed primarium fpinalis medullae gratia orationi adjeci; permulti enim ex ea nervi prodire videntur, vim tamen omnem, quam habet, cerebrum etiam ipfi fuppeditat. Quum itaque respirationem vehementer impeditam difficulterque procedentem videris, non parvam in cerebro morbofam affectionem effe conjice, in omnibus foporiferis morbis.

Cap. XII. Omnes igitur hi affectus manifefte fiunt in capite, ac praeterea vertigo tenebricofa nuncupata, quae

τικὸν, εὔδηλον ὂν κἀξ αὐτῆς τῆς προσηγορίας, ὁποῖόν ἐστι. σκοτοῦνται γὰρ ἐπὶ σμικραῖς προφάσεσιν οἱ πάσχοντες, ὡς καὶ καταπίπτειν ἐνίοτε, μάλιστα μὲν ὅταν αὐτοί ποτε ἐν κύκλῳ περιστραφῶσιν· ὅπερ γὰρ τοῖς ἄλλοις ἐπὶ πολλαῖς περιστροφαῖς συμβαίνει, τοῦτο ἐκείνοις ἐπὶ μιᾶς. κἂν ἕτερον δέ τινα περιστρεφόμενον ἴδωσι, σκοτοῦνται, κἂν τροχὸν, ἤ τι τοιοῦτον περιδινούμενον, αὐτάς τε τὰς καλουμένας δίνας ἐν τοῖς ποταμοῖς. συμβαίνει δ᾽ αὐτοῖς ταῦτα μᾶλλον, ὅταν ἡλιωθῶσιν, ἤ πως ἄλλως θερμανθῶσι τὴν κεφαλήν. ἔοικεν οὖν ὅπερ ἐν τοῖς ἄλλοις ἐκ τοῦ περιστραφῆναι πολλάκις ἐν κύκλῳ συμβαίνει, τοῦτο ἐκείνοις ἄνευ τοῦ περιστραφῆναι γίγνεσθαι· τοῖς δὲ περιστρεφομένοις πολλάκις ἐν κύκλῳ ἀνώμαλός τε καὶ ταραχώδης καὶ ἄτακτος κίνησις τῶν τε χυμῶν καὶ τοῦ πνεύματος ὡμολόγηται γίγνεσθαι· εὔλογον οὖν τοῖς ἐν τῷ σκοτωματικῷ πάθει καθεστῶσι τοιοῦτόν τι συμβαίνειν. διὸ καί τινες αὐτῶν ἀρτηριοτμηθέντες ὤνηντο, διαιρουμένων δηλονότι τῶν ὀπίσω τῶν ὤτων ἀρτηριῶν ὅλων ἄχρι βάθους, ὡς οὐλὴν μεταξὺ γενέσθαι τῶν δύο μερῶν.

qualis fit etiam ipfa appellatione prodit. Nam a parva occafione obtenebrantur laborantes, adeo ut interdum decidant, maxime quum in orbem rotantur; quod enim caeteris a multis circumverfionibus, id illis ab una rotatione accidit. Quin etiam obtenebrantur, fi alium quempiam, aut rotam, aut id genus aliud quidpiam, aut ipfos quoque quos vocant in fluminibus vortices, circumagi viderint. Haec autem ipfis accidunt maxime, quum fub fole aeftuaverint, vel aliam ob caufam calefacto fuerint capite. Quod itaque aliis, quum in gyrum frequenter vertuntur, accidit, hoc ipfis citra circuitionem evenire videtur; at iis qui cerebro in orbem vertuntur, inaequalem et turbulentum et inordinatum motum tum humorum tum fpiritus fieri in confeffo eft; rationi igitur confonum eft, hujusmodi aliquid vertigine affectis itidem evenire. Quamobrem nonnulli horum ab arteriarum fectione praefidium petierunt, totas arterias pone aures ad tantam videlicet altitudinem fecantes, ut medius inter duas partes locus cicatrice inducere-

ὅτι δὲ οὐ πάντες ὑπὸ τοῦ βοηθήματος τοῦδε θεραπεύονται, δῆλόν ἐστιν· [447] ἕτεραι γὰρ ἀρτηρίαι τούτων πολὺ μείζους ἐπὶ τὸν ἐγκέφαλον ἀνέρχονται κατὰ τὴν βάσιν αὐτοῦ διὰ τοῦ καλουμένου δικτυοειδοῦς πλέγματος, ὑφ᾽ ὧν γίνεσθαι τὸ πάθος εὔλογόν ἐστιν, ἀτμώδους καὶ θερμοῦ πνεύματος δι᾽ αὐτῶν ἀναφερομένου καὶ πληροῦντος τὸν ἐγκέφαλον· ἐγχωρεῖ δὲ καὶ κατ᾽ αὐτὸν τὸν ἐγκέφαλον ἀνώμαλόν τινα δυσκρασίαν γενέσθαι τοιούτου πνεύματος γεννητικήν. ἀλλ᾽ ὅτι γε καὶ τοῦτο τῆς κεφαλῆς ἐστιν τὸ πάθος, ἐξ αὐτῆς τῶν ἐσκοτωμένων τῆς αἰσθήσεώς ἐστι δῆλον· γίγνεται δὲ καὶ αὐτὸ, ποτὲ μὲν πρωτοπαθούσης τῆς κεφαλῆς, ποτὲ δὲ συμπαθούσης κατὰ τὸ στόμα τῆς κοιλίας. ὡμολόγει δὲ τοῦτο καὶ ὁ Ἀρχιγένης ἐν τῷ πρώτῳ τῶν χρονίων παθογνωμονικῶν γράψας ὧδὶ περὶ τοῦ σκοτωματικοῦ τούτου πάθους. (281) λαμβάνει δὲ τὴν κατασκευὴν διχόθεν καὶ αὐτὸ, ἤτοι ἀπὸ κεφαλῆς ἢ καὶ τῶν κατὰ τὰ ὑποχόνδρια χωρίων. καὶ μέντοι καὶ διορίζειν αὐτὰ πειρᾶται, τοῖς μὲν ἀπὸ τῆς κεφαλῆς πρωτοπαθούσης σκοτωματικοῖς ὤτων ἤχους καὶ κεφαλῆς ὀδύνας καὶ βάρη προηγεῖσθαι λέγων, ἢ καὶ τῆς

tur. Sed conſtat non omnes hujus auxilii beneficio curari; etenim aliae arteriae iis majores ad cerebrum ex ipſius baſi per retiformem plexum ascendunt, per quas hujusmodi affectionem fieri rationi conſentaneum eſt, elato per ipſas vaporoſo calidoque ſpiritu, atque implente cerebrum; fieri etiam poteſt, ut inaequalis cerebri intemperies hujusmodi ſpiritum producat. Sed et hanc affectionem ad cerebrum pertinere, ex ipſo obtenebratorum ſenſu maniſeſtum eſt. Oritur vero et ipſa, interdum capite primigenio affectu laborante, interdum vero, quum ori ventriculi conſentit. Id vero fatebatur et Archigenes, qui libro primo de propriis diuturnarum affectionum ſignis, ita de tenebricoſo hoc affectu ſcribit: *Is vero quoque bifariam oritur, aut a capite, aut ab iis partibus quae circa hypochondria ſunt.* Mox haec genera ejus diſtinguere aggreditur. Nam ubi ex primaria cerebri affectione obtenebratio dependet, aurium ſonos et capitis dolores gravitatesque praecedere dicit, item olfa-

ὀσφρήσεως, ἤ τινος ἄλλης βλάβην αἰσθήσεως τῶν ἐντεῦθεν· αὐτὸς γὰρ προσέθηκεν τούτῳ τῷ λόγῳ, τῶν ἐντεῦθεν, τὰς ἀπὸ τῆς κεφαλῆς ὁρμωμένας ἐμοὶ δοκεῖν ἐνδείξασθαι βουλόμενος· τοῖς δὲ ἀπὸ τοῦ στόματος τῆς κοιλίας σκοτωματικοῖς καρδιωγμοὺς καὶ ναυτίας προηγεῖσθαί φησιν. ἀλλ' ὡς εἴρηταί μοι καὶ πρόσθεν ἤδη πολλάκις, εἰ καὶ κατὰ συμπάθειαν ἑτέρου μορίου πάσχοι ποθ' ἡ κεφαλὴ, τὰ γινόμενα γοῦν πάθη ταύτης εἶναι νομιστέον ἐστίν.

Κεφ. ιγ'. Οὐ μὴν οὐδὲ περὶ τῆς ὀνομαζομένης ὑπὸ τῶν ἰατρῶν κεφαλαίας ἀμφισβητήσειεν ἄν τις, ὡς οὐκ ἂν εἴη τῆς κεφαλῆς τὸ νόσημα. ἔστι γὰρ, ὡς ἄν τις συλλαβὼν λόγῳ βραχεῖ εἴποι, τὸ πάθος τοῦτο κεφαλαλγία χρόνιός τε καὶ δύσλυτος, ἐπὶ μικραῖς προφάσεσιν μεγάλους ἴσχουσα παροξυσμοὺς, ὡς μήτε ψόφων ἀνέχεσθαι, μήτε φωνῆς σφοδροτέρας, μήτε λαμπροῦ φωτὸς, μήτε κινήσεως, ἀλλ' ἐν ἡσυχίᾳ καὶ σκότῳ κατακεῖσθαι βούλεσθαι διὰ τὸ μέγεθος τῶν ἀλγημάτων. ἔνιοι μὲν γὰρ αὐτῶν ὡς ὑπὸ σφυρᾶς πλήττεσθαι δοκοῦσιν, ἔνιοι δὲ ὡς θλωμένων ἢ διατεινομένων αἰσθάνον-

ctus, vel alterius alicujus fenfus inde prodeuntis oblaefionem; huic enim fermoni annexuit ipfe, inde prodeuntis, eos fenfus, ut equidem puto, fignificare volens, qui a capite initium fumunt; ubi vero ab ore ventriculi tenebricofa vertigo oritur, cordis morfionem naufeamque praefentiri ait. Verum ut jam antea faepenumero monui, licet caput per alterius partis confenfum quandoque afficiatur, affectio tamen nihilominus ipfi afcribenda eft.

Cap. XIII. At fane de ea, quae cephalaea a medicis nominatur, nemo dubitaverit, quin capitis fit morbus. Eft enim, ut brevi quis fermone complexus dixerit, affectus hic, dolor capitis diuturnus et folutu difficilis, qui a levibus caufis vehementes habet acceffiones, ut neque ftrepitum, neque vocem vehementiorem, neque luminis fplendorem, neque motum tolerare poffit *infirmus;* fed tranquillitatem, obfcurumque cubiculum quaerat, ob dolorum vehementiam. Enimvero nonnulli veluti malleo fe percuti arbitrantur, alii caput contundi diftendique fentiunt; non paucis ad oculo-

ται τῶν κατὰ τὴν κεφαλὴν, οὐκ ὀλίγοις δ' εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν διήκει τὸ ἄλγημα. καὶ μέντοι καὶ διαλείπουσιν οἱ τοιοῦτοι παροξυσμοὶ, καθάπερ καὶ τοῖς ἐπιλήπτοις, καί τις χρόνος γίνεται μεταξὺ τελέως ἄμεμπτος. εὔδηλον οὖν ὅτι τὸ νόσημα τοῦτο τὴν μὲν εὐπάθειαν ἔχει τῆς κεφαλῆς ὁμογενῆ τοῖς κεφαλαλγικοῖς, ἐπὶ μᾶλλον δ' ἐκείνων ἀσθενείας ἥκει τὰ κατὰ τὴν κεφαλαίαν πάσχοντα μόρια. διαφορὰ δέ τίς ἐστιν καὶ αὐτῶν τῶν κεφαλαλγικῶν, ἐνίων μὲν τὴν κεφαλὴν εὐπλήρωτον ἐχόντων, ἐπιτήδειον δὲ τὴν ὅλην τοῦ σώματος ἕξιν εἰς τὸ πληροῦν αὐτὴν, ἐνίων δὲ καὶ αὐτὰ τὰ πεφυκότα πάσχειν ἐπιτήδεια· καὶ συμβαίνει γε ταῖς τοιαύταις φύσεσιν κακῶς διαιτωμέναις εἰς τὸ τῆς κεφαλαίας ἐμπίπτειν πάθος. [448] οὐκ ἀπεικὸς δὲ, τοῖς μέν τισιν αὐτῶν τὰς περὶ τὸν ἐγκέφαλον ὀδυνᾶσθαι μήνιγγας, ἐνίοις δὲ τὸ περικράνιον· ἡ διάκρισις δὲ αὐτῶν ἐν τῷ διήκειν, ἢ μὴ διήκειν τὰς ὀδύνας εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν. εὔλογον γὰρ οἷς ἡ διάθεσίς ἐστιν ἔνδον τοῦ κρανίου, τούτοις εἰς τὰς τῶν ὀφθαλμῶν βάσεις ἀφικνεῖσθαι τὸν πόνον, ἐπειδὴ καθήκουσιν εἰς αὐτὰς ἀποφύ-

rum quoque radices dolor extenditur. Atque hujusmodi etiam acceffiones, veluti in morbo comitiali, intermiffiones habent, interceditque tempus, quo perfecte liberari videntur. Igitur conftat hunc morbum facilem habere capitis affectum cephalalgiae congenerem, verum per cephalaeam affectae partes multo redduntur quam in cephalalgia debiliores. At quaedam eft et inter eos, qui dolore capitis afficiuntur, differentia, quum nonnulli caput habeant admodum plenitudini obnoxium, ac univerfum corporis habitum ipfi implendo idoneum, nonnulli et ipfius capitis partes affici folitas; hisque naturis vitiofo victu utentibns accidit in cephalaeam affectum proruere. Non abfurdum autem eft, horum quibusdam meningas cerebrum continentes doloribus affici, aliis exteriorem calvariae membranam. Discrimen autem in eo eft pofitum, quod ad oculorum radices dolores perveniant, aut non perveniant. Siquidem confentaneum eft, ut quibus intra calvariam affectus eft, iis ad oculorum usque bafin dolor extendatur, quod et a cerebro et ab utra-

Ed. Chart. VII. [448.] Ed. Baf. III. (281.)

σεις ἐξ ἐγκεφάλου τε καὶ ἀμφοτέρων τῶν μηνίγγων, ἔτι τε καὶ τῶν ἐν αὐταῖς ἀγγείων. ἀλλὰ καὶ τῶν ὀδυνωμένων τὸ τῆς κεφαλῆς ἥμισυ μέρος, καλουμένων δὲ συνήθως ἡμικρανικῶν, ἐνίοις μὲν ἔξωθεν τοῦ κρανίου τὴν αἴσθησιν τῆς ὀδύνης γίνεσθαι συμβαίνει, τισὶ δὲ εἰς τὸ βάθος τῆς κεφαλῆς διήκουσαν· διορίζει δ᾽ ἑκάτερον μέρος τῆς κεφαλῆς, ἀριστερόν τε καὶ δεξιὸν, ἡ κατὰ τὸ μῆκος ἐκτεταμένη ῥαφὴ, καθ᾽ ἣν ἔνδον τῶν ὀστῶν τῆς κεφαλῆς ἡ μέσον τὸν ἐγκέφαλον διαιροῦσα γραμμὴ τέτακται, πρὸς ἣν ἀνήκει τὸ διάφραγμα τῶν ἐμπροσθίων δυοῖν κοιλιῶν. ἐπιτήδειοι δὲ φύσεις σωμάτων εἰσὶν πληροῦν τὴν κεφαλὴν, ἐν αἷς ἀτμῶδες πνεῦμα γεννᾶται θερμὸν, ἢ χολώδη περιττώματα κατὰ τὸ στόμα τῆς κοιλίας ἀθροίζεται· γίγνεται δὲ τὰ μὲν ἀπὸ τῶν πνευμάτων ἀλγήματα τονώδη, καλεῖται δὲ οὕτως οἷς αἴσθησις συνέζευκται τάσεως· τὰ δ᾽ ἀπὸ τῶν χολωδῶν περιττωμάτων δακνώδη· τὰ δ᾽ ὑπὸ πλήθους γινόμενα βάρους αἴσθησιν ἔχει, μετὰ μὲν ἐρεύθους καὶ θερμασίας συμβάντα θερμῶν χυμῶν, ἄνευ δὲ τούτων οὐ θερμῶν. ἐνίοις δὲ συμβαίνει συνεχῶς ἀλγεῖν τὴν κεφαλὴν ἐκ

que meninge atque a vafis quae in ipfis continentur, veluti germina quaedam illuc deducantur. Sed et eorum quibus dimidia capitis pars dolore infeftatur, folent autem vocari hemicranici, alii extra calvariam, alii in capitis intimis partibus dolorem fentiunt; utramque autem capitis partem, dextram et finiftram, diftinguit futura per longitudinem ipfius porrecta, fub qua intra capitis offa linea medium cerebrum dividens protenditur, ad quam etiam pervenit anteriorum duorum ventriculorum feptum. Ac ea corpora fuapte natura idonea funt, ut ipfis caput impleatur, in quibus vaporofus calidusque fpiritus generatur, aut quibus biliofa excrementa cumulantur in ore ventriculi. Ac fpiritus quidem dolores inducunt tenfivos, qui idcirco fic vocati funt, quod tenfionis fenfum inducant; biliofa vero excrementa doloribus mordacibus afficiunt. Dolores autem a plenitudine geniti gravitatis fenfum afferunt; quibus fi rubor accedat atque calor, calidos, fed fine his non calidos humores *fignificant*. Nonnullis caput affidue dolere contingit, ubi vel

τε πόσεως οἴνου βραχεῖ πλείονος, ἢ ἀκρατεστέρου ποθέντος, ἔτι τε μᾶλλον, εἰ θερμὸς εἴη φύσει· πασῶν τε τῶν θερμῶν ὀσμῶν, ὅσοι στύρακος, ἢ κύφεως, ἢ ὅλως ἀρωμάτων θερμῶν θυμιωμένων γίγνονται· τινὲς δὲ οὐδὲ τὴν ἀπὸ τοῦ λιβανωτοῦ φέρουσιν ὀσμήν. εὔλογον δὲ καὶ διὰ περιττὴν αἴσθησιν ἐνίοις γίγνεσθαι τὰς ὀδύνας, ὥσπερ ἐπὶ τοῦ στόματος τῆς κοιλίας οὐκ ὀλίγοις· τισὶ μὲν γὰρ οὕτως ἐστὶν αἰσθητικὸν, ὡς μήτ' ὄξος φέρειν δριμὺ, μήτε νᾶπυ, μήτ' ἄλλο τι τοιοῦτον· ἐνίοις δ' ἐγγὺς ἀναισθησίας ἥκει, φαίνονται γοῦν ἐρυγγάνοντες, ἐμοῦντες, ἔνιοι μὲν δεινῶς ἄτοπα ταῖς ποιότησιν, ὡς ἡμῶν τῶν ὀσμωμένων αὐτὰ μηδένα δύνασθαι φέρειν, αὐτοὶ δὲ μηδεμίας ἀξιολόγου δήξεως αἰσθανόμενοι. δυνατὸν οὖν ἐστι καὶ κατὰ τὸν ἐγκέφαλον εἶναι τοιαύτας διαφορὰς τοῖς ἀνθρώποις, ὡς τῶν αὐτῶν ὀσμῶν ἐνίους μὲν ἀλύπως ἀνέχεσθαι, καθάπερ εἰ καὶ μηδ' ὅλως αὐτοῖς ἐπλησίασαν, ἐνίους δὲ ἀνιαρῶς. ἀλλ' ὅτι γε τὰ τοιαῦτα πάθη πάντα τῆς κεφαλῆς ἐστιν, ἐναργῶς φαίνεται.

paulo liberalius vinum biberint, vel meracius; idque magis, si natura calidum fuerit; praeterea calidi odores omnes, quicunque styrace, aut cyphi, aut in totum aromatibus omnibus suffitis fiunt, *capitis dolorem his pariunt;* nonnulli ne thuris quidem odorem ferre possunt. Consentaneum vero est, quibusdam etiam ob sensus exuperantiam dolores excitari, quemadmodum in ore ventriculi non paucis; sunt enim nonnulli quibus id tam exacte sentit, ut neque acre acetum, neque sinapi, neque aliud hujusmodi ferat; alii vero contra ipsum pene insensile habent; quippe videntur vel ructare, vel vomere quidam usque adeo vitiosis qualitatibus infecta, ut nos ne odorem quidem sustinere possimus, quum tamen ipsi interea nullam alicujus momenti mordacitatem sentiant. Possunt igitur et in cerebro esse ejusmodi differentiae hominibus, ut eosdem odores aliqui impune sustineant, perinde ac si omnino ab ipsis distarent; alii eos sine molestia ferre non possint. Sed quod omnes hujusmodi affectiones ad caput pertineant, manifestum est.

Κεφ. ιδ'. Τό γε μὴν τῆς παραλύσεως νόσημα καὶ τὸ τῶν δι' ὅλου τοῦ σώματος σπασμῶν, ἐξ οὗ γένους ἐστὶν καὶ ὁ τέτανος, [449] οὐκ ἔθ' ὁμοίως τοῖσδε δι' αἰσθήσεως γνωστὸν, ἀλλὰ λόγου δεῖται τοῦ διδάξοντος. ὅταν οὖν ὅλον τὸ σῶμα βλάπτηταί ποτ' εἰς τὰ τῶν νεύρων ἔργα, τὴν αὐτῶν ἀρχὴν πεπονθέναι δηλοῖ· ταύτην δ' ἐξ ἀνατομῆς μόνης ἔνεστι γνῶναι. πάντων μὲν οὖν ἅμα τῶν νεύρων ἀπολεσάντων αἴσθησίν τε καὶ κίνησιν, ἀποπληξία τὸ πάθος ὀνομάζεται· κατὰ θάτερον δὲ μέρος, ἤτοι τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν, εἰ συμβαίνει τοῦτο, παράλυσις καλεῖται, τοῦ μέρους ἐκείνου δηλονότι καθ' ὃ συνέστη, ποτὲ μὲν τοῦ δεξιοῦ, ποτὲ δὲ θατέρου· καθάπερ εἰ καὶ κατά τι τῶν κώλων γένοιτο, τοῦ μέρους ἐκείνου παράλυσίς ἐστι· καὶ γὰρ καὶ χεὶρ ὅλη, καὶ σκέλος ὅλον παραλύεταί ποτε, καὶ ποὺς μόνος ἐν σκέλει, καὶ τὰ μετὰ τὸ γόνυ, καὶ κατὰ τὸ τῆς ὅλης χειρὸς κῶλον, ἀνάλογον. ἐμάθομεν δὲ ἐν ταῖς ἀνατομαῖς, ἁπάντων τῶν καθ' ὁρμὴν τοῦ ζώου κινουμένων μορίων ὅσα κάτω τοῦ τραχήλου, τούτων τὰ κινητικὰ νεῦρα τὴν ἔκφυσιν ἔχειν ἐκ τοῦ καλουμένου

Cap. XIV. Morbus fane tum paralyfeos tum per univerfum corpus convulfionis, cujus generis eft quoque tetanus, fenfu, ut praedictae affectiones, cognosci non poteft, fed ratione, quae doceat, eft opus. Itaque quum totum corpus in nervorum functionibus laeditur, ipforum principium affectum effe conftat; id vero ex fola anatome dignosci poteft. Quum igitur omnes pariter nervi tum fenfum tum motum amiferint, apoplexia affectio appellatur; ubi vero alteri parti, aut dextrae, aut finiftrae, id accidit, paralyfis vocatur, ejus videlicet partis, in qua confiftit, interdum dextrae, interdum finiftrae; quemadmodum fi in aliquo membrorum evenerit, illius partis refolutio eft, nam et tota manus et totum crus interdum refolvitur, atque folus in crure pes et quae fub genu funt, ac de tota manu fimiliter. Sed ex anatome didicimus, omnes animantis partes fub cervice pofitas, quae voluntatis imperio moventur, nervos habere, qui eas moveant, procedentes ex fpinali vocata medulla;

νωτιαίου μυελοῦ· καὶ μέντοι καὶ ὅτι ποτὲ μὲν ἅμα τῇ τοῦ μυελοῦ προσηγορίᾳ καλοῦσι τὸ μόριον ἐκεῖνο, νωτιαῖον μυελὸν ὀνομάζοντες, ἔστι δ᾽ ὅτε χωρὶς προσθήκης ἁπλῶς νωτιαῖον, ἀκηκόατε πολλάκις. ἐθεάσασθε δὲ κἀν ταῖς ἀνατομαῖς τὰ τὸν θώρακα κινοῦντα νεῦρα ἐκ τοῦ κατὰ τὸν τράχηλον ἐκφυόμενα νωτιαίου, καὶ πρὸς τοῦτο τὰς ἐγκαρσίας τομὰς αὐτοῦ, καθ᾽ ἃς ὅλως διακόπτεται, τὰ κατωτέρω μέρη πάντα τοῦ σώματος ἀναίσθητά τε καὶ ἀκίνητα ποιούσας, ὡς ἂν καὶ αὐτοῦ τοῦ νωτιαίου τήν τε τῆς αἰσθήσεως καὶ τὴν τῆς καθ᾽ ὁρμὴν κινήσεως δύναμιν ἐξ ἐγκεφάλου λαμβάνοντος. ἀλλὰ καὶ τοῦτο ἔτι κατὰ τὰς ἀνατομὰς ἐθεάσασθε, τὰς ἐγκαρσίας τομὰς τοῦ νωτιαίου, μέχρι τῆς μέσης ἐν αὐτῷ κατὰ τὸ μῆκος χώρας, οὐ πάντα τὰ κάτω παραλυούσας, ἀλλὰ μόνα τὰ κατ᾽ εὐθὺ τῆς τομῆς, δεξιὰ μὲν ἐπὶ τῷ δεξιῷ μέρει τοῦ νωτιαίου τμηθέντος, θάτερα δὲ ἐπὶ τῷ λοιπῷ. εὔδηλον οὖν ὅτι κατὰ τὴν πρώτην ἔκφυσιν τοῦ νωτιαίου γενομένης τινὸς διαθέσεως, ὑφ᾽ ἧς εἰς αὐτὸν αἱ παρ᾽ ἐγκεφάλου δυνάμεις ἀφικνεῖσθαι κωλυθήσονται, πάντα τὰ κάτω κῶλα, πλὴν

atque faepenumero audiftis eam partem interdum fpinalem vocari medullam, addita fcilicet medullae appellatione, interdum vero fine additione fimpliciter fpinalem nuncupari. Vidiftis etiam in corporis diffectionibus, nervos thoracem moventes ex ea fpinalis medullae parte, quae in cervice eft, ortum ducere; ipfa vero ex transverfo incifa, fi tota fuerit diffecta, omnes quae fub ipfa funt corporis partes fenfu motuque privari, utpote fufcipiente fpinali medulla a cerebro facultatem tum fentiendi tum movendi pro arbitrio. Praeterea in anatome vidiftis hoc quoque, ob transverfas fpinalis medullae incifiones, ad mediam usque fecundum longitudinem regionem, non omnes inferiores corporis partes, fed eas duntaxat quae e regione fectionis erant, refolutas, dextras quidem dextra fpinalis medullae parte diffecta, finiftras vero reliqua. Itaque manifeftum eft, circa primum fpinalis medullae proceffum facta aliqua affectione, per quam cerebri facultas quo minus ad ipfam perveniat, prohibeatur,

Ed. Chart. VII. [449.] Ed. Baf. III. (281. 282.)

τῶν κατὰ τὸ πρόσωπον, ἀκίνητα ἔσται (282) καὶ ἀναίσθητα· καθάπερ εἰ καὶ τὸ ἥμισυ μέρος πάθοι τῆς ἐκφύσεως, οὐ πάντων ἔσται τῶν κάτω παράλυσις, ἀλλ᾽ ἤτοι τῶν ἀριστερῶν μόνων, ἢ τῶν δεξιῶν. ὁρῶνται δὲ τῶν τοιούτων παραλύσεων ἔνιαι καὶ τὰ κατὰ τὸ πρόσωπον βλάπτουσαι, καὶ παρασπᾶταί γε τὸ παραλυθὲν ἐπὶ θάτερον μέρος τοῦ προσώπου. μεμαθηκότες οὖν ἐν ταῖς ἀνατομαῖς, ἐξ αὐτοῦ τοῦ ἐγκεφάλου τὰ νεῦρα τοῖς κατὰ τὸ πρόσωπον ἐπιπέμπεσθαι μορίοις, ἔνθα μὲν καὶ τούτων τι συμπαρελύθη τῷ παντὶ σώματι, κατὰ τὸν ἐγκέφαλον αὐτὸν εἴσεσθε τὴν διάθεσιν εἶναι τῆς παραλύσεως· ἡνίκα δ᾽ ἀπαθῆ διαφυλάττεται ταῦτα, κατὰ τὴν ἀρχὴν τοῦ νωτιαίου. συμβαίνει δ᾽ ἐνίοις μόνα τὰ κατὰ τὸ πρόσωπον πάσχειν, ὥσπέρ γε καὶ μόριον ἕν τι, γλῶτταν, ἢ ὀφθαλμὸν, ἢ γένυν, ἢ χεῖλος, ὡς ἂν οὐκ ἐχόντων αὐτῶν ἁπάντων ἕνα τόπον ἀρχὴν, ἀλλ᾽ ἐκ διαφερόντων μορίων ἐγκεφάλου λαμβανόντων τὰ νεῦρα, φαίνεται γὰρ τοῦτο σαφῶς ἐν ταῖς ἀνατομαῖς. ἡ τοίνυν ἀποπληξία πάσας ὁμοῦ τὰς ψυχικὰς ἐνεργείας βλάπτουσα, σαφῶς ἡμῖν ἐνδείκνυται τὸν ἐγκέφαλον αὐτὸν πάσχειν· ἡ διά-

omnia inferiora membra, dempta facie, fenfu motuque privatum iri; ubi vero dimidia ejus proceffus pars fuerit affecta, non omnes inferiores partes refolutum iri, fed vel finiftras duntaxat, vel dextras. Videntur autem hujusmodi paralyfeon aliquae faciem quoque infeftare, tumque quod refolutum eft, ad alteram faciei partem trahitur. Quum igitur ex anatome didiceritis, nervos per faciei partes fparfos a cerebro ipfo dimitti, fi earum aliqua fimul cum toto corpore refoluta fit, fcietis paralyfeos affectionem in ipfo cerebro confiftere; ubi vero hae illaefae conferventur, in fpinalis medullae initio. Accidit vero nonnullis faciei partes folas affici, quemadmodum et unam aliquam partem, ut linguam, oculum, genam, labrum; etenim non omnibus ab uno loco principium influit, fed ex diverfis cerebri partibus nervos fuscipiunt, id enim aperte in diffectionibus confpicitur. Igitur apoplexia omnes fimul animales actiones laedens, nobis cerebrum ipfum affectum effe manifefte declarat. Dignotio

Ed. Chart. VII. [449. 450.] Ed. Baf. III. (282.)

γνῶσις δὲ τοῦ κατὰ τὸ μέγεθος πάθους ἐκ τοῦ ποσοῦ τῆς κατὰ τὴν ἀναπνοὴν γίγνεται βλάβης· ἐφ᾽ ὧν μὲν γὰρ ἐπὶ πλεῖστον ἐκβέβηκε τοῦ κατὰ φύσιν ῥυθμοῦ, μεγάλην ἡγητέον εἶναι τὴν κατὰ τὸν ἐγκέφαλον βλάβην· ἐφ᾽ ὧν δὲ ὀλίγον ἐμποδίζεται, βραχεῖαν. ἁπασῶν δὲ χειρί[450]στην ἀναπνοὴν ἡγητέον εἶναι τὴν διαλείπουσάν τε καὶ μετὰ βίας μεγάλης γινομένην. καὶ τό γ᾽ ἀποθνήσκειν τοὺς ἀποπλήκτους συμβαίνει διὰ τὴν ἀπώλειαν τῆς ἀναπνοῆς, ὡς τό γε μὴ κινεῖν τὰ μόρια τοῦ σώματος εἰς μὲν τὰς κατὰ τὸν βίον πράξεις ἄχρηστον ἀποδείκνυσιν τὸν ἄνθρωπον, οὐ μὴν ὀξὺν ἐπιφέρει τὸν θάνατον. ἴδομεν γοῦν ἤδη τινὰ τὰ μὲν ἄλλα πάντα παραλελυμένον, ἐνεργοῦντα δὲ κατὰ φύσιν ἅπασιν τοῖς κατὰ τὸ πρόσωπον μέρεσιν· ἐσώζετο δὲ αὐτῷ δηλονότι καὶ ἡ ἀναπνοή· πῶς γὰρ ἂν ἠδύνατο ζῆν ἐπὶ πλεῖστον, ἀπολωλυίας αὐτῆς; τούτῳ πρωτοπαθεῖν ἐλογιζόμεθα τοῦ νωτιαίου τὸ κατωτέρω βραχεῖ τῆς ἐπὶ τὸ διάφραγμα τῶν νεύρων ἐκφύσεως· εὔδηλον δὲ ὅτι καὶ οὖρα καὶ διαχωρήματα χωρὶς προαιρέσεως ἀπεκρίνετο. καὶ μέντοι

vero fit magnitudinis affectus ex laefionis, quam refpirationi infert, vehementia; quum enim naturalem rhythmum plurimum egreditur, magnam; quum vero paulum impedimenti eft, parvam in cerebro laefionem effe conjicere oportet. Omnium autem peffima refpiratio putanda eft, quae et intermittitur et magna cum violentia trahitur. Et fane mori contingit apoplecticos ob refpirationis jacturam; nam partium corporis immobilitas ad vitae quidem functiones inutilem reddit hominem, non tamen acutam infert mortem. Itaque nonnunquam vidimus quendam, qui reliquis partibus omnibus refolutis, nullam quae ad faciei partes pertineret, actionem amifit, fervata nimirum ipfi etiam refpiratione; quomodo enim vivere diutius potuiffet, ipfa deperdita? Huic primario affici putavimus illam fpinalis medullae partem, quae paulo inferior eft proceffu nervorum ad feptum transverfum tendentium; urinam autem et alvi recrementa ipfum praeter voluntatis imperium emififfe manifeftum eft.

Ed. Chart. VII. [450.] Ed. Baf. III. (282.)

καὶ ἄλλον ἐκ καταπτώσεως ἐθεασάμεθα, πλὴν τῶν χειρῶν, τὰ κάτω πάντα παραλυθέντα. καθάπερ δὲ παράλυσις ὅταν ἐν ὅλῳ γένηται τῷ σώματι, τῶν κατὰ τὸ πρόσωπον ἀβλαβῶν διαμενόντων, ἐν ἀρχῇ τοῦ νωτιαίου τὸ πάθος εἶναι δηλοῖ, κατὰ τὸν αὐτὸν λόγον, εἰ καὶ σπασμὸς ἐν ὅλῳ τῷ σώματι γένοιτο, τὸν αὐτὸν τόπον τοῦ νωτιαίου πεπονθέναι δηλώσει, τῶν γε κατὰ τὸ πρόσωπον ἀπαθῶν διαμενόντων· εἰ δὲ καὶ ταῦτα πάσχει, κατὰ τὸν ἐγκέφαλον εἶναι τὸ πάθος ἐνδείξεται· μορίου δέ τινος σπωμένου, τὸ κινητικὸν ἐκείνου νεῦρον, ἢ τοὺς μῦς, ἀναγκαῖόν ἐστι πάσχειν. ἐπιστάμενος οὖν τις ἐξ ἀνατομῆς ἀρχὰς τῶν εἰς ἕκαστον μόριον ἀφικνουμένων νεύρων, ἄμεινον ἰάσεται τὰς ἀναισθησίας καὶ ἀκινησίας ἑκάστου μέρους. ἀδιόριστον δὲ τοῦτο καταλειφθὲν ὑφ' Ἡροφίλου τε καὶ Εὐδήμου, τῶν πρώτων μεθ' Ἱπποκράτην νεύρων ἀνατομὴν ἐπιμελῶς γραψάντων, οὐ σμικρὰν ζήτησιν παρέσχε τοῖς ἰατροῖς, ὅπως ἔνιαι μὲν τῶν παραλύσεων αἴσθησιν μόνην, ἔνιαι δὲ τὴν προαιρετικὴν κίνησιν, ἔνιαι δὲ ἀμφοτέρας διαφθείρουσι. μάλιστα μὲν οὖν ἡ παράλυσις ἐπὶ

Quinetiam vidimus alium, cui ex cafu omnes inferiores partes, demptis manibus, erant refolutae. Quemadmodum autem paralyfis, quando in toto fit corpore, faciei partibus illaefis, indicat affectum in fpinalis medullae initio effe, eadem ratione, fi toti corpori convulfio acciderit, eundem fpinalis medullae locum affectum effe declarabit, fervatis faciei partibus illaefis; fi vero hae quoque afficiantur, in cerebro affectum effe oftendent. Ubi vero pars aliqua convulfa eft, nervum ejus motorem, aut musculum, affici neceffe eft. Igitur fi quis ex anatome nervorum ad fingulas partes venientium principia didicerit, melius cujusque partis fenfum et motum deperditum curabit. Verum haec indefinita relicta ab Herophilo et Eudemo, qui primi poft Hippocratem nervorum anatomen accurate fcripferunt, non mediocrem medicis dubitandi occafionem praebuerunt, quo pacto quaedam paralyfes folum fenfum, quaedam voluntarium motum, quaedam ambo evertant. Itaque paralyfis potiffimum dicitur

ἐπὶ τῇ τῆς κινήσεως ἀπωλείᾳ λέγεται, τῶν τὴν αἴσθησιν ἀπολωλεκότων μορίων ἀναισθήτων μὲν εἶναι, παραλελύσθαι δ᾽ οὐ πάνυ τι συνήθως λεγομένων· ἤδη μέντοι τινες καὶ τοῦτο τὸ πάθημα παράλυσιν αἰσθήσεως ὀνομάζουσιν· ὑμεῖς δὲ, ὡς ἀεὶ παρακελευόμεθα, συγχωρεῖτε μὲν ὀνομάζειν ἑκάστοις ὡς ἂν ἐθέλωσιν, σκοπὸς δ᾽ ὑμῖν ἔστω, τὸν πεπονθότα τόπον εὑρεῖν, ἅμα δηλονότι τῇ κατ᾽ αὐτὸν διαθέσει· χωρὶς γὰρ τοῦ ταῦτα γνῶναι βεβαίως ἀδύνατον ἔσται θεραπεύειν ὀρθῶς τὰ βεβλαμμένα κίνησιν ἢ αἴσθησιν μόρια. Παυσανίας οὖν ἀπὸ τῆς Συρίας σοφιστὴς εἰς Ῥώμην ἀφικόμενός ποτε, τοὺς μικροὺς δύο δακτύλους τῆς ἀριστερᾶς χειρὸς καὶ τοῦ μέσου τὸ ἥμισυ δυσαισθήτους μὲν ἔσχεν τὸ πρότερον, ὕστερον δὲ καὶ ἀναισθήτους, κακῶς θεραπευσάμενος ὑπὸ τῶν ἰατρῶν. ἐπεὶ δὲ ἐγὼ θεασάμενος αὐτὸν ἠρώτων τε τὰ προγεγονότα πάντα, σὺν αὐτοῖς τε ἤκουσα κατὰ τὴν ὁδὸν τοῦ ὀχήματος ἐκπεσόντα τὸν ἄνδρα πληγῆναι τὴν ἀρχὴν τοῦ μεταφρένου, καὶ τὸ μὲν πληγὲν μέρος ἐν τάχει θεραπευθῆναι, κατὰ βραχὺ δὲ αὐξηθῆναι τὴν τῶν δακτύλων βλάβην τῆς αἰσθήσεως· ἃ τοῖς δακτύλοις ἐκεῖνοι προσέφερον

ob motus deperditionem; quum ubi partium aliquarum ſenſus periit, eam partem ſenſus expertem eſſe, reſolutam vero non perinde dicere conſueverint; quanquam nonnulli jam affectionem paralyſin ſenſus vocitant. Vos vero, ut ſemper hortamur, cuique nominibus pro arbitrio uti permittite; hoc autem ſit vobis propoſitum, affectam ſedem, ſimulque ſcilicet affectionem ejus invenire; niſi enim haec accurate cognoveritis, nequaquam eas partes, quibus vel ſenſus vel motus laeſus eſt, recte curabitis. Sane Pauſanias Syrus ſophiſta, quum Romam aliquando veniſſet, duorum minorum ſiniſtrae manus digitorum atque medii partis dimidiae, ſenſum primo quidem difficilem habebat, poſtea, male curantibus medicis, nullum. Quum autem ego illo viſo, de omnibus, quae praeceſſiſſent, quaererem, atque inter caetera audiiſſem ipſum, quum per viam duceretur, vehiculo excidiſſe atque in dorſi initio laeſum eſſe, mox partem laeſam brevi quidem curatam, ſed auctum ſenſim in digitis ſenſus vitium; remedia, quae illi digitis admoverant, laeſae parti

Ed. Chart. VII. [450. 451.] Ed. Baf. III. (282.)

φάρμακα, ταῦτ' ἐκέλευσα κατὰ τοῦ πληγέντος τίθεσθαι μορίου, καὶ οὕτως ὁ ἀνὴρ διὰ ταχέων ὑγιάσθη. τὴν ἀρχὴν δὲ οὐδ' ὅτι τῶν μὲν εἰς τὸ δέρμα τῆς ὅλης χειρὸς διασπειρομένων νεύρων, ἐξ ὧν ἔχει τὴν αἴσθησιν, ἴδιαί τινές εἰσιν αἵ ῥίζαι· τῶν δὲ τοὺς μῦς κινούντων ἕτεραι γιγνώσκονται τοῖς ἰατροῖς. ἴσως δ' ἐπὶ πλέον ἢ προὔκειτο τὸν λόγον ἰόντα καταπαύειν ἤδη προσήκει. [451] προὔκειτο μὲν γὰρ ἐν τῷδε τῷ γράμματι τὰ κατὰ τὴν κεφαλὴν, καὶ μάλιστα τὸν ἐγκέφαλον, εὑρεῖν πάθη πάντα· διότι δ' ἐστὶν οὗτος ἀρχὴ νεύρων, ἐξ ἀκολουθίας ὁ λόγος ἧκεν ἐπὶ τὰ πάθη τῶν νεύρων· ὥστε ἤδη περιγράψαντες καὶ τοῦτον τὸν λόγον ἐνταῦθα περὶ τῶν ἐν τοῖς κατὰ τὴν κεφαλὴν μορίοις γιγνομένων παθῶν ἐφεξῆς σκεψώμεθα, τοσοῦτον ἔτι προσθέντες, ὡς καὶ

Κεφ. ιε'. τῆς ὀσφρήσεως ἡ βλάβη πάθος ἐστὶν οὐ τῶν κατὰ τὴν ῥῖνα πόρων, ἀλλ' ἤτοι τῶν ἐμπροσθίων τοῦ ἐγκεφάλου κοιλιῶν εἰς δυσκρασίαν ἀγομένων, ἢ τῶν ἐν τοῖς ἠθμοειδέσιν ὀστοῖς πόρων ἐμφραττομένων· εἴπέρ γε καὶ ἡ

adhibere juffi, atque fic ille celeriter convaluit. At omnino ne nervis quidem per univerfae manus cutem disperfis, a quibus fenfum ipfa fortitur, proprias quasdam effe radices; musculos autem moventibus alias, medici norunt. Verum latius, quam propofueramus, exfpatiatam orationem fortaffe jam finire decet. Noftra namque intentio erat, hoc libro omnes capitis, maxime vero cerebri, affectus invenire; at quia hoc nervorum eft principium, per confequentiam ad nervorum usque affectus fermo pervenit. Quamobrem huic etiam fermoni fine hic impofito, de partium capitis affectibus deinceps fpeculemur, hoc tantum addito, quod et

Cap. XV. odoratus laefio affectus eft, non eorum qui in naribus funt, meatuum, fed vel anteriorum cerebri ventriculorum in intemperiem adductorum, vel eorum meatuum, qui in offibus funt ethmoidibus, obftructorum; fiqui-

τῶν ὀσφρητῶν αἴσθησις ἐν ταῖς ἐμπροσθίαις τοῦ ἐγκεφάλου κοιλίαις γίγνεται, τῶν ἀτμῶν εἰς αὐτὰς ἀναφερομένων διὰ τῶν ἐν τοῖς ἠθμοειδέσιν τρημάτων, ὡς ἐν τῷ περὶ τοῦ τῆς ὀσφρήσεως ὀργάνου δέδεικται γράμματι.

dem odoratorum fenfus in prioribus cerebri ventriculis perficitur, elatis ad ipfos per ethmoidis foramina vaporibus, quemadmodum in libro de fenforio olfactus declaratum eft.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ ΒΙΒΛΙΟΝ Δ.

Ed. Chart. VII. [451.] Ed. Baf. III. (282.)

Κεφ. α΄. Ἐν μὲν τοῖς πρώτοις ὑπομνήμασι δύο τὴν καθόλου μέθοδον, ᾗ χρώμεθα πρὸς τὰς τῶν πεπονθότων τόπων διαγνώσεις, αὐτάρκως ἐπεσκεψάμεθα σὺν πολλοῖς παραδείγμασιν ὡρισμένων μορίων. ἐπεὶ δὲ, ὡς εἴρηταί μοι καὶ δέδεικται πολλάκις ἤδη δι' ἄλλων ὑπομνημάτων, ἀσκεῖσθαι χρὴ γυμναζόμενον ἐν τοῖς κατὰ μέρος, εἰ μέλλοι τις ἀσφαλῶς τε ἅμα καὶ ταχέως ἐπὶ τῶν ἔργων τῆς τέχνης ἕκαστα πράττειν, ἃ διὰ τῶν καθόλου μεθόδων ἐμάθετο, διὰ τοῦτο καὶ νῦν ἔδοξεν ἄμεινον εἶναι πάντων τῶν ἐν τῷ σώματι

GALENI DE LOCIS AFFECTIS LIBER IV.

Cap. I. Univerfalem quidem methodum, qua ad locorum affectorum dignotionem utimur, primis duobus libris, cum multis definitarum partium exemplis, fatis perfcrutati fumus. Quoniam vero, ut diximus atque jam in aliis libris faepe demonftravimus, circa res particulares exercitari oportet, fi quis in artis operibus fingula, quae univerfali via didicit, tuto fimul et celeriter exercere voluerit, operae pretium facturus mihi videor, fi rationales quasdam

μορίων, ὅσα μὴ φαίνεται ταῖς αἰσθήσεσιν, λογικὰς διαγνώσεις εἰπεῖν, ὅτ᾽ ἂν ὁπωσοῦν πάσχωσιν, τὴν ἀρχὴν [452] ἀπὸ τῆς κεφαλῆς ποιησαμένους. περὶ μὲν οὖν τῆς γενομένης βλάβης τῇ τε μνήμῃ καὶ τῇ νοήσει καὶ ταῖς ἄλλαις ἐνεργεί(283)αις, ἃς ἡγεμονικὰς εἰώθαμεν ὀνομάζειν, ἐν τῷ τρίτῳ τῶνδε τῶν ὑπομνημάτων διῆλθον, ἅμα τῷ γεγυμνάσθαι κατὰ τὴν μέθοδον ἐν εἴδεσι παθῶν οὐκ ὀλίγοις. εἴρηται γὰρ ἐν αὐτῷ καὶ περὶ παραφροσύνης, τῆς τε ἐν τοῖς φρενιτικοῖς πάθεσιν καὶ τῆς ἄνευ πυρετῶν, ἣν μανίαν ὀνομάζουσιν· ὡσαύτως δὲ καὶ περὶ ληθάργου καὶ κάρου καὶ τῶν ἐπιληπτικῶν καὶ μελαγχολικῶν καὶ σκοτωματικῶν παθῶν, ὥσπερ γε καὶ περὶ κεφαλαίας καὶ ἡμικρανίας, ἀποπληξίας τε καὶ τῶν ὁμοίων αὐτοῖς.

Κεφ. β'. Ἐν δὲ τῷ νῦν ἐνεστῶτι τετάρτῳ τῆς ὅλης ὄντι πραγματείας ὁ λόγος ἔστω μοι περὶ τῶν κατὰ τὸ πρόσωπον μορίων τῶν ἐν βάθει πεπονθότων, τὴν ἀρχὴν ἀπὸ τῶν ὀφθαλμῶν ποιησαμένῳ. τούτων γὰρ ἐνίοτε μὲν ὁ ἕτερος, ἐνίοτε δὲ ἀμφότεροι παραλύονται τῆς κινήσεως, ἢ αἰσθήσεως, ἢ ἀμφοτέρων· ἐνίοτε δὲ καὶ κατ᾽ αὐτὸν τὸν ἕνα

dignotiones omnium corporis partium, quae fenfum fugiunt, quum quomodolibet afficiuntur, perfcripfero, fumpto a capite initio. Igitur de memoria et cognitione laefa atque reliquis animae functionibus, quas principes nominare confuevimus, in hujus commentationis libro tertio diximus, fimul in non paucis affectuum generibus methodica exercitatione inducta. Nam actum eft in illo de delirio, tum phrenitidis proprio tum eo quod citra febrem accidit, quam maniam nominant; fimiliter de lethargo, fopore, morbo comitiali, melancholia, vertigine, quemadmodum et cephalaea, hemicrania, apoplexia et fimilibus.

Cap. II. At in praefenti libro, qui totius commentarii quartus eft, de faciei partibus intrinfecus affectis fermonem faciamus, ducto ab oculis exordio. Horum enim interdum alterius, interdum utriusque fenfus, vel motus, vel uterque refolvitur; nonnunquam etiam et in uno folo

ποτὲ μὲν τὸ βλέφαρον ἔπαθε μόνον, ἔστι δ᾽ ὅτε καὶ κατ᾽ αὐτὸν τὸν κυρίως ὀνομαζόμενον ὀφθαλμὸν γέγονεν ἢ εἰς αἴσθησιν, ἢ εἰς κίνησιν ἡ βλάβη. ὅτ᾽ ἂν μὲν οὖν μηδενὸς φαινομένου κακοῦ περὶ τὸν ὀφθαλμὸν ἀπολέσθαι τὴν ὀπτικὴν αἴσθησιν συμβῇ, τὸ καθῆκον ἐξ ἐγκεφάλου νεῦρον εἰς αὐτὸν ἔχει τὴν αἰτίαν, ἤτοι φλεγμαῖνον, ἢ σκιῤῥούμενον, ἢ ὁπωσοῦν ἄλλως ἐξ ἐπιῤῥοῆς ὑγρῶν βλαπτόμενον, ἢ ὁπωσοῦν ἄλλως ἐμφραττομένου πόρου τοῦ κατ᾽ αὐτόν. καὶ ταῦτα μὲν ὡς ὀργανικῷ μορίῳ συμβαίνειν ἀναγκαῖον αὐτῷ, τὰ δ᾽ ὡς ὁμοιομερεῖ κατὰ τὰς ὀκτὼ δυσκρασίας· ἔξωθεν δὲ τούτων, ὅταν ἤτοι μηδ᾽ ὅλως ἢ παντάπασιν ὀλίγον ἐπιπέμπηται τὸ αὐγοειδὲς πνεῦμα παρὰ τῆς κατὰ τὸν ἐγκέφαλον ἀρχῆς. τῆς κινήσεως δὲ ἀπολωλυίας μόνης ὁποτέρου τῶν ὀφθαλμῶν, τὸ κατὰ τὴν δευτέραν συζυγίαν νεῦρον ἀποφυόμενον τοῦ ἐγκεφάλου πεπονθέναι τι πάθος ἀναγκαῖόν ἐστιν ὧν διῆλθον ἀρτίως ἐπὶ θατέρου νεύρου τοῦ κατὰ τὴν πρώτην συζυγίαν ἐκφυομένου. ἐπεὶ δὲ, ὡς ἐμάθομεν ἐν ταῖς ἀνατομαῖς, ἓξ μέν εἰσιν οἱ τὸν ὀφθαλμὸν αὐτὸν κινοῦντες μύες, ἄλλοι δὲ περι-

aliquando quidem fola palpebra affecta eft, aliquando vero etiam ejus partis, quam proprie oculum vocamus, vel fenfus, vel motus laeditur. Quum igitur nullo in oculo malo apparente, viforium fenfum deperdi contigerit, defcendens a cerebro in ipfum nervus caufam in fe continet, vel inflammatione, vel fcirrho laborans, vel alio quovis modo ex humorum defluxione laefum, aut aliter quomodolibet foramine ipfius obturato. Atque haec quidem ipfi ut organicae parti accidere neceffe eft; quae vero ut fimilari, per octo intemperiei differentias; extra hoc autem, quum vel nihil omnino, vel exiguum admodum dilucidi fpiritus a principio, quod in cerebro confiftit, immittitur. Si vero utervis oculorum motum duntaxat amiferit, fecundae conjugationis nervum, qui a cerebro oritur, affectum effe neceffe eft aliquo eorum affectuum, quos alteri nervo, qui a prima conjugatione nafcitur, nuper accidere diximus. Quoniam vero, ut ex anatome didicimus, fex funt musculi oculum ipfum

λαμβάνουσι τὴν ῥίζαν τοῦ καθήκοντος εἰς αὐτὸν πόρου, καλοῦσι γὰρ οὕτως οἱ ἀνατομικοὶ τὸ κατὰ τὴν πρώτην συζυγίαν νεῦρον, ὅτι μόνῳ σαφές ἐστιν ἐν αὐτῷ τὸ τρῆμα, συμβαίνει δὲ πολλάκις αὐτὸ μὲν τοῦτο μηδὲν πεπονθέναι, τῶν δὲ μυῶν τινα πάσχειν ἤτοι κατὰ τὴν οἰκείαν οὐσίαν ὁτιοῦν πάθος ὧν ἀρτίως εἶπον, ἢ τοῦ νεύρου τοῦ καθήκοντος εἰς αὐτὸν βλαβέντος. εἰς ἕκαστον γάρτοι τῶν μυῶν τούτων ἀφικνεῖταί τις μοῖρα τοῦ κατὰ τὴν δευτέραν συζυγίαν ἀποφυομένου νεύρου, καθάπερ γε καὶ εἰς τοὺς περιλαμβάνοντας τὸν πόρον μύας, εἴτε δύο χρὴ τούτους, εἴτε τρεῖς, εἴθ᾽ ἕνα λέγειν, οὐδὲν γὰρ διαφέρει πρός γε τὰ παρόντα, γιγνωσκόντων ἡμῶν ὅτι τοῖς μυσὶ τούτοις ἔργον ἐστὶν ἀνασπᾷν τε ἅμα καὶ στηρίζειν τὸν ὀφθαλμὸν, ὡς ἂν μὴ περιτρέποιτο κατὰ μηδένα τρόπον τῆς ὁδοιπορίας τὸ μαλακὸν νεῦρον, ὃ δὴ καὶ ὀπτικὸν ὀνομάζεται καὶ πόρος. ἓξ οὖν ὄντων τῶν κινούντων τὸν ὀφθαλμὸν μυῶν, εἰ μὲν ὁ ἀνασπῶν αὐτὸν πάθοι, κατεσπασμένος φαίνεται τηνικαῦτα σύμπας ὁ ὀφθαλμός· εἰ δὲ ὁ κατασπῶν, ἀνεσπασμένος· εἰ δὲ ὁ πρὸς τὸν μικρὸν κανθὸν ἀπάγων, ὡς πρὸς τὸν

moventes, alii vero descendentis in ipfum meatus (vocant enim ita diffectores primae conjugationis nervum, quod ipfi foli manifeftum fit foramen) radicem amplectuntur, accidit faepe, quamvis ipfe haudquaquam afficiatur, ut musculorum aliquis aut in propria fubftantia, aut in nervo ad ipfum defcendente, aliquo nuper dictorum affectuum laefus fit, fiquidem fingulis horum musculorum pars quaedam nervi a fecunda conjugatione orti transmittitur, quemadmodum et iis quoque musculis, qui meatum ipfum comprehendunt, five ii duo, five tres, five unus duntaxat dicendus fit; id enim in praefentia non refert, modo noverimus horum musculorum munus effe, ut furfum trahant oculum et firment, ne mollis ille nervus, quem et opticum, et meatum nominant, ullo pacto in itinere pervertatur. Quum itaque fex fint oculum moventes musculi, fi is quidem, qui ipfum furfum attrahit, afficiatur, tum totus oculus delapfus videbitur; fi vero qui ipfum deorfum attrahit affectus eft, furfum attractus; fi mi-

μείζονα παρεσπασμένος· εἰ δ' ὁ πρὸς τοῦτον, ὡς τὸν ἕτερον· εἰ δὲ τῶν περιστρεφόντων μυῶν [453] ὁποτεροσοῦν παραλυθείη, λοξὴν ἕξει τὴν διαστροφὴν ὁ σύμπας ὀφθαλμός. ὄντων δὲ, ὡς ἔφην, καὶ ἄλλων μυῶν, τῶν περιεχόντων τὸ μαλακὸν νεῦρον, εἰδέναι χρὴ τὴν παράλυσιν αὐτῶν, ὅλον τὸν ὀφθαλμὸν ἐργαζομένην προπετῆ· καὶ βλέπουσί γε τούτων οἱ πλείους ἀβλαβῶς, ἐπεκτεινομένου μὲν ἠρέμα τοῦ νεύρου τοῦ μαλακοῦ, πάσχοντος δὲ οὐδὲν, ὡς ἄν γε πάθῃ τι, χεῖρον ὁρῶσιν οἱ οὕτως παθόντες· εἰ δὲ καὶ μεῖζον αὐτῷ συμβαίη τὸ πάθημα, πρόδηλον ὡς οὐδ' ὅλως ὄψονται. καὶ κατὰ διαστροφὰς δὲ τῶν ὀφθαλμῶν ἡ μὲν ἐφ' ὁποτερονοῦν κανθὸν ἐκτροπὴ φυλάττει τὴν κατὰ φύσιν ἐνέργειαν τὴν ὀπτικήν· ἡ δ' ἄνω καὶ κάτω, καθάπερ γε καὶ αἱ λοξαὶ, διπλᾶ φαίνεσθαι ποιοῦσιν πάντα τὰ ὁρώμενα. τῶν δὲ τὸ ἄνω βλέφαρον κινούντων μυῶν, ἀκίνητον γάρ ἐστιν τὸ κάτω, σμικροτάτων ὄντων, ὡς μόγις ἐπὶ μεγάλων ζώων φαίνεσθαι σαφῶς, εἰκότως ἡ τῶν νεύρων ἔμφυσις εἰς αὐτούς ἐστι δυσθεώρητος·

noris anguli musculus, ad majorem; fi vero majoris, ad alterum oculus deflectitur; at fi volventium musculorum quispiam refolvatur, obliqua erit totius oculi perverfio. Caeterum quum alii, ut dixi, praeterea fint musculi mollem nervum circumdantes, fcire licet ipforum paralyfin totum oculum prociduum efficere. Ac plerique fane horum, fenfim quidem intento molli nervo, fed nequaquam affecto, citra laefionem cernunt; nam fi quo modo afficiatur, vifum efficit deteriorem; ubi vero adhuc magis ipfius affectus ingravescit, conftat eos nihil omnino vifuros. Porro in oculorum perverfionibus, quae fit ad alterutrum angulum converfio, opticam actionem fecundum naturam tuetur; quae vero furfum, aut deorfum, ut etiam obliqua, efficit quaecunque confpiciuntur, duplicia videri. Quoniam vero musculi fupernam palpebram moventes, nam inferior immobilis eft, perquam parvi funt, adeo ut in majoribus quoque animalibus vix manifefte profpiciantur, nihil mirum, fi nervorum in ipfos infertio difficulter videatur. Nihilominus, quemad-

ἀλλὰ κἀνταῦθα καθάπερ ἐπὶ τῶν προειρημένων μυῶν, οὕτως κἀπὶ τούτων ἀναγκαῖόν ἐστι, πολλάκις μὲν αὐτοὺς τοὺς μῦς ἴδιόν τι πάθημα πάσχειν, ὁπόσα τὰ τῶν μυῶν ἴσμεν, ἐνίοτε δὲ τῶν ἐμφυομένων εἰς αὐτοὺς νεύρων τι πεπονθέναι. ὁ μὲν οὖν ἀνατείνων αὐτὸν παραλυθεὶς χαλαρὸν ἀποδείξει τὸ βλέφαρον, ὡς μὴ δύνασθαι διανοίγειν τὸν ὀφθαλμόν· οἱ κατασπῶντες δὲ, δύο γάρ εἰσιν αὐτοὶ, κλείειν ἀδυνατήσουσιν· εἰ δ' ὁ ἕτερος αὐτῶν πάθοι μόνος, ἐπὶ τὸν ἀντικείμενον αὐτῶν μῦν παρασπασθήσεται τὸ βλέφαρον, ὡς δοκεῖν κεκλάσθαι κατὰ μέσην τὴν ἐπὶ τῷ πέρατι περιγραφὴν αὐτῶν, καὶ τὸ μὲν ἕτερον μέρος, ὃ κατὰ τὸν πεπονθότα μῦν ἐστι, ἀνεσπάσθαι, τὸ δ' ἕτερον, ὃ κατὰ τὸν ἀπαθῆ, κατεσπάσθαι. ταῦτα μὲν οὖν ἴδια πάθη τῶν κατὰ τὸν ὀφθαλμόν ἐστι μορίων, ἀφανεῖς ἔχοντα τοὺς πάσχοντας τόπους, ἕτερα δ' ἐξ ἄλλων ἐπ' αὐτὸν ὁρμᾶται κατὰ συμπάθειαν. τοῖς γοῦν τῶν ὑποχεομένων φαντάσμασιν ὅμοια φαίνεται, μηδεμιᾶς οὔσης ἰδιοπαθείας κατὰ τὸν ὀφθαλμὸν, ἀλλ' ἐπὶ συμπαθείᾳ τῇ κατὰ τὸ στόμα τῆς κοιλίας, ἢ κατὰ τὸν ἐγκέφαλον. ἀλλὰ καὶ ταῦτα διορίζεσθαι χρὴ τῶν ἀπὸ τῆς γαστρὸς ἀρχομένων, πρῶτον

modum in muſculis praedictis, ita et in his quoque neceſſe eſt, ut ſaepenumero musculi ipſi peculiarem aliquem affectum ſubeant eorum quos ad musculos pertinere novimus; interdum vero nervorum ipſis inferiorum aliquis afficiatur. Igitur musculus ipſam ſurſum attrahens reſolutus, laxam efficiet palpebram, adeo ut oculum aperire non poſſit; detrahentes vero, gemini enim ipſi ſunt, oculum claudere non poterunt; quorum ſi alter duntaxat afficiatur, ad oppoſitum musculum palpebra deflectetur, ut fracta videatur in fine circa mediam utriusque lineam, atque ea pars, quae juxta musculum affectum eſt, detrahi. Hi ſunt partium oculi peculiares affectus, qui latentibus locis inſident; alii ex aliis partibus ei per conſenſum adveniunt. Igitur ſuffuſorum viſis ſimilia videntur, oculis non propria affectione laborantibus, ſed oris ventriculi, aut cerebri conſenſu. Verum haec ipſa ab iis, quae a ventre oriuntur, diſtinguenda ſunt, pri-

μὲν τῷ τὸν ἕτερον ὀφθαλμὸν μόνον ἢ ἀμφοτέρους ὁμοίως φαντάζεσθαι· τοὐπίπαν γὰρ αἱ μὲν ἐπὶ τῇ κατὰ τὴν γαστέρα κακοχυμίᾳ γινόμεναι φαντασίαι τοῖς ὀφθαλμοῖς ἀμφοτέροις ὡσαύτως συμβαίνουσιν, αἱ δ᾽ ἐπὶ ταῖς ὑποχύσεσιν οὔτ᾽ ἄρχονται κατ᾽ ἀμφοτέρους, οὐθ᾽ ὁμοίως φαίνονται· δευτέρῳ δ᾽ ἐφεξῆς τῷ κατὰ τὸν χρόνον· εἰ γὰρ ἤτοι τριῶν ἢ τεττάρων μηνῶν ἢ καὶ πλειόνων ἤδη φαίνοιτο τὰ τῶν ὑποχεομένων συμπτώματα, σοὶ δὲ κατασκεψαμένῳ τὰς κόρας μηδὲν ἀχλυῶδες ἐμφαινόμενον εὑρίσκοιτο, διὰ τὸ στόμα τῆς κοιλίας αὐτοὺς πάσχοντας εὑρήσεις· οὔπω δ᾽ ὄντος ἀξιολόγου τοῦ χρόνου, πρῶτον μὲν ἐρωτήσεις εἰ διηνεκῶς ἐν ἁπάσαις ταῖς ἡμέραις ἀφ᾽ ἧς ἤρξατο πάσχειν οὕτω διατελεῖ φαινόμενα, μηδεμιᾶς ἡμέρας ἐν τῷ μεταξὺ γενομένης ἀμέμπτου τελέως, ἢ παρενέπεσόν τινες ἀμέμπτως ὑγιεῖς, ὡς δοκεῖν ἀκριβῶς ὑγιεῖς εἶναι· τὸ μὲν γὰρ διηνεκὲς ὡς ἔνδειξιν ὑποχύσεως ἔχει, τὸ δὲ διαλεῖπον ὑποψίαν τῶν κατὰ τὴν γαστέρα, καὶ μᾶλλον ὅτ᾽ ἂν ἐπὶ ταῖς ἀκριβέσιν εὐπεψίαις μηδὲν ἑαυτῷ λέγῃ φαίνεσθαι φάντασμα, πολὺ δὲ μᾶλλον ὅταν ἅμα τῇ γενέσει τῶν φαντασμάτων αἰσθά-

mum quidem ex eo, quod vel alter duntaxat oculus, vel uterque fimiliter vifis occupetur; fiquidem in univerfum vifa ob humorum in ventriculo contentorum vitium oborta utrique oculo fimiliter accidunt; quae vero per fuffufiones, neque incipiunt fimul in utroque, neque fimiliter apparent. Deinde tempore quoque *diftinguuntur.* Si enim tribus quatuorve, aut etiam pluribus jam menfibus fuffufionis apparuerint fymptomata, contemplantique tibi pupillas nihil tenebrofum videatur, ab ore ventriculi affectum procedere invenies; fi vero non ita multum tempus interceffit, quaeres inprimis, utrum ex quo incepit affectus, fingulis diebus perpetuo hujuscemodi apparitio perfeveraverit, nullo interveniente die, qui omni laefione caruerit; an diebus quibusdam intermediis laborans accurate vifus fit fibi convaluiffe: nam affiduitas fuffufionem indicat, intermiffio vero mali a ventriculo fuspicionem excitat, idque magis, fi perfecte quis concoquens, nullum fibi vifum apparere fateatur; multoque magis, fi quum apparuerint vifa, aliquem in ore ventriculi

νηταί τινος ἐν τῷ στόματι τῆς κοιλίας δήξεως, ἔτι δὲ μᾶλλον ὅταν ἐπὶ τοῖσδε, τῶν δακνόντων ἐμεθέντων, παύηται τὰ συμπτώματα. ταῦτα μὲν οὖν εὐθέως κατὰ τὴν πρώτην ἡμέραν, ἐν ᾗπερ ἂν ἴδῃς τὸν ἄνθρωπον, [454] ἐξ ἀνακρίσεως ὑπάρξει σοι μαθεῖν, ὅτ᾽ ἂν, ὡς ἔφην, ἀκριβῶς κατὰ φύσιν ἔχωσιν οἱ ὀφθαλμοί· τῆς δὲ θατέρου κόρης ἀχλυωδεστέρας, ἢ θολωδεστέρας, ἢ συνελόντι φάναι, μὴ καθαρᾶς ἀκριβῶς φαινομένης, ὑποχύσεώς ἐστιν ἀρχή· ἐὰν δ᾽ ἔνιοι φύσει τὰς κόρας μὴ πάνυ τι καθαρὰς ἔχωσιν, ἐπισκεπτέον ἐστὶν, εἰ ἀμφότεραι παραπλησίως φαίνονται διακείμεναι, καὶ εἰ πρὸς τούτῳ μηδέπω χρόνος ἱκανὸς ἐπὶ τοῖς τῆς ὑποχύσεως συμπτώμασιν προγεγονὼς ὑπάρχει· κἂν ταῦθ᾽ οὕτως ἔχῃ, κέλευσον ἀρκεσθῆναι τροφῇ τῆς συνήθους (284) ἐλάττονι, μηδὲν ἐχούσῃ κακόχυμον. εἶτα κατὰ τὴν ὑστεραίαν εὐπεπτηκότος ἀκριβῶς αὐτοῦ, πυθοῦ περὶ τῶν κατὰ τὴν ὄψιν φαντασμάτων· εἰ μὲν γὰρ ἤτοι μηδ᾽ ὅλως ἢ ἀμυδρῶς φαίνοιτο, στομαχικὸν ἦν τὸ σύμπτωμα· μενόντων δ᾽ ὁμοίων αὐτῶν, οὐ κατὰ συμπάθειαν, ἀλλὰ κατὰ διάθεσιν οἰκείαν εἰδέναι χρὴ ταῦτα συμπίπτοντα τοῖς ὀφθαλμοῖς, ἔτι δὲ μᾶλλον, ἐὰν τοῦ

morfum fenferit; adhuc vero magis, fi pofthaec, vomendo ejecta re mordente, ceffaverint fymptomata. Haec quidem primo ftatim die, quo videris hominem, interrogando difcere poteris, quando, ut jam diximus, exquifite fecundum naturam fe habuerint oculi. Ubi vero altera pupilla tenebrofior, aut turbidior, aut, ut breviter dicam, non exacte pura videtur, fuffufionis initium eft. Si vero quidam fuapte natura pupillas non admodum puras habuerint, confiderandum eft, num ambae fimiles fint, ad haec, an non fatis multum temporis a fuffufionis fymptomatis praeterierit; quod fi ita eft, impera, ut minus cibi quam pro confuetudine ingerat, cumque nihil mali fucci habentem. Poftero die, ubi probe concoxerit, qualia apparuerint vifa interroga; fi enim vel omnino nulla, vel debiliora videantur, ftomachicum fymptoma fuit; at fi fimilia ipfa permanferint, non per confenfum, fed ex proprio affectu fciendum eft haec oculos infeftare, id-

δι' ἀλόης φαρμάκου λαβὼν, ὁμοίως ἔχῃ· λέγω δὲ διὰ τῆς ἀλόης, ὃ προσαγορεύουσιν ἔνιοι μὲν ἱερὰν πικρὰν, ἔνιοι δὲ ἁπλῶς πικράν. εἰ γὰρ στομαχικὸν εἴη τὸ σύμπτωμα, θεραπευθήσεται ῥᾷστα διὰ τῆς τοῦ φαρμάκου τούτου πόσεως, ἅμα ταῖς εὐπεψίαις, ὡς συνελθεῖν εἰς ταὐτὸν ἀμφότερα, τήν τε διάγνωσιν τοῦ πεπονθότος τόπου καὶ τὴν θεραπείαν αὐτοῦ. ἐγὼ δὲ, ὡς ἴστε, καὶ χωρὶς τοῦ θεάσασθαι τοὺς οὕτω πάσχοντας ἐθεράπευσα διὰ γραμμάτων ἐνίους ἐν ἄλλοις ὄντας ἔθνεσιν· καὶ γὰρ ἐκ τῆς Ἰβηρίας καὶ τῆς Κελτικῆς καὶ Ἀσίας καὶ Θρᾴκης καὶ ἄλλων χωρίων ἐπιστειλάντων μοί τινων, εἴ τι πρὸς ἀρχὰς ὑποχύσεως, μήπω μηδεμιᾶς ἐναργῶς φαινομένης βλάβης ἐν τῇ κόρῃ, φάρμακον ἔχοιμι δόκιμον, ἀποστέλλειν αὐτοῖς, ἠξίωσα δηλωθῆναί μοι πρότερον, εἰ ἐκ τοῦ πολλοῦ χρόνου πάσχουσι, καὶ τἄλλα περὶ ὧν ὀλίγον ἔμπροσθεν εἶπον· εἶτα τοῖς ἐπιστείλασιν, ἓξ μῆνας ἢ ἐνιαυτὸν ἀπὸ τῆς ἀρχῆς γεγονέναι φασκόντων, ἀμφοτέρων ὁμοίως τῶν ὀφθαλμῶν ἐπὶ μὲν ταῖς εὐπεψίαις ἄμεινον ἐχόντων, παροξυνομένων δὲ ἐπὶ ταῖς

que magis, fi fumpto ex aloë medicámento, fimiliter fe habeat; voco autem medicamentum ex aloë, quod alii hieram picram, alii fimpliciter picram appellant. Si enim fymptoma ftomachi fuerit, hujusmodi medicamento potui dato facillime curabitur, accedente fimul bona concoctione; ut in idem conveniant et affectae fedis dignotio et ipfius curatio. Ego vero quosdam fic affectos, ut fcitis, non vifos, quum in alienis effent terris, per literas curavi. Nam quum non nulli ex Iberia, Celtica, Afia, Thracia atque aliis regionibus per epiftolas a me petiiffent, ut fi ad fuffufionis initia, nullo adhuc vitio in pupilla apparente, probatum aliquod haberem medicamentum, id eis transmitterem, volui prius certiorem me redderent, num ex multo tempore ita fuiffent affecti; praeterea de aliis quoque, quorum paulo ante mentionem fecimus; qui quum per epiftolas refponderent, fex menfes, aut annum jam elapfum effe; utrumque oculum fimiliter, quum probe concoxiffent, melius fefe habere; per crudi-

ἀπεψίαις καὶ ταῖς τοῦ στομάχου δήξεσιν, ἐμεσάντων τε χολῆς καὶ καθισταμένων, οὐδὲν ἔτι περὶ τῆς κόρης ἀξιώσας πυθέσθαι, βεβαίως ἔγνων ὡς οὐκ ἰδιοπάθειαν ἀλλὰ συμπάθειαν εἶναι τῶν ὀφθαλμῶν ἐπὶ τῇ γαστρί· καὶ πέμψας αὐτοῖς τὴν πικρὰν, ἐκείνους μὲν πρῶτον καὶ μάλιστα, διὰ ἐκείνων δὲ καὶ ἄλλους πολλοὺς τῶν ὁμοεθνῶν αὐτοῖς ἰασάμην· ὄντες γὰρ αὐτοὶ πάντες οἷς ἔπεμψα πεπαιδευμένοι, μαθόντες δ᾽ ἐξ ὧν αὐτοῖς ἐπέστειλα τὰς διαγνώσεις τῶν πεπονθότων τόπων, αὐτοί τε τοῦ λοιποῦ ῥαδίως ἐγνώριζον αὐτοὺς, ἐθεράπευόν τε τῷ πικρῷ φαρμάκῳ. παραπλήσια δὲ τοῖς τῶν ὑποχεομένων συμπτώματα γίνεται πολλάκις ἐγκεφάλου πάσχοντος ἔν τισι φρενιτίδων εἴτε εἴδεσιν εἴτε διαφοραῖς ἐθέλοις ὀνομάζειν. εἰσὶν μὲν γὰρ αὐτῆς ἁπλαῖ μὲν δύο, σύνθετος δὲ ἐξ ἀμφοῖν ἡ τρίτη. τινὲς μὲν γὰρ τῶν φρενιτικῶν, οὐδὲν ὅλως σφαλλόμενοι περὶ τὰς αἰσθητικὰς διαγνώσεις τῶν ὁρατῶν, οὐ κατὰ φύσιν ἔχουσι ταῖς διανοητικαῖς κρίσεσιν· ἔνιοι δ᾽ ἔμπαλιν ἐν μὲν ταῖς διανοήσεσιν οὐδὲν σφάλλονται, παρατυπωτικῶς δὲ κινοῦνται κατὰ τὰς αἰσθήσεις, ἄλλοις δέ τισιν κατ᾽

tates atque ftomachi mordicationes gravius iritari; educta vero per vomitum bile, quiescere; nulla facta de pupilla quaeftione, fatis efficaciter me cognoscere putavi non proprio affectu, fed per ventriculi confenfum oculos infeftari, et miffa ipfis picra, ipfos quidem in primis atque praecipue, per eos autem alios quoque multos ipforum conterraneos fanavi. Quum enim omnes, quibus mifi, docti effent, affectorumque locorum notas ex literis meis didiciffent, eos deinde et facile ipfi cognoverunt et amaro medicamento curaverunt. At fimilia quoque fuffufioni fymptomata in quibusdam phrenitidis five fpeciebus five differentiis volueris nominare, affecto cerebro, faepenumero evenire folent; nam fimplices quidem duae funt, ac ex his tertia compofita. Quippe phrenitici quidam in rebus fub afpectum cadentibus dignoscendis nihil errantes, a naturali intellectus judicio aberrant; alii contra cogitatione quidem falluntur minime, fenfibus tamen difformiter moventur; funt praeterea qui et

ἄμφω βεβλάφθαι συμβέβηκεν. ὁ δὲ τρόπος ἑκατέρας τῆς βλάβης τοιόσδ᾽ ἐστίν. καταλειφθείς τις ἐπὶ τῆς οἰκίας ἐν Ῥώμῃ μεθ᾽ ἑνὸς ἐριουργοῦ παιδὸς, ἀναστὰς ἀπὸ τῆς κλίνης ἧκεν ἐπὶ τῆς θυρίδος, δι᾽ ἧς οἷόν τ᾽ ἦν ὁρᾶσθαί τε αὐτὸν καὶ ὁρᾷν τοὺς παριόντας. εἶτα τῶν ὑαλίνων σκευῶν ἕκαστον ἐπιδεικνὺς αὐτοῖς, εἰ κελεύοιεν αὐτὸ βάλλειν, ἐπυνθάνετο. τῶν δὲ μετὰ [455] γέλωτος ἀξιούντων τε βαλεῖν καὶ κροτούντων ταῖς χερσὶν, ὁ μὲν ἔβαλεν ἐφεξῆς ἅπαντα προχειριζόμενος, οἱ δὲ γελῶντες ἐκεκράγεισαν. ὕστερον δέ ποτε πυθόμενος αὐτῶν, εἰ καὶ τὸν ἐριουργὸν κελεύοιεν βληθῆναι, κελευσάντων αὐτῶν, ὁ μὲν ἔβαλεν, οἱ δὲ ἐπεὶ καταφερόμενον ἐξ ὕψους ἐθεάσαντο, γελῶντες μὲν ἐπαύσαντο, πεσόντα δὲ προσδραμόντες ἀνείλοντο συντριβέντα. τὸ δ᾽ ἐναντίον οὐ μόνον ἐπ᾽ ἄλλων, ἀλλὰ καὶ ἐμαυτῷ συμβὰν οἶδα μειρακίῳ τὴν ἡλικίαν ὄντι. πυρέττων γὰρ ἐν θέρει πυρετῷ διακαεῖ, τῆς τε κλίνης ἐξέχειν τινα κάρφη, κατὰ τὴν χρόαν ὀρφνώδη, καὶ τῶν ἱματίων ὁμοίας κροκύδας ἐνόμιζον· εἶτ᾽ ἀφαιρεῖν μὲν αὐτὰς ἐπεχείρουν, οὐδενὸς δὲ ὑπὸ τῶν δακτύλων ἀναφερομένου, συνεχέστερόν τε

fenfus fimul et cogitationis vitio laborant. Utriusque laefionis modus talis eft. Romae quidam domi cum lanifico puero relictus, furgens e cubili venit ad feneftram, per quam et ipfe videri et praetereuntes videre poterat. Deinde vitreorum vaforum unumquodque illis oftendens, interrogabat imperarentne, ut id projiceret; illi vero cum ridentes plaudentesque ut projiceret rogarent, ipfe deinceps omnia manibus arripiens ejecit, at illi magnis acclamationibus rifeerunt. Poftea juberentne lanificum quoque projici, quum eos interrogaffet, atque id illi juffiffent, ipfe quidem dejecit; illi vero ab alto cadentem videntes, fuppreffo rifu, accurrerunt et confractum fuftulerunt. At contrariam affectionem non folum in aliis, verum in me ipfo, quum adolescens adhuc effem, expertus fum. Quum enim per aeftatem ardente febre laborarem, feftucas quidem atro colore ex cubili eminere, et floccos fimiliter in veftibus putabam, quos auferre tentans, nihilque fub digitis eductum inveniens, accuratius

καὶ σφοδρότερον ἐπεχείρουν οὕτω πράττων. ἑταίρων δὲ δυοῖν παρόντων ἀκούσας ἀλλήλοιν λεγόντων, ὡς οὗτος ἤδη κροκυδίζει τε καὶ καρφολογεῖ, συνῆκα μὲν ὡς αὐτὸ τοῦτο πεπόνθοιμι τὸ λεγόμενον ὑπ᾽ αὐτῶν, ἀκριβῶς δὲ παρακολουθῶν ἐμαυτῷ μὴ παραπαίοντι κατὰ τὴν λογιστικὴν δύναμιν, ὀρθῶς, ἔφην, λέγετε, καὶ βοηθεῖτέ μοι, μὴ φρενιτίσω. τραπομένων δ᾽ αὐτῶν ἐπὶ τὰς προσηκούσας ἐπιβροχὰς τῆς κεφαλῆς, δι᾽ ὅλης τῆς ἡμέρας καὶ νυκτὸς ἐνύπνια μέν μοι ταραχώδη τινὰ συνέπεσεν ἄχρι τοῦ βοῆσαί τε καὶ ἀναπηδῆσαι πρὸς ταῦτα, κατέστη δὲ τὰ συμπτώματα πάντα κατὰ τὴν ἑξῆς ἡμέραν. εὔδηλον οὖν ὅτι τῶν συμπτωμάτων ἡ γένεσις ἐπὶ μὲν αἰτίᾳ μιᾷ καὶ τῇ αὐτῇ κατ᾽ εἶδος, οὐκ ἐκ τοῦ αὐτοῦ δὲ πρωτοπαθοῦντος ὁρμᾶται τόπου, τοῖς ἐπ᾽ ἐγκεφάλῳ τε καὶ γαστρὶ κατὰ συμπάθειαν, ὡς εἴρηται, πάσχουσιν· ὅτ᾽ ἂν γὰρ ἀθροισθῇ τις ἐν ἐγκεφάλῳ χολώδης χυμὸς ἅμα πυρετῷ διακαεῖ, παραπλήσιόν τι πάσχει τοῖς ὑπὸ πυρὸς ὀπτωμένοις, καὶ κατὰ τοῦτο λιγνύν τινα γεννᾷν πέφυκεν, ὥσπερ κᾀν τοῖς λύχνοις τοὔλαιον· ἥτις λιγνὺς συνδιεκπίπτουσα τοῖς ἐπὶ τὸν

vehementiusque id efficere conabar. Audiens autem duos ex amicis, qui tum aderant, inter fe dicentes: jam et floccos hic evellit et feftucas colligit; ftatim intellexi id ipfum quod dicebant, me feciffe. Quum vero fic animo conftarem, ut rationalis in me facultas non vacillaret, recte, inquam, dicitis, proinde ne phrenitis me arripiat, auxilio eftote. Illi autem quum idoneis rigationibus caput foverent, tota die fequentique nocte gravibus infomniis turbatus fum, ut ad ea et clamarem et exilirem, verum poftero die mitigata funt omnia fymptomata. Igitur conftat, quod ab una eademque caufa fecundum fpeciem fymptomatum ortus, non autem ab eadem fede primario affecta emergit iis, qui ex cerebro et per ventriculi confenfum, ut dictum eft, laborant. Quum enim in cerebro aliquis biliofus humor collectus fuerit una cum febre perurente, is afficitur peraeque ac ea quae ad ignem torrentur, oriturque tum fumus quidam, veluti in lucernis ab oleo; qui fumus per vafa ad oculum tendentia

Ed. Chart. VII. [455.] Ed. Baf. III. (284.)

ὀφθαλμὸν ἀφικνουμένοις ἀγγείοις, αἰτία γίνεται τῶν φαντασμάτων αὐτοῖς· ἐθεάσασθε γὰρ ἐν ταῖς ἀνατομαῖς ἅμα τοῖς νεύροις ἐπὶ τὸν ὀφθαλμὸν ἀρτηρίας τε καὶ φλέβας συνδιεκπιπτούσας ἀπὸ τῶν τὴν χοροειδῆ μήνιγγα διαπλεκουσῶν. ἀλλὰ καὶ οὗτος ὁ λόγος ἐνταυθοῖ τελευτάτω, διωρισμένος ἱκανῶς· ἐφεξῆς δὲ περὶ τῶν ἄλλων ἐν ὀφθαλμοῖς μερῶν εἴπωμεν, ἕνα μὲν κοινὸν λόγον, ὡς τὰ φαινόμενα σαφῶς ἡμῖν μόρια μὴ φυλάττοντα τὴν φυσικὴν κατάστασιν, οὐ πρόκειται νῦν διαγιγνώσκειν, ἀλλ᾽ ἐφ᾽ ὧν ἀφανὲς αἰσθήσει τὸ πεπονθός ἐστιν μόριον· ὡς ἐφ᾽ ὧν γε φαίνεται σαφῶς ἤτοι διεῤῥωγός τι τῆς κόρης, ἢ παρεσπασμένον, ἢ παρὰ φύσιν ηὐξημένον ἢ μεμειωμένον, αὐτὸ μὲν τὸ πεπονθὸς οὐδεμιᾶς δεῖται σοφίας εἰς διάγνωσιν, ἥτις δέ ἐστιν ἡ ποιοῦσα διάθεσις αὐτὸ, τῆς ἰατρικῆς τέχνης ἔργον ἐπίστασθαι, καὶ γέγραπται περὶ αὐτῶν ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις· ὥστ᾽ οὐδὲν ἔτι δέομαι λέγειν ἐν τῷδε περὶ τῶν ἐν ὀφθαλμοῖς πεπονθότων μορίων τῶν αἰσθητῶν, ὥσπερ οὐδὲ περὶ τῶν ἐν αὐτοῖς παθῶν. τὰ μὲν γὰρ ὀνόματα τῶν παθῶν ἐν ἑνὶ μικρῷ βιβλίῳ γέγραπται, τὴν

delapfus, viforum ipfis caufa fit. In diffectionibus enim vidiftis arterias et venas ab iis vafis, ex quibus choroides membrana contexta eft, fimul cum nervis ad oculum defcendere. Verum huic fermoni, fatis jam definito, finem imponamus; de reliquis deinceps oculorum partibus in univerfum dicamus, noftri inftituti non effe nunc earum partium, quae manifefte fenfu percipiuntur, fi a naturali conftitutione aberraverint, notas perfcribere, fed illarum, quae quum affectae fuerint, fenfum latent. Nam quum pupillae pars aliqua manifefte videtur aut fracta, aut diftorta, aut praeter naturam vel aucta vel imminuta, affecta pars nulla ad fui dignotionem eget fapientia, at vero quae fit difpofitio hujusmodi faciens affectum, fcire, artis medicae munus eft, ac de iis in libro de caufis fymptomatum fcriptum eft; proinde nihil hic jam mihi dicendum eft de affectis in oculo partibus, quas fenfus confequi poteft, ut neque de ipfarum affectibus; nam affectuum quidem nomina uno parvo libro, cui titulus

ἐπιγραφὴν ἔχοντι, τῶν ἐν ὀφθαλμοῖς παθῶν διάγνωσις· αἱ δ' αἰτίαι, καθάπερ ἔφην, ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις εἴρηνται.

Κεφ. γ'. [456] Καιρὸς οὖν ἤδη μεταβαίνειν ἐπὶ τὴν γλῶτταν. ἑώραται δ' ἡμῖν ἐπ' αὐτῆς ἐνίοτε μὲν ἡ κίνησις, ἐνίοτε δὲ ἡ τῆς γεύσεως αἴσθησις βεβλαμμένη, καί ποτε μὲν σὺν αὐτῇ καὶ ἡ τῆς ἁφῆς. οὐκ ἔστι δ' ἄλλα μὲν ἁφῆς, ἄλλα δὲ γεύσεως νεῦρα, καθάπερ τὰ τῆς κινήσεως· τὰ γὰρ ἀπὸ τῆς τρίτης συζυγίας οὐ μόνον τῶν ἁπτῶν, ἀλλὰ καὶ τῶν γευστῶν ἐστι διαγνωστικά. πλεονάκις δὲ βλάπτεται τῶν γευστῶν ἡ αἴσθησις ἤπερ ἡ τῶν ἁπτῶν, καίτοι τῶν αὐτῶν οὖσα νεύρων, ὡς ἂν ἀκριβεστέρας δεομένη διαγνώσεως. παχυμερέστατον μὲν γὰρ τὸ τῆς ἁφῆς αἰσθητήριον, ὥσπερ τὸ τῆς ὄψεως λεπτομερέστατον· δεύτερον δὲ μετὰ τὴν ὄψιν ἐν λεπτομερείᾳ μὲν τὸ τῆς ἀκοῆς, ἐν παχυμερείᾳ δὲ μετὰ τὴν ἁφὴν τὸ τῆς γεύσεως, ὥσπερ ἐν μέσῳ τῶν τεττάρων τὸ τῆς ὀσφρήσεως. ἡ δὲ κίνησις τῆς γλώττης παρὰ τῆς ἑβδόμης ἐστὶ συζυγίας τῶν ἐξ ἐγκεφάλου πεφυκότων νεύρων, ἐγγὺς τῆς

eſt, de dignoscendis oculorum affectibus, perſcripta ſunt; cauſae autem, ut diximus, libro de ſymptomatum cauſis enarratae ſunt.

Cap. III. Tempus igitur eſt, ut ad linguam oratione transeamus. Videmus interdum ipſius motum, interdum guſtandi ſenſum laedi, atque nonnunquam cum eo tactum quoque. Non autem aliis guſtus, aliis tactus nervis utitur, ut in motu; nervi enim a tertia conjugatione orti non ſolum quae ſub tactum cadunt, verum etiam quae ſub guſtum, ea discernunt. Verum crebrius laeditur guſtandi quam tangendi ſenſus, quamvis iisdem nervis uterque utatur, quod exactiore judicio illi opus ſit. Tangendi enim ſenſorium eſt craſſiſſimum, ſicuti cernendi tenuiſſimum, auditus vero ſenſorium, ut in tenuitate a viſu, ita ſenſorium guſtus in craſſitudine a tactu ſecundum locum obtinet, ut olfaciendi ſenſorium in illorum quatuor medio conſtituitur. Motus autem linguae eſt a ſeptima nervorum a cerebro or-

κατὰ τὸν νωτιαῖον ἀρχῆς οὖσα. ὅταν μὲν οὖν (285) ἀμφότερα τὰ μέρη τοῦ ἐγκεφάλου, τό τε δεξιὸν καὶ τὸ ἀριστερὸν, κατὰ τοῦτο τὸ χωρίον ᾖ πεπονθότα, τοὺς ἀποπληκτικοὺς ἐπιφέρει κινδύνους· ὅτ᾽ ἂν δὲ θάτερον μόνον, εἰς παραπληγίαν τελευτᾷ, ποτὲ μὲν τῇ τῆς γλώττης κινήσει μόνῃ λυμαινομένην κατὰ τὸ ἥμισυ μέρος, ἔστι δ᾽ ὅτε καὶ τοῖς κάτω τῆς κεφαλῆς μορίοις ἄλλοτ᾽ ἄλλοις ἐγκατασκήπτουσαν, ποτὲ δὲ καὶ παντὶ θατέρῳ μέρει τοῦ σώματος ἄχρι ποδῶν ἄκρων. ἡ δ᾽ οὖν γλῶττα πολλάκις ἑώραται βλαπτομένη τὴν εἰρημένην βλάβην μόνη τῶν κατὰ τὸ πρόσωπον μερῶν, μήτε τῆς ἁπτικῆς αἰσθήσεως ἐν αὐτῇ μήτε τῆς γευστικῆς βεβλαμμένων. καὶ ἡ αἰτία πρόδηλος ὑμῖν ἐστιν ἑωρακόσιν τὰς ἐξ ἐγκεφάλου τῶν νεύρων ἀποφύσεις εἰς μὲν τὸ πρόσωπον ἀπὸ τοῦ προσθίου μέρους αὐτοῦ γινομένας, εἰς δὲ τὰ κάτω μέρη τοῦ προσώπου πάντα τὰ καθ᾽ ὅλον τὸ ζῶον ἀπὸ θατέρου μέρους τοῦ ὄπισθεν, ἐξ οὗ μέρους ἐστὶ καὶ ἡ συζυγία τῶν ἐπὶ τοὺς τῆς γλώττης μῦς ἀφικνουμένων νεύρων, ὑφ᾽ ὧν αἱ κατὰ προαίρεσιν αὐτῆς γίνονται κινήσεις. ὥστε πάλιν εἰκότως, ὅτ᾽ ἂν τὸ πρόσθιον ἐγκεφάλου πάθῃ μέρος μόνον, ἡ μὲν τῆς γλώτ-

torum conjugatione, non longe a fpinalis medullae initio. Quum igitur hoc in loco utraque cerebri pars, tam dextra quam finiftra, afficitur, apoplectica infert pericula; ubi vero altera tantum, in paraplegiam finit, quae quidem interdum dimidiae partis folum linguae motum evertit, interdum vero partes fub capite conftitutas modo has modo illas infeftat; nonnunquam alterum latus univerfi corporis usque ad extremas pedum partes. Igitur ex faciei partibus fola lingua faepenumero videtur jam dicta laefione oblaedi, quum nulla fit neque in tactu ipfius, neque in guftu laefio. Atque caufa haud obfcura vobis eft, qui vidiftis nervorum a cerebro proceffus ad faciem quidem a parte ejus anteriore, ad partes vero totius animalis fub facie omnes ab altera parte pofteriore, a qua etiam eorum nervorum, qui ad linguae musculos veniunt, conjugatio procedit, quibus ipfa motum ab electione perficit. Itaque rurfus non abs re, quum anterior duntaxat cerebri pars afficitur, fola linguae motio vitio ca-

της κίνησις ἀβλαβὴς διασώζεται μόνη, τὰ δ᾽ ἄλλα πάντα τὰ κατὰ τὸ πρόσωπον μόρια τὰς αἰσθητικὰς καὶ προαιρετικὰς κινήσεις ἀπόλλυσι, κατὰ θάτερον δηλονότι μέρος, ἤτοι τὸ δεξιὸν ἢ τὸ ἀριστερόν. ἐὰν γὰρ ὅλον ποτὲ πάθῃ τὸ πρόσθιον ἐγκεφάλου, συμπάσχειν μὲν ἀναγκαῖόν ἐστι καὶ τὰ περὶ τὴν ὑψηλοτάτην αὐτοῦ κοιλίαν, βλάπτεσθαι δὲ καὶ τὰς διανοητικὰς αὐτῶν ἐνεργείας. καὶ κεῖται ἀναίσθητος μὲν καὶ ἀκίνητος ὁ οὕτως παθὼν, οὐδὲν δ᾽ εἰς τὴν ἀναπνοὴν βλάπτεται, καὶ καλεῖται τὸ πάθος τοῦτο κάρος, ὡς τό γε καὶ τὴν ἀναπνοὴν βλάπτον οὕτως ἰσχυρῶς, ὡς μετὰ πολλῆς βίας ἀναπνεῖν μόγις ὁμοίως τοῖς ῥέγχουσιν ἐν ὕπνοις βαθέσιν ἀποπληξία προσαγορεύεται. καὶ τοίνυν καὶ διαδέχεται τὴν μὲν τῆς ἀποπληξίας λύσιν ἡ καλουμένη παραπληγία πάνυ πολλάκις, ἐπὶ δὲ τοῖς κάροις παυομένοις ὑγεία τοὐπίπαν πολλάκις ἀκολουθεῖν εἴωθεν. γίνεται δὲ κάρος ἐπί τε τοῖς τῶν κροταφιτῶν μυῶν πάθεσιν, ὡς Ἱπποκράτης ἐδήλωσεν, κἂν τοῖς ὀξέσι νοσήμασιν, ὡς καὶ τοῦτ᾽ ἔγραψεν ὁ αὐτὸς Ἱπποκράτης· ἐν τῷ μέσῳ δέ πως ἀμφοῖν ἐστι, τοῦ τε κάρου καὶ τῆς ἀποπληξίας, ἡ ἐπιληψία, σπασμοὺς μὲν ἐπιφέρουσα παντὸς τοῦ σώματος, οὐ

ret; reliquae vero faciei partes omnes in altera fcilicet parte, dextra aut finiftra, fenfum et motum ab electione amittunt. Si enim aliquando fola anterior cerebri pars afficiatur, fupremum ipfius ventrem ei confentire neceffe eft, atque mentis quoque ipfis actiones oblaedi. Et qui ita affectus eft, neque fenfus neque motus munere fungitur, refpirandi tamen facultas haudquaquam ipfi laeditur, vocaturque hic affectus fopor, ut qui adeo vehementer refpirationem laedit, ut magno conatu vix refpirare poffit, eorum exemplo qui per gravem fomnum ftertunt, apoplexia nominatur. Ac proinde folutae apoplexiae creberrime fuccedit vocata paraplegia; fopore vero finito, bona valetudo magna ex parte fubfequitur. Fit autem fopor, Hippocrate auctore, tum musculis temporum affectis, tum in acutis morbis, ut idem Hippocrates quoque fcripfit. Inter utrumque vero, soporem et apoplexiam, morbus comitialis quodammodo medius eft, convulfionem afferens univerfo corpori, fed in pa-

μὴν εἰς παραπληγίαν τελευτῶσα. ψυχρὸς μὲν οὖν καὶ παχὺς [457] ἢ πάντως γε γλίσχρος χυμός ἐστιν αἴτιος τῶν τριῶν τούτων νοσημάτων. ἀλλ᾽ ἐν μὲν τοῖς κάροις τε καὶ ταῖς ἐπιληψίαις αἱ κοιλίαι μὲν μᾶλλον, ἧττον δὲ αὐτὸ τὸ σῶμα τοῦ ἐγκεφάλου πάσχειν εἴωθεν, ἐν δὲ ταῖς ἀποπληξίαις μᾶλλον τὸ σῶμα· καὶ κατὰ μὲν τοὺς κάρους τὰ πρόσω μᾶλλον, ἐν δὲ ταῖς ἀποπληξίαις τε καὶ ἐπιληψίαις ἀμφότερα· κατὰ δὲ τὰς καταλήψεις τε καὶ κατοχὰς ὀνομαζομένας τὰ ὀπίσω πάσχει μᾶλλον. ὅτ᾽ ἂν δὲ ἀνατιτραμένου τινὸς ὀστοῦ ἡ μέση κοιλία θλιφθῇ, κάρος καταλαμβάνει τὸν ἄνθρωπον ἄνευ τοῦ σπᾶσθαί τε καὶ δυσχερῶς ἀναπνεῖν, ὧν τὸ μὲν ἐπιληψίας, τὸ δὲ τῆς ἀποπληξίας ἐστὶν ἴδιον, ὥσπέρ γε καὶ κάρου καὶ καταλήψεως ἡ κατὰ φύσιν ἀναπνοὴ σωζομένη. ἀλλ᾽ ὁ μὲν κάρος κεκλεισμένων γίγνεται τῶν βλεφάρων, ἡ κατάληψις δὲ ἀνεῳγότων. ὥσπερ δὲ ἐν ταῖς ἀνατρήσεσιν, ὅτ᾽ ἂν ἀμελῶς τις πιέζων τῷ μηνιγγοφύλακι τὴν μήνιγγα θλίψῃ περαιτέρω τοῦ προσήκοντος, ὁ κάρος γίγνεται, κατὰ τὸν αὐτὸν τρόπον, ὅτ᾽ ἂν ὀστοῦν συντριβὲν σφοδρῶς τοῦ κρανίου θλίβῃ τὰς κοι-

raplegiam non definens. Horum igitur trium morborum frigidus ac craffus, aut omnino viscidus humor caufa eft; verum in fopore et morbo comitiali ventres magis, cerebri corpus minus, in apoplexia vero corpus magis affici folet; et in fopore quidem anterior pars magis, in apoplexia et morbo comitiali utraque afficitur. In catalepfi vero et catoche dicta pofteriora cerebri potius afficiuntur. Quum autem offe quopiam terebra perforato, medius ventriculus fuerit compreffus, fopor hominem occupat fine convulfione et difficili refpiratione; quarum haec quidem apoplexiae, illa vero epilepfiae propria eft, quemadmodum et catalepfi foporique fervata fecundum naturam refpiratio; verum per foporem palpebrae clauduntur, in catelepfi manent apertae. Quemadmodum autem inter perforandum, quum quis membranam negligenter premens meningophylace nimium compref-ferit, fopor accidit, eodem modo ubi os calvariae vehementer attritum, ipfius ventriculos comprimit, maximeque me-

Ed. Chart. VII. [457.] Ed. Baf. III. (285.)

λίας αὐτοῦ, καὶ μάλιστα τὴν μέσην, ὁ κάρος συμπίπτει· ἕπεται δὲ καὶ σφοδραῖς ὀδύναις τὸ πάθος τοῦτο, καταπίπτοντος ἐν αὐταῖς τοῦ κατὰ τὸ ψυχικὸν πνεῦμα τόνου· καλῶ δὲ οὕτως, ὡς ἴστε, τὸ κατὰ τὰς κοιλίας τοῦ ἐγκεφάλου πρῶτον ὄργανον ὑπάρχον τῇ ψυχῇ πρὸς τὸ διαπέμπειν εἰς ἅπαντα τὰ μέρη τοῦ σώματος αἴσθησίν τε καὶ κίνησιν. τὰ μὲν οὖν κατὰ τὸν ἐγκέφαλον, οἰκειότητί τε τοῦ προκειμένου λόγου καὶ διότι κατὰ τὸν ἔμπροσθεν λόγον ἀδιοριστότερον εἴρηται, διορίσασθαί μοι νῦν ἄμεινον ἔδοξεν· αὖθις δ᾽ ἐπὶ τὰ τῆς γλώττης ἐπάνειμι πάθη, τὰ μὲν κοινὰ διὰ τὴν πρὸς τὸν ἐγκέφαλον καὶ τὰ νεῦρα κοινωνίαν, τὰ δὲ ἴδια μόνης αὐτῆς. τῇ μὲν οὖν πρὸς τὸν ἐγκέφαλον αὐτῆς κοινωνίᾳ καθάπερ εἰς τὴν κίνησιν ἐβλάπτετο διὰ τὴν ἑβδόμην συζυγίαν, οὕτως εἰς τὴν αἴσθησιν ἐμποδίζεται διὰ τὴν τρίτην, ἣν ὀνομάζουσι μαλακὸν νεῦρον οἱ ἀνατομικοὶ, καταφυομένην, ὡς ἴστε, καὶ κατασχιζομένην εἰς τὸν περιλαμβάνοντα τὴν γλῶτταν χιτῶνα, καθάπερ τι τῶν ἀπὸ τῆς ζ συζυγίας εἰς τοὺς κινοῦντας αὐτὴν μύας. τὰ δ᾽ ἴδια μόνης τῆς γλώττης πάθη τοῖς μεμνημένοις ὅσα

dium, fopor fupervenit. Imo etiam vehementes dolores hic affectus fequitur, concidente in ipfis fpiritus animalis robore; voco autem fic, ut fcitis, eum qui eft in cerebri ventriculis, primum animae organum ad fenfum et motum in univerfas corporis partes transmittendos. Cerebri affectus, tum quod jam propofito fermoni familiaritate conjunguntur tum etiam quod antea non fatis declarati fuerunt, operae pretium duximus in praefentia definire. Sed ad linguae affectus redeo, quorum alii quidem communes funt, per communicationem quam cum cerebro et nervis habet; alii ipfius duntaxat proprii. Igitur ipfius communicatione cum cerebro ut per feptimam nervorum conjugationem motus ipfius laedebatur, ita fenfus interturbatur per tertiam, quam nervum mollem diffectores appellant, quae fe inferit dispergitque, ut fcitis, in tunicam linguam comprehendentem, quemadmodum qui a feptima conjugatione oritur, musculis ipfam moventibus. Proprii autem folius linguae affectus, ab iis

Ed. Chart. VII. [457.] Ed. Baf. III. (285.)

περὶ τῶν κατὰ τοὺς ὀφθαλμοὺς ἰδίων ἀρτίως εἶπον, οὐ χαλεπῶς εὑρεθήσεται. καὶ γὰρ ταύτης αἱ μὲν δυσκρασίαι τῶν μυῶν, ὡς ὁμοιομερῶν, ἐμποδίζουσι ταῖς κινήσεσιν, ὥσπέρ γε καὶ τοῦ περιέχοντος ἔξωθεν αὐτὴν ὑμένος, ἀμφοτέραις ταῖς αἰσθήσεσιν, ἁπτικῇ τε καὶ γευστικῇ· αἵ θ᾽ ὡς ὀργανικῶν παθῶν φλεγμοναὶ καὶ σκίῤῥοι καὶ οἰδήματα καὶ ἐρυσιπέλατα καὶ διαπυήσεις, ἅπερ ἅπαντα τῆς ἐνεστώσης ἀφώρισται πραγματείας, ὁρῶσίν τε ἡμῖν καὶ ἁπτομένοις διαγιγνωσκόμενα· πρόκειται γὰρ, ὅσα μήτ᾽ ὄψει μήθ᾽ ἁφῇ διαγνῶναι δυνάμεθα πάσχοντα μόρια, ταῦτ᾽ ἐπισκέψασθαι, διὰ τίνων σημείων ἐνδεικτικῶς τε καὶ τὸ σύμπαν φάναι λογικῶς νῦν εὑρεθησόμενα.

Κεφ. δ'. Κατὰ τὸν αὐτὸν οὖν λόγον ἐπὶ τῆς ἀκουστικῆς αἰσθήσεως, ὅσα μὲν ἐν αὐταῖς ταῖς ὁρωμέναις κοιλότησι τῶν ὤτων γίνεται παθήματα, λογικῆς οὐ δεῖται γνώσεως· ὅσα δὲ ἀπαθοῦς φαινομένου τοῦ κατὰ τὰ ὦτα πόρου, βλαπτομένου δὲ κατὰ τὴν ἀκουστικὴν ἐνέργειαν, ὁμοίᾳ μεθόδῳ γνωριοῦμεν· εἰ μὲν μόνη πάσχει, τὸ ἴδιον νεῦρον

qui dictorum jam fupra de oculorum propriis affectibus meminerint, haud difficulter invenientur. Etenim musculorum ipfius intemperies, tanquam fimilarium, motum impediunt, ut ambientis ipfam extrinfecus membranae intemperies, tangendi et guftandi fimul fenfum laedit; tanquam autem organicarum affectionum, inflammationes, fcirrhi, oedemata, eryfipelata, fuppurationes; quae omnia, utpote quae tum vifu, tum tactu discerni queant, ab hisce commentariis funt fejuncta. Nam eas affectas partes confiderare propofuimus, quae neque vifu neque tactu dignoscere poffumus, quibus fignis ex indicatione, atque, ut fummatim dicam, rationali via inveniri poffint.

Cap. IV. Eadem igitur ratione in fenfu auditus, quicunque affectus in aurium oculis objecta concavitate oriuntur, rationali cognitione non indigent; qui vero illaefo apparente aurium foramine, fed in audiendi actione laefo, fimili via et ratione noscemus. Si folus laedatur, fane ner-

πεπονθέναι λογιζόμεθα· σὺν δὲ τοῖς ἄλλοις τοῦ προσώπου μορίοις ἐν ἐγκεφάλῳ τὴν παρὰ φύσιν εἶναι διάθεσιν, ἢ ὡς ὁμοιομεροῦς, ἢ ὡς ὀργανικοῦ μορίου πεπονθότος αὐτοῦ.

Κεφ. έ. [458] Καὶ τῶν ἄλλων δὲ τόπων ἁπάντων τῶν κατὰ τὸ πρόσωπον οὐ μόνον ἡ κίνησις, ἀλλὰ καὶ ἡ αἴσθησις ἤτοι γε ἀπόλλυται παντάπασιν ἢ βλάπτεται, ποτὲ μὲν αὐτῶν ἰδιοπαθούντων τῶν βεβλαμμένων τὰς ἐνεργείας μορίων, ποτὲ δὲ τῶν ἐξ ἐγκεφάλου φερομένων ἐπ᾽ αὐτὰ νεύρων, ἢ καὶ δι᾽ αὐτὸν τὸν ἐγκέφαλον πάσχοντα· διορισθήσεται δ᾽ ἀλλήλων ἅπαντα διὰ τῶν ἐζευγμένων αὐτοῖς συμπτωμάτων. ὅτ᾽ ἂν μὲν γὰρ ἕν τι μόριον ἤτοι γε εἰς αἴσθησιν ἢ εἰς κίνησιν ἢ εἰς ἄμφω τύχῃ βλαβὲν, αὐτὸ μόνον ἐκεῖνο τὴν αἰτίαν ἔχει τῆς διαθέσεως, ἤτοι γε ἐν τοῖς ἰδίοις μορίοις ὀργανικῶς ἢ κατὰ δυσκρασίαν πάσχουσιν, ἢ ἐν τοῖς εἰς αὐτὰ φερομένοις νεύροις ἀπὸ τῆς τρίτης συζυγίας· ὅταν δὲ ἅμα πλείω πεπόνθῃ μόρια, σκεπτέον, εἴτε ἐκ μιᾶς ἀρχῆς νεύρων, εἴτε ἐκ πλειόνων ἔχει τὴν αἴσθησιν ἢ τὴν κίνησιν ἐν τῷ κατὰ

vum proprium affectum effe conjicimus; cum caeteris vero faciei partibus fi afficiatur, in cerebro affectum praeter naturam effe, ipfo vel ut fimilari, vel ut organica parte, affecto.

Cap. V. Sed et reliquorum omnium locorum qui in facie funt, non folum motus, verum etiam fenfus, aut perditur omnino, aut laeditur, interdum quidem partibus qui laefas habent actiones, proprio affectu laborantibus; interdum vero nervis, qui ad eas a cerebro deferuntur, aut etiam ipfomet cerebro affecto; haec autem omnia per copulata ipfis fymptomata diftinguentur. Quum enim una quaedam pars in fentiendi, aut movendi, aut utraque facultate laeditur, ea fola caufam affectus continet, aut fuis ipfius partibus vel organice vel per intemperiem laborantibus, aut nervis, qui ad ipfam ex tertia conjugatione feruntur. At ubi plures fimul afficiuntur partes, confiderare oportet, utrum ex una nervorum origine, aut pluribus, fenfum motumve, quum

φύσιν διακεῖσθαι. τεθεάμεθα γὰρ ταῦτα διὰ τῶν ἀνατομῶν, τῆς μὲν τρίτης συζυγίας τοῖς γε κροταφίταις μυσὶν καὶ τοῖς μασσητῆρσιν καὶ τοῖς χείλεσι καὶ τοῖς τῆς ῥινὸς πτερυγίοις αἴσθησίν τε καὶ κίνησιν παρεχούσης, τῇ δὲ γλώττῃ τὴν αἴσθησιν μόνην, ὥσπερ γε καὶ τοῖς ἐν τῷ στόματι πᾶσιν· τῆς δὲ δευτέρας τοὺς μῦς τῶν ὀφθαλμῶν μόνους κινούσης, ὥσπερ γε καὶ τῆς πρώτης τὴν ὀπτικὴν αἴσθησιν αὐτοῖς παρεχούσης. ἐὰν οὖν ποτε τὰ παρὰ τῆς τρίτης συζυγίας νευρούμενα μόρια πάντα φαίνηται βεβλαμμένα κατὰ θάτερον (286) δηλονότι μέρος, ἀεὶ γὰρ χρὴ τούτου μεμνῆσθαι, κἂν μὴ ῥηθῇ πόθ᾿ ὑπ᾿ ἐμοῦ, τὴν πρωτοπάθειαν ἡγεῖσθαι χρὴ τοῦ νεύρου γεγονέναι· κατ᾿ ἄμφω δὲ τὰ μέρη τῆς βλάβης συμβάσης, οὐ τοῦ νεύρου τὸ πάθος ἴδιον, ἀλλὰ τοῦ κατὰ τὸν ἐγκέφαλον τόπου πρώτως ἐστὶν, ὅθεν ἐκφύεται τὰ νεῦρα. πάσχοντι δ᾿ ἐγκεφάλῳ κατ᾿ ἄμφω τὰ μέρη, τό τ᾿ ἀριστερὸν καὶ τὸ δεξιὸν, ἐν τῷ κατὰ τρίτην συζυγίαν χωρίῳ συμπάσχει καὶ τὰ πλησιάζοντα, καὶ διὰ τοῦτο τά τε κατὰ τὴν δευτέραν καὶ τὴν πρώτην συζυγίαν βλάπτεται νεῦρα, καὶ τῇ τούτων ἀκολουθεῖ βλάβῃ καὶ τὰ κατὰ τοὺς ὀφθαλμοὺς μόρια βλάπτεσθαι

in naturali ſunt habitu, ſortiantur. Vidimus enim ex diſſectionibus, temporalibus et manſoriis musculis, item labris et narium pinnis, ſenſum et motum, linguae vero omnibusque oris partibus ſenſum duntaxat a tertia nervorum conjugatione procedere; a ſecunda vero oculorum musculis motum, ſicuti a prima oculis ipſis cernendi ſenſum ſuppeditari. Igitur ubi partes, quibus a tertia conjugatione nervi adveniunt, omnes, ſed in alterutra ſcilicet parte, laeſae videntur, ſemper enim hoc, etiamſi non dicamus, oportet meminiſſe, nervum ipſum primario affectum eſſe putandum eſt. Si vero utramque ſimul laedi contigerit, non nervi proprius, ſed ejus in cerebro loci, a quo nervi procedunt, primarius affectus eſt. Affecto autem in utraque parte, tam dextra quam ſiniſtra, cerebro, in ſpatio tertiae conjugationis vicinae partes per conſenſum afficiuntur, proinde et ſecundae et primae conjugationis nervi laeduntur, horumque laeſionem ſequitur, ut oculorum quoque partes omnes laedantur.

πάντα· μόνου δ᾽ ἑνὸς μυὸς ἢ νεύρου παθόντος ὁπωσοῦν, εἴτε κατ᾽ ἰδιοπάθειαν, εἴτε κατὰ συμπάθειαν, ἐπὶ τὸν ἀντικείμενον μῦν ἐπισπᾶται τὸ μόριον, ἐὰν μὲν ὁ τὸ δεξιὸν χεῖλος κινῶν μῦς παραλυθῇ, πρὸς τὴν ἀριστερὰν χώραν ἀπαγομένου τοῦ κατὰ τοῦτο τὸ μέρος χείλους, ὅτ᾽ ἂν δὲ ὁ τὸ ἀριστερὸν, ἐπὶ τὴν δεξιάν. ὡσαύτως δὲ κἀπὶ τῆς γέννυος ὅλης, καὶ τῶν τῆς ῥινὸς πτερυγίων, καὶ τῶν γνάθων ἑκατέρας, ἃς ἐμάθετε κινουμένας ὑπὸ τοῦ μυώδους πλατύσματος, ἐπὶ τὰ ἐναντία τῷ παραλελυμένῳ συμβαίνει παρασπᾶσθαι τὸ μέρος, οὐκ ἔτ᾽ ἐπὶ τούτου παρὰ τῆς τρίτης συζυγίας τῶν νεύρων ἡκόντων, ἀλλ᾽ ἐκ τῶν κατὰ τὸν τράχηλον σπονδύλων εἰς ἅπαν ὀλίγου δεῖν, ὅτι μὴ κατὰ μέρος τι μικρὸν αὐτοῦ τῶν παρὰ τῆς πέμπτης συζυγίας ἐμφυομένων νεύρων, ἔνθα τὸ πλάτυσμα τὴν ὑψηλοτάτην ἔχει χώραν.

Κεφ. στ΄. Μετιέναι δ᾽ ἤδη καιρὸς ἐπὶ τὰ τοῦ νωτιαίου πάθη. τὰ τοῦ νωτιαίου μυελοῦ πάθη σύντομον μὲν ἔχει τὴν ἐν τῷ παρόντι διδασκαλίαν, οὐ σύντομον δὲ τὴν ἐπὶ τῶν ἔργων γνῶσιν αὐτῶν· εἰ μὴ γὰρ μνημονεύοι τις ἑκάστην συζυγίαν τῶν ἀπ᾽ αὐτοῦ πεφυκότων νεύρων, ἐς ὅτι παραγί-

Quod fi unus musculus, vel nervus quoquo modo, five primario affectu, five per confenfum fuerit affectus, pars in adverfum trahitur musculum; refoluto fcilicet musculo dextrum labrum movente, ipfum ad finiftram deflectitur; at fi is qui finiftrum, ad dextram. Similiter et in tota maxilla et narium pinnis et buccis utrisque, quas a lato musculo moveri didiciftis, in adverfam ei quae refoluta eft, partem deflecti contingit; ad hunc *latum musculum* nervis non item a tertia conjugatione venientibus, fed a vertebris cervicis in totum fere eum, parte quadam ipfius exigua excepta, in quam nervi a quinta conjugatione inferuntur, ubi eft altiffima hujus lati musculi regio.

Cap. VI. Sed jam tempus eft, ut ad fpinalis medullae affectus accedamus. Spinalis medullae affectus in praefenti concifam habent doctrinam, at non facilem in ipfis operibus cognitionem. Etenim, nifi quis nervorum ab ipfa procedentium conjugationes memoria teneat, ad quam

νεται μέρος τοῦ σώματος, ἀδύνατον αὐτῷ γνῶναι κατὰ πόστον ἔπαθεν σπόνδυλον ὁ νωτιαῖος, ὡς τῷ γε μεμνημένῳ ῥάστη ἡ τοῦ πεπονθότος τόπου γνῶσις. ἀλλὰ καὶ κατὰ τὴν τῶν ἄλλων ἁπάντων μορίων διάγνωσιν ἀνάμνησις ἔσται τῶν ἀπὸ τοῦ νω[459]τιαίου μυελοῦ πεφυκότων νεύρων. οἷον εὐθέως ἀπὸ τῶν πρώτων σπονδύλων πασχόντων σπανίως μὲν, ἀλλὰ γίνεται συνάγχη ποτὲ, παιδίοις μᾶλλον ἢ τελείοις, ὑπὲρ ἧς Ἱπποκράτης οὕτως συνέγραψεν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν· ἐπὶ δὲ τῶν κυναγχικῶν παθήματα τοιάδε. τοῦ τραχήλου οἱ σπόνδυλοι εἴσω ἔῤῥεπον, τοῖσι μὲν ἐπὶ πλέον, τοῖσι δὲ ἐπ᾽ ἔλαττον, καὶ ἔξωθεν ἔκδηλος ἦν κοῖλον ἔχων ὁ τράχηλος, καὶ ἤλγει ἐν ταύτῃ ψανόμενος· ἦν δὲ καὶ κατωτέρω τινὶ τοῦ ὀδόντος καλεομένου ὀστοῦ, ὃ οὐχ ὁμοίως ὀξύ ἐστιν, ἔστι δὲ οἷσι καὶ πάνυ περιφανὴς, μείζονι περιφερείῃ. ἢν μὴ σὺν τῷ ὀδόντι καλεομένῳ, φάρυγξ οὐ φλεγμαίνουσα, ἐγκειμένη δέ. τὰ ὑπὸ γνάθων, ὀγκηρὰ, οὐ φλεγμαίνουσιν εἴκελα, οὐδὲ βουβῶνες οὐδενὶ ᾤδησαν, ἀλλὰ τῇ φύσει μᾶλλον· καὶ

corporis partem fingulae perveniant, noscere non poterit in quota vertebra fpinalis medulla fit affecta, ut fi illarum meminerit, facilis erit affectae fedis notitia. Quinetiam ad reliquarum quoque partium omnium notitiam, nervorum, qui a fpinali medulla oriuntur, meminiffe neceffe erit. Veluti ftatim ubi primae vertebrae afficiuntur, licet raro, evenit tamen interdum angina, pueris magis quam adultis; de qua Hippocrates fecundo epidemion ita confcripfit: *Erant angina laborantium affectiones hujusmodi. Cervicis vertebrae intro converfae erant, aliis quidem plus, aliis vero minus, atque in partibus exterioribus manifefta videbatur in cervice cavitas, et dolorem laborans, dum in ea parte tangebatur, fentiebat, erat et aliquanto fub eo offe, quod dentem nominant; quod non adeo acutum eft, quibusdam vero ob rotunditatem majorem omnino confpicuum. Fauces nifi cum dente vocato, non inflammabantur, fed fubfidebant. Partes quae fub malis erant, tumebant, inflammatis haud confimiles; neque ulli bubones erant, fed fecundum naturam magis permanebant. Linguam haud*

γλῶτταν οὐ ῥηϊδίως στρέφοντες, ἀλλὰ μείζων τε αὐτέοις ἐδόκεεν εἶναι καὶ προπετεστέρη. καὶ αἱ ὑπὸ τῆς γλώττης φλέβες ἐκφανέες, καταπίνειν δ' οὐκ ἠδύναντο, ἢ πάνυ χαλεπῶς, ἀλλ' ἐς τὰς ῥῖνας ἐξέφυγεν εἰ πάνυ ἐβιῶντο, καὶ διὰ τῶν ῥινῶν διελέγοντο. πνεῦμα δὲ τούτοισιν οὐ πάνυ μετέωρον. ἔστι δὲ οἷσιν καὶ φλέβες αἱ ἐν κροτάφοισιν καὶ ἐν κεφαλῇσι καὶ αὐχένι, ἐπηρμέναι· βραχὺ δέ τι τουτέων τοῖσι παλιγκοτωτάτοισι, κρόταφοι θερμοὶ, εἰ καὶ τὰ ἄλλα μὴ πυρεταίνοιεν. οὐ μὴν πνιγόμενοι οἱ πλεῖστοι, εἰ μὴ καταπίνειν προθυμοῖντο, ἢ τὸ πτύελον, ἢ ἄλλό τι. οὐδὲ οἱ ὀφθαλμοὶ ἐγκαθήμενοι. οἷσι μὲν οὖν ἦν ἐς ὀρθὸν ἐξόγκωμα μὴ ἑτερόῤῥοπον, οἱ τοιοῦτοι παραπληκτικοὶ οὐκ ἐγίνοντο. ἀπολόμενον δὲ εἴ τινα εἶδον, ἀναμνήσομαι· οὓς δὲ νῦν οἶδα, περιεγένοντο. ἦν δὲ τὰ μὲν τάχιστα ῥηΐζοντα, τὰ δὲ πλεῖστα καὶ ἐς τεσσαράκοντα ἡμέρας περιήει, τούτων δ' οἱ πλεῖστοι καὶ ἀπύρετοι. πολλοὶ δὲ καὶ πάνυ ἐπὶ πολὺν χρόνον εἶχόν τι μέρος τοῦ ἐξογκώματος, καὶ κατάποσις καὶ φωνὴ ἐνσημαί-

facile convolvebant, ſed et major ipſis videbatur atque experta. Venae ſub lingua manifeſtae. Deglutire, niſi admodum moleſte, haud poterant, ſed ſi vehementer cogerentur, in nares effluebat et naribus loquebantur. Spiritus ipſis non admodum elatus. Nonnullis capitis, temporum atque cervicis venae attollebantur, atque horum paululum, quibus dolores recrudescebant, tempora incalescebant, quamvis alias non febricitarent. Plurimi non ſuffocabantur, niſi quum vel ſputum, vel aliud quidpiam deglutire tentarent. Neque ſubſidebant oculi. Quibus igitur tumor neutram in partem deflectebat, ſed rectus erat, nequaquam paraplectici evadebant. Horum ſi quempiam periiſſe mihi conſtiterit, eum recenſebo; quos autem nunc ſcio, ſuperſtites permanſerunt. Atque alii quam celerrime ſanitati ſunt reſtituti, alii plurimi quadraginta dies praeterierunt, atque horum non pauci febris expertes. Multis etiam in longum valde tempus pars quaedam tumoris protrahebatur; ejus rei ſignum tum deglutitio tum vox prae-

νουσα· κίονές τε τηκόμενοι μινύθησίν τινα παρεῖχον πονηρὴν, οὐδὲν δοκέοντες κακὸν ἔχειν. οἱ δὲ ἑτερόῤῥοπα ἔχοντες, οὗτοι ὁκόθεν ἂν ἐγκλιθείησαν οἱ σπόνδυλοι, ταύτῃ παρελύοντο, τάδ᾽ ἐπὶ θάτερα ἥλκετο. ἦν δὲ ταῦτα ἐν προσώπῳ καταφανέα μάλιστα καὶ τῷ στόματι καὶ τῷ κατὰ γαργαρεῶνα διαφράγματι· ἀτὰρ καὶ γνάθοι αἱ κάτω παρηλλάσσοντο κατὰ λόγον. αἱ δὲ παραπληγίαι οὐ διὰ παντὸς τοῦ σώματος ἐγίνοντο, οἷον ἐξ ἄλλων, ἀλλὰ μέχρι χειρὸς τὰ ἀπὸ τοῦ κυναγχικοῦ. οὗτοι καὶ πέπονα ἀναπτύοντες βραχὺ μόγις ἦσαν· οἷσι δὲ ἐς ὀρθὸν, ἀπεπτύοντο· οἷσι δὲ καὶ σὺν πυρετῷ, οὗτοι πολὺ μᾶλλον καὶ δύσπνοοι καὶ διαλεγόμενοι σιαλοχόοι, καὶ φλέβες τούτοισι μᾶλλον ἐπηρμέναι, καὶ πόδες πάντων μὲν ψυχρότατοι, τούτων δὲ μάλιστα· καὶ ὀρθοστατεῖν οὗτοι ἀδυνατώτεροι, καὶ εἴ τινες μὴ αὐτίκα ἔθνησκον· οὓς δὲ ἐγὼ οἶδα, πάντες ἔθνησκον. ταύτην ὅλην τὴν ῥῆσιν ἐξηγησάμην καθ᾽ ἑκάστην ἤδη λέξιν ἐν τῷ δευτέρῳ τῶν εἰς τὸ δεύτερον τῶν ἐπιδημιῶν ὑπομνημάτων· διὰ τοῦτο δὲ νῦν ὅλην αὐτὴν

bebat. Atque eliquatae columellae exilitatem quandam malam praeftabant, quanquam nihil mali habere videbantur. At quibus alterutra pars afficiebatur, ii ea parte, a qua vertebrae inclinatae erant, paralytici evadebant, atque haec ipfa verfus alteram trahebatur. Haec autem et in facie et ore et fepto quod ad gurgulionem eft, maxime deprehendebantur; quinetiam inferiores genae pro ratione mutabantur. Paraplegiae autem non per totum corpus fiebant, ut ex aliis, fed usque ad manum, quae ab anginofa parte erant. Hi et concocta et pauca molefte expuebant, quibus autem in rectum tumor erat, ii fine labore expuebant. Quibus vero et cum febre, hi multo magis et difficulter fpirabant et inter loquendum falivam fundebant, et venae his magis elatae, et pedes omnium quidem frigidiffimi, horum vero maxime. Horum fi aliqui non illico mortui funt, hi tamen erigere fefe haudquaquam poterant, verum quos ego novi, omnes obierunt. Totum hunc textum fecundo libro ejus commentarii, quem in fecundum librum epidemiorum perfcripfimus, ad verbum fere enarravi-

ἔγραψα, διότι πολλοῖς ὁ Ἱπποκράτης ἐμφαίνει γεγονέναι τὴν σπανίως ἡμῖν ἑωραμένην κυνάγχην, ἄνευ τοῦ πάθος ἴδιον ἔχειν τὸν λάρυγγα· καὶ μέντοι καὶ ὅτι κατὰ τοὺς πρώτους γίνεται σπονδύλους, ὧν ὁ δεύτερος ἔχει τὴν ὀδοντοειδῆ καλουμένην ἀπόφυσιν, ἀφ᾽ ἧς ὅλος ὑπό τινων ὀδοὺς προσηγορεύθη. ἀλλὰ νῦν γε κατωτέρω φησὶν τούτου τοῦ σπονδύλου γεγονέναι τὴν κυνάγχην, οὐχ ὁμοίως ὀξεῖαν οὖσαν τῇ κατὰ τὸν δεύτερον γινομένῃ· πρόδηλον γὰρ ὅτι τὰ ὑψηλότερα τοῦ νωτιαίου μέρη κυριώτερα τῶν ταπεινοτέρων ἐστί· ἐὰν μὲν οὖν πολὺ κατωτέρω γένηται τῶν πρώτων δύο σπονδύλων ἡ αὐτὴ διάθεσις, ἔτι καὶ μᾶλλον ἧττων ἀκολουθήσει ἡ βλάβη. [460] μεμαθήκαμεν γὰρ ἡμεῖς ἐκ τῆς ἀνατομῆς, τὰ τοῦ διαφράγματος νεῦρα μετὰ τὸν τέταρτον καὶ πέμπτον σπόνδυλον ἐκφύεσθαι· ἐμάθομεν δὲ κἀν τῇ περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων πραγματείᾳ, τὴν ἀβίαστον ἀναπνοὴν ὑπὸ τοῦ διαφράγματος μόνον γίνεσθαι, προσέρχεσθαι δὲ αὐτῇ τὴν τῶν μεσοπλευρίων μυῶν ἐνέργειαν, ὅταν μείζονος εἰσπνοῆς δεηθῶμεν, ὥσπέρ γε καὶ τὴν τῶν ὑψηλῶν, ὅταν μεγίστης· οὐ μὴν διὰ μεγάλην ἢ μεγίστην ἀναπνοὴν μόνον ἐνεργεῖν ἡμᾶς τούτοις τοῖς μυσὶν,

mus, atque idcirco eum totum hic inferuimus, quod Hippocrates multis oftendat accidiffe anginam nobis raro vifam, nullo exiftente in gutture proprio affectu; quinetiam quod circa primas oriatur vertebras, a quarum fecunda pars dentiformis vocata procedit, unde nonnulli ipfam totam vocavere dentem. At nunc fub hac vertebra inquit factam anginam, non aeque acutam ac quae circa fecundam fit; nam conftat fpinalis medullae partes, quo fuerint altiores, eo effe praeftantiores; proinde fi multo inferior primis duabus vertebris fuerit ipfe affectus, eo minorem adhuc inferet noxam. Nam ex anatome didicimus fepti transverfi nervos fub quarta ac quinta vertebra emergere; praeterea ex commentariis de fpirationis caufis edocti fumus, liberam refpirationem a folo fieri fepto transverfo, accedente ad hanc intercoftalium quoque musculorum actione, ubi majori opus eft refpiratione; ut, fi vehementiffima, fuperiorum quoque; verum non folum ob magnam aut maximam refpirationem horum

Ed. Chart. VII. [460.] Ed. Baſ. III. (286. 287.)

ἀλλὰ καὶ δι' ἄλλας αἰτίας, ὑπὲρ ὧν ἐπὶ πλέον ἐν τοῖς περὶ δυσπνοίας εἴρηται. νυνὶ δ' ὅσον εἰς τὴν τῶν πεπονθότων τόπων γνῶσιν ἀναγκαῖον ἐπίστασθαι, παρὰ τῆς προγεγραμμένης ῥήσεως ἀρκέσει λαβεῖν, ἐκείνου πρότερον ἀναμνησθέντας, ὃ διήλθομεν ἐν τῷ περὶ ἄρθρων, ἐξηγούμενοι τὴν λέξιν, ἔνθα φησίν· σπόνδυλοι δὲ οἱ κατὰ ῥάχιν, ὁκόσοι μὲν ὑπὸ νοσημάτων ἐς τὸ κυφὸν ἕλκονται. βούλεται δὲ οὐ μόνον τὴν ἔσω μετάστασιν τῶν σπονδύλων, ἥ τις ὀνομάζεται λόρδωσις, ἀλλὰ καὶ τὴν εἰς τοὐπίσω ταῖς εἰς τὴν ἔξω χώραν τάσεσιν ἕπεσθαι, ἑλκομένων τῶν νευρωδῶν σωμάτων ὑπὸ τῶν ἐνταῦθα συνισταμένων παρὰ φύσιν ὄγκων. ὅτ' ἂν μὲν οὖν καθ' ἕνα μόνον σπόνδυλον ἡ ὁλκὴ γένηται, λορδοῦσθαι συμβαίνει κατ' ἐκεῖνο τὸ μέρος τὴν ῥάχιν, ὡσαύτως δὲ κἂν ἐφεξῆς ἀλλήλων ἐπὶ δυοῖν ἢ τριῶν σπονδύλων· ὅτ' ἂν οὖν μεταξὺ τῶν ἑλκομένων σπονδύλων εἷς ἢ καὶ πλείους ἀπαθεῖς διαμένωσι, κυρτοῦσθαι συμβαίνει τούτους. ἐπειδὰν μέντοι κατὰ θάτερον (287) μέρος, ἤτοι τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν, ἡ ὁλκὴ γένηται, πρὸς ἐκεῖνον συμβαίνει σκολιοῦσθαι τὴν ῥάχιν.

musculorum actione nos uti, ſed ob alias quoque cauſas, de quibus latius in libris de ſpirandi difficultate dictum eſt. In praeſentia vero ſatis fuerit a praeſcripto *Hippocratis* ſermone tantum accipere quantum ad affectorum locorum dignotionem neceſſarium eſt, ſi prius meminerimus ejus verbi, quod in libro de articulis a nobis explicatum eſt, enarrantibus textum, ubi inquit: *Vertebrarum autem, quae in ſpina ſunt, quaecunque per morbos in gibbum trahuntur.* Vult nimirum non ſolum ad interna vertebrarum luxationem, quam lordoſin vocant, ſed eam quoque qua foras vertebrae labuntur, comitari tenſiones quae ad partes fiunt externas, trahentibus qui ibi praeter naturam conſiſtunt tumoribus, nervoſa corpora. Igitur ubi unica duntaxat vertebra, aut etiam duae, aut tres ſeſe deinceps conſequentes diſtrahuntur, ea parte ſpinam cavari contingit, ubi vero inter diſtractas vertebras vel una vel plures illaeſae permanſerint, ſic affectis gibbus accidere ſolet; at ſi in alterutram partem, vel dextram, vel ſiniſtram, diſtrahantur, ad eam in obliquum tor-

ἀμφοτέρων οὖν ἐμνημόνευσε κατὰ τὴν προγεγραμμένην ῥῆσιν ὁ Ἱπποκράτης, ἐν μὲν τῷ φάναι, οἷς μὲν οὖν ἦν ὀρθὸν ἐξόγκωμα, τῆς λορδώσεως· ἐν δὲ τῷ, οἱ δὲ ἑτερόῤῥοπα ἔχοντες, τῆς σκολιώσεως. ἀκριβῶς δὲ πάνυ καὶ ὠφελίμως ἡμῖν τοῖς ἀναγνωσομένοις αὐτὰ προσέγραψεν, ἐπὶ μὲν τῆς λορδώσεως οὐδένα γενέσθαι παραπληκτικὸν, ὅπέρ ἐστι, μορίῳ τινὶ παρετόν· ἐπὶ δὲ τῆς σκολιώσεως γενέσθαι φάσκων ἄχρι χειρὸς, ὅπέρ ἐστιν οὐ κατωτέρω κατὰ τὰς πλευρὰς ἢ ὀσφῦν ἢ τὰ σκέλη. πρῶτον οὖν ἡμᾶς χρὴ τοῦτο γινώσκειν, ὡς ἕτερα μὲν συμπτώματα ἕπεται τοῦ νωτιαίου μυελοῦ παθόντος ἴδιόν τι πάθος, ἤτοι κατὰ δυσκρασίαν μόνην ἢ μετὰ χυμοῦ τινος ἐπιῤῥυέντος, ὡς ἐν ἐρυσιπέλασι καὶ φλεγμοναῖς καὶ σηπεδόσι· ἕτερα δὲ θλιβέντος, ἀπὸ μεταστάσεως ἑνὸς ἢ πλειόνων σπονδύλων. ἔνθα μὲν γὰρ αὐτὸς ὁ νωτιαῖος ἔπαθεν ἴδιόν τι πάθος, ἤτοι κατὰ τὸ ἀριστερὸν ἢ δεξιὸν μέρος, ἄνευ μεταστάσεως σπονδύλων, κατὰ μὲν τὸ ἕτερον αὐτοῦ μέρος μόνον γενομένου τοῦ πάθους, ἅπαντα τὰ κάτω μέρη τοῦ σώματος, ὅσα κατ᾽ εὐθὺ τῆς βλάβης, εἰς αἴσθησίν τε καὶ κίνησιν βλάπτεται·

quetur fpina. In eo igitur quem praemifimus fermone, utriusque mentionem fecit Hippocrates, excavationis quidem, cum dixit: *quibus rectus erat tumor;* obliquae vero torfionis, dicens: *quibus vero alterutra pars afficiebatur.* At accurate admodum atque utiliter nobis legentibus haec afcripfit: *per excavationem quidem neminem factum paraplecticum,* hoc eft, parte aliqua refolutum; per obliquam vero torfionem: *ad manus usque factum effe;* hoc eft non ad inferiores partes, ut coftas, lumbos, crura. In primis itaque hoc nobis fciendum eft, alia quidem fequi fymptomata laborante fpinali medulla proprio aliquo affectu, five ex fola intemperie, five fimul humore quopiam affluente, ut in eryfipelate, inflammatione atque ulcere putri; alia vero contufa, una vel pluribus vertebris fuo loco motis. Ubi enim proprio aliquo affectu fpinalis ipfa medulla laborat, five in dextra five finiftra parte, citra vertebrarum luxationem, fi in altera parte duntaxat afficiatur, omnium inferiorum corporis partium, quae e regione laefionis conftituuntur, tam fen-

ἔνθα δ᾽ ὅλος ἔπαθεν, ἅπανθ᾽ ὁμοίως, τά τε δεξιὰ καὶ τὰ ἀριστερὰ, τὰ κάτω τοῦ βλαβέντος μέρους παραλύεται. κινηθέντος δὲ σπονδύλου πρὸς μὲν τὸ κυφὸν ἢ λορδὸν, ἐγχωρεῖ μὲν καὶ μηδ᾽ ὅλως βλαβῆναι τῶν ὑποκάτω μερῶν μηδὲν εἰς αἴσθησιν ἢ κίνησιν, ἐγχωρεῖ δὲ καὶ βλαβῆναι κατὰ τὸν ἐν τῷ περὶ ἄρθρων εἰρημένον ὑπ᾽ αὐτοῦ διορισμόν. ὅταν μὲν γὰρ, ὡς αὐτὸς ὠνόμασεν, γωνιώδης ἡ διαστροφὴ γένηται τοῦ νωτιαίου, τουτέστιν μὴ κατὰ βραχὺ καμφθέντος, ἀλλ᾽ ἀθρόως καθ᾽ ἓν μόριον, οἷον κλάσιν τινὰ λαβόντος, ἀνάγκη βλαβῆναι τὰ κάτω μόρια πάντα· [461] κατὰ βραχὺ δὲ τῆς διαστροφῆς γεγενημένης κυκλοτερῶς, οὐδὲν ἀξιόλογον πάσχει τὰ κάτω τοῦ κινηθέντος σπονδύλου. ἡ δ᾽ εἰς τὸ πλάγιον ἐκτροπὴ βλάπτει πάντως ἐκεῖνα τῶν μορίων, εἰς ἃ παραγίνεται τὰ διὰ τῶν μεταστάντων σπονδύλων ἐκφυόμενα νεῦρα· καὶ μᾶλλον μὲν γίνεται τοῦτο κατὰ τὸν τράχηλον, ἧττον δὲ κατὰ τὸν θώρακα, πολὺ δ᾽ ἧττον ἔτι κατὰ τὴν ὀσφῦν. ἐπὶ μὲν γὰρ τοῦ τραχήλου τῶν συντεταγμένων ἀλλήλοις σπονδύλων ἑκάτερος ἴσον συντελεῖ τῷ πόρῳ, δι᾽ οὗ τὸ νεῦρον ἐκφύεται·

fus quam motus laeditur; fi vero utraque pars affecta eft, omnes partes, tam dextrae quam finiftrae, ei quae laeditur fubjectae fimiliter refolvuntur. At luxata vel ad gibbum vel ad concavum vertebra, fieri poteft, ut nulla omnino partium inferiorum, vel ad fenfum vel motum oblaedatur; fieri etiam poteft, ut laedatur eo modo, qui in libro de articulorum affectibus ab ipfo definitus eft. Quum enim angulofa, ut ipfe nominat, fit fpinalis medullae luxatio, id eft, quum non paulatim, fed affatim perinde ac fi frangeretur, pars aliqua curvatur, fubjectas partes omnes laedi neceffe eft; paulatim vero facta luxatione in orbem, nihil notatu dignum patiuntur partes, quae commotae vertebrae fupponuntur. Sed in obliquum luxatio laedit omnino partes eas, ad quas nervi ex luxatis vertebris procedentes perveniunt, idque magis in cervice, in thorace minus, fed multo minus in lumbis, accidere folet. Siquidem in cervice vertebrae inter fe connexae aequaliter utraeque conferunt foramini, unde nervus

κατὰ δὲ τοὺς τοῦ θώρακος πλέον μὲν ὁ ὑψηλότερος, ἧττον δὲ ὁ ταπεινότερος· ἐπὶ δὲ τῆς ὀσφύος ὅλον τὸ νεῦρον ἐκπίπτει κατὰ τὸν ὑψηλότερον σπόνδυλον. ὥστε ἐνταῦθα μὲν ἡ εἰς τὰ πλάγια ῥοπὴ τῶν σπονδύλων, ἑαυτῇ συναπάγουσα τόν τε νωτιαῖον αὐτὸν καὶ τὸ νεῦρον, ἄθλιπτον ἐργάζεται τὴν κατὰ φύσιν ἔκπτωσιν αὐτοῦ· κατὰ δὲ τὸν τράχηλον ἐκ τῆς μεταξὺ χώρας τῶν δύο σπονδύλων ἐκφυόμενα τὰ νεῦρα, κατὰ τὰς σκολιώσεις θλίβεται μὲν ἐν ἐκείνοις τοῖς μέρεσι τῆς ἐκφύσεως, εἰς ἃ τὴν διαστροφὴν ἔσχεν ἡ ῥάχις, τείνεται δὲ κατὰ θάτερα. ταῖς μὲν οὖν τάσεσιν, ὅταν ἐπιγένηται φλεγμονὴ μεγάλη, σπασμὸς ἐπακολουθεῖ· ταῖς δὲ θλίψεσι παράλυσις τῶν μορίων, εἰς ἃ τὸ θλιβόμενον ἀφικνεῖται νεῦρον. εἰκότως οὖν ἐπὶ ταῖς ἱστορηθείσαις κατὰ τὴν προγεγραμμένην ῥῆσιν κυνάγχαις ἄχρι χειρῶν αἱ παραπληγίαι συνέπεσον, ὡς ἂν ἐκ τοῦ πέρατος τοῦ τραχήλου λαμβανουσῶν τὰ νεῦρα τῶν χειρῶν, μετὰ γὰρ τὸν τράχηλον ὁ θώραξ ἐστὶν, οὐκ εἰς τὰς χεῖρας, ἀλλὰ τὰ μεσοπλεύρια τῶν κατ' αὐτὸν σπονδύλων ἀποφυομένων νεύρων, πλὴν βραχέων τινῶν ἐκ τῶν πρώτων. τὰ μὲν οὖν ἄλλα τὰ κατὰ τὸ πρόσωπον μόρια παντά-

procedit; in thorace autem fuperior magis, inferior minus; fed in lumbis totus nervus ex fuperiori excidit vertebra. Quare hic quidem transverfa vertebrarum luxatio, fecum trahens et fpinalem medullam et nervum, illaefum fervat ipfius fecundum naturam ortum; in cervice vero ex loco medio inter duas vertebras procedentes nervi per obliquas luxationes in ea quidem proceffus parte, ad quam fpina ipfa deflectitur, opprimuntur, in altera vero tenduntur; ac tenfiones quidem, ubi ingens inflammatio acceflerit, convulfio comitatur; compreffiones vero, earum partium, ad quas oppreffus nervus pervenit, paralyfis. Igitur merito in ea angina, cujus in praemiffo fermone hiftoria narrata eft, ad manus usque pervenit paraplegia, utpote manibus nervos ex fine cervicis accipientibus; nam fub cervice thorax eft, a cujus vertebris emergentes nervi non ad manus, fed ad fpatia intercoftalia transmittuntur, paucis quibusdam qui ex primis procedunt, exceptis. Igitur per eas, quas nuper dixi-

πασιν ἀβλαβῆ διαμένει, μήτ᾽ εἰς αἴσθησιν ἐμποδιζόμενα μήτε εἰς κίνησιν, ἐπὶ ταῖς εἰρημέναις ἀρτίως τῶν σπονδύλων μεταστάσεσιν· αἱ γνάθοι δὲ μόναι, χωρὶς τῆς γένυος, ὡς ἂν ὑπὸ τοῦ μυώδους πλατύσματος κινούμεναι, βλάπτονται. δῆλον οὖν ὅτι καὶ τῶν μυῶν ὅσοι τὴν ἀρχὴν τῶν εἰς αὐτοὺς διανεμομένων νεύρων ἔχουσιν ἐκ τοῦ κατὰ τὸν τράχηλον νωτιαίου, βλάπτονται καὶ αὐτοὶ κατά τε τὰ τοῦ νωτιαίου πάθη καὶ τῶν ἀπ᾽ αὐτοῦ πεφυκότων νεύρων. ὁπόσοι δ᾽ εἰσὶ καὶ τίνες οἱ μύες οὗτοι, μεμαθήκατε κατὰ τὴν τῶν ἀπὸ νωτιαίου νεύρων ἀνατομὴν, ὥσπέρ γε καὶ τἄλλα ὅσα χρὴ γιγνώσκειν ἡμᾶς ἑπόμενα συμπτώματα ταῖς τῶν κατὰ ῥάχιν σπονδύλων ἐγκυφώσεσίν τε καὶ λορδώσεσιν καὶ σκολιώσεσιν, ἐν τῷ τρίτῳ τῶν εἰς τὸ περὶ ἄρθρων ὑπομνήματι γεγραμμένα πάντ᾽ ἀκριβῶς ἔχετε σὺν ταῖς οἰκείαις ἀποδείξεσιν, ὧν ἐγὼ τὰ κεφάλαια νῦν ὑμᾶς ὑπομιμνήσκω, ὧν ἔνια μὲν ἤδη διῆλθον, ὅσα δ᾽ οὔπω λέλεκται, νῦν ἐρῶ, πρὸς τὸ μηδ᾽ ἐνταῦθά τι λείπειν τῷ λόγῳ. χρὴ γὰρ ὑμᾶς ἐπίστασθαι τοὺς σπονδύλους ἐξίστασθαί ποτε τῆς οἰκείας θέσεως, ἤτοι γ᾽ ἐκ πτώσεως, ἢ πληγῆς, ἤ τινος ὄγκου

mus, vertebrarum luxationes, reliquae faciei partes omnes, neque in fenfu, neque in motu interturbantur; buccae autem duntaxat fine mandibula laeduntur, ut quae a lato musculo moventur. Conftat itaque musculos, qui nervorum fuorum initium habent a cervicis vertebris, laedi pariter, fi fpinalis medulla et provenientes ab ipfa nervi laedantur. Verum qui et quot fint hujusmodi musculi, ex nervorum qui a fpinali medulla oriuntur diffectione didiciftis. Quemadmodum alia quoque cognitu neceffaria fymptomata, quae fequuntur, ubi fpinae ipfius vertebrae vel in gibbum, vel concavum, vel etiam transverfum luxantur, in tertia parte commentariorum in librum de articulis cum demonftrationibus accurate confcripta habetis, quorum fummas nunc vobis commemoro; atque eorum nonnulla jam percurri, quae vero nondum explicata funt, ut nihil quicquam hic orationi *noftrae* defit, narrabimus. Nam vos fcire decet vertebras a fuo fitu luxari, aut ob cafum, aut ictum, aut tumorem

παρὰ φύσιν, ἐπισπωμένου τὰ συμφυῆ τοῖς σπονδύλοις αὐτοῖς καὶ τῷ νωτιαίῳ νευρώδη σώματα. διττὰ δέ ἐστιν τῷ γένει ταῦτα, τὰ μὲν ἕτερα τῶν κατὰ φύσιν μορίων, τὰ δὲ ἕτερα τῶν παρὰ φύσιν ὄγκοι τινὲς, οὓς Ἱπποκράτης ἑνὶ περιλαβὼν ὀνόματι κέκληκεν ἄπεπτα φύματα. δῆλον οὖν ὅτι ἐπὶ τῆς προγεγραμμένης καταστάσεως, ἣν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἔγραψεν, οἵ τε ἐπικείμενοι τοῖς τοῦ τραχήλου σπονδύλοις ἔπαθον μύες, ἴσως δὲ καὶ φυματώδης τις ὄγκος ἐγένετό που, δι᾽ ὃν καὶ πτύσαι φησὶν αὐτοὺς πέπονα, πεφθέντων δηλονότι τῶν φυμάτων. διὰ τί τοίνυν αὐτοὺς ὠνόμασεν καὶ κυναγχικούς; ἢ ὅτι δύσπνοιά τις αὐτοῖς ἦν, ἄνευ τοῦ πεπονθέναι τι τῶν κατὰ τὸν θώρακα καὶ πνεύμονα; ταύτῃ γὰρ διήνεγκεν ἡ κυναγχικὴ συνδρομὴ [462] τῆς περιπνευμονικῆς καὶ πλευριτικῆς, καὶ πρὸς τούτῳ γ᾽ ἔτι τῷ τῆς στενοχωρίας αἰσθάνεσθαι κατὰ τὸν λάρυγγα. φαίνεται γοῦν κἀν τῷ προγνωστικῷ καὶ κυνάγχας ὀνομάζων ἅπαντα τὰ κατὰ τοῦτο τὸ χωρίον γιγνόμενα πάθη δυσκολίαν τῆς ἀναπνοῆς ἐργαζόμενα· φησὶν γὰρ οὕτως· αἱ δὲ κυνάγχαι δεινόταται μέν εἰσι καὶ

aliquem praeter naturam, nervofa corpora vertebris ipfis atque fpinali medullae connata divellentem. Haec genere duo funt, alia quidem partium fecundum naturam, alia vero praeter naturam, tumores quidam, quos Hippocrates uno vocabulo comprehendens cruda tubercula nominavit. Igitur manifeftum eft, quod in praemiffa conftitutione, quam libro fecundo epidemiorum defcripfit, cervicis vertebris adjacentes musculi afficiebantur, et tuberofus fortaffe tumor aliquis accedebat, ob quem concocta nonnullos fpuiffe dicit, facta videlicet tuberculorum concoctione. Cur igitur eos anginofos etiam appellavit? an quia fpirandi quaedam ipfis erat difficultas, citra ullum thoracis et pulmonis affectum? Nam hac in re differt anginofus concurfus a peripneumonico et pleurotico, atque eo praeterea quod anguftiae fenfus in gutture eft. In praenotionum itaque libro videtur anginae nomine appellare omnes affectus huic loco accidentes, qui refpirandi difficultatem moliuntur; fic enim loquitur: *Anginae periculofiffimae funt, celeriterque enecant, quaecun-*

τάχιστα ἀναιροῦσιν, ὅσαι μήτ᾽ ἐν τῇ φάρυγγι ἔκδηλόν τι ποιέουσι μήτ᾽ ἐν τῷ αὐχένι, πλεῖστόν τε πόνον παρέχουσι καὶ ὀρθοπνοίην· αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσιν καὶ δευτεραῖαι καὶ τριταῖαι καὶ τεταρταῖαι. ὁκόσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται δὲ καὶ ἐρυθήματα ἐν τῇ φάρυγγι ποιέουσιν, αὗται ὀλέθριαι μὲν κάρτα, χρονιώτεραι δὲ ὀλίγον τῶν πρόσθεν. οἷσι δὲ συνεξερευθείη ἡ φάρυγξ καὶ ὁ αὐχὴν, αὗται χρονιώτεραι, καὶ μάλιστα ἐξ αὐτέων περιγίνονται, ἢν ὅ τε αὐχὴν καὶ τὸ στῆθος ἐρυθήματα ἔχῃ καὶ μὴ παλινδρομήσῃ τὸ ἐρυσίπελας ἔσω. ἐκ τούτων μὲν ἄν τις ἐτεκμήρατο μιᾷ προσηγορίᾳ πάντα κατὰ τοῦτο τὸ χωρίον πάθη τὴν ἀναπνοὴν ὁπωσοῦν βλάπτοντα κυνάγχας ὀνομάζειν αὐτὸν, οὔπω τῶν ἰατρῶν εἰθισμένων τὸ μέν τι κυνάγχην ὀνομάζειν διὰ τοῦ κ, τὸ δὲ συνάγχην διὰ τοῦ σ, πολὺ δὴ μᾶλλον οὐδὲ παρασυνάγχην τι καλούντων, οὐδὲ παρακυνάγχην· ἡ γὰρ τῶν ὀνομάτων περιεργία μετὰ τῆς τῶν πραγμάτων ἀμελείας ἤρξατο, καὶ διὰ τοῦτο τέτταρα μὲν ὀνόματα πεποιήκασι, δηλοῦσθαι δ᾽ ὑπ᾽ αὐτῶν εἰπόντες πάθη

que neque in faucibus neque in cervice quicquam conspicuum reddunt, doloremque plurimum et orthopnoeam exhibent; hae namque eodem die et secundo et tertio et quarto jugulant. Quae vero in reliquis peraeque dolorem quoque concitant, sed in tumorem attolluntur et in faucibus rubores movent, hae quidem admodum periculosae sunt, sed prioribus paulo diuturniores. At quibus et fauces et cervicem simul rubor occupat, ipsae diuturniores sunt, ac maxime ex his evadunt, si rubores simul et cervicem et pectus obsideant, neque intro recurrat erysipelas. Igitur cuivis certa conjectura est, unico vocabulo omnes hujusce loci affectus respirationem quoquo modo laedentes ipsum anginas nominare, nondum solitis medicis cynanchen per c et synanchen per s nominare; tantum abest, ut vel parasynanchen vel paracynanchen dicerent; nominum enim supervacanea indagatio cum rerum negligentia ortum duxit, proindeque quatuor quidem nomina fecerunt, sed ab ipsis

τέτταρα καὶ γράψαντες, αὐτῶν τὰ γνωρίσματα παραλελοίπασιν. τοῦτο τοίνυν (288) ἐμοὶ προχειρισθὲν ἅμα τῇ κατὰ τὸ δεύτερον ἐπιδημιῶν ῥήσει, τίνα οὖν ἐστι τὰ τέτταρα πάθη· τὸ μὲν ἓν καὶ πρῶτον αὐτῶν, ὅτ᾽ ἂν ἡ φάρυγξ φλεγμαίνῃ, φάρυγγα δ᾽ ὀνομάζω τὴν ἔνδον τοῦ στόματος χώραν, εἰς ἣν ἀνήκει τό τε τοῦ στομάχου καὶ τὸ τοῦ λάρυγγος πέρας· ἕτερον δὲ δεύτερον, ὅτ᾽ ἂν μήτ᾽ ἄλλό τι τῶν κατὰ στόμα μήθ᾽ ἡ φάρυγξ, ἀλλὰ μηδὲ τῶν ἔξωθέν τι φαίνηται φλεγμαῖνον, αἴσθησις δὲ πνίξεως εἴη τῷ κάμνοντι κατὰ τὸν λάρυγγα· τρίτον δ᾽ ἐπὶ τούτοις, ὅτ᾽ ἂν ἡ ἐκτὸς χώρα τῆς φάρυγγος φλεγμαίνῃ· καὶ τέταρτον, ὅτ᾽ ἂν ἡ τοῦ λάρυγγος ἐκτὸς ὁμοίως διατεθῇ τῇ ἐντός. ἀλλ᾽ ἐπὶ τούτοις γε κατὰ τὸν αὐχένα γίνεταί τι πάθος, ὃ παραλελοίπασιν, εἰς τὴν πρόσω χώραν μεθισταμένων τῶν σπονδύλων, ποτὲ μὲν αὐτῶν μόνων τῶν κοινωνούντων αὐτοῖς μυῶν εἰς ὄγκον τινὰ παρὰ φύσιν ἀρθέντων, ἤ τινος φύματος συστάντος· ἐνίοτε δὲ καὶ τοῦ στομάχου συγκακωθέντος αὐτοῖς· ἔστι δ᾽ ὅτε καὶ τῶν συναπτόντων αὐτὸν μυῶν τῷ λάρυγγι, καὶ πρὸς τούτοις γ᾽ ἔτι τῶν ἰδίων

quum quatuor affectus fignificari dixiffent ac fcripfiffent, notas ipforum praetermiferunt. Hoc autem a me fimul cum fecundi epidemiorum textu propofitum eft, quinam tandem fint hi quatuor affectus; unus quidem ac primus ipforum eft, quum fauces inflammantur, fauces autem nomino internum oris locum, ad quem afcendit, tum gulae tum gutturis extremum, alter autem fecundus, quum neque fauces neque reliquae oris partes, neque etiam externarum partium ulla inflammata confpicitur, laboranti tamen in gutture fuffocationis fenfus eft; tertius deinceps, ubi externus locus faucium inflammatur; ac quartus, ubi gutturis partes tum externae tum internae fimiliter affectae funt. At fupereft adhuc alius cervicis affectus, quem filentio praeterierunt, ubi ad anteriores partes vertebrae luxantur, folis interdum musculis, qui cum ipfis communicant, tumore praeter naturam affectis, vel nato ibi aliquo tuberculo, interdum etiam gula pariter cum ipfis vitiata; nonnunquam musculis quoque ipfam gutturi copulantibus, ac praeterea propriis ipfius guttu-

αὐτοῦ τοῦ λάρυγγος μυῶν, ὑφ' ὧν ἀνοίγνυται. ταῦτ' οὖν ἅπαντα τὰ πάθη δυσχέρειαν μέν τινα ἐργάζεται κατὰ τὴν ἀναπνοὴν, οὐ μὴν τὸν τοῦ πνιγῆναι κίνδυνον ἐπιφέρει· δυσκόλως δὲ καταπίνουσι, καὶ μέντοι καὶ ἀλγοῦσιν, ὁπότε μᾶλλον ἀνακόπτεται τὸ ποτὸν αὐτοῖς εἰς τὰς ῥῖνας. ἐνίοτε δὲ τῆς φλεγμονῆς αὐτῆς ἐπιβαινούσης, καὶ τὰ περὶ φάρυγγά τε καὶ γλῶτταν αὐτοῖς συνεξαίρεται, καθάπερ αὐτὸς ἔγραψεν· ἀλλ' οὐ δεῖται νῦν ὁ προκείμενος λόγος τῶν τοιούτων συμπαθειῶν τῆς διηγήσεως, ἑτέρων γὰρ ἐνεργειῶν ἀπώλεια γίνεται, τῆς γλώττης παθούσης.

Κεφ. ζ. [463] Ἔνθα δ' ἡ βλάβη μιᾶς ἐνεργείας ἐστὶν, οἱ πεπονθότες δὲ τόποι πλείους, τῇ ποικιλίᾳ τῶν ἄλλων συμπτωμάτων διοριζομένοις τούτους ἡμῖν εὑρίσκειν πρόκειται νῦν. ἄνευ μὲν γὰρ τοῦ παθεῖν τι τῶν ἀναπνευστικῶν ὀργάνων ὁτιοῦν, εἴτε κατὰ πρωτοπάθειαν, εἴτε κατὰ συμπάθειαν, ἀδύνατόν ἐστι βλαβῆναι τὴν ἀναπνοήν· ἐπεὶ δ' αὐτά τε τὰ ἀναπνευστικὰ πλείω τετύχηκεν ὄντα, πρὸς δ' αὐτοῖς ἕτερος ἀριθμὸς οὐκ ὀλίγος ἐστὶ μορίων, οἷς συμπάσχειν πέφυκεν,

ris musculis, a quibus aperitur. Itaque hi quidem omnes affectus fpirandi quandam difficultatem efficiunt, non tamen fuffocationis periculum adferunt; at difficulter deglutiunt atque dolore afficiuntur ac praecipue cum potus eis in nares refilit. Accidit etiam interdum, ut ascendente inflammatione et lingua et fauces in tumorem attollantur, quemadmodum et ipfe tradidit. Verum hujuscemodi copulatorum affectuum enarratione propofitus fermo non indiget; nam lingua affecta aliae actiones deperduntur.

Cap. VII. At ubi unius actionis laefio eft et fedes affectae plures, noftri nunc inftituti eft, ex caeterorum fymptomatum varietate discernendo eas invenire. Quippe nullo fpirabilium inftrumentorum quoquo modo, neque primario, neque per confenfum affecto, fieri minime poteft, ut refpiratio laedatur. Quum autem plura ipfa fint fpirandi inftrumenta ac praeterea alter quoque non paucus partium numerus, quibus ipfa confentire confueverunt, non abs re

εἰκότως οἱ διορισμοὶ πολλοὶ γεγόνασιν, οἷς χρώμενος ἄν τις εὑρίσκοι τούς τ᾽ ἰδιοπαθοῦντας ἑκάστοτε καὶ τοὺς συμπάσχοντας αὐτοῖς τόπους. εὐθὺς οὖν ἐξ αὐτοῦ μόνου τοῦ τῆς ἀναπνοῆς εἴδους ἔνεστι τεκμήρασθαί τι περί τε τοῦ πάσχοντος τόπου καὶ τῆς διαθέσεως αὐτοῦ. φαινέσθω γὰρ ὁ κάμνων ὅλον τὸν θώρακα κινῶν κατὰ τὴν ἀναπνοὴν, ὡς ἔμπροσθεν μὲν ἄχρι τῶν κλειδῶν ἀνήκειν αὐτοῦ τὴν κίνησιν, ἑκατέρωθεν δὲ ἄχρι τῶν ἐπωμίδων, ὀπίσω δὲ ἄχρι τῶν ὠμοπλατῶν· ἐκ ταύτης τῆς ἀναπνοῆς ἔνδειξις γίνεται τριῶν διαθέσεων· μιᾶς μὲν, θερμασίας φλογώδους κατά τε τὸν πνεύμονα καὶ τὴν καρδίαν· ἑτέρας δὲ, στενοχωρίας κατά τι τῶν ἀναπνευστικῶν ὀργάνων· ἐφ᾽ αἷς τρίτης, ἀῤῥωστίας τῆς κινούσης δυνάμεως τοὺς μῦς τοῦ θώρακος. ἐπισκέψασθαι τοιγαροῦν χρὴ τοιαύτην ἀναπνοὴν θεασάμενόν τινα πρῶτον μὲν τοὺς σφυγμούς· ἐνδείξονται γὰρ οὗτοι τὸ πλῆθος τῆς θερμασίας, ὡς ἐν τῇ δι᾽ αὐτῶν προγνώσει γέγραπται· δεύτερον δὲ τὴν ἐκπνοὴν, εἰ πολλὴ καὶ ἀθρόα καὶ μετὰ ἐκφυσήσεως γίγνεται· καὶ τρίτον ἐπὶ τούτοις ἅψασθαι τοῦ θώρακος κατὰ τὸ στέρνον· διακαιόμενον γὰρ εὕρα᾽ν τις αὐτὸ, οὕτως ἂν ἔχοι

multis diftinctionibus indiget is, qui et primario affectas fedes et confentientes paffim invenire conatur. Igitur ftatim ex fola refpirationis fpecie nonnihil et de affecta fede et de ipfo affectu conjicere licet. Nam videatur laborans inter fpirandum totum movere thoracem, ut in parte quidem anteriore ad jugulum, in utroque latere ad epomidas, in parte pofteriore ad fcapulas usque motus ipfius ascendat; tres ex hujusmodi refpiratione affectus fignificantur; unus eft, flagrans in pulmone atque corde calor; alter, in aliquo fpiritalium organorum anguftia; tertius eft, facultatis musculos thoracis moventis debilitas. Quum igitur hujuscemodi refpirationem confpexeris, in primis pulfus perpendere oportet; hi enim quantus fit calor, indicabunt, ficut in libro de praenotionibus a pulfu fcriptum eft; deinde exfpirationem, an multa et conferta et cum efflatione fiat; poftremo thoracem in pectore tangere, quem fi quis ardentem invenerit, jam omnes copiofi caloris notas habuerit; quibus ex abun-

πάντα τὰ γνωρίσματα τοῦ πλήθους τῆς θερμασίας, ἐξ ἐπιμέτρου προσερχομένων αὐτοῖς ἐρεύθους προσώπου τε καὶ ὀφθαλμῶν, καὶ κεφαλῆς διακαοῦς, καὶ δίψους ἰσχυροῦ, καὶ γλώσσης ξηρᾶς τε καὶ τραχείας, αὐτοῦ τε τοῦ κάμνοντος καίεσθαι λέγοντος. εἰ δὲ τῶν τῆς φλογώσεως σημείων μετρίων ὑπαρχόντων, ὁ θώραξ ἐπὶ πλέον διαστέλλοιτο, στενοχωρία τίς ἐστιν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις, ὥστε ἤτοι τῶν περὶ τὸν λάρυγγά τι πέπονθεν, ἢ πλήθους ὑγρῶν ὁ πνεύμων ἢ ὁ θώραξ ἐμπέπλησται, ἢ φῦμά τι φύεται κατ᾽ αὐτοὺς, ἐξ οὗ γένους ἐστὶ τὸ καλούμενον ἀπόστημα. τὰ μὲν οὖν κατὰ τὸν λάρυγγα διήλθομεν, ὅσα κατὰ συμπάθειάν τε καὶ πρωτοπάθειαν πάσχει· τὰ δὲ κατὰ πνεύμονα καὶ θώρακα μικρὸν ὕστερον ἀκριβέστερον διορισθήσεται, πρόκειται γὰρ ἐν τῷ παρόντι τὰ τοῦ νωτιαίου διελθεῖν πάθη, τά τ᾽ ἄλλα καὶ ὅσα κατὰ τὴν καλουμένην ἀτονίαν πάσχει. γίνεται δὲ ἀτονία ποτὲ μὲν διὰ τὸν ἐγκέφαλον, ὡς ἂν παρ᾽ ἐκείνου τὰς δυνάμεις ἀμφοτέρας ἔχοντος αὐτοῦ, τήν τε αἰσθητικὴν καὶ τὴν κινητικήν· ἐνίοτε καὶ κατ᾽ αὐτὸν μόνον τὸν νωτιαῖον πρωτοπαθοῦντα διά τινα δυσκρασίαν οἰκείαν, ἤτοι καθ᾽ ὅλον

danti accedit faciei oculorumque rubor, capitis ardor, fitis vehemens, lingua arida et aspera et quod dicat infirmus fefe ardere. Si vero incendii fignis modum fervantibus, thorax vehementer dilatetur, anguftia quaedam eft in fpirabilibus organis; quare vel pars aliqua ad guttur affecta eft; vel multis humoribus pulmo aut thorax eft oppletus; vel aliquod turberculum in ipfis nascitur, ex quo genere eft abfceffus vocatus. Atque gutturis affectus tum primarios tum eos, quibus per confenfum infeftatur, jam percurrimus; pulmonis autem thoracisque vitia paulo poft accuratius perfequemur; nam in praefentia fpinalis medullae affectus tractare propofuimus, tum alios tum qui ei per imbecillitatem vocatam accidunt. Fit autem *fpinalis medullae* imbecillitas interdum cerebri vitio, utpote a quo utramque facultatem, et fenfitricem et motricem, ipfa accipit; interdum ipfius duntaxat fpinalis medullae primario affectu laborantis ob peculi-

αὐτὸν, ἢ κατὰ διαφέροντα μόρια γεγονυῖαν, ἧς οὐδ᾽ εἰς ἔννοιαν οἱ πολλοὶ τῶν ἰατρῶν ἀφικνοῦνται, καίτοι θεώμενοι πολλάκις ἐν νόσοις ἐκλύτους τινὰς αὐτῶν οὕτως ὄντας, ὡς μόγις κινεῖν τοὺς τῆς χειρὸς δακτύλους, ὅμως δ᾽ ἀναπνέοντας ἅπασι τοῖς τοῦ θώρακος μέρεσιν, μηδ᾽ οὖν μηδὲ διακαοῦς θερμασίας ἀναγκαζούσης αὐτοὺς ἐπὶ μεγάλην ἀναπνοὴν ἀφικνεῖσθαι. συμβαίνει δὲ αὐτοῖς τοῦτο διὰ τοιαύτην αἰτίαν. τὴν ἀβίαστον ἐκπνοὴν [464] αἱ φρένες ἐργάζονται μόναι κατ᾽ ἐκείνους τοὺς καιροὺς, ἐν οἷς ἡσυχάζει τὸ ζῶον, ἐῤῥωμέναι· ὁπότ᾽ ἂν δ᾽ ἀῤῥωστῶσιν αὗται, μόναι μὲν πληροῦν τὴν χρείαν τῆς ἀναπνοῆς οὐ δύνανται, βοηθοῦσι δ᾽ οἱ μεσοπλεύριοι μύες αὐταῖς τηνικαῦτα, κἄπειδὰν ἔτι πλέονος εἰσπνοῆς δέηται τὸ ζῶον, οὕτως ἤδη καὶ οἱ ὑψηλοὶ πάντες, ὧν οἱ μέγιστοι τὰς ὠμοπλάτας ἑαυτοῖς συγκινοῦσιν ἐναργῶς. ὅτ᾽ ἂν οὖν ἴδῃς ἄνθρωπον ἅπασι τοῖς τοῦ θώρακος μέρεσιν ἐνεργοῦντα, μὴ μέντοι πυκνὸν εἰσπνέοντα, προσεπισκέψαι τηνικαῦτα τήν τε πηλικότητα τῆς διαστολῆς τοῦ θώρακος, καὶ τὰ τῆς ῥινὸς πτερύγια· ταῦτά τε γὰρ αὐτὸν εὑρήσεις προστέλλοντα, καὶ μικρὰν τὴν διαστολὴν τοῦ θώρακος ἐργαζόμενον,

arem intemperiem, vel toti ipfi, vel diverfis partibus obortam, quae multis medicis ne in mentem quidem venit, quum tamen creberrime videant laborantes quosdam adeo exolutos, ut vix digitos manus poffint movere, quamvis omnibus thoracis partibus refpirent, nullo ardente calore ad magnam refpirationem ipfos cogente. Id vero ob hujusmodi caufam eis accidit. Dum quiescit animans, liberam expirationem folum feptum transverfum, modo valeat, efficit; quum vero infirmum eft ipfum, fane folum fpirandi munus perficere non valet, tumque intercoftalium musculorum concurrit auxilium; tum fi praeterea majori animal infpiratione egeat et fupernorum omnium, quorum maximi fcapulas fecum manifefte movent. Quum itaque hominem fpirandi opus omnibus thoracis partibus perficere videris, non tamen frequenter infpirantem, tunc quantum thorax dilatetur, perpende, atque narium pinnas; has enim ipfum contrahere comperies et parvam thoracis facere dilatationem, non quemadmodum

οὐχ ὥσπερ οἱ διὰ πλῆθος θερμασίας ἐν πυρετοῖς καυσώδεσιν ἐῤῥωμένοι τὴν δύναμιν, ἐπὶ πλεῖστον γὰρ αὐτοὶ τὸν θώρακα διαστέλλουσιν ὅλον· ἀλλ' οὐδ' ὡς οἱ διὰ στενοχωρίαν τινὰ τῶν ἀναπνευστικῶν ὀργάνων, ὡς ἐν κυνάγχαις τε καὶ ταῖς ἐκ πολλοῦ καὶ ἀθρόου κατάῤῥου δυσπνοίαις· ἢ καὶ δι' ἀμφότερα, καθάπερ ἐν περιπνευμονίαις, οὗτοι γάρ εἰσιν οἱ μέγιστόν τε καὶ πυκνότατον ἀναπνέοντες. ὥσπερ δὲ δι' ἀῤῥωστίαν δυνάμεως ἅπαντα τὰ μέρη τοῦ θώρακος ἀναγκάζονται διαστέλλειν, οὕτω καὶ διὰ μερικὴν ἀτονίαν ἑνὸς ἐξ αὐτῶν μέρους. ὁ γοῦν γυμναστὴς Σεκοῦνδος, ὡς ἂν οἷς ἔπασχεν παρακολουθεῖν δυνάμενος, αἰσθάνεσθαι σαφῶς ἔφη τῆς κατὰ τὰς φρένας ἀτονίας, δι' ἣν ἠναγκάζετο καὶ τοὺς μεσοπλευρίους μῦς ἀεὶ κινεῖν, καί ποτε καὶ τοὺς ὑψηλούς· καί ποτε καὶ περιβαλὼν ζώνην τοῖς κατ' ὑποχόνδρια χωρίοις, ἠρκεῖτο μόνῃ τῇ διὰ τῶν φρενῶν ἀναπνοῇ, καθ' ὃν ἡσύχαζε δηλονότι χρόνον. εἴτε δὲ αὐτοῦ τοῦ κατὰ τὸ διάφραγμα μυὸς, εἴτε τῶν ἡκόντων εἰς αὐτὸ νεύρων, εἴτ' ἀμφοτέρων ἦν ἀτονία,

in ardentibus febribus ob caloris copiam faciunt ii, qui viribus valent, hi namque totum thoracem plurimum dilatant; neque etiam ut illi, quibus id evenit ob aliquam fpiritalium inftrumentorum anguftiam, ut in anginis atque dyspnoeis, quas fluxio multa et affatim descendens induxit; neque ab utraque caufa, ut in peripneumoniis, nam hoc morbo affecti et maxima et frequentiffima refpiratione utuntur. Sed quemadmodum ob virium infirmitatem, ita ob unius quoque partis imbecillitatem particularem omnes thoracis partes dilatari coguntur. Gymnaftes ergo Secundus, ut qui poffet, quid pateretur, obfervare, fentire fe manifefte fepti transverfi dicebat imbecillitatem, ob quam cogebatur intercoftales musculos continuo movere, atque nonnunquam etiam fuperiores; quondam etiam zonam circumdans hypochondriorum partibus, fola transverfi fepti motione fufficienter fpirabat, quo tempore fcilicet quiescebat. Verum an ad fepti transverfi musculum, an ad nervos in ipfum pervenientes, an ad utrosque pertineret imbecillitas, mihi quidem explicatu per-

δύσκολον ἐφαίνετό μοι διορισθῆναι· τὴν δ' αὐτὴν ἀναπνοὴν ἐθεασάμην τινὰ καὶ ἄλλον ἔχοντα, λακτισθέντα μὲν ὑφ' ἵππου ποτὲ κατὰ τῶν ὑποχονδρίων ἰσχυρῶς, ὡς ἀποθανεῖν κινδυνεῦσαι, φλεγμήναντος αὐτῷ τοῦ διαφράγματος· ὡς δ' ἐκ τοῦ κινδύνου τούτου διεσώθη, παραμεινάσης ἀεὶ τῆς (289) ἀτονίας αὐτῷ. ἑτέρῳ δὲ ἐκ περιπνευμονίας ἰσχυρᾶς ἀνακομιζομένῳ δυσαίσθητος ἐκ τῶν ὀπίσω τε καὶ ἔνδον μερῶν ὁ βραχίων ἐγένετο, καὶ τοῦ πήχεως ὁμοίως τὰ πλεῖστα μέχρι δακτύλων ἄκρων, ὀλίγον δέ τι καὶ πρὸς τὴν κίνησιν ἐβλάβησαν ἔνιοι. τούτῳ τὰ κατὰ τὸ πρῶτον καὶ δεύτερον μεσοπλεύριον νεῦρα βλαβῆναι συνέβη· φέρεται δ' αὐτῶν τὸ μὲν πρῶτον ἀξιόλογον ὑπάρχον τῷ μεγέθει, διὰ βάθους, ἀναμιγνύμενον τῷ μὲν πρὸ αὐτοῦ, κατασχιζόμενον δὲ εἰς μοίρας πολλὰς, ἃς ἐν ταῖς ἀνατομαῖς ἐθεασάμεθα, καί τινας αὐτῶν ἄχρι δακτύλων ἄκρων διὰ τῆς ἔνδον χώρας τοῦ πήχεως ἀφικνουμένας· τὸ δὲ δεύτερον νεῦρον λεπτὸν ὂν, οὐδενὶ μιγνύμενον ἑτέρῳ, διὰ τῆς μασχάλης ὑπὸ τῷ δέρματι πρὸς τὸν βραχίονα φέρεται, κατασχιζόμενον εἰς τὸ δέρμα τῆς

difficile videbatur; at eandem refpirationem etiam in alio quodam notavi, quem aliquando equus in hypochondriorum regione calcitraverat adeo atrociter, ut oborta in fepto transverfo inflammatione, mortis periculum immineret; quumque evafiffet ab eo periculo, imbecillitatem tamen femper retinuerat. In alio etiam, qui a vehementi peripneumonia convalescebat, brachii tam pofteriores quam internae partes et cubiti maxima pars eodem modo ad fummos usque digitos fenfus difficultate laboraverunt, atque motus quoque aliquorum nonnihil laefus eft. Huic nervos in primo atque fecundo intercoftali loco laefos effe accidit, quorum primus infignis magnitudinis per intimas partes abditus defertur, ei qui ipfum praecedit, admixtus, fed multas in partes divifus, quas in diffectionibus vidimus, ipfarumque aliquas per interiorem cubiti regionem usque ad digitorum extrema pervenientes; fecundus vero nervus tenuis, nulli alteri admixtus, per axillam fub cute ad brachium fertur, difperfus per cutis

Ed. Chart. VII. [464. 465.] Ed. Baf. III. (289.)

ἔνδον τε καὶ ὀπίσω χώρας αὐτοῦ. ταχέως ὁ ἄνθρωπος οὗτος ἐθεραπεύθη, φαρμάκου τεθέντος ἐπὶ τῆς ἐκφύσεως τῶν νεύρων κατὰ τὸ πρῶτόν τε καὶ δεύτερον μεσοπλεύριον· ὥσπερ ἄλλοι τινὲς ἅμα ἄμφω τὰ σκέλη κατὰ βραχὺ παραλυόμενοι, διὰ τῶν κατ᾽ ὀσφῦν ἐπιτεθέντων φαρμάκων ἐκείνῳ τῷ χωρίῳ, καθ᾽ ὃ τὰ τῶν σκελῶν ἀποφύεται νεῦρα τοῦ νωτιαίου μυελοῦ, μηδὲν ἡμῶν ἐπιτεθέντων αὐτοῖς τοῖς παραλελυμένοις σκέλεσι φάρμακον· οὐδὲ γὰρ αὐτῶν ἴδιον ἦν τὸ πάθος, ἀλλὰ [465] τοῦ μυελοῦ. ἑτέρῳ δὲ μεγάλης ἐκπυήσεως γενομένης ἔν τε τῷ κατὰ τὴν ἑτέραν τῶν πυγῶν χωρίῳ καὶ τοῖς πρώτοις μέρεσι τοῦ κατ᾽ αὐτὸν σκέλους ἐγυμνώθη μὲν ἐν τῇ χειρουργίᾳ τὰ τοῦ σκέλους ἐκείνου νεῦρα, θεραπευθέντος δὲ τοῦ χωρίου, δυσκίνητον ἦν ὅλον τὸ κῶλον· ἐφ᾽ οὗ στοχασάμενος τῆς γενομένης φλεγμονῆς ὑπολελεῖφθαί τι σκιῤῥῶδες ἔν τινι τῶν νεύρων, ὡς πρὸς τοιαύτην διάθεσιν ἁρμοσάμενος, ἐπὶ τοῦ πεπονθότος μόνου χωρίου ἐπιτιθεὶς ἐπιτήδεια φάρμακα τελέως τὸν ἄνθρωπον ἐξιασάμην. ὥσπερ δὲ ἐπὶ τῶν κατὰ τὸ πρόσωπον εἴρηται μερῶν, οὕτω κἀπὶ τῶν ἄλλων ἁπάντων, ὅτ᾽ ἂν ἀπόλλυται μία τίς ἐνέργεια, τὸν ποιητικὸν αὐτῆς μῦν

ejus tam pofteriores quam internas partes. Hic homo celeriter curatus eft, admoto nervorum exortui medicamento ad primum ac fecundum intercoftale fpatium; quemadmodum quoque alii nonnulli, quibus utrumque crus paulatim refolvebatur, admoto lumbis medicamento in eo loco, unde a fpinali medulla cruribus nervi adveniunt, nullo refolutis cruribus medicamento a nobis appofito; neque enim ipforum, fed medullae proprius erat affectus. Alteri magna oborta fuppuratione in alterius natis regione ac primis ejus cruris partibus, nervi ejus cruris per chirurgiam nudati funt, tum parte fanata, toti membro movendi difficultas accidit; unde conjiciens fcirrhofum quidpiam concitatae prius inflammationis in nervorum quodam derelictum, hujusmodi affectui accommodans *curationem*, affecto loco foli idonea medicamenta adhibui, hominemque perfecte fanavi. Ut autem de partibus faciei dictum eft, ita et in reliquis quoque omnibus, unica duntaxat pereunte actione, folum musculum ip-

μόνον, ἢ τὸ νεῦρον αὐτοῦ πεπονθέναι νομιστέον· εἰ δὲ πλείους ἐνέργειαι βλαβεῖεν, εἰ μὲν καθ᾽ ἓν χωρίον, ἐγχωρεῖ καὶ τοὺς μῦς αὐτοὺς πάντας ἔκ τινος αἰτίας βεβλάφθαι κοινῆς, ἐνδέχεται δὲ καὶ κοινόν τι τῶν μυῶν ἐκείνων νεῦρον εἶναι τὸ πεπονθός. ἰχθῦς γοῦν τις ἐν ποταμῷ θηρεύων, καὶ καταψυχθεὶς τὰ περὶ τὴν ἕδραν τε καὶ κύστιν, ὡς χωρὶς προαιρέσεως ἐκρεῖν αὐτοῦ τό τ᾽ ἀποπάτημα καὶ τὸ οὖρον, ἐθεραπεύθη ταχέως ὑπὸ τῶν θερμαινόντων φαρμάκων ἐπιτεθέντων τοῖς πεπονθόσι μυσίν· ἕτερος δὲ ἄνευ φανερᾶς αἰτίας τοῖς αὐτοῖς περιπεσὼν συμπτώμασιν ἐν πολλῷ χρόνῳ διὰ πολλῶν βοηθημάτων μόγις ὑγιάσθη, τῶν καθ᾽ ἱερὸν ὀστοῦν αὐτῷ παθόντων νεύρων. ὅπερ οὖν ἔφην εὐθέως ἐν ἀρχῇ, τοῦτο καὶ νῦν εἰπὼν ἐφ᾽ ἕτερόν τι μεταβήσομαι· γινώσκων τις ἐξ ἀνατομῆς ἕκαστον τῶν ἀπὸ τοῦ νωτιαίου νεύρων, εἰς ὅ τι παραγίνεται μόριον, ἀκριβῶς διαγνώσεται τοὺς πεπονθότας τόπους. ἔργῳ δ᾽ ὑμεῖς τὴν βάσανον τούτων ἐπὶ τῶν ἔργων τῆς τέχνης εἰλήφατε, πολλάκις ἑωρακότες ὠφέλειαν ἐναργῆ γιγνομένην τοῖς κάμνουσιν ἐκ τῆς τοιαύτης διαγνώσεως.

fam efficientem, aut nervum ipfius affectum effe putandum eft Si vero plures actiones laefae fint, fi uno in loco, accidit interdum omnes ipfos musculos a communi aliqua caufa laedi; fieri etiam poteft, ut nervus aliquis musculis illis communis afficiatur. Enimvero quidam quum in fluvio pisces venans adeo circa fedem et veficam perfrigeratus fuiffet, ut ipfi invito effluerct et alvi excrementum et urina, per calefacientia remedia affectis musculis admota celeriter fanus evafit. Alius autem eisdem moleftatus fymptomatis fine manifefta caufa, laefis circa os facrum nervis, multo tempore per multa praefidia vix fanatus eft. Igitur quod protinus ab initio dicebam, illius nunc quoque mentione facta ad alia divertam; fi quis ex anatome, ad quam partem descendant finguli nervi a fpinali medulla prodeuntes, cognoverit, affectas fedes quam facillime inveniet. Ex artis autem operibus vos horum examen reipfa deprehendiftis; namque faepenumero vidiftis ex hujusmodi dignotione manifefte juvari

οὐ μόνον γὰρ σκέλη καὶ χεῖρας εἰκῆ καὶ μάτην οἱ πολλοὶ τῶν ἰατρῶν ἀνατρίβουσι φαρμάκοις θερμαίνουσι δἰ ὅλης ἡμέρας τε καὶ νυκτὸς, ἀμελήσαντες τοῦ τόπου, καθ᾽ ὃν ὁ νωτιαῖος ἤ τι τῶν ἀπ᾽ αὐτοῦ βλάπτεται νεύρων, ἀλλὰ καὶ τὴν κεφαλὴν οὐ πρὸ πολλοῦ τινος ἥλκωσαν, ἐπιτιθέντες φάρμακα τῶν πάνυ θερμαινόντων, ἡγούμενοι δἰ αὐτῶν ἀνακαλέσασθαι τὴν αἴσθησιν αὐτῆς ἰσχυρῶς βεβλαμμένην· ὅν τινα καὶ αὐτὸν ἡμεῖς ἰασάμεθα, τὸν πεπονθότα τόπον εὑρόντες ἔκ τε τῶν ἄλλων συμπτωμάτων καὶ τῶν προκαταρκτικῶν αἰτίων, ἕκαστον ἀνερωτήσαντες, ὧν ἓν ἦν καὶ τόδε· πάμπολυν ὑετὸν ἔφη σὺν ἀνέμῳ σφοδροτάτῳ γενόμενον, ὁδοιποροῦντος πότ᾽ αὐτοῦ, διαβρέξαι τὴν ἐφεστρίδα κατὰ τὸν τράχηλον, ὡς αἰσθέσθαι σαφῶς ψύξεως ἐν αὐτῷ γενομένης ἰσχυρᾶς. ἐπιστάμενος οὖν τις ἐκ τῶν πρώτων τοῦ νωτιαίου σπονδύλων ἐπὶ τὴν κεφαλὴν ἀναφερόμενα νεῦρα τέτταρα, δἰ ὧν τὴν αἴσθησιν ἔχει τὸ περὶ αὐτὴν δέρμα, ῥᾳδίως ἂν ἔγνω τὸν πεπονθότα τόπον, οὗ θεραπευθέντος τὸ τῆς κεφαλῆς συνεθεραπεύθη δέρμα, μηδὲν αὐτὸ κατὰ πρωτοπάθειαν πεπονθός. ἀλλ᾽ οὔτε

laborantes. Nam non folum crura et manus temere ac fruftra multi medici tota die nocteque calefacientibus medicamentis perfricant, negligentes locum ubi vel fpinalis medulla, vel nervus aliquis ex ipfa emergens laeditur; verum etiam caput cujusdam non ita pridem impofitis medicamentis vehementer calefacientibus ulceraverunt, putantes fenfum ipfius graviter laefum hoc pacto fe revocaturos. Atque nos hunc ipfum fanavimus, inventa fede affecta, tum ex reliquis fymptomatis tum ex evidentibus caufis, fuper quibus fingulis interrogavimus, quarum una hujusmodi erat, quum fub multa pluvia ac vento impetuofo ambulaffet, pallium circa cervicem madefactum ajebat adeo, ut vehementi fe frigore in ea parte affectum fentiret. Itaque qui fciviffet ex primis fpinae vertebris quatuor nervos ad caput ascendere, a quibus pellis ipfum ambiens fenfum accipit, facile fedem affectam inveniffet, qua fanata, capitis quoque pellis pariter fanata effet, nulla primaria affectione laborans; me-

Ed. Chart. VII. [465. 466.] Ed. Baf. III. (289.)

ταῦτα τὰ νεῦρα γιγνώσκοντες οὔτε τὰ καθ᾽ ἕκαστον μέρος ὅλου τοῦ δέρματος οἱ ἰατροὶ, παρὸν αὐτοῖς ἐλαχίστῳ μορίῳ τῷ κατὰ τὴν ἀρχὴν τοῦ νεύρου προσφέρειν τὰ βοηθήματα, τοῖς οὐδὲν πεπονθόσιν ἐνοχλοῦσιν. ἐγὼ δὲ ὑμῖν ἔδειξα πολλάκις ἔνια μὲν ἐν αὐτῷ τῷ νωτιαίῳ τὴν οἷον ῥίζαν ἔχοντα, τινὰ δ᾽ οἷον ἐκ κλάδων μεγάλων ἀποσχιζόμενα, πεφυκότων ἐκ τοῦ νωτιαίου, καὶ πάλιν αὐτὰ ταῦτα, σχιζόμενά τε καὶ διανεμόμενα, τὰ μὲν εἰς πολὺ πάνυ μέρος τοῦ δέρματος, ἔνια δὲ εἰς ἔλαττον· ὥστέ με θαυμάσαι τῶν ἀνατομικῶν [466] ἀνδρῶν ἀγνοησάντων αὐτὰ καὶ ζητούντων ἐν ταῖς παραλύσεσι τὴν αἰτίαν, δι᾽ ἣν οὐκ ἀεὶ κίνησίς τε καὶ αἴσθησις ἀπόλλυται τῶν παραλελυμένων μορίων, ἀλλ᾽ ἐνίοτε μὲν ἡ κίνησις, ἐνίοτε δὲ ἡ αἴσθησις, ἐνίοτε δὲ ἥ τε κίνησις καὶ ἡ αἴσθησις. οἴονται γὰρ τῶν εἰς τοὺς μῦς διανεμομένων νεύρων τὰ λείψανα διεκπίπτειν ἐπὶ τὸ δέρμα, καὶ διὰ τοῦτο ἐπειδὰν πάθῃ τὸ κατασχιζόμενον εἰς τὸν μῦν νεῦρον, ἐπὶ μὲν ταῖς μεγάλαις αὐτοῦ διαθέσεσιν ἀμφότερα βλάπτεσθαι, τήν τε αἴσθησιν ἅμα καὶ τὴν κίνησιν· ἐπὶ δὲ ταῖς ἐλάττοσιν διασώζεσθαι μὲν ἔτι τὴν αἴσθησιν, ὡς ἂν οὐκ ἰσχυρᾶς δεομένην δυ-

dici vero neque hujusmodi nervos neque eos qui per fingulas cutis partes disperfi funt cognoscentes, quum in promptu eis effet minimae particulae juxta nervi initium adhibere remedia, partes illaefas moleftant. Ego vero faepenumero vos monui, alios quidem in ipfa fpinali medulla veluti radicem habere, alios vero velut ex magnis ramis e fpinali medulla exortis procedere; qui rurfus divifi diftribuuntur, alii per valde multas cutis partes, alii per pauciores, ut mirer anatomicos viros illos non cognoviffe, atque in nervorum refolutione quaerere, quam ob caufam refolutarum partium non femper et motus et fenfus pereat, fed aliquando motus, aliquando fenfus, aliquando et fenfus et motus. Arbitrantur namque nervorum in musculos diftributorum reliquias ad cutem tendere, ob idque, quum nervus per musculum diftributus affectus eft, in magnis affectibus ipfius utrumque, et fenfum et motum, fimul laedi; in levibus adhuc fervari quidem fenfum, utpote qui non tan-

νάμεως, ἀπόλλυσθαι δὲ τὴν κίνησιν, οὐ δυναμένην γίνεσθαι χωρὶς ῥώμης δυνάμεως. εἷς γάρ τις μῦς ἐνίοτε κινῶν ὅλον τὸ σκέλος, ἢ καὶ τὴν χεῖρα, καὶ διὰ τοῦτο ῥώμης δεόμενος, ἐπειδὰν πάθῃ μηκέτ᾽ ἐνεργεῖν δυνάμενος, ἀκίνητον μὲν ἐργάζεται τὸ κῶλον, ἡ δὲ αἰσθητικὴ δύναμις, διαγνωστικὴ τῶν κατὰ τὸ μόριον οὖσα παθῶν, ἀβλαβὴς αὐτῷ διαμένει, μὴ δεομένη μεγάλης ἰσχύος· τό τε γὰρ πάσχειν οὐδὲν ἧττον, ἀλλὰ καὶ μᾶλλον ὑπάρχει τοῖς ἀσθενέσιν, ἥ τε διάγνωσις τοῦ πάθους αὐτάρκως γίνεται καὶ δι᾽ ἀῤῥώστου δυνάμεως. ἐπὶ μὲν οὖν τῆς τοιαύτης παραλύσεως ὁ λόγος αὐτῶν πιθανός ἐστιν· ἐφ᾽ ἧς δ᾽ ἡ μὲν αἴσθησις ἀπόλωλεν, ἡ δὲ κίνησις σώζεται, τινὲς μὲν οὕτω ματαίους εἰρήκασι λόγους, ὡς ἄμεινον εἶναι σιωπᾷν αὐτούς· ἔνιοι δ᾽ αἰσθανόμενοι τῆς τοῦ ζητήματος ἀπορίας, οὐκ ὤκνησαν εἰπεῖν οὐδέποτ᾽ ὦφθαι τοιοῦτο παραλύσεως εἶδος, ἐν ᾧ τῆς αἰσθήσεως ἀπολωλυίας ἡ κίνησις σώζεται. τοῖς γὰρ ἀποστᾶσι μὲν τῶν ἔργων τῆς τέχνης, ἀναγορεύσασι δὲ ἑαυτοὺς προστάτας αἱρέσεως, οὐδὲν ἀτόλμητόν ἐστιν, ἀλλ᾽ ἅπαν ἑτοίμως ψεύδονται, καὶ γράφου-

tum roboris desideret; motum vero, eo quod robustis egeat viribus, perire. Interdum enim unus musculus vel totum crus vel manum movens, ac proinde viribus indigens, si afficiatur, munus suum perficere nequit, membrumque ipsum immobile relinquit; sentiendi vero facultas partium affectiones discernens, illaesa tunc permanet, ut quae non validis egeat viribus; quippe nihil minus, imo magis etiam, pati possunt partes debiles, dignotioque affectionis sufficienter fit etiam per imbecillas vires. Igitur ratio ipsorum in hujusmodi quidem nervorum paralysi probabilis est; ubi vero deperdita sentiendi facultate, motus non perit, nonnulli quidem adeo vanas adduxere rationes, ut satius fuisset eos conticescere; nonnulli vero cognita quaestionis difficultate, non gravati sunt dicere, hujuscemodi paralysis speciem, qua servato motu sensus perderetur, neminem unquam vidisse. Nam qui sibi sectae alicujus principatum usurpant, ad artis vero opera non accedunt, nihil non audent, sed quidvis prompte mentiuntur, atque scribunt nonnulla, perinde ac si

Ed. Chart. VII. [466.] Ed. Bas. III. (289. 290.)

σιν ἔνια μὲν ὡς πολλάκις ἑωρακότες, ὧν οὐδ᾽ ὄναρ οὐδὲν εἶδόν ποτε, πολλὰ δ᾽ οὐδεπώποτ᾽ ὦφθαί φασι τῶν συνεχῶς αὐτοῖς ὁρωμένων.

Κεφ. η'. Ἤδη μέν πως ὡμολόγηται τοῖς ἰατροῖς, ἐκ μὲν τοῦ στομάχου καὶ τῆς γαστρὸς ἐμεῖσθαι τὸ αἷμα, μετὰ δὲ βηχὸς ἐκ τῶν ἀναπνευστικῶν ἀνάγεσθαι μορίων· ἐκ δὲ τῶν κατὰ φάρυγγα (290) καὶ γαργαρεῶνα χρεμπτομένοις, ὥσπερ ἐκ τοῦ στόματος, ἁπλῶς ἀποπτύεσθαι· τεθεάμεθα δὲ πολλάκις, ὅτ᾽ ἂν ἀθροώτερον ἐκ τῆς κεφαλῆς καταφέρηται, καὶ μάλιστα τοῦ γαργαρεῶνος ἔνδον ὡς πρὸς τὴν φάρυγγα, μετὰ βηχὸς αὐτὸ ἀναπτυόμενον· ἐμπῖπτον γὰρ αὐτίκα τῷ λάρυγγι βῆχα κινεῖ. προσέχειν οὖν δεῖ τούτῳ μάλιστα, μήποτε δόξωμεν ἐκ τῶν ἀναπνευστικῶν ὀργάνων ἀναφέρεσθαι τὸ αἷμα, καθάπερ ἤδη τινὰς ἔγνων ἰατροὺς ὑπολαβόντας ψευδῶς, ἐξ ὧν ἐσφάλησαν αὐτοὶ νομίσαντες οὐκ ὀρθῶς ἀποφήνασθαι πολλοὺς τῶν ἀρίστων ἰατρῶν, χαλεπωτάτην εἶναι τὴν τοιαύτην αἱμοῤῥαγίαν, ὡς ἂν τοῦ πνεύμονος ἰσχυρῶς πεπονθότος· οὐδὲ γὰρ μικροῦ τινος ἀγγείου ῥῆξιν εἰκὸς γίνεσθαι κατ᾽ αὐτόν.

frequenter conspexerint, quae ne per somnium quidem unquam viderunt, plurima nunquam visa esse ajunt, quae ab ipsis quotidie conspiciuntur.

Cap. VIII. Jam convenit quidem inter medicos sanguinem e gula ventriculoque vomitione, ex spiritalibus partibus tussi, ex faucibus et gurgulione screatu, ut ex ore simplici expuitione expelli; nos vero eum a capite per gurgulionis praecipue partes internas ad fauces affatim descendentem, tussiendo educi saepenumero conspeximus; nam subito gutturi irruens tussim movet. Quare diligenter advertere animum oportet, ne aliquando hujusmodi sanguinem ex spiritalibus organis ascendere putemus, quemadmodum sane quosdam novi medicos falso opinatos, ex quibus ipsi decepti sunt credentes non recte multos praestantissimos medicos asseruisse, hujusmodi sanguinis eruptionem esse periculosissimam, tanquam pulmone vehementer affecto; neque enim par esse, exiguam in ipso venam diruptam.

Ed. Chart. VII. [466. 467.] Ed. Baf. III. (290.)

ἐγχωρεῖ δὲ καὶ κατὰ διάβρωσιν, ἢ ἀνάβρωσιν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, γίνεσθαι πολλάκις αἵματος ἀναφορὰς ἀθρόας μετὰ βηχός. ὅτ᾽ ἂν γὰρ ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐκ διαλειμμάτων ὀλίγον ἑκάστοτε μετὰ βηχὸς ἀνεπτυκώς τις αἷμα φαίνηται, μετὰ ταῦτα δὲ ὕστερον αὐτῷ μήτε καταπτώσεως ἐξ ὑψηλοῦ συμπεσούσης μήτ᾽ ἐν ἀγῶσιν ἢ παλαίστραις σφο- [467] δρᾶς πτώσεως, ἀλλὰ μηδ᾽ ἐπιπεσόντος τινὸς τῷ θώρακι βάρους, ἅμα βηχὶ πολλὴν αἱμοῤῥαγίαν γενέσθαι συμβῇ, κατάλοιπον ἂν εἴη διὰ τὴν ἀνάβρωσιν ἀξιόλογον γενομένην ἀναβηχθῆναι πλεῖον αἷμα. πολλοὶ δὲ τῶν οὕτως παθόντων μόρια ἄττα τοῦ πνεύμονος ἅμα τῷ αἵματι συνανήνεγκαν· καὶ διὰ τοῦτο προσήκει παρακολουθεῖν ἐπιμελῶς, εἰ ἀφρῶδές τι συνανεπτύσθη· καὶ γὰρ καὶ τοῦτο βεβαιότατόν ἐστι γνώρισμα τῆς ἐκ τοῦ πνεύμονος ἀναγωγῆς, ὥσπερ ὅταν ἤτοι βρογχίου τι μέρος, ἢ ἀρτηρίας χιτῶνος, ἢ φλεβὸς, ἢ καὶ τῆς σαρκὸς αὐτῆς τοῦ πνεύμονος ἀναφέρηται. τούτων δ᾽ οὐδὲν ἐπιφαίνεται τοῖς ἐκ τοῦ θώρακος ἀναβήττουσιν αἷμα, καθάπερ οὐδὲ ὀδύνη τις τοῖς ἐκ τοῦ πνεύμονος, ὡς ἂν ἐλάχιστα δύο νεῦρα

Fieri quoque poteſt, ut vel eroſa, vel exeſa, vel utcunque nominare volueris, vena, ſanguis affatim tuſſiendo ejiciatur. Quum enim retroactis temporibus quis ex intervallis quotidie paucum ſanguinem tuſſiendo expuiſſe cernitur, ſupervenitque ei poſtea multi ſanguinis inter tuſſiendum eruptio, neque ab alto delapſo, neque in certamine, neque palaeſtra graviter vulnerato, neque etiam ſub ullo gravi pondere oppreſſo thorace, reliquum eſt, ob inſignem eroſionem plurimum ſanguinem tuſſiendo fuiſſe rejectum. Atque non pauci ſic affecti pulmonis quasdam particulas ſimul cum ſanguine ejecerunt. Quocirca diligenter conſiderare oportet, an ſpumoſum quippiam ſimul educatur; id enim efficaciſſimum eſt indicium eductionis e pulmone; quemadmodum ubi aut bronchii pars quaedam, aut arteriae, aut venae tunicae, aut etiam pulmonis ipſius carnis ejicitur. Nihil autem horum accidit iis, qui ex thorace ſanguinem extuſſiunt, ut nec dolor aliquis iis, qui a pulmone, utpote qui duos nervos perquam

παρὰ τῆς ἕκτης συζυγίας τῶν ἀπ᾽ ἐγκεφάλου λαμβάνοντος, τῷ μὲν ἔξωθεν αὐτὸν ὑμένι περιέχοντι διανεμόμενα, τῷ βάθει δὲ οὐκ ἐπεκτεινόμενα τοῦ σπλάγχνου· τῷ θώρακι δ᾽, ὡς ἴστε, πολλὰ μὲν ἐκ τῶν ἔνδον μερῶν ἐστι νεῦρα, πολλὰ δὲ ἔξωθεν, ἐξ ὧν αἰσθάνεται τάχιστα τῶν ὀδυνηρῶν διαθέσεων. ἀλλὰ καὶ διότι μυώδης μὲν ὁ θώραξ ἐστὶ καὶ ὀστώδης, ὁ πνεύμων δ᾽ ἄθλιπτός τε καὶ χαῦνος, ἐπιτείνεται μὲν ἡ τοῦ θώρακος, ἀνίεται δ᾽ ἡ τοῦ πνεύμονος ὀδύνη. ὅτ᾽ ἂν οὖν ἀλγήσειέ τις ἓν ὁτιοῦν μέρος ἐκ τοῦ θώρακος, ἀναβήττῃ τε μὴ πολὺ, μηδ᾽ ἐρυθρὸν, ἀλλ᾽ ἤδη μελαινόμενόν τε καὶ θρομβούμενον αἷμα, τούτῳ πρωτοπαθεῖ μὲν ὁ θώραξ, ἀνάγεται δὲ διὰ τοῦ πνεύμονος οὕτως τὸ αἷμα, καθάπερ καὶ τὸ πῦον ἐν τοῖς ἐμπυϊκοῖς πάθεσιν, ἐφ᾽ ὧν μεταξὺ θώρακός τε καὶ πνεύμονος αἰσθητῶς περιέχεται. οὕτως δὲ καὶ τὸ κεχρωσμένον ὁπωσοῦν πτύελον ἐν πλευρίτισιν ἐπιφαίνεται, καὶ κατὰ τὸ μετὰ τοῦτο ὑπόμνημα τὸ πέμπτον εἰρήσεται. νυνὶ δὲ περὶ τῶν ἐπιγιγνομένων ἑλκώσεων ταῖς τοῦ αἵματος ἀναφοραῖς ἀκόλουθον εἰπεῖν. ἐν μὲν γὰρ τῷ πνεύμονι καὶ μᾶλλον γίγνεται, καὶ τισὶ μὲν ἀθεράπευτα

tenues a fexta nervorum a cerebro ortorum conjugatione recipit, per membranam extrinfecus ipfum continentem difperfos, fed per visceris profunditatem non extenfos; verum thoraci, ut fcitis, multi ab internis, multi etiam ab externis partibus funt nervi, quibus facile dolores percipi poffunt. Praeterea quia thorax musculis offibusque abundat, pulmo vero laxus eft, atque a compreffione, aut contufione tutus, thoracis dolores intenfiores funt, pulmonis remiffiores. Quum igitur dolente thoracis parte quapiam, fanguinem quis tuffiendo rejecerit, neque multum, neque rubrum, fed jam nigricantem, grumofumque, huic thorax primaria affectione infeftatur, at fanguis per pulmonem ita educitur, ut in fuppuratis affectibus pus, quod inter thoracem et pulmonem fenfus judicio contineri percipitur. Sic et pleuriticis fputum quovis modo coloratum apparet, idque fequenti quinto libro dicetur. Nunc vero de ulceribus fanguinis rejectioni fupervenientibus deinceps dicendum eft. Nam in pulmone creberrime fiunt, ac curationem, ut quibusdam videtur, ne-

παντάπασιν ἔδοξεν, ἐνίοις δὲ δυσθεράπευτα· κατὰ δὲ τὸν θώρακα καὶ κολλᾶται τὰ πλεῖστα τῶν ῥαγέντων ἀγγείων, ἐφ᾽ οἷς ἔπτυσεν αἷμα, καὶ εἰ παραμείνειεν μέχρι πλείονος ἡ ἕλκωσις, ἀλλ᾽ οὔτι γε τελέως ἀνίατος γίνεται· τὰ δὲ ἐν τῷ πνεύμονι χρονίσαντα, κᾂν θεραπευθῇ ποτε, καταλείπει τι λείψανον ἐν αὐτῷ τυλῶδές τε καὶ συριγγῶδες, ὃ τοῦ χρόνου προϊόντος ἀναδέρεται ῥᾳδίως ἐπὶ βραχείαις προφάσεσιν, συναναφέρεται δὲ τοῖς πτυομένοις ἐντεῦθεν ἐνίοτε καὶ ἡ καλουμένη πρὸς τῶν ἰατρῶν ἐφελκὶς, καί τις αἵματος βραχὺς σταλαγμός. ἔστι δὲ ταῦτα κοινὰ καὶ τῶν ἐν ἑτέρῳ τόπῳ γενομένων ἑλκῶν, ἀλλὰ τὰ μὲν ἐκ στομάχου καὶ γαστρὸς ἐμεῖται, τὰ δ᾽ ἐκ νεφρῶν καὶ κύστεως οὐρεῖται, τὰ δ᾽ ἐκ τῶν ἐντέρων διαχωρεῖται, τοῖς δ᾽ ἐκ τῶν ἀναπνευστικῶν ὀργάνων ἀδύνατόν ἐστι χωρὶς βηχὸς ἀναπτυσθῆναι. ἐὰν δέ τις ἀναχρέμπτηταί τε καὶ ἀπομύττηταί ποθ᾽ αἷμα πλέοσιν ἐφεξῆς ἡμέραις, μήτε κεφαλῆς ὀδύνης ἢ βάρους, ἤτοι συμπαρόντος, ἢ προηγησαμένου, μήτε πληγῆς αὐτόθι γεγενημένης, ἐπισκέψασθαι χρὴ τούτου τόν τε τῆς ῥινὸς πόρον ἀκριβῶς ὅλον, ἐκεῖνόν τε τοῦ στόματος τὸν τόπον, ἔνθα

quaquam admittunt, ut alii putant, difficulter admodum fanantur; at in thorace dirupta vafa, a quibus fanguis expuitur, magna ex parte conglutinantur, nunquam enim hujuscemodi ulcera, vel diuturna, curationi omnino refiftunt; quae vero in pulmone longo jam tempore permanferunt, quamvis aliquando curentur, relinquunt tamen in ipfo callofum quid et fiftulofum, quod tractu temporis levi occafione excoriatur, atque cum iis quae inde expuuntur interdum fimul educitur ramentum a medicis vocatum, ac cruoris exigua quaedam guttula. Atque haec etiam ulceribus alio in loco genitis communia funt; verum ex gula ventriculoque, vomitu; ex renibus et vefica, cum urina; ex inteftinis vero, dejectione excernuntur; fed ex fpiritalibus inftrumentis fine tuffi expui non poffunt. Quod fi pluribus deinceps diebus aliquis cruorem et fcreaverit et emunxerit, citra capitis vel dolorem vel gravitatem, five praefentem five praeteritam, citraque ictum illic inflictum, hujus et totum narium meatum, atque eam oris partem, qua ad nares foramen tendit,

συντέτρηται πρὸς τὴν ῥῖνα· γίνεται γάρ ποτε τοιοῦτο σύμπτωμα, βδέλλης ἐν τῷ χωρίῳ τούτῳ προσπεφυκυίας, ἥτις αὐξάνεται καὶ καθ᾽ ἑκάστην ἡμέραν, ὥστ᾽ εἰ καὶ ταῖς πρώταις ἡμέραις ἐλάνθανε διὰ σμικρότητα, μετὰ τρεῖς γε ἢ τέτταρας ἑτοίμως ὁρᾶσθαι· κατὰ δὲ τὸν αὐτὸν λόγον ἐκ τῆς γαστρὸς ἐμεῖταί ποθ᾽ αἷμα, βδέλλης καταποθείσης. ἔστι γε μὴν τὸ τοιοῦτον αἷμα λε[468]πτὸν καὶ ἰχωρῶδες, ἐάν τ᾽ ἐκ γαστρὸς, ἐάν τ᾽ ἐκ ῥινὸς, ἐάν τ᾽ ἐκ τοῦ στόματος φαίνηται φερόμενον, ὥστέ τινα θεασάμενον αὐτὸ, καὶ προσέτι τὴν ἕξιν τοῦ ἀνθρώπου κατασκεψάμενον, ἐρωτήσαντά τε περὶ τῶν προηγησαμένων, ἐξ ἁπάντων αὐτῶν στοχάσασθαι τῆς τοῦ πράγματος ἀληθείας. ὑγιαίνοντος γοῦν ποτε ἀμέμπτως ἀνθρώπου, τοιοῦτον αἷμα θεασάμενος ἐμούμενον, ἠξίωσα διηγήσασθαί μοι τὴν δίαιταν ἣν διήτητο ταῖς ἔμπροσθεν ἡμέραις. σὺν τοῖς ἄλλοις οὖν οἷς διηγεῖτο, καὶ τοῦτο κατέλεξεν, ὡς ἔκ τινος κρήνης οὐ πάνυ τι καθαρὸν ὕδωρ ἐχούσης ἔπιεν ὕδωρ διψήσας νύκτωρ, οἰκέτου τινὸς αὐτῷ κομίσαντος. ὡς δ᾽ ἤκουσα τοῦτο, προσανηρόμην αὐτὸν, εἰ καὶ βδέλλαι ποτ᾽ ὤφθησαν ἐν

accurate confiderare oportet; nam fit aliquando hujusmodi fymptoma, hirudine huic loco adhaerente, quae quidem in dies augetur, ut quamvis primis diebus ob exiguitatem fenfum effugiat, tertio tamen quartove die facile cernatur. Eadem ratione ex ventriculo quoque cruor epota fanguifuga nonnunquam evomitur. Sed eft hujusmodi cruor tenuis, fanieique fpeciem refert, five e ventriculo, five ex naribus, five ex ore ferri videatur, ut cum tale confpexeris, ac praeterea hominis confideraveris habitum, fuperque praeteritis eum interrogaveris, ex omnibus rei ipfius veritatem facile conjicias. Equidem quum viderem hominem integra valetudine hujusmodi cruorem evomentem, interrogavi, qua victus ratione antea fuiffet ufus; ille vero inter alia quae narravit, hoc quoque addidit, fe quum nocte quadam fitiret, ex fonte quodam non admodum mundam aquam continente, aquam bibiffe a fervo fibi quodam allatam. Quibus auditis, fciscitatus fum, apparuiffentne aliquando fanguifugae in ipfo

τῷ κατὰ τὴν κρήνην ὕδατι· καὶ φάντος ἑωρακέναι, δοὺς ἐπιτήδειον φάρμακον, ἐμεθῆναι τὴν βδέλλαν ἐποίησα. ἑτέρου δ᾽ ἀπομυττομένου καὶ πτύοντος αἷμα τοιοῦτο, πυθόμενος ἐν τῇ διηγήσει διατρῖψαι τὸν ἄνθρωπον ἐν λίμνῃ τινὶ κατ᾽ ἀγρὸν ὥρᾳ θέρους, μετά τινων ἑτέρων παίζοντα γυμναστικὰς παιδιὰς, ὁποίας εἰώθασιν οἱ νέοι παίζειν ἐν ὕδατι, καὶ γινώσκων ἐν ἐκείνῳ τῷ ὕδατι βδέλλας γενομένας, ἐξαγαγὼν εἰς αὐγὴν τὸν πάσχοντα, καὶ στρέψας τὸν πόρον τῆς ῥινὸς εὐθὺ τῶν ἡλιακῶν ἀκτίνων, ἐθεασάμην κατ᾽ ἐκεῖνον τὸν τόπον, ἐν ᾧ συντέτρηται πρὸς τὴν ἐν τῷ στόματι χώραν ἡ ῥὶς, οὖσαν βδέλλης οὐρὰν, ἐγκατακεκρυμμένην τῷ πόρῳ. βέλτιον οὖν ἔδοξέ μοι καὶ ταῦθ᾽ ὑμῖν ἱστορῆσαι.

Κεφ. θ'. Ὅτι μὲν γὰρ ἐν τοῖς τοιούτοις λόγοις ἀκουστέον ἐστὶ τὴν βλάβην, εἰ καὶ μὴ παντελῶς ἀπολωλὸς εἴη τὸ κατὰ φύσιν ἔργον ἅπαν τοῦ μορίου, πολλάκις εἴρηταί μοι, χεῖρον δ᾽ οὐδὲν ἀναμνησθῆναι καὶ νῦν. ὅτι δ᾽ οὐ ταὐτόν ἐστι φωνὴ καὶ διάλεκτος, ἀλλ᾽ ἡ μὲν φωνὴ τῶν φωνητικῶν ὀργάνων ἔργον, ἡ διάλεκτος δὲ τῶν διαλεκτικῶν, ὧν τὸ μὲν

fonte; qui quum fe vidiffe fateretur, dato idoneo medicamento, hirudinem vomitione eduxi. At quum alius quispiam hujusmodi cruorem emungeret et expueret, ac ipfo narrante audirem eum rure, aeftatis tempore, in ftagno quodam cum caeteris juvenibus juvenili ludo, qualem adolescentes in aqua ludere folent, exercitatum, fciremque in eo ftagno fanguifugas effe, duxi laborantem ad fplendorem; converfoque directe ad folis radios narium foramine, in eo loco, ubi nafus ad oris regionem perforatur, hirudinis in meatu latentis caudam confpexi. Has igitur hiftorias vobis narrare operae pretium duxi.

Cap. IX. Enimvero quod his in fermonibus laefionem intelligere oporteat, etiamfi non penitus tota partis actio fecundum naturam deperdatur, faepenumero jam diximus, nec ab re fuerit, in praefentia monuiffe. Praeterea, quamvis non ignoretis, monitos vos velim, non eandem effe rem vocem et locutionem, fed vocem vocalium inftrumentorum opus effe, locutionem vero loquentium, quorum lingua eft

κυριώτατόν ἐστιν ἡ γλῶττα, συντελεῖ δ' οὐ σμικρὸν ἥ τε ῥὶς καὶ τὰ χείλη καὶ οἱ ὀδόντες, ἐπισταμένους ὑμᾶς ἀναμιμνήσκω· καθάπέρ γε καὶ περὶ τῶν φωνητικῶν ὀργάνων, ὅτι λάρυγξ ἐστὶ καὶ οἱ κινοῦντες αὐτὸν μύες, ὅσα τε τούτοις νεῦρα τὴν ἐξ ἐγκεφάλου παρακομίζει δύναμιν. ἐὰν μὲν οὖν οἱ κλείοντες ἢ οἱ ἀνοίγοντες τὸν λάρυγγα μύες ἀκίνητοι γενηθῶσιν, ἀφωνία παντελὴς καταλήψεται τὸν οὕτω παθόντα· καθάπέρ γε κᾂν δυσκίνητοί πως, ἤ τινα παλμώδη κίνησιν ἢ τρομώδη λάβωσι, κατὰ τὸ τοῦ πάθους εἶδος ἡ φωνὴ βλαβήσεται· παραπλησίως δὲ κᾂν σπασμωδῶς ἢ κλονωδῶς κινῶνται· καὶ μέντοι κᾂν (291) ἀῤῥωστήσῃ ποθ' ἡ δύναμις αὐτῶν, ἤτοι δι' οἰκεῖόν τι πάθος, ἢ διά τι τῶν κινούντων αὐτοὺς νεύρων, ἀμυδρὰν καὶ μικρὰν ἐργάσεται τὴν φωνήν. ἐὰν δ' ἄλλός τις τῶν κινούντων τὸν λάρυγγα μυῶν ὁτιοῦν πάθῃ, βλαβήσεται μέν πως ἡ φωνὴ βλάβην μικρὰν, οὔτε δὲ ἄφωνος ὁ οὕτως παθὼν ἔσται παντάπασιν, οὔτε σμικρόφωνος ἱκανῶς. ὥσπερ δ' οἱ κυριώτατοι μύες τῶν τὸν λάρυγγα κινούντων εἰσὶν οἵ τ' ἀνοιγνύντες αὐτὸν καὶ οἱ κλείοντες, οὕτω καὶ τῶν φωνητικῶν νεύρων τὰ παλινδρομοῦντα, μορία μὲν ὄντα καὶ αὐτὰ τῆς

maxime princeps, non parum autem conferunt et nares et labra et dentes: fic etiam vocis inftrumenta effe guttur et musculos ipfum moventes, atque nervos qui a cerebro ipfis facultatem deferunt. Igitur fi vel claudentes vel aperientes guttur musculi immobiles reddantur, qui fic afficitur, mutus evadet omnino; ubi vero vel difficulter moventur, vel palpitant, aut tremunt, pro affectionis modo vox laedetur; fimiliter, fi convellendo, vel concutiendo moveantur. At vero fi imbecillae fuerint ipfis vires, five ob fuam ipforum, five ob nervorum ipfos moventium affectionem, obfcuram et parvam efficient vocem. Quod fi alius quispiam ex moventibus guttur musculis, quoquo modo afficiatur, laedetur quidem vox, fed parva laefione, atque fic affectus neque mutus omnino erit, neque admodum exiguam habebit vocem. Ut autem ex musculis guttur moventibus praecipui funt ii qui ipfum aperiunt et claudunt, ita ex vocalibus nervis ii quos recurrentes vocamus; qui et ipfi portiones quidem funt fex-

ἕκτης συζυγίας τῶν ἐξ ἐγκεφάλου πεφυκότων νεύρων, ὥσπερ καὶ τἄλλα τὰ εἰς αὐτὸν ἐμφυόμενα, διαφέροντα δ᾽ αὐτῶν τοσοῦτον, ὡς μὴ κατὰ τὸν τράχηλον ἀποσχίζεσθαι τῶν ἐκ τῆς ἕκτης συζυγίας, ἀλλ᾽ ὅταν εἰς τὴν τοῦ θώρακος ἀφικνῆται χώραν. [469] αὐτὴν μὲν οὖν τὴν ἕκτην συζυγίαν ὅλην οὐδεὶς οὕτως ἀφυὴς ἐστι χειρουργὸς ὡς ἄκων τέμνειν, τὰ παλινδρομοῦντα δ᾽ ἐνίοτε διασπῶσιν ὑπ᾽ ἀγνοίας· ἔστι δ᾽ ὅτε καὶ τέμνεται μετὰ τῆς τραχείας ἀρτηρίας ἢ τὸ ἕτερον αὐτῶν, ἢ ἀμφότερον, κατὰ τὰς μεγάλας τρώσεις αὐτῆς· καὶ ψυχθέντα δ᾽ ἐν χειρουργίαις ἐμποδίζει τῷ φωνήματι, μέχρις ἂν ἐκθερμανθέντα τὴν φυσικὴν εὐκρασίαν ἀνακτήσηται. βλάπτεσθαι δ᾽ ἔτι συμβαίνει τὴν φωνὴν εἰς ὀξύτητά τε καὶ μέγεθος οὐκ ἀφανῶς, κἀπειδὰν οἱ τῆς φάρυγγος μύες ἀδυνατῶσι συντείνειν αὐτήν· καὶ μέντοι καὶ διάβροχος ὑγρότητι πολλῇ γενόμενος ὁ κοινὸς χιτὼν τῆς φάρυγγος καὶ τοῦ λάρυγγος, ἰσχυρῶς βλάπτει τὴν φωνήν. ὅτι δὲ καὶ οἱ κατάῤῥοι κατὰ τὸν αὐτὸν λόγον βραγχώδη τὴν φωνὴν ἐργάζονται, τῶν πᾶσι γινωσκομένων ἐστί· καθάπέρ γε καὶ τὸ πολλὰ βοῆσαι, καὶ

tae conjugationis nervorum qui a cerebro oriuntur, quemadmodum et alii qui in ipfum inferuntur; differunt tamen ab illis eo quod non in cervice a nervis fextae conjugationis, fed quum ad thoracis regionem pervenerint, propagentur. Nullus itaque tam ineptus chirurgus eft, qui ipfam fextam conjugationem totam fecet invitus; at recurrentes nervi ob imperitiam nonnunquam divelluntur. Accidit vero interdum in magnis afperae arteriae vulneribus, ut una cum ipfa vel alter vel uterque incidatur; per chirurgiam quoque perfrigerati vocem impediunt, donec calefacti naturalem temperiem recuperaverint. Quinetiam laedi vocem contingit in exilitate et magnitudine non leviter, quum fauces a fuis musculis nequeunt intendi. Item vehementer laeditur vox, ubi membrana, quae faucibus et gutturi communis eft, multa humiditate rigatur. Quod etiam deftillationes eadem ratione vocem raucam efficere poffint, nemo non intelligit. Vehemens quoque exclamatio fimiliter vocem afficit, utpote

γὰρ καὶ τοῦτο φλεγμονῇ τι παραπλήσιον ἐργάζεται πάθημα κατά τε τὸν εἰρημένον χιτῶνα καὶ τοὺς μῦς τοῦ λάρυγγος, (εὔδηλον δ᾽ ὅτι καὶ τῶν ἔνδον τοῦ λάρυγγος μυῶν φλεγμαινόντων, ἡ κυνάγχη τὸ πάθημα γίνεται, τήν τε φωνὴν ἅμα καὶ τὴν ἀναπνοὴν βλάπτουσα) καὶ ὅλως ἅπαντες οἱ παρὰ φύσιν ὄγκοι κατά τε τὰς ὁδοὺς τοῦ πνεύματος γενόμενοι καὶ θλίβοντες ἔξωθεν αὐτάς. οὕτω γοῦν καὶ ὁ στόμαχος φλεγμήνας, εἶτα θλίβων τὸν χιτῶνα τῆς τραχείας ἀρτηρίας, ᾧ συνάπτεται τὰ σιγμοειδῆ πέρατα τῶν κατ᾽ αὐτὴν χόνδρων, εἰς ἀναπνοήν τε καὶ φωνὴν βλάπτει· καὶ ἡ τῶν κατ᾽ αὐχένα σπονδύλων εἰς τὸ πρόσω μετακίνησις, ὑπὲρ ὧν ἔμπροσθεν εἴρηται. ταῦτα μὲν ἅπαντα τὰ πάθη γίνεται τῇ φωνῇ, τῶν ἰδίων αὐτῆς ὀργάνων οἰκείαν τινὰ βλάβην ἐχόντων, εἴτε κατὰ πρωτοπάθειαν, εἴτε κατὰ συμπάθειαν, οὐδὲν γὰρ διαφέρει πρὸς τὸν ἐνεστῶτα λόγον· ἕτερα δὲ πάσχει, τῷ τῆς οἰκείας ὕλης στερίσκεσθαι· δέδεικται δ᾽ ἐν τοῖς περὶ φωνῆς οἰκεία τῆς ἐνεργείας ταύτης ὕλη γενικῶς μὲν εἰπεῖν ἡ ἐκπνοὴ, κατ᾽

quae fimilem inflammationi circa jam dictam membranam atque gutturis musculos parit affectum, (At quum gutturis interni musculi inflammantur, eum affectum anginam effe conftat, quae fimul et vocem et refpirationem laedit) et omnes univerfe praeter naturam tumores, five in fpiritalibus viis exoriantur, five extrinfecus ipfas comprimant. Sic itaque gula quoque inflammatione affecta, ut comprimat asperae arteriae tunicam, qua cartilaginum ipfius partes extremae figmoides conjunguntur, et refpirationem et vocem laedit; *laedit* quoque vertebrarum cervicis in anteriorem partem luxatio; de quibus jam antea dictum eft. Igitur omnes hujusmodi affectus voci adveniunt, propriis ipfius inftrumentis familiari aliquo vitio, five primigenia affectione, five per confenfum, laborantibus; nam id ad propofitum fermonem nihil conducit. Sunt praeterea alii affectus, quum peculiari fua materia privatur; atque in commentariis de voce dictum jam eft, quod propria hujus actionis materia generatim quidem loquendo eft expiratio, fecundum fpeciem

Ed. Chart. VII. [469.] Ed. Baf. III. (291.)

εἶδος δὲ καὶ τὴν οἰκείαν διαφορὰν ἡ ἐκφύσησις, ἥτίς ἐστιν ἀθρόα τοῦ πνεύματος ἔξω φορὰ κατὰ τὴν μεσοπλευρίων μυῶν ἐνέργειαν γιγνομένη. οὕτω δὲ καὶ αἱ μεγάλαι τοῦ θώρακος τρώσεις, ἢ ὅλως αἱ παραλύσεις θατέρου μέρους αὐτοῦ, πρώτως μὲν ἡμίπνουν, κατὰ συμβεβηκὸς δὲ καὶ ἡμίφωνον ἐργάζεται τὸ ζῶον. ὅσα δ᾽ ἐν ἀποπληξίαις καὶ κάροις ἐπιληψίαις τε καὶ κατοχαῖς ἡ φωνὴ βλάπτεται, ταῦτα τῷ κοινῷ λόγῳ γίνεται τῶν καθ᾽ ὁρμὴν ἐνεργειῶν, ἤτοι τῶν πρώτων μερῶν τοῦ νωτιαίου παθόντων, ἢ καὶ σὺν αὐτοῖς τοῦ ἐγκεφάλου. συνημμένων δ᾽ ἀλλήλαις τῶν πέντε τούτων ἐνεργειῶν, ἐκπνοῆς, ἐκφυσήσεως ἀψόφου, ψοφώδους ἐκφυσήσεως, φωνῆς, διαλέκτου, τῇ πρώτῃ μὲν εἰρημένῃ συμβλάπτονται πᾶσαι, τῇ δ᾽ ὑστάτῃ τῶν ἄλλων οὐδεμία· τῇ δευτέρᾳ δὲ αἱ μετ᾽ αὐτὴν τρεῖς, τῇ τρίτῃ δ᾽ ἔσχατα δύο, τῇ τετάρτῃ δὲ ἡ τελευταία μία μόνη. εἰ μὲν γὰρ οὐδ᾽ ὅλως ἐκπνεῖ τὸ ζῶον, ἤτοι κατ᾽ ἄμφω τὰ μέρη τοῦ θώρακος, ἢ κατὰ θάτερον μόνον· εἰ μὲν κατ᾽ ἄμφω, πνιγήσεται διὰ ταχέων· εἰ δὲ κατὰ

vero atque propriam differentiam, efflatio, quae quidem eft, quum affatim fpiritus foras effertur per musculorum intercoftalium actionem. Sic autem et per vehementia thoracis vulnera, atque omnino ipfius in altera parte refolutionem, in primis femifpirans, per accidens vero femivocale animal evadit. In apoplexia vero, fopore, morbo comitiali, catoche, communi ratione earum actionum, quae ab impetu et voluntatis imperio procedunt, vocem laedi contingit, five fpinalis medullae partes primae, five fimul cum iis cerebrum quoque afficiatur. His actionibus quinque inter fe confequentia quadam convenientibus, expiratione, efflatione citra ftrepitum, ftrepenti efflatione, voce, loquela; fi earum prima laedatur, reliquae omnes laeduntur; ultima vero laefa, reliquae haudquaquam; at quum fecunda, tres reliquae; quum tertia, duae ultimae; quum quarta vero, fola poftrema laeditur. Etenim fi nihil omnino expiret animal, vel ex utrisque thoracis partibus, vel ex altera duntaxat; fi quidem ex utrisque, celerrime fuffocabitur; fi vero ex altera

θάτερον, ἡμίπνουν καὶ ἡμίφωνον ἔσται μετὰ τοῦ καὶ τῶν ἐφεξῆς ἐνεργειῶν αὐτῆς δυοῖν ἀπολωλέναι τὸ ἥμισυ μέρος, ὧν τὴν μὲν ἑτέραν ἄψοφον ἐκφύσησιν ὀνομάζειν εἴωθα, τὴν δὲ ἑτέ[470]ραν ψοφώδη. εἰ δ' ἡ μὲν ἐκπνοὴ σώζοιτο, διαφθαρείη δὲ ἡ ἐκφύσησις, αἱ λοιπαὶ τρεῖς ἐνέργειαι διαφθείρονται, ψοφώδης ἐκφύσησις καὶ φωνὴ καὶ διάλεκτος· ἀπολομένης δὲ τῆς ψοφώδους ἐκφυσήσεως, καὶ φωνὴ καὶ διάλεκτος συναπόλλυται· καθάπέρ γε καὶ φωνῆς ἀπολομένης ἡ διάλεκτος. ἐπισταμένοις οὖν ἡμῖν τοὺς τῶν εἰρημένων ἐνεργειῶν δημιουργοὺς μῦς ὑπάρξει συλλογίζεσθαι, τίνες μὲν ἔπαθον ἐξ αὐτῶν ἴδιόν τι πάθημα, τίνων δὲ τοὔργον ἐβλάβη κατὰ συμβεβηκός. εἰ δέ τι τῶν ἐν ταῖς ἀνατομαῖς ὀφθέντων ἐπελάθεσθε, τά τε περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων ὑπομνήματα καὶ τὰ περὶ φωνῆς ὑμᾶς ἀναμνήσει· λέλεκται δὲ περὶ αὐτῶν κἀν τῷ δευτέρῳ περὶ τῆς ἐπὶ τῶν ζώντων ἀνατομῆς. ἐκπνοὴν μὲν γὰρ ἅπαντες οἱ συστέλλοντες τὸν θώρακα μύες· ἐκφύσησιν δὲ, οὖσαν ἐκπνοὴν σφοδρὰν, οἱ μεσοπλεύριοι μάλιστα· τὴν ψοφώδη δὲ οἱ τῆς φάρυγγος· αὐτὴν δὲ τὴν φωνὴν οἱ τοῦ λάρυγγος

tantum, femifpirans atque femivocale reddetur, perdetque fimul reliquarum deinceps duarum actionum partem dimidiam, quarum alteram efflationem citra ftrepitum, alteram vero ftrepentem nominare confuevi. Quod fi expiratione fervata corrumpatur efflatio, reliquae tres actiones, ftrepens efflatio, vox et loquela fimul corrumpentur; fublata vero ftrepente efflatione et vox et loquela perit, ut, voce pereunte, loquela. Quum itaque dictarum actionum opifices musculos cognoveritis, poteritis ratiocinari, qui ex ipfis proprio affectu laborent et quorum actio laedatur per accidens. Quod fi quidpiam eorum, quae ex corporum diffectione vidiftis, oblivioni tradideritis, admonebunt vos ii, quos de refpirationis caufis, atque de voce perfcripfimus, commentarii, atque de his ipfis in fecundo libro de vivorum diffectione dictum eft. Nam expirationem faciunt univerfi thoracem contrahentes musculi; efflationem, quae vehemens expiratio eft, intercoftales maxime; ftrepentem efflationem ii, qui in faucibus funt; vocem vero ipfam gutturis musculi efficiunt.

Ed. Chart. VII. [470.] Ed. Baf. III. (291.)

ἐργάζονται μύες· ἡ δὲ γλῶττα, διαρθροῦσα τὴν φωνὴν, εἰς τὸ διαλέγεσθαι χρήσιμος ὑπάρχει, συντελούντων δ᾽ εἰς τοῦτο καὶ τῶν ὀδόντων καὶ τῶν χειλῶν, ἔτι τε τῶν κατὰ τὴν ῥῖνα συντρήσεων, οὐρανίσκου τε καὶ γαργαρεῶνος, ἐπὶ τούτοις τε τοῦ συμμέτρου δεσμοῦ τῆς γλώττης αὐτῆς. οἱ μὲν οὖν τραυλοὶ, καὶ ψελλοὶ, καί τι τοιοῦτον κατὰ τὸ διαλέγεσθαι σφαλλόμενοι, τῶν διαλεκτικῶν ὀργάνων ἔχουσί τι βεβλαμμένον, ἢ κατὰ τὴν φυσικὴν διάπλασιν, ἢ μετὰ ταῦθ᾽ ὕστερον· ὥσπερ οἱ τὸν τῆς ῥινὸς πόρον ὑπὸ πολύποδος, ἢ καὶ ἄλλως φραχθέντες, ἤ τινα τῶν προσθίων ὀδόντων ἀπολέσαντες, ἢ χεῖλος κολοβωθέντες· οἱ δ᾽ ἰσχνόφωνοι καλούμενοι ὅπως γίνονται, καὶ τἄλλα ὅσα φωνῆς ἐστι εἴδη τε καὶ πάθη, βραγχώδους τε καὶ κλαγγώδους, καὶ λεπτῆς, καὶ τραχείας, καὶ μελαίνης, ἐν τοῖς περὶ φωνῆς ὑπομνήμασιν αὐτάρκως εἴρηται.

Κεφ. ι΄. Εἴρηται μὲν ἤδη καὶ πρόσθεν ἱκανῶς περὶ δυσπνοίας, ἡνίκα τὰ τοῦ νωτιαίου πάθη διηρχόμην· ἀναμνήσας δὲ καὶ νῦν αὐτῶν, ὅσον ὑπόλοιπον ἔτι τῆς θεωρίας ταύτης ἐστὶ, προσθήσω. καθόλου μὲν οὖν ὑμᾶς ἀξιῶ

Sed lingua articulatim vocem diftinguens loquendi ufum praeftat; quam ad rem conferunt quoque dentes, labra, narium foramina, palatum, gurgulio, praeterea mediocre linguae ipfius vinculum. Itaque balbis blaefisque atque aliis qui impedita funt loquela, loquutionis inftrumentorum aliquod, aut quum natura ipfum formaret, aut poftea, laefum effe certum eft; veluti quibus vel polypus, vel aliud quidpiam narium foramina obftruit, aut ex primis dentibus aliquis deperditus eft, aut labia mutilata. Verum quo pacto tenuem obtineant vocem, ac praeterea quomodo aliae vocis tum fpecies tum affectiones fieri poffint, ut rauca, refonans, tenuis, afpera et obfcura, in commentariis de voce fufficienter diximus.

Cap. X. De difficili refpiratione jam antea, ubi fpinalis medullae affectus percurrimus, multa dicta funt, quibus nunc in memoriam revocatis, quae ad praefentem contemplationem fuperfunt, fubjungam. Itaque in univerfum

Ed. Chart. VII. [470.] Ed. Baf. III. (291. 292.)

πάντων ὧν ἐθεάσασθε κατὰ τὰς ἀνατομὰς μυῶν τῶν κινούντων τὸν θώρακα πρόχειρον ἔχειν τὴν μνήμην, ἅμα τοῖς εἰς αὐτοὺς ἀφικνουμένοις νεύροις· εἰσελθόντας δὲ πρὸς τὸν δυσπνοοῦντα, πρῶτον μὲν θεάσασθαι πότερον ἅπαντας κινεῖ τοὺς τοῦ θώρακος μῦς, ἢ τοὺς κατὰ τὰ μεσοπλεύρια μόνους χωρὶς τῶν ὑψηλῶν, ἢ καὶ τὰς φρένας ἅμα τοῖς μεσοπλευρίοις. ἐὰν γὰρ εἴδητε πάντας κινουμένους, ἕν τι τῶν τριῶν ἐννοήσαντες ὧν ἐρῶ τῆς τοιαύτης κινήσεως αἰτίων, ἐφεξῆς διορίζεσθαι πειρᾶσθε, τί ποτ᾽ αὐτῶν ἐστι τὸ νῦν ὑπάρχον αἴτιον· ἐὰν δὲ μὴ πάντας, ἐφ᾽ ἕτερον ἀφικνεῖσθε διορισμόν. ὑποκείσθω δή τις ἅπαντας κινῶν τοὺς μῦς, ὡς καὶ τὸ στέρνον ἐξαίρεσθαι σαφῶς ἅμα ταῖς ὠμοπλάταις· ἐπὶ τούτου τῶν τριῶν τούτων ἀναγκαῖον ἕν γέ τι πάντως ὑπάρχειν, ἤτοι τὴν δύναμιν ἄῤῥωστον, ἢ στενοχωρίαν τῶν τοῦ πνεύματος (292) ὁδῶν, ἢ θερμασίαν παμπόλλην ἐν καρδίᾳ καὶ πνεύμονι, δυναμένου δηλονότι καὶ δύο αἰτίας ἐξ αὐτῶν ἅμα γενέσθαι, καὶ τάχα ποτὲ σπανίως καὶ τὰς τρεῖς. ἀλλὰ τῶν μὲν τριῶν ἅμα γινομένων, ὁ κάμνων αὐτίκα τεθνήξεται· τῶν δὲ δύο, δυσκόλως

expedite vos meminiffe velim musculorum omnium thoracem moventium nervorumque, qui ad ipfos perveniunt, quos in corporum diffectione vidiftis; tum introeuntes ad hominem difficulter fpirantem, in primis confiderare, an omnes thoracis musculos moveat, an folos intercoftales fine fuperioribus; atque an fimul cum intercoftalibus feptum transverfum. Nam fi confpexeritis omnes moveri, unam ex tribus, quas dicemus, caufis, hujusmodi motionem efficere putate, ac deinde quae fit illa quae nunc infeftat, perpendite; quod fi non omnes moveantur, aliter definiendum. Subjiciamus igitur aliquem omnes fimul movere musculos, ut pectus una cum fcapulis manifefte fublevetur. In hoc ex tribus unum aliquod effe neceffe eft, aut virium imbecillitatem, aut viarum fpiritus anguftiam, aut vehementem in corde et pulmone calorem; quamvis interdum duae, ac nonnunquam, licet raro, tres quoque ex jam dictis caufis concurrere poffint. At tribus quidem fimul convenientibus, quam primum aeger interibit, duabus autem difficile fervabitur, una vero, affectus

σωθήσεται· μιᾶς δὲ, μετὰ τῶν οἰκείων [471] διορισμῶν εἰς ὄλεθρον ἢ σωτηρίαν τελευτήσει τὸ πάθος. ἡ τοίνυν τῆς δυνάμεως ἀῤῥωστία μόνη γενομένη, διὰ τοῦτ᾽ ἐπὶ τὰ τρία γένη τῶν κινούντων μυῶν ἔρχεται, καὶ πάντας αὐτοὺς ἐπεγείρει πρὸς τὴν κίνησιν, ὅτι σφοδρῶς κινεῖν ἓν ἐξ αὐτῶν γένος ἀδυνατεῖ· ὡς εἴγε τὸ διάφραγμα μόνον ἱκανῶς ἐκίνει, καθάπερ ὅτ᾽ εἶχε κατὰ φύσιν, οὐκ ἂν οὔτε τῶν μεσοπλευρίων οὔτε τῶν ὑψηλῶν ἐδεήθη μυῶν· ἐπεὶ δ᾽ ἄῤῥωστός ἐστιν, ἅπαντάς τε βραδέως κινεῖ, καὶ πυκνὴν οὐκ ἐργάζεται τὴν ἐνέργειαν αὐτῶν, ὥσπερ οὐδ᾽ ἀραιὰν πάνυ. καὶ τούτοις μάλιστα προσέχετε τὸν νοῦν τοῖς γνωρίσμασι, διορίζεται γὰρ ὑπ᾽ αὐτῶν ῥαδίως τἄλλα. θερμασίας γοῦν πολλῆς ἠθροισμένης ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις, ἅπασι μὲν ἐνεργεῖ τοῖς μυσὶ τοῦ θώρακος τὸ ζῶον, ἀλλὰ καὶ ταχεῖαν αὐτῶν ποιεῖται καὶ πυκνὴν τὴν ἐνέργειαν καὶ σφοδρὰν, ὅτ᾽ ἂν ἄνευ δυνάμεως ἀῤῥωστίας συμπέσῃ τὰ τῆς θερμασίας· ἡ δ᾽ ἄῤῥωστος δύναμις οὔτε ταχεῖαν οὔτε πάνυ πυκνὴν ἔχει τὴν κίνησιν, ὅτ᾽ ἂν ἄνευ θερμασίας ᾖ φλογώδους, ὅθεν οὐδ᾽ ἐπὶ πλεῖστον

peculiari cum diftinctione ad mortem aut falutem perventurus eft. Igitur fola facultatis imbecillitas quum adeft, propterea ad tria moventium musculorum genera venit, eosque omnes ad motionem excitat, quod unum ipforum genus vehementer movere nequeat; quippe fi feptum transverfum folum fufficienter movere poffet, veluti quum fecundum naturam fe habebat, neque intercoftalibus, neque fuperioribus musculis indigeret; quoniam vero imbecilla eft, omnes fenfim movet, neque frequentem, neque raram valde facit eorum actionem. Atque his potiffimum notis mens adhibenda eft, nam caetera per eas facile discernuntur. Sane plurimum aucto in fpiritalibus organis calore, omnibus quidem thoracis musculis agit animal, fed et velocem et frequentem et vehementem efficit eorum actionem, quum citra virium imbecillitatem calor infeftat. At virium imbecillitas, ubi citra flammeum calorem fit, neque velocem, neque frequentem valde habet motum, proinde non multum omnes thora-

ἅπαντα διαστέλλει τὰ μέρη τοῦ θώρακος· ὥστε κοινὸν ἓν ἔχει μόνον τῇ κατὰ φλόγωσιν πολλὴν γινομένῃ δυσπνοίᾳ, τὸ τοὺς μῦς ἅπαντας τοῦ θώρακος ἐνεργεῖν. ἔτι δὲ καὶ τοῦτο πρόσεστι τῇ διὰ θερμασίαν πολλὴν δυσπνοίᾳ κατὰ μέγεθος καὶ πυκνότητα καὶ τάχος γινομένῃ, τὸ μετ᾽ ἐκφυσήσεως γίνεσθαι τὴν ἐκπνοὴν θερμοῦ καὶ ζέοντος πνεύματος· ἐπὶ δὲ τῇ τῆς δυνάμεως ἀῤῥωστίᾳ, χωρὶς ἐκφυσήσεως τῆς διὰ στόματος, ἡ διὰ τῆς ῥινὸς μόνης ἔξοδος γίνεται τοῦ πνεύματος, ἥτις ῥὶς καὶ κατὰ τὰς εἰσπνοὰς ἐναργῶς ἔχει προστελλόμενα τὰ πτερύγια, σημεῖον καὶ τοῦτο μέγα δυνάμεως ἀῤῥωστούσης. ἐπὶ δὲ ταῖς στενοχωρίαις τῶν ἀναπνευστικῶν ὀργάνων ὅλος μὲν ὁ θώραξ ἐπὶ πλεῖστον διαστέλλεται ταχέως καὶ πυκνῶς, τὴν δὲ ἐκπνοὴν χωρὶς ἐκφυσήσεως οἱ κάμνοντες οὕτως ἴσχουσιν. ὅταν δ᾽ ἐς ταὐτὸν ἀφίκηται θερμασία τε καὶ στενοχωρία τῶν ἀναπνευστικῶν ὀργάνων, ὥσπερ ἐν περιπνευμονίαις, οὐδ᾽ ἡ μεγίστη καὶ πυκνοτάτη καὶ ταχίστη τούτοις αὐτάρκης ἀναπνοὴ, καὶ διὰ τοῦτο καὶ ἀνακαθίζουσιν, αἰσθανόμενοι τοῦ θώρακος ὅλου διϊσταμένου ῥᾷον οὕτως· κατακειμένων μὲν

cis partes dilatat; quippe cum dyspnoea, quae ob nimiam incenſionem facta eſt, unum ſolum commune habet, quod omnes thoracis musculi per ipſam agant. At ubi ob plurimum calorem reſpiratio diſſicilis eſt in magnitudine, frequentia et celeritate, hoc quoque accedit, quod calidi ferventisque ſpiritus expiratio cum eſſlatione efficiatur; in virium vero imbecillitate, nulla ab ore facta eſſlatione, ſpiritus ex ſolis naribus emittitur, quae nares per inſpirationem etiam pinnas manifeſte contrahunt, id et eſſicax imbecillae facultatis indicium eſt. Ob ſpirabilium vero inſtrumentorum anguſtiam totus quidem thorax plurimum, celeriter et frequenter dilatatur; ſed qui hic laborant, ſine eſſlatione expirationem habent. Quum vero ſimul incidunt ſpirabilium organorum et calor et anguſtia, ut in peripneumonia, tum neque maxima et frequentiſſima et celerrima reſpiratio ſufficere poteſt; ob idque ſe erigunt, ſentientes totum thoracem facilius ita dilatari; quippe decumbentibus in ſeſe con-

γὰρ αὐτῶν, εἰς ἑαυτὸν συμπίπτει, καταφερομένων τῶν κατὰ τὰ στήθη μερῶν ἐπὶ τὴν ῥάχιν, ἀναταθείσης δὲ ταύτης ὀρθῆς, συναναφέρεται καὶ ὁ θώραξ ταύτῃ, μηκέτι βαρύνων ἑαυτόν. ὁμοίως τούτοις ἀναπνέουσι καὶ οἱ τὰς τραχείας ἀρτηρίας τοῦ πνεύμονος ὑπὸ πολλοῦ κατάῤῥου πληρωθέντες, ἤ τινος ἐκ τῶν πλησίων χωρίων εἰς αὐτὰς γενομένου ῥεύματος, ἑνὶ μόνῳ διαλλάττοντες, τῷ μήτ᾽ ἐκφυσᾷν μήτ᾽ ἐκπνεῖν θερμόν. ὡσαύτως δὲ καὶ ὅσοις ἐν τῷ μεταξὺ θώρακός τε καὶ πνεύμονος ἤθροισται πῦον δαψιλὲς, οὓς ὀνομάζουσιν ἐμπύους, ὅλον ἐξαίρουσι τὸν θώρακα, θερμὸν δ᾽ οὐκ ἐκπνέουσιν οὐδ᾽ ἐκφυσῶσι, πλὴν εἰ μὴ πυρετὸς αὐτοῖς προσέλθῃ διακαής· ἀλλ᾽ οὗτοί γε τάχιστα πνίγονται, διά τε τὸ πάθος αὐτὸ καὶ ὅτι προκέκμηκεν ἡ δύναμις ἐξ ἀνάγκης ἅπασι τοῖς ἐμπύοις, οὐκ ἐξ ἀνάγκης προκεκμηκυῖα τοῖς τὸν πνεύμονα ῥεύμασι, ἢ περιπνευμονίαις, ἢ ἄσθμασιν, ἀλλὰ τοὐναντίον ἰσχυρὰ καὶ ἀκμαία καθεστηκυῖα κᾀν τοῖς ἀσθματικοῖς παθήμασι, γλίσχρων καὶ παχέων ὑγρῶν ἐμπεπλασμένων τῷ πνεύμονι. κᾂν εἰ φῦμα δύσπεπτον ἐν αὐτῷ συσταίη ποτὲ, συμβαίνει μεγίστην μὲν

cidit, eo quod pectoris partes in fpinam declinent, qua erecta thorax etiam fimul effertur, non amplius fe ipfum gravans. Atque iis fimiliter refpirant quibus asperae pulmonis arteriae plurima defluxione oppletae funt, aut ubi ex proximis locis in ipfas humor aliquis defluxit, unica duntaxat re differentes, quod neque efflent, neque calidum fpiritum emittant. Sic etiam iis quibus inter thoracem pulmonemque pus copiofum collectum eft, quos fuppuratos vocant, totus thorax attollitur; fed neque calidum expirant neque efflant, nifi adurens febris acceflerit; verum hi celerrime fuffocantur, tum ob hunc affectum, tum quod vires omnibus fuppuratis ex neceffitate imbecilliores redditae fint, at non neceffario in fluxionibus in pulmonem, aut in peripneumoniis, aut afthmate; nam contra per afthmaticos affectus craffis et viscofis humoribus pulmoni impactis vires robuftae conftantesque permanferunt. Atque fi tuberculum coctu difficile aliquando in ipfo conftiterit, thorax maxime quidem di-

ἴσχειν διαστολὴν τὸν θώρακ, οὐ πολὺν δὲ εἰσπνεῖσθαι τὸν ἀέρα, καὶ διὰ τοῦτο συνεχῶς ἀναπνεῖν ἀναγκάζεσθαι χωρὶς ἐκφυσήσεως· ἴδιον γὰρ τοῦτο θερμασίας πολλῆς. [472] καθ' ἕτερον δὲ τρόπον ἐς ταὐτὸν εἶδος ἀφικνοῦνται δυσπνοίας οἱ κυναγχικοὶ, στενοχωρίας οὔσης οὐκ ἐν ταῖς ὑποδεχομέναις κοιλότησι τὴν εἰσπνοὴν, ἀλλ' ἐν ταῖς παραπεμπούσαις. ἐφ' ὧν δ' ἀπόστημα καὶ φλεγμονὴ καὶ πλῆθος ὑγρῶν ἐστιν ἢ ἐν τοῖς κενοῖς τοῦ θώρακος, ἢ κατὰ τὸν πνεύμονα, μενόντων ἀφράκτων τοῦ λάρυγγός τε καὶ τῆς τραχείας ἀρτηρίας, ἐν ταῖς ὑποδεχομέναις δηλονότι κοιλότησι τὸν εἰσπνεόμενον ἀέρα στενοχωρίας γενομένης, ἐξ ἀνάγκης ἀκολουθεῖ μεγάλην μὲν διαστολὴν γίνεσθαι τοῦ θώρακος, ὀλίγον δ' ἕλκεσθαι τὸ πνεῦμα, καὶ διὰ τοῦτ' ἀναγκάζεσθαι τὸν κάμνοντα ταχέως τε καὶ πυκνῶς ἀναπνεῖν. πρὸ πάντων γὰρ ὑμᾶς μεμνῆσθαι βούλομαι τῆς κατὰ τὴν μεγάλην ἀναπνοὴν διαφορᾶς διττῶς γινομένης, ποτὲ μὲν τῷ μεγέθει τῆς διαστολῆς τοῦ θώρακος, ποτὲ δὲ τῷ πλήθει τῆς εἰςπνεομένης οὐσίας τοῦ πνεύματος. ἰστέον δ' ὅτι τῶν τοιούτων ὑμᾶς ἀναμιμνήσκω πολλάκις, ὅσα

latabitur, fed non multum infpirabit aërem, ideoque continenter refpirare cogetur citra efflationem; id enim multi caloris proprium eft. In eandem dyspnoeae fpeciem alia ratione labuntur ii quoque, quos angina moleftat, ob anguftiam, quae non eft in cavitatibus infpirationem fuscipientibus, fed in iis quae ipfam transmittunt. Quibus vero abfceffus et inflammatio atque humorum plenitudo in thoracis, aut pulmonis cavernis confiftit, citra obftructionem manente gutture atque aspera arteria, in cavitatibus fcilicet infpiratum aerem fuscipientibus anguftia genita, ex neceffitate fequitur magna thoracis dilatatio, fed paucus trahitur fpiritus, ac proinde laborantem celeriter et frequenter refpirare neceffe eft. Prae omnibus enim vos meminiffe velim magnae refpirationis geminas effe differentias, interdum quidem ob dilatationis thoracis magnitudinem, interdum vero ob infpirati fpiritus multam fubftantiam. Sciendum autem quod faepenumero vos admoneo earum rerum, quae a prioribus

παραλέλειπται τοῖς πρὸ ἐμοῦ· τὰ γὰρ ὑπὸ τῶν ἔμπροσθεν εἰρημένα, διὰ τὸ πολλοὺς εἶναι τοὺς εἰπόντας αὐτὰ, πρόχειρον ἔχει τὴν μνήμην· ὅσα δὲ μήθ᾽ ὑφ᾽ Ἱπποκράτους διωρίσθη τοῦ κάλλιστα περὶ δυσπνοίας γράψαντος, ἄλλός τ᾽ οὐδεὶς τῶν μετ᾽ αὐτὸν ἐξειργάσατο καὶ διωρίσατο τὰ λείποντα, διὰ τοῦτ᾽ ἀναγκαῖόν μοι γίνεται πολλάκις ἀναμιμνήσκειν αὐτῶν. ὅσοι μὲν οὖν ἄνευ φλεγμονῆς, ἢ τινος ὅλως ὄγκου παρὰ φύσιν, ἢ στενοχωρίας ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις, δυσπνοοῦσιν ἐν πυρετοῖς καυσώδεσι, τούτοις ἀνάλογον τῷ μεγέθει τῆς διαστολῆς τοῦ θώρακος αὐξάνεται τὸ πλῆθος τῆς εἰσπνεομένης οὐσίας τοῦ πνεύματος· ἐφ᾽ ὧν δ᾽ ὄγκος ἢ στενοχωρία τίς ἐστιν ἐν τοῖς ἀναπνευστικοῖς ἄνευ θερμασίας φλογώδους, ἡ μὲν διαστολὴ τοῦ θώρακος μεγίστη γίνεται, τὸ δ᾽ εἰσπνεόμενον οὐ μόνον ἀπολείπεται τῆς κατὰ τὴν διαστολὴν ἀναλογίας, ἀλλὰ καὶ τοῦ κατὰ φύσιν ἔλαττον εἰσπνεῖται. χωρὶς δὲ διορισμοῦ μίαν ἐνδείκνυται διάθεσιν ἡ μεγάλη διαστολὴ τοῦ θώρακος ἀραιότητα προσλαβοῦσα. προσέχειν δ᾽ ὑμᾶς χρὴ κἀνταῦθα, μή ποτ᾽ ἐξαπατηθῆτε, τὴν ἁπάντων τῶν μυῶν

omiffae funt; nam quas ipfi perfequuti funt, earum propter fcriptorum multitudinem facilis atque in promptu eft memoria; quae vero ab Hippocrate, quamvis optime de dyspnoea fcripferit, non funt definita, pofteriorumque nemo explicavit, quae defunt, definiitve, idcirco neceffarium mihi eft creberrime illorum vos admonere. Igitur quicunque fine inflammatione, vel omnino fine aliquo praeter naturam tumore, aut anguftia fpiritalium inftrumentorum, per febres ardentes difficulter fpirant, his infpirati aëris quantitas magnitudini dilatationis thoracis proportione refpondet; quibus vero vel tumor vel anguftia fine inflammatorio calore in fpiritalibus eft, in his thoracis quidem dilatatio maxima eft; id vero, quod infpiratur, non folum dilatationem proportione non affequitur, verum etiam minus quam fecundum naturam, attrahitur. At fine diftinctione unam affectionem oftendit magna thoracis dilatatio, fi raritatem fimul acceperit. Verum animadvertere vos hic oportet, ne aliquando decipi-

ἐνεργούντων γινομένην ἀναπνοὴν, ὅτ᾽ ἂν ἐπ᾽ ἀῤῥωστίᾳ δυνάμεως γίνηται, τὴν αὐτὴν ἡγεῖσθαι τῇ μεγάλῃ· βουληθεὶς γὰρ αὐτὴν ἐγὼ σαφῶς ἑρμηνεῦσαί ποτε, μετέωρον ἐκάλεσα· παρέστη δέ μοι τηνικαῦτα ἐννοῆσαι τὸν Ἱπποκράτην μετέωρον ὀνομάζειν πνεῦμα τὸ τοῖς μετεώροις μέρεσι τοῦ θώρακος εἰσπνεόμενον, ὥσπερ ὅτ᾽ ἂν εἴπῃ, μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην σημαίνει· εὔδηλός ἐστι μέγα λέγων τὸ πολὺ, διττῶς γίνεσθαι δυνάμενον, ἄνευ τε τῆς τῶν μετεώρων μυῶν ἐνεργείας καὶ σὺν αὐτῇ· πολλάκις γὰρ ἥ τε τῶν μεσοπλευρίων μυῶν ἐνέργεια καὶ ἡ τῶν φρενῶν, ἐπιπλεῖστον διαστέλλουσαι τὸν θώρακα, τῶν ὑψηλῶν μυῶν οὐ χρήζουσιν εἰς τὴν τοῦ πολλοῦ πνεύματος εἰσπνοήν. ὅτι δὲ τὸ τοιοῦτον εἶδος τῆς διαστολῆς ἐνδείκνυται παραφροσύνην, ἐν τοῖς περὶ δυσπνοίας ὑπομνήμασι (293) δέδεικται, καθ᾽ ἃ καὶ τῶν ἄλλων ἁπασῶν δυσπνοιῶν αἱ διαθέσεις ἐῤῥέθησαν. ἀλλὰ νῦν γε καθάπερ τῶν ἄλλων παθῶν, ὅσα προείρηται δι᾽ ἑτέρων πραγματειῶν, οἷον ἐπιτομή τις ἐνταυθοῖ λέγεται, κατὰ τὸν αὐτὸν τρόπον καὶ περὶ τῆς ἐν ταῖς δυσπνοίαις διαφορᾶς

amini, putantes eam refpirationem, quae ob virium imbecillitatem omnibus agentibus musculis efficitur, eandem effe cum magna; quam equidem, quo clarior effet interpretatio, aliquando fublimem vocare volui; et mihi tunc contigit intelligere, Hippocratem eum fublimem vocare fpiritum, qui fublimioribus thoracis partibus infpiratur; quemadmodum, quum inquit: *Magnus fpiritus et ex longis intervallis, delirium declarat;* conftat eum magnum pro multo dixiffe, qui bifariam fieri poteft, vel fine fuperiorum musculorum actione, vel ipfa concurrente; nam plerumque intercoftales musculi una cum fepto transverfo ad maximam thoracis elevationem, qua multus fpiritus alliciatur, fuperiorum musculorum auxilio non indigent. Quod vero hujusmodi dilatationis fpecies delirium portendat, in commentariis de dyspnoea oftendimus, ubi etiam omnium difficultatum refpirationis affectiones declaratae funt. Nunc vero ut compendio quodam hic explicamus alios affectus, quos in aliis commentariis jam percurrimus, ita et de dyspnoeae differentiis

τὰ μὲν εἴρηται μέχρι δεῦρο, τὰ δ᾽ εἰρήσεται κατὰ τὸν ἐφεξῆς λόγον· ὡς γὰρ ἐπὶ τῆς μεγάλης ἀναπνοῆς ἡ μέν τίς ἐστι πυκνὴ, διαφορὰς ἔχουσα πλείους, ἄλλην ἄλλης διαθέσεως ἐνδεικτικὴν, ἡ δέ τις ἀραιὰ, μίαν ἐνδεικνυμένη διάθεσιν, [473] οὕτως ἐπὶ τῆς μικρᾶς ἡ μὲν ἀραιὰ ψύξιν ἐνδείκνυται τῶν ἀναπνευστικῶν ὀργάνων, ἡ πυκνὴ δὲ πόνον οὐ μόνον τῶν ἀναπνευστικῶν, ἀλλὰ καὶ τῶν συγκινουμένων αὐτοῖς, ἥπατος δηλονότι, καὶ γαστρὸς, καὶ σπληνὸς, καὶ στομάχου. πλεόνων δ᾽ οὐσῶν διαθέσεων, αἷς ἕπεται πόνος ἐν τῷ κινεῖσθαι σφοδρότερον, ἐπισκεπτέον τε καὶ διοριστέον ἐκ τῶν ἄλλων σημείων, εἴτε φλεγμονή τίς ἐστιν, εἴτ᾽ ἐρυσίπελας, εἴθ᾽ ἕλκος, εἴτ᾽ ἀπόστημα, τὸ τὴν ὀδύνην ἐργαζόμενον. ἐμάθετε δ᾽ ὅτι καὶ δυσκρασίαις ἀνωμάλοις ἀλγήματα πολλάκις ἐπιγίγνεται, καὶ πνεύματος ἀπέπτου τε καὶ φυσώδους πλήθει, ποτὲ μὲν αὐτῷ τῷ στέγεσθαι κατά τι διατείνοντος τὰ περιέχοντα, ποτὲ δὲ βιαίως διεξιόντος. ὁμοίως δὲ καὶ χυμοῦ πλήθει θερμοῦ καὶ δριμέος, ἢ ψυχροῦ καὶ γλίσχρου, στεγομένου

partim quidem dictum eſt, partim vero in ſequentibus dicemus. Nam ut magnarum reſpirationum alia quidem crebra eſt, cujus ſunt differentiae complures, quarum aliae alias affectiones indicant; alia vero rara, unicam indicans affectionem; ſic etiam de exigua dicendum eſt; nam rara quidem ſpiritalium inſtrumentorum refrigerationem, frequens vero non ſolum ſpiritalium, ſed eorum quoque quae cum ipſis moventur, ut hepatis, ventriculi, lienis, gulae, laborem indicat. Quum autem plures ſint affectiones, quas per vehementiores motus dolor comitatur, ex aliis ſignis conſiderandum et definiendum eſt, ſive inflammatio quaedam, ſive eryſipelas, ſive ulcus, ſive abſceſſus dolorem efficiat. Quinetiam didiciſtis, quod inaequalibus intemperiebus dolores ſaepenumero ſuccedant; ſimiliter ſpiritus crudi flatuoſique copiae, qui arctatus aliquando partes ipſum ambientes diſtendit, aliquando vero violenter egreditur. Similiter quoque calidi et acris, aut frigidi et lenti humoris abundantia, ſi aliquando retentus ſuccus ambientia corpora diſtendat, aut

τε κατά τι καὶ μὴ διεξιόντος, ὀδύναι γίνονται· μειζόνως μὲν πεπονθότων τῶν ὀργάνων, ἐν οἷς περιέχεται ταῦτα, κἂν μὴ κινῆται· βραχέως δ', ὅταν κινῆται. εἴρηται δ' ἐν τοῖς περὶ δυσπνοίας ἡ αἰτία, δι' ἣν τοῦ μικροῦ πνεύματος τὸ μὲν πυκνὸν πνεῦμα πόνον σημαίνει τῶν κινουμένων ὀργάνων ἐν ταῖς ἀναπνοαῖς, τὸ δ' ἀραιὸν ἰσχυρὰν ψύξιν αὐτῶν μόνον τῶν ἀναπνευστικῶν, καὶ τούτων μάλιστα πνεύμονος καὶ καρδίας. ἔστι δὲ καὶ ἄλλό τι δυσπνοίας εἶδος, οἷον ἐγκοπτομένης τῆς ἐνεργείας τοῦ θώρακος ἡσυχίᾳ βραχείᾳ, ποτὲ μὲν ἐν ταῖς εἰσπνοαῖς, ποτὲ δὲ ἐν ταῖς ἐκπνοαῖς, ἤτοι γ' ἐν σπασμώδει διαθέσει τῶν τοῦ θώρακος μυῶν γινομένου τοῦ τοιούτου συμπτώματος, ἢ διὰ πλῆθος θερμασίας, εἰσπνεῖν, ἢ ἐκπνεῖν ἀναγκαζομένου συνεχέστερον τοῦ κάμνοντος. καὶ μέντοι καὶ ἄλλό τι πάθος ἀναπνοῆς ἔστι, ἣν ἄπνοιαν ὀνομάζουσιν, ὡς μὲν πρὸς τὴν ὄψιν μηδ' ὅλως γιγνομένης, ὡς δὲ πρὸς τὴν φύσιν ἀπιστουμένης μὴ γίνεσθαι· δοκεῖ γὰρ ἀδύνατον μὲν εἶναι, στερηθὲν ἀκριβῶς ὅλης τῆς ἀναπνοῆς τὸ ζῶον ἔτι διασώζεσθαι, φαίνεται δὲ καὶ τὰ φωλεύοντα μηδ' ὅλως

inde violenter exeat, dolores efficere poteſt; ſi gravius affecta fuerint inſtrumenta, in quibus hujusmodi res continentur, etiamſi non moveantur; ſi leviter, quando moventur. Verum in libris de dyspnoea cauſa explicata eſt, cur exiguae ſpirationis frequens quidem ſpiritus motorum per reſpirationem inſtrumentorum laborem ſignificet, rarus vero vehementem refrigerationem ſpiritalium duntaxat, praecipue pulmonis et cordis. Eſt etiam alia dyspnoeae ſpecies, quum veluti brevi quadam quiete intercipitur opus thoracis, nonnunquam inſpirando, nonnunquam expirando, ſive hoc accidat ſymptoma ob musculorum thoracis convulſivam affectionem, ſive ob caloris copiam, coacto laborante continenter vel inſpirare vel expirare. Eſt inſuper alius reſpirationis affectus, quem apnoeam nominant, nulla, ut aſpicientibus videtur, facta reſpiratione, verum ut rei ipſius natura declarat, eam non fieri incredibile eſt; nam impoſſibile videtur, ut animal omni reſpiratione exacte privatum adhuc ſervari poſſit; ea tamen animalia, quae in cavernis latent, tho-

Ed. Chart. VII. [473.] Ed. Baſ. III. (293.)

κινοῦντα τὸν θώρακα. δυοῖν οὖν θάτερον, ἢ βραχεῖαν οὕτω γίνεσθαι τὴν ἀναπνοὴν ὑποληπτέον, ὡς λανθάνειν τὴν αἴσθησιν, ἢ μηδ᾽ ὅλως δεῖσθαι τηνικαῦτα τὸ ζῶον ἀναπνοῆς, ἀλλ᾽ ἀρκεῖσθαι τῇ καθ᾽ ὅλον τὸ σῶμα διαπνοῇ· γίνεται γὰρ αὕτη μὲν ὑπὸ τῆς καρδίας διὰ τῶν ἀρτηριῶν, ἡ δ᾽ ἀναπνοὴ διὰ τοῦ θώρακος ὑπὸ τοῦ ἐγκεφάλου. ἥτις δ᾽ ἂν ἡ διάθεσις εἴη ἡ τὴν ἄπνοιαν ἐργαζομένη, κοινὴ φαίνεται εἶναι πάντων τῶν τοῦ ζώου μορίων, ὡς ἐν ἀποπληξίαις καὶ κάροις, ἐπιληψίαις τε καὶ καταλήψεσιν· ἐν τούτοις γὰρ ἅπασιν οὐδὲν ἴδιον ἐξαίρετον πάθημά ἐστι τῶν ἀναπνευστικῶν ὀργάνων, οὐ μᾶλλον ἢ τῶν φωνητικῶν, ἢ διαλεκτικῶν, ἢ βαδιστικῶν· ἀλλὰ τῆς ἀρχῆς πασχούσης, ἅπαντα συμπάσχειν ἀναγκαῖον, ὅσοις παρ᾽ ἐκείνης ἐχορηγεῖτο τὰ τῶν διοικουσῶν αὐτὰ δυνάμεων. εἴρηται δὲ ἡμῖν ἰδίᾳ περὶ ἀπνοίας καθ᾽ αὐτὴν, ὥστε νῦν ἤδη μεταβαίνειν ἐφ᾽ ἕτερόν τι καιρός.

Κεφ. ια΄. Διττῆς δὲ οὔσης ὁδοῦ τοῖς γυμναζομένοις περὶ τὰς διαγνώσεις τῶν πεπονθότων τόπων, ἑτέρας μὲν ἀπὸ τῶν

racem movere minime videntur. Proinde duorum alterum conjicere oportet, aut adeo exiguam fieri reſpirationem, ut ſenſum effugiat, aut animal tunc reſpiratione omnino non indigere, ſed eam transpirationem, quae per univerſum corpus ſit, ſufficere; hanc enim cor ipſum per arterias efficit, reſpirationem vero per thoracem cerebrum. At vero affectio, quae apnoeam facit, quaecunque ea ſit, omnibus animalis partibus communis eſſe videtur, veluti in apoplexia, ſopore, morbo comitiali, catalepſi; nam in his omnibus nullus proprius affectus ſpiritalia inſtrumenta prae caeteris infeſtat, non magis, quam vocis, aut loquutionis, aut progreſſionis; ſed affecto principio, omnia quibus vires ſuae, per quas reguntur, ab ipſo ſuppeditari conſueverunt, ei conſentire neceſſe eſt. Verum de apnoea particulatim et per ſe diximus; quamobrem tempus eſt, ut nunc ad aliquid aliud tranſeamus.

Cap. XI. Quum autem exercitationis via ad affectorum locorum dignotiones duplex ſit, altera quidem ab appa-

[474.] φαινομένων συμπτωμάτων, ἑτέρας δ' ἀπὸ τῶν τοῦ σώματος μορίων, ἐὰν κατ' ἀμφοτέρας τις γυμνάζηται, δὶς μὲν ἐρεῖ τὰ αὐτὰ, καθ' ἕτερον δὲ καὶ ἕτερον τρόπον. οἷον εὐθέως ἐπὶ τῶν τοῦ πνεύμονος παθῶν εἴρηται μέν τι κᾀν τῷ περὶ τῶν ἀλγημάτων λόγῳ, λέλεκται δὲ κᾀν τῷ περὶ αἵματος ἀναγωγῆς, ὥσπερ κᾀν τῷ περὶ δυσπνοίας, εἰρήσεται δὲ καὶ νῦν. ἄλγημα μὲν γὰρ αὐτῷ βίαιον οὐδέποτε συμπίπτει, βάρους δ' αἴσθησις γίνεται, καί τινος ἐνίοτε τάσεως εἰς τὸ στέρνον ἢ τὴν ῥάχιν διηκούσης· ἐνταῦθα γὰρ οἱ περιέχοντες αὐτὸν ὑμένες ἀνήρτηνται. καὶ μέν γε καὶ στενοχωρίας αἰσθάνονται πολλάκις οἱ κάμνοντες, καὶ διὰ τοῦτ' ἀναπνέουσι πυκνὸν καὶ ταχὺ, διαστέλλοντες μὲν ἐπὶ πολὺ τὸν θώρακα, πολὺν δ' οὐκ εἰσπνέοντες ἀέρα. χωρὶς μὲν οὖν πυρετοῦ ταῦτα γινόμενα, φύματα, ἢ γλίσχρων, ἢ παχέων χυμῶν, ἤ τινων ἄλλων πολλῶν ἐν αὐτῷ πλῆθος ὑπάρχειν, ἢ περικεχύσθαι τι πῦον, ἤ τινα χυμὸν ἄλλον ἢ γλίσχρον, ἢ παχὺν, ἢ πολὺν, ἐνδείκνυται· διορισθήσεται δ' ἀλλήλων ταῦτα τοῖς προηγησαμένοις συμπτώμασιν. ἐὰν μὲν γὰρ ὑγιαίνων τε καὶ τὰ συνήθη πράττων,

rentibus fymptomatis, altera vero a corporis partibus, fi quis per utramque voluerit exercitari, eadem bis dicet, quamvis alio et alio modo. Ut verbi gratia, de pulmonis affectibus dictum eft, ubi de dolorum ratione; praeterea etiam ubi de fanguinis rejectione ac de dyspnoea; atque in praefentia quoque dicemus. Etenim ipfi vehemens dolor nunquam accidit, verum et gravitatis fenfus et aliquando tenfionis cujusdam, quae ad pectus, vel ad fpinam pervenit, ibi enim membranae ipfum ambientes fuspenduntur. Saepenumero etiam anguftia moleftantur laborantes, atque ob hoc crebro celeriterque fpirant, ac thoracem vehementer attollunt, fed non multum aërem attrahunt. Haec igitur fi citra febrem acciderint, aut crudum tuberculum, aut lentorum crafforumve; aut quorundam aliorum humorum plenitudinem in eo exiftere; aut pus, aut alium quendam humorem vel lentum, vel craffum, vel multum, circa ipfum effufum effe declarant; verum ea inter fe per praeterita fymptomata discernere licebit. Si namque aliquis per bonam

Ed. Chart. VII. [474.] Ed. Baſ. III. (293.)

οὕτως ἄρξηται δυσπνοεῖν, αὐξάνηταί τε τὸ σύμπτωμα αὐτῷ χωρὶς τοῦ κερχνῶδές τι κατὰ τὴν ἀναπνοὴν ἐμφαίνεσθαι, φύματος ἀπέπτου γένεσιν ἐπισκοπεῖσθαι χρή· κερχνῶδες δέ τι τῆς ἀναπνοῆς ψοφούσης, ὑγρῶν γλίσχρων ἢ παχέων πλῆθος ἐμπεπλασμένων δυσαπολύτως τοῖς βρογχίοις τοῦ πνεύμονος ἐνοχλεῖν δηλοῦται· ἐὰν δὲ ἐξαίφνης ἐπὶ στενοχωρίας αἰσθήσει δυσπνοῶσι, ῥεύματος εἰς τὸν πνεύμονα κατασκήψαντος, ἤτοι γ᾽ ἐκ κεφαλῆς, ἢ ἐκ τῶν γειτνιώντων χωρίων, ἔνδειξίς σοι γινέσθω. ὅταν δ᾽ ἤτοι γλίσχρων ὑγρῶν ἢ παχέων ἢ πολλῶν ἐπιῤῥυέντων τῷ πνεύμονι, δυσπνοεῖν εἴπω τὸν ἄνθρωπον, ἐν τοῖς βρογχίοις τὰ τοιαῦτα περιέχεσθαι νόει· κατασχιζομένης γὰρ εἰς ὅλον τὸ σπλάγχνον, ὥσπερ τῆς λείας ἀρτηρίας, οὕτω καὶ τῆς τραχείας, ἡ τῶν βρογχίων οὐσία καθ᾽ ὅλον ἐστὶ τὸν πνεύμονα· βρογχία δὲ καλοῦσιν οἱ ἀνατομικοὶ τοὺς χόνδρους τῆς τραχείας ἀρτηρίας, σιγμοειδεῖς ὑπάρχοντας τῷ σχήματι. προηγησαμένης δὲ πλευρίτιδος, εἶτα τοῦ μὲν σφοδροῦ τῶν πυρετῶν παυσαμένου, βάρους δ᾽ αἰσθήσεως ὑπολειπομένης ἔνδον τῶν πλευρῶν ἐν τῷ βάθει τοῦ θώρακος,

valetudinem, ſolitas actiones faciens, ſic difficulter reſpirare inceperit, augeaturque ipſi ſymptoma, neque inter reſpirandum ſtertere videatur, crudi tuberculi ortum ſuſpicari oportet. Si vero ſtertendo ſtrepitum fecerit reſpiratio, lentorum craſſorumque humorum pertinaciter impactorum multitudinem pulmonis bronchia moleſtare indicium eſt. Quod ſi illico ab anguſtiae ſenſu difficulter ſpiraverint, fluxionem vel a capite, vel a vicinis ſedibus in pulmonem irruentem oſtendit. Quum autem fluentibus in pulmonem vel lentis, vel craſſis, vel multis humoribus, hominem difficulter ſpirare dico, in bronchiis eos contineri intellige; quum enim in totum viſcus, ut laevis arteria, ita etiam aſpera dividatur, bronchiorum ſubſtantia per totum pulmonem procedit; vocantur autem a diſſectoribus bronchia aſperae arteriae cartilagines, ſigma literae figuram referentes. At ubi pleuritis praeceſſit, mox remiſſa febris vehementia, intra latera gravitas in imo thoracis derelicta ſentitur, ſimulque affatim de-

ἅμα τῷ καὶ μεταῤῥεῖν τι φαίνεσθαι κατὰ τὰς ἀθρόας μεταλλαγὰς τῆς κατακλίσεως, καὶ μάλισθ᾽ ὅταν ἀπὸ τῆς ἑτέρας πλευρᾶς ἐπὶ τὴν ἑτέραν μετασχηματίζωνται, πύου τηνικαῦτα πλῆθος ἐμφαίνεται, καὶ κλύδωνός γε πολλάκις αἰσθητῶς ἀκούειν ἐστὶν ἐπ᾽ αὐτῶν. ἐνδείκνυται δὲ τοῦτο σὺν τοῖς εἰρημένοις καὶ τὸ μηδὲν ἀξιόλογον ἀναπτύεσθαι, σφοδρᾶς προηγησαμένης πλευρίτιδος. ἐὰν δὲ ἄλλός τις χυμὸς ὀῤῥώδης ἢ φλεγματώδης ἐξαίφνης ἄνευ πυρετοῦ ῥυεὶς εἰς τὰ κενὰ τοῦ θώρακος ἐργάζηται τὴν δύσπνοιαν, ἀναπτύουσιν οὐ παχέα, κατ᾽ ἀρχὰς μὲν ὀλίγα σὺν πολλῇ βηχὶ, πεττομένων δὲ αὐτῶν, πλείω καὶ παχύτερα σὺν ἐλάττονι. κατὰ διττὸν γάρ τοι τρόπον ἐπὶ πολλῇ βηχὶ πτύουσιν ὀλίγα, διὰ πάχος μὲν ἢ γλισχρότητα χυμῶν ἕτεροι, διὰ λεπτότητα δ᾽ ἄλλοι· τὸ μὲν γὰρ λεπτὸν ἀναφερόμενον ὑπὸ τοῦ κατὰ τὴν βῆχα πνεύματος, ἀντικαταῤῥεῖ περισχιζόμενον αὐτῷ· τὸ δὲ γλίσχρον ἢ πάνυ παχὺ δυσ(294)χερῶς ἀναφέρεται, μήτ᾽ ἀποῤῥυπτόμενον ἑτοίμως τῶν σωμάτων οἷς ἐμπέπλασται μήθ᾽ ὑπὸ τῆς τυχούσης βίας τοῦ πνεύματος ὠθεῖσθαι δυνάμενον· εἰ μὴ γὰρ πολύ τε καὶ σφο-

cubitu transmutato, maxime quum ab uno latere in aliud convertuntur, transfluit aliquid, puris tum multitudo indicatur, atque in iis fluctuatio faepenumero haud obfcure auditur; id autem indicat etiam cum jam propofitis, quod vehementi praegreffa pleuritide, nihil effatu dignum pene laborans expuerit. Si vero citra febrem alius quispiam ferofus aut pituitofus humor in thoracis fpacium fubito defluens, fpirandi difficultatem excitat, laborans tenue fputum, idque ab initio quidem exiguum, cum vehementi tuffi; ubi vero concoctum eft, plus atque craffius, cum mitiore, expuere folet. Nam bifariam accidit, ut vehementer tuffiendo pauca expuant, alii ob lentum craffumve humorem, alii ob tenuem, nam tenuis fublevatus a tuffis fpiritu, divifus ab ipfo circum refluit; lentus vero, aut valde craffus difficulter effertur, quod neque facile a corporibus quibus impactus eft, abftergatur, neque etiam a quavis occurrentis fpiritus violentia impellatur; nifi enim fpiritus qui tuffiendo effertur et

δρὸν ἀναβηττόμενον εἴη τὸ πνεῦμα, συναναφέρειν οὐδὲν ἑαυτῷ δύναται. ὅσον οὖν δὴ μήθ᾽ ὑγρὸν ἄγαν ἐστὶ καὶ ὑδατῶδες, ἀλλὰ μηδὲ παχὺ λίαν ἢ γλίσχρον, [475] εὐπετῶς ἀναφέρεται, καὶ μάλισθ᾽ ὅταν ἡ δύναμις ἐῤῥωμένη τυγχάνῃ· χωρὶς γὰρ τοῦ σφοδρὰν γενέσθαι συστολὴν τοῦ θώρακος, οὐχ οἷόν τε βῆξαι σφοδρῶς· ἄνευ δ᾽ ἰσχυρᾶς βηχὸς ἀδύνατόν ἐστιν ἀνενεχθῆναι τοῖς παχέσι καὶ γλίσχροις χυμοῖς. ὅτ᾽ ἂν δὲ τῇ μετὰ στενοχωρίας τε καὶ βάρους δυσπνοίᾳ πυρετὸς ὀξὺς συνεισβάλλῃ, φλεγμονὴ τὸ πάθημά ἐστι τοῦ πνεύμονος· εἰ δ᾽ ἀφόρητος μὲν ἡ φλόγωσις εἴη, τοῦ βάρους δὲ καὶ τῆς στενοχωρίας ἐλάττων αἴσθησις, ἐρυσιπέλατι κάμνει τὸ σπλάγχνον· ἀφωρισμένων δὲ τῶν ἄκρων, οὐδὲν ἔτι χαλεπὸν, ἤτοι γ᾽ ἐρυσίπελας φλεγμονῶδες ἢ φλεγμονὴν ἐρυσιπελατώδη διαγνῶναι. γίνεται δὲ καὶ ἄλλα πάθη τῷ πνεύμονι χωρὶς ἐπιῤῥοῆς χυμῶν, κατὰ δυσκρασίαν ἤτοι γ᾽ ἀνώμαλον ἢ ὁμαλήν. ἡ μὲν οὖν ἀνώμαλος βῆχα ἐργάζεται· ἡ δ᾽ ὁμαλὴ μετρία μὲν οὖσα τὸν ῥυθμὸν τῆς ἀναπνοῆς ὑπαλλάττει, γενομένη δ᾽ ἰσχυρὰ, θερμότητος μὲν ἐπικρατούσης, ἐπιθυμίαν ἀέρος καὶ πόματος

multus et vehemens fuerit, nihil fecum educere poteft. Igitur *fputum*, quod neque liquidum, aut aquofum admodum eft, neque craffum valde aut lentum, id facile excluditur, maxime ubi validae fuerint vires; etenim fine vehementi thoracis contractione vehementer tuffiri non poteft; at fine valida tuffi craffos lentosque humores efferri impoffibile eft. Quum vero fpirandi difficultati cum anguftia et gravitate acuta febris fimul accedit, is affectus inflammatio pulmonis eft. At fi intolerabile fuerit incendium, anguftiae vero gravitatisque fenfus minor, eryfipelas ipfum vexare cenfendum eft; extremis autem definitis, nihil arduum erit eryfipelas phlegmonodes aut inflammationem eryfipelatodem dignoscere. Sunt et alii pulmoni affectus citra humorum influxum ob intemperiem vel inaequalem vel aequalem; ac inaequalis quidem tuffim excitat; aequalis vero, fi moderata fit, rhythmum refpirationis immutat; at vehemens facta, vincente calore, frigidi aëris atque potionis cupiditatem inducit, ac tra-

ἐργάζεται ψυχροῦ, τῷ χρόνῳ δ' εἰς πυρετὸν τελευτᾷ· τῇ ψυχρᾷ δὲ δυσκρασίᾳ τἀναντία συμβαίνει, θερμοῦ μὲν ἀέρος, θερμοῦ δὲ πόματος ἐπιθυμία, μέχρις ἂν εἴη μετρία, μείζονος δὲ γινομένης, ῥευμάτων ἐμπίπλαται τὸ σπλάγχνον. περὶ δὲ τῆς κατὰ ῥῆξιν, ἢ διάβρωσιν, ἢ ἀναστόμωσιν, ἐξ αὐτοῦ γενομένης αἵματος ἀναβήξεως εἴρηται μέν τι καὶ πρόσθεν ἐν τῷ περὶ τῆς τοῦ αἵματος πτύσεως λόγῳ, λεχθήσεται δὲ καὶ νῦν ἔτι διὰ βραχέων. αἱ μὲν ῥήξεις αἱ κατ' αὐτὸν ἔκ τε τοῦ πολὺ φέρεσθαι τὸ αἷμα γνωρίζονται κἀκ τοῦ μέγα προηγούμενον αἴτιον αἰσθητὸν εὐθέως ἐπιγενέσθαι· λέγω δ' αἴτια προηγησάμενα τὴν ἐξ ὑψηλοῦ πτῶσιν ἢ κατὰ παλαίστραν, ἢ ἐν ἄθλοις, ἢ ἑτέρου τινὸς ἐμπεσόντος ἑτέρῳ, καθάπερ γε ἂν ἐπιπέσῃ τῷ θώρακι βαρὺ σῶμα τῶν ἀψύχων ὁτιοῦν, οἷον ἤτοι λίθος ἢ ξύλον· ἐνίοις δὲ ὀξυθυμία μετὰ κραυγῆς προηγήσατο, καί τισιν ἑτέροις ἀγωνιζομένοις κιθαρῳδίαν, ἢ τραγῳδίαν, ἡ ὀξεῖα καὶ μεγάλη φωνὴ διέῤῥηξεν ἀγγεῖα, καὶ μάλισθ' ὅτ' ἂν ἄνευ τοῦ προμαλάξαι ταῖς ἀναφωνήσεσι τὰ κατὰ τὸν πνεύμονα βιαίως κραυγάσωσιν. ὡς γὰρ καὶ τοῖς παλαίουσιν,

ctu temporis desinit in sebrem. Per frigidam autem intemperiem contraria eveniunt, quoad modum servaverit, calidi aëris ac calidae potionis desiderium; si vero modum excesserit, repletur viscus fluxionibus. At de sanguinis ex ipso per tussim rejectione, quae ruptura, vel erosione, vel apertione vasorum accidit, antea ubi de sanguinis sputo mentionem fecimus, jam dictum aliquid est, atque nunc quoque pauca quaedam dicemus. Sane ruptiones in ipso deprehenduntur, tum ex multi sanguinis fluxione, tum ex magna evidenteque aliqua causa, qua praegressa, subito advenerit; voco autem praecedentes causas, casum ex alto, vel in ludo, vel certamine, vel quum alter super alterum ceciderit; quemadmodum et quum ex inanimatis corporibus aliquod grave, ut vel lapis vel lignum, in thoracem ruerit; nonnullis iracundia cum clamore praecessit; ac quibusdam citharoedis tragoedisque certantibus acuta vehemensque vox vasa disrupit, maxime ubi non praemissa pulmonis per prooemia lenitione violenter clamant. Ut enim luctatoribus,

Ed. Chart. VII. [475.] Ed. Baf. III. (294.)

ὅταν ἄνευ τοῦ προθερμανθῆναι καὶ ὁμαλυνθῆναι τρίψεσί τε καὶ μετρίαις κινήσεσιν τοὺς μῦς ἐπ᾽ ἐνεργείας ἀφικνῶνται σφοδρὰς, ῥήγματά τε καὶ σπάσματα γίνεται, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τοῦ πνεύμονος εἴωθε συμπίπτειν, ὃν διὰ τρίψεων μὲν οὐχ οἷόν τε παρασκευάσαι πρὸς τὰς σφοδρὰς κινήσεις, ἀνάλογον δέ τι ταῖς τρίψεσιν αἱ ἀναφωνήσεις ἐργάζονται. ἄνευ δὲ φανερᾶς ἔξωθεν αἰτίας πλῆθος αἵματος ἀναῤῥήγνυσιν ἀγγεῖον ἐν πνεύμονι, καθάπερ καὶ κατ᾽ ἄλλό τι μόριον τοῦ σώματος, ὅτ᾽ ἂν δυσεπέκτατον τύχῃ διὰ ψύξιν ὑπόγυον ἢ δυσκρασίαν σύμφυτον. οὕτως καὶ Ἱπποκράτης τὸ ψυχρὸν εἴρηκε φλεβῶν ῥηκτικὸν, οὐκ αὐτὸ δήπου καθ᾽ αὐτὸ τὰς ῥήξεις ἐργαζόμενον, ἀλλ᾽ ὅτι τῇ ψύξει σκληροὺς καὶ δυσεπεκτάτους τοὺς χιτῶνας τῶν ἀγγείων ἐργαζόμενον ἐπιτήδεια πρὸς ῥῆξιν αὐτὰ παρασκευάζει· τῆς ῥήξεως δ᾽ αὐτῆς τὸ αἴτιον ἥ τε σφοδρὰ κίνησίς ἐστι καὶ τὸ πλῆθος τῶν χυμῶν αὐτῶν τε καθ᾽ ἑαυτοὺς καὶ σὺν ἀπέπτῳ καὶ ψυχρῷ καὶ φυσώδει πνεύματι συνδιατείνοντι τοῖς χυμοῖς τὰς φλέβας. ἀλλὰ καὶ τῆς ἐπὶ τούτων ῥήξεως οὐ σμικρὸν γνώρισμά ἐστι κένωσις

ſi certamen aggrediantur, musculis prius neque calefactis neque per frictiones aut moderatas motiones explanatis, partes quaedam rumpuntur atque convelluntur, eodem modo pulmoni accidere consuevit, quem quidem frictionibus ad vehementes motiones praeparare non licet, prooemia autem frictionibus quadam proportione respondent. At citra manifestam externam causam, ut in caeteris corporis partibus, ita in pulmone quoque vas aliquod sanguinis abundantia dirumpit, quum extensioni resistit, aut ob frigus subitum, aut ob innatam intemperiem. Ita Hippocrates: *Venas,* inquit, *rumpit frigidum*, non ipsum per se scilicet rupturas faciens, sed quia venarum tunicas frigiditate sua duras et extendi contumaces reddens, ut rumpantur paratiores efficit; ruptionis vero ipsius causa est vehemens motus et humorum abundantia, qui vel per se vel una cum crudo et frigido et flatuoso spiritu venas extendunt. Verum ruptionis ab his haud parvum indicium praebet subita cumulati sanguinis va-

αἵματος ἐξαίφνης ἀθρόου, τῆς δ' ἀναστομώσεως, ἔμπαλιν τῶν ψυχρῶν, αἱ θερμαὶ διαθέσεις προηγοῦνται, λδυτροῖς τε θερμοῖς πολλοῖς κεχρημένου τἀνθρώπου, καὶ κατὰ χώραν ὄντος θερμὴν, ὥραν τε τοῦ ἔτους ὁμοίαν, ἐδέσμασί τε καὶ πόμασι θερμοῖς χρωμένου. αἱ δ' ἐξ ἀναβρώσεως ἀθρόαι κενώσεις αἵματος [476] ἐπί τε προηγουμέναις γίνονται βραχείαις πτύσεσι καὶ τοῖς εἰς τὸν πνεύμονα δριμέσι ῥεύμασιν ἀπὸ τῆς κεφαλῆς ἐπιῤῥέουσιν· ἐνίοτε δὲ καὶ συναναφέρεταί τι μόριον τοῦ πνεύμονος, ἢ ἐφελκὶς, ὥστε λαθεῖν ἀδύνατον εἶναι τὸ τοιοῦτον πάθημα τοῦ σπλάγχνου. κατὰ δὲ τὴν τραχεῖαν ἀρτηρίαν ἕλκους γενομένου, πρὸς τοῖς ἀναβηττομένοις πυώδεσιν οὖσιν, ἔτι καὶ τοῦ πεπονθότος μέρους ἀλγοῦντος αἴσθησις γίνεται τῷ κάμνοντι· καὶ ἡ βραχύτης δὲ τοῦ κενουμένου διορίζει τὴν τοιαύτην ἕλκωσιν τῆς ἐν τῷ πνεύμονι, πλεῖον γὰρ ἐπὶ τοῖς ἐν πνεύμονι γεγενημένοις ἕλκεσιν ἀναπτύεται τὸ πῦον. ὥσπερ δὲ τοῦ πνεύμονός τι μόριον συνανενεχθὲν ἐνδείκνυται τὸ σπλάγχνον ἡλκῶσθαι, κατὰ τὸν αὐτὸν τρόπον ἐκ τοῦ λάρυγγος εἴδομεν ἐνίοτε τὸ κατὰ τὴν ἐπιγλωττίδα σῶμα δι' ἕλκωσιν ἀναπτυσθὲν, οἷς οὐ μόνον τοῦτο σημεῖον

cuatio. Anaftomofin vero non frigidae, fed e contrario calidae difpofitiones praecedunt; ubi multis calidis balneis homo utitue, atque in terra moratur calida, annique fimili tempeftate et calidis eduliis et potionibus utitur. At quae ob erofione affatim accidunt fanguinis evacuationes, praecedentibus exiguis fputis atque acribus in pulmonem a capite fluxionibus fuperveniunt; nonnunquam vero et pulmonis aliqua pars, aut ramentum fimul excluditur, ut neminem latere poffit hic visceris affectus. Orto vero in afpera arteria ulcere, praeter hoc quod fputum purulentum apparet, dolorem quoque in loco affecto laborans fentit; at et vacuati exiguitas ab ulcere, quod in pulmone eft, hoc discernit, quippe ab ulceribus pulmonis plus puris rejicitur. Atque ut ex pulmone educta particula visceris ipfius ulcerationem fignificat, eodem modo ex gutture vidimus interdum corpusculum ligulae per ulcerationem excreari. Quibus non fo-

ὑπῆρξε τοῦ τόπου τοῦ πεπονθότος, ἀλλὰ καὶ ἡ κατὰ τὸ χωρίον αἴσθησις τὸ ἡλκωμένον, ὡς κἀπὶ τῆς τραχείας ἀρτηρίας ἐῤῥέθη· τὰ μὲν γὰρ ἐν τῷ πνεύμονι χωρὶς ὀδύνης συνίσταται, τὰ δ᾽ ἐν τούτοις τοῖς χωρίοις ὀδύνην μέν τινα φέρει, βραχεῖαν δὲ ταύτην, ὡς τοῖς φύσει δυσαισθήτοις μηδὲ σαφῶς αἰσθητὴν γίνεσθαι. ταῦτα μὲν οὖν ἅπαντα τὰ μέχρι δεῦρο λεγόμενα πάθη κατά τε τὸν πνεύμονα καὶ τὰ κενὰ τοῦ θώρακος, ἔτι τε τὴν τραχεῖαν ἀρτηρίαν καὶ λάρυγγα, καὶ γὰρ καὶ τούτων ἐμνημόνευσα τῇ κοινωνίᾳ τοῦ λόγου προαχθεὶς ἐπ᾽ αὐτὰ, πολλάκις ἑώραταί μοι· ταυτὶ δὲ τὰ νῦν εἰρησόμενα σπανίως. ἐξαίφνης τις ἀνέβηξε χυμὸν ὁμοιότατον ὑγρᾷ χολῇ, τῇ μὲν χρόᾳ μεταξὺ ξανθῆς τε καὶ ὠχρᾶς, δριμύτητα δ᾽ οὐδεμίαν ἔχοντα· κἀκ τούτου καθ᾽ ἑκάστην ἡμέραν ἀνέπτυεν ἀεὶ πλεῖον· ὕστερον δὲ καὶ πυρετῶν ἐπιγενομένων αὐτῷ λεπτῶν, ἔφθινεν, ὡς καὶ πυῶδες ἀναβήττειν. καὶ μετὰ χρόνον ὡς τεττάρων μηνῶν αἷμα συνανήνεγκεν ὀλίγον σὺν τῷ πύῳ, μετὰ τοῦ συντήκεσθαί γε καὶ πυρέττειν μᾶλλον· εἶτα πλέον αὖθις ἔπτυσεν, εἶθ᾽ ἱκανῶς δαψιλές· ἐφ᾽ ᾧ τῶν τε

lum hoc fignum loci affecti fuit, verum etiam ulceratae fedis fenfus, veluti de aspera arteria dictum eft; etenim pulmonis ulcera fine dolore confiftunt; quae vero in his fedibus oriuntur, dolorem quidem aliquem inducunt, fed eum exiguum; ut fi quibus natura hebes fuerit fenfus, ipfum plane non percipiant. Igitur perfaepe vidimus eos, quos huc usque propofuimus affectus, qui pulmoni et fpatio thoracis et afperae arteriae et gutturi accidunt (nam et horum, fermonis communitate inducti, mentionem fecimus) qui vero deinceps dicentur, raro. Quidam humorem repente expuit liquidae bili perquam fimilem, colore quidem medium inter flavum ac pallidum, at nulla acredine infectum; atque inde quotidie majorem ejus quantitatem expuit; deinde levi fuborta febricula, tabescebat, adeo ut etiam purulenta fcrearet. Poftea tractu temporis, quatuor videlicet menfium, exiguum cum pure cruorem rejecit, atque fic aucta febre magis confumebatur; atque iterum plus expuebat, tum multum

πυρετῶν αὐξηθέντων καὶ τῆς δυνάμεως ἐκλυθείσης, ἀπέθανεν ὡσαύτως τοῖς φθόην νοσήσασι. μετὰ τοῦτον ἄλλον ἐθεασάμην ὁμοίῳ τρόπῳ νοσηλευθέντα μησὶν ἕξ, εἶτ' ἄλλον πλείοσιν. ὁ μὲν οὖν πρῶτος ἡμῖν ὀφθεὶς οὐδὲν ἔχειν ἐδόκει τό γε κατ' ἀρχὰς κακὸν, ὕστερον δὲ δηλονότι μοχθηρῶς ἐφαίνετο διακεῖσθαι· τοῦ δευτέρου δ' ὀφθέντος εὐθὺς ἐξ ἀρχῆς ἔγνωμεν ἐπιμελῶς προνοήσασθαι, καὶ μετ' αὐτὸν ἔτι καὶ μᾶλλον τοῦ τρίτου. ἀλλ' ὅμως, οὐκ ὀλίγα πραγματευσαμένων ἀμφ' αὐτοὺς ἡμῶν, οὔτε τούτων τις οὔτ' ἄλλος ἐσώθη μετ' αὐτούς· ἀνέπτυσαν δὲ πάντες οὗτοι τελευτῶντες αὐτοῦ τοῦ πνεύμονος μέρη σεσηπότα, δι' ἃ καὶ σαφῶς ἔγνων ὅμοιόν τι πάθος συμβαίνειν αὐτοῖς τῷ κἀπὶ τῶν ἐκτὸς ὁρωμένων μορίων, ὑγρότητι σηπεδονώδει διαβρόχων γινομένων· (295) ἀλλὰ ταῦτα μὲν ἐκκόπτειν ἐγχωρεῖ καὶ πρός γε τούτῳ καὶ καίειν, πνεύμονι δ' οὐδὲν τοιούτων ποιεῖν οἷόν τε, διὸ καὶ πάντες ἀπόλλυνται. τοῦ τελευταίου δ' αὐτῶν ὀφθέντος μοι κηδόμενος, ἐπὶ τὸ ξηραίνειν ἰσχυρῶς τὸ σπλάγχνον ἐτραπόμην ὀσμαῖς τε καὶ πόμασιν ἐπιτηδείοις εἰς τοῦτο·

admodum, ex quo magis increscente febre ac refolutis viribus eorum qui tabe marcescunt exemplo mortem obiit. Deinde alium vidi, eodem fere modo fex menfibus, ac alium quoque diutius laborantem. Igitur qui primus nobis occurrit, initio quidem nihil mali habere, fed tandem male affici vifus eft; alteri vero, quem confpeximus, ftatim ab initio cognito malo, diligenter fuccurrere tentavimus, ac multo magis etiam tertio. At quamvis multa circa utrumque laboraverimus, nihilominus neque horum ullus, neque alius poft eos fervatus eft; morti autem proximi omnes hi pulmonis ipfius quasdam partes expuerunt. Proinde facile cognovi, fimili eos affectu laborare, qualem in partibus externis cernimus, quum a putrefaciente quopiam humore inficiuntur; verum has et abfcindere et urere poffumus, pulmoni vero horum neutrum adhibere licet; quapropter omnes intereunt. At vero poftremum quem vidi curans, ad visceris fortem exiccationem me converti, odoribus atque potionibus ad id effi-

Ed. Chart. VII. [476. 477.] Ed. Baf. III. (295.)

τὸ μὲν γὰρ καλούμενον ἡδύχρουν ὀσμᾶσθαι δι᾽ ὅλης ἡμέρας ἐκέλευον αὐτῷ, προσφέρεσθαί τε τῇ ῥινὶ συνεχῶς· εἰς ὕπνον δ᾽ ἰόντι καὶ τῶν ἐν Ῥώμῃ σκευαζομένων μύρων πολυτελῶν, ἃ δὴ καλοῦσι φουλίατά τε καὶ σπικάτα, ὑπαλείφειν τινὶ τοὺς κατὰ τὰς ῥῖνας πόρους· ἐδίδουν δὲ καὶ πίνειν αὐτῷ φάρμακα, τήν τε μιθριδάτειον ὀνομαζομένην ἀντίδοτον, ἀμβροσίαν τε καὶ ἀθανασίαν καὶ θηριακήν· ἀλλὰ καὶ οὗτος ἐνιαυτῷ ταῦτα πίνων, ὁμοίως τοῖς φθισικοῖς ὕστερον ἀπέθανεν, [477] ἴσως εἰς χρόνον πλείονα παραταθεὶς διὰ τὴν εἰρημένην ἀγωγήν. ἕτερον δὲ πάθος εἶδον ἐν πνεύμονι τοιόνδε. βήττων τις ἐκ χρόνου πολλοῦ, καὶ πτύων ὀλίγα καὶ γλίσχρα, χαλαζίῳ μικρῷ παραπλήσιον ἀνέβηξέ τι, καί μοι κομίσας ἔδειξεν αὐτὸ, καὶ πάλιν ἕτερον ὅμοιον οὐ μετὰ πολλὰς ἡμέρας. ἐδόκει δή μοι ξηραινόμενος ὁ γλίσχρος ἐκεῖνος χυμὸς, ὃν ἀνέπτυσεν ἔμπροσθεν, εἰς τοιαύτην σύστασιν ἔρχεσθαι· καὶ διὰ τοῦτ᾽ αὐτῷ φάρμακα ἐδίδουν πίνειν, ὁποῖα καὶ τοῖς ἀσθματικοῖς ἁρμόζει· καὶ πίνων γε αὐτὰ, ἐλάττονα μὲν ἔπτυεν τὰ χαλάζια,

cacibus. Proinde medicamentum, quod hedychroum vocant, olfacere per totum diem ac naribus jugiter adhibere juffi; ad fomnum vero fefe convertentem narium foramina aliquo preciofiorum unguentorum illinere, qualia Romae praeparari folent, quae vocant foliata et fpicata; dabam quoque ipfi in potu medicamenta, mithridaticam vocatam compofitionem, ambrofiam, athanafiam, theriacam; fed hic etiam per annum haec bibens, tandem fimiliter ut reliqui tabidi vitam finivit, quam fortaffe ob jam dictam educationem longiori tempore protraxerat. Praeterea alium hujusmodi affectum in pulmone notavi. Quidam diuturna tuffi vexatus et exiguum lentumque expuens, fruftum quoddam parvo grandinis grano confimile excreavit, ac deferens illud mihi oftendit, atque rurfus non multos poft dies aliud. Unde conjeci lentum illum humorem, quem antea expuebat, ficcatum induratumque in hujusmodi fubftantiam perveniffe. Quamobrem ei medicamenta in potu dedi, quae afthmaticis auxiliantur; quibus epotis minorem expuebat grandinem,

καὶ διὰ πλειόνων ἡμερῶν ἢ πρόσθεν, οὐ μὴν ἐπαύσατό γε πολλοῖς ἔτεσι πάσχων οὕτως, ἄχρι τῆς τελευτῆς. μεγέθει δ᾽ ἦν τὰ χαλάζια τοῖς καλουμένοις ὀρόβοις ἴσα κατὰ τὸ πλεῖστον, ἔστι δ᾽ ὅτε καὶ μείζω τούτων, ὥσπέρ γε καὶ μικρότερα. καὶ ἄλλους δέ τινας ὁμοίως ἐκείνῳ πτύοντας ἐθεασάμην ἔτη συχνὰ ζήσαντας, ἐνίους μὲν ἄλλως ἀποθανόντας, ἐνίους δ᾽ ἐκ τῶν ἀναπνευστικῶν ὀργάνων παθόντων· οὐ μὴν αἷμα γέ τις ἐκ τούτων ἔπτυσεν. τὸ δ᾽ Ἀντιπάτρῳ τῷ ἰατρῷ συμβὰν ἅπαντες ἔγνωσαν, ὡς οὐκ ἀφανῶς ἰατρεύοντι κατὰ τὴν Ῥωμαίων πόλιν. ἦν μὲν ὁ ἀνὴρ οὗτος ἡλικίαν ἄγων ἐτῶν ἐλαττόνων μὲν ἢ ἑξήκοντα, πλεόνων δὲ ἢ πεντήκοντα, συνέβη δ᾽ αὐτῷ ποτε πυρέξαντι τῶν ἐφημέρων τινὰ πυρετῶν ἐκ φανερᾶς προφάσεως, ἅψασθαι τῶν ἑαυτοῦ σφυγμῶν ἐν τῇ παρακμῇ τοῦ πυρετοῦ, χάριν τοῦ γνῶναι τί ποιητέον ἐστὶν αὐτῷ. πᾶσαν δ᾽ εὑρὼν ἀνωμαλίαν ἐν τῇ τῶν ἀρτηριῶν κινήσει κατεπλάγη μὲν τὸ πρῶτον, ὡς δὲ σαφῶς ὕστερον ᾐσθάνετο μηκέτι πυρέττειν ἑαυτὸν, ἐλούσατο μὲν εὐθέως· ἐπὶ κόποις τε γὰρ αὐτῷ καὶ ἀγρυπνίαις ἐκεκμήκει τὸ σῶμα·

atque per plures quam antea dies; neque tamen pluribus deinceps annis hoc pati deſiit, donec moreretur. Caeterum grandines magna ex parte ervi magnitudinem aequabant, interdum majores, ut et minores. Atque alios quoque ſimiliter ſpuentes multos annos vivere vidimus, quorum alii aliam ob cauſam, alii ob ſpirabilium organorum affectum mortui ſunt, nullus tamen ex his cruorem expuit. Quod vero Antipatro medico accidit, omnes noverunt, ut qui medicam artem publice in Romanorum civitate profeſſus eſt. Agebat hic vir aetatem ſexaginta quidem annis minorem, ſed quinquaginta jam annos exceſſerat; is correptus aliquando febre quadam ephemera ab evidente cauſa, declinante jam febre, ut quid ſibi facto opus eſſet intelligeret, pulſum ipſe ſuum tangere aggreſſus eſt. Quum igitur omnem inaequalitatem in arteriarum motione inveniret, primo quidem territus eſt; deinde vero quum ſeſe non amplius febrire plane ſentiret, illico balneum ſubiit, quippe laboribus ac vigiliis corpus ſati-

Ed. Chart. VII. [477.] Ed. Baf. III. (295.)
διῃτήθη δὲ πάνυ λεπτῶς ἄχρι τοῦ τὴν τρίτην ἀπὸ τῆς ἀρχῆς ἡμέραν διελθεῖν· ἐν ᾗ μηδενὸς ἔτι γενομένου πυρετοῦ, προήει μὲν ἑκάστης ἡμέρας, ὥσπερ καὶ πρόσθεν, ἁπτόμενος δὲ ἑαυτοῦ τῆς κατὰ τὸν καρπὸν ἀρτηρίας, ἐθαύμασε διαμενούσης ἐν τοῖς σφυγμοῖς τῆς ἀνωμαλίας. ἀπαντήσας οὖν μοί ποτε, προὔτεινε τὴν χεῖρα γελῶν, ἐκέλευσέ τε τῶν σφυγμῶν ἅψασθαι. κἀγὼ μειδιάσας, τί τὸ αἴνιγμά ἐστιν, ὃ κελεύεις; ἠρόμην· ὁ δ᾽ αὖθις ὁμοίως γελῶν ἐδεῖτο πάντως ἅψασθαι. καὶ τοίνυν εὗρον ἁψάμενος ἀνωμαλίαν κατὰ τὸν σφυγμὸν ἅπασαν, οὐ μόνον ἐν ἀθροίσματι γινομένην, ἣν συστηματικὴν ὀνομάζουσιν, ἀλλὰ καὶ κατὰ μίαν διαστολὴν τῆς ἀρτηρίας. ἐθαύμαζον οὖν, ὅπως ἔτι ζῇ τοιοῦτον ἔχων σφυγμὸν, ἐπυνθανόμην τε μή τις αὐτῷ δυσχέρεια κατὰ τὴν ἀναπνοὴν γίνεται· τοῦ δὲ οὐδεμίαν αἰσθητὴν ὁμολογοῦντος, ἐπετήρουν μὲν εἴ τινα μεταβολὴν ἕξοι ποτὲ, συνεχῶς ἁπτόμενος τῆς κατὰ τὸν καρπὸν ἀρτηρίας ἓξ μηνῶν που χρόνῳ. πυνθανομένου δ᾽ οὖν αὐτοῦ κατ᾽ ἀρχὰς, ἥ τις εἶναί μοι δοκεῖ διάθεσις ἐν τῷ σώματι, καὶ κατὰ τίνα τρόπον αὐτοῦ τοιοῦτον ἐργά-

gaverat, atque tenui plane victu, donec diem tertium praeteriiffet, ufus eft; quo quum nulla appareret febris, ad folita negotia pertractanda prodiit, atque arteriam in carpo tangens, admiratus eft perfeverantem in pulfibus inaequalitatem. Occurrens itaque mihi aliquando, extendit manum ridens, juffitque pulfum tangere. At ego fubridens, quid, inquam, fibi vult hoc, quod proponis aenigma? ille iterum ridens obnixe oravit, ut tangerem. Igitur inter tangendum omnigenam in pulfu inveni inaequalitatem, non folum in multarum pulfationum collectione, quam fyftematicam vocant, verum etiam in una arteriae diaftole. Proinde miratus, quomodo adhuc viveret, quum talem haberet pulfum, interrogavi, num difficilis aliqua effet ei refpiratio; illo vero nullam fe fentire refpondente, obfervavi, an aliquando mutaretur, fex menfium fpatio affidue carpi arteriam tangens. Quumque ab initio interrogaret, quaenam affectio mihi videretur effe in fuo corpore, atque per quem modum talem pul-

ζεσθαι δυναμένη τὸν σφυγμὸν ἄνευ πυρετοῦ, πρὸς τὴν ἐρώτησιν ἀπεκρινάμην, ἐν τῇ περὶ τῶν σφυγμῶν πραγματείᾳ δεδηλῶσθαί μοι περὶ τῆς τοιαύτης ἀνωμαλίας· ἡγοῦμαι γὰρ αὐτὴν ἐπὶ στενοχωρίᾳ τῶν ἐν τῷ πνεύμονι μεγάλων ἀρτηριῶν γίγνεσθαι· τὴν στενοχωρίαν δ᾽ ἔφην, ἐπὶ μὲν φλεγμονῇ τοῦ σπλάγχνου, τό γε ἐπί σοι νῦν, ἀδύνατον ὑπάρχειν· ἐπύρεττες γὰρ ἄν· ἀπολείπεται δ᾽ ἤτοι δι᾽ ἔμφραξιν ὑγρῶν καὶ γλίσχρων καὶ παχέων χυμῶν, ἢ διὰ φύματος ἀπέπτου γένεσιν, εἰς τὴν τοιαύτην ἀφῖχθαί σε διάθεσιν. ὁ δ᾽ ὑπολαβὼν, ἐχρῆν οὖν, ἔφη, ἀσθματικὴν ὀρθόπνοιαν εἶναί μοι. κἀγὼ πιθανῶς μὲν εἶπον λέγειν αὐτὸν, [478] οὐ μὴν ἀληθῶς· γίγνεσθαι μὲν γὰρ καὶ τὴν τοιαύτην ὀρθόπνοιαν διὰ τοιαύτην αἰτίαν, οὐ μὴν ἐν ταῖς λείαις ἀρτηρίαις, ἀλλ᾽ ἐν ταῖς τραχείαις ἀθροιζομένου τοῦ γλίσχρου καὶ παχέος χυμοῦ. καὶ τοίνυν ἔδοξεν ἡμῖν, τήν τε δίαιταν αὐτῷ πᾶσαν ὁμοίαν ποιεῖσθαι τοῖς τῶν ἀσθματικῶν, τά τε φάρμακα προσφέρεσθαι τὴν αὐτὴν ἐκείνοις ἔχοντα δύναμιν. ἓξ δὲ ἐν τῷ μεταξὺ γενομένων, ὡς ἔφην, μηνῶν, ᾔσθετό τινος οὐ μεγάλης δυσπνοίας ἅμα παλμῷ βραχεῖ

ſum facere citra febrem, ad eam quaeſtionem reſpondi, in commentariis de pulſibus declaraſſe me hujusmodi inaequalitatem; namque ob magnarum in pulmone arteriarum anguſtiam id evenire puto; anguſtiae vero cauſam, inquiebam, eſſe visceris inflammationem tibi impoſſibile eſt; febricitares enim; relinquitur igitur, vel obſtructionem ex liquidis et craſſis et viscoſis humoribus, vel crudi tuberculi ortum, in hujusmodi te affectionem induxiſſe. Tum ille reſpondens, oporteret ergo, inquit, me aſthmatica orthopnoea laborare. At ego probabilia dixi ipſum loqui, ſed non vera; quippe fieri nonnunquam hujusmodi orthopnoeam ob eam cauſam, non tamen quum in laevibus arteriis, ſed in asperis craſſus et lentus humor cumulatur. Proinde omnem victus rationem aſthmaticorum victui ſimilem moliri et medicamenta eandem ac ipſorum facultatem habentia adhibere juſſimus. Deinde ſex, ut dixi, menſibus elapſis, levi quadam ſpirandi difficultate affectus eſt, accedente ſimul brevi cordis palpita-

τῆς καρδίας, τὸ μὲν πρῶτον ἅπαξ, εἶτα δίς που καὶ τρὶς, εἶτα καὶ τετράκις τε καὶ πλεονάκις γινομένου, μετὰ τοῦ συναυξάνεσθαι τὴν δύσπνοιαν, ἐφ᾽ ἡμέρας ὡς πέντε καὶ δέκα· μεθ᾽ ἃς ἐξαίφνης δυσπνοήσας σφοδρῶς, εἶτ᾽ ἐκλυθεὶς, εὐθέως ἀπέθανεν, ὥσπερ ἄλλοι τινὲς ἐπὶ πάθεσι καρδίας, ὑπὲρ ὧν εἰρήσεται κατὰ τὸν ἐφεξῆς λόγον.

tione, primo quidem ſemel, deinde bis atque ter, poſtea quater ac ſaepius quoque, aucta ſimul ſpirandi difficultate, ad quintumdecimum usque diem, poſt quem difficillima derepente oborta reſpiratione, exolutus ſtatim obiit, aliorum quorundam exemplo, qui cordis affectibus laborant, de quibus poſthac ſermonem faciemus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ ΒΙΒΛΙΟΝ Ε.

Ed. Chart. VII. [478.] Ed. Baſ. III. (295.)

ΠΡΟΟΙΜΙΟΝ.

Ἐν τῷ πρὸ τούτου γράμματι περὶ τῶν κατὰ τὸν πνεύμονα παθῶν διεξερχόμενος, ἐμνημόνευσα τῇ κοινωνίᾳ τοῦ λόγου καὶ θώρακος καὶ καρδίας ἐπ᾽ ὀλίγον, ἀναβαλλόμενος εἰς τουτὶ τὸ πέμπτον ὑπόμνημα τελέως ἀποδώσειν ἅπαντα τὸν περὶ αὐτῶν λόγον. ἐπεὶ τοίνυν ἐτελεύτησεν ἡ κατὰ τὸ τέταρτον ὑπόμνημα διδασκαλία εἰς τὰ συμβάντα τῷ Ἀντιπάτρῳ τῷ ἰατρῷ, τὴν μὲν διάθεσιν αὐτοῦ ἐν αὐτῷ τῷ πνεύμονι ἴσχοντος τὴν πρώτην, ἐπι-

GALENI DE LOCIS AFFECTIS LIBER V.

PROOEMIVM.

In praecedenti libro, quum de pulmonis affectibus ageremus, ſermonis communitate et thoracis et cordis aliquantulum meminimus; pleniorem vero abſolutioremque de ipſis ſermonem in quintum hunc librum diſtulimus. Quoniam vero quartus liber in accidentibus, quae Antipatro medico evenerunt, finem ſortitus eſt, laeſo in primis ipſius pulmone,

διαβάντος δὲ τοῦ πάθους ἄχρι τῆς καρδίας, ἄμεινον εἶναί μοι δοκεῖ περὶ πάντων αὐτῆς τῶν παθῶν διελθεῖν.

Κεφ. α΄. Ὥσπερ οὖν περὶ τῶν ἄλλων τοῦ ζώου μορίων, οὕτως καὶ ἐπὶ τῆς καρδίας διορίσασθαι χρὴ, τίνα μὲν [479] ἰδιοπαθούσης, ἢ πρωτοπαθούσης, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, γίνεται συμπτώματα, τίνα δ᾽ ἑτέροις μέρεσι συμπασχούσης. ἔστι δ᾽ ὁ λόγος ἐπὶ τοῖς προαποδεδειγμένοις ἐν ἑτέραις πραγματείαις, ἐν αἷς ἐδείχθη, τῆς μὲν ἐμφύτου θερμασίας οἷον πηγή τις ὑπάρχειν ἡ καρδία, καὶ πάντως χρῆναι παθεῖν αὐτὴν, εἰ μέλλοι τεθνήξεσθαι τὸ ζῶον. ἀρχῶν οὖν οὐσῶν τριῶν, αἷς διοικεῖται τὸ ζῶον (296) (πρὸς γὰρ τῇ τῆς καρδίας ἀρχῇ ὁ μὲν ἐγκέφαλος αἰσθήσεώς τε καὶ κινήσεως ἐδείχθη χορηγὸς εἶναι πᾶσι τοῖς τοῦ ζώου μέρεσι, τὸ δ᾽ ἧπαρ ἀρχὴ τῆς θρεπτικῆς εἶναι δυνάμεως), ὁ μὲν θάνατος ἀεὶ ταῖς ἀμέτροις τῆς καρδίας ἕπεται δυσκρασίαις, ἅπαντα γὰρ αὐτῇ συγκακοῦται τὰ μόρια· δεδειγμένου δ᾽ ἡμῖν, ἐνεργεῖν αὐτὰ

deinde ad cor etiam transeunte affectu, operae pretium me facturum arbitror, fi omnes ejus affectus percurram.

Cap. I. Igitur quemadmodum de caeteris animalis partibus, ita de corde quoque definiendum eft, quaenam ipfi proprio vel primario vel utcunque nominare volueris, affectu laboranti fiant fymptomata, quaenam vero ipfo caeteris partibus confentiente. Nititur autem oratio iis, quae prius in aliis libris demonftravimus, ubi declaratum eft, innati caloris cor velut fontem effe, neque animal mori omnino poffe, nifi afficiatur. Quum itaque tres fint principes partes, quibus gubernatur animal (nam praeter cordis principatum oftenfum eft et fenfum et motum univerfis corporis partibus a cerebro fuppeditari, jecur vero nutricis facultatis effe principium) femper mors immoderatas fequitur cordis intemperies, fimul enim cum ipfo omnes vitiantur partes. Quum enim, ut oftendimus, ipfae peculiari cordis temperie

διὰ τὴν οἰκείαν καρδίας εὐκρασίαν, ἀναγκαῖόν ἐστιν ἀπολομένης ταύτης συναπόλλυσθαι τὰς ἐνεργείας αὐτῶν, καὶ κατὰ τοῦτο καὶ τὰς ἐγκεφάλου τε καὶ ἥπατος, οὐ μὴν ταῖς ἐκείνων γε τὴν τῆς καρδίας. εἰ γὰρ μήτε τὰς αἰσθητικάς τε καὶ προαιρετικὰς ἐνεργείας ἔτι διασώζοι τὸ ζῶον, ἀλλὰ μηδὲ τρέφοιτο, καθάπερ οὐδὲ τὰ φωλεύοντα, δυνατὸν ἄν τις εἶναι νομίσειεν ζῇν αὐτὸ, μέχρι περ ἂν ἡ καρδία μηδὲν ᾖ πεπονθυῖα· καὶ μέντοι καὶ φαίνεται πολλάκις ἡμερῶν ἐφεξῆς πολλῶν οὔτε φρονῶν τις οὔτ᾽ αἰσθανόμενος οὔτε κινούμενος, ὅμως ἔτι ζῶν, ὥσπέρ γε καὶ δι᾽ ἀῤῥωστίαν τῆς ἐν ἥπατι δυνάμεως ἀτροφῶν ἐξαρκεῖν εἰς μακρόν· εἰ δὲ τῆς ἀναπνοῆς στερήσειέ τις τὴν καρδίαν, αὐτίκα διαφθείρεται. ὅσοις οὖν ὁ θώραξ οὐδὲν ὅλως ἐδόκει συντελεῖν εἰς τὴν τῆς ἀναπνοῆς ἐνέργειαν, ἀποροῦσι τὴν αἰτίαν εὑρεῖν, δι᾽ ἣν ἐν ταῖς ἰσχυραῖς ἀποπληξίαις ἀποθνήσκουσιν εὐθέως οἱ κάμνοντες, ἐπὶ μόνῃ τῇ βλάβῃ τῆς ἄνωθεν ἀρχῆς· ὑμεῖς δ᾽ οὐκ ἀπορήσετε, πεπεισμένοι βεβαίως, ὑπὸ μυῶν διαστέλλεσθαι τὸν θώρακα, τὴν ἀρχὴν τῆς κινήσεως ἐχόντων ἐκ τῶν εἰς αὐτοὺς φερομένων νεύρων ἀπὸ

actiones fuas perficiant, hac pereunte, actiones quoque ipfarum perire neceffe eft, ac proinde cerebri quoque et jecoris, non tamen horum temperie deperdita, cordis fimul actionem *perire.* Si enim neque fenfibiles, neque voluntarias actiones animal fervet, imo neque nutriatur etiamnum, ut nec latibulis abdita, nihilominus vivere ipfum poffe, quoad cor manferit illaefum, quivis exiftimaverit. Quin videmus faepenumero multis deinceps diebus aliquem neque intelligere, neque fentire, neque moveri, nihilominus vivere, quemadmodum qui ob virium hepatis imbecillitatem non nutritur, diutius fufficere; at fi cor refpiratione privetur, illico perit. Igitur qui ad refpirandi functionem nihil conferre thoracem putant, ii caufam reddere nequeunt, cur per vehementem apoplexiam, fola fuperioris principii laefione laborantes fubito moriantur. At vobis eam invenire haud difficile eft, utpote quibus explorate perfuafum eft musculos, qui motionis principium a nervis in ipfos a fpinali medulla

τοῦ κατὰ τὸν αὐχένα νωτιαίου, στερουμένων τηνικαῦτα τῆς ἐπιῤῥεούσης ἐξ ἐγκεφάλου δυνάμεως αὐτοῖς κινητικῆς τῶν μυῶν· ὡς εἴγε μὴ συνήπτοντο διὰ τῆς ἀναπνοῆς αἱ δύο ἀρχαὶ, δυνατὸν ἂν ἦν ἐστερημένους ἡμᾶς ἐνίοτε τῆς ἄνωθεν ἀρχῆς ἔτι ζῆν. ἴσως οὖν τις ἐξ ὧν ἡμεῖς εὐπορήκαμεν αἰτίαν, δι᾽ ἣν ἡ καρδία βλάπτεται παθόντος τοῦ ἐγκεφάλου κατὰ τὰς μεγάλας ἀποπληξίας, ἐκ τούτων αὐτῶν εὐπορήσει καθ᾽ ἕτερον τρόπον εὑρεῖν τὴν αἰτίαν, δι᾽ ἣν ἐν ταῖς μικροτέραις ἀποπληξίαις, καταλήψεσί τε καὶ κάροις, ἐπιληψίαις τε καὶ ληθάργοις, οὐκ ἀπόλλυται τὸ πάσχον οὕτως ζῶον· εὑρήσει δὲ καὶ τοῦτο θεασάμενος, ὅπως ἀναπνέουσιν ἐν τοῖς εἰρημένοις πάθεσιν οἱ πάσχοντες· ὄψεται γὰρ ὅτι βιαίως τε καὶ μόγις, ὡς ὑπὸ δεσμοῦ τινος εἰργομένου διαστέλλεσθαι τοῦ θώρακος. λέλεκται δ᾽ ἱκανῶς περὶ τούτου κατὰ τὰ περὶ μυῶν κινήσεως ὑπομνήματα· κοινὸν γάρ ἐστι τὸ ζήτημα τῷ γιγνομένῳ κατὰ τοὺς ὕπνους, ἐν οἷς ἁπασῶν τῶν κατὰ τοὺς μῦς ἐνεργειῶν ἐκλελυμένων, ἡ τῶν τὸν θώρακα κινούντων μόνη σώζεται· νυνὶ δ᾽ ἀρκεῖ μέχρι τοσούτου προῆχθαι τὸν λόγον,

cervicis delatis fuscipiunt, thoracem attollere, qui tum privantur motrice facultate ex cerebro ipfis influente; ut nifi ad refpirationem ambo principia concurrerent, poffemus vivere, privati interdum fuperno principio. Fortaffe igitur ex quibus caufam potuimus invenire, cur affecto cerebro in vehementi apoplexia, cor quoque laedatur, ex iisdem ipfis fecundum alium modum caufam facile quis inveniet, quamobrem in apoplexia minore, catalepfi, fopore, morbo comitiali, lethargo, animal ita affectum non pereat. Inveniet autem id fpeculatus in enarratis affectibus, quomodo fpirent laborantes; nam videbit et violentam et difficilem refpirationem, perinde ac fi vinculo quodam conftrictus thorax dilatari prohiberetur. Atque hujus rei fufficientem fecimus mentionem in libris de musculorum motu; communis enim eft haec quaeftio ei quae de fomno fit, in quo omnes musculorum actiones exolvuntur, fola musculorum thoracem moventium actio fervatur; nunc vero ea duntaxat dixiffe fatis

ὅσον αὐτοῦ χρήσιμον ἦν εἰς τὰ παρόντα. ᾧ γὰρ λόγῳ κατὰ τοὺς ὕπνους ἀναπνέουσιν οἱ ἄνθρωποι, καίτοι τῶν ἄλλων ἁπάντων μυῶν ἡσυχαζόντων, τούτῳ καὶ κατὰ τὰς ἀποπληξίας, ὅσαι μὴ μέγισται, καὶ κατ᾽ ἄλλα πάθη τὰ ταύτῃ παρακείμενα· μεγάλης δ᾽ οὕτως γεγενημένης τῆς ἀποπληξίας, ἢ καί τινος ἑτέρου πάθους, ὡς τελέως ἀπολέσθαι τὴν ἐνέργειαν τῶν κατὰ τὸν θώρακα μυῶν, ἀναγκαῖόν ἐστι συνδιαφθαρῆναι τὴν ἀναπνοὴν, ἐφ᾽ ᾗ καὶ τὴν τῆς καρδίας εὐκρασίαν, [480] ᾗ καὶ πάλιν ἐξ ἀνάγκης ἕπεται τὸ ζῶον ὅλον ἀπόλλυσθαι. κατὰ τοῦτον μὲν οὖν τὸν λόγον ἐν ταῖς τῆς ἄνωθεν ἀρχῆς βλάβαις μεγάλαις ἀπόλλυται τὸ ζῶον· καθ᾽ ἕτερον δὲ τρόπον ἐφ᾽ ἥπατι πάσχοντι, διὰ γὰρ ἀτροφίαν νεκροῦται τηνικαῦτα, διὸ καὶ χρόνῳ πλείονι διαρκεῖ τὰ ζῶα κατὰ τὰ τοιαῦτα παθήματα. καὶ μὴν καὶ καθ᾽ ἕτερόν τινα τρόπον, ἐπί τε στομαχικαῖς συγκοπαῖς, ἀλγήμασίν τε σφοδροῖς, καὶ φόβοις ἰσχυροῖς, ἡδοναῖς τε μεγίσταις, ἀποθνήσκουσί τινες· ὅσοις γὰρ ἀσθενής ἐστιν ὁ ζωτικὸς τόνος, ἰσχυρά τε πάθη ψυχικὰ πάσχουσιν ἐξ ἀπαιδευσίας, εὐδιάλυτος τούτοις ἐστὶν ἡ τῆς ψυχῆς

fuerit, quae in praeſentia propoſito noſtro conducere videbantur. Nam qua ratione homines per ſomnum reſpirant, reliquis licet musculis omnibus quiescentibus, eadem et per apoplexias non vehementiſſimas, atque alios ei vicinos affectus; ubi vero apoplexia ita vehemens, aut alter quispiam affectus acciderit, ut musculorum thoracis actio omnino deperdatur, perire ſimul reſpirationem neceſſe eſt; indeque cordis temperiem, a qua rurſus etiam animal univerſum neceſſario ſequitur interire. Hac igitur ratione per magnas ſuperni principii laeſiones animal perit, ex jecoris vero affectu alia ratione, atrophia ſcilicet tum contabescit, unde longiore temporis ſpatio in hujusmodi affectibus vitam protelant animalia. Atque per alium quendam modum in ſyncopis ſtomachicis et vehementibus doloribus, terroribus gravibus et voluptatibus maximis nonnulli intereunt; etenim quibus vitale robur infirmum eſt, animi vero affectiones ob imperitiam fortes, his animi ſubſtantia facile diſſolvitur;

ουσία· τῶν τοιούτων ἔνιοι καὶ διὰ λύπην ἀπέθανον, οὐ μὴν εὐθέως ὥσπερ ἐν τοῖς προειρημένοις· ἀνὴρ δ' οὐδεὶς μεγαλόψυχος οὔτ' ἐπὶ λύπαις οὔτ' ἐπὶ τοῖς ἄλλοις ὅσα λύπης ἰσχυρότερα θανάτῳ περιέπεσον· ὅ τε γὰρ τόνος τῆς ψυχῆς αὐτοῖς ἰσχυρός ἐστι τά τε παθήματα σμικρά.

Κεφ. β'. Ἴδιον δὲ πάθος ἐν καρδίᾳ γίνεται κατὰ μὲν ἁπλῆν δυσκρασίαν πολλάκις, εἴτ' ἀνώμαλος εἴθ' ὁμαλὴς εἴη, κατά τε φλεγμονὴν ἢ ἐρυσίπελας ἀρχόμενον γίγνεσθαι· διαφθείρεται γὰρ παραυτίκα πρὶν αὐξηθῆναι τὰ πάθη τάδε τὸ ζῶον. ἕπονται δὲ πάλιν ταῖς τοιαύταις διαθέσεσιν αἱ καρδιακαὶ συγκοπαὶ, καθάπερ αἱ στομαχικαὶ ταῖς κατὰ τὸ τῆς κοιλίας στόμα, καλοῦσι δ' ἔνιοι καὶ τοῦτο στόμαχον· ἀλλὰ καὶ αὗται γίγνονται δηλονότι συμπασχούσης τῆς καρδίας. αἱ διαθέσεις δ' ἀμφοτέρων τῶν μορίων, τοῦ τε στόματος τῆς κοιλίας καὶ τῆς καρδίας, ἤτοι διὰ δυσκρασίαν μόνην ἰσχυρὰν, ἢ δι' ὑγρότητα φαρμακώδη, καί ποτε καὶ δι' ἐρυσίπελας εἰώθασι γίγνεσθαι, καὶ διὰ φλεγμονὴν, ἤ τινα παρὰ φύσιν ὄγκον ἕτερον τοιοῦτον. αἱ μὲν οὖν μικραὶ τῆς καρδίας

horum aliqui et ob moeftitiam interierunt, fed non illico, ut de fuperioribus diximus. At vir magnanimus neque ob moeftitiam neque ob aliam aliquam animi aegritudinem moeftitia fortiorem unquam fuccubuit, utpote cui animae robur validum eft, affectus vero exiles.

Cap. II. At proprius cordis affectus accidit ob fimplicem faepenumero intemperiem, five inaequalis, five aequalis ea fuerit, et ob inflammationem, vel eryfipelas, dum fieri incipit; illico enim antequam augeantur hujusmodi affectus, animal corrumpitur. Atque hos affectus rurfus cardiacae fyncopae fequuntur, quemadmodum ftomachicae eos affectus, quibus os ventriculi, ftomachum nonnulli appellant, infeftatur; verum hae quoque confentiente profecto corde eveniunt. Sed utriusque partis, tum oris ventriculi tum cordis, affectus aut ob vehementem folam intemperiem, aut ob venenofum humorem, nonnunquam ob eryfipelas aut inflammationem, aut alium quempiam ejusmodi praeter naturam tumorem fieri confueverunt. Igitur exiguae quidem

δυσκρασίαι τοὺς σφυγμοὺς ἀλλοιοῦσιν κατὰ τὴν αὐτῶν ἑκάστη φύσιν· εἴρηνται δ' αὐτῶν αἱ διαγνώσεις ἐν τῇ περὶ σφυγμῶν πραγματείᾳ· ταῖς μεγάλαις δὲ, κατὰ μὲν τὰς ἰδίας τῶν ὁμοιομερῶν δυσκρασίας οὐκ ὀξὺς ὁ θάνατος ἕπεται, κατὰ δὲ τὰς ὀργανικὰς ἐξαιφνίδιος, ἀλλ' ἐπὶ προηγουμένοις σημείοις, ὧν ἓν μέν ἐστι καὶ τὸ πρὸς Ἱπποκράτους εἰρημένον, οἷον οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς ἄνευ φανερῆς προφάσεως, ἐξαπίνης τελευτῶσιν· ἕτερον δὲ παλμὸς τῆς καρδίας, ἤτοι μόνος γιγνόμενος, ἢ μετά τινος ἐμφάσεως ἐν ὑγρῷ κινουμένης αὐτῆς· καὶ θαυμαστὸν οὐδὲν ἀθροίζεσθαί ποτε πλῆθος ὑγροῦ τοσοῦτον ἐν τῷ περιέχοντι χιτῶνι τὴν καρδίαν, ὡς ἐμποδίζειν αὐτῇ διαστελλομένῃ· καὶ γὰρ ἐπὶ τῶν ἀνατεμνομένων ζώων ἐθεασάμεθα πολλάκις ὑγρὸν οὔρῳ παραπλήσιον ἐν τῷ περικαρδίῳ δαψιλές. εἷς δέ ποτέ τις πίθηκος ἰσχνότερος ἑαυτοῦ γιγνόμενος οὐκ ἔφθασεν ἀνατμηθῆναι δι' ἀσχολίας ἡμῶν ἀναγκαίας· ἀποθανόντος δ' αὐτοῦ τὰ μὲν ἄλλα πάντα μόρια τοῦ σώματος ἦν ἀπαθῆ, ἐπέκειτο δὲ τῷ περικαρδίῳ χιτῶνι παρὰ φύσιν ὄγκος, ὑγρὸν ἐν ἑαυτῷ περιέχων

cordis intemperies pulfus arteriarum pro fua quaeque natura variant; ipforum autem notae in opere de pulfibus explicatae funt; majores vero per proprias quidem fimilarium partium intemperies fubita mors non fequitur; per organicas vero repentina, fed praecedentibus prius fignis, quorum unum eft, quod et ab Hippocrate dictum eft: *Qui faepe et vehementer exolvuntur fine caufa manifefta, ii derepente moriuntur;* aliud vero, palpitatio cordis, aut per fe eveniens, aut fignificatione quadam, quod in humore cor ipfum moveatur; neque mirum tantam humoris multitudinem cumulari aliquando in ambiente cor tunica, ut ipfum ne attollatur, impediat; etenim in animalibus diffectis vidimus plerumque plurimum humoris urinae fpeciem referentis in eo qui ipfum involvit panniculo contineri. Ac fimia quaedam quum emaciari in dies videretur, eam tamen neceffariis noftris negotiis impediti fecare non potuimus, poft mortem vero, reliquis corporis partibus omnibus illaefis, inventus eft in cordis involucro tumor praeter naturam, humorem in fe

ὅμοιον τῷ κατὰ τὰς ὑδατίδας· ἐπ᾽ ἀλεκτρυόνος δέ ποτε χωρὶς ὑγροῦ τοιοῦτος σκιῤῥώδης ὄγκος ἐπέκειτο τῷ περικαρδίῳ, παραπλήσιος ὑμέσι παχέσι πολλοῖς κατ᾽ ἀλλήλων ἐπιβεβλημένοις. εἰκὸς οὖν ἐστι καὶ τοῖς ἀνθρώποις [481] γίγνεσθαί τινα τοιαῦτα. φλεγμηνάσης δὲ φανερῶς καρδίας ἐπὶ μονομάχων, ἐθεασάμεθα θάνατον ὁμοιότατον ἀκολουθήσαντα τοῖς συγκοπτομένοις καρδιακῶς. ἐὰν μὲν οὖν ἄχρι κοιλίας τινὸς τῶν ἐν αὐτῇ τὸ τρῶσαν ἀφίκηται, παραχρῆμα τελευτῶσιν αἱμοῤῥαγικῶς, καὶ μᾶλλον, ὅταν ἡ ἀριστερὰ κοιλία τύχῃ τρωθεῖσα· μὴ διασχόντος δὲ τοῦ τρώσαντος εἰς κοιλίαν, ἀλλ᾽ ἐν τῷ σώματι τῆς καρδίας στηριχθέντος, οὐ μόνον αὐτὴν ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ τρωθέντες ἔτυχον, ἔνιοι διέζησαν, ἀλλὰ καὶ τὴν ἐπιοῦσαν νύκτα, φλεγμονῆς δηλονότι λόγῳ τοῦ θανάτου γενομένου· φρονοῦσί γε μὴν ἅπαντες οὗτοι, μέχρι περ ἂν ζῶσιν, μαρτυροῦντος καὶ τούτου τοῦ φαινομένου τῷ παλαιῷ δόγματι περὶ τοῦ τὸ λογιζόμενον τῆς ψυχῆς οὐκ εἶναι κατὰ τὴν καρδίαν. ὁ δὲ παλμὸς τοῦ σπλάγχνου τούτου πολλοῖς ὑγιαίνουσιν ἀμέμπτως νεανίσκοις

continens, qualem puftulae hydatides emittunt. Atque in gallo fine humore aliquando pericardium hujusmodi fcirrhofo tumore affectum erat, perinde ac fi plures craffae membranae involutae altera alteri fuiffent. Unde verifimilis conjectura elicitur, homines etiam fimilibus poffe affectibus infeftari. Inflammato autem manifefte corde, gladiatores vidimus haud aliter, quam qui cardiaca fyncope pereunt, obiiffe. Igitur fi ad ventrem cordis vulnus aliquando penetraverit, protinus magno cum fanguinis fluore moriuntur, idque praecipue, fi finiftrae partis venter fuerit vulneratus; fi vero non ad ventrem usque pertingat, fed in cordis fubftantia confiftat vulnus, ex ita affectis aliqui non folum ea die, qua vulnerati fuerunt, fed fequenti quoque nocte vivere potuerunt, inflammationis ratione nimirum extincti; atque ii omnes, quamdiu vixerint, mentis compotes funt; unde evidens quoque fibi teftimonium fumere poteft antiqua fecta, quae negat rationalem animae facultatem in corde confiftere. Palpitatio autem visceris hujus pluribus integra va-

τε καὶ παρακμάζουσιν ὤφθη γενόμενος ἐξαί(297)φνης, ἄνευ φανεροῦ συμπτώματος ἑτέρου, καὶ πάντες οὗτοι φλεβοτομηθέντες ὤνηντο, καὶ τελέως αὐτῶν ἔνιοι τοῦ συμπτώματος ἀπηλλάγησαν, ἐπὶ τῇ φλεβοτομίᾳ λεπτυνούσῃ διαίτῃ μετὰ φαρμάκων ὁμοίων θεραπευθέντες· ἔνιοι δὲ αὐτῶν αὖθίς ποτε τοῦ συμπτώματος ἐπιφανέντος ὁμοίως ἐθεραπεύθησαν. οἶδα δέ τινα καὶ κατ᾽ ἐνιαυτὸν ἦρος ὥρᾳ πάσχοντα τὸ τοῦ παλμοῦ σύμπτωμα· καὶ ἐπειδὴ τρισὶν ἔτεσιν ἐπειράθη τῆς φλεβοτομίας ὠφελούσης, ἔφθασεν ἐπὶ τοῦ τετάρτου φλεβοτομηθεὶς ἁλῶναι τῷ συμπτώματι, καὶ οὕτως ἔπραττε κατὰ τὸ ἑξῆς ἐτῶν πλειόνων, μετὰ τοῦ καὶ τἄλλα ποιεῖν ἐπὶ τῇ φλεβοτομίᾳ προσηκόντως· ἀλλ᾽ ὅμως καὶ οὗτος ἀπέθανε πρὶν γηρᾶσαι, καθάπερ καὶ οἱ ἄλλοι πάντες, ἔνιοι μὲν ἐν πυρετοῖς ὀξέσιν ἀθρόως συγκοπέντες, ἔνιοι δὲ καὶ κατὰ τὸν τῆς ὑγείας χρόνον, εἷς δέ πού τις ἢ δύο καθ᾽ ἕτερον τρόπον ἀπέθανον χωρὶς συγκοπῆς. οἱ πλείους δὲ τῶν οὕτω παθόντων ἡλικίαν εἶχον ἐτῶν ἐλαττόνων μὲν ἢ πεντήκοντα, πλεόνων

letudine degentibus, tum adolescentibus tum adultis, fubito fine alio manifefto fymptomate evenire vifa eft, atque hi omnes fanguinis detractione juvati funt. Atque hoc fymptomate aliqui plane liberati funt, qui poft venae fectionem ufi funt attenuante victu cum medicamentis fimilibus; horum vero nonnulli, quibus rurfum hujusmodi fymptoma obortum erat, fimili curatione fospites evaferunt. Ac novi quendam quotannis verno tempore palpitationis fymptomate vexatum, qui quum per tres annos a fanguinis detractione fe adjutum intelligeret, anno quarto antea quam fymptoma ipfum invaderet, fanguinem mifit, idque pluribus deinceps annis faciendo, idonea etiam poft fanguinis detractionem caetera adhibuit. At nihilominus hic quoque ante fenectutem morte praeventus eft, ficut et reliqui omnes, alii quidem per acutas febres, alii vero, cum fani degerent, affatim fyncope intercepti, unus etiam vel duo citra fyncopen alia quadam mortis fpecie perierunt. Sic autem affectorum major pars aetatem agebat quinquaginta quidem annis inferiorem,

δὲ ἢ τεσσαράκοντα. τὸ μέντοι περικάρδιον σκέπασμα τῶν ἀκύρων ἐστὶ μορίων, ὅπως ἂν πάθῃ, πλὴν εἰ φλεγμήναντος αὐτοῦ διαδοθείη κατὰ συμπάθειαν ἡ διάθεσις ἐπὶ τὴν καρδίαν· ἀλλ᾽ ὅταν γε πάσχῃ μόνον, ὁμοίως τοῖς ἄλλοις ἅπασι μορίοις, ὅσα φρουρᾶς ἕνεκα καὶ σκέπης ἑτέρων κυριωτέρων ἐγένετο, κίνδυνον οὐδένα φέρει. δύσπνοιαν δ᾽ οὐδεμίαν ἐργάζετ᾽ ἄλλην καρδία παρὰ τὰς εἰρημένας ἐν τῷ πρὸ τούτου γράμματι κατὰ τὸν πέρὶ τῆς δυσπνοίας λόγον· ἐπὶ μὲν τὸ μέγα καὶ πυκνὸν ὑπερθερμανθεῖσα, μετὰ τοῦ καὶ θᾶττον γίνεσθαι τὴν ἀναπνοὴν ἐκφυσᾶσθαί τε θερμὸν πνεῦμα· τὴν δὲ ἐναντίαν αὐτῇ διὰ ψύξιν, ἐφ᾽ ᾗ μικρὸν καὶ ἀραιὸν γίνεται τὸ πνεῦμα.

Κεφ. γ᾽. Καὶ κατὰ τοῦτο τὸ μόριον, ὥσπερ καὶ κατὰ τἄλλα πάντα, τινὰ μὲν ἰδιοπαθοῦντος αὐτοῦ γίνεται, τινὰ δὲ ἑτέροις συμπάσχοντος· ἅπαντα γοῦν ἐξ ἀνάγκης εἰς τὴν τῆς ἀναπνοῆς βλάβην τελευτᾷ, τοῦτο γὰρ ἴδιον ὄργανον ἐδείχθη τῆς ἀναπνοῆς. ὅσα μεν οὖν ἐν αὐτῷ γίνεται πάθη τῶν ὀδυνηρῶν, μικρὰν καὶ πυ-

fed quae quadraginta annos excederet. Pericardium fane tegumentum, quomodocunque affectum fit, inter ignobiles partes numeratur, nifi quando ipfo inflammato affectus per confenfum ad cor transcurrat; fed quum ipfe folus afficitur, exemplo reliquarum omnium partium, quae ad cuftodiam et tegumentum caeterarum nobiliorum factae funt, nullum affert periculum. Caeterum nulla a corde fpirandi difficultas oritur praeter eas, quas in priori libro diximus, quum de dyspnoea fermonem haberemus. Etenim fupercalefactum refpirationem efficit magnam et denfam atque celerem ac calidum infuper fpiritum efflat; contra refrigeratum exiguam et raram reddit refpirationem.

Cap. III. Huic quoque parti, vel primario affectae, vel aliis confentienti, quemadmodum reliquis omnibus, affectus quidam fuperveniunt; atque omnes in refpirationis laefionem definunt, nam proprium refpirationis hoc organum effe monftratum eft. Igitur, ubi dolorificis affectibus moleftatur, exiguam denfamque reddit refpirationem, ut in

[482]κνὴν ἐργάζεται τὴν ἀναπνοὴν, ὡς ἐν τοῖς περὶ δυσπνοίας ὑπομνήμασιν ἐδείχθη, καθάπερ γε καὶ τῶν γειτνιώντων τε καὶ συγκινουμένων. λέλεκται δ᾽ ἔμπροσθεν ἐν τοῖς τοῦ νωτιαίου πάθεσιν, ὅπως ἀναπνοὴ βλάπτεται, μηδὲν αὐτοῦ πεπονθότος ἴδιον πάθημα τοῦ θώρακος, ἀλλ᾽ ἤτοί τινος τῶν ἀπὸ τοῦ νωτιαίου νεύρων, ἢ αὐτοῦ τοῦ νωτιαίου. τῶν δ᾽ ἰδίων τοῦ θώρακος παθῶν ἔνια μὲν ἐν τοῖς μυσὶν αὐτοῦ, τινὰ δὲ κατὰ τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα συνίσταται· περὶ δὲ τῶν κατὰ τὸ δέρμα καὶ τὰ τῶν πλευρῶν ὀστᾶ νῦν οὐ πρόκειται λέγειν, αἰσθητὸν ἐχόντων τὸν πεπονθότα τόπον. διττῶν οὖν ὄντων τῶν κατ᾽ αὐτὸν μυῶν, τῶν μὲν ἀναπληρούντων τὰ μεσοπλεύρια καλούμενα, τῶν δ᾽ ἔξωθεν αὐτοῖς ἐπιβεβλημένων, αἱ μὲν τῶν ἔξωθεν ὀδυνηραὶ διαθέσεις, ἑλκωθέντων, ἢ θλασθέντων, ἢ ἀπόστημα σχόντων, ἢ ἐρυσίπελας, ἢ φλεγμονὴν, οὐκ ἀσαφῶς διαγιγνώσκονται τοῖς ἰατροῖς ἐπιβάλλουσι τὰς χεῖρας· αἱ δὲ τῶν μεσοπλευρίων μυῶν φλεγμοναὶ, καὶ μάλιστα τῶν ἐν βάθει, διφυεῖς γάρ εἰσιν, ὡς ἴστε, τὴν μὲν ἁφὴν ἡμῶν λανθάνουσιν, ὀδυνῶσι δὲ τῶν ἐπι-

commentariis de difficultate refpirationis oftendimus, ut et vicinis quoque partibus et iis quae fimul moventur affectis evenit. Diximus autem antea in fpinalis medullae affectibus, quomodo refpiratio laedatur, thorace proprio affectu nequaquam laborante, fed vel nervo quopiam a fpinali medulla procedente, vel fpinali medulla ipfa. Propriorum vero thoracis affectuum quidam in ipfius musculis, quidam in membrana coftas fuccingente confiftunt; nam de iis affectibus, qui vel in cute, vel in coftarum offibus confiftunt, hic agere non propofuimus, in quibus locus affectus fenfibus fubjicitur. Quum igitur duplices fint ipfius musculi, eorumque alii fpatia intercoftalia vocata repleant, alii extrinfecus extendantur, dolorificae externorum musculorum affectiones, ut ulcera, contufiones, abfceffus, eryfipelas, inflammatio, haud obfcure a medicis manus adhibentibus dignoscuntur; at intercoftalium musculorum inflammationes, eorum maxime qui in intimo corpore confiftunt, bipertiti enim, ut fcitis, funt, tactum noftrum fugiunt, fed graviori

πολῆς μειζόνως, καί τι καὶ τοῦ τὴν φλεγμονὴν ἐργασαμένου ῥεύματος εἴσω διαπέμπουσιν διὰ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ὃς ἐξ ἀνάγκης αὐτοῖς συμφλεγμαίνει, καθάπερ ἐκείνῳ πάλιν, ὅταν αὐτὸς πρωτοπαθῇ κατά τινα καιρὸν ἕτερον, ἡ ἐντὸς μοῖρα τῶν μεσοπλευρίων συμπάσχει. ἀλλ᾽ ἥ γ᾽ ἀκριβὴς πλευρῖτις ἐν τῇ πρωτοπαθείᾳ τοῦ ὑπεζωκότος γίνεται, διὸ καὶ μέχρι κλειδὸς ἢ ὑποχονδρίων ὁ πόνος ἐξικνεῖται· τῶν μὲν ἄνω μερῶν αὐτοῦ πασχόντων, εἰς κλεῖν· τῶν κάτω δὲ, εἰς τὰ ὑποχόνδρια. πυρετὸς δὲ πάντως ἕπεται ταῖς τοιαύταις φλεγμοναῖς σφοδρὸς, ὡς ἂν ἐγγὺς τῇ καρδίᾳ κειμένου πάσχοντος τόπου, καὶ συμφυοῦς ὑπάρχοντος αὐτῆς τῷ χιτῶνι, καθάπέρ γε καὶ ταῖς φρεσίν. ὁ σφυγμὸς δέ σοι μάλιστα ἐνδείξεται, πότερον ὁ ὑπεζωκὼς ὑμὴν μᾶλλον ἢ οἱ ψαύοντες αὐτοῦ πεπόνθασι μύες· ἧττον μὲν γὰρ οἱ μύες, ὁ δ᾽ ὑπεζωκὼς μᾶλλον ἐντείνει τε καὶ σκληρὰν ἀποφαίνει τὴν ἀρτηρίαν, ὡς ἐπί γε τῶν περὶ πνεύμονα παθῶν οὐδ᾽ ὅλως ἡ τοιαύτη φαίνεται σκληρότης. ὁ δ᾽ ἀποχεόμενος εἰς τὰ κενὰ τοῦ θώρακος ἰχὼρ,

quam externi dolore cruciantur; ac aliquid fluxionis, quae inflammationem induxit, ad interna per membranam coftas fuccingentem transmittunt, quam fimul cum ipfis inflammari neceffe eft; veluti rurfus cum ipfa, ubi aliquando primario affectu infeftatur, intercoftalium musculorum partes internae per confenfum afficiuntur. Verum exquifita pleuritis fit, ubi fuccingens coftas membrana primario affectu laborat; proinde dolor vel ad jugulum usque, vel ad hypochondria pervenit; ad jugulum quidem, fuperioribus ejus partibus affectis, ad hypochondria vero, inferioribus. Atque vehemens febris hujusmodi inflammationem plane fequitur, quia fedes affecta prope cor fita eft et cum panniculo ipfum involvente, ficuti cum fepto transverfo, cognationem habet. At pulfus tibi potiffimum indicabit, afficiaturne magis fuccingens membrana, an musculi ipfam contingentes; minus enim musculi, fuccingens vero membrana magis et tendit et duram efficit arteriam; in affectibus vero pulmonis nulla penitus apparet hujusmodi durities. At effufa in thoracis fpa-

μεταλαμβανόμενος εἰς τὰς τραχείας τοῦ πνεύμονος ἀρτηρίας, ἀναπτύεται μετὰ βηχὸς, ἐνδεικνύμενος ὁποῖός τίς ἐστιν ὁ τὴν φλεγμονὴν ἐργαζόμενος χυμὸς, ἆρά γε πικρόχολος ἢ μελαγχολικὸς ἢ φλεγματικὸς ἢ αἱματικός. ὠχρὰ μὲν γὰρ καὶ ξανθὰ πτύουσιν ἐπὶ τῷ πικροχόλῳ, μέλανα δὲ ἐπὶ τῷ μελαγχολικῷ, τὰ δ᾽ ἀφρωδέστερα καὶ λευκανθοῦντα πτύσματα τοῦ φλεγματικοῦ πλεονεκτοῦντος γίγνεται χυμοῦ, καθάπερ γε καὶ τὰ ἐρυθρὰ τοῦ αἱματώδους. ὅτι μὲν οὖν ἐκ τῶν κενῶν τοῦ θώρακος ἀναπτύεταί τι μετὰ βηχὸς, ἐναργῶς ἔστι γνῶναι κατὰ τὰς διαθέσεις, ἐν αἷς ἔξωθεν ἔσω τὸ ἕλκος διήκει, ἤτοι συντρήσεως μὴ κολληθείσης, ἢ κατὰ ἀπόστημα μέγα κατ᾽ ἄμφω τὰ μέρη ῥαγὲν, ἢ τμηθὲν μὲν ὡς ἔξω μόνον ἀνίσχον, εὑρεθέντος δ᾽ ἐπὶ τῇ τομῇ διαβεβρωμένου τοῦ ὑπεζωκότος, ἢ καὶ διὰ σφάκελον ἐκκοπείσης πλευρᾶς, ἤτοι μὴ δυνηθέντων ἀπαθῆ φυλάξαι τὸν ὑπεζωκότα τῶν ἰατρῶν, ἢ διαβεβρωμένον ἢ διασεσηπότα πως εὑρόντων· ἐν ἁπάσαις γὰρ ταῖς τοιαύταις διαθέσεσιν, ὅταν ἐγχέωμεν εἰς τὰ κενὰ τοῦ θώρακος μελίκρατον, εὐθέως ἀναπτύεται μετὰ βηχὸς, αὐτῷ τῷ κάμνοντι διὰ

tium fanies et in asperas pulmonis arterias transfumpta, tuffiendo excreatur, qualis fit, qui inflammationem facit humor, declarans, an videlicet biliofus, an melancholicus, an pituitofus, aut fanguineus. Etenim fi bilis abundat, pallidum aut flavum; fi atra bilis, nigrum; fi pituita, fpumofum et candicans, fi fanguis, rubrum fputum rejicitur. Quod igitur tuffiendo ex thoracis fpatio aliquid expuatur, facile intelligitur per affectiones, quibus ab exterioribus ad intima pectoris ulcus penetrat, five ob vulnus penetrans non conglutinatum, five ob magnum abfceffum utrinque eruptum, vel perinde quidem diffectum, ac fi externas duntaxat partes afficeret, facta vero fectione, inventa fuccingente coftas membrana erofa, aut cofta ob cariem excifa, aut eo quod medici fuccingentem membranam, quam aut erofam, aut putrescentem quodammodo invenerint, fervare illaefam non potuerunt. In omnibus enim ejusmodi affectibus, fi aqua mulfa in thoracis fpatium infundatur, mox tuffiendo expuitur, et

διὰ τῆς γεύσεως, ὅτι μελίκρατόν ἐστι, γνωριζόμενον. [483] ὅπως δὲ γίγνεται τοῦτο, καὶ δι' ὧντινων ὁδῶν εἰς τὴν τραχεῖαν ἀρτηρίαν ἀφικνεῖται, πάρεστι σκοπεῖσθαι τῷ βουληθέντι, φυλαττομένῳ παθεῖν ὅπερ ἔπαθον ἔνιοι τῶν ἀπορηθέντων ἐν τῇ τῆς αἰτίας εὑρέσει, τάχα μὲν ἑαυτοὺς πείσαντες ἀδύνατον εἶναι τὴν ἐκ τῶν κενῶν τοῦ θώρακος εἰς τὸν πνεύμονα μετάληψιν, ἴσως δὲ καὶ προσποιησάμενοι διὰ τὸ μὴ βούλεσθαι δοκεῖν ἀπορεῖσθαι. χρὴ δ' ὅτι μὲν ἡ μετάληψις γίνεται, πεπεῖσθαι· φαίνεται γὰρ ἐναργῶς ἐπὶ τῶν συντρήσεων· ὅπως δὲ γίνεται, ζητεῖν, ἀγαπῶντας μὲν εἰ εὕροιμεν, ἄχρι δ' ἂν οὐδέπω πεπεικότες ἑαυτοὺς ὦμεν εὑρηκέναι, τὴν ἄγνοιαν ὁμολογοῦντας μᾶλλον ἢ καταψευδομένους τοῦ γιγνομένου. φαίνεται δὲ κἀπὶ τῶν ἐναίμως κολλωμένων συντρήσεων ἀναπτυόμενά τινα γνωρίσματα τοῦ ῥυέντος αἵματος ἐν ταῖς τρώσεσιν εἰς τὴν μεταξὺ θώρακός τε καὶ πνεύμονος χώραν· ἐναργὴς δ' ἐστὶ κἀπὶ τῶν ἐμπύων ἥ τ' ἐν τῇ χώρᾳ ταύτῃ τοῦ πύου σύστασις ἥ τ' ἐξ αὐτοῦ πτύσις ἅμα

laborans ipſe aquam mulſam eſſe ex ſapore deprehendit. Quo pacto autem hoc fiat, atque per quos meatus in asperam arteriam ingrediatur, perpendere cuilibet licet, modo caveat errorem illum, in quem nonnulli difficultate preſſi in cauſae inveſtigatione inciderunt, qui quidem fortaſſe ex thoracis ſpatio in pulmonem quippiam recipi impoſſibile eſſe ſibi perſuaſerunt, fortaſſis etiam ita ſe ſentire ſimulant, ne videantur de re quapiam dubitare. Caeterum credere oportet hujusmodi fieri traſſumptionem; nam per vulnera penetrantia haud obſcure apparet; deinde quo pacto ea fieri posſit inveſtigare; ita ut quum invenerimus, animo ſimus quietiori; quamdiu nihil nos inveniſſe putaverimus, ruditatem potius noſtram accuſemus, quam veritatem ipſam negemus. Atque videmus etiam conglutinatis cruentis vulneribus penetrantibus, in ſputo notas quasdam fluentis ex vulnere cruoris ad ſpatium, quod inter pulmonem eſt et thoracem; praeterea ſuppurati in hoc ipſo ſpatio pus continere et ipſum tuſſiendo expuere haud obſcure videntur; atqui rationi con-

βηχί. κατὰ δὲ τὸν αὐτὸν τρόπον εὔλογον γίγνεσθαι καὶ τὰς ἐκ τοῦ θώρακος αἵματός τε καὶ πύου πτύσεις, ἐφ᾽ ὧν Ἐρασίστρατος ζητῶν τὰς ὁδοὺς, ἀπίθανα γράφει κατὰ τὸ περὶ τῆς ἀναγωγῆς τοῦ αἵματος βιβλίον ἐν τῇδε τῇ ῥήσει· ἡ δὲ ὁδὸς ἐπὶ τὴν ἀναγωγὴν τοῖς ἀπὸ τούτων τῶν τόπων ἀναφερομένοις τοιαύτη τις γίνεται. ἀπὸ τῆς παρὰ τὴν ῥάχιν κειμένης ἀρτηρίας ἀποφύσεις εἰσὶν ἀγγείων παρ᾽ ἑκάστην πλευρὰν, ὁμοίως ἔκ τε τῶν δεξιῶν καὶ τῶν ἀριστερῶν· αὗται δ᾽ εἰς τοὺς πλησίον τόπους ἐπὶ πλεῖον σχιζόμεναι εἰς ἄδηλα τῇ (298) αἰσθήσει ἀποτελευτῶσιν. ὅταν οὖν γίγνηταί τις εἰς ταύτας τὰς ἀρτηρίας παρέμπτωσις αἵματος, κατὰ τὴν κοίλην ἀρτηρίαν ἐνίοτε λαμβάνει τὴν ἀναφορὰν ἐπὶ τοὺς περὶ τὸν πνεύμονα τόπους, καὶ κατὰ τὰς προσφύσεις, αἷς ὁ πνεύμων προσπέφυκεν τῇ ἀρτηρίᾳ κατὰ τὴν ῥάχιν· γίγνεται γάρ τις καὶ ταύτῃ τῶν παρεμπεπτωκότων ἐπάνοδος εἰς τὸν πνεύμονα· ἐκ δὲ τοῦ πνεύμονος, ὅπως εἰς τὴν ἀναγωγὴν ἐπανέρχεται, πρότερον εἴρηται. ἐν ταύτῃ τῇ ῥήσει σαφῶς ὁ Ἐρασίστρατος ἐδήλωσεν, τὰς ἀπὸ τῆς μεγάλης ἀρτηρίας ἀποπεφυκυίας εἰς ἕκαστον τῶν τοῦ θώρακος μεσοπλευρίων,

ſentaneum eſt, ut eodem modo tum cruor tum pus ex thorace expuatur, quorum viam inquirens Eraſiſtratus, incredibilia quaedam ſcripſit in eo libro cui titulus de ſanguinis eductione eſt, ſub hac verborum ſerie: *Via autem, per quam incedunt ea, quae ab iis ſedibus rejiciuntur, hujusmodi eſt. Ab arteria ſpinae adjacenti vaſa quaedam ad utrumque latus, tam dextrum quam ſiniſtrum, ſimiliter procedunt; haec in loca vicina multiplici diviſione diſperſa tandem adeo evadunt exigua, ut ſenſum lateant. Quum itaque ſanguis in hujusmodi arterias inciderit, per concavam arteriam nonnunquam ad loca quae circa pulmonem ſunt, atque ad eos nexus, per quos pulmo apud ſpinam arteriae conjungitur, aſcendit; nam ea, quae huc inciderint, hac via ad pulmonem ascendere ſolent; quomodo ex pulmone deinde rejiciantur, antea dictum eſt.* In his verbis manifeſte declaravit Eraſiſtratus, eas arterias quae a magna arteria ad ſingula intercoſtalia thoracis loca procedunt, per

Ed. Chart. VII. [483.] Ed. Baf. III. (298.)

ὑποδεξαμένας αἷμα διὰ τῶν καθηκόντων στομάτων εἰς τὸ φλεγμαῖνον μέρος, ἐπὶ τὴν μεγάλην ἀρτηρίαν ἀναφέρειν αὐτὸ, τὴν ἀπὸ καρδίας μὲν ἐκπεφυκυῖαν, ἐπιτεταμένην δὲ τῇ ῥάχει· πάλιν δ᾽ ἀπ᾽ αὐτῆς εἰς τοὺς περὶ τὸν πνεύμονα τόπους φησὶ γίγνεσθαι τὴν ἀναφορὰν, οὐκέτι προσθεὶς ὅπως γίγνεται καὶ διὰ τίνων ὁδῶν, ἀλλ᾽ ἐφεξῆς γράψας, καὶ κατὰ τὰς προσφύσεις, αἷς ὁ πνεύμων προσπέφυκεν τῇ ἀρτηρίᾳ κατὰ τὴν ῥάχιν· γίγνεται γάρ τίς, φησι, καὶ ταύτῃ τῶν παρεμπεπτωκότων ἐπάνοδος εἰς τὸν πνεύμονα· ὅπως δὲ γίγνεται καὶ κατὰ τίνας συμφύσεις, οὐκέτι οὐδ᾽ ἐνταῦθα προσέθηκεν. μένει τοίνυν ἔτι τὸ ζητούμενον, οὐδὲν εἰπόντος εἰς αὐτὸ σαφὲς τοῦ Ἐρασιστράτου, καίτοι σαφῶς ἑρμηνεύειν προηρημένου κατά τε τἄλλα πάντα συγγράμματα καὶ κατὰ τοῦτ᾽ αὐτὸ, τὸ περὶ τῆς τοῦ αἵματος ἀναγωγῆς. διὸ καὶ μᾶλλον ἄν τις ἡγήσαιτο, μοχθηρὸν εἶναι τὸν λόγον, ὑποπτευθέντα καὶ αὐτῷ τῷ Ἐρασιστράτῳ τοιοῦτον ὑπάρχειν· ἑκὼν γ᾽ οὖν φαίνεται λέξεσιν ἀσαφέσιν κεχρῆσθαι, χάριν τοῦ δόξαι τι λέγειν, καίτοι λέγων

ora, quae ad inflammatam partem perveniunt, fanguinem fuscipere, ipfumque ad magnam arteriam, quae a corde orta per fpinam extenditur, referre; atque ab hac rurfus ad ea loca, quae circa pulmonem funt, tranfitum ait fieri; fed neque modum, quo hujusmodi tranfitus fiat, neque viam explicavit, verum deinceps fcribit: *atque per eos nexus, per quos pulmo arteriae circa fpinam adhaeret; fit enim,* inquit, *hac quoque via eorum quae inciderunt in pulmonem afcenfus;* at quomodo et per quae conceptacula, nondum hic appofuit. Proinde manet adhuc eadem quaeftio, nihil plane ad ipfam diffolvendam afferente Erafiftrato, quamvis et in caeteris libris omnibus et in hoc ipfo de fanguinis eductione perfpicuam pollicitus fuerit interpretationem. Quocirca multo magis vitiofum quispiam hujusmodi fermonem reputaverit, utpote qui ipfi quoque Erafiftrato fuerit fufpectus. Videtur itaque ex induftria voluiffe obfcuris uti fermonibus, ut aliquid dixiffe videretur, quum nihil diceret; nam in loco ipfo, de quo quaerebatur, enar-

μηδέν· ἐν αὐτῷ γὰρ τῷ τόπῳ τῷ ζητουμένῳ κατέλιπε τὴν διήγησιν, ὅπως μὲν εἰς τὴν μεγάλην ἀρτηρίαν ἐκ τῶν πλευρῶν ἀφικνεῖται τὸ αἷμα, σαφῶς εἰπὼν, ὅπως δὲ πάλιν ἀπὸ ταύτης εἰς τοὺς περὶ τὸν πνεύμονα τόπους, ὡς αὐτὸς εἶπεν, οὐκέτι προσθείς. ἀλλὰ καὶ κατ᾽ αὐτὸ τοῦτο τὸ φάναι, τοὺς περὶ τὸν πνεύμονα τόπους, ἐνὸν εἰπεῖν τὸν πνεύ[484]μονα, δῆλός ἐστιν ἑκὼν ἐπιταράττων τὸν λόγον. καὶ τοῦτο μὲν ἐφεξῆς ἐδήλωσεν εἰπών· ἐκ δὲ τοῦ πνεύμονος ὅπως εἰς τὴν ἀναγωγὴν ἐπανέρχεται, πρότερον εἴρηται· ὡς γὰρ εἰς τὸν πνεύμονα φερομένου παρὰ τῆς μεγάλης ἀρτηρίας αἵματος, οὕτω φαίνεται περὶ τῆς ἐντεῦθεν ἀναγωγῆς ἀναμιμνήσκων ἡμᾶς ὅπως γίνεται. ὅτι μὲν οὖν πρότερον εἴρηται περὶ τῆς ἐκ τοῦ πνεύμονος ἀναπτύσεως, ἐπιστάμεθα, καὶ μέντοι καὶ ὅτι σαφῶς εἴρηται, μαρτυροῦμεν· εὐξαίμεθα δ᾽ ἂν ὁμοίως εἰρῆσθαι καὶ περὶ τῆς εἰς τὸν πνεύμονα μεταλήψεως ἐκ τῆς μεγάλης ἀρτηρίας· ὥσπερ κἀπειδὰν εἴπῃ, καὶ κατὰ τὰς προσφύσεις, αἷς ὁ πνεύμων προσπέφυκε τῇ ἀρτηρίᾳ κατὰ τὴν ῥάχιν, γίνεσθαι τὴν ἐπὶ τὸν πνεύμονα φορὰν τοῦ αἵματος.

rationem reliquit, ut qui, quo pacto quidem ſanguis ex lateribus ad magnam arteriam perveniat, maniſeſte declaraverit; at quo pacto rurſus ab hac ad eas ſedes, quae circa pulmonem ſunt, ut ipſe dicebat, aſcendat, haudquaquam exposuerit. Conſtat autem et ex eo, quod dixit, *loca quae circa pulmonem ſunt,* quum dicere pulmonem potuiſſet, eum haud invitum ſermonis obſcuritatem aſſectaſſe; id quod poſtea declaravit, dicens: *ex pulmone autem quomodo ad eductionem aſcendat, jam antea dictum eſt.* Perinde enim ac ſi in pulmonem ex magna arteria ſanguis deferatur, quomodo inde rejiciatur, velle nos admonere videtur. Quod vero de expuitione quae ex pulmone ſit, prius dictum ſit, non ignoramus, ac perſpicuam fuiſſe narrationem teſtiſicamur; verum optaremus, ut de ea, quae ex magna arteria in pulmonem ſit, transſumptione dixiſſet, quemadmodum, quum inquit, per eos quoque nexus, per quos pulmo arteriae apud ſpinam conjungitur, fieri circa pulmonem ſangui-

οὐδὲ γὰρ ἐνταῦθα τίνας λέγει προσφύσεις ἐδήλωσεν. καὶ γὰρ ἐὰν δἰ ὑμένων ἢ τινων ἰνωδῶν σωμάτων γίγνονται, πλέον οὐδὲν ὡς πρὸς τὴν τοῦ περιεχομένου κατὰ τὴν μεγάλην ἀρτηρίαν αἵματος εἰς τὸν πνεύμονα φοράν· ἐκφύεσθαι γάρ τινα δεῖ τῆς ἀρτηρίας ἀγγεῖα, δἰ ὧν εἰς τὸν πνεύμονα παραγενήσεται τὸ αἷμα, καθάπερ οἱ Ἐρασιστράτειοι λέγουσι διὰ τῆς ἀρτηρίας γίγνεσθαι τοῦτο τῆς ὑποβεβλημένης τῷ πνεύμονι· φαίνεται γὰρ αὐτῆς ἀμυδρὰ πέρατα πρὸς τὴν τραχεῖαν ἀρτηρίαν περαίνοντα, τὴν δ᾽ ἔκφυσιν ἀπὸ τῆς μεγάλης ἀρτηρίας αὐτὴ λαμβάνει πρὶν ἐπιβῆναι τῇ ῥάχει. καί τινα λόγον διττὸν ἀπ᾽ αὐτῆς τῆς ἀρτηρίας οἱ Ἐρασιστράτειοι πορίζονται, βοηθοῦντες αὐτῷ, νῦν μὲν εἰς τὴν ἀπὸ τοῦ θώρακος ἀναγωγὴν τοῦ αἵματος, ἑτέρωθι δ᾽ εἰς γένεσιν φλεγμονῆς ἐν τῷ πνεύμονι· καὶ γὰρ καὶ περὶ ταύτης αὐτοῖς οἱ ἑτερόδοξοι προὔβαλον, ὡς ἀδυνάτου γίγνεσθαι κατὰ τὰς Ἐρασιστράτου ὑποθέσεις. αὐτὸς γὰρ ἐν τῷ διδάσκειν ὅπως γίνεται φλεγμονὴ, τὸ παρεμπῖπτον εἰς τὰς ἀρτηρίας αἷμα βούλεται τῷ παρὰ τῆς καρδίας φερομένῳ πνεύματι συντυγχάνον ἀναστέλ-

nis rejectionem; neque enim hic, quos nexus dicat, declaravit. Etenim ſi per membranas, vel per fibroſa quaedam corpora fiant, ad ſanguinis magna contenti arteria in pulmones delationem nihil conferunt; quippe neceſſe eſt ex arteria oriri vaſa quaedam, per quae ſanguis in pulmonem transferatur, quemadmodum Eraſiſtrati ſecta hoc ipſum per arteriam pulmoni ſubſtratam fieri autumat. Hujus enim arteriae extremae partes exiguae ad asperam arteriam transire videntur; atqui ipſa quoque ex magna arteria, antequam ad ſpinam perveniat, initium ſumit. At duplici quadam ratione Eraſiſtrato ab hac arteria auxilium ſuppeditare conantur ſectae ipſius profeſſores, in praeſentia quidem ad ſanguinis ex thorace eductionem, alibi vero ad inflammationis in pulmone generationem; etenim hanc quoque objiciunt eis, qui aliter ſentiunt, ut quod eam ut Eraſiſtratus ſuppoſuit, fieri ſit impoſſibile. Ipſe namque ubi docet, quomodo fiat inflammatio, vult incidentem in arterias ſanguinem ſpiritui qui a corde defertur obvium ad extremas arteriarum par-

λεσθαί τε καὶ συνελαύνεσθαι πρὸς τὰ πέρατα τῶν ἀρτηριῶν, πλὴν εἴποτέ τινες ἀρτηρίαι τρωθεῖσαι, κενωθέντος ἐξ αὐτῶν κατὰ τὸ τραῦμα τοῦ πνεύματος, ἐκ τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας διαδέξονται τὸ αἷμα. κατὰ τοῦτον οὖν τὸν λόγον οὐκ ἂν γενέσθαι φασὶ φλεγμονὴν ἐν ταῖς τοῦ πνεύμονος ἀρτηρίαις· εἰ γὰρ καὶ παρεμπέσοι ποτ᾽ αὐταῖς αἷμα, μηδεμίαν ἀπάντησιν αὐτῷ πρὸς τὸ πνεῦμα γίγνεσθαι. κατὰ γάρτοι μόνας τὰς τοῦ πνεύμονος ἀρτηρίας οὐ βούλεται παρὰ τῆς καρδίας φέρεσθαι τὸ πνεῦμα, καθάπερ εἰς τὰς ἄλλας ἁπάσας, ἀλλ᾽ ἔμπαλιν αὐτὰς χορηγεῖν τῇ καρδίᾳ τοῦ πνεύματος, ὃ διὰ τῆς εἰσπνοῆς τῶν τραχειῶν ἀρτηριῶν αἱ λεῖαι μεταλαμβάνουσιν. τὴν οὖν ἀρτηρίαν ταύτην τὴν ἀπὸ τῆς κατὰ τὴν ῥάχιν ἀρτηρίας μεγάλης εἰς τὸν πνεύμονα φερομένην φασὶ τήν τε φλεγμονὴν ὑπομένειν κατὰ τὰ πέρατα καὶ τὴν ἐκ τοῦ θώρακος ἀναγωγὴν ἐργάζεσθαι τοῦ αἵματος. ἀλλὰ τὸν μὲν περὶ τῆς φλεγμονῆς λόγον οὐ νῦν πρόκειται σκοπεῖν· ἡ δὲ μετάληψις τοῦ αἵματος, ἣν ἐκ τῆς μεγάλης ἀρτηρίας εἰς τὸν πνεύμονα γίγνεσθαί φασιν, οὐκ ὀρθῶς φαίνεται λεγομένη. πρῶτον μὲν γὰρ εἰς μεγάλην ἀρτηρίαν ἐκ τῶν μεσοπλευρίων ἀδύνατον

tes repelli et compelli, nifi ubi vulneratae aliquando quaedam arteriae, vacuato ex ipfis per vulnus fpiritu, ex ea quae ad vacuatum *fpiritum* fit fequela, fanguinem fuscipiant. Hac itaque ratione non poffe fieri inflammationem in pulmonis arteriis dicunt; nam etfi aliquando fanguis in eas inciderit, nulli ipfum fpiritui occurrere, quod in folas pulmonis arterias nullum a corde ferri fpiritum contendat, ut in reliquas omnes, verum e contrario ipfas cordi fpiritum fuppeditare, quem per infpirationem ab asperis laeves arteriae fuscipiunt. Hanc igitur arteriam, quae a majori arteria fpinae incumbente in pulmonem fertur, inflammationem in extremis partibus fuftinere, atque fanguinis e thorace eductionem efficere dicunt. Sed inflammationis rationem hoc in loco tractare non propofuimus. Verum quam ex magna arteria in pulmonem fanguinis transfumptionem fieri dicunt, haud recte dici videtur. Primum enim fanguinem ex intercoftalibus locis in magnam arteriam transferri im-

ἐνεχθῆναι τὸ αἷμα, παλινδρομήσει γὰρ αὐτίκα συνελαυνόμενον ὑπὸ τοῦ πνεύματος, ὃ παρὰ τῆς καρδίας διὰ τῆς μεγάλης ἀρτηρίας εἰς ταύτας ἐπιπέμπεται· ἔπειτα δ' εἰ καὶ συγχωρηθείη τοῦτο γίγνεσθαι, καὶ θείημεν εἰς τὴν μεγάλην ἀρτηρίαν αὐτὸ φέρεσθαι, μείζονος ἀτόπου καταλαμβάνοντος τὸν λόγον, ἐξ αὐτῶν τῶν Ἐρασιστρατείων ὑποθέσεων. βούλεται γὰρ εἰς τὴν ἀρτηρίαν ταύτην ἐνθλιβόμενον ὑπὸ τῆς καρδίας τὸ πνεῦμα, διασῶζον τῆς βολῆς τὴν ῥύμην, εἰς ὅλον φέρεσθαι τὸ σῶμα διὰ τῶν ἀπ' ἐκείνης πεφυκυιῶν ἀρτηριῶν· [485] ὡς κατὰ μίαν ἔνθλιψιν τῆς ἀρτηρίας ἐξικνεῖσθαι μέχρι τῶν κατὰ τοὺς πόδας ἄκρων τὴν φορὰν τοῦ πνεύματος, ὑπὲρ τοὺς σφοδροτάτους ἀνέμους τὸ τῆς φορᾶς τάχος εἶναι βουλόμενος. οὔκουν ἐγχωρεῖ τὴν τοσαύτην σφοδρότητα μὴ οὐκ εὐθέως ὠθεῖν τὸ κατὰ τὴν μεγάλην ἀρτηρίαν αἷμα πανταχόσε τοῦ σώματος· οἱ δ' εἰς μίαν ἀρτηρίαν αὐτὸ συνελαύνουσι τῷ λόγῳ, τὴν εἰς τὸν πνεύμονα φερομένην, ὥσπερ νοῦν ἔχον ἐπιστάμενόν τε, δι' ἧς ὁδοῦ κενωθήσεται ῥᾷστα. μάχεται δ' αὖ πάλιν αὐτὸ τοῦτο τῷ νῦν ἐνεστῶτι λόγῳ, κενοῦσθαι τάχιστα συγχωροῦντι τὸ αἷμα διὰ τῆς τραχείας ἀρτηρίας. εἰ γὰρ

poffibile eft; nam a fpiritu, qui a corde per magnam arteriam ad haec loca transmittitur, repulfus, illico revertetur; deinde vero fi concefferimus ita fieri, ac demus in magnam ipfum arteriam deferri, multo abfurdior ex Erafiftraticae fectae fundamentis fermo evadet. Etenim fpiritum, fervantem incurfionis impetum, a corde in hanc arteriam expreffum, ad totum deferri corpus per ortas ab ipfo arterias autumat; ita ut ex una arteriae compreffione fpiritus delatio ad extremas usque pedum partes perveniat, a delationis celeritate vehementiffimos ventos fuperari putans. Quod igitur tanta vehementia fanguinem in magna arteria contentum ad quamlibet corporis partem non ftatim impellat, impoffibile eft. Hi vero ipfum in unam arteriam, quae in pulmonem fertur, fermone compellunt, ac fi mentem habeat fciatque, qua via facillime fit evacuandus. Id ipfum vero rurfus pugnat cum praefenti fermone, qui fanguinem quam celerrime vacuari per asperam arteriam concedit. Nam fi

οὕτως ἐστὶν εὐρέα τὰ πέρατα τῶν ἀρτηριῶν τούτων, ὡς τὸ παρεμπεσὸν εἰς αὐτὰ αἷμα ταχίστην ἴσχειν τὴν κένωσιν, οὐκ ἐνδέχεται σφηνωθὲν αὐτὸ φλεγμονὴν ἐργάσασθαι· τὸ γὰρ σφηνοῦσθαι τῷ διεκπίπτειν ἐναντίον ἐστί. θαυμάσαι δὲ ἔστιν ἔτι μᾶλλον, ὅπως ἐφεξῆς γράφων αὐτὸς Ἐρασίστρατος ἐπιμελέστατα περὶ τῆς τοῦ πύου κενώσεως, ἥν τ᾽ ἐν τοῖς πλευριτικοῖς πάθεσιν, ἥν τ᾽ ἐν τοῖς ἐμπυήμασιν ἴσχει, τὴν μάχην οὐ σύνοιδεν, ἣν ἡμῖν καὶ ἅπασι τοῖς ἄλλοις ἀνθρώποις οἱ δύο λόγοι πρὸς ἀλλήλους ἔχειν φαίνονται. γνωσθήσονται δ᾽ ἐναργῶς, παραγραφείσης αὐτοῦ τῆς ῥήσεως, ἐχούσης κατὰ λέξιν οὕτως· ἐν δὲ τοῖς (299) αὐτοῖς τούτοις πάθεσι πύου ἀνακάθαρσις ἐνίοτε πολλοῦ γίνεται· ἡ δ᾽ αἰτία τούτου παρὰ τὴν φύσιν τῶν ἀγγείων γίνεται· ἐπιλογισμὸς δ᾽ αὐτῶν ὅδε, ἐκ τῆς καρδίας ἀπόφυσις φλεβὸς εὐμεγέθης κεῖται παρὰ τὴν ῥάχιν, ἀποτελευτῶσα καθ᾽ ὃν τόπον αἱ φρένες ἐκ τῶν σπονδύλων ἐκπεφύκασιν· ἀπὸ δὲ ταύτης αἱ παρὰ τὰς πλευρὰς τείνουσαι καὶ ταῖς ἀρτηρίαις παρακείμεναι φλέβες τὴν ἀπόφυσιν ἔχουσιν. ὅταν οὖν ἕλκωσις ἐν τοῖς τόποις τούτοις

tam facilis eſt per extremas harum arteriarum partes tranſitus, ut incidens in eas ſanguis celerrimam habeat vacuationem, fieri non poteſt ut is impactus inflammationem excitet; nam impingi et excidere inter ſe ſunt contraria. Id vero multo majori admiratione dignum eſt, quod quum Eraſiſtratus quam diligentiſſime deinceps de puris vacuatione conſcribat, ſive in pleuriticis, ſive in ſuppuratis fiat, ipſe pugnam hanc, qua duo ejus verba tum nobis tum reliquis hominibus omnibus inter ſe certare videntur, non intellexerit. Ea facile deprehendetur aſcripto ejus textu, ad verbum ſic ſe habente: *Atque in his ipſis affectibus multi interdum puris expurgatio ſit; hujus cauſa vaſorum natura eſt; brevis autem horum enumeratio haec eſt. Ingens venae ex corde proceſſus incumbit ſpinae, ad quem locum a vertebris ſeptum transverſum nascitur finem accipiens; ab hoc vero venae, quae ad latera extenduntur atque arteriis adjacent, exortum habent. Igitur quum ulcus vel*

Ed. Chart. VII. [485.] Ed. Baf. III. (299.)
ἢ ἀπόστημα γένηται, πλείονος πύου συναγωγὴν ποιούμενον, εἰς μὲν τὸ μεταξὺ τοῦ πνεύμονος καὶ τῶν πλευρῶν οὐ ῥᾳδίως τὴν ἔκχυσιν λαμβάνει, διὰ τὸ τὸν ὑμένα ὑπεζωκότα τὰς πλευρὰς νευρώδη τε καὶ ἰσχυρὸν καὶ δυσδιαίρετον εἶναι· συῤῥήγνυται δ᾽ εἰς τὰ ἐντὸς ἀγγεῖα τοῦ ὑμένος κείμενα. λεπτοτέρας δὲ καὶ ἀσθενεστέρας οὔσης τῆς φλεβὸς ἢ τῆς ἀρτηρίας, πρότερα ταῦτα τὰ ἀγγεῖα τῶν περὶ τὰς ἀρτηρίας διαιρεῖται· κατὰ δὲ τὰς διαιρέσεις ἡ ἀνάχυσις τοῦ πύου εἰς τὰς φλέβας γίνεται. ἐπὶ μὲν οὖν τοὺς κάτω τόπους οὐ γίνεται τοῦ πύου διέξοδος, διὰ τὸ μὴ διϊκνεῖσθαι τὴν φύσιν τῶν φλεβῶν, ἀλλὰ τὴν ἀποτελεύτησιν ἔχειν, καθάπερ εἴρηται, κατὰ τὴν ἔκφυσιν τοῦ διαφράγματος· πληρουμένων δὲ ἀεὶ τῶν συνεχῶν τόπων, τὴν ἐπάνοδον λαμβάνειν ἀναγκαῖον εἰς τοὺς ἐπάνω τόπους. ἐπινοεῖν οὖν δεῖ τὴν γινομένην κατὰ τὴν ἀναπνοὴν τοῦ πνεύμονος ἐνέργειαν, καὶ τὴν ὁλκήν τε καὶ δίωσιν τοῦ πνεύματός τε καὶ τῶν ὑγρῶν, καὶ ὅτι κατὰ τοῦτον τὸν τρόπον ἡ τοῦ πύου ἐπάνοδος ἀπὸ τῶν πλευρῶν εἰς τὸν πνεύμονα γίνεται· ἡ δ᾽ ἐκ τοῦ πνεύμονος ἀναγωγὴ ὃν τρόπον γίνεται, πρότερον εἴρηται. ἐν ταύτῃ τῇ ῥήσει τὸ μὲν

abfceffus his in locis oboritur, copiofioris puris collectionem moliens, id quidem haud facile ad fpatium, quod inter latera et pulmonem eft, effundi poteft, quod fuccingens coftas membrana nervofa fit et fortis ac dividi contumax; proinde erumpit ad vafa membranae intrinfecus fubjecta. Quum itaque tenuior ac imbecillior vena fit quam arteria, haec vafa prius dividuntur quam ipfae arteriae; atque per has divifiones puris fit in venas refufio. Per inferiores igitur fedes puris haud datur exitus, quod ad eas venarum natura non perveniat, fed finem fortiatur, ut dictum eft, circa fepti transverfi exortum; quum femper autem continuae fedes repleantur, ut per fuperiores meatus exitum capiat, neceffe eft. Perpendenda igitur eft actio pulmonis in refpiratione, atque tum fpiritus tum humorum et attractio et expulfio et quod eodem modo puris a coftis ad pulmonem fiat afcenfus; fed quo modo a pulmone fiat eductio, antea dictum eft. In hoc textu quod pus in venas

μὴ δύνασθαι κατωτέρω τοῦ διαφράγματος ἀφικέσθαι τὸ μεταληφθὲν εἰς τὰς φλέβας πῦον, ἀληθῶς εἴρηται τῷ Ἐρασιστράτῳ, τῆς γε τὰς κάτω τοῦ θώρακος ὀκτὼ πλευρὰς, οὐ γὰρ δὴ πάσας γε, τρεφούσης φλεβὸς, ἄχρι τοῦ διαφράγματος ἐρχομένης· οὐ γὰρ χρὴ μικρολογεῖσθαι νῦν, εἰ διεκπίπτει τι μέρος αὐτῆς μικρόν· ὅπως δὲ ἀναπτύεται τὸ πῦον τοῦτο, τὴν ἀρχὴν οὐδ' ἐπεχείρησεν εἰπεῖν, ὥσπερ οὐδὲ τῶν ἀπ' αὐτοῦ τις. οὐ γὰρ δὴ ὥσπερ ἀρτηρίαν τινά φασιν ἀπὸ τῆς μεγάλης ἀποσχιζομένην ἐπὶ τὸν πνεύμονα φέρεσθαι, κατὰ τὸν αὐτὸν ἔχουσι λόγον ἀποφαίνεσθαί τι περὶ τῆς φλεβός· ἡ μὲν γὰρ ἀρτηρία φαίνεται, κἂν εἰ μὴ καταςχιζομένη σαφῶς εἰς τὸ σπλάγχνον, ἀλλ' ὑποβεβλημένη γ' αὐτῷ, καὶ μέχρι τῆς τραχείας ἀρτηρίας ἀποφύσεις πέμπουσα· φλέβα δ' οὐδεμίαν [486] οὔθ' ἡμεῖς εἴδομεν οὔτ' ἄλλός τις τῶν ἀνατομικῶν ἔγραψεν οὔτ' αὐτὸς ὁ Ἐρασίστρατος ἐτόλμησεν εἰπεῖν, ἐπὶ τὸν πνεύμονα φέρεσθαι ἀπὸ τῆς ἐπὶ τῇ ῥάχει μεγάλης φλεβός· ὡμολόγηται γὰρ ὑπὸ πάντων ἐκ τῆς δεξιᾶς κοιλίας τῆς καρδίας ὁ πνεύμων αἷμα λαμβάνειν δι' ἑνὸς ἀγγείου μόνου. δεήσει τοί-

tranffumptum non poffit ad loca fepto transverfo inferiora pervenire, recte ab Erafiftrato dictum eft, utpote vena, quae octo inferioribus thoracis coftis alimentum praebet, non enim omnes alit, ad usque feptum transverfum perveniente; neque enim in praefentia contendere velim, an exigua aliqua ejus portio inde exiliat. At quomodo hujusmodi pus expuatur, neutiquam dicere aggreffus eft, quemadmodum nec fectatorum ejus quispiam. Non enim quemadmodum arteriam quandam a magna propagatam in pulmonem ferri affirmant, eadem ratione de vena fententiam tulerint. Etenim arteria, tametfi non manifefte in viscus ipfum ramis diftribuitur; ei tamen fubfterni, atque ad asperam usque arteriam ramusculos emittere videtur; verum a magna vena, quae fpinae incumbit, venam in pulmonem ferri neque nos unquam vidimus, neque diffectorum quisquam fcripfit, ac ne Erafiftratus quidem ipfe affirmare aufus eft; nam ab omnibus conceditur a dextro cordis ventriculo per unum duntaxat vas pulmonem fanguinem recipere. Oportebit igitur pus,

νυν γε τὸ παραγιγνόμενον ἐκ τῶν πλευρῶν πῦον εἰς τὴν κατὰ ῥάχιν φλέβα πρότερον μὲν ἐπὶ τὴν καρδίαν ἀφικέσθαι, δεύτερον δὲ εἰς τὴν φλέβα τὴν ἀπ᾽ αὐτῆς εἰς τὸν πνεύμονα φερομένην, εἶτα τὸ τρίτον ἐκ ταύτης εἰς τὰς ἐν ἐκείνῳ τραχείας ἀρτηρίας μεταληφθῆναι, καὶ μετὰ ταῦτα βηχὸς δεηθῆναι δηλονότι τῆς εἰς τὸ στόμα δυνησομένης ἀνάξειν αὐτό. κατὰ τίνα μὲν τρόπον ἡ τοῦ μιχθέντος πύου τῷ αἵματι διάκρισις ἀπ᾽ αὐτοῦ γίνεται, παρέλιπεν εἰπεῖν, ὥσπέρ τι μικρὸν ὂν τοῦτο καὶ τὸ τυχὸν ὑπερβὰς, ἀλλ᾽ οὐκ αὐτὸ μάλιστα τὸ συνέχον ὅλον αὐτοῦ τὸν λόγον. οὐδὲ γὰρ τοῦτ᾽ ἔστιν εἰπεῖν, ὡς τὸ περιεχόμενον αἷμα κατὰ τὴν ἐν τῇ ῥάχει φλέβα πρὸς τὴν καρδίαν ἀναφέρεσθαι πέφυκεν· αὐτὸ γάρ τοι τοὐναντίον ἐστὶν εἰπεῖν, τὸ ἀπὸ τοῦ κατὰ τὴν καρδίαν ὠτὸς τοῦ δεξιοῦ τὴν φλέβα ταύτην ἀρχομένην ἅμα ἑαυτῆς κομίζειν αἷμα, τὰ κατὰ τὰς ὀκτὼ πλευρὰς μόρια πάντα τοῦ θώρακος θρέψον· οὐ γὰρ δὴ τά γε κατὰ τὰς ὑψηλὰς αὐτοῦ τέτταρας, αἱ γὰρ ἐκεῖνα τρέφουσαι φλέβες ἀπὸ τῆς εἰς τὰς σφαγὰς ἀναφερομένης πεφύκασιν ἐν τῷ μεταξὺ τόπῳ καρδίας τε καὶ κλειδῶν· ὥστε καὶ τοῦτ᾽ ἄτοπον ἱκανῶς ἕπεται τοῖς Ἐρασιστράτου λόγοις·

quod a coſtis in venam ſpinae adjacentem fertur, primum quidem ad cor pervenire; deinde ad venam quae ab hoc orta in pulmonem tranſit; poſtea tertio ex hac in asperas illius arterias tranſſumi; poſtremo tuſſi indigere, quae ipſum ſcilicet usque ad os efferre poſſit. Quo autem pacto puris ſanguini permixti ab ipſo fiat ſecretio, tanquam exiguum quippiam ac vulgare, non quod univerſam ipſius rationem ſirmet maxime, praeteriens dicere neglexit. Nequaquam enim id dicendum eſt, quod ſanguis in vena quae circa ſpinam eſt, contentus, ad cor ipſum referri ſoleat; nam e contrario vena haec a dextra cordis auricula initium ſumens, ſanguinem ſecum defert, qui omnibus thoracis partibus quae circa octo coſtas conſiſtunt, alimentum praebeat, non autem illis, qui ſunt circa ſuperiores ipſius quatuor; nam venae, quae eas partes nutriunt, a vena ad jugulum ascendente, medio inter cor et claviculas loco, exoriuntur; ut hoc quoque non minus abſurdum ad Eraſiſtrati verba ſequa-

Ed. Chart. VII. [486.] Ed. Baf. III. (290.)

τὸ γὰρ ἀπὸ τῶν ὑψηλῶν τοῦ θώρακος τεττάρων πλευρῶν πῦον ἀναφερόμενον εἰς τὴν κοίλην φλέβα μάλιστα μὲν ἐπὶ τὰς κατὰ τὸν τράχηλον ὠμοπλάτας τε καὶ κεφαλὴν καὶ χεῖρας ἀφικνουμένας φλέβας, ἤδη δὲ καὶ τὰς καθ᾽ ὅλον τὸ ζῶον, ἐνεχθήσεται. ταῦτά τε οὖν ἄτοπα τοῖς ὑπ᾽ Ἐρασιστράτου γεγραμμένοις ἕπεται καὶ πρὸς τούτοις ἔτι τὸ παραλελειμμένον ὑπ᾽ αὐτοῦ κατὰ τὸν λογισμὸν τῆς αἰτίας· εἰπὼν γὰρ, εἰς τὸ μεταξὺ πνεύμονός τε καὶ τῶν πλευρῶν οὐ ῥᾳδίως ἔκχυσιν λαμβάνειν τὸ πῦον, διὰ τὸ τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα νευρώδη τε καὶ ἰσχυρὸν καὶ δυσδιαίρετον εἶναι, τὸ μὲν ἐκχεῖσθαί ποτε πῦον εἰς τὴν χώραν ταύτην οὐκ ἠρνήσατο, προσέθηκε δὲ τῷ λόγῳ τὸ μὴ ῥᾳδίως. ἐχρῆν οὖν καὶ τούτου τοῦ μὴ ῥᾳδίως μὲν, ὅμως δ᾽ οὖν γινομένου ποτὲ, τὸν λογισμὸν ἀποδοῦναι, διδάξαντα τὰς ὁδοὺς αἷς χρώμενον τὸ πῦον ἐπὶ τῶν ἐμπυϊκῶν ἀναπτύεται. καθάπερ γὰρ ἀπολλυμένους εἴδομεν οὐκ ὀλίγους τῶν οὕτως ἐχόντων, οὕτω καὶ σωθέντας ἑτέρους πολλοὺς, ἐφ᾽ ὧν εἴ τις ἤθροιζε τὸ καθ᾽ ἑκάστην ἡμέραν ἀναβηττόμενον πῦον, ἐνίοτε μὲν ἓξ ἢ ὀκτὼ κοτυλῶν, ἐνίοτε δὲ καὶ δέκα, ἐνίοτε δὲ καὶ πλειόνων ἂν εὑρέθη

tur; nam pus, quod a fupernis quatuor thoracis coftis in cavam venam refertur, maxime quidem ad eas venas ducetur quae ad cervicem et fcapulas et caput et manus, imo potius ad univerfas animalis partes perveniunt. Haec igitur abfurda ad Erafiftrati fcripta fequi videntur; accedit ad haec quod caufam in hac perpenfione penitus non attigit; dicens enim *non facile pus effundi in fpatium quod inter coftas eft et pulmonem, quia fuccingens coftas membrana nervofa eft et fortis atque dividi contumax,* pus aliquando in hoc fpatium effundi non negavit, fed verbis fuis *non facile* addidit. Oportebat igitur hujusce rei, quae non facile quidem fit, fed aliquando tamen fit, rationem reddere, docentem vias quibus fuppurati pus expuere poffint. Ut enim ex ita affectis non paucos perire, ita et alios complures fervari vidimus; quorum fi quis per fingulos dies rejecti puris quantitatem collegerit, interdum fex aut octo heminas, interdum etiam decem, atque interdum plures, totam fummam ae-

τὸ σύμπαν κεφάλαιον. ἀλλ᾽ ὅπερ ἀεὶ λέγειν εἴωθα, καὶ νῦν ἐρῶ· πολλοὶ τῶν ἰατρῶν ἐναργῶς ὁρωμένων πραγμάτων ἀδυνατοῦντες εἰπεῖν τὰς αἰτίας, οὐδ᾽ εἶναί φασιν αὐτὰ, καίτοι, ὡς ἔφην, ἁπάντων τῶν συντετρημένων τὸν θώρακα τὸ διὰ τοῦ τραύματος ἐνιέμενον μελίκρατον εὐθέως ἀναβηττόντων· ἀλλὰ καὶ διὰ τῆς ἐναίμου τε καὶ κολλητικῆς ὀνομαζομένης ἀγωγῆς, οὐκ ὀλίγων συντρήσεων θεραπευομένων, ἀναπτύουσιν ἔνιοι πυώδες ἐν ταῖς πρώταις ἡμέραις, ὅτ᾽ ἂν μὴ καλῶς μηδ᾽ ἀκριβῶς ἅπαν ἐκχυθῇ τὸ αἷμα διὰ τοῦ τραύματος, ἐν τῷ κατασείεσθαι τὸν οὕτω τετρωμένον ἄνθρωπον. ἀλλ᾽ ὁ τὰς πλευρὰς ὑπεζωκὼς ὑμὴν ἰσχυρὸς καὶ νευρώδης ἐστὶν καὶ δυσδιαίρετος· εἰ βούλει δὲ, πρόσθες τῷ λόγῳ καὶ τὸν ἀμφιεννύντα τὸν πνεύμονα, τὴν αὐτὴν ἔχοντα φύσιν αὐτῷ· καὶ διὰ τοῦτο τὴν εἰς τὰ κενὰ τοῦ θώρακος ἔκχυσιν τῶν ὑγρῶν ὁ μὲν οὐ μεθίησιν, ὁ δ᾽ οὐ μεταλαμβάνει. λέγε τοίνυν [487] καὶ τὸ δέρμα πολὺ τῶν ὑμένων τούτων ἰσχυρότερόν τε καὶ παχύτερον ὑπάρχον, ἐν ταῖς τῶν καταγμάτων πωρώσεσι μή ποτ᾽ ἐπιτρέπειν ἔξω φέρεσθαι δι᾽ ἑαυτοῦ τὸν αἱματώδη

quare inveniet. Verum quod creberrime dicere confuevi, nunc quoque dicam; multi medici rerum, quae manifefte confpiciuntur, caufas reddere nequeuntes, eas effe omnino negant; quanquam, ut dixi, omnes in thorace vulnerati injectam per vulnus aquam mulfam illico per tuffim expuunt; imo nonnulli etiam remedio cruentis apto et glutinante nominato, haud paucis perforationibus curati, primis quidem diebus purulenta quaedam expuunt, quum haud probe, neque exquifite univerfus fanguis per vulnus, concutiendo hominem fic vulneratum, fuerit effufus. At membrana coftas fuccingens et valida eft et nervofa ac dividi contumax; fi voles, adde fermoni etiam membranam pulmonem ambientem, quae eandem cum illa naturam habet; proindeque humores in vacua thoracis effufos haec non transmittit, illa non transfumit. Itaque dicas etiam cutem, quae membranis multo fortior atque craffior eft, in fracturis offium callo obducendis, cruentum humorem, quo minus per ipfam pene-

χυμὸν, ὃν ὁρῶμεν οὕτω πολὺν ἐπί τινων ἐκχεόμενον, ὡς διαβρέχειν ὅλους τοὺς ἐπιδέσμους· εἰ δὲ τοῦτο φαίνεται γιγνόμενον, οὐδὲν ἔτι θαυμαστὸν οὐδὲ διὰ λεπτῶν ὑμένων γίνεσθαι ταὐτὸν τοῦτο. κάλλιον δ᾽ ἦν οὐ τοῦτ᾽ ἠπορηκέναι τὸν Ἐρασίστρατον, ἀλλ᾽ ἐκείνου μᾶλλον ηὐπορηκέναι τοῦ μεταλαμβάνεσθαι τὸ μεταξὺ θώρακός τε καὶ πνεύμονος ὑγρὸν εἰς τὰς τραχείας ἀρτηρίας τοῦ πνεύμονος, οὔτε δ᾽ εἰς τὰς λείας οὔτ᾽ εἰς τὰς φλέβας ἀφικνεῖσθαι· κατὰ γὰρ αὐτὸν τὸν Ἐρασίστρατον ἀλλήλοις συμπαρεκτείνεται ταῦτα τὰ τρία, καὶ συγκατασχιζόμενα ἀποτελευτᾷ τοῖς ἐσχάτοις ἑαυτῶν στόμασιν εἰς τὸν (300) περικείμενον ὑμένα τῷ πνεύμονι. τί δή ποτ᾽ οὖν ἀλλήλοις παρακειμένων τῶν τριῶν στομάτων, εἰς ἓν αὐτῶν μόνον ἡ μετάληψις γίνεται, τοῦτ᾽ ἐχρῆν ἐζητηκέναι τὸν Ἐρασίστρατον· ἄμεινον γάρ ἐστιν, ὅπως γίγνεται τὰ γινόμενα ζητεῖν, ἢ κατασκευάζειν ὅτι μὴ γίγνεται. καίτοι οὐκ ἄπορος οὐδ᾽ ἀνεύρετος ἐμοὶ φαίνεται τῶν ἐκ τοῦ θώρακος ἡ μετάληψις εἰς τὸν πνεύμονα, δυναμένη γε κατὰ τὰ τῆς τραχείας ἀρτηρίας πέρατα γίγνεσθαι· ταῦτα γὰρ οὐ τὴν αὐτὴν ἔχει

trando egrediatur, ſemper prohibere; quem tamen in nonnullis videmus adeo copioſe eſſundi, ut totas fascias irriget; quod quum ita fieri videamus, idem haud abſurde per tenues quoque membranas fieri fatendum eſt. Satius igitur fuiſſet Eraſiſtratum non de hac re dubitare, ſed id potius abundanter intelligere, humorem inter thoracem et pulmonem contentum, in asperas pulmonis arterias recipi, ad laeves autem arterias atque ad venas non pervenire; nam ipſo Eraſiſtrato auctore tria haec vaſa ſimul extenduntur, atque ſimul diviſa terminantur ſuo extremo quolibet ore, in circumpoſitam pulmoni membranam. Quum ergo tria haec ora inter ſe proxima ſint, cur in eorum unum ſolum ſiat transſumptio, quaerere debuit Eraſiſtratus; nam longe praeſtantius eſt ea quae fiunt, quomodo fiant quaerere, quam quod fiant negare. Quanquam neque dubia neque inventu difficilis mihi videtur eorum, quae in thorace continentur, in pulmonem transſumptio, quae quidem in asperae arteriae partibus extremis fieri poteſt; hae namque non eam habent

στενότητα τοῖς τῶν λείων τε καὶ φλεβῶν, ὅτι τε τὸ πλεῖστον τῆς οὐσίας τῶν τραχειῶν ἀρτηριῶν χόνδρος ἐστὶν, οὐ δυνάμενος εἰς ἐσχάτην ἀφικνεῖσθαι σύμπτωσιν, ὅτι τε πολὺ μεῖζόν ἐστι τῶν ἑτέρων δυοῖν ἀγγείων τὸ τῆς τραχείας ἀρτηρίας. σχιζομένων οὖν αὐτῶν κατὰ τὸν πνεύμονα σχίσεις ἰσαρίθμους, εὔλογόν ἐστιν ἀνάλογον ἀεὶ τοὺς οἷον κλάδους τῆς τραχείας ἀρτηρίας ὑπερέχειν τῶν κατὰ τὰ λοιπὰ δύο γένη μορίων· ἀλλὰ καὶ φαίνεται σαφῶς τοῦτο, καὶ κατὰ τὴν ἀνατομὴν τοῦ σπλάγχνου τὴν αὐτὴν ἀναλογίαν τῆς κατὰ τὸ μέγεθος ὑπεροχῆς φυλαττόντων ἀεὶ τῶν παρακειμένων ἀλλήλοις ἀγγείων, ἣν ἐξ ἀρχῆς εἶχε τὰ μέγιστα. ταῦτ' ἐχρῆν εἰπόντα τὸν Ἐρασίστρατον ἐφεξῆς προσθεῖναι τὸν καιρὸν ἐν ᾧ μεταλαμβάνεται τὸ πῦον ἐκ τῶν κενῶν τοῦ θώρακος εἰς τὸν πνεύμονα, πότερον ὁ τῆς εἰσπνοῆς, ἢ ὁ τῆς ἐκπνοῆς, ἢ ὁ τῆς ἡσυχίας ἐστί· εἶτα διδάξαντα μήτε τὸν τῆς εἰσπνοῆς ὄντα μήτε τὸν τῆς ἡσυχίας, ἑξῆς εἰπεῖν ὅτι κατὰ τὴν ἐκπνοὴν ἡ μετάληψις γίνεται. ῥᾷστον γὰρ ἦν καὶ τοῦτο δεῖξαι, προαποδεδειγμένην ἔχοντα τὴν τῆς ἀναπνοῆς ἐνέργειαν ὑπὸ τοῦ θώρακος γιγνο-

anguftiam, quam laevium arteriarum atque venarum partes extremae, tum quod magna ex parte asperarum arteriarum fubftantia cartilago fit, quae concidere omnino non poteft; tum quod asperarum arteriarum quam duorum vaforum reliquorum ora multo fint ampliora. Quum igitur ipforum in pulmone divifiones numero fint aequales, rationi confentaneum eft asperae arteriae veluti ramos reliquorum duorum generum partes proportione fuperare. Id vero manifefte apparet per visceris ipfius diffectionem, nam vicina quaeque vafa eandem inter fe fervant perpetuo in magnitudinis exceffu proportionem, quam ab initio maximae eorum partes habuerunt. Haec funt quae dicere debuit Erafiftratus, ac deinceps utrum infpirationis, an expirationis, an quietis tempore, pus ex thoracis fpatio in pulmonem recipiatur, explicare; ac deinde quum id neque per infpirationem, neque per quietem fieri docuiffet, oftendere ipfum expirationis tempore recipi. Id namque facillimum etiam erat demonftrare ei, qui prius oftendiffet, refpirationis actionem a thorace

μένην, οὐδεμίαν ἔχοντος ἰδίαν κίνησιν τοῦ πνεύμονος, ἀλλ' ὁπότε μὲν ὁ θώραξ διαστέλλοιτο, τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ συνδιαστελλομένου, κατὰ δὲ τὰς συστολὰς αὐτοῦ συνιζάνοντος εἰς αὐτὸν ὁμοίως τοῖς σπόγγοις οὓς ταῖς χερσὶν περιλαμβάνοντες θλίβομεν. οὕτως γοῦν φαίνεται προσπίπτων λοβὸς αὐτοῦ διὰ τοῦ τραύματος ἐν ταῖς μεγάλαις συντρήσεσιν. ἀλλὰ πρό γε τοῦ τρωθῆναι συστελλόμενος ὁ θώραξ σφοδρῶς ἐνθλίβει τὸ μεταξὺ περιεχόμενον αὐτοῦ τε καὶ τοῦ πνεύμονος ὑγρὸν εἰς τὰς τραχείας ἀρτηρίας αὐτοῦ. μὴ παρέργως δ' ἀκούσῃς τοῦ, σφοδρῶς, προσκειμένου κατὰ τὸν λόγον· ἐὰν γὰρ μὴ πάνυ σφοδρῶς θλίψῃ τὸν πνεύμονα πανταχόθεν ὁ θώραξ, οὐ μεταληφθήσεται τὸ ὑγρὸν εἰς τὰ τῶν τραχειῶν ἀρτηριῶν στόματα, καὶ τούτου χάριν ὑπὸ τῆς φύσεως ἐδόθη τοῖς ζώοις εἰς τὴν τῆς θλίψεως ῥώμην ἡ καλουμένη βὴξ, σύμπτωμα φυσικὸν ὅμοιον πταρμῷ καὶ λυγγὶ καὶ ναυτίᾳ, περὶ ὧν αὐτάρκως ἐν τοῖς περὶ τῶν συμπτωμάτων αἰτίας εἴρηται· πρὸς δὲ [488] τὴν γένεσιν τοῦ φυσικοῦ τούτου συμπτώματος ἰσχύος χρῄζοντες οἱ κάμνοντες ἀποθνήσκουσιν εἰκότως οὐκ ὀλιγάκις

fieri, pulmone nullam propriam habente motionem; quippe qui per confequentiam dilatato thorace pariter attollatur; eo vero contracto, ipfe fpongiarum exemplo quas manibus exprimimus in fefe fubfidat. Sic igitur per magna vulnera penetrantia fibra ipfius per vulnus procidere videtur; verum citra vulnus thorax contractus humorem qui in eo fpatio quod inter ipfum et pulmonem eft continetur in asperas ipfius arterias vehementer comprimendo cogit. Nec credas velim, huic orationi *vehementer* fruftra fuiffe infertum; nifi enim vehementer admodum thorax pulmonem ex omni parte comprimat, humor in asperarum arteriarum ora non recipietur. Quamobrem natura, quo robuftior fieret expreffio, tuffi vocata donavit animalia; quae naturale fymptoma eft, fternutamento et fingultui et naufeae fimile, de quibus in libris de caufis fymptomatum fatis dictum eft. Verum quia viribus opus eft, quibus hujusmodi fymptoma naturale excitetur, contingit creberrime per fuppuratos affe-

ἐν τοῖς ἐμπυϊκοῖς πάθεσιν, ὡς ἂν προκεκμηκυίας αὐτῶν τῆς δυνάμεως· ἡ γὰρ εὐτονωτάτη τε καὶ ταχίστη συστολὴ τοῦ θώρακος ἐργάζεται βῆχα· οὐ δύναται δ' εὐτόνως οὔτε ταχέως ἐνεργεῖν ἡ ἀσθενὴς δύναμις. περὶ μὲν οὖν τῆς ἐκ τῶν κενῶν τοῦ θώρακος ἀναπτύσεως ἀρκεῖ καὶ ταῦτα· πάλιν δ' ἐπὶ τὸν ἐξ ἀρχῆς προκείμενον λόγον ἐπανέλθωμεν. αἱ κατὰ τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα καὶ τοὺς τούτῳ συνεχεῖς μῦς φλεγμοναὶ νόσον ἐργάζονται τὴν καλουμένην πλευρῖτιν, ἣ τις ἀχώριστα μὲν ἔχει συμπτώματα, πυρετὸν ὀξὺν, ὀδύνην ὡς διατεινομένων τῶν τόπων ἢ νυττομένων, πνεῦμα πυκνὸν καὶ μικρὸν, σφυγμὸν μικρὸν σκληρὰν τὴν ἀρτηρίαν ἐμφαίνοντα σύν τινι τάσει, βῆχα κατὰ τὸ πλεῖστον μὲν ἅμα τοῖς κεχρωσμένοις πτύσμασιν, ὀλιγάκις δὲ καὶ χωρὶς τούτων, ἃς ἀπτύστους καὶ ἀπέπτους ὀνομάζουσι πλευρίτιδας, ἤτοι διὰ ταχέων ἀναιρούσας, ἢ χρόνῳ πλείονι λυομένας· ἀλλὰ καὶ τὴν ὀδύνην ὡς τὸ πολὺ μέχρι κλειδὸς ἢ ὑποχονδρίου διήκουσαν ἔχουσιν. ἕτεραι δ' εἰσὶν ὀδύναι πλευρῶν ἅμα πυρετοῖς, ἐφ' ὧν ἐξ ἀνάγκης μὲν γίνεται πυκνὸν καὶ μικρὸν τὸ πνεῦμα,

ctus mori laborantes, imbecillioribus ipforum antea redditis viribus; validiffima enim ac celerrima thoracis contractione tuffis excitatur; at vires imbecillae neque valide neque celeriter agere poffunt. Ergo de expuitione, quae ex fpatio thoracis procedit, fatis fuerit haec dixiffe; redeamus rurfus ad eum quem ab initio propofuimus fermonem. Quae in fuccingente coftas membrana ac musculis illi continuis fiunt inflammationes, morbum quem pleuritidem vocant, efficiunt. Hujus fymptomata infeparabilia funt, febris acuta, dolor perinde ac fi locus vel intendatur vel pungatur, refpiratio frequens et exigua, pulfus parvus arteriam duram et quodammodo tenfam indicans, tuffis plerumque cum fputis coloratis, nonnunquam vero fine his, quas fputi expertes et crudas pleuritides nominant, quae vel celeriter hominem rapiunt, vel longo temporis fpatio folvuntur. At dolor plerumque ad jugulum, vel ad hypochondria pervenire videtur. Sunt praeterea alii laterum cum febre dolores, per quos refpirationem frequentem et exiguam reddi neceffe eft, fed

πτύεται δ' οὐδὲν, ὡς ἐοικέναι κατὰ τοῦτο ταῖς ἀπτύστοις πλευρίτισιν· ἀλλὰ καὶ διορίζονται ῥᾳδίως αὐτῶν τῷ τε μηδ' ὅλως βήττειν, ὡς ἐπὶ τῶν ἀπτύστων ξηρᾶς τῆς βηχὸς γινομένης, καὶ τῷ μήτε τάσιν ἴσχειν τὸν σφυγμὸν μήθ' ὅλως σκληρότητα, καὶ πρὸς τούτοις ἔτι τὸν πυρετὸν οὐχ ὁμοίως ὀξὺν εἶναι· καὶ ἡ δύσπνοια δ' αὐτοῖς ἧττον ἐνοχλεῖ, τινὲς δὲ καὶ θλιβόντων ἡμῶν τὸν φλεγμαίνοντα τόπον ἔξωθεν ἀλγοῦσι. ἐπὶ τούτων ἡ μὲν ἀνακάθαρσις οὐ γίνεται διὰ τῶν πτυσμάτων, ὅτι μηδὲ τὴν ἀρχὴν εἰς τὰ κενὰ τοῦ θώρακος ἀφικνεῖταί τι τοῦ τὴν φλεγμονὴν ἐργασαμένου· πεπτομένης δ' αὐτῆς, ἐὰν μὴ φθάσῃ διαφορηθῆναι τὸ γενόμενον πῦον, ἀποκορυφοῦται πρὸς τὸ δέρμα καὶ τέμνεται.

Κεφ. δ'. Τὸν δὲ κάτω τοῦ θώρακος ὅρον οἱ μὲν παλαιοὶ πάντες ὠνόμαζον φρένας, εἴθ' ἁπλῶς ἐπελθὸν αὐτοῖς, εἴθ', ὡς τινες οἴονται, διότι φλεγμαίνοντος αὐτοῦ βλάπτονται τὴν φρόνησιν οἱ κάμνοντες· ἀπὸ Πλάτωνος δ' ἤρξατο καλεῖσθαι διάφραγμα, προσαγορεύσαντος μὲν αὐτοῦ φρένας ὁμοίως τοῖς ἄλλοις παλαιοῖς, ἡγουμένου δὲ τὴν τοῦ

nullum redditur fputum, ut in ea re nihil a pleuritide fputi experte differre videantur. Verum hi facile ab illis discernuntur, tum quod nulla fit tuffis, quum fputi expertes ficca tuffi moleftentur, tum quod neque tenfionem neque duritiem ullam referat pulfus, tum quod non aeque acuta febre laborent; neque etiam adeo difficulter fpirant, nonnulli quoque preffo a nobis extrinfecus inflammato loco, dolent. Hi per fputum non purgantur, quia ab initio nihil humoris inflammationem excitantis ad thoracis fpatium perveniet; at concocta inflammatione, nifi pus prius discutiatur, ad cutem attollitur atque inciditur.

Cap. IV. Inferiorem autem thoracis terminum prisci omnes phrenas appellaverunt, five fimpliciter ipfis in mentem venerit, five, ut quidam augurantur, quia eo inflammato aegrotantium mens laeditur. A Platone autem diaphragma vocari incepit, qui fane et ipfe aliis veteribus fimiliter phrenas appellavit, putavit autem in animalibus ufum habere

διαφράγματος ἐν τοῖς ζώοις χρείαν ἔχειν, ἐπειδὴ τὸ θυμοειδὲς τῆς ψυχῆς ἐν καρδίᾳ περιεχόμενον ἀπὸ τοῦ καθ᾽ ἧπαρ ἐπιθυμητικοῦ διαφράττοι. τοὐντεῦθεν δὲ ἔθος ἔσχον οἱ ἰατροὶ προσαγορεύειν αὐτὸ διάφραγμα, τῆς ἀρχαίας ἀμελήσαντες προσηγορίας, ὅπερ ἐποίησαν ἀμέλει κἀπὶ τοῦ νωτιαίου· καὶ γὰρ καὶ τούτῳ τῆς οἰκείας οὐσίας ὄνομα μυελός ἐστιν, ὥσπερ τοῦ νῦν προκειμένου κατὰ τὸν λόγον ὀργάνου φρένες· ἐκείνῳ τε οὖν προσετέθη διορισμοῦ χάριν ὁ νωτιαῖος, ὥσπερ καὶ διαυχένιος, καὶ ῥαχίτης, καὶ ψωΐτης, εἶτα μετὰ ταῦτα σχεδὸν ἅπαντες εἴθισαν ὀνομάζειν ἁπλῶς νωτιαῖον· ἐνταῦθά τε πάλιν ἐάσαντες τὸ τῶν φρενῶν ὄνομα, διάφραγμα καλοῦσιν. Ἀριστοτέλης δὲ [489] ὠνόμαζεν ὑπόζωμα τὸ μόριον τοῦτο τοῦ ζώου, μὴ γινώσκων μηδ᾽ αὐτὸς ἐνέργειαν εἶναι μεγάλην αὐτοῦ, χρησιμωτάτην τοῖς ζώοις· ἔστι γὰρ ἀναπνοῆς ὄργανον· εἰκότως οὖν ἐμποδίζει ταύτην παθὸν, ὡς κἀν τῷ περὶ δυσπνοίας λόγῳ πρόσθεν εἴρηται, τοῖς κατὰ συμπάθειαν ἐπὶ τῷ νωτιαίῳ καὶ τοῖς ἀπ᾽ αὐτοῦ νεύροις γινομένοις ἐν αὐτῷ παθήμασι συναποδοθέντων καὶ τῶν ἰδίων αὐτοῦ. νυνὶ δὲ

ſepti, quoniam iraſcibilem animae facultatem in corde contentam, a concupiscente quae in jecore ſedem habet, diſtinguit. Poſtea medici, neglecto priſco nomine, diaphragma ipſum appellare conſueverunt, quod in dorſali quoque medulla eos feciſſe conſtat; etenim huic quoque propriae ſubſtantiae nomen medulla eſt, quemadmodum organo, cujus nunc mentionem facimus, phrenes; verum diſcriminis cauſa illi dorſalis, quemadmodum et cervicalis et ſpinalis atque lumbaris, cognomen additum eſt; poſtea fere omnes ſimpliciter dorſalem appellare conſueverunt. Atque hic quoque omiſſo phrenum nomine diaphragma vocitant. Ariſtoteles autem hanc animalis partem hypozoma nominavit, nescius et ipſe huic magnam ac perquam neceſſariam animalibus actionem eſſe; eſt enim reſpirationis organum; igitur merito, quum afficitur, eam laedit, ut ſupra libro de reſpirandi diſficultate dictum eſt, ubi proprios ejus affectus una cum iis, qui per conſenſum cum ſpinali medulla et nervis ab ea exortis in ipſo fiunt, tradidimus. At vero nunc eos affectus,

καὶ τῶν ἄλλων αὐτοῦ παθημάτων, ὅσα κατὰ συμπάθειαν τῆς ἄνωθεν ἀρχῆς ἐπιφέρει, μνημονεύσωμεν. πρὶν μὲν οὖν παραφρονεῖν, πυκνὸν καὶ μικρὸν ἐργάζεται τὸ πνεῦμα· παραφρονούντων δ' ἤδη, ποικίλως ἀνώμαλον, ὡς ἐν τοῖς περὶ δυσπνοίας ἐδείχθη. παραφροσύναι μὲν οὖν γίγνονται κἀπὶ τῷ τῆς γαστρὸς στόματι κακοπραγοῦντι καὶ διακαέσι πυρετοῖς καὶ πλευρίτισιν καὶ περιπνευμονίαις· ἀλλ' αἱ διὰ τὰς φρένας ἐγγὺς τῶν φρενιτικῶν εἰσιν· ἐπὶ μὲν γὰρ τοῖς ἄλλοις μορίοις πάσχουσι καὶ τοῖς διακαέσι πυρετοῖς ἐν ταῖς παρακμαῖς αὐτῶν ἡ παραφροσύνη καθίσταται· ταῖς φρενίτισι δ' ἴδιον ἐξαίρετον ὑπάρχει τὸ μηδ' ἐν ταῖς παρακμαῖς τῶν πυρετῶν παύεσθαι τὴν παραφροσύνην· οὐ γὰρ ἐπὶ συμπαθείᾳ κατ' ἐκείνην τὴν νόσον ὁ ἐγκέφαλος πάσχει, ἀλλὰ κατ' ἰδιοπάθειάν τε καὶ πρωτοπάθειαν κάμνει, καὶ διὰ τοῦτο κατὰ βραχύ τε συνίσταται τοῦτο τὸ πάθος καὶ οὐκ ἐξαίφνης παρακόπτουσιν ἢ ἀθρόως, ὡς ἐπὶ τοῖς ἄλλοις μο(301)ρίοις, ὅσα προεῖπον ἀρτίως· οὐκ ὀλίγα τε συμπτώματα προηγεῖται τῆς κατασκευῆς αὐτοῦ, καὶ καλεῖταί γε πάντα ταῦτα φρενιτικὰ σημεῖα, καὶ γεγράφασιν αὐτὰ πάντες οἱ πρὸ ἐμοῦ.

qui ſuperno conſentiente principio, ei adveniunt, commemoremus. Igitur antequam aliquis deliret, frequentem ac exiguum, infeſtante vero jam delirio, varie inaequalem ſpiritum efficit, ut in libris de ſpirandi difficultate jam demonſtratum eſt. Atque deliria etiam oriuntur ab ore ventriculi prave affecto et febribus ardentibus et pleuritide et peripneumonia, ſed quae ob ſeptum transverſum fiunt, phreniticorum deliriis affinia ſunt. In caeteris enim partibus affectis atque febribus ardentibus delirium ſedatur in ipſorum declinationibus; at phrenitidis propria praecipuaque nota eſt, ne in declinatione quidem febrium delirium quiescere; neque enim per conſenſum in eo morbo cerebrum afficitur, ſed propria primariaque affectione laborat; proinde paulatim fit hic affectus, nec ſubito delirant vel affatim, ut ex aliis partibus, quarum nuper mentionem feci; ac ejus conſtitutionem praecedunt ſymptomata non pauca, eaque omnia phrenitica ſigna vocantur, et haec ſcripſerunt omnes, qui me praeceſſe-

τοῦτο μὲν γὰρ ἀγρυπνίας ἢ καί τινας ὕπνους θορυβώδεις ἐπὶ φαντάσμασιν ἐναργέσιν, ὡς καὶ κράξαι ποτὲ καὶ ἀναπηδῆσαι, προηγουμένους ἔστιν ἰδεῖν, τοῦτο δ' ἀλόγους ἐπιλησμοσύνας, ὡς αἰτήσαντας ἀμίδα τοὺς κάμνοντας οὐκέτ' οὐρεῖν, ἢ οὐρήσαντας ἐπιλαθέσθαι προδοῦναι τὸ σκεῦος, ἢ θορυβωδέστερον ἢ ὅλως θρασύτερον ἀποκρίνασθαι, καὶ μάλισθ' ὅταν ἔμπροσθεν ᾖ κόσμιος. ἀλλὰ καὶ βραχυπόται πάντες εἰσὶν οὗτοι, καὶ μέγα καὶ ἀραιὸν ἀναπνέουσι, καὶ τοὺς σφυγμοὺς μικροτέρους τε καὶ νευρωδεστέρους ἔχουσι, καί ποτε καὶ τὰ κατ' ἰνίον ὀδυνῶνται. πλησίον δὲ ἤδη τοῦ φρενιτίζειν ὄντες αὐχμηροὺς ἱκανῶς ἴσχουσι τοὺς ὀφθαλμοὺς, ἤ τι κατὰ τὸν ἕτερον αὐτῶν δάκρυον ἐκχεόμενον δριμὺ, καὶ μετὰ ταῦτα καὶ λήμας καὶ φλέβας τὰς ἐν αὐτοῖς μεστὰς αἵματος, ἐκ ῥινῶν τε στάξεις αἵματος, ἡνίκ' ἤδη μηδὲ τὰς ἀποκρίσεις ἔμφρονας ἀκριβῶς ποιοῦνται, κροκυδίζουσί τε καὶ καρφολογοῦσι, καὶ πυρετὸν ἴσχουσιν αὐχμωδέστερον οὐ μεγάλας ἐφ' ἑκάτερα μεταβολὰς ποιούμενον, ὥσπερ ἄλλοι τινὲς, ἀκμὰς μὲν σφοδρο-

runt. Nam interdum vigilias praecedere, five etiam fomnum manifeftis imaginibus turbatum, ut et clament nonnulli et exiliant, videre eft; interdum vero irrationalis accedit oblivio, ut laborantes aliqui, quum matellam petierint, mejere tamen negligant, aut quum lotium emittunt, matellam ipfam prodere haudquaquam meminerint; interdum majori cum tumultu aut temeritate refpondeant, praefertim ubi aliquis antea fuerit modeftus. At et hi omnes exiguo utuntur potu; refpiratio ipfis rara eft et magna, pulfus minores magisque nervofos habent; nonnunquam occiput dolor infeftat. Quum vero jam proxime ad phrenitidem accedunt, oculi eis vehementer funt fquallidi, aut ex altero ipforum acris lachryma effunditur, ac deinde lippitudo et venae ipforum fanguine plenae et fanguis ftillat e naribus. Quo tempore neque jam plane ut mentis compotes refpondent, floccos avellunt et feftucas carpunt, fquallidioremque febrem habent, quae non magnas in alterutram partem facit mutationes, quemadmodum aliae quaedam vigores quidem graviffimos,

τάτας ἴσχοντες, ἐπιεικεῖς δὲ τὰς παρακμάς. τί δεῖ λέγειν περὶ γλώττης ἱκανῶς τραχείας, ἢ τοῦ παρακούειν ἐνίοτε, καί ποτε καὶ κατακεῖσθαι σκυθρωποὺς ἀποκρινομένους μόγις, ἢ μέρους τινὸς ὀδυνηρὰν ἔχοντος διάθεσιν οὐδ᾽ ὅλως αἰσθάνεσθαι, κἂν σφοδρότερόν τις αὐτοῦ θίγῃ; κατὰ βραχὺ γὰρ οὕτως ἐπ᾽ ἐγκεφάλῳ πάσχοντι φρενιτίζουσιν, ἐπ᾽ ἄλλῳ δ᾽ οὐδενὶ μορίῳ τὸ διηνεκές ἐστι τῆς παραφροσύνης, ὅτι μὴ διαφράγματι μόνῳ· πλησίον γάρ πως ἥκει τοῦ διηνεκοῦς, ὡς δι᾽ αὐτὸ τοῦτο δοξασθῆναι τοῖς παλαιοῖς, ἐπὶ τῷ μορίῳ τούτῳ φλεγμαίνοντι γίγνεσθαι φρενιτικοὺς, ὀνομάσαι τε φρένας αὐτὸ διὰ τὴν αὐτὴν ὑπόνοιαν, ὡς καὶ τῷ φρονοῦντι μορίῳ συμβαλλόμενόν τι. διορίζεται δ᾽ ἡ ἀπὸ τούτου παραφροσύνη τῆς φρενιτικῆς τοῖς τε κατὰ τοὺς ὀφθαλμοὺς [490] συμπτώμασι καὶ ταῖς ἐκ τῶν ῥινῶν αἵματος στάξεσιν, καὶ τῷ τῆς ἀναπνοῆς εἴδει· μέγα μὲν γὰρ καὶ διὰ πολλοῦ χρόνου τὸ πνεῦμα τοῖς ἐπ᾽ ἐγκεφάλῳ φρενιτικοῖς ἐφεξῆς ἐστιν ἀεί· τοῖς δ᾽ ἐπὶ ταῖς φρεσὶν ἀνώμαλον, ὡς καὶ μικρόν ποτε γενέσθαι, καὶ πυκνὸν, αὖθίς τέ ποτε μέγα καὶ στεναγματῶδες. ἀρχομένης

declinationes vero habent mitiores. Quid dicam de lingua falebrofa, obauditione interdum contingente, tum quod interdum moefti jaceant, vix refpondentes; vel quum pars quaedam dolorificum patiatur affectum, etiamfi vehementius aliquis eam tangat, ipfi haudquaquam fentiant? Sic enim per cerebri affectum paulatim phrenitis evenit; ab aliarum vero partium nulla perpetuum delirium procedit, dempto folo fepto transverfo, cujus vitio excitatum delirium, parum a continuo diftat, adeo ut veteres putaverint, hac parte inflammatione affecta phreniticos fieri, atque ob eandem fuspicionem phrenas eam appellaverint, tanquam fapienti parti conferat quippiam. Verum delirium, quod ab hoc accidit, a phrenitide diftinguitur et oculorum fymptomatis et fanguinis a naribus ftillis atque refpirationis fpecie; nam a cerebro phreniticis fpiritus magnus eft femper et ex longis intervallis; at a fepto inaequalis, ut modo exiguus fit atque frequens, modo magnus et fufpiriofus. Incipiente tamen fepti

μέντοι τῆς κατὰ τὸ διάφραγμα φλεγμονῆς, πρὶν παραφρονῆσαι, μικρὸν καὶ πυκνὸν ἀναπνέουσιν, ἔμπαλιν τοῖς ἐπ᾽ ἐγκεφάλῳ, προηγεῖται γὰρ ἐκείνοις μέγα καὶ ἀραιὸν πνεῦμα· καὶ συνελόντι φάναι, τῶν εἰρημένων ἀρτίως προηγεῖσθαι φρενίτιδος ἤτοι γ᾽ οὐδὲν ἢ μικρὰ συμβαίνει τοῖς ἀρχομένοις φλεγμαίνειν τὸ διάφραγμα· καθάπερ γε πάλιν ἀνασπᾶσθαι μὲν ὑποχόνδριον ἴδιον αὐτῶν τῶν φρενῶν πασχουσῶν εὐθὺς ἐξ ἀρχῆς, ἐπ᾽ ἐγκεφάλου δὲ ἕν τι τῶν ὕστερον ἐπιγενομένων, ἤδη κατασκευαζομένου τοῦ πάθους καὶ οὐκ ἀρχομένου· καὶ ἡ θερμασία δὲ πλείων ἐστὶ κατά τε τὴν κεφαλὴν καὶ τὸ πρόσωπον ἐπὶ τῶν ἐν αὐτῇ τῇ κεφαλῇ τὴν κατασκευὴν ἐχόντων τῆς παραφροσύνης. τὰ δ᾽ ἄλλα τοῦ διαφράγματος πάθη, τά τε κατὰ πρωτοπάθειαν αὐτοῦ γιγνόμενα καὶ τὰ κατὰ συμπάθειαν, τὰ μὲν οὐκ ἔστι τῆς προκειμένης πραγματείας, ὅσα προδήλως πάσχει κατά τε τἆλλα συμπτώματα καὶ τὰς ἐν αὐτῷ γιγνομένας ἀποστάσεις, τὰ δὲ ἐν τῷ πρόσθεν εἴρηται λόγῳ.

Κεφ. ε΄. Τὸ μεταξὺ τῆς τε φάρυγγος καὶ τοῦ στόματος τῆς κοιλίας, ὅπερ οἰσοφάγον ὠνόμαζον οἱ παλαιοὶ,

transverſi inflammatione, priusquam delirent, exiguum ac frequentem reddunt ſpiritum, contra quam qui ob affectum cerebrum delirant, magna enim prodit his raraque ſpiratio. Atque ut ſummatim dicam, eorum ſymptomatum quae phrenitidem antecedere diximus aut nullum apparet, aut perexiguum in iis, quibus ſeptum transverſum inflammatione laborare incipit; ut rurſus ſurſum revelli hypochondrium illico ab initio ſepti transverſi affecti proprium eſt, in cerebro vero poſterius accidit, non incipiente affectu, ſed quum factus jam fuerit; atque calor quoque circa caput et faciem vehementior eſt iis, qui ob cerebri vitium delirant. Reliqui ſepti transverſi affectus, ſive primarii ſint, ſive per conſenſum, partim ab hoc noſtro propoſito ſunt alieni, nempe qui manifeſte apparent, ut tum alia ſymptomata, tum abſceſſus in ipſo exorti; partim vero jam antea dicti ſunt.

Cap. V. Eam partem quae inter fauces et os ventriculi media eſt, quam veteres oeſophagon nominabant, qui

στόμαχον εἰώθασιν οἱ μετ᾽ Ἀριστοτέλη προσαγορεύειν, αὐτοῦ τοῦ Ἀριστοτέλους οὐκ ἀεὶ τῷ παλαιῷ καλοῦντος ὀνόματι τὸ μόριον τοῦτο τοῦ ζώου. χρεία δ᾽ αὐτοῦ διττή· μία μὲν ὡς ὁδοῦ τῶν καταπινομένων καὶ τῶν ἐμουμένων, ἑτέρα δὲ, καθ᾽ ἣν ἐνεργεῖ τι πρὸς ἀμφοτέρας τὰς ὁδοὺς, τῶν τ᾽ ἐκ τοῦ στόματος εἰς τὴν γαστέρα καταφερομένων καὶ τῶν ἐξ ἐκείνης ἀναφερομένων εἰς τὸ στόμα· δύο γὰρ ἔχων ἑαυτοῦ μόρια, τοὺς ὀνομαζομένους ὑπὸ τῶν ἀνατομικῶν χιτῶνας, ἕλκει μὲν θατέρῳ τά τε ποτὰ καὶ τὴν τροφὴν εἰς τὴν κοιλίαν, ἐκπέμπει δὲ θατέρῳ κατὰ τοὺς ἐμέτους. εἰκότως οὖν ἐστι δύο γένη τῶν παθῶν αὐτοῦ, τὸ μὲν ἕτερον ὡς ὁδοῦ τῶν καταπινομένων, τὸ δ᾽ ἕτερον ὡς ὀργάνου τῶν ἐμουμένων τε καὶ καταπινομένων. ὅτι δ᾽ αὐτῶν τούτων τῶν δύο χρειῶν ἡ ἑτέρα μὲν ἀναγκαία διαπαντός ἐστιν, ἡ δὲ ἑτέρα κατά τινας καιροὺς, εὔδηλον παντί. τὸ μὲν οὖν ὡς ὁδοῦ σιτίων γένος ἐν αὐτῷ τῶν συμπτωμάτων ἐστὶ, ὅταν ὑπό τινος τῶν παρὰ φύσιν ὄγκων στενοχωρία τοῦ κατ᾽ αὐτὸν γένηται πόρου· τὸ δ᾽ ἕτερον, ὅτ᾽ ἂν αὐτὸς ἀδυνατῇ τὰς ἰδίας ἐνεργείας ἐπιτελεῖν.

poft Ariftotelem fcripferunt, ftomachum appellare confueverunt, ipfo Ariftotele prisco vocabulo hanc animalis partem non femper nominante. Ejus duplex eft ufus: unus quo veluti via eft eorum quae devorantur et eorum quae evomuntur, alter quo circa utramque viam actionem quandam edit; tum eorum quae ab ore in ventriculum deferuntur, tum eorum, quae ab hoc ad os elevantur. Quum enim geminae fint ei partes, quas diffectores tunicas appellant, altera tum cibum tum potum in ventriculum trahit, altera per vomitus amandat. Proinde rationi confentanee duo funt affectuum ipfius genera, alterum ut viae eorum quae deglutiuntur, alterum ut inftrumenti eorum quae tum evomuntur tum devorantur. Conftat vero duorum jam memoratorum ufuum alterum quidem femper effe neceffarium, alterum vero propter occafiones quasdam. Igitur eorum fymptomatum, quae ipfum tanquam viam ciborum infeftant, genus eft, quum ob tumorem aliquem praeter naturam anguftior fit ipfius meatus; alterum, quum proprias

Ed. Chart. VII. [490. 491.] Ed. Baf. III. (301.)

εἴρηται μὲν οὖν καὶ πρόσθεν, ἡνίκα περὶ κυνάγχης ὁ λόγος ἐγένετο τῆς ἑπομένης τῇ μεταστάσει τῶν ἐν τῷ τραχήλῳ σπονδύλων, ὡς ἐπίκτητος αὐτῷ στενοχωρία συμπίπτει ὑπ᾽ αὐτῶν θλιβομένῳ· καὶ νῦν δ᾽ ἀναμνησθῶμεν καὶ αὐτὸ τοῦτο, συναναμεμνήσθωσαν δὲ καὶ οἱ τῶν ὑποβεβλημένων αὐτῷ μυῶν ὄγκοι, καθ᾽ ὁντιναοῦν τρόπον γιγνόμενοι, δεδήλωνται γὰρ ἅπαντες ἐν τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων. ἐφ᾽ ἁπάντων δὲ τούτων κοινὸν ἡ ἐν τῷ καταπίνειν στενοχωρία, τοσαύτη γιγνομένη πολλάκις, ὡς ἀναπέμπεσθαι τὸ ποτὸν εἰς τὰς ῥῖνας. ὅταν μέντοι φλεγμήνας αὐτὸς οἴκοθεν σχῇ τὴν στενοχωρίαν, οὐκ ἐκ τῶν γειτνιώντων ἐπίκτητον, [491] ὀδύνη σφοδρὰ γίγνεται καταπινόντων, ἅμα τῇ δυσχερείᾳ τῆς διεξόδου, καὶ μάλιστα ὅταν ὁ κάμνων ὕπτιος κατακείμενος ἐπιχειρῇ καταπίνειν· διὸ καὶ μετασχηματίζεσθαι προθυμοῦνται καὶ ἀνακαθίζειν, αὐτῷ τῷ συμβαίνοντι διδασκόμενοι, ῥᾷον ἐν τούτῳ τῷ σχήματι καταπίνοντες, ὡς ἂν οὐ μικρὰ συντελούσης τῆς εἰς τὸ κάταντες φορᾶς τῶν σιτίων, καὶ δυναμένης γε πολλάκις καὶ μόνης γίγνεσθαι, μετὰ τὴν ἐκ τοῦ στόματος ἔκθλιψιν

actiones ipfe perficere nequit. Enimvero jam antea, ubi de angina, quae vertebrarum cervicis luxationem fequitur, fermo habebatur, diximus, quod acquifititia anguftia ei accidit, ubi a vertebris ipfis comprimitur; cujus rei nunc quoque admonitum te effe velim, nec oblivisci quoque tumores eorum musculorum qui gulam involvunt, quomodocunque fiant, nam de omnibus in libro de tumoribus praeter naturam dictum eft. Caeterum in his omnibus communis eft tanta faepenumero inter devorandum anguftia, ut potus ad nares remittatur. Quum vero inflammatione affecta ipfa propria anguftia, non a vicinis partibus acquifita, torquetur, tum graviffimus inter deglutiendum dolor infeftat, accedente diffícili tranfitu; ac praefertim fi fupinus, qui laborat, jacens, transglutire quippiam conetur. Quocirca fitum transformare atque erigere fefe ftudent, ex accidente ipfo edocti faciliorem in hac forma fibi fieri deglutitionem, adeo ut haud parum ciborum in declives partes delatio conferre videatur, utpote quae poffit faepenumero vel fola fieri, fi ex ore usque

Ed. Chart. VII. [491.] Ed. Baf. III. (301.)

εἰς τὴν ἀρχὴν τοῦ στομάχου· κατὰ δὲ τὴν ὑπτίαν κατάκλισιν οὐδεμία βοήθεια πρὸς τῆς κάταντους γίνεται φορᾶς, ἀλλ᾽ ὑπὸ μόνης τῆς κατὰ τὸν στόμαχον ἐνεργείας ἐπιτελεῖται τὸ τῆς καταπόσεως ἔργον· ἅπαντα δ᾽ ἴστε τὰ φλεγμαίνοντα μόρια κατὰ μὲν τὰς ἐνεργείας ὀδυνώμενα, παρηγορούμενα δ᾽ ἐν ταῖς ἡσυχίαις. αἰσθητικοῦ δ᾽ ὄντος τοῦ στομάχου, συγχρῆσθαι πάρεστι καὶ τούτῳ τῷ πλεονεκτήματι τοῦ μορίου πρὸς τὴν διάγνωσιν τῶν ἐν αὐτῷ παθῶν, ἐκ τῆς τοῦ κάμνοντος ἀνακρίσεως, ὅταν γε μὴ παντάπασιν ἠλίθιος ὑπάρχων ἀδυνατῇ σαφῶς ἑρμηνεύειν ἃ πάσχει· ὡς ἐάν γε δυνατὸς ἑρμηνεύειν ᾖ, μέγιστον πλεονέκτημα πρὸς τὴν διάγνωσιν αὐτοῦ τῶν παθῶν ἐστιν ἡ γιγνομένη κατὰ τὸν στόμαχον αἴσθησις. ἐνίοτε μὲν γὰρ ἀτονίας αἰσθάνεσθαί φασιν, ἐν πολλῷ χρόνῳ μόγις διεξερχομένων τοῦ στομάχου τῶν δι᾽ αὐτοῦ φερομένων· ἐνίοτε δὲ κατὰ μὲν τὴν πρώτην ὁρμὴν ἑτοίμως κατιόντων, ἰσχομένων δ᾽ αὖθις, ὡς ἐσφηνῶσθαι δοκεῖν, εἶτα τὸ ὑπόλοιπον τῆς φορᾶς ἀλύπως τε καὶ ῥᾷστα διεξερχομένων. ὁ μὲν οὖν πρότερος τρόπος ἀτονίαν

ad gulae initium facta fuerit expreffio; a fupino vero decubitu nullum fperatur auxilium, quo facilius ad infernas partes ferantur alimenta, fed a fola gulae actione devorandi munus perficitur; at non latet vos, partium inflammatione affectarum nullam non dolere, quum fuo munere fungitur; contra ubi quieverit, dolorem mitigari. Quum autem gula fentiendi facultate fit praedita, ea ipfa quoque uti licebit partis dote ad affectus ejus dignoscendos, ex aegrotantis interrogatione, quum omnino haud fuerit adeo ftolidus, ut quid ipfum laedat, narrare non poffit; nam fi poffit animi fenfa interpretari, gulae fenfus maximum praeftabit adjumentum ad affectuum ipfius dignotionem. Etenim imbecillitatem nonnunquam percipere fe dicunt, ut longo vix temporis fpatio per gulam tranfeant ea, quae ingefta funt; aliquando ad primum impetum facile descendant, deinde rurfus arceantur, ut videantur impacta; demum per refiduum fpatium immoleftе ac facillime labuntur. Horum primum actionis

ἐνδείκνυται τῆς ἐνερ(302)γείας, ὁ δὲ δεύτερος στενοχωρίαν καθ᾽ ἕν τι μόριον· ἑκατέρου δ᾽ αὐτῶν τὰς διαφορὰς ἐκ τῶν ἄλλων συμπτωμάτων ἔνεστι γνωρίζειν. ἐπὶ μὲν γὰρ τῆς ἀτονίας, ὅταν κατὰ δυσκρασίαν μόνην γίγνηται χωρὶς ὄγκου παρὰ φύσιν, ἡ κατὰ τὴν διέξοδον ὧν καταπίνουσι βραδύτης ὁμαλὴ καὶ χωρὶς ὀδύνης, ἐπιτεινομένη μὲν ἐν ταῖς ὑπτίαις κατακλίσεσιν, πραϋνομένη δ᾽ ἐν τοῖς ὀρθίοις τοῦ τραχήλου σχήμασιν, ἄνευ τῆς κατὰ τὴν στενοχωρίαν αἰσθήσεως, εἴωθε συμβαίνειν· ἡ δὲ σὺν ὄγκῳ τινὶ στενοχωρίαν τε φέρει καθ᾽ ἕν τι μόριον ὑπὲρ τἄλλα, καθ᾽ ὃ καὶ χρόνιος ἡ διέξοδος γίνεται· κἀπειδὰν ἤτοι φλεγμονώδης, ἢ ἐρυσιπελατώδης ὄγκος ᾖ, καὶ σὺν ὀδύνῃ καὶ δίψει καὶ θερμασίας πολλῆς αἰσθήσει, μετὰ πυρετῶν οὐ πάνυ τι θερμῶν οὐδὲ κατὰ τὴν ἀναλογίαν τοῦ δίψους· ἐὰν δέ τις τῶν μὴ πάνυ θερμῶν ὄγκων ᾖ, χωρίς γε πυρετοῦ καὶ θερμασίας καὶ δίψης, τὸ τῆς καταπόσεως ἀνώμαλον γίνεται, καθ᾽ ἕν τι μέρος ἰσχομένων τῶν σιτίων, καὶ μᾶλλον ὅταν ἁδρομερέστερά τε καὶ σκληρότερα καταπίνηται, καὶ σὺν ὀδύνῃ τινὶ βραχείᾳ. τοιούτων συμπτωμάτων ἐν χρόνῳ πολλῷ γιγνομένων, καί

imbecillitatem, alterum partis cujuspiam anguftiam indicat; utriusque differentias ex reliquis fymptomatis intelligere licet. Nam in imbecillitate, quum ob folam intemperiem citra tumorem praeter naturam fit, ingeftorum in tranfitu tarditas aequalis et fine dolore accidere confuevit et in fupino decubitu augetur, erecta vero cervice mitigatur, citra ullum anguftiae fenfum. Ubi vero cum tumore *eft imbecillitas,* unam quampiam partem anguftiorem caeteris efficit, atque per eam tardior eft tranfitus. Quod fi tumor autem phlegmonodes fuerit, aut eryfipelatodes, accedit ei pariter et dolor et fitis et multi caloris fenfus et febris non admodum ardens, quae fiti proportione haudquaquam refpondet. Si vero tumor aliquis ex non calidis fuerit, tum citra febrem et calorem et fitim deglutitionis inaequalitas eveniet, retentis in parte quapiam alimentis, praefertim fi majusculum atque folidum fuerit id quod devoratur, acceditque dolor aliquis exiguus. Quum aliquando hujuscemodi fymptomata longo

ποτε καὶ πυρετῶν ἐφημέρων συμπιπτόντων, καὶ φρίκης ἔστιν ὅτε, στοχαζομένοις ἡμῖν ἀπόστημα δύσπεπτον ἐν τῷ στομάχῳ γίγνεσθαι, συνέβη τοῦ χρόνου προϊόντος αἴσθησιν αὐτῷ τῷ κάμνοντι γενέσθαι ῥήξεως, ἐφ᾽ ᾗ πῦον ἤμεσεν ἔν τε τῷ παραχρῆμα καὶ κατὰ τὴν ὑστεραίαν καὶ τρίτην ἡμέραν, εἶτ᾽ ἠκολούθησεν αὐτῷ τἄλλα πάντα ἐφεξῆς ἡλκωμένου στομάχου σημεῖα. καὶ γὰρ ἐπὶ τοῖς δριμέσι καὶ ὀξέσι καὶ ἁλυκοῖς καὶ στρυφνοῖς καταπινομένοις ᾐσθάνετο δήξεως ἢ στύψεως, ἤλγει τε κατ᾽ ἐκεῖνο τὸ μέρος, εἰ καὶ μηδὲν κατέπινεν, ἀλλὰ μετρίως· ἰσχυροτέραν γὰρ τὰ δάκνοντα καὶ στύφοντα τὴν τῆς ὀδύνης αἴσθησιν εἰργάζετο. οὗτος μὲν οὖν ἐν πολλῷ χρόνῳ μόγις [492] ἐσώθη, συμβαλλούσης αὐτῷ καὶ τῆς ἡλικίας· ὅσοι δὲ πρεσβύτεροι αὐτοῦ, διεφθάρησαν. ἥ γε μὴν ὀδύνη πᾶσι τοῖς ἐν στομάχῳ τι πάθος ἀλγεινὸν ἔχουσι κατὰ τὸ μετάφρενον διασημαίνει· καὶ ἡ αἰτία πρόδηλος ἑωρακόσιν ὑμῖν ἐπιτεταμένον τῇ ῥάχει τὸν στόμαχον. ὅτι δὲ κατὰ τοὺς αὐτοὺς τρόπους κἀκ τῶν κατὰ τὸν στόμαχον ἀγγείων ἐμοῦσιν αἷμα, καθ᾽ ὃν κἀκ τῶν ἄλλων ἁπάντων, εὔδηλόν ἐστιν. ἀλλ᾽ αἱ μὲν

temporis tractu apparuiffent, accedente nonnunquam ephemera febre, nonnunquam etiam horrore, quum conjiceremus abfceffum concoctu difficilem effe in gula, accidit procedente tempore ut laborans ipfe ruptionis fenfum perciperet ac fubinde pus evomeret, non folum eodem, fed poftero quoque die atque tertio; deinde fuccedebant ei deinceps omnia ulceratae gulae figna. Etenim five acria, five acida, five falfa, five acerba devoraret, vellicationem, aut aftrictionem fentiebat, dolebatque hac in parte, vel nihil deglutiendo, fed moderatius; vehementiorem enim dolorem excitabant mordentia et aftringentia. Hic ergo longo temporis fpatio vix fervatus eft, ipfi quoque conferente aetate; eo vero natu majores fere omnes perierunt. Sane quotquot dolorificum quempiam in gula habent affectum, omnes dorfi quoque dolorem fentiunt; cujus rei caufa perfpicua eft vobis, qui gulam fpinae incumbentem vidiftis. Confpicuum autem eft quod ex gulae vafis modis eisdem, quibus ex reliquis omnibus, fanguis evomatur. At ob ruptum vas fan-

Ed. Chart. VII. [492.] Ed. Baf. III. (302.)

κατὰ ῥῆξιν αἵματος ἀναφοραὶ σὺν ἀλγήμασι γίγνονται διασημαίνουσαι τὸν τόπον ἐν ᾧ γέγονεν ἡ ῥῆξις· ὁμοίως δ' αὐταῖς καὶ αἱ κατὰ διάβρωσιν, ἢ ἀνάβρωσιν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ· αἱ δὲ κατ' ἀναστόμωσιν ἀνώδυνοι τελέως εἰσὶν, αὐτῷ τε οὖν τούτῳ διορίζονται τῶν ἑτέρων καὶ τῷ μήτ' ἐπὶ πληγῇ σφοδρᾷ μήτ' ἐπὶ καταπτώσεσι γεγονέναι, καθάπερ αἱ ῥήξεις εἰώθασι γίγνεσθαι. συμβαίνουσι δὲ καὶ χωρὶς προφάσεως τῆς ἔξωθεν ἐνίοτε ῥήξεις ἀγγείων ὑπὸ πλήθους αἵματος· αἱ δὲ κατὰ διάβρωσιν ἑλκώσεως προηγησαμένης γίγνονται· τὴν δ' ἕλκωσιν αἵ τε ῥήξεις τῶν ἀγγείων ποιοῦσιν καὶ αἱ τῶν κακοηθῶν χυμῶν ἐπιῤῥοαί· καθάπερ ὁρῶνται κἀπὶ τοῦ δέρματος συμβαίνουσαι πολλάκις.

Κεφ. στ'. Τὸ στόμα τῆς κοιλίας οἱ παλαιοὶ καρδίαν ὠνόμαζον, ἀφ' ὧν ἐπιφέρει συμπτωμάτων, ὥς φασιν, οὕτω προσαγορεύσαντες· οὐ γὰρ μόνον ὡς καρδιακαῖς συγκοπαῖς, οὕτω καὶ στομαχικαῖς ἁλίσκονταί τινες, ἀλλὰ καὶ σπασμοῖς καὶ κάροις ἐπιληψίαις τε καὶ μελαγχολίαις, ἤδη δὲ καὶ τοῖς τῶν ὑποχεομένων συμπτώμασιν, ὡς ἐν τῷ περὶ τῶν ὀφθαλ-

guinis rejectiones cum doloribus fiunt, quibus locum rupturae produnt, nec fecus, quae venae erofione vel derofione, five aliter quomodolibet nominare volueris, obortae funt; quae vero prorfus aperto vafis ore, hae doloris funt expertes, atque hac re a reliquis diftinguuntur, ac praeterea quod neque ictu, neque cafu concitatae funt, veluti rupturae fieri confueverunt. Accidunt autem et citra caufas externas interdum a plenitudine fanguinis vaforum ruptiones. Quae vero ob venae erofionem fiunt, eas ulcus praeceffit; fit autem ulcus, vel rupto vafe, vel malignorum humorum affluentia, ut in cute quoque faepenumero accidere videmus.

Cap. VI. Os ventriculi veteres cor nominabant, a fymptomatis quae inducit, ut ajunt, fic appellatum; non enim folum ut cardiacis fyncopis, ita et ftomachicis nonnulli corripiuntur, fed etiam convulfionibus et fopore et morbo comitiali et melancholia, nec non fymptomatis, qualia per fuffufiones infeftant, ut jam antea quum de oculis lo-

μῶν λόγῳ πρόσθεν εἴρηται. καὶ ταῦτα πάντα συμπασχόντων αὐτῷ γίγνεται μορίων ἑτέρων· ἐπεί τοι κατὰ τὸν ἴδιον λόγον ἀνορεξίας τε καὶ διαφθορὰς τῶν ἐπιπολαζόντων ἐργάζεται σιτίων, ὡς τά γ᾽ ἐν τῷ πυθμένι τῆς κοιλίας στηρίζεσθαι πεφυκότα, καὶ μάλιστα ὅτ᾽ ἂν ᾖ δυσδιάφθαρτα, τοιούτων οὐδὲν πάσχει. προσέχειν οὖν ἀκριβῶς χρὴ τοῖς κατὰ συμπάθειαν ἐπ᾽ αὐτῷ γινομένοις παθήμασι, καὶ χωρίζειν αὐτὰ τῶν κατὰ πρωτοπάθειαν ἐκείνοις τοῖς μορίοις γιγνομένων, ὧν ταῖς ἐνεργείαις λυμαίνεται τὸ τῆς γαστρὸς στόμα πάσχον, ὅπερ ὡς οἱ παλαιοὶ πάντες ὠνόμαζον καρδίαν, οὕτως οἱ νῦν ὀνομάζουσι στόμαχον. ὁ διορισμὸς δὲ ἐκ τῶν προηγησαμένων μάλιστα γίγνεται κατάδηλος ἀνδρὶ τετριμμένῳ περὶ τὰς διαγνώσεις. ἰδιότητες γάρ τινες ἄῤῥητοι προσέρχονται τοῖς ῥητοῖς συμπτώμασιν, αἳ βεβαιοῦσαι τὰς διαγνώσεις τῶν πεπονθότων μορίων· ἐκείνας μὲν οὖν ἕκαστος ἑαυτῷ προσεξευρήσει, τὰ δ᾽ οἷον θεμέλια τῆς ὅλης διαγνώσεως, ἐξ ὧν οἱ φιλόπονοι καὶ τὰς ἀδυνάτους ῥηθῆναι τῶν συμπτωμάτων ἰδιότητας αὐτοὺς

queremur, dictum eſt. Atque omnes hi affectus conſentientibus ei caeteris partibus fiunt; nam ex propria ſui ratione appetentiae dejectiones et innatantium ciborum corruptiones facit, quandoquidem, qui in fundo ventriculi ſuapte natura firmari ſolent, praecipueque ſi non facile corrumpantur, nihil horum patiuntur. Igitur exacte animum advertere oportet, ut discernantur affectus, qui ex ipſo per conſenſum eveniunt, ab iis qui hujusmodi partibus, quarum actiones laedit os ventriculi affectum (quod ut veteres omnes cor appellabant, ita noſtra tempeſtate ſtomachus vocatur) primario accidere cenſentur. Sed haec inter ſe discernere facile poterit vir aſſidua exercitatione circa dignotiones verſatus ex iis quae praeceſſerunt. Nam proprietates quaedam ineffabiles ſymptomatis enarrandis ſuccedunt, quibus certiores evadunt affectarum partium notae; ſed has quidem unusquisque per ſe invenire poterit, quae vero tanquam fundamenta univerſae dignotionis exiſtunt, ex quibus ſtudioſiſſimi quique etiam ineffabiles ſymptomatum proprietates

διδάξουσιν, ἐγὼ διηγήσομαι. νεανίσκος τις ἡλίσκετο τῷ τῆς ἐπιληψίας πάθει γραμματικὸς, ἡνίκα μάλιστα σφοδρότερον ἐδίδασκεν, ἢ ἐφρόντισεν, ἢ ἐπιπλέον ἠσίτησεν, ἢ ἐθυμώθη. τούτῳ τὸ στόμα τῆς κοιλίας ὑπενόησα πάσχειν, εὐαίσθητον ὑπάρχον, ἐφ᾽ ᾧ κατὰ συμπάθειαν τὸν ἐγκέφαλον ὅλον τὸ σῶμα κραδαίνειν σπασμωδῶς. ἐκέλευσα τοιγαροῦν εὐπεψίας μόνης αὐτὸν ἀκριβοῦς προνοεῖσθαι, τρίτης δ᾽ ὥρας ἢ τετάρτης ἄρτον ἐπιμελῶς ἐσκευασμένον προσφέρεσθαι, [493] μόνον μὲν, εἰ ἄδιψος εἴη, δίψης δ᾽ αἰσθανόμενον, ἐξ οἴνου κεκραμένου τῶν ἠρέμα στυφόντων καὶ λευκῶν· οὗτοι γὰρ καὶ τονοῦσι τὴν γαστέρα καὶ τὴν κεφαλὴν οὐ πλήττουσιν, ὥσπερ οἱ σφοδροί. ὡς δὲ τοῦτ᾽ αὐτῷ πράττοντι συνέβαινε μηδὲν πάσχειν, ἀκριβῆ τε γνῶσιν εἶχον ὧν ἐστοχαζόμην ἔμπροσθεν, ἐδίδουν τ᾽ αὐτῷ τοῦ διὰ τῆς ἀλόης πικροῦ φαρμάκου δίς που καὶ τρὶς ἑκάστου ἔτους, ἐπειδὴ καθαίρει τε τῶν περιττωμάτων ὅλην τὴν γαστέρα καὶ ῥώννυσι πρὸς τὰς οἰκείας ἐνεργείας, ἔτεσιν οὗτος ὁ ἀνὴρ οἷς ἐπεβίω πλέοσι τῶν εἴκοσι, ὑγιαίνων

per fe discunt, nos explicabimus. Grammaticus quidam juvenis, quoties nimis vehementer doceret, aut cogitaret, aut diutius inediam fuftineret, aut irasceretur, comitiali morbo corripiebatur. Huic fuspicatus fum os ventriculi, utpote quod facile fentiret, affici, ac deinde per confenfum cerebrum corpus univerfum convulfione concutere. Juffi igitur eum probam concoctionem folam accurate procurare, ac tertia vel quarta hora panem optime praeparatum fumere, atque hunc quidem folum, fi non fitiret; fi fitiret, ex vino diluto albo atque modice adftringente; nam hujusmodi vina ventriculum robuftum efficiunt, neque tentant caput, ut vehementia. Quum igitur hac victus ratione utens non ut ante afficeretur, exactam tum notitiam habui eorum, quae prius fola conjectura confequebar, ac quolibet anno bis aut ter medicamentum amarum ex aloë ei exhibui, quandoquidem et totum ventrem ab excrementis purgat et ad proprias actiones roborat. Atque ita vir ille plusquam viginti annis,

Ed. Chart. VII. [493.] Ed. Baf. III. (302.)
ἀμέμπτως διετέλεσεν· εἰ δέ που σπανίως ὑπὸ περιστάσεως πραγμάτων ἄσιτος ἠναγκάσθη διατεθῆναι, συνέβαινεν ἁλίσκεσθαι βραχυτάτοις αὐτὸν σπασμοῖς. ἐθεασάμην δὲ καὶ ἄλλους ἀπὸ τοῦ στόματος κοιλίας ἐπιληπτικῶς σπωμένους, ὁπότε σφοδρῶς ἠπέπτησαν, ἢ οἴνου πλέονος ἀκρατεστέρου πίνοιεν, ἢ ἀφροδισίοις ἀκαιρότερον χρήσοιντο· τινὰς δ' ἐν πυρετοῖς ἐθεασάμην σπασθέντας ἐξαίφνης οὐδενὶ προηγησαμένῳ σημείῳ τῶν προδηλούντων σπασμὸν, οἷς ἐπιγενομένου χολώδους ἐμέτου παραχρῆμα συνέβη πάντων ἀπαλλαγῆναι τῶν ὀχληρῶν. ἔνιοι δὲ τῶν οὕτω παθόντων ἤμεσαν φαιὰ, καί τινες ὅμοια πράσου χυλῷ, τινὲς δ' ὑπὸ πλήθους ἐδεσμάτων μοχθηρῶν βαρυνόμενοι καρώδεις ἐγίνοντο, μέχρι τοῦ τὰ θλίβοντα τὸ στόμα τῆς κοιλίας ἐξεμέσαι πάντα. τούτων οὐδὲν ἤλπισεν ἄν τις ἐπὶ στόματι κοιλίας γενέσθαι, καθάπερ οὐδὲ τὰς συγκοπὰς, εἰ μὴ πολλάκις ἑωρᾶτο γιγνόμενα· νεύρων γὰρ ἔχει πλῆθος ἐξ ἐγκεφάλου καθηκόντων, οὐ μὴν ὥστε προσδοκῆσαι δι' αὐτῶν εἰς τοσοῦτον συμπαθείας ἀφικέσθαι

quibus poftea fuperftes permanfit, integra valetudine vitam exegit; quod fi aliquando ob ingruentia negotia diutius a cibo abftinere cogeretur, breviffima quadam convulfione vexabatur. Jam alios quoque vidimus convulfione comitiali ob oris ftomachi vitium correptos, quum aut non probe concoxiffent, aut vini meracioris plurimum potaffent, aut veneri intempeftivae operam dediffent. Quinetiam per febres quosdam confpeximus derepente convulfione prehendi, nullo quod eam praesagiret praecedente indicio, qui biliofo fuperveniente vomitu protinus ab omni noxa liberati fuerunt. Atque hoc modo affectorum nonnulli fusca vomuerunt, alii porri fucco fimilia, quidam etiam vitioforum eduliorum copia gravati foporofi facti funt, donec ea quae os ventriculi opprimebant omnia evomuiffent. Atqui horum fymptomatum vix ullum crederes a ventriculi ore procedere, quemadmodum nec fyncopas quoque, nifi crebro ita evenire videretur. Nervi enim non pauci ad ipfum ex cerebro perveniunt, non tamen tot, ut per eos tantus fperari poffit

τὴν ἀρχὴν, ὡς σπασμοὺς ἐπιφέρειν· ἔτι δὲ μᾶλλον οὐδὲ τὴν καρδίαν εἰς τηλικαύτην ἔρχεσθαι συμπάθειαν πάσχοντι τῷ στόματι τῆς κοιλίας, ὡς ὀξεῖαν ἀκολουθῆσαι συγκοπήν. ἐγένοντο δὲ πολλοῖς οὐ μόνως ὀνείρατα καὶ ὕπνοι θορυβώδεις, ἀλλὰ καὶ παράνοιαι, διὰ χυμὸν μοχθηρὸν ἐν τῷ στόματι τῆς (303) κοιλίας ἀθροισθέντα. περὶ δὲ τοῦ φυσώδους τε καὶ ὑποχονδριακοῦ καλουμένου νοσήματος οὐδείς ἐστιν ὃς οὐκ εἴρηκεν, ὅπως δυσθύμους καὶ δυσέλπιδας καὶ σκυθρωποὺς ἀπεργάζεται, καὶ τὸ σύμπαν φάναι μηδὲν ἀπολειπομένους τῶν μελαγχολικῶν. φαίνονται δὲ καὶ οὗτοι μετὰ τὰς ἀπεψίας σφοδρότερον ἁλισκόμενοι τοῖς εἰρημένοις συμπτώμασιν· οἱ πλείους δ' αὐτῶν καὶ σπληνώδεις εἰσὶν, ὡς λογίσασθαί τινα, κἀκ τούτου τοῦ σπλάγχνου συῤῥεῖν εἰς τὴν γαστέρα μοχθηρὸν ἰχῶρα. ὅσα μὲν οὖν κατὰ τὸν ἐγκέφαλον ἢ τοὺς ὀφθαλμοὺς γίγνεται συμπτώματα, μοχθηρῶν ἀναθυμιάσεσιν ἕπεται χυμῶν· αἱ στομαχικαὶ δὲ συγκοπαὶ διὰ τὴν ἰδιότητα τῶν κατ' αὐτὸν ἀλγημάτων ἔκλυσιν ἐπιφέρουσιν, ἴσως δὲ καὶ τῆς δυσκρασίας αὐτοῦ διϊκνουμένης εἰς τὴν καρδίαν, ὡς κἀκείνης

principii confenfus, ut inde convulfione inferatur, atque magis etiam, cor ipfum tam vehementer ori ventriculi confentire, ut protinus fequatur fyncope. Porro multos non folum infomnia et fomni tumultuofi moleftant, fed amentia quoque, propter vitiofum humorem in ore ventriculi acervatum. De flatulento vero vocato et hypochondriaco morbo nemo non dixit, quomodo triftitiam, desperationem, moeftitiam inducat, atque ut fummatim dicam, ad melancholiae fymptomata nihil reliqui faciat. Atque hi etiam apparent, poft cruditates, dictis fymptomatis multo vehementius infeftari; plures ex ipfis fplenici quoque funt; unde conjiciat quis ex hoc etiam viscere vitiofam faniem in ventriculum irruere. Ergo quae fymptomata vel cerebrum vel oculos afficiunt, vitioforum humorum vaporationem fequuntur. At fyncope ftomachica ob dolorum proprietatem exolutionem inducit, ejus quoque intemperie ad cor fortaffis perveniente, ut quum id quoque vehementem intemperiem

ἐν δυσκρασίᾳ μεγάλῃ γινομένης ἀθρόαν κατάπτωσιν ἀκολουθῆσαι τῆς δυνάμεως. εὔδηλον δ᾽ ὅτι καὶ ταῖς γυναιξὶν αἱ καλούμεναι κίτται γίγνονται τοῦ μορίου τούτου πάσχοντος· ὅσα γὰρ ὀρεγομέναις κυνωδῶς ἢ μηδ᾽ ὅλως ὀρεγομέναις ἢ μοχθηρῶν ἐδεσμάτων ὀρεγομέναις γίγνεται, ταῦτα πάντα τοῦ τῆς ὀρέξεως ὀργάνου παθήματά ἐστι, ὃ ἐδείχθη τὸ στόμα τῆς γαστρός. ὡσαύτως δὲ καὶ αἱ καλούμεναι ναυτίαι τούτου τοῦ μέρους εἰσὶ παθήματα, καθάπερ γε καὶ καρδιαλγίαι καὶ λύγγες. [494] τὰς δ᾽ αἰτίας ἁπάντων τῶν τοιούτων παθημάτων ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις εἴπομεν, ὥστ᾽ οὐδὲν ἔτι δεῖ διατρίβειν ἐν τῷδε. καὶ γὰρ ὅσαι κατὰ δυσκρασίαν αὐτῷ γίγνονται διαφοραὶ νοσημάτων, ὡς ὁμοιομερεῖ σώματι συμβαίνουσαι, διήλθομεν ἐν ἐκείνοις· ὅσα δ᾽ αὐτῷ συμπίπτειν εἴωθεν ὀργανικὰ νοσήματα, σαφῆ τὴν διάγνωσιν ἔχει, καὶ λαθεῖν ὑμᾶς οὐκ ἂν οὐδὲν αὐτῶν δύναται μεμνημένους τῶν κοινῶν ἐπ᾽ αὐτοῖς σημείων, ἔμπροσθέν τε λελεγμένων ἐν τοῖσδε τοῖς ὑπομνήμασιν ἐν ἑτέροις τέ τισιν εἰρησομένων. οὔτε γὰρ ἀποστήματα γιγνόμενα κατὰ τὸν τόπον τοῦτον οὔτε φλεγμονώδεις ἢ ἐρυσιπελατώδεις ὄγκοι λάθοιεν ἂν ἡμᾶς,

fusceperit, vires celeriter cadere neceſſe ſit. Atque conſtat etiam picas vocatas mulieribus accidere, ubi haec pars affecta eſt; quae enim aut canum more, aut nihil omnino, aut malos cibos appetunt, iis haec omnia appetentiae inſtrumento laeſo accidere certum eſt, quod os ventriculi eſſe demonſtratum eſt. Sic etiam nauſeae vocatae, cardialgiae, ſingultus hujusce partis ſunt affectus. Verum omnium harum affectionum cauſas in libris de ſymptomatum cauſis jam diximus, ut nihil nunc opus ſit in his immorari. Etenim quae per intemperiem ipſi ut ſimilari corpori morborum differentiae adveniant, in illis enarravimus; qui vero organici morbi ei oboriri conſueverunt, manifeſtas habent notas, ut vos latere nequeant, ſi communia eorum ſigna tum in his antea commentariis prodita, tum in aliis quibusdam enarranda, memoria tenueritis. Neque enim abſceſſus, neque tumores phlegmonodes, aut eryſipelatodes, ut neque ulcera hujus

ὥστ᾽ οὐδ᾽ ἕλκη· διάγνωσις μὲν γὰρ αὐτῶν κοινὴ τοῖς ἐπὶ τοῦ στομάχου προειρημένοις, ἐναργεστέρα δὲ τοσοῦτον, ὅσον αἰσθητικώτερόν ἐστι τὸ μόριον τοῦτο καὶ πρόχειρον καὶ σαφῆ τὴν διάγνωσιν ἔχον. ὡσαύτως δὲ καὶ περὶ τῆς τοῦ αἵματος ἐξ αὐτοῦ πτύσεως ἡ μὲν τῶν σημείων ἰδέα κοινὴ τοῖς ἐπὶ στομάχου προειρημένοις, ἡ διάγνωσις δ᾽ ἐναργεστέρα. εἰκὸς μὲν δήπου καὶ τὸ κύτος ὅλον τῆς κοιλίας ἐν ὁμοίᾳ διαθέσει ταῖς ἐπὶ τοῦ στόματος αὐτῆς εἰρημέναις γίγνεσθαι, καὶ τὰ συμπτώματα φέρειν ὅμοια, τῷ δ᾽ εἶναι πολὺ βιαιότερα τὰ κατὰ στόμα, παρορᾶσθαί τε καὶ καταφρονεῖσθαι πρὸς τῶν ἰατρῶν, ὡς οὐδ᾽ ὅλως γιγνόμενα, τὰ κατὰ τὸ κάτω μέρος τῆς γαστρός. ἀλλὰ τό γε τῆς πέψεως ἔργον ἐν τοῖς μετὰ τὸ στόμα μέρεσι γίγνεσθαι πάντες ὡμολογήκασιν, ὥστε καὶ τῶνἀπεψιῶν αἴτιον γίγνεται τοῦτο μὴ καλῶς διακείμενον, ὅτ᾽ ἂν δηλονότι μὴ διὰ τῶν ἐδεσμάτων ἀταξίαν ἢ τὸ πλῆθος ἢ τὴν ποιότητα συμβῇ τὸν ἄνθρωπον ἀπεπτῆσαι. ὅσα δ᾽ ἄλλα νοσήματα κοινὰ πάντων ἐστὶ τῶν μορίων, ὀργανικά τε καὶ κατὰ μόνην δυσκρασίαν, εὔδηλον ἔχοντα τὸν πεπονθότα

loci, nos fugiant; ipforum enim dignotio praedictis ftomachi affectibus communis eft, atque illis eo manifeftior, quo facilior huic parti fenfus eft ac claram promptamque dignotionem habet. Similiter autem ubi ex hac parte fanguis rejicitur, fignorum fpecies communis eft praedictis ftomachi affectibus, verum dignotio manifeftior. Par eft quoque fcilicet, totum ventriculi fpatium fimili affectu corripi, quales funt illi, quos in ipfius ore fieri diximus, atque eadem pati fymptomata; quod vero longe vehementiora fint ea, quae ipfius orificio contingunt, idcirco a medicis ea quae in parte ventriculi inferiore eveniunt, perinde ac fi omnino non fierent, despici et contemni. At coctionis opus in partibus orificio inferioribus fieri omnes conceflerunt, quare hae non probe difpofitae, cruditatum funt caufa; quum videlicet non ob inordinatam eduliorum ingeftionem aut multitudinem aut qualitatem hominem non concoquere accidit. Qui vero morbi caeteris partibus funt communes, tum organici tum per folam intemperiem, fedes affectas manifeftas obfidentes,

Ed. Chart. VII. [494.] Ed. Baf. III. (303.)

τόπον, οὐκ ἔστιν ἴδια τῆς ἐνεστώσης πραγματείας· ἐν αὐτῇ γὰρ ὅσα διαφεύγει μόρια τὴν αἰσθητικὴν γνῶσιν, ὑπέκειτο σκοπεῖσθαι. περὶ δὲ τῶν ἐμούντων ἐξ αὐτῆς αἷμα διαπεφώνηταί πως, οἰομένων τινῶν ἀδύνατον εἶναι δι᾽ αὐτῆς γενέσθαι κένωσιν αἵματος ἐξ ἥπατος ἢ σπληνὸς ὁρμηθέντος, ὥσπερ οὐδὲ πύου συῤῥαγέντος ἐξ αὐτῶν· ἐμοὶ δ᾽ ἐπὶ τῶν ἔργων ἐξετάσαντι τὴν ἑκατέρων δόξαν ἐφαίνετο γίγνεσθαί ποτε δι᾽ αὐτῆς κένωσις ἐκ τῶν εἰρημένων σπλάγχνων· ἀλλ᾽ εἰς τὸν περὶ ἐκείνων λόγον ἡ τῶν τοιούτων ἀναβεβλήσθω διδασκαλία; καὶ γὰρ ἐφεξῆς τοῖς εἰρημένοις ἔγνωκα περὶ τῶν καθ᾽ ἧπάρ τε καὶ σπλῆνα διελθεῖν παθῶν.

Κεφ. ζ΄. Καὶ κατὰ τοῦτο τὸ μόριον ὥσπερ καὶ κατὰ τἄλλα πάντα διττὸν γένος τῶν νοσημάτων ἐστὶ, τὸ μὲν ἕτερον ἐπὶ δυσκρασίᾳ μόνῃ καὶ χωρὶς ὄγκου παρὰ φύσιν, ἅμα δὲ τοῖς ὄγκοις ἐρυσιπέλατά τε καὶ φλεγμοναὶ καὶ σκίῤῥοι καὶ πνευματικαὶ διατάσεις, καὶ χυμῶν παχέων ἢ γλίσχρων ἐμφράξεις ἐν τοῖς πέρασι τῶν ἀγγείων γιγνόμεναι, ὅσα τῆς ἐπὶ ταῖς πύλαις αὐτοῦ φλεβὸς ἀφώρμηνται.

ad praefentem tractatum proprie non pertinent; nam in eo partes, quae fenfus judicium effugiunt, confiderare propofitum eft. Sed de fanguinem ex ipfo vomentibus non convenit plane, quum quidam putent nequaquam fieri poffe, ut fanguis vel ab hepate vel a liene affluens per ipfum evacuetur, ut neque pus ab ipfis erumpens. Verum enim vero per artis exercitationem utramque opinionem examinanti mihi vifa eft per ipfum fieri nonnunquam evacuatio ex dictis visceribus. Caeterum differatur hujus rei doctrina in eum locum, ubi de ipfis fermonem faciemus; etenim deinceps et jecoris et lienis affectus percurrere propofitum eft.

Cap. VII. Huic etiam parti, quemadmodum et caeteris omnibus, duplex morborum genus infidet, unum fola intemperie citra tumorem praeter naturam, cum tumoribus vero inflammationes, eryfipelata, fcirrhi, flatulentae diftentiones, obftructiones a craffis et lentis humoribus in extremis vaforum partibus, quae ex vena ipfius portarum exori-

ταύταις μὲν οὖν ἕπεται βάρους αἴσθησις, ἐγκειμένου κατὰ τὸ δεξιὸν ὑποχόνδριον· [495] ὅταν δὲ καὶ πνεύματος ἀμμώδους ἀθροισθῇ πλῆθος οὐκ ἔχοντος διέξοδον, οὐ βάρους μόνον, ἀλλὰ καὶ τάσεως αἴσθησις γίγνεται. καὶ τὰς φλεγμονὰς δὲ, ὅσαι χωρὶς ἀτονίας τοῦ σπλάγχνου γίγνονται, τὰς μὲν ἐν τοῖς κυρτοῖς αὐτοῦ μέρεσι γινομένας, καὶ μάλισθ' ὅταν ὦσιν μεγάλαι, ῥᾷστον ἂν ἡμῖν γνωρίζειν ἐστὶ καὶ διὰ μόνης τῆς ἁφῆς· τὰς δ' ἐν τοῖς σιμοῖς διὰ τῶν ἑπομένων συμπτωμάτων μᾶλλον ἢ διὰ τῆς ἁφῆς. ἄρξομαι δ' ἀπὸ τῶν κατὰ τὰ κυρτὰ γιγνομένων, ἀναμνήσας ὑμᾶς πρότερον ὧν ἐν ταῖς ἀνατομαῖς ἐθεάσασθε τῶν μετὰ τὸ δέρμα τεταγμένων μυῶν, ὀκτὼ τὸν ἀριθμὸν ὄντων ἐν συζυγίαις τέτταρσιν. ἔστι γὰρ αὐτῶν ἡ μέν τις ὀρθίων μυῶν ὅλων σαρκωδῶν, ἀπὸ τῶν κατὰ τὰ στέρνα τόπων ἐπὶ τὰ καλούμενα πρὸς τῶν ἀνατομικῶν ἥβης ὀστᾶ καθηκόντων· ἑτέρων δὲ τριῶν ἄχρι τοῦ ψαῦσαι τῶν ὀρθίων, τὸ σαρκῶδες αὐτῶν μέρος ἐχόντων, ὅταν δ' ἅψωνται πρῶτον αὐτῶν, εἰς ἀπονεύρωσιν ὑμενώδη τελευτώντων. ἡ μὲν οὖν

untur. Has quidem *obftructiones* fequitur gravitatis fenfus, dextro hypochondrio incumbentis; quum vero et halituofi fpiritus exitum non habentis copia cumulata eft, non folum gravitatis, fed tenfionis etiam fenfus fequitur. Inflammationes vero etiam, quae citra visceris imbecillitatem nascuntur, fi in gibba ipfius parte confiftant, praecipue fi grandes fuerint, perfacile nobis eft vel folo tactu dignoscere, at fimarum partium inflammationes, aliis potius fymptomatis comitantibus, quam tactu dignoscuntur. Incipiam igitur ab iis quae in parte gibba oriuntur, fi prius vos admonuero eorum, quos in corporum diffectione confpexiftis, musculorum fub cute locatorum, qui octo numero funt, quatuor contenti conjugationibus; earum enim prima ex musculis conftat rectis per totum carneis, a fterni locis ad pubis offa ab anatomicis vocata descendentibus; at reliquarum trium conjugationum musculi usque ad rectorum contactum carnea parte conftant; ubi vero primum illos attigerunt, in denervationes membranofas degenerant; horum igitur musculorum una

Ed. Chart. VII. [495.] Ed. Baf. III. (303.)

μία συζυγία τῶν μυῶν τούτων, ἥπερ καὶ πάντων ἔξωθέν ἐστιν, ἀπὸ τοῦ θώρακος καταφέρεται λοξὴ πρόσω τε καὶ κάτω φερομένη· δευτέρα δ᾽ ἑτέρα κατὰ τοὐναντίον τῇδε, κάτωθεν ἐρχομένη, πρόσω τε καὶ ἄνω φέρεται λοξή· ταύτῃ δ᾽ ὑποβέβληται τρίτη συζυγία μυῶν ἐγκάρσιον ἐχόντων θέσιν, ἐπιβεβλημένων τῷ περιτοναίῳ. τῶν μὲν οὖν ὀρθίων μυῶν οἱ παρὰ φύσιν ὄγκοι προμήκεις τέ εἰσι καὶ κατὰ τὸ μέσον ὅλης τῆς γαστρὸς ἐκτείνονται, περιλαμβάνοντες τὸν ὀμφαλὸν, ὥσπερ αὐτὸ τὸ ζεῦγος τῶν μυῶν· ὥστ᾽ εἰκότως εὔδηλον ἔχει τοῦτο τὴν διάγνωσιν, ἐλεγχομένην ἔκ τε τῆς θέσεως καὶ τοῦ σχήματος, καὶ προσέτι τοῦ μηδένα μῦν ἔξωθεν αὐτῶν προκεῖσθαι. κοινὰ δὲ ταῦτ᾽ ἐστὶν καὶ τοῖς ἐκ τοῦ θώρακος καταφερομένοις λοξοῖς. οἱ δ᾽ ὑποβεβλημένοι τούτοις χαλεπωτέραν ἔχουσι τὴν διάγνωσιν, ἁπάντων τε δυσκολωτάτην οἱ ἐγκάρσιοι. τὸ δ᾽ ἧπαρ εὔδηλον ὅτι καὶ τούτων ἔνδον ἐστὶν ὑπὸ τῷ περιτοναίῳ. τριῶν οὖν ἐπιβεβλημένων αὐτῷ μυῶν, ἡ διὰ τῆς ἁφῆς γνῶσις ἀδύνατός ἐστιν, ἄνευ τοῦ μεγάλην αὐτοῦ γενέσθαι τὴν

conjugatio, quae quidem reliquis omnibus exterior eft, a thorace obliqua deducitur, in anteriores partes et deorfum descendens, altera huic contraria, ab infernis exorta partibus, obliqua ad interiores et fuperiores afcendit; huic tertia musculorum conjugatio fubjicitur, qui transverfum habent fitum atque peritonaeo innituntur. Rectorum ergo musculorum tumores praeter naturam oblongi funt atque per medium totius ventris extenduntur, umbilicum quemadmodum ipfum musculorum par comprehendentes; quapropter merito haud obfcura eft eorum dignotio, quos et fitus et figura declarat, accedente ad haec, quod ipfi a nullo exteriore musculo conteguntur. Haec autem obliquis quoque musculis a thorace defcendentibus funt communia. At multo difficilior eft dignotio musculorum, qui his fubjecti funt, difficillima vero transverforum. Conftat autem jecur intra hos fub peritonaeo effe pofitum; quum itaque tribus contegatur musculis, fieri non poteft, ut tactus aliquam ipfius notitiam praeftet, nifi vel magna in ipfo oriatur inflammatio, vel incum-

φλεγμονὴν, ἢ λεπτυνθῆναι τοὺς ἐπικειμένους μῦς. ἀλλὰ τό γε κατὰ τὸ δεξιὸν ὑποχόνδριον βάρος, ἥ τ' ἀνασπῶσα ἐξεπίτηδες ὅλον τὸ ὑποχόνδριον ὀδύνη, τό τ' εἰς τὴν κλεῖν ἄλγημα διατεῖνον, καὶ γὰρ καὶ τοῦτό ποτε γίγνεται, βηχία τε σμικρὰ, καὶ τὸ τῆς γλώττης χρῶμα κατ' ἀρχὰς μὲν ἐρυθρότερον γιγνόμενον, ὕστερον δὲ καὶ μελαινόμενον, ἀνορεξία σφοδρά τε καὶ δίψος ἄπαυστον, καί τινες ἔμετοι χολῆς ἀκράτου τε καὶ λεκιθώδους, ὕστερον δέ ποτε καὶ ἰώδους, ἐνδείκνυται πεπονθέναι τὸ ἧπαρ· ἐπίσχεται δ' αὐτοῖς (304) καὶ ἡ γαστὴρ, ἐάν γε μὴ σὺν ἀτονίᾳ τοῦ σπλάγχνου συμβῇ γίγνεσθαι τὴν φλεγμονήν. ὅμοια δὲ τούτοις ἐστὶ καὶ τὰ τοῦ ἐρυσιπέλατος συμπτώματα, καὶ πυρετὸς ἅμα δίψει σφοδροτάτῳ γίγνεται τούτοις· τοὺς γὰρ ὑπὸ τῶν παλαιῶν ὀνομαζομένους καύσους ὡς τὸ πολὺ γιγνομένους ὁρῶμεν ἐπὶ ταῖς τοῦ ἥπατος ἢ κοιλίας φλογώδεσι διαθέσεσι· γίγνονται μὲν γὰρ καυσώδεις πυρετοὶ καὶ δι' ἐρυσιπελατώδη φλεγμονὴν πνεύμονος, ὥσπέρ γε καὶ καθ' ὅλον τὸ σῶμα διὰ σηπεδόνα χυμῶν χολωδῶν εἰς ἄμετρον ζέσιν ἀφικομένων, ἀλλ' οἱ σφοδρότατοι διὰ γαστέρα καὶ ἧπαρ εἰώθασι

bentes ei musculi extenuati fuerint. Sed jecur affici declarant in dextro hypochondrio gravitas, dolor totum hypochondrium retrahens, atque ipfius doloris usque ad jugulum extenfio, nam et hoc nonnunquam evenit, exigua tuffis, linguae color in primis quidem magis ruber, deinde vero niger evadens, ingens cibi faftidium, fitis inexhaufta, vomitus quidam tum fincerae bilis, tum ovorum luteis fimilis ac poftea interdum aeruginofae; alvus quoque adftringitur, nifi cum visceris imbecillitate inflammationem excitari contingat. Eryfipelatis autem fymptomata his etiam fimilia funt et his febris quoque cum vehementiffima fiti accidit; eas enim febres, quas caufos antiqui vocabant, magna ex parte advenire videmus jecoris aut ventriculi flammeis affectibus. Ex pulmonis enim etiam inflammatione eryfipelatode ardentes febres excitantur, quemadmodum et ubi in univerfo corpore biliofi humores putrescentes ad immoderatum fervorem perveniunt; verum ob jecur et ventriculum creari confueve-

γίγνεσθαι, ἐφ' οἷς μορίοις τοὐπίπαν ἡ μετάπτωσις ἐκ τῶν τοιούτων πυρετῶν εἰς μαρασμὸν τελευτᾷ. [496] περὶ μὲν οὖν μαρασμοῦ γέγραπται κατὰ μόνας· αἱ δὲ κατὰ τὰ σιμὰ μέρη τοῦ ἥπατος γιγνόμεναι φλεγμοναὶ πλεονεκτοῦσι τῶν ἐν τοῖς κυρτοῖς, ἀνορεξίαις τε καὶ ναυτίαις, ἐμέτοις τε χολώδεσι καὶ δίψει σφοδρῷ, καθάπερ αἱ ἐν τοῖς κυρτοῖς τῶν ἐν τοῖς σιμοῖς, τῷ μᾶλλον ὀδυνᾶσθαι κατὰ τὰς εἰρημένας ἀρτίως ἀναπνοὰς, καὶ τῷ βηχία κινεῖν, ἀνατείνεσθαί τε μέχρι τῆς δεξιᾶς κλειδὸς τὴν ὀδύνην, ὡς κατασπᾶσθαι δοκεῖν αὐτήν. αἱ νόθαι δὲ πλευραὶ συναλγοῦσι ἀμφοτέροις ἐνίοτε, καὶ τοῦτ' αὐτοῖς κοινὸν εἰκότως ἐστὶ, συμβαῖνον οὐ πᾶσι, ὅτι μὴ συνῆπται πᾶσι δι' ὑμένων τὸ ἧπαρ ταῖς πλευραῖς, ὡς ἔστιν οὐ μόνον ἐπὶ πιθήκων, ἀλλὰ καὶ τῶν ἄλλων ζώων θεάσασθαι· τοῖς μὲν γὰρ φαίνεται συνημμένον, τοῖς δ' οὔ. γίγνεται μὲν οὖν ποτε καὶ τῶν κυρτῶν τοῦ σπλάγχνου μόνον φλεγμονὴ, καθάπερ γε καὶ τῶν σιμῶν· οὐ μὴν συστῆναί γε δύναται κατὰ θάτερον τῶν μερῶν, ἀκριβῶς περιορισθεῖσα, συνεχὴς γάρ ἐστιν ἡ σὰρξ τοῦ σπλάγχνου κατὰ πάντα αὐτοῦ

runt vehementiffimae, a quibus partibus ejusmodi febrium magna ex parte in marcorem transmutatio definit. Ac de marcore quidem feorfum fcriptum eft; quae vero in fimis jecoris partibus oriuntur inflammationes, magis quam quae in ejus gibbis fiunt, inappetentiam, naufeam, vomitum biliofum, fitim ingentem inducunt; ut quae in gibbis, majori quam quae in fimis, inter refpirandum dolore, ut dictum eft, laborantem afficiunt, magisque tuffim excitant, atque dolorem usque ad dextrae partis jugulum, adeo ut detrahi videatur, extendunt. At utrique parti nonnunquam nothae coftae condolent, atque hoc eis commune jure accidit, non omnibus, quod jecur per membranas non omnibus coftis adhaereat; ut non folum in fimiis, fed in aliis quoque animalibus videre eft; etenim aliis quidem conjunctum apparet, aliis minime. Igitur quemadmodum interdum in gibbis duntaxat, ita et in fimis hujus visceris partibus, inflammatio oritur; quamvis in neutra partium exquifite diftincta poffit confiftere; nam omnium visceris partium carnes inter fefe

τὰ μόρια. τοῖς μὲν τῇ φύσει λεπτὸν ἔχουσι τὸ ἐπιγάστριον, ὅταν καὶ διὰ τὸ νόσημα γένηται λεπτότερον, ὑποπίπτουσι σαφέστερον αἱ μεγάλαι φλεγμοναὶ τοῦ ἥπατος, ἴδιον ἔχουσαι παρὰ τοὺς ἐπικειμένους μῦς τὸ κατὰ περιγραφὴν ἀθρόαν παύεσθαι τὸν ὑποπίπτοντα ταῖς χερσὶν ὄγκον· ἕκαστος γὰρ τῶν μυῶν, ἅτε συνεχὴς ὅλως ὑπάρχων ἑαυτῷ, κατὰ βραχὺ μειούμενον ἔχει τὸν ὄγκον τῆς φλεγμονῆς, τῷ δ' ἥπατι μόνῳ συμβέβηκεν ἀθρόως περιγραφόμενον ἴσχειν αὐτόν. εὔδηλον δ' ὅτι σκιῤῥούμενον ἐναργεστέραν ἔχει τὴν διάγνωσιν, αὐτοῦ τε τοῦ κατὰ τὸν σκίῤῥον ὄγκου σκληροτέρου τῶν φλεγμονῶν ὑπάρχοντος καὶ λεπτυνομένων τῶν ἐπικειμένων σωμάτων ἐν ταῖς τοιαύταις διαθέσεσι. προϊόντος δὲ τοῦ χρόνου, καίτοι μείζονος γιγνομένου τοῦ κατὰ τὸν σκίῤῥον ὄγκου, συμβαίνει τὴν διάγνωσιν αὐτοῦ πρός τε τὴν ἁφὴν δυσκολωτέραν γίγνεσθαι, τῷ φθάνειν ἤδη παρέγχυσιν ὑδερικὴν ἕπεσθαι· χωρὶς μὲν γὰρ τοῦ παθεῖν τὸ ἧπαρ οὐκ ἂν γένοιτο τοιοῦτον πάθος, οὐκ ἀεὶ δὲ κατὰ πρωτοπάθειαν αὐτοῦ συνίσταται, κἂν ὅτι μάλιστα διὰ τοῦτο γίγνηται. διότι μὲν γὰρ αὐτὸ τῆς αἱμα-

continuantur. Quibus natura abdomen gracile eſt, quum morbo gracilius efficitur, in iis facile eſt videre ingentes jecoris inflammationes, quae propriam hanc musculis incumbentibus ſortiuntur differentiam, quod tumor, qui manibus percipitur, ad coacervatam circumſcriptionem deſinat; musculus enim quisque ut totus ſibi continuus, inflammationis ipſius tumorem qui ſenſim diminuatur habet; at ſoli jecori accidit, ipſum collectione circumſcriptum habere. Conſtat autem eum, ſi ſcirrhus evadat, evidentiorem ſortiri dignotionem, tum quod durior ſit ſcirrhi quam inflammationis tumor, tum quod in hujusmodi affectibus extenuentur corpora ei incumbentia. At vero tractu temporis, quamvis major procreetur ſcirrhi tumor, dignotionem ejus difficilius tactu deprehendi contingit, quod jam effuſio hydropica ſequatur; niſi enim hepar afficiatur, haudquaquam fieri poteſt hujusmodi affectus; ſed non ſemper ob primariam ejus affectionem excitatur, quamvis prorſus ob hoc fiat. Etenim quia

Ed. Chart. VII. [496.]. Ed. Baf. III. (304.)

τώσεώς ἐστιν ὄργανον, ἀκόλουθόν ἐστιν ἀποτυγχάνεσθαι τὴν ἐνέργειαν ἐπὶ τῇ τοῦδε τοῦ σπλάγχνου κακώσει· συμβαίνει δ᾽, ὡς ἔφην, ἄλλοτ᾽ ἄλλου μέρους ἐν δυσκρασίᾳ πάνυ ψυχρᾷ γιγνομένου διαδίδοσθαι τὴν ψύξιν εἰς ἧπαρ. ἐπὶ μὲν οὖν σπληνὶ καὶ κοιλίᾳ καὶ πᾶσι τοῖς ἐντέροις, καὶ μάλιστα τοῖς κατὰ τὴν νῆστιν, αἱ κατὰ τὸ μεσεντέριον ἅπασαι φλέβες ἑκτικὴν δυσκρασίαν παθοῦσαι, συγκαταψύχουσιν ἑαυταῖς ῥᾳδίως τὰς ἐν τοῖς σιμοῖς μέρεσιν τοῦ ἥπατος ἁπάσας φλέβας, ἐξ ὧν καὶ εἰς αὐτὸ τὸ σῶμα τοῦ ἥπατος ὅλον ἡ διάδοσις γίγνεται τῆς δυσκρασίας· ἐπὶ δὲ πνεύμονι καὶ διαφράγματι καὶ νεφροῖς αἱ κατὰ τὰ κυρτὰ τοῦ σπλάγχνου φλέβες εἰς συμπάθειαν ἔρχονται πρότεραι, συνδιατίθεται δὲ τῷ χρόνῳ δηλονότι καὶ ταύταις ὅλον τὸ σπλάγχνον. ταῦτα μὲν οὕτως ἔχειν ὡς εἴρηται νῦν, οὐδεὶς ἂν ἀμφισβητήσειεν, πλὴν εἴ τις ἐριστικὸς, ἢ παντάπασιν ἀμαθὴς εἴη· περὶ δὲ τῶν ἐμφράξεων οὐχ ὁμοίως εὔδηλον. ὅτι μὲν γὰρ αἱ κατὰ τὰ σιμὰ τοῦ σπλάγχνου φλέβες, ἀπὸ τῆς ἐπὶ πύλας πεφυκυῖαι τελευτῶσιν εἰς λεπτότατα πέρατα, σαφῶς φαίνεται, καθάπερ γε καὶ ὅτι

ipfum procreationis fanguinis inftrumentum eft, confequens eft, vitio hujus visceris actionem fruftrari; accidit autem, ut dixi, quum alias aliam partem frigida admodum intemperies afficit, in hepar frigus propagari. Igitur a liene, vel ventriculo, vel inteftinis univerfis, maxime jejuno, mefentericae venae omnes hectica intemperie affectae facile una refrigerant omnes fimarum jecoris partium venas, unde in hepatis quoque corpus univerfum intemperiei fit propagatio; at a pulmone, vel fepto transverfo, vel renibus, inprimis venae quae in visceris hujus partibus gibbis confiftunt, per confenfum afficiuntur, deinde tractu temporis fcilicet totum hepar quoque eodem affectu infeftatur. Quae hucusque diximus, ea fic fe habere nemo inficiabitur, nifi forte quis aut natura contentiofus, aut omnino fuerit indoctus; de obftructionibus vero non peraeque conftat. Etenim quod fimarum visceris partium venae ab ea quae in portis eft, exortae, in tenuiffimas extremitates finiantur, haud obfcure apparet, ut

πρὸς τὸν αὐτὸν ἀφικνεῖται τόπον ἕτερα πέρατα τῶν ἀπὸ τῆς κοίλης εἰς τὰ κυρτὰ τοῦ σπλάγχνου κατασχιζομένων· οὐ μὴν [497] αἵ γε συναναστομώσεις αὐτῶν ὁρῶνται, οὐ μὴν οὐδ' ἠμφισβήτησέν τις, ἀλλὰ πάντες ὡς ἐξ ἑνὸς στόματος ἀπεφήναντο, τὴν ἀναδιδομένην τροφὴν εἰς ὅλον τὸ σῶμα, διεξελθοῦσαν πάσας τὰς κατὰ τὰ σιμὰ φλέβας, εἰς τὰς κατὰ τὰ κυρτὰ μεταλαμβάνεσθαι διὰ τῶν εἰρημένων περάτων. ὁμολογουμένου δὴ τούτου, καὶ τοῦ τῶν φλεβῶν φλεγμαινουσῶν τε καὶ σκιῤῥουμένων ὄγκου στενοῦντος τὴν διέξοδον τοῦ αἵματος, εὔλογον εἶναι φαίνεται, καθάπερ ἔδοξέ τισιν, ὅσον λεπτόν ἐστι καὶ ὑδατῶδες ἐν αἵματι, μεταληφθήσεσθαι, καὶ πάντη τοῦ σώματος ἐνεχθήσεσθαι, τὸ δ' ἀκριβὲς αἷμα τὸ διὰ πάχος αὐτοῦ κατὰ τὰ σιμὰ τοῦ σπλάγχνου μένον αἴτιον αὐτῷ γενήσεσθαι πληθωρικῶν νοσημάτων. ἀνασκεπτομένοις ἡμῖν τὴν δόξαν τήνδε τὸ μέν τι τοῖς εἰρημένοις ὁμολογεῖν ἐδόκει, τὸ δέ τι καὶ διαφέρεσθαι τοῖς φαινομένοις. τὸ μὲν γὰρ ὑδατῶδες ἐν αἵματι, μεταληφθὲν εἰς τὴν κοίλην φλέβα, πανταχόσε τοῦ σώματος ἀναδίδοσθαι

et quod ad eundem locum aliae quoque venarum extremitates a cava vena in gibbas visceris partes diſtributarum perveniant; at quomodo per ſua orificia ipſae inter ſe conjungantur, videre nequaquam poſſumus, neque tamen dubitat aliquis, ſed omnes uno ore enunciant, cibum qui univerſo corpori diſtribuitur, per omnes ſimarum partium venas trajectum, in gibbas partes per dictas extremitates transſumi. Quod ſi fateamur et ſanguinis tranſitum ob tumoris venarum quae inflammatione et ſcirrho occupantur, molem conſtringi, rationi conſentaneum eſſe videtur, ut nonnullis placuit, ut pars, quae in ſanguine tenuis atque aquoſa eſt, transſumatur atque vehatur per univerſum corpus ſincerus autem ſanguis, qui propter ſuam craſſitudinem in cava visceris parte remanet, ei morborum plethoricorum cauſa efficiatur. Perſcrutantibus nobis hanc opinionem videtur partim cum ſupra dictis conſentire, partim nonnihil ab iis quae apparent differre. Quod enim aquoſa ſanguinis pars transſumpta in venam cavam usquequaque per corpus diſtribuatur, con-

Ed. Chart. VII. [497.] Ed. Baf. III. (304.)

τοῖς προομολογουμένοις ἀκόλουθον φαίνεται· καθάπερ γε καὶ τὸ παχύτερον αἷμα, στενόμενον ἐν ταῖς κατὰ τὸ σπλάγχνον φλεψὶν, εἴς τε τὴν νῆστιν καὶ τὸ λεπτὸν ἔντερον καὶ τὸ κῶλον καὶ τὸ τυφλὸν καὶ τὸ ἀπευθυσμένον ἀντικαταφέρεσθαι, τάχα δ᾽ ἄν τινα φάναι, καὶ εἰς αὐτὴν τὴν γαστέρα. οὐ μὴν φαίνεται τοῦτο γιγνόμενον οὔτ᾽ ἐπὶ τοῖς παρὰ φύσιν ὄγκοις τοῦ ἥπατος οὔτ᾽ ἐπὶ ταῖς ἐμφράξεσιν, ἀλλὰ τὸ μὲν ὅλον ἄνω καὶ κάτω σῶμα φλεγματικὸν αἷμα περιέχειν φαίνεται, κατά τε τοὺς ἀνὰ σάρκα τε καὶ λευκοφλεγματίας καὶ ὑδέρους ὀνομαζομένους. διὰ δὲ τῆς γαστρὸς οὐδὲν αἱματῶδες οὔτ᾽ ἐν τούτοις οὔτ᾽ ἐν τοῖς ἀσκίταις τε καὶ τυμπανίαις ἐκκρίνεται, τῆς δ᾽ ὑδατώδους ὑγρότητος ἐμπίπλαται τὸ μεταξὺ τοῦ περιτοναίου καὶ τῶν ὑποκειμένων αὐτῷ σωμάτων. εὐλογώτερον οὖν ἐστιν ἐπὶ τῇ ψύξει τοῦ σπλάγχνου μὴ μεταβάλλειν εἰς αἷμα τὴν ἀναδιδομένην τροφὴν, ἀλλὰ καὶ συγκαταψύχεσθαι τὰς ἐν ὅλῳ τῷ σώματι φλέβας, καὶ μάλισθ᾽ ὅτι πολλάκις ὄγκος μὲν οὐδεὶς ἐν ἥπατι φαίνεται, παρεγχύσεσι δ᾽ ὑδρωπικαῖς ἁλίσκονται, σπληνὸς κακοπραγοῦντος, ἢ τῶν κατὰ

fequi videtur ad ea quae prius conceffa funt; quemadmodum et craffiorem fanguinem, in visceris venis prae anguftia earum retentum, ad inteftinum jejunum et tenue et colon et caecum atque rectum retro ferri et, ut quispiam dixerit, in ventrem ipfum fortaffe. Non tamen id accidere videtur, neque in hepatis praeter naturam tumoribus, neque etiam in obftructionibus, verum in omnibus corporis partibus, tum fuperioribus tum inferioribus, pituitofus fanguis contineri in iis morbis, quos et anafarca et leucophlegmatias et hyderos nominant. Per alvum autem nihil cruentum, neque in iis, neque in ascite, neque in tympania excernitur, fed fpatium, quod inter peritonaeum et partes ei fubjacentes eft, aquofo humore impletur. Proinde rationi magis confentaneum eft, ut ob visceris refrigerationem cibus qui diftribuitur in fanguinem non transmutetur, fed refrigerentur cum ipfo universi corporis venae ac maxime, quod nullo plerumque tumore in jecore apparente, effufionibus hydropicis corripiantur, vitio exiftente vel in liene, vel jejuno, aut

τὴν νῆστίν τε καὶ τὸ λεπτὸν ἔντερον καὶ μεσάραιον, ἢ πνεύμονα καὶ νεφροὺς, ἢ καὶ δι' ἄμετρον αἱμοῤῥοΐδος κένωσιν, ἢ ῥοῦν γυναικεῖον, ἢ καταμηνίων ἐπίσχεσιν, ἤ τινα ἄλλην ἐν ὑστέρᾳ μεγάλην διάθεσιν· ὁρᾶται γὰρ ἐν ἅπασι τοῖς τοιούτοις, οὐδένα παρὰ φύσιν ὄγκον ἔχοντος τοῦ σπλάγχνου, τοῖς ὑδερικοῖς ἁλίσκεσθαι νοσήμασι τὸ σῶμα. μάλιστα δ' ἐναργῶς ἔστιν ἰδεῖν τοῦτο τοῖς ἱστορήσασιν ἐπ' ἀκαίρῳ πόσει ψυχροῦ καταψυχθὲν ἀθρόως τὸ ἧπαρ, ὡς εὐθέως ἐργάσασθαι παρέγχυσιν ὑδερικὴν, πρὶν εἰς ὄγκον ἀρθῆναι σκιῤῥώδη. τοῖς δ' οὕτως παθοῦσιν ὄρεξις σιτίων ἰσχυρὰ γίγνεται· καὶ οὐδὲν (305) θαυμαστὸν, ἐμάθομεν γὰρ ἐπὶ τῷ τῆς γαστρὸς στόματι ψυχομένῳ τὰς τοιαύτας ὀρέξεις συμβαινούσας. ἀλλὰ περὶ μὲν ὑδέρων ἢ ὑδρώπων ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, πρός γε τὴν ἐνεστῶσαν ὑπόθεσιν ἀρκεῖ καὶ ταῦτα.

Κεφ. η'. Πότερον δὲ διαπαντὸς ἐν τοῖς ἰκτέροις ὁ πεπονθὼς τόπος ἧπάρ ἐστιν, ἤ καί τις ἄλλη διάθεσις [498] ἐργάζεται τὸ πάθος τοῦτο, μεταβάντες ἤδη σκοπῶμεν. ὁρᾶται

tenui inteftino, aut mefaraeo, vel pulmone, vel renibus, aut etiam per immoderatam haemorrhoidis vacuationem, aut ob muliebre profluvium, aut menftruorum fuppreffionem, aut alium ingentem uteri affectum, Nam per omnes hujuscemodi affectus, viscere nullum praeter naturam tumorem habente, hydropicis corripi morbis corpus confpicitur. Id vero praecipue intelligitur ab iis, qui viderunt, ex intempeftivo aquae frigidae potu jecur affatim refrigeratum, ut ftatim hydropicam effufionem inducat, antequam in fcirrhodem tumorem attollatur; fic autem affectis vehemens ciborum appetentia oboritur; nec mirum, nam ob refrigeratum os ventriculi hujusmodi cupiditates accidere didicimus. Sed de hyderis, vel hydropibus, vel quomodocunque quispiam appellaverit, quantum ad praefens attinet propofitum, haec dixiffe fatis eft.

Cap. VIII. At utrum femper in morbo regio locus affectus fit hepar, an etiam alius quidam affectus hoc fymptoma efficiat, huc jam progreffi fcrutemur. Videmus enim

γάρ ποτε, μηδὲν ὅλως πεπονθότος τοῦ σπλάγχνου τούτου, χολῆς ὠχρᾶς ἀνάχυσις εἰς τὸ δέρμα γιγνομένη κριτικῶς, ὥσπερ ἄλλα τινὰ τῶν ἀποσκημμάτων· ὁρᾶται δὲ καὶ χωρὶς κρίσεως ἐκχολούμενον ἐνίοτε τὸ αἷμα κατά τινα διαφθορὰν ἀλλόκοτον, ὁποία καὶ θηρίων δακνόντων γίγνεται. δηχθεὶς γοῦν τις τῶν αὐτοκρατορικῶν οἰκετῶν, οἷς ἔργον ἐστὶν ἐχίδνας θηρεύειν, ἄχρι μέν τινος χρόνου τῶν συνηθῶν ἑαυτῷ φαρμάκων ἔπινέν τι, μεταβαλλούσης δ' αὐτῷ τῆς χροιᾶς ὅλης, ὡς γενέσθαι πρασοειδῆ, προσελθὼν ἡμῖν ἕκαστά τε διηγήσατο, καὶ πίνων τῆς θηριακῆς ἀντιδότου τάχιστα τὴν κατὰ φύσιν ἀνεκτήσατο χροιάν. ἐζητημένου δὲ τοῖς ἰατροῖς, εἰ φαρμακείας ἐστὶν ἴδια σημεῖα, διὰ τὸ πολλάκις ἑωρᾶσθαι χωρὶς τῶν θανασίμων φαρμάκων εἰς διαφθορὰν χυμῶν ἀφικνούμενον τὸ σῶμα παραπλησίαν τῇ διὰ τῶν φαρμάκων γιγνομένῃ, θαυμαστὸν οὐδέν ἐστι καὶ τοιαύτην ποτὲ συμβῆναι τροπὴν τῶν χυμῶν, ὡς ἰκτεριωθῆναι τὸ πᾶν σῶμα. δυνατὸν δὲ καὶ διὰ τὴν αὐτοῦ τοῦ ἥπατος ἀλλοίωσιν τῆς κατὰ φύσιν κράσεως, ἡ τοιαύτη γενέσθαι κακοχυμία, χωρὶς ἐμφράξεως ἢ φλεγμονῆς

nonnunquam, hoc viscere nequaquam affecto, criticam bilis pallidae effufionem ad cutem fieri, quemadmodum alios quosdam humorum decubitus. Videmus etiam aliquando citra crifin fanguinem ab extranea quadam corruptione in bilem verti, qualis et ferarum morfu fieri folet. Imperatoriorum fane fervorum, quibus munus eft venandi viperas, quidam morfus, aliquanto tempore medicamenta fibi confueta potabat; fed quum color univerfus mutaretur ipfi, adeo ut porraceus evaderet, accedens fingula nobis enarravit, et epota theriaca quam celerrime color fecundum naturam ei reftitutus eft. Quia vero medici investigare folent, an affumpti veneni propria extent figna, eo quod faepenumero videant citra lethalis veneni potionem humores fimiliter ut epoto veneno corrumpi, non mirum eft, fi fic aliquando mutentur humores, ut univerfum corpus auriginofum evadat. Fieri vero etiam poteft, ut jecinoris fecundum naturam temperie mutata, hujuscemodi vitio afficiantur citra obftructionem,

ἢ σκίῤῥου· καὶ γὰρ οὖν καὶ φαίνεταί γε σαφῶς, ἐνίοτε μὲν ὅμοιον ὠχρολεύκοις πόαις ὅλον τὸ σῶμα γιγνόμενον, ἐνίοτε δὲ μολίβδῳ παραπλήσιον ἔχον τὴν χρόαν, ἢ καὶ φαιοτέραν τῆσδε, καί τινας ἄλλας ἀῤῥήτους ἰδιότητας χρωμάτων, ἐπὶ κακοπραγίαις ἥπατος, ἄνευ τῶν παρὰ φύσιν ὄγκων· ὥσπέρ γε καὶ διὰ σπλῆνα τοιαῦται γίγνονται, πολλῷ μελάντεραι τῶν ἐφ᾽ ἥπατι, χαλεπαὶ μὲν ἑρμηνευθῆναι, γνωρισθῆναι δὲ ῥᾴσται τοῖς πολλάκις ἑωρακόσιν. Στησιανὸν γοῦν, ὁπότ᾽ ἐπὶ τῶν διαγνώσεων ἦν, οὐκ οἶδ᾽ ὅπως ἐδόκουν οἱ πλείους τῶν ἐπισκεπτομένων ἰατρῶν ἀπόστασιν ἔχειν ἐν ἥπατι· κἄπειδὴ πλείονι χρόνῳ μηδὲν ἐπεδίδου πρὸς τὸ βέλτιον, ἐκάλεσεν κἀμέ. θεασάμενος οὖν αὐτὸν ἅμα τῷ πρῶτον εἰσελθεῖν εἰς τὸν οἶκον, ἔνθα κατέκειτο, τοῦτο μὲν, ἔφην, ἤδη γίνωσκε, μηδὲν ἐν τῷ σπλάγχνῳ σοι κακὸν εἶναι, τὰ δ᾽ ἄλλα γυμνώσας τὸ ὑποχόνδριον εἴσομαι. καὶ ἦν τούτῳ τῶν ἐν τῷ βάθει μυῶν ἀπόστημα, καὶ συνείλεκτο πῦον ἤδη μεταξὺ τῶν τ᾽ ἐγκαρσίων καὶ

aut inflammationem, aut ſcirrhum. Nam ſane manifeſte quandoque videmus univerſum corpus herbis candenti pallore infectis ſimilari; interdum plumbeum, aut etiam magis fuscum referre colorem; interdum etiam alias quasdam ineffabiles colorum proprietates, jecore ſuo munere non recte fungente, ſine tumoribus praeter naturam. Sic ob ſplenis quoque vitia hujusmodi colores eveniunt, ſed multo nigriores quam ab hepate; quos clara interpretatione enarrare difficillimum eſt, cognoscere facillimum iis, qui illos ſaepenumero conſpexerint. Etenim Steſiano, quum medicorum judicium ſubiiſſet, nescio quo pacto eorum non pauci abſceſſum in hepate conſiſtere crediderunt, ac poſteaquam longo temporis ſpatio nihil ſe in melius proficere ſentiret, me quoque vocavit. Igitur ſimul atque domum, ubi jacebat, fuiſſem ingreſſus, aſpiciens eum, hoc jam, inquam, ſcias velim, nullum tibi eſſe in viscere vitium; caetera nudato hypochondrio cognoscam. Huic erat ergo in proſundis musculis abſceſſus, contracto jam pure in medio ſpatio eorum musculorum, qui per transverſum incedunt, atque illorum, qui

τῶν κάτωθεν ἄνω φερομένων λοξῶν, οὓς μέσους ἴστε κειμένους τῶν τε τοῦ περιτοναίου ψαυόντων ἐγκαρσίων καὶ τῶν ἐπιπολῆς ἐπὶ τῷ δέρματι λοξῶν ἄνωθεν κάτω φερομένων. οὕτω δὲ καὶ ἄλλους πολλοὺς ἴστε με σημειωσάμενον, ὡς ἐκ τῆς χροιᾶς ἀποφήνασθαι, ποτὲ μὲν ἧπαρ εἶναι τὸ πάσχον αὐτοῖς, ποτὲ δὲ σπλῆνα, μήτε τῶν προγεγονότων ἀκηκοότα τι μήτε διὰ τῆς ἁφῆς γνωρίσαντα τὸ πάθημα τῶν σπλάγχνων· διὸ καὶ πολλάκις ἀκούετέ μου καταρωμένου τοῖς πρώτοις τολμήσασιν ἑαυτοὺς προστάτας μὲν ἰατρικῆς θεωρίας ἀποφῆναι, θεραπεύειν δὲ τοὺς νοσοῦντας οὐ βουληθέντας. οἱ πλεῖστοι δὲ τούτων ἐμπειρικοί τε καὶ μεθοδικοὶ γεγόνασιν, οἷς ἄν τις λέγῃ δυνατὸν εἶναι, διὰ μόνης τῆς χρόας ἐνίοτε διαγνῶναι τὸν πεπονθότα τόπον, ἀνοίξαντες τὸ στόμα, τὴν ἀναίσχυντον αὐτῶν γλῶτταν, ὥσπέρ τινα κύνα λυττῶντα, τοῖς διαλεγομένοις ἀφιᾶσιν. ἀλλ᾽ οὐ πρὸς ἐκείνους ὁ νῦν ἐνεστηκὼς λόγος, ὡς ἤδη καιρὸς ἐφ᾽ ἕτερον ἰέναι γένος συμπτωμάτων, ἐνδεικνύμενον ἥπατος ἀτονίαν αὐτὴν καθ᾽ ἑαυτὴν μόνην ἄνευ φλεγμονῆς, ὥσπέρ γε καὶ μικρὸν ἔμπροσθεν ὁ περὶ τῆς φλεγμονῆς αὐτοῦ λόγος ἐλέχθη μόνος, ἄνευ τῆς κατὰ τὴν

oblique ab infernis furfum tendunt, qui, ut noviftis, medii funt inter eos, qui transverfi peritonaeo incumbunt, et eos, qui fub externa cute obliqui deorfum feruntur. Sic etiam alios complures fcitis me notaffe, per colorem declarando, modo jecur, modo fplenem ipfis effe affectum, nulla audita praeteritorum fymptomatum narratione, neque etiam per tactum inveftigato viscerum affectu. Proinde faepenumero audiviftis me male imprecantem iis, qui medicae fpeculationis principes fe ftatuunt, aegros curare nolunt; horum plurimi funt tum empirici tum methodici, quibus fi quis dixerit fieri poffe, ut folo colore affecta fedes interdum dignoscatur, illi aperto ore, rabidi canis exemplo, in colloquentes linguam exerunt impudentem. Verum praefens fermo haudquaquam ad illos dirigitur. Quare jam ad aliud fymptomatum genus accedere tempus eft, quod jecoris imbecillitatem ipfam per fe folam fine inflammatione prodit, quemadmodum et paulo ante de ipfius inflammatione citra propriae faculta-

[499] οἰκείαν δύναμιν ἀῤῥωστίας. ἐπεὶ τοίνυν ἔργον ἥπατος ἴσμεν αἵματος γένεσιν, ἥτις ἂν αἰτία τοῦτο ποιεῖν πέφυκεν, δύναμιν ἥπατος αὐτὴν ἐροῦμεν ὑπάρχειν ἰδίαν· πρόσκειται δὲ τῷ λόγῳ τὸ ἰδίαν, διὰ τὰς κοινὰς ἁπάντων τῶν ἐν ἡμῖν μορίων, ἃς ἐν τῇ περὶ τῶν φυσικῶν δυνάμεων πραγματείᾳ διῆλθον, ἑλκτικήν τε λέγω καὶ καθεκτικὴν καὶ ἀποκριτικήν· ἡ γὰρ τετάρτη ἡ κατὰ τὸ γένος ἀλλοιωτικὴ κατ᾽ εἶδός ἐστιν ἡ αἱματοποιητική. πασῶν δὲ τῶν δυνάμεων τὰς οὐσίας ἐν ταῖς τῶν μορίων οἰκείαις κράσεσιν ἐμάθετε ὑπάρχειν· συμβήσεται τοιγαροῦν καὶ κατὰ τὸ ἧπαρ, ὅταν εἴς τινα τῶν ὀκτὼ δυσκρασιῶν ἀφίκηται, βλάπτεσθαι τὰς δυνάμεις αὐτοῦ βλάβας οἰκείας τῇ δυσκρασίᾳ, περὶ ὧν εἴρηται μὲν ὁ κοινὸς λόγος ἐν τῷ τρίτῳ τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων, ὁ δ᾽ ἴδιος ἑκάστου μορίου κατ᾽ εἶδος, ἀνάλογον τῷ κοινῷ. κατὰ γοῦν τὸ ἧπαρ αἱ μὲν θερμαὶ δυσκρασίαι κατοπτῶσιν καὶ συγκαίουσιν τούς τε προϋπάρχοντας ἐν αὐτῷ χυμοὺς καὶ τοὺς διὰ τῶν ἐν μεσεντερίῳ φλεβῶν ἀναφερομένους· αἱ δὲ ψυχραὶ παχὺν μὲν καὶ δύσρουν καὶ δυσκίνητον ἐργάζονται τὸν ἤδη

tis imbecillitatem ſeorſum diximus. Quoniam igitur ſanguinis generationem hepatis munus eſſe intelligimus, quae cauſa hunc generare poteſt, eam hepatis propriam facultatem eſſe dicemus; propriam autem diximus, propter eas quae omnibus corporis noſtri partibus communes ſunt, quas in libris de naturalibus facultatibus percurrimus, attractricem dico et retentricem et expultricem, nam quarta generatim alteratrix ſpeciatim ſanguifica eſt. Porro omnium facultatum eſſentiam in peculiaribus partium temperamentis conſiſtere didiciſtis; proinde quum jecur ad aliquam ex octo intemperiebus labetur, ea accidet facultatibus ipſius noxa, quae illi intemperiei peculiariter debetur, de quibus generalem ſcripſimus ſermonem tertio libro de ſymptomatum cauſis; proprius autem cujusque ſecundum ſpeciem partis communi ad proportionem reſpondet. Igitur calidae jecoris intemperies tum contentos in ipſo humores tum eos qui per meſenterii venas deferuntur aſſant et adurunt; frigidae autem contentos jam in ipſo humores craſſos atque ad flu-

περιεχόμενον ἐν αὐτῷ, φλεγματικὸν δὲ καὶ ὠμὸν καὶ ἡμίπεπτον τὸ ἀναφερόμενον· οὕτως δὲ καὶ τῶν ἄλλων δυοῖν ἡ μὲν ξηρὰ δυσκρασία ξηροτέρους καὶ παχυτέρους ἐργάζεται τοὺς χυμοὺς, ἡ δ᾽ ὑγρὰ λεπτομερεστέρους καὶ ὑδαρεστέρους. ὅτ᾽ ἂν οὖν ποτ᾽ ἴδητε διαχωρήματα, οἷον νεοσφαγῶν κρεῶν πλύμασιν ἐοικότα, βεβαιότατον γνώρισμα τοῦθ᾽ ὑμῖν ἔστω πάθους ἡπατικοῦ. καλεῖται δ᾽ ἐξαιρέτως ἡπατικὰ τὰ διὰ τὴν ἀῤῥωστίαν αὐτοῦ τῆς δυνάμεως· τῆς γάρτοι τοῦ ἥπατος οὐσίας ἐστὶ ταῦτ᾽ ἴδια παθήματα· μεμαθήκατε δ᾽ ὡς ἑκάστου τῶν πρώτων σωμάτων ἡ οὐσία κατὰ τὴν κρᾶσίν ἐστι τῶν τεττάρων ποιοτήτων. ὁμοίως δὲ ἂν οἷον αἵματος τρύγα θεάσησθε δι᾽ ἕδρας ἐκκριθεῖσαν, ἡπατικὸν ἴστε καὶ τοῦτ᾽ εἶναι γνώρισμα. τὸ μὲν οὖν λεπτὸν καὶ ἰχωροειδὲς ἀῤῥωστοῦντος ἐξαιματοῦν ἐστι τοῦ σπλάγχνου γνώρισμα· τὸ δ᾽ οἷον τρὺξ ὑπεροπτῶντος τὸ αἷμα. καὶ μὲν καὶ τοῦτο πολλάκις ἑωρακότες μέμνησθε, κατ᾽ ἀρχὰς μὲν ἰχῶρας αἱματώδεις ἐκκρινομένους, ἐπὶ προήκοντι δὲ τῷ χρόνῳ τὸ παχὺ καὶ μελαγχολικὸν αἷμα, τὰ τελευταῖα δὲ καὶ μέλαιναν ἀκριβῶς χολήν·

xum et motum contumaces reddunt, id vero quod ad ipfum fertur et pituitofum et crudum et femicoctum efficiunt. Sic e reliquis quoque duabus arida quidem intemperies ficciores craffioresque, humida vero tenuiores aquofioresque reddit humores. Igitur quum alvi dejectiones carnium recens mactatarum loturis fimiles videritis, efficaciffimum hoc vobis fignum fit affectionis hepaticae. Ac nominantur hepaticae eae praecipue quae ob imbecillitatem ipfius fiunt; nam jecoris fubftantiae hujusmodi proprii funt affectus; didiciftis autem cujusque primorum corporum fubftantiam ex quatuor qualitatum conftare temperamento. Sic etiam, fi faeci fanguinis fimilia per fedem excrementa dejici confpiciatis, fcite hepatis quoque affecti notam effe. Itaque tenue et faniofum excrementum, visceris fanguinem creare nequeuntis, quod faeci affimilatur, id fuperaffantis fanguinem indicium eft. Neque vero a memoria veftra decidit, vos faepe vidiffe in primis quidem faniem cruentam, dein tractu temporis craffum ac melancholium fanguinem, poftremo atram quoque

ἄρχεται μὲν γὰρ ἐνίοτε καὶ χωρὶς πυρετοῦ τὸ κατὰ τὴν ψυχρὰν δυσκρασίαν πάθος, ἡνίκα λεπτὸς ἰχὼρ αἵματος ἐκκρίνεται· προϊόντος δὲ τοῦ χρόνου καὶ διαφθειρομένου τοῦ κατὰ τὸ σπλάγχνον αἵματος, ἐπιγίγνονται πυρετοί. καὶ λίαν γε καταφρονοῦσιν αὐτῶν οἱ ἄπειροι, καί ποτε καὶ τελέως ἀπύρετος αὐτοῖς ἔδοξεν ὁ κάμνων εἶναι, καὶ γεγονέναι τοῦτο λογίζονται διὰ τὰς ἀσιτίας, ἃς διὰ τὴν ἀνορεξίαν μᾶλλον ἢ τὴν τῶν ἰατρῶν πρόσταξιν οἱ πάσχοντες οὕτω ποιοῦνται. κατὰ γαστέρα τε οὖν οὐδενὸς ἐκκριθέντος ἐν τῷ μεταξὺ καὶ τοῦ πυρετοῦ δόξαντος οὐδ' ὅλως εἶναι, λούουσίν τε καὶ συγχωροῦσιν ἀμελέστερον διαιτηθῆναι. οὕτως αὖ πάλιν ἥ τε γαστὴρ ἐκκρίνει διεφθαρμένα τὰ σιτία, καί τι καὶ τῶν ἡπατικῶν ἠκολούθει διαχωρημάτων. ἐνίοις δὲ τῶν κατὰ ψυχρὰν δυσκρασίαν ἀρξαμένων νοσεῖν οὐ μόνον οὐδὲν ἐκλύεται τὰ τῶν (306) ὀρέξεων, ἀλλὰ καὶ πεινῆν ἐνίοτέ φασι νῦν μᾶλλον ἢ πρόσθεν. οὐ μὴν ταῖς γε θερμαῖς δυσκρασίαις ἕπεταί ποτ' ὄρεξις σιτίων, ἀλλ' ἀνορεξία τε δεινὴ καὶ δίψος καρτερὸν [500] καὶ πυρετὸς οὐκ ἀγεννὴς καὶ μοχθηρῶν χυμῶν ἔμετος.

bilem ſinceram dejici. Incipit enim interdum affectus ob frigidam intemperiem citra febrem, quando tenuis ſanies ſanguinis excernitur; deinde tractu temporis, dum ſanguis in viscere corrumpitur, febris ſupervenit; quae tamen ab imperitis valde negligitur, ut laborantem interdum nequaquam febricitare putent, atque hunc affectum ob inedias accidiſſe exiſtiment, quas ob inappetentiam ciborum potius quam ob medicorum praeſcriptum laborantes ita patiuntur. Itaque quum interea nihil per alvum excernatur, videaturque laborans omnino liber a febre, balneis eum exponunt, ac idoneam victus rationem praeſcribere negligunt; quocirca rurſus corruptos cibos alvus excernit, quos deinde hepaticorum excrementorum nonnihil ſequitur. At nonnulli qui ob frigidam intemperiem laborare inceperunt, non ſolum perdunt cibi appetentiam, verum etiam interdum magis quam antea ſe eſurire ajunt. Calidas vero intemperies nunquam comitatur ciborum appetentia, ſed ingens cibi faſtidium, ſitis vehemens, febris inſignis, vitioſorum humorum vomitus.

ταῦτα μὲν οὖν ἴδια συμπτώματα τῶν ἡπατικῶν ἐστιν· ὀνομάζεσθαι δ᾽ οὕτως ἔφην ἐκείνους, οἷς ἄῤῥωστος ἡ τοῦ σπλάγχνου δύναμίς ἐστιν, ἐφ᾽ ὧν οἱ πλείους τῶν ἰατρῶν ἐξαπατώμενοι δυσεντερίαν εἶναι νομίζουσι τὸ πάθος· ἕτερα δ᾽ ἐστὶν, ὡς εἴρηται, τὰ τῆς φλεγμονῆς συμπτώματα. καί ποτε συνελθόντων ἀμφοτέρων τῶν παθῶν, ἑκάτερα φαίνεται, καὶ χρὴ πρόχειρον αὐτῶν ἔχειν τὴν μνήμην· οὕτως γὰρ οὐ μόνον ἐπαινεῖσθαι πρὸς τῶν χρωμένων ἡμῖν, ἀλλὰ καὶ θαυμάζεσθαι γενήσεται, προσεπιθεωροῦσι καὶ τὰ κοινὰ πρὸς ἕτερα πάθη, καθάπερ τὸ διήκειν εἰς νόθας πλευρὰς τὸ ἄλγημα, καὶ συγκατεσπάσθαι δοκεῖν τὴν κλεῖν, ἀναπνεῖν τε μικρὸν καὶ πυκνόν. ἐγὼ γοῦν, ὁπότε πρῶτον εἰς Ῥώμην ἀνῆλθον, ὑπὸ Γλαύκωνος τοῦ φιλοσόφου μεγάλως ἐθαυμάσθην ἐπὶ τοιᾷδέ τινι διαγνώσει. συντυχὼν γάρ μοι καθ᾽ ὁδὸν ἔφασκεν ἐν καιρῷ φανῆναι· καὶ οὕτως ἐμβαλὼν τῇ χειρὶ τὴν χεῖρα, πλησίον, ἔφη, τοῦ κάμνοντός ἐσμεν, ὃν ἥκω τε θεασάμενος ἄρτι καὶ παρακαλῶ μετ᾽ ἐμοῦ παραγενέσθαι σὲ πρὸς αὐτόν· ἔστι δὲ ὁ ἀπὸ τῆς Σικελίας ἰατρὸς, ὃν πρὸ ἡμερῶν ὀλίγων ἐθεάσω

Haec funt propria hepaticorum fymptomata; fic autem nominari jam dixi eos, quibus visceris facultas eft imbecillis, qua in re vulgus medicorum errans hunc affectum putat effe dyfenteriam; inflammationem autem alia, ut dictum eft, fequuntur fymptomata. Quum itaque ambo interdum affectus conveniunt, utriusque fymptomata fimul apparent, quorum in promptu memoriam habere oportet; fic enim non folum laudabunt nos, fed admirabuntur etiam ii qui opera noftra indiguerint, praefertim fi fymptomata quoque aliis morbis communia infuper profpexerimus, veluti quod dolor ad nothas coftas perveniat, jugulum detrahi videatur, refpiratio parva reddatur et frequens. Equidem quum primum Romam veniffem, magnifice admiratus eft me Glauco philofophus ob hujuscemodi quandam dignotionem. Etenim per viam mihi occurrens, opportune, inquit, advenifti; jungensque dextram dextrae, proximi fumus, inquit, laboranti, quem nuper vidi, teque oro ut una mecum ad ipfum venias; eft autem Siculus medicus, quem non ita pridem mecum

περιπατοῦντα σὺν ἐμοί· τί δὲ καὶ τὸ λυποῦν, ἔφην, αὐτόν ἐστιν; ὁ δὲ καὶ μάλα παρατεταγμένος ὡμολόγησεν ἐκ φανερωτάτου, καὶ γὰρ ἦν οἷος μηδὲ κρυψίνους εἶναι, μηδὲ πανοῦργος· ἐπεί μοί, φησιν, ἀπήγγειλαν χθὲς οἱ περὶ Γοργίαν καὶ Ἀπελᾶν διαγνώσεις τε καὶ προγνώσεις πεποιῆσθαί σε μαντικῆς μᾶλλον ἢ ἰατρικῆς ἐχομένας, ἐπιθυμῶ πεῖραν αὐτὸς σχεῖν, οὐ σοῦ τοσοῦτον, ὅσον τοῦ κατ᾽ ἰατρικὴν τέχνην, εἰ καὶ τοιαῦτα διαγινώσκειν τε καὶ προγινώσκειν δύναται. ταῦτά τε οὖν ἔλεγεν καὶ ἦμεν ἐπὶ τῇ θύρᾳ τοῦ κάμνοντος, ὡς μηδ᾽ ἀμείψασθαί με τῷ λόγῳ δυνηθῆναι τὴν πρόκλησιν αὐτοῦ, μηδ᾽ εἰπεῖν ἅπερ ἴστε λεγοντά με πολλάκις, ὡς ἐνίοτε μὲν ἡμῖν εὐτυχῶς φαίνεταί τινα τῶν βεβαίων σημείων, ἐνίοτε δ᾽ ἀμφίβολα πάντ᾽ ἐστὶ, καὶ διὰ τοῦτο δευτέραν καὶ τρίτην ἐπίσκεψιν ἀναμένομεν. ἀλλά τοι μετὰ τὴν πρώτην εἴσοδον ἀπήντησέ τις ἡμῖν λεκάνην ἐκ τοῦ κοιτῶνος ἐκκομίζων εἰς τὸν κοπρῶνα, ἔχουσαν οἷον κρεῶν νεοσφαγῶν πλύμα, λεπτὸν αἵματος ἰχῶρα, βεβαιότατον σημεῖον ἥπατος πάσχοντος. ὡς οὖν μηδ᾽ ὅλως ἑωρακὼς αὐτὸ εἰσῆλθον ἅμα τῷ Γλαύκωνι

ambulantem vidiſti. Ego vero, quid, inquam, moleſtat ipſum? Tum ille admodum ingenue aperte rem declaravit, etenim neque diſſimulator neque vaſer erat. Quoniam heri, inquit, Gorgias et Apelas mihi nunciaverunt dignotiones et praenotiones edidiſſe te, quae divinationis ſunt potius quam medicinae, cupio equidem periculum facere, non tam tui quam artis medicae, num ſit ei dignoscendi haec et praenoscendi facultas. Igitur quum haec diceret, venimus ad laborantis oſtium, ut neque verbo ejus provocationi reſpondere, neque ea, quae ſaepenumero me dicere audiviſtis, eſſari poſſem, quod ſcilicet interdum nobis feliciter apparent aliqua certa ſigna, interdum vero omnia ſunt ambigua atque idcirco et alteram et tertiam quoque conſiderationem expectamus. At in primo ſtatim aditu obviam nobis venit quidam pelvim a cubiculo ad ſterquilinium efferens, continentem tenuem cruoris ſaniem, carnium nuper mactatarum loturae ſimilem, evidentiſſimum affecti jecoris indicium, itaque ac ſi nullo modo id intellexiſſem, cum Glaucone ad medicum

πρὸς τὸν ἰατρὸν, ἐπέβαλόν τε τὴν χεῖρα τῷ καρπῷ, βουλόμενος γνῶναι, πότερον καὶ φλεγμονή τις εἴη κατὰ τὸ σπλάγχνον, ἢ μόνον ἀτονία. ἰατρὸς δ᾽ ὢν, ὡς ἔφην, ὁ κατακείμενος, ἀρτίως ἔφη κατακεκλίσθαι μετὰ τὸ διαχωρῆσαι, ὥστε προσλογίζου τι τῇ πυκνότητι τῶν σφυγμῶν καὶ διὰ τὴν ἐξανάστασιν προσγεγονέναι. ὁ μὲν οὖν ταῦτ᾽ ἔλεγεν, ἐγὼ δ᾽ εὗρον φλεγμονῆς ἔμφασιν· εἶτα καὶ θεασάμενος ἐπικείμενον τῇ θυρίδι χυτρίδιον μικρὸν, ὕσσωπον ἔχον ἐν μελικράτῳ παρεσκευασμένον, ἐλογισάμην οἴεσθαι τὸν ἰατρὸν ἑαυτὸν εἶναι πλευριτικὸν, ἀλγήματος αὐτῷ κατὰ τὰς νόθας πλευρὰς ὑπάρχοντος, ὃ κᾀν ταῖς κατὰ τὸ ἧπαρ φλεγμοναῖς ἐπιγίγνεταί ποτε· τούτου τοίνυν αἰσθανόμενον αὐτὸν, ἀναπνέοντά τε πυκνὸν καὶ μικρὸν, ἐρεθιζόμενόν τε βηχίοις μικροῖς, ἐνενόησα νομίζειν ἑαυτὸν εἶναι πλευριτικὸν, καὶ διὰ τοῦτο παρεσκευακέναι τὸ ὕσσωπον ἐν τῷ μελικράτῳ. παρέχουσαν οὖν μοι καὶ τὴν τύχην ὁδὸν, ὡς εὐδοκιμῆσαι παρὰ τῷ Γλαύκωνι, συνιδὼν, ἐπήνεγκα τὴν ἑαυτοῦ χεῖρα κατὰ τῶν τοῦ κάμνοντος ἐν τῷ δεξιῷ μέρει νόθων πλευρῶν, [501] καὶ δεικνὺς ἅμα τὸν τόπον, ἔφην ἀλγεῖν αὐτὸν ἐνταῦθα· τοῦ δ᾽ ὁμολογή-

ingreffus fum, admovique manum carpo, quo intelligerem, utrum etiam inflammatio, an fola imbecillitas effet in viscere. Quum vero medicus effet, ut diximus, qui decumbebat, nuper, inquit, a dejectione decubui, itaque perpende pulfuum frequentiam ob furrectionem adauctam effe. Haec quidem dixit, ego autem deprehendi inflammationis indicium, profpiciensque deinde feneftrae impofitum aliquid hyffopi cum aqua mulfa paratum in ollula, cogitavi medicum fe pleuriticum effe putare, dolore nothas coftas obfidente, qualis jecoris quoque inflammationibus aliquando accidere confuevit. Hunc itaque quum ipfe fentiret, effetque refpiratio parva et crebra, atque exigua tuffi irritaretur, pleuriticum arbitrari fe cogitavi, quamobrem hyffopum ex aqua mulfa praeparaffe. Intelligens itaque ego, quod fortuna viam mihi praeberet, qua apud Glauconem clarum nomen adipisci poffem, manum meam ad nothas in dextro laborantis latere coftas detuli, indicatoque fimul loco, dixi eum ibi dolere; quod

σαντος, ὁ Γλαύκων ἐκ τοῦ σφυγμοῦ μόνου τὴν διάγνωσιν τοῦ πεπονθότος τόπου νομίσας γεγονέναι, καταφανὴς ἦν μοι θαυμάζων. ὅπως οὖν αὐτὸν μᾶλλον ἐκπλήξαιμι, προσετίθην καὶ ταῦτα· καθάπερ, ἔφην, ὡμολόγηκας ἐνταυθοῖ ἀλγεῖν, προσομολόγησον ὅτι καὶ τοῦ βῆξαι γίγνεταί σοι προθυμία, καὶ βήττεις ἐκ διαστημάτων μειζόνων βηχία σμικρὰ ξηρὰ, μηδενὸς ἀναπτυομένου. ταῦτα λέγοντος ἐμοῦ, κατὰ τύχην ἔβηξε τοιοῦτον εἶδος βηχὸς, ὁποῖον ἔλεγον· ὥστε τὸν Γλαύκωνα μεγάλως θαυμάσαντα μὴ κατέχειν ἑαυτὸν, ἀλλ᾽ ἐπαινεῖν κεκραγότα μεγάλῃ τῇ φωνῇ. μὴ τοίνυν, ἔφην ἐγὼ, ταῦτα μόνα δόκει τὴν τέχνην ἱκανὴν εἶναι μαντεύεσθαι περὶ τοὺς κάμνοντας, ἀλλὰ καὶ πρὸς αὐτοῖς ἔτι ταυτὶ τὰ νῦν ἐμοὶ λεχθησόμενα· μαρτυρήσει δ᾽ αὐτοῖς ὁ κάμνων αὐτός. ἐντεῦθεν δὲ πάλιν ἀρξάμενος ἔφην πρὸς αὐτόν· ὅτ᾽ ἂν ἀναπνεύσῃς μεῖζον, αἰσθάνῃ μὲν δήπου καὶ τῆς κατὰ τὸ χωρίον ὀδύνης, ὃ ἔδειξά σοι, σφοδροτέρας γιγνομένης, αἰσθάνῃ δὲ καὶ βάρους ἐγκειμένου κατὰ τὸ δεξιὸν ὑποχόνδριον. ἐπὶ τούτοις οὐδ᾽ αὐτὸς ὁ νοσῶν ἔτι ἡσύχαζεν, ἀλλὰ θαυμάζων ἐκεκράγει

quum ipfe fateretur, Glauco ex folo pulfu exiftimans me fedis affectae dignotionem inveniffe, plane admirari me coepit. Verum ut vehementius ftuperet, haec quoque addidi: quemadmodum hoc in loco dolere te confeffus es, ita velim fatearis etiam tuffiendi cupiditate vexari te et ex longis intervallis tuffim exiguam, aridam et qua nihil expuis, te moleftare; atque ita me dicente, incepit forte fortuna hujusmodi quadam tuffis fpecie, qualem dicebam, tuffire; ut Glauco vehementer commotus, continere fefe non valens, magna voce exclamando in laudes meas prorumperet. Tum ego, ne putes, inquam, fola haec ab arte circa aegrotos poffe praefagiri; fed alia quoque quae nunc dicam, quibus et laborans ipfe teftimonium feret. Hinc rurfus incipiens ipfi dixi, quum magnam ducis refpirationem, dolor ea parte, quam notavi, vehementius fcilicet te cruciat, fentisque infidentem hypochondrio dextro gravitatem, His auditis ne infirmus quidem fefe potuit continere, quo minus prae vehementi ad-

Ed. Chart. VII. [501.] Ed. Baf. III. (306.)

μετὰ τοῦ Γλαύκωνος. αἰσθανόμενος οὖν ἐγὼ τῆς κατὰ τὸν καιρὸν ἐκεῖνον εὐτυχίας, ἐτόλμων μὲν εἰπεῖν τι καὶ περὶ τῆς κλειδὸς, ὡς κατασπωμένης· εἰδὼς δὲ ταῖς μεγάλαις αὐτοῦ φλεγμοναῖς ἑπόμενον, ὥσπερ οὖν καὶ τοῖς σκίῤῥοις, οὐκ ἐθάῤῥουν εἰπεῖν, εὐλαβούμενος ἀποθραῦσαί τι τῶν ἔμπροσθεν ἐπαίνων. ἐπῆλθεν οὖν μοι μετ᾽ ἀσφαλείας ἀποφήνασθαι, καὶ προσβλέψας τῷ κάμνοντι, τῆς κλειδὸς, ἔφην, ὑποκατασπωμένης αἰσθήσῃ διὰ ταχέος, εἰ μὴ τυγχάνει σοι γεγονὸς ἤδη που τοῦτο. συνομολογήσαντος δ᾽ αὐτοῦ, θεασάμενος ἐγὼ τὸν κάμνοντα θαυμαστῶς ἐκπεπληγότα, μίαν, εἶπον, ἔτι προσθήσω τοῖς εἰρημένοις μαντείαν· ἐρῶ γὰρ καὶ τὴν τοῦ κάμνοντος ὑπόληψιν, ἣν ἔχει περὶ ὧν πάσχει παθημάτων. ὁ μὲν οὖν Γλαύκων οὐκ ἀπελπίζειν οὐδὲ ταύτης ἔφη τῆς μαντείας, αὐτὸς δ᾽ ὁ νοσῶν ἐπὶ τῷ παραδόξῳ τῆς ὑποσχέσεως ἐκπεπληγὼς ἐνέβλεπέν μοι δριμὺ, προσέχων τὸν νοῦν τῷ ῥηθησομένῳ. καὶ δὴ καὶ φάντος μου, πλευρῖτιν αὐτὸν οἴεσθαι τὴν ἐνοχλοῦσαν εἶναι νόσον, ὁ μὲν ἐμαρτύρησεν θαυμάζων, οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ ὁ παρεστὼς αὐτῷ, καὶ ὁ

miratione una cum Glaucone exclamaret. Itaque fentiens ego arridentem mihi tum fortunam, de clavicula quoque, quod ad inferiora trahi videretur, aliquid efferre volebam, at quia magnas inflammationes, quemadmodum et fcirrhum, id comitari fciebam, dicere non audebam, veritus ne laudem, quam antea de me excitaveram, fauciarem. Animum tamen induxi cauto eloqui, atque afpiciens laborantem, haud ita multo poft, inquam, jugulum ad infernas partes detrahi fenties, nifi fortaffe id jam tibi evenerit. Ac quum hoc quoque fateretur, videns aegrotantem mirifice attonitum, unam, inquam, addam adhuc praedictis divinationem, etenim dicam, quam de morbo fuo laborans ipfe habuerit fuspicionem. Tum Glauco ne de hac quidem divinatione desperare fe ajebat; laborans autem incredibili hac pollicitatione in ftuporem adductus, acriter me intuens, quid effem dicturus, attenta mente expectabat. Igitur dicente me, quod infeftantem morbum pleuritidem effe putaffet, ille ingenti cum admiratione hujus quoque rei fe teftem exhibuit, ut et qui aftabat

κατηντληκὼς ὡς πλευριτικὸν ἐλαίῳ πρὸ βραχέος. ὁ δὲ Γλαύκων ἐξ ἐκείνου περί τε ἡμῶν καὶ ὅλης τῆς ἰατρικῆς ἔσχεν ἀξιόλογον ὑπόληψιν, ἔμπροσθεν οὐδὲν μέγα τὴν τέχνην ἔχειν οἰόμενος, ἐκ τοῦ μηδέποτε συντετυχηκέναι παρεσκευασμένοις κατ᾽ αὐτὴν ἀξιολόγοις ἀνδράσιν. εἴρηταί μοι ταῦτα πρὸς ὑμᾶς, ὅπως εἰδότες τά τ᾽ ἴδια πάθους ἑκάστου συμπτώματα καὶ τὰ κοινὰ πρὸς ἕτερα πάθη, καὶ σὺν αὐτοῖς ἔτι τὰ μὲν ἑκατέρου γένους ἀχώριστα, τὰ δ᾽ ὡς ἐπὶ τὸ πολὺ, τὰ δ᾽ ἀμφιδόξως ἢ σπανίως γιγνόμενα, παρεχούσης τε τῆς τύχης ὑμῖν ἀφορμὴν τοιαύτην, οἵαν ἔφην ἐμαυτῷ γεγενῆσθαί ποτε, δεξιῶς αὐτῇ χρῆσθαι δύνησθε. πολλάκις γὰρ ἡ μὲν τύχη μεγάλας εὐδοκιμήσεως ἀφορμὰς ὑποβάλλει, χρῆσθαι δ᾽ αὐταῖς οἱ πολλοὶ δι᾽ ἀμαθίαν οὐκ ἴσασιν· ἀλλ᾽ ὁ τεχνίτης ὅτ᾽ ἂν ἕν τι θεάσηται σύμπτωμα τῶν ἐνδεικνυμένων τό τε πάθος ἅμα καὶ τὸν πεπονθότα τόπον, ἑτέρων εὐπορεῖν εἰς πρόῤῥησιν οὐκ ὀλίγων ἱκανὸς ἔσται, τῶν μὲν ἐξ ἀνάγκης ἑπομένων, τῶν δὲ ὡς τὸ πολὺ, τῷ πεπονθότι τόπῳ καὶ (307) τῷ κατ᾽ [502] αὐτὸν πάθει. μεμνῆσθαι δ᾽ ὑμᾶς μάλιστα χρὴ τῶν

et qui paulo ante latus ei oleo tanquam pleuritico foverat. Atque ex eo tempore Glauco tum de me tum de univerfa arte optimam concepit opinionem, quum antea nihil magni iu arte effe putaret, quod nunquam cum confummatis in arte viris verfatus effet Haec ideo apud vos dixi, ut intelligentes fymptomata cuilibet morbo propria et aliis quoque morbis communia, ac praeterea quae ab utrolibet genere funt infeparabilia et quae magna ex parte et quae non certo aut raro contingunt, fi aliquando fortuna hujusmodi vobis occafionem, qualem mihi fuiffe oblatam jam dixi, praebeat, ea commode uti fciatis. Saepe enim fortuna non contemnendam adipiscendae laudis anfam fuggerit, ea tamen multi ob imperitiam uti nesciunt, fed peritus artis, quum fymptomatum aliquod hujusmodi, quod et affectam fedem et affectum ipfum indicet, confpexerit, haud difficulter alia multa praedicenda inveniet, quorum alia neceffario, alia magna ex parte, locum affectum et morbum ipfius fequuntur. Verum meminiffe debetis maxime generalium praeceptorum, quae

γενικῶν θεωρημάτων, ἃ δὴ καὶ καθόλου προσαγορεύεται, κοινὰ πολλῶν ὄντα τῶν κατὰ μέρος, ἵν᾽ ἐπὶ πάσης ὕλης τῶν κατὰ μέρος πραγμάτων γυμνάζησθε διαγινώσκειν αὐτὰ ταχέως. ἔστι δὲ ὁ κοινὸς λόγος, ὃν ἐρεῖν μέλλω, περὶ τῶν φυσικῶν δυνάμεων, ἃς ἐν ἑκάστῳ μορίῳ προμεμαθήκατε τέτταρας εἶναι κατὰ γένος· ὧν πρώτην μὲν τὴν ἑλκτικὴν ὀνομάζω, τῶν οἰκείων τῷ μορίῳ χυμῶν εἰς θρέψιν ὀρεκτικήν τε ἅμα καὶ ἐπισπαστικὴν οὖσαν· ἐφεξῆς δ᾽ αὐτῇ δευτέραν, τῶν ἑλχθέντων ἀλλοιωτικὴν, καθ᾽ ἣν ὁ ἑλχθεὶς χυμὸς ὁμοιοῦται τῷ τρεφομένῳ· καὶ ταύτης ὑπηρέτιδες ἕτεραι δύο, καθεκτικὴ μὲν, ἡνίκα πέττει τὸν ἑλχθέντα χυμὸν, εἰς τὴν ἑαυτοῦ φύσιν ἀλλοιοῦν, τὸ μόριον· ἀποκριτικὴ δ᾽, ἡνίκα μετὰ τὴν πέψιν ἐκκρίνει τὸ ἄχρηστον, ὃ καλεῖται περίττωμα. ταύτας τὰς δυνάμεις ἐφ᾽ ἑκάστου μορίου πάσχοντος ἀεὶ σκοπεῖσθαι παραινῶ, πῶς ἔχουσιν εὐρωστίας τε καὶ ἀῤῥωστίας· οἷον ἐπὶ τοῦ ἥπατος, ἐπειδὴ περὶ τούτου πρόκειται λέγειν, ἡ μὲν ἑλκτικὴ δύναμις πάσχουσά πως, τὴν τροφὴν ἐν τῇ γαστρὶ καταλείψει κεχυλωμένην, ὥστ᾽ ἐκκρίνεσθαι διὰ τῆς ἕδρας αὐτὴν, ἀκριβῶς μὲν πεπεμμένην, ὑγρὰν δὲ καὶ ἀνεξίκμαστον.

et univerfalia appellantur, multorum fpecialium communia, ut illis in qualibet materia rerum particularium continuo dignoscendis vos exerceatis, Eft igitur communis fermo, quem dicturus fum, de naturalibus facultatibus, quas in fingulis partibus genere quatuor effe didiciftis. Primam earum voco attractricem, quae familiares parti fuccos, alendi ipfam gratia, et appetit et attrahit; altera deinde eft, quae alteratrix dicitur, qua fuccus attractus fimilis evadit parti quae alitur; hujus aliae duae funt miniftrae, retentrix quidem, quum pars attractum fuccum coquit, in fuam ipfius naturam eum mutans, expultrix vero, quando a coctione inutile excernit, quod excrementum vocatur. Has facultates in quaque affecta parte, utrum validae fint an infirmae, confideretis hortor. Ut in hepate, quoniam de hoc dicere inftituimus, facultas attractrix, fi quomodolibet afficiatur, cibum in ventriculo in fuccum transmutatum relinquet, ut per fedem exacte quidem confectus, verum liquidus et haudquaquam

ἔσται δ᾽ ὑμῖν τοῦτο σημεῖον αὐτῆς πεπονθυίας· ὅσα γὰρ ὑπό τινων ὡς αἰτίων γίγνεται, ταῦτ᾽ ἐστὶν αὐτῶν σημεῖα. τοῦτο τὸ πάθος ἔνιοι μεσαραίου φασὶν εἶναι, καὶ καλοῦσι τοὺς οὕτω νοσοῦντας μεσαραϊκοὺς, ἐπειδὴ διὰ τῶν ἐν τῷ μεσαραίῳ τε καὶ μεσεντερίῳ καλουμένῳ φλεβῶν τῆς ἀναδόσεως γινομένης ὁρῶσιν ἀποτυγχανομένην αὐτὴν, ὁμοίᾳ περιπίπτοντες ἀγνοίᾳ τοῖς τὰς χεῖρας ἡγουμένοις πεπονθέναι τῶν συγκοπτομένων ἤτοι στομαχικῶς ἢ καρδιακῶς, ἐπειδὴ δι᾽ αὐτῶν ἐνεργεῖν ὡς ἔμπροσθεν ἀδυνατοῦσιν. αἱ γάρτοι κατὰ τὸ μεσάραιον φλέβες οἷόν περ χεῖρές εἰσι τῷ ἥπατι, τὴν ἐκ τῆς κοιλίας τροφὴν ἀναφέρουσαι πρὸς αὐτό. παραπλήσιον δέ τι τούτοις ποιοῦσι καὶ οἱ τῶν παραλελυμένων τὰ σκέλη διά τι πάθος τοῦ κατ᾽ ὀσφῦν νωτιαίου, τοῖς μὲν σκέλεσι προσφέροντες τὰ φάρμακα, τοῦ νωτιαίου δ᾽ ἀμελοῦντες. εἰ μὲν οὖν φλεγμαίνοι τὸ μεσεντέριον, ἤ τι τοιοῦτον πάθος ἕτερον εἴη κατ᾽ αὐτὸ, προσηκόντως ἄν τις ὑπολάβοι τὸ πάθος τοῦτο ἴδιον ὑπάρχειν αὐτοῦ· εἰ δ᾽ ἀῤῥωστοῦν τὸ ἧπαρ ἀδυνατοίη διὰ τῶν ἐν αὐτῷ φλεβῶν ἕλκειν τὴν τροφὴν, οὐ μεσάραιον αὐτοῖς ἐστι τὸ τῆς

exiccatus excernatur. Atque hoc ipfius affectae fignum vobis erit; nam quaecunque a quibusdam tanquam caufis procedunt, ea funt ipforum figna. Hunc affectum nonnulli ad mefaraeum pertinere autumant, vocantque fic laborantes mefaraicos, quod videant cibum per venas mefaraeo et mefenterio vocato intextas diftribui non poffe, ut folebat, eodem feducti errore, quo ii qui manus eorum, quos fyncope vel ftomachica vel cardiaca proftravit, affectas effe arbitrantur, quoniam ut antea munere fuo fungi nequeunt; nam jecur mefaraei venis veluti manibus e ventriculo ei cibum afferentibus utitur. Simile vero quid his moliuntur qui ubi crura refoluta funt ob affectum aliquem eam fpinalis medullae partem, quae in lumbis eft, infeftantem, neglecta fpinali medulla, cruribus remedia adhibent. Igitur fi mefenterium vel inflammatione vel alio ejusmodi affectu laboret, hunc proprium ipfius affectum effe merito putabit aliquis; fi vero jecur ob imbecillitatem per illius venas cibum allicere nequeat, non mefaraeo, fed jecori remedia debentur, quem-

θεραπείας δεόμενον, ἀλλ' ἧπαρ, ὥσπερ οὐδ' αἱ χεῖρες, ἢ τὰ σκέλη τοῖς διά τι πάθος τοῦ νωτιαίου παραλελυμένοις. ἀλλ' ἥ γε διάγνωσις ὑμῖν ἔσται τῶν ἤδη φλεγμονῶδες ἢ ἐρυσιπελατῶδες ἐχόντων πάθος ἐν μεσεντερίῳ τὰ κάτω διαχωρούμενα κατασκεπτομένοις ἐπιμελῶς. οὐ γὰρ μόνον οἷα τοῖς ἀτονοῦντος ἥπατος ἕλκειν ἐφ' ἑαυτὸ τὴν τροφὴν εἴρηται διαχωρεῖσθαι, τοιαῦτα καὶ τούτοις ἀκριβῶς ἐκκρίνεται, ἀλλὰ φανεῖταί γε ὑμῖν ἐπιμεμίχθαί τις ὡς ἐκ φλεγμονῆς ἰχώρ· ἁπάντων γὰρ τῶν φλεγμαινόντων μορίων, οἷς μηδὲν στέγασμα περίκειται πυκνὸν καὶ παχὺ, λεπτοὶ μὲν κατ' ἀρχὰς ἰχῶρες ἀποῤῥέουσι, πεττομένων δὲ τῶν φλεγμονῶν, παχύτεροι καὶ πυωδέστεροι. ὅτ' ἂν οὖν τι τοιοῦτον τοῖς ἐγκεχυλωμένοις διαχωρήμασιν ἐμφέρηται, μηδεμιᾶς ἐν ἥπατι φλεγμονῆς οὔσης, ἡγεῖσθαι χρὴ τὸ μεσάραιον αὐτοῖς πεπονθέναι. ὥσπερ δὲ τοῦ μὴ δυναμένου δι' ἀτονίαν ἐπισπᾶσθαι τὸν ἐκ τῆς κοιλίας χυλὸν ἡ ἑλκτικὴ πέπονθε δύναμις, οὕτως τοῦ κατέχειν μὴ δυναμένου τῆς περισταλτικῆς καὶ καθεκτικῆς δυνάμεώς ἐστιν ἀτονία· καὶ διὰ ταύτην [503] ἔκκρισις ἐν ἀρχῇ μὲν αἵματος ἰχωροειδοῦς

admodum nec reſolutis manibus, vel cruribus ob affectum, qui in ſpinali medulla conſiſtit. Verum ubi vel inflammatio vel eryſipelas meſenterium afficit, haec dignoscetis, ſi alvi excrementa diligenter conſideretis. Neque enim ſolum, qualia excerni diximus in jecinoris imbecillitate, quum ad ſeſe cibum trahere non poteſt, talia plane his dejiciuntur, ſed apparebit etiam veluti ab inflammatione ſanies quaedam admixta. Nam ab omni parte inflammata, cui denſum craſſumque tegumentum non incumbit, in primis quidem tenuis ſanies defluit; concocta deinde inflammatione, craſſior et puri ſimilior. Quum ergo nulla exiſtente in jecore inflammatione, hujusmodi quippiam cum excrementis ſucci ſpeciem conſequutis dejicitur, in meſaraeo affectum eſſe cenſendum eſt. Quemadmodum autem nequeunte ob imbecillitatem *hepate* ſuccum a ventriculo attrahere, attractrix facultas afficitur, ita quum retinere nequit, comprehendens continensque facultas infirma eſt. Proinde in primis quidem cruor

γίγνεται, μετὰ ταῦτα δ' ἤδη καὶ παχυτέρου καὶ οἷον τρυγώδους. οὕτως ἕτεραί τινες ἐκκρίσεις οὐ δι' ἀῤῥωστίαν, ἀλλὰ διὰ ῥώμην τῆς ἐκκριτικῆς δυνάμεως γίγνονται, πολλάκις μὲν ὑγιαινόντων κατὰ τὰ πάντα, πλήθους λόγῳ, πολλάκις δὲ καὶ τοῦ πεπονθότος δι' ἥπατος ἐκκαθαιρομένου, τῆς φύσεως ἀναῤῥωννυμένης· πεφθέντων γὰρ ἐν αὐτῷ τῶν μοχθηρῶν χυμῶν, ἕπεται διάκρισις, ὡς τοὺς μὲν χρηστοὺς κατέχεσθαι, τοὺς δὲ φαύλους ἐκκρίνεσθαι. καί τινες ὀνομάζουσι καὶ τὰς τοιαύτας ἐκκρίσεις αἱματηρὰς δυσεντερίας, γιγνομένας ἐνίοις καὶ τῶν ἀποκοπέντων τι κῶλον, ἢ μετὰ τὸν ἐν γυμνασίοις πολλοῖς βίον εἰς ἀργὸν μεταστάντων. ὤφθη δέ ποτε καὶ γυναιξὶν ἐκ καταμηνίων ἐπισχέσεως ἡ τοιαύτη κένωσις αἵματος δι' ἕδρας γιγνομένη, καθάπερ δὴ καὶ δι' ἐμέτων ἐνίαις ἐπὶ ταῖς τοιαύταις. ἀλλὰ καὶ τούτοις μὲν εἰλικρινὲς αἷμα τοῖς τῶν σφαττομένων ἱερείων ὅμοιον γίγνεται κατά τε τὴν κάτω γαστέρα καί ποτε καὶ διὰ τῆς ἄνω, μοχθηρὸν δὲ καὶ ἰλυῶδες ἢ σηπεδονῶδες ἐπὶ ταῖς ἐρυσιπελατώδεσί τε καὶ φλεγμονώδεσι διαθέσεσι πεττομέναις. σπανίως δέ ποτε καὶ τοῖς ἡπατικοῖς

faniofus excernitur, poftea vero craffior et veluti faeculentus. Similiter aliae quaedam eveniunt excretiones, non quidem ob imbecillitatem, fed ob excretricis facultatis robur, plerumque quidem integra in omnibus conftante valetudine, plenitudinis ratione; plerumque vero parte aliqua affecta per jecur fefe expurgante, natura facta robuftiore; nam concoctis in ipfa vitiofis humoribus, fequitur fecretio, ita ut utiles retineantur, excernantur inutiles. Atque nonnulli hujusmodi vacuationes nominant cruentas dyfenterias, quae oboriuntur quibusdam vel mutilato aliquo membro, aut ubi quis in exercitatione educatus ad otium fe converterit. Ac vifa eft quoque mulieribus, fuppreffis menftruis, hujusmodi per fedem fanguinis vacuatio fieri, ut et nonnullis per vomitum eandem ob caufam. Verum et his quidem fincerus fanguis excernitur, fimilis ei qui ab hoftia interfecta profunditur, modo inferne per alvum, modo per fuperiores etiam partes, at per eryfipelata et inflammationes, accedente concoctione, vitiofus, coenefus et putris Atque in hepaticis

πάθεσιν, ὅταν ὑπὸ τῶν βοηθημάτων τονωθῇ τὸ ἧπαρ, ἐκκρίσεις ἐπιγίγνονται μοχθηρόταται κατά τε τὸ χρῶμα καὶ τὴν ὀσμὴν, ἐκκαθαιρομένου τοῦ σπλάγχνου. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐρεῖται τούτοις οὖρα μοχθηρότατα, δυνάμενα σφῆλαι τοὺς ἀπείρους ἰατροὺς, ὡς ὀλεθρίως ἔχοντος τοῦ κάμνοντος. οἱ γὰρ ἄνευ λογισμοῦ διὰ πείρας μόνης ἄλογον τριβὴν κτώμενοι τῶν σπανίως γιγνομένων ἀπείρως ἔχουσιν, ὡς ἂν τῶν πλειστάκις καὶ ὡσαύτως ἑωραμένων μνημονευτικοί τινες ὄντες. ὅτι δὲ ἐπὶ προήκοντι τῷ χρόνῳ τοῦ νοσήματος ἅμα τοῖς τῆς πέψεως σημείοις αἱ τοιαῦται γίγνονται κενώσεις, οὐχ ἅπαξ, ἀλλὰ πολλάκις ἐν ταῖς ἐξηγήσεσι τῶν Ἱπποκράτους συγγραμμάτων ἐμάθετε. καθάπερ οὖν τῆς καθεκτικῆς δυνάμεως ἀτονούσης ποτὲ καὶ μὴ δυναμένης κατέχειν τὸ βαρῦνον αὐτὴν ἡ ἀποκριτικὴ δύναμις τὸ λυποῦν ἐκκενοῖ, κατὰ τὸν αὐτὸν τρόπον ἀῤῥωστούσης τῆς ἀποκριτικῆς κατέχεταί τινα μὴ πάνυ βαρυνομένης τῆς καθεκτικῆς. ἄλλοτε γὰρ ἄλλη δύναμις ἐν ἑκάστῳ τῶν ὀργάνων ἰσχυροτέρα τε καὶ ἀσθενεστέρα

affectibus, quanquam raro, medicamentorum auxilio robuſtiore evadente jecore, interdum dejiciuntur excrementa, tum colore tum odore peſſima, expurgante ſe viscere. Eodem modo urinae ab his quoque deterrimae redduntur, quibus imperiti medici nonnunquam decepti laboranti periculum ſubeſſe arbitrantur. Etenim qui ſine ratiocinatione rudem duntaxat experientiam ſibi comparant, eorum quae raro eveniunt experimenta habere non poſſunt, ut qui eorum, quae ſaepenumero et eodem modo accidere conſpexerunt, ſunt memores. Quod autem procedente morbi tempore cum concoctionis ſignis hujusmodi fiant evacuationes, non ſemel duntaxat, imo creberrime in operum Hippocratis explicationibus didiciſtis. Quemadmodum igitur, retentrix facultas quum imbecillior eſt, ac rem quae ipſam gravat, retinere non valet, facultas expultrix id quod moleſtat, evacuat, eodem modo infirma expultrice, res quaedam retinentur, facultate retentrice non admodum gravata. Nam in unoquoque organo alias alia facultas vel fortior fit, vel im-

γίγνεται κατὰ τὴν ἐπὶ τὰς ἐνεργείας ἀναφορὰν, εἰς ἔννοιαν ἡμῶν ἀφικνουμένων ἑκάστης δυνάμεως· ἐπεί τοι κατά γε τὸ ἀληθὲς, ὅλον ἀεὶ τὸ μόριον ἐνεργεῖ κατὰ τὴν ἰδιότητα τῆς ὑπαρχούσης ἑκάστοτε κράσεως αὐτῷ. ἀλλ' ἐνίοτε μὲν ὑπομένει βαρυνόμενον, ἐν χρόνῳ τε πλείονι τοῦ λυποῦντος ἐκράτησεν, κατεργασάμενόν τε καὶ ἀλλοιῶσαν καὶ πέψαν αὐτό· καθ' ἕτερον δ' αὖ χρόνον ἤτοι τὴν ποιότητα τοῦ λυποῦντος ἢ τὸ πλῆθος οὐ φέρον ἐξορμᾷ πρὸς τὴν ἔκκρισιν αὐτοῦ· καθάπερ γε πάλιν ἐνίοτε μεγάλως ἀνιώμενον, ἀποῤῥῖψαί τε τὸ λυποῦν ἐφιέμενον, ὑπ' ἀσθενείας ἀδυνατεῖ, καταπεπτωκὸς εἰς ἐσχάτην ἀτονίαν. ἃ σύμπαντα καθ' ἕκαστον ὄργανον φυσικὸν ἐννοοῦντας ὑμᾶς γυμνάζειν χρὴ τὸν λογισμὸν εἰς τὴν διάγνωσιν αὐτῶν· εὑρήσετε γὰρ οὕτω σκοποῦντες ἐνίων μορίων οὐδ' ὅλως ἐζητημένα τὰ πάθη ὑπὸ τῶν παλαιῶν, καθάπερ οὐδὲ τῆς χοληδόχου κύστεως. εἰ γὰρ, ὡς ἐδείξαμεν, ἕλκει τὸ χολῶδες ὑγρὸν εἰς ἑαυτὴν, ὥσπερ οἱ νεφροὶ μὲν τὸν οἷον ὀῤῥὸν τοῦ αἵματος, ὁ δὲ σπλὴν τὸ παραπλήσιον, ὅπερ ἐν μὲν τοῖς οἴνοις τρὺξ, κατὰ δὲ τοὔλαιον ἀμόργη, γενήσεταί ποτε

becillior, facta ad actiones relatione, uniuscujusque facultatis notionem nobis ſumentibus; nam re vera tota ſemper pars agit ſecundum temperamenti, quod ei ſubinde ineſt, proprietatem; verum aliquando rem gravantem ſuſtinet, ac longo temporis tractu eam vincit, conficit, alterat et concoquit, rurſus alio tempore rei infeſtantis vel qualitatem vel multitudinem non ferens, ad ipſius excretionem inſurgit; ſicut e contrario, quum interdum admodum moleſtatur, ipſam rem moleſtantem dejicere cupiens, viribus graviſſime proſtratis, ob imbecillitatem non poteſt. Quae omnia in quovis naturali organo perpendere atque mentem in ipſis dignoscendis exercere debetis. Sic enim invenietis partium quarundam affectus ab antiquis haudquaquam indagatos, veluti ne folliculi quidem fel continentis. Si enim, ut demonſtravimus, bilioſum humorem ad ſe trahat, quemadmodum renes ſanguinis veluti ſerum, et ſplen id, quod vini faecibus aut amurcae olei ſimilatur, accidet interdum ut ob hujus

καὶ δι᾽ ἀτονίαν τῆς κύστεως [504] ταύτης ἀκάθαρτον αἷμα, καί τις οὗτος ἕτερος τρόπος ἰκτέρου γενέσεως ἐπὶ τοῖς εἰρημένοις ἔμπροσθεν ὑπάρχει τρισίν. ἐγχωρεῖ δέ ποτε καὶ (308) πληρωθεῖσαν αὐτὴν, ὥσπερ ἡ οὐροδόχος κύστις οὔρων, μὴ δύνασθαι κενωθῆναι δι᾽ ἔμφραξιν ἢ ἀτονίαν τῆς ἐκκριτικῆς δυνάμεως· ὥσπέρ γε καὶ δι᾽ ἔμφραξιν ἢ ἀτονίαν τῶν εἰς ἧπαρ ἀπ᾽ αὐτῆς ἀνεστομωμένων ἀγγείων οὐχ ἕλξει ποτὲ τὸ χολῶδες ὑγρόν. ἐπισκοπεῖσθαι τοιγαροῦν ἀναγκαιότατόν ἐστιν ἐν τοῖς ἰκτερικοῖς παθήμασι τὴν τῶν διαχωρουμένων ἰδέαν, ἔστι γάρ τις ἡμῖν κἀκ τοῦδε πρὸς τὴν διάγνωσιν ὠφέλεια. ἐγὼ γοῦν ἐννοήσας τοῦτο, τῶν ἰκτεριώντων εὗρον ἐνίοις ἱκανῶς κεχρωσμένα τῇ ξανθῇ χολῇ τὰ διαχωρήματα, καθάπερ ἐνίοις τὰ οὖρα, καὶ κατὰ τὸ δέρμα, τινῶν μὲν ἐκκρινόμενον ἐν τοῖς λουτροῖς τὸ πλεῖστον, τινῶν δ᾽ ἐπεχόμενον τὸ πλεῖστον τῆς ξανθῆς χολῆς, ὀλίγιστον δὲ ἐκκρινόμενον. ἀκριβῶς δὲ αὐτὸ κατανοῆσαι πειρώμενοι, χωρὶς τοῦ προαλείψασθαι τὸν ἄνθρωπον, ἀποστλεγγίζεσθαι τὸν ἱδρῶτα κελεύετε· θεάσεσθε γὰρ οὐ τὸν αὐτὸν ἐπὶ πάντων κατὰ τὸ κοῖλον τῆς στλεγγίδος

vesiculae imbecillitatem impurus fiat sanguis, atque alia haec est quaedam regii morbi species praeter eas tres, quas supra proposuimus. Nonnunquam ita repleri quoque potest, quemadmodum urinis vesica urinae, ut evacuari non possit, ob obstructionem aut excretricis imbecillitatem, veluti etiam obstructis aut infirmis vasis, quae ab ipso exorta, ora sua in hepar extendunt, biliosum humorem interdum non attrahet. Proinde excrementorum speciem in morbo regio considerare perquam necessarium est; nam quaedam inde etiam nobis ad dignotionem utilitas exurgit. Haec equidem considerans inveni quorundam regio morbo affectorum excrementa, flava bile vehementer colorata, quemodmodum et aliis urinas; item per cutem quoque, nonnullis plurimum flavae bilis a balneo profundi, aliis plurimum ipsius retineri, ac perquam exiguum effundi. Hanc rem si accurate intelligere volueritis, nulla prius adhibita unctione, homini sudorem strigili detergeri jubete; videbitis enim non eundem in omnibus

Ed. Chart. VII. [504.] Ed. Baf. III. (308.)
ἀθροιζόμενον, ἀλλ' ἐπὶ τινῶν μὲν ὑδατωδέστερον, ἐπὶ τινῶν δὲ χολωδέστερον· ὥστε μετὰ τῶν προγεγονότων ὑμῖν ἡ διάγνωσις ἔσται σαφεστέρα τοῦ πεπονθότος τόπου προσλαβοῦσι καὶ τοῦτο τὸ γνώρισμα. πυρέξας γοῦν τις ὀξὺν καὶ χολώδη πυρετὸν ἑβδομαῖος ἀπηλλάγη τοῦ νοσήματος, χολῆς ξανθῆς παμπόλλης εἰς τὸ δέρμα κατασκηψάσης, ἐπὶ δὲ τῶν ἑξῆς ἡμερῶν ὁ ἴκτερος αὐτῷ παρέμενεν. ἐπεσκεψάμεθα τά τε διαχωρήματα καὶ τὰ οὖρα· φαινομένων δ' ἀμφοτέρων κατὰ τὴν φύσιν ἔχειν, καὶ διὰ τοῦτ' ἀπαθὲς εἶναι τὸ σπλάγχνον ἐνδεικνυμένων, εἰς ἔννοιαν ἦλθέ μοι δυνατὸν εἶναι, παχυτέραν τὴν κατασκήψασαν εἰς τὸ δέρμα χολὴν ὑπάρχειν. ἐκ τούτου τοῦ λογισμοῦ προτραπεὶς, καὶ καταμαθὼν ὁποῖός τις ὁ ἱδρώς ἐστι, φανέντος ὑδατώδους, ἔγνων δυσδιαφόρητον εἶναι τὴν χολὴν, ἐκέλευσά τε τῷ κάμνοντι χρῆσθαι θερμοῖς ὕδασιν αὐτοφυέσι διαφορητικοῖς, ἅμα τῷ καὶ τὴν δίαιταν ὑγροτέραν ποιεῖσθαι καὶ μετρίως λεπτύνειν πάχος χυμῶν δυναμένην. οὗτος μὲν οὕτως ἀπηλλάγη τοῦ πάθους, ἑνὶ βοηθήματι τῆς τε διαγνώσεως αὐτοῦ βεβαιωθείσης καὶ τῆς ἰάσεως συντελεσθείσης. ἑτέρῳ δὲ πλῆθος ἐν τῇ στλεγγίδι χολῆς εὑρὼν, ὑπενόησα

hominibus in ftrigilis cavitate colligi, verum in aliis magis aquofum, in aliis magis biliofum. Itaque loci affecti dignotio vobis multo erit dilucidior, fi hoc quoque fignum adjiciatis. Quidam enim acuta biliofaque febre laborans, die feptimo multa flava bile ad cutem transmiffa, a morbo liberatus eft, manfitque fequentibus deinde diebus auriginofus. Excrementa et urinas confideravimus; utrisque vero fecundum naturam fe habentibus atque ob eam caufam nullum visceris affectum declarantibus, venit in mentem mihi fieri poffe, ut translata in cutem bilis craffior effet; qua ratione promotus, notavi qualisnam effet fudor; illo autem apparente aquofo, conjeci bilem effe discuffionis difficilis. Praecepi itaque laboranti ut aquis fuapte natura calidis et discutientibus uteretur, ac praeterea victum adhiberet humidiorem quique humorum craffitudinem moderate poffet attenuare. Hic quidem a morbo fic liberatus eft, unico auxilio et dignotione confirmata et curatione abfoluta. Alium multam in ftrigili bilem relinquere

γεννᾶσθαι πολλὴν ἐν ὅλῳ τῷ σώματι, καὶ τῇ θεραπείᾳ πρὸς τοῦθ᾽ ἁρμοττούσῃ χρησάμενος ἰασάμην. ὅσοις δ᾽ ἀπυρέτοις, ἅμα τῷ βάρους τινὸς αἴσθησιν εἶναι κατὰ τὸ δεξιὸν ὑποχόνδριον, ἴκτερος ἐγένετο, τούτοις ἅπασι προεκφράττων, ὡς ἴστε, τὰς ἐμφράξεις λεπτύνουσιν ἐδέσμασί τε καὶ πόμασι καὶ φαρμάκοις, εἶτα πιεῖν διδοὺς χολαγωγὸν φάρμακον, ἰασάμην ἡμέρᾳ μιᾷ τοὺς πλείστους αὐτῶν· ἐφ᾽ ὧν δ᾽ οὐδὲν ἤνυε τὸ καθαρτικὸν, αὖθις ἰσχυρότερον ἐκφρακτικὸν ποτίσας, ἐκ δευτέρου πάλιν ἐκάθηρα βιαιότερον, ὡς ἐπὶ τῷ τέλει τῆς καθάρσεως ἅμα δήξει σφοδροτάτῃ τὴν χολὴν ἐκκριθῆναι κυανίζουσαν μᾶλλον ἢ ξανθήν. ἐπὶ τούτων οὖν ἡγοῦμαι τὴν χοληδόχον κύστιν ὅμοιόν τι πάθημα παθεῖν τῷ τῇ τὸ οὖρον ἀθροιζούσῃ γιγνομένῳ ἐνίοτε· καὶ γὰρ καὶ κατ᾽ αὐτὴν ἀθροίζεταί ποτε τοσοῦτον, ὡς ὑπερδιαταθεῖσαν αὐτὴν ἀδυνατεῖν ἐκκρῖναι τὸ περιεχόμενον. ἀλλ᾽ ἐπὶ μὲν τῆς οὐροδόχου κύστεως, οὐ χεῖρον γὰρ αὐτὴν οὕτως ὀνομάσαι, διττῶς γίγνεται τοῦτο· ποτὲ μὲν δι᾽ ἀῤῥωστίαν τῆς ἀποκριτικῆς δυνάμεως,

videns, eam plurimam in universo corpore procreari perpendi et adhibita ad id idonea curatione fanavi Quibus vero citra febrem morbus regius accidit, urgente in dextro hypochondrio gravitatis cujusdam fenfu, iis omnibus aperiens, ut fcitis, obftructiones, cibis et potibus et medicamentis attenuantibus, deinde medicamentum, quod bilem duceret, exhibens, eorum plurimos uno die fanitati reftitui. Qui vero purgatione liberari non potuerunt, iis rurfus valenti ad aperiendum data potione, medicamentum, quod vehementius purgaret exhibui; ita ut fub fine purgationis caeruleam magis quam flavam bilem cum acri mordacitate excernerent. In his igitur puto folliculum cholidochum fimili quopiam affectu laborare, qualis in vefica urinae interdum accidit; etenim adeo multam nonnunquam acervat, ut nimis intenta nequeat, quod in ipfa continetur, excernere. Verum in urinae receptaculo, neque enim abfurdum fuerit veficam ita nominare, bifariam id fit; interdum ob excretricis facultatis imbecillitatem, interdum vel ob gravem fomnum,

ἐνίοτε δ᾽ ἤτοι διὰ βαθὺν ὕπνον, ἤ τινα ἀσχολίαν ἐπισχεθέντος [505] ἐπὶ πλέον τοῦ οὔρου, κᾀκ τούτου τῆς κύστεως ὑπερδιαταθείσης, καὶ ταύτην αὐτὴν αἰτίαν ἐχούσης τὴν δύναμιν αὐτῆς ἀῤῥωστῆσαι· κατὰ δὲ τὴν χοληδόχον κύστιν, ὡς ἂν οὐδὲν εἰς τὴν ἀπόκρισιν βοηθουμένην ὑπὸ δυνάμεως ψυχικῆς, ἀρχὴ μία τῆς ἀτονίας ἐστὶν, ὥσπερ κᾀπὶ τῶν ἄλλων ὀργάνων φυσικῶν, ἐκ δυσκρασίας τοῦ μορίου γιγνομένη.

vel negotia quaepiam, retenta ultra quam par eſt urina, quae deinde veſicam nimis intendens, hac ipſa ratione vires ejus proſternit. At fellis folliculus, utpote cui nullum ſuccurrit ab animali facultate praeſidium, unicum habet imbecillitatis principium, veluti caetera quoque naturalia inſtrumenta, a partis ortum intemperie.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ ΒΙΒΛΙΟΝ Ζ.

Ed. Chart. VII. [505.] Ed. Baſ. III. (308.)

Κεφ. α'. Ἐκ τῶν προειρημένων ἐπὶ τοῦ ἥπατος οὐδὲν ἔτι χαλεπὸν εὑρίσκειν ὑμᾶς, ἐκ τίνων σημείων ὁ σπλὴν πεπονθὼς διαγιγνώσκεται, πρὸς τῷ καὶ τὰς φλεγμονὰς αὐτοῦ διὰ σκληρότητα ῥᾳδίως ὑποπίπτειν ἁπτομένοις. ἔχων δὲ τὰ πλεῖστ' αὐτῶν κοινὰ πρὸς ἧπαρ, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἔχειν αὐτὰ διαλλάττει. τὰ μὲν γὰρ τῆς χρόας ὅλου τοῦ σώματος ἐπὶ τὸ μελάντερον ῥέπει κατὰ τὸ τῆς ἀτονίας αὐτοῦ πάθος. ἐπεὶ δὴ τὴν ἐνέργειαν ἔχει φύσει, τὸ μελαγχολικὸν

GALENI DE LOCIS AFFECTIS LIBER VI.

Cap. I. Quae de jecore prius dicta ſunt, ex his nihil poſtea vobis arduum erit invenire ſigna, quibus lienis affectus dignoscuntur, addito quod ipſius inflammationes ob duritiem facile tangentibus ſuccidant. Quum itaque plurima habeat cum hepate communia, in eo quod magis et minus habeat ipſa, differt. Nam color univerſi corporis, ubi ſplen imbecillitate affectus eſt, in atrum magis propendet. Quoniam igitur hoc habet a natura munus, ut melancholi-

ἐκ τοῦ ἥπατος ἕλκειν αἷμα εἰς ἑαυτὸν, τούτῳ γὰρ ἐδείχθη τρεφόμενος, τῆς οὖν ἑλκτικῆς αὐτοῦ δυνάμεως ἀτόνου γενομένης, ἀκάθαρτον εἰς ὅλον τὸ σῶμα φέρεται τὸ ἐξ ἥπατος αἷμα, καὶ κατὰ τοῦτο μελάντερον αὐτοῖς γίνεται τὸ χρῶμα. καὶ μέντοι καὶ ἀποκρίνει πολλάκις ἐξ ἑαυτοῦ περιττώματα, καθάπερ τὸ ἧπαρ, ὥστε καὶ δι᾽ ἐμέτων ἅμα ναυτίαις ἐκκριθῆναί ποθ᾽ αἷμα μελαγχολικὸν, ὑπελθεῖν τε κάτω τοιοῦτον ἄλλο· καὶ χωρὶς δὲ τῆς τοιαύτης κενώσεως, ἀθυμίας τε καὶ δυσθυμίας μελαγχολικὰς ἐργάζεται, καὶ σιτίων ἐνίοτε μὲν ὀρέξεις σφοδροτάτας, καὶ μάλισθ᾽ ὅταν ἀκριβῶς ὀξῶδες ᾖ τὸ φερόμενον εἰς τὴν γαστέρα περίττωμα, πολλάκις δ᾽ ἀνατροπήν τε καὶ ὑπτιασμὸν, [506] ὅταν ἑτέραν τινὰ ἔχῃ διαφθοράν. σκιῤῥούμενος δ᾽ ὅπως ὑδέρους ἐπιφέρει, συμπαθοῦντος αὐτῷ τοῦ ἥπατος, καὶ ἔμπροσθεν εἴρηται. καὶ μέντοι καὶ παθόντων ποτ᾽ ἀμφοτέρων τῶν σπλάγχνων, ἰκτέρους γιγνομένους ἐθεασάμεθα πρὸς τὸ μελάντερον τῶν συνηθῶν ῥέποντας, ὡς νομίζειν τὴν ξανθὴν χολὴν ἀσβόλῃ μεμίχθαι· καί τινες τῶν ἰατρῶν, ἀπαθὲς εἶναι τοῖς τοιούτοις τὸ ἧπαρ ὑπο-

cum fanguinem ex hepate ad fefe attrahat, quo ipfum ali demonftratum eft; attractrice facultate facta ipfi imbecilliore fanguis ex jecore in univerfum corpus impurus fertur, quocirca calor ipfis laborantibus nigrior evadit. Quinetiam, ut hepar, ex fe multoties excrementa rejicit, ita ut vomitionibus cum naufeis, melancholicum fanguinem aliquando excernat, ac per inferiora quoque aliud tale dejiciat; ac citra hujusmodi evacuationem, animi dejectiones et moeftitias melancholicas facit; ac nonnunquam ciborum vehementiffimas appetentias, praecipueque quum exquifite acidum eft quod in ventrem fertur excrementum, faepenumero autem fubverfionem et fupinationem, quum aliam quandam habuerit corruptionem. Quo pacto vero fcirrho laborans hyderos adferat, confentiente ipfi jecore, etiam antea dictum eft. Quinetiam laborante aliquando utroque viscere, regium morbum evenire confpeximus, nigriore, quam pro confuetudine, colore, ita ut putaretur flava bilis fuligini effe permixta. Atque medici quidam jecur nullo affectu tum laborare exifti-

λαμβάνοντες, ἀποροῦσιν ὅπως ἐπὶ σπληνὶ γίγνονταί τινες ἴκτεροι, καθάπερ καὶ ὅσοι χωρὶς ἥπατος ἡγοῦνται παρεγχύσεσιν ὑδερικαῖς περιπίπτειν τοὺς κάμνοντας ἐπὶ μόνῳ τῷ σπληνὶ σκιῤῥωθέντι. τὴν δ᾽ αὐτὴν ἀπορίαν ἔχουσι καὶ περὶ τῶν ἐπ᾽ ὀξέσι νοσήμασιν ὑδέρων, ἀφ᾽ ὧν ἐπὶ δυσκρασίᾳ τῇ κατὰ θερμότητα, πολλάκις δὲ καὶ ξηρότητα, τὸ ἧπαρ οὕτως ἔπαθεν ἰσχυρῶς, ὡς μηκέθ᾽ αἱματοῦν τὴν τροφήν· οὐδὲ γὰρ ἐπὶ τούτων ἡγοῦνται πεπονθέναι τὸ σπλάγχνον, ἐθισθέντες ὑπὸ τῶν περὶ τὸν Ἐρασίστρατον ἀπαθὲς εἶναι νομίζειν ἕκαστον τῶν μορίων, ὅτ᾽ ἂν μήτ᾽ ὄγκος τις εἴη κατ᾽ αὐτὸ μήθ᾽ ἕλκος. ἀλλ᾽ ἐκείνοις μὲν συγχωρητέον ἔσται οὕτως ὑπολαμβάνειν, οὐδὲν ἡγουμένοις νόσημα γίγνεσθαι κατὰ δυσκρασίαν· ὅσοι δὲ τῶν ἰατρῶν ἑπόμενοι τοῖς ἐναργῶς φαινομένοις, ἐπὶ τῷ ψυχθῆναί τι μόριον ὑπολαμβάνουσι γίγνεσθαί τινα συμπτώματα, οὐ θαυμάσαι τούτων ἐστὶ τοὺς (309) ὑδέρους οὐδ᾽ ἐφ᾽ ἑνὶ τόπῳ πεπονθότι συνίστασθαι νομιζόντων; εἰ γὰρ ὅτι μηδεὶς ὄγκος ἐστὶ παρὰ φύσιν ἐν ἥπατι, διὰ τοῦτ᾽ ἀπαθὲς ὑπάρχειν ἡγοῦνται τὸ σπλάγχνον, οὐδ᾽ ἄλλο οὐδὲν ἔσται

mantes, dubitant quomodo a ſplene morbus regius aliquis nasci poſſit; quemadmodum et qui a ſolo liene per ſcirrhum indurato, citra jecoris vitium, in hydropicas ſuffuſiones aegrotos incidere arbitrantur. Eandem quoque habent dubitationem de hydrope acutos morbos ſequente a quibus jecur ob calidam et ſaepenumero ſiccam intemperiem tam graviter afficitur, ut cibum in ſanguinem transmutare nequeat; neque enim etiam in iis jecur affici exiſtimant, ab Eraſiſtrato accepta conſuetudine, ut nullam partem affici arbitrentur, niſi vel tumor quispiam, vel ulcus in ipſa conſiſtat. Verum illis concedendum erit ita exiſtimare, nullum ab intemperie morbum arbitrantibus ſieri, at medici qui ſequuntur ea quae manifeſte apparent et refrigerata parte quapiam ſymptomata quaedam ſieri putant, numquid admiratione digni ſunt, qui hydropem conſiſtere poſſe putent, ne unico quidem loco affecto? Si enim quod nullus ſit in hepate tumor praeter naturam, ob id viscus haudquaquam affectum eſſe exiſtimant,

Ed. Chart. VII. [506.] Ed. Baf. III. (309.)
πεπονθὸς ἐπὶ τῶν ἀθρόον ἀκαίρως ψυχρὸν ὕδωρ μοχθηρὸν πιόντων, εἶθ᾽ ὑδέρῳ καταληφθέντων ἐπ᾽ αὐτῷ. βλάπτει μὲν οὖν τὸ οὕτως ποθὲν ψυχρὸν ἄλλοτ᾽ ἄλλο μόριον τῶν ἔνδον, ἢ μᾶλλον τῶν ἄλλων, ἢ πρῶτον, ὡς ἂν καὶ τύχῃ τι κατ᾽ ἐκεῖνον τὸν χρόνον ἀσθενέστερον ὑπάρχον· ἀπ᾽ αὐτοῦ δ᾽ εἰς τὸ ἧπαρ ἀνάγκη διαδοθῆναι τὴν ψύξιν, εἰ μέλλοι τις ὑδερικὴ διάθεσις ἀκολουθῆσαι. οὕτως οὖν καὶ διὰ τὸν σπλῆνα γίγνεταί ποθ᾽ ὕδερος, ἢ μετ᾽ ὄγκου ψυχθέντα, καθάπερ ἐν τοῖς σκίῤῥοις, ἢ καὶ χωρὶς ὄγκου, καθάπερ ἐν ταῖς ἀθρόαις τε καὶ ἀκαίροις μοχθηροῦ ψυχροῦ πόσεσιν. ὅτι δὲ καὶ μελαγχολικαὶ γίγνονται δυσθυμίαι, διαπέμποντος αὐτοῦ τοιοῦτον περίττωμα τῷ στόματι τῆς γαστρὸς, ἐν τῷ κατ᾽ ἐκεῖνο λόγῳ πρόσθεν εἴρηται· ὥστ᾽ οὐδὲν ἔτι δεῖ πλείω λέγειν ὑπὲρ αὐτοῦ, τῶν μὲν ὀργανικῶν ἐν αὐτῷ παθῶν οὐ δεομένων λογικῆς διαγνώσεως, τῶν δὲ κατὰ τὴν δυσκρασίαν ἔκ τε τῶν νῦν εἰρημένων καὶ τῶν ἔμπροσθεν ἐν τῇ περὶ τῶν κατὰ τὸ ἧπαρ παθῶν διδασκαλίᾳ· τινὰ μὲν γὰρ αὐτῶν ὀνομαστὶ

neque alia pars ulla afficietur in iis qui aqua frigida vitiofa affatim et intempeftive epota, mox inde hydero corripiuntur. Noxam quidem infert internis partibus aqua fic epota, alias aliis, vel praecipue, vel primo, prout aliqua forte fortuna eo tempore reliquis fuerit imbecillior; verum nifi ad jecur frigus transmittatur, hydericus affectus fubfequi non poteft. Sic igitur fplenis quoque vitio hyderus nonnunquam evenit, aut cum tumore refrigerati, ut in fcirrhis, aut citra tumorem, ut in copiofis ac intempeftivis aquae frigidae et pravae potionibus. Quod vero melancholica moeftitia, ipfo excrementa hujusmodi ad os ventriculi transmittente, proveniat, antea ubi de ipfo tractavimus, dictum eft; quamobrem de eo etiamnum plura minime dicenda funt, quum ejus organici affectus rationali dignotione non indigeant, qui vero ab intemperie proficiscuntur, tum ex iis quae jam diximus, tum ex ea doctrina, quam fupra de jecore propofuimus, *noti fint;* nam eorum quidam nominatim funt explicati, quidam vero

λέλεκται, τινὰ δ᾽ ὁμοίως συνιστάμενα ἐκείνοις καὶ τὴν διάγνωσιν ὁμοίαν αὐτοῖς ἕξει.

Κεφ. β΄. Ἤδη καὶ πρόσθεν εἶπόν τι περὶ τῶν κατὰ τὴν γαστέρα παθῶν, εἰς μέγιστα μόρια δύο διελὼν αὐτὴν τῷ λόγῳ, τό τε πρῶτον ἄνωθεν, ὃ συνεχές ἐστι τῷ στομάχῳ, πολλοῖς νεύροις αἰσθητικοῖς διαπεπλεγμένον, ἕτερον δὲ τούτῳ [507] συνεχὲς ἄχρι τῆς κατὰ τὸ ἔντερον ἐκφύσεως. ἔστι δ᾽ ὥσπερ ἑκατέρου χρεία τοῖς ζώοις ἴδιος, ἀνάλογόν τε τῇ χρείᾳ τὰ συμπτώματα διαφέροντα, κατὰ τὸν αὐτὸν τρόπον ὅσα κοινὰ πάθη τῶν ὁμοιομερῶν ἐστι καὶ τῶν ὀργανικῶν, ὑπάρχει δήπου καὶ τούτοις κοινὰ πρὸς ἄλληλά τε καὶ σύμπαν τὸ ἔντερον. ἡ δὲ τῶν συμπτωμάτων ὁμοιότης οὐ μόνον τούτοις πρὸς ἄλληλά ἐστι, ἀλλὰ καὶ τοῖς ψαύουσιν αὐτῶν, ὥσπερ τοῖς νεφροῖς πρὸς τὸ κῶλον. ἔνια μὲν οὖν εὔγνωστον ἔχει τὸν πεπονθότα τόπον, ὥσπερ αἱ δυσεντερίαι καὶ οἱ τεινεσμοί· χρὴ δ᾽ ὑμᾶς ἐν τῷ παρόντι λόγῳ τὰς κυρίως ὀνομαζομένας δυσεντερίας ἀκούειν, ὡς σημαινούσης τῆς προσηγορίας ἐντέρων ἕλκωσιν· οὔτε γὰρ ἀθρόως γίγνεται τὸ πάθος

qui fimiliter ut illi confiftunt, fimilem quoque habebunt dignotionem.

Cap. II. Jam de ventriculi affectibus aliquid dixi, ac in duas maximas ipfum partes fecui, primam fuperiorem, gulae continuam, ex multis nervis fenfificis contextam, alteram huic continuam, quae ad inteftinorum usque exortum extenditur. At ut utriusque in animalibus proprius eft ufus ac pro ufus differentia diverfa fymptomata, ad eundem modum quicunque affectus communes funt fimilaribus et organicis partibus, ii etiam his tum inter fe tum cum univerfis inteftinis communes exiftunt. Verum fymptomatum fimilitudo non folum his eft inter fe, fed etiam partibus, quae ipfa attingunt, ficut renibus et colo. Horum igitur nonnulla fedem affectam habent cognitu facilem, ut dyfenteria et tenesmus; in praefenti oratione autem nomen dysenteriae proprie audire oportet, ut appellatio inteftinorum ulcus fignificet; neque enim repente fit hujusmodi affectus,

Ed. Chart. VII. [507.] Ed. Baf. III. (309.)

τοῦτο, καθάπερ θάτερον, ἐν ᾧ τὸ ἧπαρ ἔφαμεν πάσχειν, ἴδιά τε γνωρίσματα αὐτῷ σύνεστιν. ἐν ἀρχῇ μὲν οὖν ἔκκρισις χολῆς δακνώδους ἱκανῶς ἐπ᾽ αὐτοῦ γίγνεται, μετὰ δὲ ταύτην ἀκολουθεῖ ξύσματα τῶν ἐντέρων· εἶτα τοῖς ξύσμασι συνεκκρίνεταί τι μικρὸν αἵματος, ἡνίκ᾽ ἤδη δυσεντερία τὸ πάθος ἐστί. ὁπότε μὲν οὖν μόνα ταῦτα τὰ ξύσματα διαχωρεῖται, προσέχειν χρὴ, μή τι πιμελῶδες αὐτοῖς συνεκκρίνεται· τῶν παχέων γὰρ ἂν οὕτως ἐντέρων ἡ ἕλκωσις εἴη· τοῦ δ᾽ αἵματος ἤδη συνεκκρινομένου, σκοπεῖσθαι χρὴ, πότερον ἀναμέμικται τοῦτο τοῖς ἄλλοις ὅλον ὅλοις, ἢ καθ᾽ ἕν τι μέρος αὐτῶν ἐποχεῖται. τὸ μὲν γὰρ ἀναμεμιγμένον ἐν τοῖς ὑψηλοτέροις ἐντέροις ἐνδείκνυται τὴν ἕλκωσιν εἶναι, τὸ δ᾽ ἐποχούμενον ἐν τοῖς ταπεινοτέροις· ὁρᾶται δὲ τοῦτο κἀπὶ τῶν ξυσματωδῶν ἐκκρίσεων γιγνόμενον, ἀλλ᾽ ἧττον σαφῶς ἢ ἐπὶ τοῦ αἵματος. ὡσαύτως δὲ κᾂν ἐφελκὶς ἐκκρίνηται, δηλώσει ποίων ἐστὶν ἐντέρων, ἔξ αὐτῆς τε τῆς οἰκείας οὐσίας καὶ τοῦ μεμίχθαι τοῖς ἐκκρινομένοις, ἢ καθ᾽ ἕν τι μέρος αὐτῶν ἐποχεῖσθαι. διαφέρει δ᾽ οὐ σμικρὸν εἰς τὴν θεραπείαν

ut alter in quo hepar affici diximus, atque proprias habet notas. Etenim ab ipfius initio bilis fatis mordacis excretio fit, quam deinde inteftinorum ramenta fequuntur; poftea cum ramentis paulum cruoris excernitur, tumque jam affectus dyfenteria eft. Quum itaque hujusmodi ramenta fola excernuntur, confiderandum eft, num pingue quid fimul cum ipfis dejiciatur; ita enim in craffis inteftinis ulcus confliterit. Ubi vero cruor jam fimul excernitur, intueri oportet, utrum is reliquis *excrementis* fit permixtus univerfus univerfis, an ipforum alicui parti infideat; etenim fi admixtus fit, in fuperioribus; fi fupernatet, in humilioribus inteftinis ulcus effe demonftrat. Ac idem quoque in ramentofis excrementis fieri cernitur, verum minus perfpicue quam in cruore. Simili etiam ratione, fi ramenta excernantur, ipfa, quorum inteftinorum fint, declarant, tum ex fubftantia propria, tum ex modo quo permixta funt excrementis, vel uni eorum parti infident. Non mediocriter au-

ἐγνῶσθαι τὴν ἕλκωσιν, ἐν τίνι μέρει τῶν ἐντέρων ἐστίν. αἱ μὲν γὰρ ἐν τοῖς ὑψηλοτέροις ὑπὸ τῶν καταπινομένων φαρμάκων ὠφελοῦνται, αἱ δ᾽ ἐν τοῖς ταπεινοτέροις ὑπὸ τῶν ἐνιεμένων ὠφελοῦνται. διορίζονται δὲ τῶν ἀφ᾽ ἥπατος ἐκκρίσεων αἱ τοιαῦται δυσεντερίαι τῷ τε λεπτὸν αἵματος ἰχῶρα κατ᾽ ἀρχὰς ἐκκρίνεσθαι ταῖς ἀφ᾽ ἥπατος, εἶτα τοῦ πάθους αὐξανομένου παχὺν χυμὸν οἴνου τρυγὶ παραπλήσιον· ἔτι τε τῷ μηδὲν ἐπ᾽ αὐτῶν συνεκκρίνεσθαι ξυσματῶδες, ἀλλὰ καὶ διάλειμμα δυοῖν ἡμερῶν ἢ καὶ τριῶν ἐνίοτε γίγνεσθαι ταῖς ἡπατικαῖς ἐκκρίσεσιν, εἶτ᾽ αὖθις ἐπανέρχεσθαι τὸ κακὸν, ἐκκρινόντων αὐτῶν πολὺ χείρω τῶν ἔμπροσθεν· οὐ μὴν ἐπί γε τῶν κατ᾽ ἔντερα ἑλκώσεων οὕτω φαίνεται γιγνόμενον, οὔτε γὰρ ἀθρόον οὔτ᾽ ἐκ διαστημάτων χρόνου μακρῶν ἐκκρίνουσιν. αἱ μέν τοι κατὰ τὸ ἀπευθυσμένον ἑλκώσεις, ἃς τεινεσμοὺς ὀνομάζουσι, σφοδρὰς μὲν ἐντάσεις καὶ προθυμίας ἰσχυρὰς ἐπιφέρουσι, ἐκκρίνουσι δ᾽ ὀλίγα, κατ᾽ ἀρχὰς μὲν φλεγματώδη τε καὶ πιμελώδη, προϊόντος δὲ τοῦ χρόνου καὶ ξυσματώδη· πάντα γε μὴν ταῦτα κατὰ πάντα τὸν χρόνον

tem conducit ad curationem ulcus noffe, in qua inteftinorum parte confiftat; nam quae in fuperioribus inteftinis funt, epotis medicamentis curantur, quae vero in inferioribus, clyfteribus injectis juvantur. Atque hujusmodi dyfenteriae ab hepaticis profluviis discernuntur, tum quod per initia tenuis fanies fanguinis ab hepate dejiciatur, deinde augescente affectu craffus humor, faecibus vini fimilis; tum quod nihil ramentofum excernatur, fed interdum duorum aut trium dierum intervallo fupprimatur evacuatio in hepaticis excretionibus, deinde rurfus redeat malum, atque excernantur excrementa prioribus multo deteriora; at non in inteftinorum ulceribus fieri fic apparet, nam neque affatim, neque ex longis temporum intervallis dejiciunt. Atque ulcera quae in recto inteftino oriuntur, tenesmum vocant, vehementes tenfiones et promptas dejiciendi cupiditates invehunt, paucis admodum fequentibus excrementis, quae quidem ab initio pituitofa et pinguia, progreffu vero temporis etiam ramentofa dejiciuntur; fed haec per totum morbi fpatium fuperne de-

ἄμικτα τοῖς ἄνωθεν ἀφικνουμένοις φαίνεται. γεγράφασι δέ τινες ἐπὶ σφοδροτάταις ἐκκρίσεων προθυμίαις, ἀλγημάτων ἰσχυρῶν προηγησαμένων, ἐκκρῖναί τινας λίθους πωροειδεῖς ὁμοίους τοῖς ἐν τῇ κύστει συνισταμένοις, ὅπερ οὔτε εἶδον αὐτὸς οὔτ᾽ ἄλλου τινὸς ἑωρακότος ἤκουσα. κώλου δ᾽ ἄλγημα σφοδρὸν εἶδον πολλάκις, ὑπὸ τῶν ἰατρῶν [508] οὐ κώλου νομιζόμενον, ἀλλὰ νεφρῶν εἶναι, καθάπέρ γε καὶ τὸ τῶν νεφρῶν εἰς κῶλον ἀναφερόντων. ἔνιοι δ᾽ αὐτῶν ᾤοντο, μηδὲ γενέσθαι ποτὲ κωλικὴν διάθεσιν ἐν τοῖς ἀριστεροῖς μέρεσιν. ἔχει μὲν οὖν τι δυσδιόριστον ἐν ἀρχῇ τὰ πάθη, καθ᾽ ὃν χρόνον οὐδὲ μεγάλης διαφορᾶς βοηθημάτων χρήζει· σκοπεῖσθαι μέν τοι χρὴ καὶ τότε τὰ πλεονάζοντα συμπτώματα. ναυτίαι γὰρ ἅμα ἐμέτοις γίγνονται πολὺ μείζους τε καὶ συνεχέστεραι τοῖς τὸ κῶλον ἀλγοῦσιν, ἐμεῖταί τε φλεγματώδη καὶ διεφθαρμένα πλείω τούτοις, ἴσχεταί τε τὰ διαχωρήματα μᾶλλον ἅμα τῷ μηδὲ φῦσαν ἐκκρίνεσθαι μήτ᾽ ἐρυγὴν γίγνεσθαι· πολλάκις δὲ καὶ ὥσπερ συμπεριστρεφόμενόν ἐστιν αὐτοῖς τὸ ἄλγημα καὶ πλέονα τόπον ἐπιλαμβανόμενον· ἐνίοτε δὲ καὶ κατὰ διαφέροντα

fcendentibus haudquaquam mixta videntur. Scribunt nonnulli, a vehementiffimis excernendi conatibus, praegreffis doloribus graviffimis, aliquos lapides callofas dejeciffe, iis qui in vefica nascuntur fimiles; quod ipfe neque vidi, neque alium qui viderit unquam audivi. Sed coli vehementem dolorem faepenumero confpexi, medicis illum non ad colum, fed ad renes pertinere putantibus, veluti renum quoque cruciatus, ad colum referri. Nonnulli vero ipforum putarunt in finiftris partibus colicam affectionem nunquam fieri. Igitur ab initio horum affectuum diftinctio difficilis eft, quo tempore neque magnam praefidiorum differentiam ipfi requirunt; fymptomata tamen, quae hic exuberant, jam tum diligenter intueri oportet. Nam naufeae cum vomitu urgent multo graviores et magis affiduae dolente colo, evomuntque hi plura pituitofa atque corrupta, ac retinentur magis excrementa, ut ne flatum quidem aut ructum excernant; faepenumero etiam veluti circuire videtur dolor atque ampliorem locum occupare; nonnunquam vero in diverfis partibus

Ed. Chart. VII. [508.] Ed. Baf. III. (309.)

μόρια σφοδρότερον γινόμενον, ἐρηρεισμένων καθ᾽ ἕνα τόπον ἀεὶ τῶν νεφριτικῶν ἀλγημάτων. ὅταν γε μὴν ὑψηλότερον ὑπάρχῃ τὸ ἄλγημα τῆς θέσεως τῶν νεφρῶν, ἐναργὴς ἡ διάγνωσίς ἐστιν ἐπὶ τῆς τοῦ κώλου πείσεως· εἰ δὲ κατὰ τὴν τῶν νεφρῶν εἴη θέσιν, ἐρηρεισμένον τε καθ᾽ ἕνα τόπον, οὐδὲν εἰς διάγνωσιν ἐκ τούτου λαμβάνειν ἐστί. ἀλλὰ πρὸς οἷς ἄρτι διῆλθον ἐπισκεπτέον ἐστὶ καὶ τὰ οὖρα· πάνυ γὰρ ὑδατώδη καὶ καθαρὰ τό γε κατ᾽ ἀρχὰς οὐρεῖται τοῖς νεφριτικοῖς, ὥσπερ ἐν ταῖς ἑξῆς ἡμέραις ὑπόστασιν ἴσχοντα τραχεῖαν, εἶτ᾽ ἀκριβῶς ψαμμώδη. κἂν διαχωρήσῃ δέ ποθ᾽ ἡ γαστὴρ ἐπὶ τῶν κωλικῶν, πνευματωδέστερά πως ἐκκρίνεται, καὶ πολλάκις γ᾽ ἐποχεῖται τῷ ὕδατι, τῇ συστάσει παραπλήσια βολβίτοις. ἀλλὰ καὶ παρηγοροῦνται τοῖς χαλαστικοῖς ἐνέμασιν οἱ κωλικοὶ παροξυσμοὶ μᾶλλον τῶν νεφριτικῶν· ἔστι δ᾽ ὅτε καὶ χυμοῦ τινος ψυχροῦ συνεκχυθέντος αὐτοῖς, παραχρῆμα παύονται, τοῦ παρηγορικοῦ βοηθήματος οὐ παρηγορικοῦ μόνου, ἀλλὰ καὶ θεραπευτικοῦ καὶ διαγνωστικοῦ γενομένου. καθάπερ δὲ χυμὸς ψυχρὸς ἐπὶ τούτων ἐκκριθεὶς, οὕτως ὁ λίθος ἐπὶ τῶν

vehementior fit, quum nephritici dolores eodem in loco ftabiles jugiter infeftent. Quum autem dolor fuerit renum fitu altior, manifeftum colicae affectionis indicium eft; fi vero in uno loco, ubi renes ponuntur, ftabilis conftiterit, nihil ad dignotionem poteft hinc fumi. Verum cum his, quae modo percurrimus, urinae quoque confiderandae funt; nam nephritici ab initio admodum dilutas purasque reddunt, quae deinde fequentibus diebus afperum fedimentum habent, tum omnino arenofum. Quinetiam in colica, fiquid ab alvo dejiciatur, id flatuofum quodammodo eft et faepenumero aquae fupernatat, fimilem habens bubulo ftercori confiftentiam. Quinetiam colici cruciatus multo magis quam nephritici laxantibus mitigantur clyfteribus; atque evenit interdum, ut frigido aliquo humore fimul ejecto, illico quiescant; ut mitigans praefidium non mitigans tantum, fed etiam curativum fiat et diagnofticum. Atque ut hi frigidum humorem alvo excernente, ita nephritici cum urina lapide

νεφριτικῶν οὐρηθεὶς ἀπήλλαξέ θ' ἅμα τῆς ὀδύνης ἐνεδείξατό τε τὸν πεπονθότα τόπον, ὥστε τοῦ λοιποῦ τῆς δυσπαθείας αὐτῶν προνοεῖσθαι· ὥσπερ γὰρ ἐν ταῖς ὀδύναις ἀμφότερα τὰ μόρια τῶν αὐτῶν δεῖται βοηθημάτων, οὕτως ἐν τῷ μετὰ ταῦτα χρόνῳ διαφερόντων. διὸ καὶ νομίζειν χρὴ βλάβην οὐδεμίαν ἔχειν ἡμᾶς εἰς τὴν θεραπείαν ἐκ τοῦ δυσδιάκριτον εἶναι τὴν πρώ(310)την εἰσβολὴν αὐτῶν· οὔτε γὰρ δέονται τηνικαῦτα διαφόρων βοηθημάτων, οὔτ' ἔξωθεν οὔτ' ἔσωθεν, ἀλλ' ἀρκεῖ τὰ παρηγορικὰ μόνον. τεταγμένων δὲ τῶν ἐντέρων ἁπάντων μετὰ τὴν γαστέρα, τῆς μὲν νήστεως ὑψηλοτάτης, ἐφεξῆς δὲ αὐτῆς τοῦ λεπτοῦ καλουμένου, μεθ' ὃ τοῦ μὲν τυφλοῦ πρὸς τὰ κάτω μέρη τὴν ἔκτασιν ἔχοντος, τοῦ δὲ κώλου πρὸς τὴν ἄνω χώραν ἀναφερομένου, μέχρι τοῦ συνηρτῆσθαι πολλάκις ἥπατί τε καὶ σπληνὶ, θαυμάζειν ἐπῆλθέ μοι, πόθεν ἐπείσθησαν οὐ μόνον οἱ ἰατροὶ σχεδὸν ἅπαντες, ἀλλὰ καὶ οἱ ἰδιῶται, τὰ σφοδρότατα τῶν ἀλγημάτων, ἐν οἷς ἂν τύχῃ μέρεσι γιγνόμενα, τοῦ κώλου νομίζειν εἶναι. φαίνεται μὲν οὖν τοῦτο κἀμοὶ πιθανώτατον ὑπάρχειν, ἀλλὰ καὶ ζητή-

exeunte et a dolore liberantur et fimul locum affectum oftendunt, itaque nihil relinquitur, nifi ut provideatur, ne poftea tam facile affici poffint. Nam ut perfeverante dolore utraque pars eisdem indiget praefidiis, ita tempore fubfequente diverfis. Quapropter nullum in curatione augurandum eft damnum nobis evenire, quod in primo horum morborum infultu eos difficulter difcernamus; tunc enim neque externis, neque internis, differentibus egent auxiliis, fed fufficiunt ea quae dolorem leniant. Quum autem omnia inteftina a ventriculo ordine quodam descendant, omnium fupremum jejunum, deinde, quod tenue vocatur, poftea caecum ad infernas partes extenfum, colum ad fuperiores revertens, donec faepenumero et lieni et jecori attendatur, miratus fum, quomodo non folum medici fere omnes, fed etiam populares, vehementiffimos quosque dolores, in quacunque parte evenerint, ad colum referant. Id quidem mihi quoque verifimile videtur; fed quum caufam quaero, cur tam vehemens

σαντι τὴν αἰτίαν τοῦ σφοδροῦ τε ἅμα καὶ μονίμου τῆς ὀδύνης, οὐχ ἁπλῶς πεισθέντι τοῖς ἀποφηναμένοις. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν ἐν νεφροῖς καὶ οὐρητῆρσι λίθων ἐσφηνωμένων ἀλγήματα γίγνεται σφοδρὰ κατὰ τὴν δίοδον, οὕτω κἀπὶ τῶν λεπτῶν ἐντέρων εὐλόγως ἄν τις ὑπολάβοι, τὰ περιεχόμενα πνεύματα ψυχρὰ καὶ χυμοὺς ὁμοίους αὐτοῖς, ἐργάζεσθαι τὴν ὀδύνην· ἡ γὰρ τοῦ σώματος οὐσία τῶν ἐν τοῖς λεπτοῖς ἐντέροις χιτώνων ἀραιά τέ τις οὖσα καὶ λεπτὴ, κατέχειν ἐπὶ πλέον οὐ δύναται τὰ τοιαῦτα τῶν αἰτίων. [509] εὔλογον οὖν ἐστιν ἔν τινι πυκνῷ καὶ παχεῖ σώματι γεννηθέντα ψυχρὸν καὶ παχὺν ἢ γλίσχρον χυμὸν, ἢ πνεῦμα φυσῶδες οὐκ ἔχον διέξοδον, ὀδύνην ἐργάζεσθαι, σφοδρὰν μὲν κατ᾽ ἄμφω, διά τε δυσκρασίαν καὶ τάσιν τῶν σωμάτων ἐν οἷς στέγεται, μακρὰν δὲ, τῷ μὴ δύνασθαι κενωθῆναι ῥᾳδίως, εἰργόμενον ὑπό τε τοῦ πάχους καὶ τῆς πυκνότητος τῶν περιεχόντων αὐτὸ σωμάτων. γίγνονται δέ ποτε καὶ ἄλλοι πόνοι σφοδρότατοι κατὰ τὰ μετέωρα μέρη τῶν ἐντέρων, ἱκανῶς σπαράσσοντες ἐμέτοις, ὡς ἐπὶ τέλει κόπρον ἐμέσαι τινὰς, ἐξ οὗ πάθους

tamque perfeverans fit dolor, non fimpliciter huic affertioni fatis credo. Non enim ut in renibus atque ureteribus impacto lapide, ingentes dolores in tranfitu excitantur, fic et tenuibus inteftinis rationi confentaneum eft cenfere, frigidos flatus retentos atque fimiles iis humores dolorem efficere; nam tenuium inteftinorum tunicae rara tenuique fubftantia conftant, ut non ita diu hujusmodi caufas continere poffint. Ergo probabile eft frigidum, craffum et lentum humorem, aut flatulentum fpiritum, in corpore craffo denfoque genitum, exitum non habentem, dolorem excitare; vehementem quidem geminam ob caufam, intemperiem et corporum quibus continetur tenfionem; longum vero, quia difficile vacuatur, corporum ipfum ambientium tum craffitudine tum fpiffitudine coërcitus. Atque interdum alii quoque dolores vehementiffimi in fublimioribus inteftinorum partibus eveniunt, graviter vomitionibus cruciantes, adeo ut nonnulli fub fine ftercus quoque evomant; a quo affectu vix unquam

Ed. Chart. VII. [509.] Ed. Baf. III. (310.)

σπανιώτατά τις ἐσώθη, καὶ καλοῦσί τινες αὐτὸ εἰλεὸν, καθάπερ ἕτεροι χορδαψὸν, ὅτ᾽ ἂν ἐξέχῃ τις ὄγκος ἐν τῇ χώρᾳ τῶν λεπτῶν ἐντέρων, ὡς δοκεῖν οἷον χορδήν τινα περιεστράφθαι τὸ ἔντερον. εὔλογον οὖν ἔδοξε τοῖς πρὸ ἡμῶν ἰατροῖς, ἤτοι διὰ φλεγμονὴν, ἢ ἔμφραξιν κόπρου ξηρᾶς τὰ τοιαῦτα γίγνεσθαι πάθη τῶν λεπτῶν ἐντέρων. ἕτερα μέντοι συμπτώματα πάντων ἅμα πεπονθότων εὐλόγως ἐπιστεύθη γίγνεσθαι, τῶν ἐντέρων τε καὶ τῆς γαστρὸς, ὥσπερ αἵ τε λειεντερίαι καὶ αἱ κοιλιακαὶ καλούμεναι διαθέσεις, ὅσαι μὴ δακνώδεις εἰσίν· αἱ μὲν γὰρ δακνώδεις αὐτῷ τῷ δάκνειν ἐξορμῶσιν ἐπὶ τὴν ἀπόκρισιν ἅπαν τὸ ἔντερον· ὅσαι δ᾽ οὐ δάκνουσιν, ἀτονίαις ἐντέρων ἕπονται, διὰ τὸ μὴ δύνασθαι κατέχειν τὰ περιεχόμενα μηδ᾽ ἐπ᾽ ὀλίγον χρόνον, ἐκκρινόντων αὐτὰ παραχρῆμα, καθάπερ ἄχθος τι βαρῦνον ἀποτιθέμενα ταῖς στραγγουρίαις ἀνάλογον· ὁρῶνται γὰρ κἀκεῖναι γιγνόμεναι ποτὲ μὲν διὰ δριμύτητα καὶ δῆξιν ἀποκρινούσης τῆς κύστεως συνεχῶς τὸ παραγιγνόμενον εἰς αὐτὴν, ἔστι δὲ ὅτε μὴ φερούσης τὸ βάρος

aliquis evafit; hunc quidam volvulum vocant, nonnulli etiam chordapfum, quum tumor aliquis eminet in tenuium inteftinorum regione, ut videatur inteftinum ad chordae fimilitudinem circumvolutum. Itaque confentaneum vifum eft medicis antiquioribus, vel ab inflammatione, vel ab obftructione aridi ftercoris, hujusmodi tenuium inteftinorum affectus oriri. Sunt alia quoque fymptomata, quae merito omnibus, et inteftinis et ventriculo, fimul affectis evenire creduntur, ut quas lienterias et coeliacas affectiones vocitant, quae minime funt mordaces. Nam mordaces eo ipfo quod mordeant omnia inteftina ad excretionem excitant; at non mordaces inteftinorum imbecillitatem fequuntur, quia retinere contenta ne exiguo quidem tempore poffunt, illico excernentium ea, ac fi grave aliquod onus deponerent, ut in ftranguriis contingit; hae namque etiam confpiciuntur fieri, interdum quum ob acrimoniam et morfum vefica jugiter, quicquid ad eam pervenit, fecernit; interdum, quod molem ipfius, etiamfi exiguam, fu-

αὐτοῦ, κᾂν ὀλίγον εἴη. τὰς δ᾽ ἐργαζομένας αἰτίας τὸ λειεντερικὸν πάθος ἑτέρωθι γεγραμμένας ἔχετε καταμόνας, πρὸς τῷ κᾂν τοῖς τῆς θεραπευτικῆς μεθόδου καὶ τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἔτι τε τοῖς τῶν συμπτωμάτων αἰτίοις εἰρῆσθαι. νῦν γὰρ οὐ περὶ τῶν τὰς νόσους ἐργαζομένων αἰτίων ὁ λόγος ἐστὶν, ἀλλὰ περὶ τῶν πεπονθότων τόπων, ὅσοι τὴν διὰ τῆς ἁφῆς τε καὶ τῆς ὄψεως ἐκφεύγουσι γνῶσιν. ἐπεὶ δ᾽ εἰς τὴν τούτων ἀκριβῆ διάγνωσιν ἐνίοτε καὶ περὶ τῶν διαθέσεων αὐτῶν ἠναγκάσθην εἰπεῖν τι, διὰ τοῦτο καὶ περὶ τῶν ἐργαζομένων αὐτὰς αἰτίων ἐπεμνήσθην. ὥστε καταπαύειν ἐνταῦθα προσήκει τὸν περὶ τῶν ἐντέρων λόγον· ὅσα γὰρ ἐναργῶς ἔστι πάθη γνῶναι συνιστάμενα κατὰ αὐτὰ, καὶ ταῦτα κοινὰς ἔχει τὰς διαγνώσεις τοῖς προειρημένοις· τὰ γὰρ τῶν ἀποστημάτων, ἢ φλεγμονῶν, ἢ σκίῤῥων, ἢ πνευματώσεων, ἢ ἐρυσιπελάτων γνωρίσματα γιγνωσκόμενα πᾶσιν, ὅταν ἐν τοῖς κατὰ τὴν κοιλίαν τόποις ὀφθῇ, καὶ τοῦ πάθους ἅμα καὶ τοῦ πεπονθότος τόπου τὴν διάγνωσιν ἐνδείκνυται, καὶ λέλεκται καὶ περὶ τούτων ἐν τοῖς ἔμπροσθεν λόγοις αὐτάρκως.

ſtinere nequeat. At a quibus cauſis inteſtinorum laevitas proveniat, alibi particulatim ſcriptum habetis, praeter ea, quae in libris methodi medendi, de naturalibus facultatibus et de ſymptomatum cauſis diximus. Nunc enim non diſſerimus de cauſis morbos efficientibus, ſed de affectis locis, qui tum tactus, tum viſus judicium effugiunt. At quia ad accuratam horum dignotionem etiam de ipſis affectibus interdum aliquid dicere coactus ſum, idcirco de cauſis quoque ipſos efficientibus mentionem feci. Itaque ſermoni de inteſtinorum affectibus convenit hic finem imponere; quicunque enim affectus in ipſis conſiſtunt cognitu faciles, ii cum praedictis communes habent notas. Nam abſceſſuum, inflammationum, ſcirrhorum, inflationum, eryſipelatum indicia omnibus cognita, quum in ventriculi locis apparent, et affectus ipſius et ſimul affectae ſedis dignotionem oſtendunt, ac de his prioribus libris ſatis dictum eſt.

Κεφ. γ΄. Ἐὰν μὲν εἰσβάλλῃ ἐξαίφνης νεφρῖτις, ἀξιολόγου λίθου σφηνωθέντος, ἤτοι κατά τινα τῶν νεφρῶν, ἢ καὶ τῶν οὐρητήρων, παραπλήσιον ἄλγημα γίγνεται τοῖς κωλικοῖς· διορίζεται δὲ τῷ τε πλήθει καὶ μεγέθει τῶν ναυτιῶν, ἅμα τοῖς ἐμουμένοις χολώδεσί τε καὶ φλεγματώδεσιν οὖσιν, [510] καί τι καὶ τῆς ἐδηδεσμένης τροφῆς μεμιγμένον ἔχουσι· πολλάκις καὶ τῷ τόπῳ, τῶν ὑψηλῶν μερῶν τοῦ κώλου πασχόντων· ἔστι δ᾽ ὅτε καὶ τῷ μὴ καθ᾽ ἕνα τόπον ἐρηρεῖσθαι τὴν ὀδύνην, ἀλλ᾽ ἐνειλεῖσθαί τε καὶ μέχρι πλείονος ἐκτείνεσθαι, καὶ μηδὲ φύσαν προΐεσθαι· ταῦτα γὰρ ἅπαντα μόνοις γίγνεται τοῖς κωλικοῖς, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον. ὅταν δ᾽ ἐκ τῶν ὑφισταμένων τοῖς οὔροις, ἢ καί τινος οὐρηθέντος λίθου σαφῶς διορισθείη, ζήτημα οὐκέτ᾽ οὐδὲν ὑπολείπεται. πολλοὶ δὲ τῶν πασχόντων, ὀδύνης μετρίας αἰσθάνονται διὰ βάθος κατὰ τὰς λαγόνας ὑπαρχούσης ἀπ᾽ ἀρχῆς, οὐδέπω ψαμμώδους οὐδενὸς ἐκκρινομένου σαφῶς· ἐφ᾽ ὧν, ὡς ἴστε, διδοὺς τῶν φαρμάκων ὅσα θρύπτει τοὺς ἐν τοῖς νεφροῖς λίθους, ἅμα τε διάγνωσιν ἀκριβῆ ποιούμενος τοῦ τε πάθους

Cap. III. Quum derepente nephritis incidit, lapide notatu digno vel in renum vel in ureterum aliquo impacto, dolor excitatur colico fimilis, verum diftinguitur naufearum tum multitudine tum magnitudine, cum iis quae vomitu rejiciuntur, biliofis et pituitofis, praeaffumpti quoque cibi aliquid admixtum habentibus; faepenumero etiam loco, quum fuperiores coli partes afficiuntur; atque ex eo interdum, quod non uni loco dolor innitatur, fed revolvatur, et ad plurimas extendatur partes, ac ne flatus quidem transmittatur; haec enim omnia colicis duntaxat eveniunt, alia magis, alia minus. Quum vero ex iis, quae in urinis fubfident, aut lapide cum urina excreto, plane discernuntur, nullus relinquitur quaeftioni locus. Multi vero laborantes dolorem moderatum profundo ilium infidentem fentiunt ab initio, quum nondum fabulofum quippiam manifefte excernatur; quibus, ut fcitis, dato medicamento, quod lapides in renibus conterat, fimul et affectum ipfum, et fedem affectam digno-

καὶ τοῦ πάσχοντος τόπου, καὶ θεραπείας ἀρχὴν ἴσχω τὴν αὐτήν. ἐὰν γὰρ εὑρεθῇ τι ψαμμῶδες ἐν τοῖς οὔροις ἐπὶ τῇ πόσει τοῦ φαρμάκου, νεφριτικὸν τότε πάθος ἔγνων ὑπάρχειν, ἐφεξῆς τε δίδωμι τῶν αὐτῶν φαρμάκων, ἅμα τῇ λοιπῇ θεραπείᾳ. διεγνωσμένου δὲ, ὅτι πάσχει τις οὕτω νεφρὸς, ἐὰν ἀλγήματα μετὰ φρίκης ἐκ διαλειμμάτων ἀνωμάλως φαίνηται γιγνόμενα, καὶ πυρετοί τινες ἐπ᾽ αὐτοῖς ἄτακτοι, τηνικαῦτα κατακλίνοντες ἐπὶ τὴν γαστέρα τὸν κάμνοντα, καί ποτε καὶ κατὰ θάτερον πλευρὸν, ὡς ὑψηλὸν εἶναι τὸ πεπονθὸς μέρος, ἐρωτᾶτε μή τινος βάρους ὥσπερ ἐκκρεμαμένου κατὰ τὸν ἀλγοῦντα νεφρὸν αἰσθάνονται· τούτων γὰρ αὐτοῖς συμβαινόντων, ἀπόστημα χρὴ προσδέχεσθαι συνιστάμενον, ἐφ᾽ ᾧ πεφθέντι πῦον οὐρηθὲν ἅμα τε τῆς ὀδύνης ἀπαλλάττει τὸν κάμνοντα καὶ κίνδυνον ἑλκώσεως ἐπιφέρει τῷ νεφρῷ, καὶ διὰ τοῦτο πειρᾶσθαι χρὴ παντὶ τρόπῳ τῆς ἐπουλώσεως αὐτοῦ φροντίζειν· ἐὰν μὴ διὰ ταχέων εἰς οὐλὴν ἀχθῇ, δυσθεραπευτότερον γίγνεται. σημεῖα δὲ τοῦ διαμένειν τὴν ἕλκωσιν ἔν τε τοῖς οὐρουμένοις οὐκ ἀσαφῆ καὶ τῷ κάμνοντι πολλάκις

ſco, atque idem habeo curationis principium. Si enim a medicamenti potione in urinis ſabuloſa quaedam comperiantur, nephriticum affectum eſſe cognosco, atque deinceps eadem medicamenta exhibendo reliquam perficio curationem. Quum autem renem aliquem ita affectum eſſe dignoveris, ſi dolores cum horrore intervallato inaequalique infeſtare videantur, ac ex his febres quaedam inordinatae, tum pronum in ventrem decumbere juſſum, atque interdum in alterum latus, ut ſublimis ſit affectae partis ſitus, laborantem interroga, num circa renem dolentem veluti ſuspenſi cujusdam ponderis ſenſum percipiat. Etenim, quum haec ei acciderint, abſceſſum colligi conjicere oportet; quo concocto, pus mictum, laborantem a dolore liberat et ulceris in rene periculum affert, proinde exacto ſtudio laborandum eſt, ut inducatur cicatrix, quod niſi illico contigerit, difficiliorem reddit curationem. Ac perſeverantis ulceris ſigna ex urina haud obſcure deprehenduntur et laborans creberrime in af-

ὀδύνης αἴσθησις ἐν τῷ κατὰ τὸν πεπονθότα νεφρὸν χωρίῳ· συνεκκρίνεται δ᾽ αὐτοῖς ἐνίοτε καὶ πῦον, ὡς ἀφ᾽ ἕλκους, ὀλίγον· ἐφελκὶς δ᾽ ὁμοίως ἐκκρίνεται, ἔστι δ᾽ ὅτε καὶ αἷμα σημαῖνον ἀναβιβρώσκεσθαι τὸ ἕλκος· ἀλλὰ καὶ ῥηγνυμένου ποτ᾽ ἀγγείου διὰ πλῆθος, ἢ ἐκ καταπτώσεως, ἢ πληγῆς σφοδρᾶς, οὔρησαν αἷμα δαψιλὲς ἔνιοι· καί ποτε καὶ φλεβὸς ἀναστομωθείσης αὐτοῖς γίγνεται τοῦτο. τῶν δ᾽ ἑλκῶν αὐτῶν τῶν ἐν τοῖς νεφροῖς τεκμήρια βεβαιότατα τὰ συνεξερχόμενα τοῖς οὔροις σαρκία σμικρὰ, τῆς τῶν νεφρῶν οὐσίας ὄντα μόρια, κατὰ τὴν ἐπιπλέον ἀνάβρωσιν ἐκ τῆς ἑλκώσεως ἀποῤῥυπτόμενα. τά γε μὴν ταῖς θριξὶν ὅμοια καὶ ὁ Ἱπποκράτης μὲν εἶδεν τοῖς οὔροις συνεξερχόμενα, καθάπερ αὐτὸς ἐν ἀφορισμοῖς ἔγραψεν, καὶ ἡμεῖς δὲ ἐθεασάμεθα, ποτὲ μὲν σπιθαμιαῖα τὸ μῆκος, ἔστι δ᾽ ὅτε καὶ μείζω, καί ποτε καὶ πάνυ σμι(311)κρὰ, ὥστέ με θαυμάζειν, εἰ ἐν τῇ κοιλίᾳ τῶν νεφρῶν συνέστη τηλικαῦτα· καὶ διὰ τοῦτο πιθανώτερον ἐφαίνετό μοι, τὴν γένεσιν αὐτῶν ἐν ταῖς φλεψὶν εἶναι, καθ᾽ ὃν τρόπον ἐν ταῖς κνήμαις ἔν τινι τόπῳ τῆς Ἀραβίας, ὥς φασι, τὰ καλούμενα

fecto rene dolorem fentit; atque interdum cum urina exiguum pus, veluti ab ulcere, excernitur; fimiliter ramentum nonnunquam excluditur, ac interdum fanguis quoque, qui erofi ulceris indicium eft. At et rupto aliquando vafe ob plenitudinem, aut cafum, aut vehementem ictum, nonnulli magnam fanguinis copiam mejendo profuderunt; quod aperto etiam interdum venae alicujus ore fit. Sed certiffima ulceratorum renum conjectura eft, fi cum urina exiguae quaedam carunculae excernantur, renum fubftantiae partes, ob vehementem ulceris erofionem evulfae. Ea vero quae pilis fimilia funt, Hippocrates quoque cum urinis excerni vidit, quemadmodum ipfe in aphorismis fcripfit; ac nos etiam vidimus, aliquando femipedis longitudine, interdum etiam longiora, ac nonnunquam etiam admodum exigua, ut mirarer, quomodo in renum ventriculo talia poffent confiftere; proinde probabilius mihi videbatur, in venis hujusmodi res procreari, quemadmodum in quodam Arabiae loco, ut ajunt, in

δρακόντια γίνεται, νευρώδη μὲν τὴν φύσιν, ἕλμινσι δὲ καὶ τῇ χρόᾳ καὶ τῷ πάχει παραπλήσια. λεγόντων μὲν οὖν ἑωρακέναι ταῦτα πολλῶν ἤκουσα, μὴ θεασάμενος δ᾽ αὐτὰ, οὐκ ἔχω συμβαλεῖν οὔτε περὶ τῆς γενέσεως αὐτῶν οὔτε περὶ τῆς οὐσίας ἀκριβῶς οὐδέν· ὅπου γε καὶ τὰς οὐρουμένας τρίχας ἰδὼν, ἐκ μὲν τῆς χρόας τε καὶ συστάσεως ἐπειθόμην τοῖς εἰρηκόσιν αὐτὰς ἐκ παχέος τε καὶ γλίσχρου χυμοῦ θερμανθέντος τε καὶ ξηρανθέντος ἐν ταῖς φλεψὶ συνίστασθαι, [511] τοῦ μήκους δ᾽ αὐτῶν οὐκ ἐπινοῶ τὴν αἰτίαν. ἀλλὰ τήν γε θεραπείαν, ὁπότε πρῶτον εἶδον, ἤλπισα διὰ τῶν οὐρητικῶν φαρμάκων ἔσεσθαι, καὶ οὕτως ἀπέβη, καὶ σχεδὸν ἅπασιν οἷς συνέβη τὸ πάθημα τοῦτο, νεφριτικὸν οὐδὲν οὔτ᾽ ἔμπροσθεν ἦν οὔτ᾽ αὖθις ἐπεγένετο σύμπτωμα, θεραπευθεῖσιν ὑπὸ τῶν οὐρητικῶν φαρμάκων. ἀλλὰ κἂν ἄλλη τις ἐκκαθαίρηται τῶν φλεβῶν δι᾽ οὐρήσεως μοχθηρία χυμῶν, οὐδὲν ὑπ᾽ αὐτῆς εἶδον οὔτε νεφροὺς οὔτε κύστιν οὔτε τοὺς οὐρητικοὺς πόρους παθόντας, ὥσπερ οὐδ᾽ εἰ πῦον ἐκκρίνειέ τις πολὺ δι᾽ οὔρων, ἀλλὰ κατά γε τοῦτο, παραπλησίως ἔχει ταῦτα τοῖς κατὰ τὰ ἔντερα, πάσχει γὰρ οὐδ᾽ ἐκεῖνά τι κατὰ τὰς ἡπατικὰς δια-

tibiis hominum dracunculi vocati nascuntur, nervofi natura, calore craffitudineque lumbricis fimiles; multos fane audivi, qui fe vidiffe eos dicerent, ipfe vero quum nunquam viderim, neque de ortu neque de effentia ipforum quicquam exacte conjicere poffum. At ubi pilos mejendo excretos vidi, tum ex colore, tum ex mole credidi dicentibus, eos ex craffo lentoque humore calefacto exiccatoque in venis confiftere, at longitudinis ipforum caufam non intelligo. Verum quum primum eos vidi, curationem medicamentis urinam cientibus fucceffuram fperavi, atque ita contigit ac prope omnibus, quibus hic affectus accidit, nephriticum nullum fymptoma neque ante fuit, neque deinde obortum eft, diureticis medicamentis curatis. Verum etiamfi alia quaepiam humorum vitia a venis per urinam expurgentur, quemadmodum fi puris quoque multa fiat per urinas excretio, nihil ab iis vel renes, vel veficam, vel ureteras meatus laedi cognovimus, fed in hac re cum inteftinis conveniunt, quae in hepaticis affe-

θέσεις, καίτοι ὑπὸ χολῆς ἀκράτου βλαπτόμενα, καθάπερ αὖ πάλιν ἡ κύστις ὑπὸ δριμέων οὔρων διόδου χρόνῳ πολλῷ γενομένης ἑλκοῦται. νεφρῶν γε μὴν ἐστι καὶ ἄλλό τι πάθος, ἐφ' οὗ λεπτὸς ἰχὼρ αἵματος οὐρεῖται, τοῖς ἐπὶ τῶν ἡπατικῶν παθῶν ἐν ἀρχῇ γιγνομένοις διαχωρήμασιν ὅμοιος, πλὴν ὅσον αἱματωδέστερα ὀλίγῳ φαίνεται· συμβαίνει δὲ τοῦτο καὶ διὰ παραπλησίαν μέν τινα διάθεσιν ἐν νεφροῖς γινομένην, οἵαν ἐν ἥπατι τὴν τῆς ἀτονίας ἔφαμεν εἶναι, καὶ δι' εὐρύτητα δὲ τῶν ἐκ τῆς κοίλης φλεβὸς εἰς τοὺς νεφροὺς τὸ οὖρον διηθούντων στομάτων, ἢ πόρων, ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλῃς. ἐμοὶ δὲ δοκοῦσιν οἱ νεφροὶ πεπονθέναι καὶ κατὰ τοῦτο τὸ πάθος, ὅ τινες μὲν ὕδερον εἰς ἀμίδα, τινὲς δὲ διάῤῥοιαν εἰς οὖρα, τινὲς δὲ διαβήτην, ἔνιοι δὲ διψακὸν ὀνομάζουσι, σπανιώτατα γιγνόμενον. ἐμοὶ γοῦν ὤφθη δὶς ἄχρι δεῦρο, διψώντων μὲν ἀμέτρως τῶν πασχόντων, καὶ πινόντων γε δι' αὐτὸ τοῦτο δαψιλῶς, οὐρούντων τε τὸ ποθὲν ἐν τάχει τοιοῦτον, οἷον ἐπόθη· παραπλήσιον δ' αὖ καὶ τοῦτο κατὰ νεφροὺς καὶ κύστιν πάθος, οἷον ἐν κοιλίᾳ καὶ ἐντέροις ἡ λειεντερία. περὶ

ctionibus nihil patiuntur, licet a bile ſincera laedantur, veluti veſica quoque, ubi longo tempore acres per ipſam urinae transeunt, ulceratur. Eſt etiam alius renum affectus, quo tenuis ſanies ſanguinis mejitur, ſimilis excrementis, quae in hepaticorum affectuum initio excernuntur, niſi quod paulo magis apparent cruenta; id autem accidit ob aliquam affectionem renibus inſidentem ei conſimilem, qualem in jecore diximus imbecillitatem eſſe, tum ob osculorum, aut meatuum, vel utcunque nominare volueris, per quos ex cava vena in renes urina percolatur, laxitatem. Atque renum quoque mihi videtur affectus is eſſe, quem quidam hydropem matellae, alii urinae profluvium, alii diabetem, alii dipſacon appellant, qui rariſſime gignitur. Equidem eum huc usque bis vidi, ſupra modum ſitientibus infirmis atque idcirco exuberanter bibentibus, celeriterque per urinam epotum reddentibus tale, quale biberant. Atque hic renum veſicaeque affectus ſimilis eſt ventriculi inteſtinorumque laevitati. Sed

μὲν οὖν λειεντερίας ἰδίᾳ γέγραπται, δεικνύντων ἡμῶν οὐ μόνον τὴν κοιλίαν, ἀλλὰ καὶ πᾶν τὸ ἔντερον ἐπὶ μὲν τὴν ἀπόκρισιν ἐν τάχει παραγίγνεσθαι τῶν καταποθέντων σιτίων τε καὶ πομάτων, οὐ δυνάμενα φέρειν οὐδ᾽ ἐπ᾽ ὀλίγον ἀλύπως ἢ τὸ βάρος αὐτῶν, ἢ τὴν ποιότητα· περὶ δὲ τῆς εἰς τὴν κύστιν ἀθρόας τε καὶ ταχείας φορᾶς ἀδύνατον ἀτονίαν αἰτιάσασθαι τῆς γαστρὸς, ἢ τῆς νήστεως, ἢ τῶν λεπτῶν ἐντέρων· εἴπερ γὰρ ἀδυνατοῦντα βαστάζειν τὸ ποτὸν ἐπὶ τὴν ἔκκρισιν αὐτοῦ παραγίνεται, τί ἐκώλυεν ἐκκρίνεσθαι διὰ τῆς ἕδρας αὐτὸ, καθάπερ ὁρᾶται γιγνόμενον ἐπὶ τῶν λειεντερικῶν; οὐ μόνον γὰρ ἐκκρίνεται τὰ σιτία ταχέως διεξερχόμενα τὴν τοσαύτην ἕλικα τῶν ἐντέρων, ἀλλὰ καὶ τὰ ποτά. τὴν δ᾽ εἰς ἧπαρ ἀνάδοσιν ἀπὸ τῶν καθ᾽ ὅλην τὴν γαστέρα χωρίων ἐμάθομεν οὐθ᾽ ἥπατος ἀτονίᾳ γιγνομένην, οὔτε τῶν κατὰ τὸ μεσεντέριον φλεβῶν οὔτε τῶν κατὰ τὴν κοιλίαν, ὥσπερ οὐδὲ τῶν ἐξ ἥπατος ἐπὶ τοὺς νεφρούς· ἐδείχθη γὰρ ἡμῖν κἀν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἕλκειν μὲν εἰς ἑαυτὸ τὸ ἧπαρ ἐκ τῆς κοιλίας τὴν τροφὴν διὰ τῶν ἐν μεσαραίῳ

de intestinorum laevitate separatim dictum est, ubi ostendimus, non ventriculum duntaxat, sed universa quoque intestina, ad excretionem tum ciborum tum potuum assumptorum celeriter excitari, adeo ut ne pauxillo quidem tempore citra molestiam ferre possint ipsorum aut pondus aut qualitatem. At quod affatim celeriterque ad vesicam urina deferatur, id neque ad ventriculi, neque intestini jejuni, neque tenuis imbecillitatem, tanquam ad causam, referri potest. Si enim quod potum sustinere non possint, ad excretionem properant, quid obstat, quominus per sedem excernatur, ut in laevitatibus intestinorum fieri videtur? neque enim cibus duntaxat celeriter per tam longam intestinorum convolutionem transiens dejicitur, verum etiam quae epota fuere. At distributionem a totius ventris partibus ad hepar didicimus neque per hepatis, neque mesentericarum venarum, aut ventris, ut neque per earum, quae ab hepate exortae ad renes tendunt, imbecillitatem fieri. Nam in libris de naturalibus facultatibus nobis ostensum est, jecur ex ventriculo per me-

φλεβῶν, ὥσπερ τὰ δένδρα τὴν ἐκ τῆς γῆς ἕλκει διὰ τῶν ῥιζῶν· ἐδείχθησαν δὲ καὶ οἱ νεφροὶ τὸ ὑδατῶδες ἐν αἵματι ἕλκειν, μὴ μέντοι τὴν κύστιν ἕλκειν ἐκ τῶν νεφρῶν, ὥσπερ μηδ' ἐκ τῆς κοιλίας τὰ ἔντερα· πέμπειν δ' ἐκκρίνοντας, εἰς μὲν τὴν κύστιν τοὺς νεφροὺς διὰ τῶν οὐρητήρων, εἰς δὲ τὴν νῆστιν, τὴν κοιλίαν διὰ τῆς ἐκφύσεως, ἣν Ἡρόφιλος ὠνόμασε δωδεκαδάκτυλον, ἀπὸ τοῦ μήκους αὐτῇ τὴν ἐπωνυμίαν θέμενος. ὥστε τῶν μὲν νεφρῶν ἀτονίαν ἄν τις αἰτιάσαιτο, κατέχειν ἐπὶ πλέον ἐν ἑαυτοῖς μὴ δυναμένων τὸ οὖρον· οὐ μὴν τῶν γ' ἄλλων [512] μορίων, ὅσα διεξέρχεται τὸ ποθέν. ἀλλὰ πάλιν εἰ μέμφοιτό τις ὡς ἀτόνους τοὺς νεφρούς, πῶς ἕλξουσιν εἰς αὐτοὺς ταχέως τὸ οὖρον; ἢ δυνατὸν λέγειν, ὥσπερ ἐπὶ τῆς κοιλίας ἐνίοις τῶν λειεντερικῶν ὀρέξεις γίνονται σφοδρόταται, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ νεφρῶν ὄρεξίν τε ἅμα γίγνεσθαι σφοδρὰν, καὶ διὰ τοῦθ' ἕλκειν εἰς ἑαυτοὺς διὰ τῆς κοίλης φλεβὸς τὸ οὖρον, αὐτίκα μέν τοι βαρύνεσθαι διὰ τὸ τῆς ὁλκῆς λάβρον; ὥσπέρ γε καὶ ἐπὶ τῶν ὀνομαζομένων ὀρέξεων κυνωδῶν ἐνίους ὁρῶμεν ἐμπιπλαμένους μὲν ἀθρόως,

ſaraei venas, veluti arbores a terra per radices, cibum ad ſeſe allicere; ſic etiam oſtenſum eſt, renes trahere quod aquoſum in ſanguine eſt; non tamen veſicam trahere a renibus, quemadmodum neque inteſtina a ventriculo, ſed renes quidem per ureteras excernendo in veſicam mittere, ventriculum autem in jejunum per eum proceſſum, quem Herophilus dodecadactylon vocat, a duodecim digitorum longitudine nomen ei imponens. Itaque renum imbecillitas accuſari poteſt, qui continere diutius urinam non valeant; non vero aliarum partium, per quas potus tranſit. Sed rurſus ſi arguat renes quispiam infirmitatis, quomodo tam celeriter urinam ad ſe attrahent? an dicere poſſumus, quemadmodum in ventriculo quibusdam lientericis vehementiſſima excitatur ciborum cupiditas, ita in renibus quoque cupiditatem ſimul oriri vehementem atque hanc ob cauſam eos urinam per cavam venam ad ſeſe trahere, ſed illico ab attractionis impetu gravari? quemadmodum ſane et in iis qui canina vocata appetentia vexantur, nonnullos videmus aſſatim impleri, pau-

ἐμοῦντας δ' ὀλίγον ὕστερον, ἢ διαῤῥοϊζομένους· οὐ μόνον γὰρ ὁρᾶται τοῦτο παρὰ φύσιν ἐχόντων γιγνόμενον, ἀλλὰ καὶ ζώοις τισὶν ὑγιαίνουσιν ἀμέμπτως, ὡς τοῖς ὀρνιθίοις, ἃ καλοῦσιν ἐν Ἀσίᾳ παρ' ἡμῖν Σελευκίδας· ἀττελάβους γὰρ ταῦτα δι' ὅλης ἡμέρας ἀπλήστως ἐσθίοντα, διὰ ταχέος αὐτοὺς ἐκκρίνει· καὶ ἄλλοις δὲ ζώοις ὑπάρχειν φαίνεται τὸ τοιοῦτον σύμπτωμα φυσικόν. ὥσπερ οὖν ἐν τῷ στόματι τῆς γαστρὸς ἡ κυνώδης ὄρεξις γιγνομένη, μετὰ τοῦ μὴ φέρειν αὐτὴν τῶν καταποθέντων τὸ βάρος, ἀναγκάζει πολλὰ μὲν καὶ λάβρως προσφέρεσθαι, ταχέως δὲ ἀποκρίνειν αὐτὰ, κατὰ τὸν αὐτὸν τρόπον ἐν τοῖς νεφροῖς ἡ τῆς ὀῤῥώδους ὑγρότητος ὄρεξις, ἅμα τῇ τῆς δυνάμεως αὐτῶν ἀτονίᾳ, τό θ' ὑγρὸν ἕλκειν ἀθρόως ἀναγκάζει τήν τ' εἰς κύστιν αὐτῶν ἔκκρισιν αὐτίκα ποιεῖσθαι. τί δή ποτ' οὖν, φησίν τις ἴσως, ἐξαιφνίδιον μὲν ἡ εἰς οὖρα διάῤῥοια γίγνεται, λειεντερία δ' οὐχ οὕτως, ὥσπερ οὐδ' ὄρεξις κυνώδης, ἀλλ' ἀριθμῷ πλεόνων ἡμερῶν; ἡ γὰρ ἀρχὴ τοῦ πάθους διώρισται τῆς αὐξήσεως, ἥ τ' αὔξησις τῆς ἀκμῆς. ὅτι ψυχικὸν μὲν ἔργον ἐστὶν ἡ τῆς γαστρὸς ὄρεξις

lo post vero evomere, aut fluore dejicere, nec enim solum iis qui praeter naturam se habent, id accidere solet, verum etiam animalibus quibusdam integra valetudine degentibus, ut aviculis, quos nostrates in Asia seleucidas vocant; quippe quae avide locustis toto die vescentes, eas celeriter excernunt. Ac aliis quoque animantibus hujusmodi symptoma naturale videtur. Ut igitur canina cupiditas in ore ventriculi consistens, simul non valente ipso devoratorum pondus sustinere, multa impetuose ingerere atque eadem celeriter excernere cogit, ita in renibus quoque serosae humiditatis cupiditas, una cum virium imbecillitate, humiditatem affatim attrahere cogit et ejus statim in vesicam excretionem fieri. Sed quaeres fortasse, quamobrem urinae fluor subito evenit, laevitas intestinorum non item, veluti neque canina cupiditas, sed plurium dierum numero affectus initium ab incremento, incrementum a vigore distinguitur? quoniam ventriculi cupiditas, qua cibum potumque appetit, animale officium est, quo citra sensum nostrum nequaquam fungitur;

σιτίων τε καὶ ποτῶν, οὐκ ἄνευ τῆς ἡμετέρας αἰσθήσεως γιγνομένη, φυσικὸν δὲ καὶ χωρὶς αἰσθήσεως ἡμετέρας τὸ τῶν νεφρῶν, ὥστε μηδ᾽ ὅταν εἰς τὴν ἀκμὴν ἀφίκηται, γίγνεσθαί τινα αἴσθησιν αὐτοῦ, καθάπερ τῆς κυνώδους ὀρέξεως. εὔλογον οὖν ἐστιν ἄρχεσθαι μὲν αὐτὸ κατὰ βραχὺ, μεῖζόν τε γιγνόμενον ἕλκειν μὲν τὸ πρῶτον ἐκ τῶν φλεβῶν τὸν ὀῤῥὸν τοῦ αἵματος οὐκ αἰσθανομένων ἡμῶν, ὁπόταν δὲ τοῦτον ἑλκύσῃ πάντα, καὶ ξηρὸν ἰκμάδος τοιαύτης ἀποφαίνῃ τὸ κατὰ τὰς φλέβας αἷμα, τὰ ξηρανθέντα τῶν ἀγγείων ἕλκειν ἐκ τοῦ ἥπατος τὴν ἰκμάδα, κἄπειτ᾽ ἐκεῖνο τὴν ἐκ τῶν ἐντέρων τε καὶ κοιλίας· ἐπειδὰν δὲ ξηρανθῶσιν αἱ κατὰ τὸ στόμα τῆς γαστρὸς φλέβες, ὀρέγεσθαι τηνικαῦτα ποτοῦ τὸν ἄνθρωπον, αἰσθανόμενον τῆς διαθέσεως· εἶτα προσενεγκαμένου τὸ πότον αὐτοῦ, τὰς καθηκούσας εἰς τὴν γαστέρα φλέβας ἐξ ἥπατος, αὐχμώσας ἀναρπάζειν εὐθέως αὐτὸ πᾶν, ἐξ ἐκείνων τε τὰς ἐφεξῆς, ἄχρις ἂν ἡ μετάληψις ἐπὶ τοὺς νεφροὺς ἀφίκηται. δέδεικται γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν οὐ μόνον τὸ πόμα πανταχόσε τοῦ σώματος, ἀλλὰ καὶ ἡ τροφὴ τὴν τῆς ὁλκῆς μετάληψιν φέρεσθαι.

renum vero defiderium naturale eft ac fine fenfu noftro, ut quum ad ftatum pervenit, ne fenfum quidem moveat, quemadmodum appetentia canina. Quare rationi confentaneum videtur paulatim quidem incipere, et dum major fit, in primis quidem ferum fanguinis trahere ex venis, nihil nobis fentientibus; quem quum totum attraxerit, fanguinemque venarum hujuscemodi humiditate fpoliaverit, exiccata tum vafa humorem trahere ex hepate, deinde hoc ex inteftinis et ventriculo. Quum vero exiccatae fuerint venae, quae in ore ventriculi funt, tunc potum defiderare hominem, affectum fentientem; deinde exhibitam potionem venas ex hepate ad ventriculum venientes, aridas, totam ftatim rapere atque ex his alias deinceps, donec ad renes perveniat transfumptio. Etenim in libris de naturalibus facultatibus demonftratum eft, non folum potionem, verum etiam cibum, transfumptione per attractionem facta, per univerfum cor-

κατὰ μὲν οὖν τὸ τάχος τῆς διεξόδου παραπλήσιόν ἐστι τὸ πάθος τοῦτο τῇ λειεντερίᾳ, καὶ μέν τοι καὶ καθ᾽ ὅσον ἡ κατὰ τοὺς νεφροὺς διάθεσις ἡ αὐτὴ τῇ κατὰ (312) τὴν κοιλίαν ἐστί· καθόσον δὲ τὸ πρὸ τῶν νεφρῶν ἔργον ἅπαν τῆς φορᾶς, ἐνεργειῶν ἐστι φυσικῶν διαδοχὴ, τῆς ἑλκτικῆς δυνάμεως ἐνεργούσης, κατὰ τοσοῦτον διαφέρουσιν ἀλλήλων· καίτοι κἂν ταύταις ἕν τι παραπλήσιόν ἐστιν, ἡ ἐκ τῆς κοίλης φλεβὸς εἰς τοὺς νεφροὺς ὁλκὴ, τῇ πρώτῃ καταπόσει τῶν εἰς τὴν γαστέρα φερομένων ἐκ τοῦ στόματος, ἀλλ᾽ αἱ πρὸ ταύτης ἐνέργειαι ταῖς εἰς οὖρα διαῤῥοίαις εἰσὶν ἴδιαι. ὅτι δ᾽ οὐκ ὀρθῶς ἔνιοι τῆς γαστρὸς εἶναι νομίζουσι τὸ τοῦ διαβήτου πάθος ὁμοίως ταῖς [513] κυνώδεσι ὀρέξεσιν, ἔνεστι μαθεῖν ἐκ τῶν ἐπὶ δίψει σφοδρῷ πιμπλαμένων μὲν τὴν γαστέρα, διαμένον δ᾽ ἐχόντων ἐπὶ πλεῖστον αὐτῇ τὸ ποθέν. τέτταρα γὰρ ταῦτα συμπτώματα διαδέχεται τὴν ἐν τῷ σφοδρῷ δίψει πόσιν· ἓν μὲν καὶ πρῶτον ἔμετος· δεύτερον δ᾽ ἡ διὰ τῆς κάτω γαστρὸς ἔκκρισις ταχεῖα, κατὰ τὰς διαῤῥοίας τε καὶ λειεντερίας· ἄλλο δὲ τρίτον ἡ ἐπὶ πλεῖστον ἐν τῇ γαστρὶ μονή· καὶ τέταρτον αὐτῶν αὐτὸ δὴ

pus deferri. Igitur hic affectus, quod ad transitus celeritatem pertinet, fimilis eft inteftinorum laevitati, atque etiam quod renum affectio ventriculi affectioni eadem eft, verum tantum inter fe differunt, quod totum ante renes lationis opus naturalium actionum feries eft, attractrice facultate agente, quanquam unum quoddam in illis eft fimile, nimirum ex cava vena ad renes attractio, primae deglutitioni eorum, quae ex ore in ventriculum deferuntur, at vero quae hanc antecedunt actiones urinae fluori propriae funt. Non recte autem putare quosdam diabetem affectionem, velut et caninam cupiditatem, ad ventriculum pertinere, manifeftum eft ex iis, qui prae nimia fiti ventriculum implent et fervant in ipfo potionem longo tempore. Etenim qui in vehementi fiti potarunt, his quatuor fymptomata fuccedunt; unum et quidem primum vomitio, alterum velox per alvum excretio, aut fluore aut inteftinorum laevitate, tertium, quod potus diutius in ventriculo maneat, quartum id ipfum, de quo nunc

τοῦτο περὶ οὗ νῦν ὁ λόγος ἐστὶν, εἴτε διαβήτην αὐτό τις, εἴτε διψακὸν, εἴτε διάῤῥοιαν εἰς οὖρα βούλοιτο καλεῖν. οὐ γὰρ ὅπως ὄνομα πρέπον αὐτῷ θώμεθα, ζητοῦμεν, ἀλλ' ἵν' εἰς τὴν θεραπείαν εὕρωμεν ἀφορμὰς ἔκ τε τοῦ πεπονθότος τόπου καὶ τῆς ἐν αὐτῷ διαθέσεως. ἕτερον δ' ἀκριβῶς ὅμοιον τῷ διαβήτη τούτῳ γίγνεται πάθος, ἐπὶ σιτίων πλήθει, μήτ' ἀπεπτουμένων, μήθ' ὑποχωρούντων, μήτε πληθώραν ἐργαζομένων μήτ' εὐτροφίαν, ἀλλὰ δῆλον ὅτι διαφορουμένων ταχέως· οὔτε δ' οὕτω σπάνιόν ἐστιν, ὡς ὁ διψακὸς, οὔθ' οὕτως ἀνίατον, ἐπειδὴ πρὸ τοῦ μέγιστον γενέσθαι γνωριζόμενον οὐ χαλεπῶς θεραπεύεται. ὅταν μὲν γὰρ ἄχρι τοῦ διπλασίου τῶν εἰθισμένων ἐσθίοντός τινος, ἀτροφῇ τὸ σῶμα χωρὶς διαῤῥοίας, παρορᾶται τὸ πάθος οὐ μόνον τοῖς ἰδιώταις, ἀλλὰ καὶ τοῖς ἰατροῖς· ὅταν δ' ἐπὶ τριπλασίοις τοῦτο συμβαίνῃ, βοηθεῖται πρὶν ἐπὶ τὸ τετραπλάσιον ἢ πενταπλάσιον ἀφικέσθαι· τοῦτο δ' αὖ πάλιν τὸ πάθος εὔλογον ἀπὸ ταχείας διαφορήσεως ἄρχεσθαι, σωζόντων ἁπάντων μορίων τὴν ἑλκτικὴν δύναμιν ἅμα τῇ συνεζευγμένῃ μὲν αὐτῇ, καλουμένῃ δ' ἰδίως ὀρεκτικῇ·

ſermo eſt, ſive id aliquis diabetem, ſive dipſacon, ſive urinae fluorem nominare voluerit, neque enim, ut idoneum ei nomen imponamus, ſed ut curationis viam tum ex loco affecto, tum ex ipſius affectione inveniamus, ſcrutamur. Atque alius affectus occurrit, diabeti plane ſimilis a multis cibis qui neque crudi manent, neque per alvum dejiciuntur, neque plenitudinem efficiunt, neque etiam probe aluut, ſed diſſipantur ſcilicet celeriter. Cujus et crebrior eſt quam dipſaci eventus et faciliorem admittit curationem, quoniam priusquam ad ſummum pervenerit, cognitus, haud difficulter curatur. Nam ubi alicui duplum conſuetorum alimentorum aſſumenti corpus non alitur, idque citra alvi fluorem, hunc affectum non ſolum privati, verum etiam medici parvi pendunt; quum vero ad triplum devenit, auxilia adhibentur priusquam ad quadruplum, aut quintuplum perveniat. Igitur rationi conſentaneum eſt hunc affectum a celeri diſſipatione incipere, omnibus partibus attractricem, atque ei conjugatam facultatem, quae proprie appetens vocatur, ſervantibus.

τοῦ μέντοι σφοδροῦ δίψους ἄνευ τοῦ διαβήτου ἡ γαστήρ ἐστιν αἰτία, πάσχουσα δυσκρασίαν θερμὴν ἢ ξηρὰν, ἢ ἀμφοτέρας ἅμα, καὶ μάλιστ᾽ αὐτῆς τὸ στόμα· δεύτερον δ᾽ ἐπὶ τῇ γαστρὶ τὸ ἧπαρ, καὶ μάλιστ᾽ αὐτοῦ τὰ σιμὰ, συνεκπυρουμένων αὐτοῖς δηλονότι τῶν κατὰ μεσεντέριόν τε καὶ νῆστιν, αὐτήν τε τὴν γαστέρα, καὶ κατὰ τὸν στόμαχον δὲ καὶ πνεύμονα. τοῦ τοιούτου συμπτώματος ἡ οἷον ῥίζα γίγνεταί ποτε δι᾽ ἐρυσιπελατώδη διάθεσιν ἐκπυρωθέντων, οἷς εἰς τοὐπίπαν ἕπεται μαρασμὸς ἄλλοτ᾽ ἄλλος, ὡς ἐν τῷ περὶ αὐτοῦ λόγῳ δεδήλωται. ταῦτα μὲν οὖν τῇ κοινωνίᾳ τῶν συμπτωμάτων ἅμα τοῖς κατὰ νεφροὺς εἴρηται πάθεσιν· αὐτῶν δὲ τῶν νεφρῶν ἴδιον πάθος ἐστὶν ὁ διαβήτης, ἀνάλογον τῇ κατὰ τὸ στόμα τῆς κοιλίας ὀρέξει κυνώδει, σὺν ἀτονίᾳ τῆς καθεκτικῆς δυνάμεως· ἐάν τε γὰρ ἄνευ σφοδρᾶς ὀρέξεως γίγνεσθαι φῶμεν αὐτὸ, τὴν ἀρχὴν οὐδ᾽ ἀφίξεταί ποτ᾽ εἰς τοὺς νεφροὺς ἀξιόλογον οὖρον· ἐὰν δὲ χωρὶς ἀτονίας τῆς καθεκτικῆς δυνάμεως, οὐκ ἀκολουθήσει τὸ τάχος τῆς οὐρήσεως.

At vero ingentis ſitis citra diabetem cauſa eſt ventriculus, aut calida aut ſicca, aut utraque intemperie affectus, maxime vero os ipſius; proxime ventriculo hepar, ſed maxime pars ejus ſima, ſimul cum ea exaeſtuantibus nimirum meſenterio, jejuno, ipſo ventre, ſtomacho etiam et pulmone. Atque hujus ſymptomatis velut radix inde plerumque proficiscitur, quod ab affectu eryſipelatode ea incenduntur; quae magna ex parte marcor ſequitur alias alius, veluti quum de eo tractaremus, declaratum eſt. Haec itaque propter ſymptomatum communitatem ſimul cum renum affectibus dicta ſunt. At diabetes proprius ipſorum renum affectus eſt, qui caninae in ore ventriculi cupiditati proportione reſpondet, cum retentricis facultatis imbecillitate; nam ſi citra vehementem cupiditatem ipſum fieri dicamus, in primis nihil urinae, quod conſideratione dignum ſit, ad renes perveniet, ſi vero citra retentricis facultatis imbecillitatem, non ſequetur mictionis celeritas.

Κεφ. δ΄. Συμπτώματα κατὰ τὴν κύστιν γίγνεται κοινὰ μὲν τοῖς ἄλλοις οἵ τε παρὰ φύσιν αὐτῆς ὄγκοι πάντες, ὀδύναι τε καὶ τὰ ταύτας ἐργαζόμενα πάθη· τὰ δ᾽ ἴδια μόνης αὐτῆς, ἰσχουρίαι τε καὶ στραγγουρίαι, καὶ κατ᾽ ἄλλον τρόπον αἱ ἄμετροι τῶν οὔρων ἐκκρίσεις. ἀλλ᾽ αὗται μὲν, ὡς ἐν τῷ περὶ τῶν νεφρῶν λόγῳ προείρηται, διόδῳ χρῶνται τῇ κύστει, μηδὲν αὐτῆς πεπονθυίας· τῆς στραγγουρίας δ᾽ ἡ μὲν ἐπὶ δριμέσιν οὔροις γιγνο[514]μένη σύμπτωμα μὲν ἐστι κύστεως, πάθος δ᾽ οὐκ ἔστιν· ἡ δὲ δι᾽ ἕλκωσιν ἢ ἀτονίαν ἐπὶ πάθει κύστεως γίγνεται, καθάπερ ἡ διὰ τὴν δριμύτητα, ποτὲ μὲν ἐπὶ νεφρῶν πάθει, ποτὲ δ᾽ ἐπ᾽ ἄλλῳ τινὶ τῶν εἰς οὖρα τὴν ἑαυτῶν κακοχυμίαν, ἢ τὸ πῦον, ὅτ᾽ ἂν ἀποστήματι κάμνῃ, διαπέμψαι δυναμένων. γίγνεται δέ ποτε καὶ διὰ τοὺς ἐν ταῖς φλεψὶ χυμοὺς, ἐκκαθαιρομένους διὰ νεφρῶν τε καὶ κύστεως. ἀῤῥωστοῦσα δὲ κύστις ἐπὶ δυσκρασίᾳ βλάπτεται τὴν οἰκείαν ἐνέργειαν, ἥ τίς ἐστιν ἐκκριτικὴ τῶν οὔρων, ἐφ᾽ ἣν ὁρμᾷ τὸ ζῶον, ὅτ᾽ ἂν ἤτοι βαρύνηται τῷ πλήθει τῆς περιεχομένης οὐσίας ἡ κύστις, ἢ δακνούσης ἀνιαθῇ. ταῦτα δ᾽ ἀμφότερα

Cap. IV. Veſicae accidunt ſymptomata partim caeteris communia, ut omnes ipſius praeter naturam tumores, dolores et quae hos creant affectiones, partim ipſi ſoli propria, ut urinae ſuppreſſiones et ſtillicidia ac alio modo immoderatae urinae excretiones. Verum hae, ut in renibus ſupra dictum eſt, veſica tanquam meatu utuntur, ipſa haudquaquam affecta. At vero ſtillicidium, quod ob urinae acrimoniam fit, ſymptoma veſicae eſt, morbus minime; quod vero ob ulcus aut imbecillitatem, veſicae affectui ſuccedit, quemadmodum quod ob acrimoniam, aliquando ob renum vitium, aliquando ob alias partes, quae cum urinis humorum ſuorum vitia, aut pus, ubi abſceſſus aliquis inſeſtaverit, transmittere poſſunt. Evenit etiam interdum ab humoribus qui in venis ſunt, per renes et per veſicam expurgatis. At quum ab intemperie veſica fit imbecillior, laeditur propria ipſius actio, quae eſt urinae excretio, ad quam animal excitatur, quum vel a multitudine contentae in ſe materiae veſica gravatur, vel a mordacitate moleſtatur; ſed ab horum utrolibet

τοὺς ἀσθενεῖς μᾶλλον ὀδυνᾷ τῶν ἰσχυρῶν· ἡ δ᾽ ἀσθένεια γίγνεται καὶ δι᾽ ὀργανικὰ μὲν ἐνίοτε πάθη, καὶ διὰ δυσκρασίας τάς τ᾽ ἄλλας καὶ τὰς συνεχέστατα πολλοῖς συμβαινούσας, ὁπότ᾽ ἂν ψυχῶσιν· ἐναργῶς γὰρ φαίνεται βαρυνομένη τηνικαῦτα, κἂν ὀλίγον ἐν αὐτῇ περιέχηται τὸ ὑγρόν. ὡς οὐρήσεως δὲ ὀργάνῳ τῇ κύστει καὶ τὸ τῆς ἰσχουρίας ἕπεται σύμπτωμα, ποτὲ μὲν, ὡς εἴρηται, μὴ δυναμένης περιστέλλεσθαι σφοδρῶς τοῖς ἐν αὐτῇ περιεχομένοις, ὡς ἐκθλίβειν αὐτὰ, ποτὲ δὲ τοῦ κάτω πόρου φραχθέντος ὑπὸ παχέων ὑγρῶν, ἢ λίθου σφηνωθέντος· ἔστι δ᾽ ὅτε καὶ διὰ φλεγμονὴν, ἤ τινα τοιοῦτον ἕτερον ὄγκον, εἰς στενοχωρίαν ἀγαγόντα τὸν πόρον, ἢ καὶ τελέως ἐμφράξαντα. οὐ μὴν ἐπί γε τοῖς ἀπὸ τοῦ νωτιαίου μυελοῦ νεύροις παθοῦσιν, ἢ αὐτῷ τῷ νωτιαίῳ, γίγνεταί τις ἀτονία τῆς κύστεως, δι᾽ ἣν οὔρων ἐπίσχεσις ἀκολουθεῖ, καθάπερ ἔνιοι νομίζουσιν, οἰόμενοι προαιρετικὸν ἔργον εἶναι τὸ τῆς κύστεως, ἐπειδὴ κατέχομέν τε τὸ οὖρον ἄχρι περ ἂν βουληθῶμεν, ἐκκρίνομέν τε προελόμενοι· βέλτιον γὰρ ἦν αὐτοὺς ἐγνωκέναι, μὴ τὸ τῆς κύστεως, ἀλλὰ τὸ τῆς οὐρήσεως ἔργον

magis imbecilli quam robufti dolent; imbecillitatem vero organici affectus interdum inducunt, item intemperies omnes cum aliae tum maxime illae, quae nonnullis faepe eveniunt, quum frigore corripiuntur; tunc enim plane gravari videtur, vel pauco admodum contento in ipfa humore. Veficae etiam ut mejendi organo ifchuriae fymptoma fupervenit, interdum quidem, ut dictum eft, quum id quod in ipfa continetur, non ita comprehendere valet, ut ipfum exprimat; interdum etiam obftructo inferiori meatu a craffis humoribus, aut impacto lapide, interdum etiam ab inflammatione, vel alio hujusmodi tumore, quo anguftior redditur meatus, vel omnino obftruitur. At vero neque nervorum a fpinali medulla exortorum, neque etiam fpinalis medullae ipfius affectus, veficae aliquam imbecillitatem efficiunt, ut urina propterea fupprimatur, quemadmodum nonnulli putaverunt, credentes veficae officium a confilio procedere, quod urinam retineamus, quoad voluerimus, atque pro voluntatis imperio excernamus; fatius enim fuiffet eos noffe non veficae, fed mejen-

εἶναι προαιρετικὸν, ὥσπέρ γε καὶ τὸ τῆς ἀποπατήσεως, οὐ τὸ τῶν ἐντέρων. ἡ μὲν γὰρ κύστις ἐνέργειαν ἔχει μίαν, τὴν περισταλτικήν· ὁ δὲ τὸν οὐρητικὸν πόρον ἐν κύκλῳ περιέχων μῦς, ἐν ἀρχῇ τοῦ τραχήλου τῆς κύστεως τεταγμένος, ὄργανόν ἐστι προαιρετικὸν, ἔργον ἔχον σφίγγειν ἐν κύκλῳ τὸν αὐχένα τῆς κύστεως οὕτως ἀκριβῶς, ὡς μηδὲν εἰς τὸν πόρον αὐτοῦ τῶν ἐκ τῆς κύστεως ὑγρῶν ἐξιέναι· τὴν δ᾽ αὐτὴν ἐνέργειάν τε καὶ χρείαν ἔχει καὶ ὁ ἐπὶ τῷ πέρατι τοῦ ἀπευθυσμένου μῦς· καὶ διὰ τοῦτο, παραλυθέντων αὐτῶν, οὔτ᾽ οὖρον ἴσχεται κατὰ τὴν κύστιν οὔτε κόπρος ἐντὸς τῆς ἕδρας, ἀλλ᾽ ἐκρεῖ κατ᾽ ὀλίγον ἀμφότερα χωρὶς τῆς ἡμετέρας προαιρέσεως. ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων μυῶν ὅπερ ἡ παράλυσις ἀκουσίως, τοῦθ᾽ ἡ προαίρεσις ἡμῶν ἑκουσίως ἐργάζεται, κατὰ τὸν αὐτὸν λόγον ἐπὶ τούτων ἐνεργοῦντες παυόμεθα, βουληθέντες ἐκκρῖναι κόπρον ἢ οὖρον. ὥσπερ δ᾽ ἔνιοι προαιρετικὸν ἔργον ὅλον φήθησαν εἶναι τὸ περὶ τὴν τῶν οὔρων τε καὶ τῆς τροφῆς περιττωμάτων ἀπόκρισιν, οὐκ ὀρθῶς γιγνώσκοντες, οὕτως ἔνιοι πάλιν ἐξ ὑπεναντίου τοῖσδε σύμπαν αὐτὸ φυσικὸν ἔργον εἶναι νομίζοντες

di officium, veluti etiam dejiciendi, non inteftinorum munus arbitrarium effe. Nam veficae actio unica eft contractio; at musculus, qui urinae meatum in circuitu ambit, in origine cervicis veficae pofitus, organum eft voluntarium, opus habens, veficae cervicem ita exacte circumftringere, ut nihil humoris e vefica in meatum ejus egredi poffit; fimilem quoque et actionem et ufum habet mufculus, qui recti inteftini partem extremam ambit; proinde ipfis refolutis, neque urinam vefica, neque ftercora alvus retinet, fed praeter voluntatem paulatim utraque effluunt. Quemadmodum autem in reliquis musculis quod a refolutione fit nobis invitis, id electio noftra haud invita efficit, ita eadem ratione ab horum actione quiescimus, quum vel ftercus, vel urinam excernere propofitum eft. Atque ut nonnulli cum urinarum tum cibi excrementorum dejectionem totam ab electione procedere exiftimantes erraverunt, ita rurfus alii his e diverfo totum hoc opus naturale putantes a veritate delapfi funt.

οὐκ ἀληθεύουσιν. ὅλον μὲν γὰρ φυσικόν ἐστιν ἔργον ἡ ἐκ τῆς γαστρὸς εἰς τὴν νῆστιν ἔκθλιψις τῆς τροφῆς, ὅλον δ' αὖ προαιρετικὸν ἔκτασις καὶ κάμψις ἑκατέρων τε τῶν κώλων ἑκάστου τε τῶν δακτύλων· γίγνεται γὰρ ἡ μὲν ἐκ τῆς κοιλίας εἰς τὴν νῆστιν φορὰ, καθάπερ γε καὶ ἡ δι' ἐκείνης εἰς τὸ λεπτὸν ἔντερον, ὑπὸ φυσικῆς δυνάμεως μόνης· ἡ δ' ἀποπάτησίς τε καὶ οὔρησις ἀμφοτέρων τῶν ὀργάνων ἅμα ταῖς οἰκείαις δυνάμεσιν ἐνεργούντων ἐπιτελεῖται· κατὰ μὲν τὸ ἀπευθυσμένον καὶ τὴν [515] κύστιν ὑπὸ τῶν φυσικῶν, κατὰ δὲ τοὺς μῦς ὑπὸ τῶν ψυχικῶν τε καὶ προαιρετικῶν ὀνομαζομένων. οἱ μὲν γὰρ σφίγγον(313)τες τὰς ἐκροὰς μύες οὐκέτ' ἐνεργοῦσιν, οἱ δὲ καθ' ὑπογάστριον ἐνεργοῦσιν, καὶ μάλιστ' αὐτῶν οἱ μέσοι· συνεπιλαμβάνουσι δ' ἔστιν ὅτε τοῖς μυσὶ τούτοις ἔνιοι τῶν δυσκόλως ἀποπατούντων, καὶ τὴν διὰ τῶν χειρῶν θλίψιν, καθάπερ γε κἀπὶ τῆς δυσχεροῦς οὐρήσεως καὶ τελέας ἐπισχέσεως εἰώθασι ποιεῖν. ὅταν μὲν οὖν τὰ νεῦρα πάθῃ, δι' ὧν ἡ ψυχικὴ δύναμις ἐπὶ τοὺς εἰρημένους ἀφικνεῖται μῦς, ἢ καὶ τὸν νωτιαῖον αὐτὸν βλαβῆναι συμβῇ, παραλυθέντων τῆς ἐνεργείας τῶν μυῶν, ἀκούσιος ἔκκρισις οὔρου

Etenim cibi a ventriculo in jejunum expreffio totum naturae opus eft, rurfus omnino ab electione pendet utrorumque artuum et cujuslibet digiti tum extenfio tum inflexio. Delatio enim a ventriculo ad jejunum et ab hoc in tenue inteftinum a fola naturali facultate procedit, at alvi dejectio et urinae redditio utroque organo propriis fuis facultatibus agente perficiuntur, quod ad rectum inteftinum atque veficam attinet, a naturalibus; quod ad musculos vero, ab animalibus et voluntariis nominatis. Nam musculi, qui fluores cohibent, tunc quiescunt ab opere; abdominis vero musculi munere fuo funguntur, maxime vero ipforum medii; nonnulli etiam quum difficile dejiciunt, manibus hujusmodi musculos comprimunt, ut et ubi urina vel difficulter redditur, vel omnino fuppreffa eft, facere confueverunt. Quum itaque nervi, per quos animalis facultas ad jam dictos musculos pervenit, afficiuntur, aut ubi dorfalis medulla ipfa laefa eft, refolvitur musculorum actio atque excernitur et urina et

τε καὶ κόπρου γίγνεται· ὅταν δ᾽ αὐτὸ τῆς κύστεως τὸ σῶμα τοιοῦτο πάθῃ πάθος, ὡς ἀδυνατεῖν ἐκθλίβειν τὸ περιεχόμενον ἐν αὐτῇ, κατέχεται τούτοις τὸ οὖρον, καὶ καλεῖται τὸ σύμπτωμα αὐτῆς ἰσχουρία. συμβαίνει δὲ καὶ διὰ δυσαισθησίαν αὐτῆς γίγνεσθαί ποτ᾽ ἐπίσχεσιν οὔρων, ἄνευ τοῦ πεπονθέναι τὴν ἐκκριτικὴν δύναμιν, ἐὰν τὰ μὲν τῆς κύστεως ἴδια νεῦρα πάθῃ, τὰ δὲ τοῦ σφίγγοντος αὐτῆς τὸν αὐχένα μυὸς ἐνεργῇ, διασώζοντα τὴν ἑαυτῶν δύναμιν· ὡς ἐάν γε παραλυθῇ, σημεῖον ἴδιον τῆς παραλύσεως τούτου τοῦ μυός ἐστιν ἡ τῶν οὔρων ἀκούσιος ἔκκρισις· ὅταν δὲ τοῦτο γένηται τὸ πάθος, ὅ τε πόρος αὐτῆς φραχθῇ, χαλεπόν ἐστι διαγνῶναι τὰς διαθέσεις ἀμφοτέρας. οὐ μόνον δὲ εἰς τὴν τούτων, ἀλλὰ καὶ τὴν τῶν ἄλλων ἁπάντων τῶν κατὰ τὴν κύστιν ἀκριβῆ διάγνωσιν ἀναγκαιότατόν ἐστι προεπίστασθαι τὰ προκατάρχοντα τῶν ἔξωθεν αἰτίων, ἃ καλοῦσιν ἰδίως οἱ ἰατροὶ προκαταρκτικά· πολὺ δὲ μᾶλλον αὐτῶν τὰ προηγούμενα τὰ κατ᾽ αὐτὸ τὸ σῶμα τοῦ ζώου παθήματα. λορδωθείσης γοῦν ποτε τῆς ῥάχεως ἐπὶ τῇ καταπτώσει, συνέβη τῶν οὔρων ἐπί-

ſtercus, laborante invito. Quum vero ipſum veſicae corpus eo affectu fuerit affectum, ut quod in ea continetur, exprimere non poſſit, ſupprimitur urina, vocaturque hoc ſymptoma ipſius iſchuria. Atque accidit interdum propter obtuſum ipſius ſenſum urinae ſuppreſſionem fieri citra excretricis facultatis laeſionem, ſi proprii veſicae nervi afficiantur, nervis musculi cervicem ejus ſtringentis munere ſuo fungentibus, ipſorum facultate ſervata; nam ſi reſolvantur, proprium ſignum eſt paralyſeos hujus musculi urinae praeter voluntatem excretio; at hoc eveniente affectu, quum meatus ipſius fuerit obſtructus, uterque affectus cognitu difficilis eſt. Proinde ut exquiſite dignoscantur, non ſolum hi, ſed reliqui quoque omnes veſicae affectus, perquam neceſſarium eſt praeſcire praevias cauſas extrinſecus advenientes, quas proprie procatarcticas medici vocant; ſed multo magis eas, quae praeceſſerunt in ipſo animalis corpore, affectiones. Igitur cuidam a caſu ſpina luxata accidit urinae ſuppreſſio, quae ſic

σχεσις, εἰωθυίας οὕτω γίγνεσθαι, καθάπερ εἴρηται καὶ ὑφ᾽ Ἱπποκράτους· ἐπεσχέθη δ᾽ οὐκ εὐθέως, ἀλλὰ περὶ τὴν τρίτην ἡμέραν, ὑπὸ τῆς τῶν ἔσω μεταστάντων σπονδύλων θλίψεως, φλεγμηνάσης τῆς κύστεως· ἤλγει γοῦν κατὰ τὸ χωρίον αὐτῆς, καὶ χωρὶς μὲν ψαύειν, ἀλλὰ πολὺ μᾶλλον ἐπερειδόντων τὰς χεῖρας· ἐθεραπεύσαμεν δ᾽ αὐτὸν ὡς πρὸς φλεγμονὴν ἱστάμενοι. μεταστάντων δ᾽ ὀπίσω τῶν σπονδύλων ἐφ᾽ ἑτέρου, τὸ οὖρον ἀκουσίως ἐξεκρίνετο χωρὶς ὀδύνης τῆς κύστεως· ἐφ᾽ οὗ τὸ νεῦρον τοῦ κλείοντος τὴν κύστιν μυὸς ἐτεκμηράμεθα πεπονθέναι, καὶ διὰ τοῦτο τὴν θεραπείαν τῷ νωτιαίῳ προσήγομεν. ἐπ᾽ ἄλλου δ᾽ ὁμοίως πεπονθότος ἐπίσχεσις οὔρων ἐγένετο, δυσαισθησίας μὲν ἐπὶ τῇ τῶν νεύρων πείσει καταλαβούσης τὴν κύστιν, ἐν δὲ τοῖς ὕπνοις οὐκ αἰσθανομένου τοῦ ἀνθρώπου πεπληρωμένης τῆς κύστεως, εἶθ᾽ ὑπερδιαταθείσης αὐτῆς, μηκέτ᾽ ἀποκρίνοντος. συμβαίνει γάρ ποτε καὶ τοῦτο τῆς ἰσχουρίας αἴτιον γενέσθαι, καθάπερ γε καὶ ἄλλοις ὑγιαίνουσιν ἤτοι διὰ περίστασίν τινα πραγμάτων, ἢ ἐν ἐκκλησίαις, ἢ βουλαῖς, ἢ ἐν δικαστηρίοις, ἢ καὶ δειπνοῦσι παρά τινι, κατασχοῦσιν ἐπὶ πλέον τὸ οὖρον, ὑπερδιαταθείσης τῆς κύστεως,

fieri conſuevit, quemadmodum et ab Hippocrate dictum eſt; verum non illico ſuppreſſa fuit, ſed perendie, ob digreſſarum ad interna vertebrarum compreſſionem inſlammata veſica. Itaque dolebat in ejus regione, vel nemine tangente; ſed multo magis, ſi quis manu tangeret. Atque hunc curavimus inſlammationi remedia adhibentes. Rurſus alter luxatis ad poſteriora vertebris urinam invitus profudit citra veſicae dolorem, in quo conjecimus nervum musculi veſicam claudentis fuiſſe affectum, proinde ſpinalem medullam curavimus; Atque in alio ſimiliter affecto ſuppreſſa fuit urina, torpente quidem ob affectos nervos veſicae ſenſu, quum autem inter dormiendum non ſentiret homo, veſica impleta et ſupra modum extenſa, nihil amplius excernere potuit. Etenim accidit interdum, hanc ſuppreſſionis urinae cauſam eſſe, quemadmodum etiam ſanis quibusdam, vel urgentibus negotiis, vel in concionibus, vel ſenatu, vel foro, vel convivio, retenta longiori tempore urina, extenſa ſupra modum veſica,

Ed. Chart. VII. [515. 516.] Ed. Baf. III. (313.)

ἰσχουρίαν ἀκολουθῆσαι, παθούσης τῆς περισταλτικῆς αὐτῆς δυνάμεως ὑπὸ τῆς ἀμέτρου τάσεως. ἑτέρου δὲ ἐπὶ καταπτώσει τῆς ῥάχεως ἀπαθοῦς διαμενούσης ἐν μὲν τῷ παραχρῆμα συνέβη συχνὴν οὔρησιν αἵματος γενέσθαι, μετὰ δὲ ταῦτα τελείαν ἰσχουρίαν· ἐφ᾽ οὗ τεθρομβῶσθαί τι τοῦ αἵματος ἐτεκμηράμεθα, καὶ διὰ τοῦτο καθετῆρι χρησαμένων ἡμῶν, ὀλίγον μὲν οὔρησεν, ἐξαιρεθέντος δὲ τοῦ καθετῆρος, ἐφάνη κατὰ τὸ στόμιον αὐτοῦ γνώρισμα τῆς θρομβώσεως. ἐπ᾽ ἄλλων δὲ χρονίων ἀλγημάτων, ἅμα σημείοις ἀποστημάτων γενομένων, ἐπὶ τῷ λῆξαι ταῦτα συνεξουρήθη τι πυῶδες λεπτὸν, ἐπηκολούθησεν δ᾽ ἐπίσχεσις οὔρων, ὡς τεκμήρασθαι παχὺ πῦον ἐμφράξαι τὸν πό[516]ρον. ἐπὶ δὲ τῶν παιδίων λιθιώντων κατὰ κύστιν ἐθεασάμεθα πολλάκις ἰσχουρίαν γενομένην, ἐφ᾽ ᾗ σχηματίσαντες ἀνάῤῥοπον τὸ σῶμα μετὰ κατασείσεως, ἀποκυλισθῆναι τὸν λίθον τοῦ πόρου ἐποιήσαμεν. ἑωρακότας δὲ καὶ τοῦθ᾽ ὑμᾶς, ὃ μέλλω λέγειν, ἀξιῶ μεμνῆσθαι διαπαντός· ἐπὶ ταῖς καλουμέναις θρομβώσεσιν, οὐ μόνον ταῖς κατὰ κύστιν, ἀλλὰ καὶ τούτων ἔτι μᾶλλον εἰ κατ᾽ ἔντερά τε καὶ

urinam fupprimi, contractrice facultate laefa propter immoderatam tenfionem. Quidam etiam quum cecidiffet, manente fpina illaefa, primum quidem magnam fanguinis copiam cum urina emifit, poftea vero omnino fuppreffa eft urina; cui conjecimus concretum effe fanguinis aliquem grumum; quocirca demiffa a nobis per colem fiftula, paulum urinae reddidit; extracta deinde fiftula, apparuit in ipfius ore grumi indicium. Praeterea ab aliis diuturnis doloribus, una cum abfceffuum fignis infeftantibus, finitis his tenue pus cum urina profluxit, fubfequuta urinae retentio eft, ut conjecerimus a craffo pure meatum obftrui. Atque in pueris calculo veficae laborantibus vidimus faepenumero urinam fupprimi. Eos itaque refupino figurato corpore concuffimus, ut a meatu lapis dimoveretur. Quum vero vos id, quod jamjam dicam, videritis, oro ut ipfum tenaci femper memoria fervetis; a grumis vocatis, non folum iis qui in vefica, fed multo magis illis quoque qui in inteftinis, ventriculo at-

γαστέρα καὶ θώρακα γένοιντο, συμβαίνει λειποψυχεῖν τε καὶ ὠχριᾷν, καὶ μικροὺς καὶ ἀμυδροὺς καὶ πυκνοὺς ἴσχειν τοὺς σφυγμοὺς, ἀλύειν τε καὶ διαλύεσθαι. ταὐτὸ δὲ τοῦτο κἀπὶ τοῖς κατὰ τοὺς μῦς μεγάλοις τραύμασιν ἐπιγίγνεται πολλάκις· ὡς θαυμάσαι τὴν αἰτίαν τινὰ τοῦ συμβαίνοντος, εἰ τὸ πάντων οἰκειότατον ἡμῖν αἷμα τηλικούτων κακῶν ἐστι γεννητικὸν ἐκχυθὲν τῶν οἰκείων ἀγγείων· ἀκολουθοῦσι γὰρ αὐτῷ καὶ σηπεδόνες τῶν μορίων καὶ νεκρώσεις. εἶδον δὲ καὶ κατὰ κύστιν ἐνθρομβωθεῖσαν ἀκολουθήσαντα τὰ αὐτὰ συμπτώματα· προηγεῖτο γὰρ αἵματος οὔρησις αὐτῷ δαψιλοῦς, καὶ ἐκ τούτου συνετεκμηράμην τὴν θρόμβωσιν, ἔδωκά τε φάρμακον πιεῖν λίθου θρυπτικὸν δι' ὀξυμέλιτος, αὐτό τε τὸ ποτὸν ὀξύμελι προσεφέρομεν· ἀλλὰ καὶ ταῦτά μου ποιοῦντος, οἱ μὲν ἄλλοι διεφθάρησαν, εἷς δέ τις ἐσώθη, διαλυθέντων αὐτῷ τῶν θρόμβων, εἶτα κατ' ὀλίγον οὐρηθέντων. ὅτι δ' οὐκ ἔστιν αὐτάρκη τὰ κατὰ τὸν ἐνεστῶτα χρόνον συμπτώματα διδάξαι τὸν πεπονθότα τόπον, ἀλλὰ καὶ πολλάκις ἐκ τῶν προγεγονότων ὁ διορισμὸς γίγνεται, τῶν προεωραμένων ὑμῖν ἀναμιμνησκόμενοι γνώσεσθε· πῦον γοῦν οὐρησάντων

que thorace continentur, animi defectio et pallor fequi folet, pulfus parvus, obfcurus, frequens apparet, anxietas et exfolutio. Idem hoc in magnis musculorum vulneribus faepenumero accidit, ut mirari aliquis poffit, quaenam fit hujus eventus caufa, quod omnium fanguis nobis familiariffimus ex vafis fuis effufus tantorum malorum auctor fit; nam et putredo partium et mortificatio ipfum fequitur. Vidi etiam veficae grumo obftructae eadem evenire fymptomata; grumum vero adeffe conjecimus, quod plurimum antea cruorem cum urina reddidiffet. Itaque medicamentum lapidem conterens ex oxymelite atque ipfum quoque oxymel per fe in potu dedimus, at nihilominus alii quidem perierunt, uno quodam fervato, folutis ipfi grumis, quos poftea cum urina paulatim excrevit. Quod vero non fatis fint ad affectae fedis inventionem ea duntaxat fymptomata quae in praefentia infeftant, fed et ex iis quae praeceflerunt, faepe definiamus, facile intelligetis, fi eorum quae vidiftis memineritis. Igitur

Ed. Chart. VII. [516.] Ed. Baf. III. (313.)

πολλῶν πολλάκις, ἡ τῶν προγεγονότων συμπτωμάτων μνήμη τὸν πεπονθότα τόπον ἐνεδείξατο, τήν τ' ἐν αὐτῷ διάθεσιν ἐδήλωσεν. ὁ μὲν γάρ τις ἠλγήκει πρότερον τὰ κατὰ τὸ χωρίον τῶν νεφρῶν πολλάκις, ἄτακτοί τε φρῖκαι ποτὲ καὶ ῥίγη τὰ σμικρὰ σὺν πυρετοῖς ἐγεγόνει· τῷ δὲ κατὰ τὴν τῆς κύστεως θέσιν, ἅμα ταῖς τε φρίκαις καὶ τοῖς πυρετοῖς ἀλγήματα προεγεγόνει· τισὶ δὲ κατὰ διάφραγμα καὶ θώρακα, καθάπερ ἑτέροις κατὰ τὸ δεξιὸν ὑποχόνδριον· ἐφ' ὧν ἁπάντων ἐτεκμηράμεθα, κατὰ τὸν ἀλγήσαντα τόπον ἀποστήματος προγενομένου, διὰ νεφρῶν ἐκκαθαρθῆναι τὸ πῦον. συνενδείκνυται δὲ τοῖς εἰρημένοις καὶ τὸ ποσὸν τοῦ πύου καὶ τὸ μεμίχθαι τοῖς οὔροις αὐτὸ πᾶν, ὥσπερ ἀνατεταραγμένον, ἢ μήπω τοῦτο γεγονέναι, καθάπερ ἐπὶ τῶν ἐντέρων εἴρηται πρόσθεν. ὡς γὰρ ἐν ἐκείνοις, ἐὰν μὲν ἐκ τῶν ὑψηλοτέρων ἐντέρων ᾖ τὰ φερόμενα, μέμικται τοῖς τῆς τροφῆς περιττώμασιν ὁμοίως τοῖς ἀναπεφυραμένοις, ἐὰν δ' ἐκ τῶν κατωτέρω, καθ' ἕν τι μέρος αὐτῶν συνεκκρίνεται, κατὰ τὸν αὐτὸν τρόπον ἤτοι τεθόλωται τὸ οὖρον ἅπαν ὑπὸ τῶν συνεκκρινομένων αὐτῷ

quum multi crebro pus cum urina emififfent, praeteritorum fymptomatum memoria et fedem affectam nobis oftendit et affectum in ipfo confiftentem declaravit. Quidam enim prius in regione renum faepenumero doluerat et cum inordinato horrore et exiguo rigore febre correptus erat. Alius circa veficae fitum fimul cum horrore ac febre dolores praefenferat, nonnulli circa feptum transverfum et thoracem, ut alii in dextro hypochondrio. Conjecturam itaque fecimus in iis omnibus pus per renes expurgatum effe, vomica in loco dolente erupta. Ad indicium autem cum fupra propofitis nonnihil confert puris quantitas et quod totum cum urinis misceatur, veluti confufum, aut contra, veluti jam antea de inteftinis dictum eft. Nam ut in illis, fi a fuperioribus inteftinis quidpiam deferatur, id ciborum excrementis peraeque admixtum videtur, ac fi cum ipfis fubactum fuiffet; fi vero ab humilioribus, cum una ipforum parte excernitur, fimili modo urina aut tota a pure cum ipfa emiffo

πυωδῶν, ἢ κατά τινα μόρια διεσπασμένον ἀνωμάλως ἐμφέρεται, πολλάκις δὲ καὶ μόνον αὐτὸ τὸ πῦον ἐκκρίνεται χωρὶς οὔρου. τοῦτο μὲν οὖν ἐναργῶς ἐνδείκνυται κατὰ τὴν κύστιν αὐτὴν γεγονέναι τὴν ἐκπύησιν· τὸ δ᾽ ἀναμεμιγμένον ἀκριβῶς, ἄνωθέν ποθεν ἥκειν· τὸ δὲ μέσην τούτων κατάστασιν ἔχον, ἀπὸ τῶν νεφρῶν. ὁμοίως δὲ κἂν μετὰ τὸ συῤῥαγῆναι τὸ ἀπόστημα φαίνηταί τι γνώρισμα τῆς ἑλκώσεως ἅμα τῇ τοῦ πεπονθότος τόπου διαγνώσει, καὶ τοῦτο ποτὲ μὲν ἀναμεμιγμένον ἀκριβῶς φαίνεται, ποτὲ δὲ μετρίως, ἢ μηδεμίαν ἐσχηκὸς μίξιν, ἢ ἐποχούμενόν πως, ἢ μόνον διεξερχόμενον· τοῦ μὲν ἕλκους γνώρισμά ἐστιν ἴδιον ἡ ἐφελκὶς ὀνομαζομένη, τοῦ πεπονθότος δὲ μέρους ἡ κατὰ τὴν οὐσίαν ἰδιότης· πεταλώδη μὲν γάρ ἐστι τὰ τῆς κύστεως ἀποῤῥυπτόμενα μόρια, σαρκοειδῆ δὲ [517] τὰ τῶν νεφρῶν. οὕτως δὲ κἂν τῶν ἀνωτέρω τι πεπόνθῃ, τὰ συνεκκρινό(314)μενα τοῖς οὔροις ἐπισκέπτεσθαι χρὴ, παραβάλλοντας αὐτὰ τῇ τῶν ὑπονοουμένων οὐσίᾳ. δι᾽ οὔρων μὲν οὖν ἐκκαθαίρεται τά τε κυρτὰ μέρη τοῦ ἥπατος ὅσα τε ἀνωτέρω τοῦδε τέτακται μόρια

conturbatur, aut per partes quasdam disperfum inaequaliter defertur, plerumque etiam folum pus fine urina excernitur. Atque hoc fane haud obfcure in vefica fuppurationem confiftere indicat; quod vero exacte commixtum eft, a fupernis alicunde partibus venire; quod mediam inter haec conditionem fervaverit, a renibus. Similiter fi erupta vomica cum affecti loci indiciis ulceris quoque fignum aliquod appareat, hoc aliquando quidem exacte commixtum videtur, aliquando mediocriter, vel nullam habens mixtionem, vel quodammodo innatat, vel folum excernitur; et vocatum quidem ramentum ulceris, fubftantiae vero proprietas affectae partis proprium indicium eft, quippe partes a vefica avulfae laminis, a renibus vero caruncnlis funt fimiles. Ita etiam ubi ex fublimioribus pars aliqua affecta eft, excrementa cum urinis ejecta intueri et ea fufpectarum partium fubftantiae comparare oportet. Igitur cum urina expurgantur gibbae hepatis partes atque omnes quotquot funt his fuperiores;

σύμπαντα· δι᾽ ἕδρας δὲ τά τε σιμὰ τοῦ ἥπατος ἔντερά τε καὶ γαστὴρ καὶ σπλήν. ἔξωθεν δὲ τούτων ἐστὶν ὅσα σπανίως γίγνεται, οἷον διὰ γαστρὸς ἐκκαθαρθέντων τῶν κατὰ θώρακα καὶ πνεύμονα, καὶ δι᾽ οὔρων ἐνίοτε τῶν κάτω τοῦ διαφράγματος, ὧν ἀγνοοῦντες ἔνιοι τὰς αἰτίας, εἶτ᾽ οὐχ ἑωρακότες ἐπ᾽ ἀῤῥώστων αὐτὰ γιγνόμενα, τοῖς ἑωρακόσιν ἀπιστοῦσιν· (ὅτι ἀποστήματός ποτε ἐν πνεύμονι γενομένου, δυνατὸν τὸ πῦον διὰ νεφρῶν ἐκκαθαρθῆναι) ἀλλ᾽ ἡμεῖς γε καὶ πνεύμονος ἀπόστημα δι᾽ οὔρων ἐκκαθαρθὲν ἐθεασάμεθα, καὶ θώρακος, διά τε τῶν ἐντέρων καὶ τῆς ἕδρας. ἡ μὲν οὖν ἐκ τοῦ πνεύμονος εἰς τοὺς νεφροὺς φορὰ τὴν ἀρχὴν οὐδ᾽ ἀπορίαν ἔχει κατά γε τὴν ἀλήθειαν. ὥσπερ γὰρ ἀπὸ τῆς κοίλης φλεβὸς ἀποφύσεις εἰς τοὺς νεφροὺς ἐμβάλλουσιν, οὕτω καὶ τῆς μεγάλης ἀρτηρίας. ἐπεὶ δὲ Ἐρασίστρατος ἡγεῖται πνεύματος μόνου τὰς ἀρτηρίας ὑπάρχειν ἀγγεῖα, τοῖς πεπιστευκόσιν αὐτῷ τὸ ζήτημα, οὐχ ἡμῖν γίγνεται, τῆς λείας ἀρτηρίας τοῦ πνεύμονος, ὅσον εἰς ἑαυτὴν δέχηται πῦον ἐκ τοῦ ῥαγέντος ἀποστήματος, εἰς ἀριστερὰν κοιλίαν τῆς καρδίας κομίσαι δυ-

per alvum vero pars jecoris ſima, inteſtina, ventriculus, lien. Extra haec autem ſunt, quae raro ſiunt, ut quum thorax et pulmo per alvum purgatur; quae infra ſeptum transverſum poſitae ſunt partes, interdum per urinas. Quorum cauſam quum nonnulli ignorent, neque ea unquam in aegrotis accidere viderint, non credunt iis, qui viderunt (quod abſceſſu interdum in pulmone orto pus expurgari per renes poſſit.) Nos vera pulmonis vomicam per urinam, thoracis autem per inteſtina et alvum expurgari vidimus. Ac tranſitus quidem a pulmone ad renes plane nullam revera difficultatem habet; etenim ut a cava vena, ita ex magna quoque arteria rami deſcendunt ad renes. Quoniam autem Eraſiſtratus putat ſolum ſpiritum in arteriis contineri, haec quaeſtio ad ejus ſectatores pertinet, non ad nos, quum laevis arteria pulmonis, quantum puris ex erupta vomica ſuscipit, id in ſiniſtrum cordis ſinum deferre poſſit, quod inde in magnam

ναμένης, εἶτ᾽ ἐντεῦθεν εἰς τὴν μεγάλην ἀρτηρίαν ἐμπεσόντος αὐτοῦ, διὰ τῶν νεφρῶν εἰς τὴν κύστιν ἐνεχθῆναι τὸ συνδοθέν· οὐ μὴν εἴωθεν οὕτω συμβαίνειν ὡς τὸ πολὺ, φθανούσης τῆς μεταλήψεως εἰς τὰς τραχείας ἀρτηρίας γίγνεσθαι. τοῦ μὲν οὖν σπανίως μὲν, ἀλλ᾽ ἕπεσθαί ποτε δι᾽ οὔρων κάθαρσιν, ἐν πνεύμονι πύου γεννηθέντος, ἡ αἰτία λέλεκται· τοῦ δὲ καὶ διὰ γαστρὸς ἕτερόν τι τῶν ἐξ ἀνατομῆς φαινομένων σπάνιον αἴτιον. ἡ γάρ τοι κοίλη φλὲψ εὑρίσκεταί ποτε διά τινος ἀγγείου μέσου συναπτομένη τῇ στελεχιαίᾳ καλουμένῃ· διὸ καὶ θαυμαστὸν οὐδὲν, οὐδ᾽ ἀδύνατον, οὔτ᾽ ἐκ τῶν ἄνω τοῦ διαφράγματος μερῶν εἰς τὴν γαστέρα ῥυῆναι τὸ πῦον οὔτ᾽ ἐκ τῶν κάτω διὰ τῶν νεφρῶν εἰς τὴν κύστιν ἀφικέσθαι· ταῖς γὰρ σπανίαις κατασκευαῖς τῶν σωμάτων εἰκός ἐστιν ἕπεσθαι σπάνια συμπτώματα.

Κεφ. έ. Οὐδ᾽ ἐνταῦθα χρὴ διαφέρεσθαι, πότερον ὑστέραν ἢ μήτραν κλητέον ἐστὶ τὸ πρὸς τὴν κύησιν ὑπὸ τῆς φύσεως δοθὲν ταῖς γυναιξὶ μόριον, ὥσπερ οὐδ᾽ εἰ κατὰ τὸν πληθυντικὸν ὀνομαζόμενον ἀριθμὸν ὑστέρας ἢ μήτρας, ἢ κατὰ τὸν ἑνικὸν ἐθέλοι τις ὀνομάζειν ὑστέραν καὶ μήτραν.

ipfius arteriam incidens, per renes tranfit in veficam; hoc tamen non ita evenire folet, pure prius in asperas arterias magna ex parte transfumpto. Itaque quam ob caufam pus in pulmone genitum cum urinis, licet raro, excernatur, jam dictum eft; quod vero per ventrem expellatur, alia quaedam rara ex corporum diffectione apparens eft caufa; nam cava vena, mediante vafe quodam, caudici vocato videtur interdum adaptari. Proinde nihil mirum neque impoffibile eft et ex partibus fepto transverfo fuperioribus pus in ventrem defluere et ex iis quae eidem fupponuntur, per renes in veficam pervenire; nam corporum raras conftitutiones par eft rara etiam fequi fymptomata.

Cap. V. Neque hic disceptandum eft, utrum vulvam an uterum vocare deceat eam partem, quae mulieribus ad conceptionem a natura data eft; ut nec fi quis numero plurali vulvas aut uteros, aut fingulari vulvam aut ute-

ἄμεινον γὰρ εἰς τὰ χρήσιμα τὸν χρόνον ἀναλίσκειν, ἐξ ὧν εἰς διάγνωσιν ἢ πρόγνωσιν, ἢ θεραπείαν, ὄφελός τι καρπωσόμεθα. καθάπερ ἀμέλει κἀπὶ τῆς καλουμένης ὑπὸ μέν τινων ὑστερικῆς πνίξεως, ὑπ᾽ ἐνίων δ᾽ ἀπνοίας ὑστερικῆς· ὡς ἕν γάρ τι τὸ πάθος ἑκατέρᾳ τῇ προσηγορίᾳ δηλούντων ἐστὶν ἀκοῦσαι τῶν ἰατρῶν. ἐγὼ δὲ θεασάμενος πολλὰς γυναῖκας ὑστερικὰς, ὡς αὐταί τε σφᾶς αὐτὰς ὀνομάζουσιν αἵ τ᾽ ἰατρίναι πρότεραι, παρ᾽ ὧν εἰκός ἐστι κἀκείνας ἀκηκοέναι τοὔνομα, τινὰς μὲν ἀναισθήτους τε ἅμα καὶ ἀκινήτους κειμένας, ἀμυδρότατόν τε καὶ μικρότατον ἐχούσας σφυγμὸν, ἢ καὶ παντελῶς ἀσφύκτους φαινομένας, [518] ἐνίας δ᾽ αἰσθανομένας τε καὶ κινουμένας καὶ μηδὲν βεβλαμμένας τοῦ λογισμοῦ, λιποδρανούσας τε καὶ μόγις ἀναπνεούσας, ἑτέρας δὲ συνελκομένας τὰ κῶλα, διαφορὰς ὑπολαμβάνω τῶν ὑστερικῶν παθημάτων εἶναι πλείους, ἤτοι κατὰ τὸ μέγεθος τῆς ποιούσης αἰτίας, ἢ κατ᾽ εἴδη τινὰ διαφερούσας ἀλλήλων. ἡ μὲν οὖν πρώτη λελεγμένη διαφορὰ κατὰ τὸ τοῦ Ποντικοῦ Ἡρακλείδου γεγραμμένον βιβλίον ἀπορίαν ἔχει πολλὴν ὅπως γίγνεται.

rum nominare velit. Etenim fatius eft in rebus utilibus tempus collocare, ex quibus vel ad dignotionem, vel praenotionem, vel curationem, fructum aliquem decerpere posfimus. Veluti certe et in eo affectu, quem nonnulli uteri fuffocationem, alii fpirationis ob uterum ablationem vocant; audire enim licet medicos utraque appellatione unum quendam affectum explicare. Ego vero quum multas viderim mulieres hyftericas, ut et illae feipfas nominant et ante has medicae foeminae, a quibus et eas verifimile eft hoc nomen audiviffe, alias quidem fine fenfu immobiles jacentes, cum obfcuriffimo minimoque pulfu, vel omnino fine ullo pulfu apparentes, alias fentientes quidem et fefe moventes, atque citra rationis laefionem, fed animo deficientes et vix refpirantes, alias etiam artus contrahentes; multas effe puto uteri affectuum differentias, vel pro caufae efficientis magnitudine, vel pro fpecierum quarundam varietate inter fe differentes. Igitur prima differentia, cujus Heraclides Ponticus in confcripto libro mentionem fecit, multam exhibet de

λέγεται γὰρ ἄπνους τε καὶ ἄσφυκτος ἐκείνη ἡ ἄνθρωπος γεγονέναι, τῶν νεκρῶν ἑνὶ μόνῳ διαλλάττουσα, τῷ βραχεῖαν ἔχειν θερμότητα κατὰ τὰ μέσα μέρη τοῦ σώματος· ἐπιγέγραπται γοῦν τὸ βιβλίον ἄπνους Ἡρακλείδου· καὶ ζήτησιν ἔφη γεγονέναι τοῖς παροῦσιν ἰατροῖς, εἰ μήπω τέθνηκεν. Ἡρακλείδου δ' αὖθις ὕστερον γεγονότες ἔνιοι, βουλόμενοι διασώζεσθαί τι τῆς ἀναπνοῆς, εἰ καὶ μὴ φαίνοιτο, κτηδόνας ἐρίου διεξαμμένου καταρτᾷν φασι χρῆναι πρὸ τῆς ῥινὸς, εἰς διάγνωσιν ἀκριβῆ τοῦ φέρεσθαί τι πνεῦμα διὰ τῆς ἀναπνοῆς εἴσω τε καὶ αὖθις ἔξω· τινὲς δὲ κατὰ τὸ στόμα τῆς γαστρὸς ἐπιτιθέναι κελεύουσιν λεκάνιον ὕδατος μεστὸν, ἀκίνητον γὰρ ἀκριβῶς φυλαχθήσεσθαι τὸ ὑγρὸν, εἰ μηδὲν ὅλως σώζοιτο τῆς ἀναπνοῆς. εἰ μὲν οὖν ἀπέθνησκον αἱ οὕτως ἔχουσαι πᾶσαι γυναῖκες, ἁπλοῦν ἂν εἴη τὸ ζήτημα· σωζομένων δὲ ἐνίων, διπλοῦν γίγνεται, τήν τε διάθεσιν ἡμῶν ζητούντων, ὑφ' ἧς ἀπόλλυται τὸ τῆς ἀναπνοῆς ἔργον, ἔτι τε μᾶλλον ὅπως ἔτι ζῶσιν αἱ μηδ' ὅλως ἀναπνέουσαι· πεπίστευται γὰρ ἀχώριστον εἶναι τοῦ ἀναπνεῖν τὸ ζῆν, τοῦ τε ζῆν τὸ ἀναπνεῖν,

ortu fuo ambiguitatem. Ait enim illam mulierem neque pulfum neque refpirationem habuiffe, atque hoc folum a mortuis diftitiffe, quod exiguum in mediis corporis partibus calorem haberet; eft autem libri titulus Apnous Heraclidis; ac aftantes medicos quaefiviffe ait, an nondum effet mortua. Rurfus nonnulli Heraclide pofteriores, fervari aliquid refpirationis volentes, quamvis non appareat, carptae lanae flocculos prae naribus fuspendi jubent, ut exacte dignoscatur, num fpiritus aliquis inter refpirandum tum intro tum foras rurfum feratur. Nonnulli poculum aquae plenum ori ventriculi imponere praecipiunt, quippe immotum omnino fervatum iri humorem ajunt, fi tota perierit refpiratio. Quod fi omnes ita affectae mulieres interirent, fimplex effet quaeftio; quum vero nonnullae ferventur, gemina fit, inveftigantibus nobis tum affectionem, ob quam fpirationis munus deperditur, tum vel magis, quomodo vivere poffint, quae nihil omnino refpirant. Nam in confeffo eft et refpirationem a vita et vitam a refpiratione feparari non poffe, adeo

ὥστε καὶ τὸν ζῶντα πάντως ἀναπνεῖν καὶ τὸν ἀναπνέοντα πάντως ζῆν. ἢ τοῦτο χαλεπώτερον; οὐκ ἔστι δ᾽ ὄντως χαλεπώτερον, ἀλλὰ θατέρου φωραθῆναι ῥᾷον, εἴ γε καὶ τὰ φωλεύοντα ζῶα νεκροῖς ὅμοια κατὰ τοὺς φωλεοὺς εἰργμένα, τῆς ἀναπνοῆς οὐδὲν ἀποσώζοντα φαίνεται· τούτου γὰρ ἐγνωσμένου καὶ σαφῶς ἐκείνων ὁρωμένων τῶν ζώων ψυχρῶν, ἀποδεδειγμένου δὲ καὶ τοῦ τὴν μεγίστην χρείαν τῆς ἀναπνοῆς εἶναι σωτηρίαν τῆς ἐμφύτου θερμασίας, δι᾽ ἐμψύξεώς τε καὶ ῥιπίσεως γιγνομένην, οὐδὲν ἔτι δύσκολόν ἐστιν ἐπιλογίσασθαι, τὴν ὑπολειπομένην αὐτοῖς ὀλίγην θερμασίαν φυλάττεσθαι διὰ τοῦ τῶν ἀρτηριῶν τε καὶ τῆς καρδίας ἔργου, καλουμένου δ᾽ ὑπό τινων ἰατρῶν διαπνοῆς, ὥσπερ τοῦ διὰ θώρακός τε καὶ πνεύμονος ἀναπνοῆς. ἐγχωρεῖ τοίνυν ἐπὶ τῆς ὑστερικῆς ἀπνοίας, ἐπειδὴ κατέψυκται τὸ πᾶν σῶμα, φαίνεται γὰρ ἐναργῶς τοῦτο, τὴν μὲν διὰ τοῦ στόματος ἀναπνοὴν μηδόλως γίγνεσθαι, τὴν δὲ διὰ τῶν ἀρτηριῶν γίγνεσθαι· δυνατὸν δὲ καὶ γιγνομένην αὐτὴν ἐλαχίστην λανθάνειν τὴν αἴσθησιν. ἐφεξῆς γοῦν ἡμᾶς διαδέξεται ζήτημα πρὸς τὸ μηδὲν ἔτι τῶν

ut et vivens omnino refpiret et refpirans omnino vivat. An haec *quaeftio* difficilior eft? non tamen revera difficilior, fed altera facilius deprehendi poteft; quippe latebris clufa animalia mortuis fimilia refpirationis nihil fervare videntur. Hoc enim cognito, perfpectisque manifefte illis animalibus frigidis, atque eo demonftrato, quod maximus refpirationis ufus fit ut intimus calor et refrigeratione et ventilatione fervetur, non eft amplius difficile colligere, exiguum illum calorem in ipfis relictum, arteriarum cordisque officio confervari, quae a quibusdam medicis transpiratio, veluti quae a thoracis pulmonisque officio prodit, refpiratio vocatur. Itaque pereunte ob uteri affectum refpiratione, quoniam univerfum corpus refrigeratur, id enim manifefte videtur, fieri poteft, ut nulla prodeat ab ore refpiratio, quamvis ea quae in arteriis fit, nequaquam intercipiatur; poteft etiam adeo effe exigua, ut fenfum omnino effugiat. Ergo ut nihil ad hunc affectum pertinens maneat indifcuffum, fucce-

κατὰ τοῦτο τὸ πάθος ἀπορεῖν, ὑπὸ τίνος αἰτίας ψύχεται τὸ σῶμα. τάχα δ᾽ ἂν εὑρεθείη καὶ τοῦτο τὰς προηγουμένας αἰτίας ἐπισκεψαμένων ἡμῶν οὔσας τοιαύτας. ὡμολόγηται τοῦτο τὸ πάθος γίγνεσθαι ταῖς χηρευούσαις ἐπὶ πολὺ, καὶ μάλισθ᾽ ὅταν ἐν τῷ πρόσθεν χρόνῳ καθαιρόμεναί τε καλῶς καὶ κυϊσκόμεναι, καὶ ταῖς πρὸς τοὺς ἄνδρας συνουσίαις χρώμεναι, στερηθῶσιν ἁπάντων αὐτῶν. τί ἂν οὖν τις ἐκ τούτων ἔχοι συλλογίσασθαι πιθανώτερον τοῦ διὰ τὴν ἐπίσχεσιν τῶν καταμηνίων ἢ τοῦ σπέρματος ἐπιγίγνεσθαι ταῖς γυναιξὶ ταύτας τὰς ὑστερικὰς ὀνομαζομένας διαθέσεις, εἴτ᾽ ἄπνοιαί τινες, εἴτε πνίγες, εἴτε καὶ συνολκαί τινες τύχοιεν οὖσαι; καὶ μᾶλλον ἴσως διὰ τὴν τοῦ σπέρματος ἐπίσχεσιν, ἐπειδὴ τοῦτο μεγάλην τε δύναμιν ἔχει [519] καὶ ταῖς γυναιξὶν ὑγρότερόν τε καὶ ψυχρότερόν ἐστιν, ἀποκρίνεσθαί τε δεῖται ταῖς φύσει πολυσπέρμοις, ὥσπερ καὶ τοῖς ἄῤῥεσι. καὶ γὰρ καὶ τούτων ἔγνωμεν οὐκ ὀλίγην διαφορὰν, ἐνίων μὲν εὐθέως ἀπὸ νεότητος ἐπὶ ταῖς συνουσίαις ἀσθενῶν γιγνομένων, τινῶν δ᾽, εἰ μὴ συνεχῶς χρῷντο, βαρυνομένων τε τὴν κεφαλὴν,

dit iterum alia quaeftio, quam ob caufam corpus refrigeretur. Ea vero fortaffe diffolvi poterit, fi causas quae praeceffe-runt, diligenter intueamur; funt autem hujusmodi. Convenit inter omnes hunc affectum magna ex parte viduis evenire, iisque maxime, quae quum antea probe purgarentur ac parerent, atque virorum concubitu gauderent, omnibus his fuerint privatae. Quid igitur ex hisce probabilius quis concludere poffit quam ob retenta menftrua vel femen cohibitum hujusmodi uterinis vocatis affectibus mulieres cruciari, five eae apnoeae, five fuffocationes, five etiam contractiones quaedam fuerint? et fortaffe magis ob feminis retentionem, utpote quod magnam vim obtineat et in mulieribus humidius ac frigidius fit et excretionem requirat in iis quae multo femine exuberant, ficuti etiam in viris. Etenim non parva eft horum quoque differentia. Sunt enim nonnulli quos protinus a juventute concubitus imbecilliores efficit; alii nifi affidue coeant, capitis gravitate moleftantur, cibos

ἀσωδῶν τε καὶ (315) πυρετωδῶν γιγνομένων, καὶ χεῖρον ὀρεγομένων καὶ ἧττον πεττόντων· ὧν τὸ σῶμα δένδροις ὁ Πλάτων εἴκαζε πολυκαρποτέροις τοῦ συμμέτρου. τοιαύτης γοῦν ἐνίους ὄντας φύσεως, εἶτ' ἐγκρατεῖς ἀφροδισίων χρήσεως ὑπ' αἰσχύνης γενομένους, ναρκώδεις τε καὶ δυσκινήτους ἔγνωμεν ἀποτελεσθέντας· ἐνίους δὲ καὶ σκυθρωποὺς ἀλόγως καὶ δυσέλπιδας, ὁμοίως τοῖς μελαγχολικοῖς, ὀρεχθῆναί τε καὶ πέψαι χείρους. οἶδα δέ τινα διὰ πένθος τῆς γυναικὸς ἀποσχόμενον ἀφροδισίων, οἷς ἔμπροσθεν ἐχρῆτο συνεχῶς, ἀνόρεκτόν τε ἅμα καὶ εἰ προσενέγκοιτο βραχύ τι, μηδὲ τοῦτο πέττειν δυνάμενον· εἰ δὲ καὶ βραχὺ πλείω ποτὲ λάβοι βιασάμενος ἑαυτὸν, εὐθέως ἐμοῦντα δηλονότι, καὶ δυσθυμούμενον οὐκ ἐπὶ τούτοις μόνον, ἀλλὰ καὶ χωρὶς αἰτίας φανερᾶς ὁμοίως τοῖς μελαγχολικοῖς· ᾧ πάντ' ἐπαύσατο τάχιστα τὸ ἐξ ἀρχῆς ἔθος ἀναλαβόντι. τὰ τοιαῦτα γοῦν ἀναλογιζομένῳ μοι κατ' ἐμαυτὸν ἐφαίνετο μείζονα δύναμιν ἔχειν εἰς βλάβην σώματος ἡ τοῦ σπέρματος ἐπίσχεσις τῆς τῶν καταμηνίων, ἐπ' ἐκείνων τῶν σωμάτων, ἐφ' ὧν αὐτό τε φύσει κακοχυμότερόν ἐστι

faftidiunt, ac febribus obnoxii fiunt, atque deterior eft ipfis appetentia et concoctio minor, quorum corpus Plato arboribus immodice fructiferis comparabat. Equidem novi quosdam, quibus hujusmodi erat natura, qui prae pudore a libidinis ufu abftinentes torpidi pigrique facti funt, nonnulli etiam melancholicis fimiles, praeter modum moefti ac timidi, cibi etiam tum cupiditate tum concoctione vitiata. Novi quendam, qui uxoris mortem lugens et a concubitu, quo antea creberrime fuerat ufus, abftinens, cibi appetentiam amiferat atque ne exiguum quidem fi fumpfiffet cibum concoquere poterat, fi quando vero fe ipfum cogendo plus cibi affumpfiffet, protinus fcilicet ad vomitum excitabatur; moeftus etiam apparebat, non folum has ob caufas, fed etiam, ut melancholici folent, citra manifeftam caufam, cui omnia quam celerrime cefſarunt, ad priftinam confuetudinem reverfo. Haec ergo confideranti mihi apud me vifa eft longe major ex retento femine quam menftruis corporis noxa evenire poffe, quibus corporibus ipfum fuapte natura dete-

καὶ πλέον, ὅ τε βίος ἀργότερος, ἥ τε τῶν ἀφροδισίων χρῆσις ἔμπροσθεν μὲν ἱκανῶς πολλὴ, μετὰ ταῦτα δ' ἀθρόα τις ἀποχὴ τῶν πρόσθεν. ἐνενόησα δὲ τούτοις ἔτι τὴν φυσικὴν ἐπιθυμίαν τῆς ἀποκρίσεως αὐτοῦ αἰτίαν εἶναι· βιάζεται γὰρ ἅπαντας ἀνθρώπους, ὅτ' ἂν ᾖ τοιοῦτό τε καὶ πολὺ, πρὸς τὴν ἔκκρισιν αὐτοῦ. Διογένης οὖν ὁ κυνικὸς ὡμολόγηται μὲν ἁπάντων ἀνθρώπων καρτερικώτατος γεγονέναι, πρὸς ἅπαν ἔργον ἐγκρατείας τε καὶ καρτερίας δεόμενον· ἀλλ' ὅμως καὶ οὗτος ἀφροδισίοις ἐχρῆτο, τὴν ὄχλησιν τὴν ἐκ τοῦ κατεχομένου σπέρματος ἀποθέσθαι βουλόμενος, οὐχ ὡς ἐπ' ἀγαθόν τι τὴν ἐζευγμένην αὐτοῦ τῇ κενώσει παραγιγνόμενος ἡδονήν. ἑταίρᾳ γοῦν ποτε συνθέμενος, ὥς φασιν, ὡς πρὸς αὐτὸν ἀφίκηται, βραδυνούσης αὐτῆς, ἀπετρίψατο τὸ σπέρμα προσαπτόμενος τῇ χειρὶ τοῦ αἰδοίου, καὶ μετὰ ταῦτα παραγενομένην ἀπέπεμψεν, εἰπὼν τὴν χεῖρα φθάσαι τὸν ὑμέναιον ᾆσαι. καὶ δῆλον ἐναργῶς ἐστιν, οὐ διὰ τὴν ἡδονὴν ἔρχεσθαι τοὺς σώφρονας ἐπὶ συνουσίαν, ἀλλὰ τὴν ὄχλησιν ἰάσασθαι βουλομένους, ὡς εἰ καὶ χωρὶς ἡδονῆς ἐγίγνετο. κατὰ τοῦτο δ' ἡγοῦμαι

rioris fucci eft ac copiofius, et qui in otio degunt, quique, quum antea nihil ad libidinem reliqui feciffent, affatim continere coeperunt. Perpendi autem in his quoque naturalem excernendi ipfum cupiditatem hujus rei caufam effe; quum enim et tale et tantum fuerit, neminem non ad fui excretionem vi quadam ftimulat. Ita Diogenem Cynicum conftat virum omnium mortalium, quod ad continentiam ac temperantiam pertinet, conftantiffimum fuiffe; libidini tamen et ipfe indulgebat, non a copulata femini, dum effunditur, voluptate veluti bono aliquo illectus, fed ut noxam a retento oborientem evitaret. Eum, ut narrant, meretrix adire pollicita quum diutius tardaret, ipfe manu pudendis admota, femen projecit ac venientem deinde remifit, inquiens, manus hymenaeum celebrando te praevenit. Atque plane conftat modeftos viros non ob voluptatem, fed ut a moleftia praeferventur, libidini indulgere, perinde ac fi nulla effet ei voluptas conjugata. Sic etiam reliqua animalia ad coitum ex-

καὶ τἄλλα ζῶα πρὸς ἀφροδισίων ὁμιλίαν ὁρμᾷν, οὐ δόγμα πεποιημένα τὴν ἡδονὴν ἀγαθὸν ὑπάρχειν, ἀλλ' ἐπὶ τὴν ἀπόκρισιν, ὡς ἀνιῶντος ἐν τῷ κατέχεσθαι τοῦ σπέρματος, ἀφικνούμενα, καθάπερ, οἶμαι, καὶ τὸ ἀποπατεῖν καὶ τὸ οὐρεῖν αὐτοῖς ὑπάρχει φύσει. ἐν ταύταις μού ποτε ταῖς ἐννοίαις ὄντος ἐφάνη τοιόνδε συμβὰν ἐκ πολλοῦ χρόνου χηρευούσῃ γυναικί. κατεχόντων γὰρ αὐτὴν καὶ ἄλλων μέν τινων ὀχληρῶν καὶ νευρικῶν διατάσεων, εἰπούσης δὲ τῆς μαίας ἀνεσπάσθαι τὴν μήτραν, ἔδοξε χρήσασθαι βοηθήμασιν οἷς εἰώθασιν εἰς τὰ τοιαῦτα χρῆσθαι· χρωμένης δ' αὐτῆς, ὑπό τε τῆς αὐτῶν θερμασίας καὶ τῆς κατὰ τὴν θεραπείαν ψαύσεως τῶν γυναικείων τόπων, ἐγένοντο συνολκαὶ μετὰ πόνου τε ἅμα καὶ ἡδονῆς ὅμοιαι ταῖς κατὰ τὰς συνουσίας, ἐφ' αἷς ἐκκριθέντος παχέος τε καὶ πολλοῦ σπέρματος, ἀπηλλάγη τῶν κατεχόντων αὐτὴν ὀχληρῶν ἡ γυνή. διὰ ταῦτα μὲν οὖν ἐφάνη μοι μείζονα δύναμιν [520] ἔχειν εἰς βλάβην τοῦ σώματος ὅλου τὸ κακοχυμότερον σπέρμα τῶν καταμηνίων, ὥστε κἂν ἐκεῖνά ποτε γίγνηται ταῖς χηρευούσαις, ἀλλὰ τήν γε τοῦ σπέρματος ἐποχὴν ἀνιαράν τε ἅμα καὶ βλαβερὰν

citari arbitror, non quod exiftiment voluptatem bonum effe, fed ut femen, quod ob retentionem ipfa moleftat, excernant, ut et dejiciendi ftercoris excernendaeque urinae defiderio natura moveri confueverunt. Cogitanti mihi aliquando fuper hac re tale quoddam fymptoma apparuit in muliere ex longo jam tempore vidua. Quum enim et aliis malis et nervorum quoque diftentione vexaretur, dicente obftetrice uterum effe retractum, remediis ad hujusmodi affectus confuetis uti vifum eft; quibus adhibitis, partim ob ipforum calorem, partim etiam, quod inter curandum manibus tractarentur partes muliebres, oborta titillatione cum labore et voluptate veluti per coitum, excrevit craffum plurimumque femen atque ita a moleftia liberata eft mulier. Proinde mihi vifum eft, vitiato femini majorem quam menftruis effe vim ad laefionem univerfo corpori inferendam; itaque licet haec aliquando profluant viduis, fuppreffum nihilominus fe-

Ed. Chart. VII. [520.] Ed. Baf. III. (315.)

ὑπάρχειν αὐταῖς. ὅσοι δ᾽ οἴονται μεγάλων συμπτωμάτων ἐν ὅλῳ τῷ σώματι γιγνομένων, ἀπίθανον εἶναι, χυμὸν ὀλίγον ἐν ἑνὶ μορίῳ περιεχόμενον αἰτιᾶσθαι, δοκοῦσί μοι λίαν ἀμνήμονες εἶναι τῶν ὁσημέραι γινομένων. ἐπὶ γοῦν τοῖς τῶν φαλαγγίων δήγμασιν ὅλον ὁρᾶται πάσχον τὸ σῶμα, μικροῦ τινος ἰοῦ κατὰ βραχυτάτην ὀπὴν ἐνιεμένου. τὸ δὲ τῶν σκορπίων ἐστὶ θαυμασιώτερον, ὅτι καὶ τὰ συμπτώματα διὰ συντόμων ἐπιφέρουσι σφοδρότατα, καὶ τὸ καταβαλλόμενον ἐγχριμψάντων αὐτῶν ἤτοι παντάπασιν ὀλίγιστον ἢ ὅλως οὐδέν ἐστιν, ἀτρήτου γε τοῦ κέντρου φαινομένου. καὶ μὴν ἀναγκαῖον, οὐχ ἁπλῶς ὅτι νένυκταί τις ὥσπερ ὑπὸ βελόνης, εὐθέως ὅλον τὸ σῶμα χαλάζαις βάλλεσθαι δοκεῖν, ἅμα λειποθυμίαις, ἀλλ᾽ ἤτοι γε πνεύματός τινος, ἢ λεπτῆς ὑγρότητος ἐνιεμένης, εὔλογον γίγνεσθαι ταῦτα. τινὲς δ᾽ ἡγοῦνται καὶ τῷ ψαῦσαι μόνον ἐνίας τῶν οὐσιῶν ἀλλοιοῦν δύνασθαι τὰ πλησιάζοντα, μόνῃ τῇ κατὰ τὴν ποιότητα δυνάμει· ταύτην γὰρ φύσιν κἀπὶ τῶν θαλαττίων ναρκῶν ὁρᾶσθαι, δύναμιν ἰσχυρὰν οὕτως ἔχουσαν, ὡς καὶ διὰ τοῦ τῶν ἁλιέων τριάδοντος

men moleftiam noxamque ipfis inferre. Qui vero arbitrantur non probabile, exiguum fuccum in una parte contentum tantorum fymptomatum univerfo corpori oborientium effe caufam, ii omnino mihi immemores effe videntur eorum quae quotidie contingunt. Etenim a phalangiorum ictibus totum corpus affici videtur, exiguo veneno per minimum foramen injecto. Sed majori admiratione dignus eft fcorpionis ictus, quod et brevi admodum tempore graviffima inferat fymptomata et id quod injicitur, dum ipfe pungit, aut perquam exiguum fit, aut nihil omnino, nullo apparente foramine in ipfius aculeo. Atqui neceffarium eft, non fimpliciter, quia quis perinde ac acu punctus eft, univerfum ftatim corpus veluti grandine percuti videri, animi fimul defectione accedente, fed rationi magis confentaneum eft, vel a fpiritu quodam, vel tenui humiditate injecta, haec evenire. Quidam etiam putant res quasdam folo tactu per qualitatis vim ea quae eis vicina funt alterare poffe, idque plane videri in marina torpedine, ut cui tam vehemens fit facultas, ut per

Ed. Chart. VII. [520.] Ed. Baf. III. (315.)

ἀναδιδομένης τῆς ἀλλοιώσεως εἰς τὴν χεῖρα, ναρκώδη παραχρῆμα πᾶσαν αὐτὴν γίγνεσθαι. ταῦτά τε οὖν ἱκανὰ τεκμήρια τοῦ σμικρὰν οὐσίαν ἀλλοιώσεις μεγίστας ἐργάζεσθαι μόνῳ τῷ ψαῦσαι, καὶ τὸ κατὰ τὴν Ἡρακλείαν λίθον, ἣν καὶ μαγνῆτιν ὀνομάζουσιν, οὐχ ἥκιστα. τοῦ μὲν γὰρ ψαύσαντος αὐτῆς σιδηρίου κρεμαννυμένου χωρὶς δεσμοῦ, δεύτερον ἄλλο τοῦ ψαύσαντος ψαῦον ὁμοίως τῷ πρώτῳ πάλιν ἐξ αὐτοῦ κρεμάννυται, κἄπειτ᾽ ἄλλο τρίτον ἐκ τοῦ δευτέρου. φαινομένου δὴ σαφῶς, ἰσχυροτάτην ἔχειν τὴν δύναμιν ἐνίας τῶν οὐσιῶν, ὑπόλοιπον ἂν εἴη ζητεῖν, εἰ διαφθορά τις ἐν τοῖς ζώοις δύναται γενέσθαι τηλικαύτη τὸ μέγεθος, ὡς ἰῷ θηρίου παραπλησίαν ἔχειν ποιότητά τε καὶ δύναμιν. ἢ καὶ τοῦτο κέκριται πρὸς αὐτῶν τῶν ἰατρῶν, οἵ γε τῶν προβλημάτων ἕν τι πεποίηνται, πότερον ἴδια φαρμακείας ἐστὶ σημεῖα, ἢ οὐκ ἔστιν; καὶ οἵ γε κάλλιστα δοκοῦντες εἰρηκέναι περὶ αὐτοῦ τὰ μὲν αὐτὰ γίγνεσθαι πάθη συγχωροῦσι κατά τε τὰς τῶν θανασίμων φαρμάκων δόσεις καὶ τὰς ἐκ τοῦ σώματος ἡμῶν ὁρμωμένας διαφθοράς· οὐ μὴν ἀδιακρίτους γε τοὺς εἰληφότας φάρμακα ἀπὸ τῶν μὴ λαβόντων ὑπάρχειν·

piscatoris tridentem transmiffa ad manum alteratione, derepente totam reddat torpidam. His argumentis fatis deprehenditur parvae molis res quasdam folo tactu maximas inducere alterationes; quod in heraclio quoque lapide, quem magnetem nominant, videre eft; ferrum enim, quod tetigerit, ei adhaeret fine vinculo; deinde fi aliud id quod primo tangit tetigerit, fimiliter ut primum illi inhaeret; poftea tertium fecundo. Quum igitur plane conftet rebus quibusdam vehementiffimas effe vires, reliquum eft ut inveftigemus an in animantibus corruptio aliqua nasci poffit adeo vehemens, ut veneni animalis venenati tum qualitatem tum vires aequet. An id jam a medicis discuffum eft, qui hanc propofuere quaeftionem, utrum propriae fint notae veneni, necne? Nam qui optime videntur hac de re disputaffe, eosdem fieri affectus concedunt a lethalis veneni potione et a corruptione, quae a corpore ortum habet; discerni tamen poffe eos, qui venenum fumpferunt, ab iis qui aliunde affe-

ὅταν γὰρ εὐχύμῳ τινὶ φύσει, δεδιῃτημένῳ τε κατὰ πάντα τρόπον ὑγιεινῶς ἐξαίφνιδιος γένηται θάνατος, οἷος ἐπί τινι τῶν δηλητηρίων φαρμακων, εἶτα πελιδνὸν, ἢ μέλαν, ἢ ποικίλον, ἢ διαῤῥέον, ἢ σηπεδόνος ἀνιαρᾶς ἀπόζει τὸ σῶμα, φάρμακον εἰληφέναι τοῦτόν φασιν. εἴπερ οὖν συγχωρεῖται τοιαῦτα πάθη καταλαμβάνειν ἡμᾶς ἐξ ἡμῶν αὐτῶν ἔχοντα τὴν ὁρμὴν τῆς γενέσεως, οἷα γίνεται δηλητηρίου φαρμάκου ληφθέντος, οὐδὲν θαυμαστὸν εἰ σπέρμα κακόχυμον, ἢ καταμήνιον ὁμοίως ἔχον, ἐπισχεθέντα καὶ διασαπέντα, συμπτώματα φέρει χαλεπὰ τοῖς παθεῖν ἐπιτηδείως ἔχουσι σώμασιν. μαθεῖν γάρ ἐστι κἀπὶ τῶν κυνῶν, ὅσην ἔχει δύναμιν ἡ πρὸς τὸ παθεῖν ὁτιοῦν ἐπιτηδειότης· οὐδενὸς γοῦν τῶν ἄλλων ζώων ἁλισκομένου λύττῃ, μόνον ἁλίσκεται τοῦτο, καὶ τοσαύτη γε κατὰ αὐτὸ γίγνεται διαφθορὰ τῶν χυμῶν, ὥστε τὸ σίαλον αὐτοῦ μόνον ἀνθρωπίνῳ σώματι προσπεσὸν ἐργάζεται λύτταν. ὡς οὖν ἀπὸ σμικρᾶς ἀρχῆς τῆς κατὰ τὸ σίαλον ποιότητος αὐξανομένη τις ἐν τῷ σώματι διάθεσις, [521] ἡνίκα εἰς ἀξιόλογον ἀφίκηται μέγεθος, ἔγνωσται μῆνας μετὰ ἕξ, ἐνίοτε τῷ

cti funt. Quum enim homo fua natura probis humoribus ac fanorum more educatus derepente moritur, ut affumpto lethali veneno fit, deinde corpus aut livens, aut nigricans, aut varium eft, aut diffluens, aut putredinem moleftam olet, hunc venenum fumpfiffe ajunt. Igitur fi affectibus nos infeftari fateamur, qui ex nobismet ipfis accepto fuae originis impetu, fimiles fint iis, qui perniciofo epoto veneno eveniunt, nihil mirum, fi vitiatum femen, aut menftruum hujusmodi, quum retinentur et putrescunt, corporibus ut afficiantur idoneis gravia inferant fymptomata. Nam facile intelligitur ex canibus, quantam habeat vim afficiendae rei aptitudo; quum enim reliquorum animalium nullum rabie capiatur, folus canis eo affectu corripitur, atque tanta fit in ipfo humorum corruptio, ut fola ejus faliva, fi humanum corpus contigerit, rabiem excitet. Ut igitur ab exiguo initio, falivae qualitate, aucta quaedam in corpore affectio, quando ad magnitudinem notatu dignam pervenerit, discer-

πρόσθεν χρόνῳ μηδὲν ἔχουσα γνώρισμα, κατὰ τὸν αὐτὸν τρόπον ἀπὸ χυμοῦ τινος ἐν τῷ τοῦ ζώου σώματι γενηθέντος μοχθηροῦ κατὰ βραχὺ συμπάσχει τῷ χρόνῳ τῶν κυρίων τι μορίων, (316) ἀφ᾽ ὧν τὸ σύμπαν σῶμα ταχέως ἀλλοιοῦται. ὅτι δὲ τῶν ὑστερικῶν λεγομένων συμπτωμάτων εἰκότως ἐκ παλαιοῦ πεπίστευται κατὰ τὰς μήτρας ἡ οἷον ῥίζωσις εἶναι, τεκμήριον οὐ σμικρόν ἐστι τὸ μόναις ταῖς χηρευούσαις τε καὶ ταῖς τὰς ἐμμήνους καθάρσεις ἐπεχομέναις τὰ τοιαῦτα γίγνεσθαι παθήματα. ὅτι δὲ τούτων αὐτῶν μείζονα δύναμιν εἰς τὴν τῶν ὑστερικῶν συμπτωμάτων γένεσιν ἔχει τὸ σπέρμα κατεχόμενον, ἐλάττονα δὲ τὸ καταμήνιον, ἐκ τῶν ἄνευ χηρείας ἐπεχομένων τὴν κάθαρσιν ἔνεστι μαθεῖν, ἄλλα μέν τινα πασχουσῶν, ἃ μικρὸν ὕστερον εἰρήσεται, μήτε δ᾽ ἀπνοίαις ἐχομένων μήτε σφοδραῖς λειποψυχίαις μήτε τοῖς ἄλλοις ἃ λέλεκται μικρὸν ἔμπροσθεν, ἔτι δὲ κἀκ τοῦ τινὰς τῶν χηρευουσῶν ἀμέμπτως καθαιρομένας, ἢ μὴ πολλῷ ἧττον τοῦ πρόσθεν, ὁμοίως ἁλίσκεσθαι συμπτώμασιν. ὁμολογεῖ δὲ τούτοις καὶ

nitur poſt ſex menſes, quum nonnunquam ante id tempus nulla nota deprehenderetur: ſic eodem modo vitioſo humore in animalis corpore genito, paulatim tractu temporis principum partium aliqua conſentit, a qua univerſum corpus celeriter alteratur. Quod autem a priscis jam inde ſeculis optimo jure creditum fuerit, hyſterica dicta ſymptomata ad uterum tanquam ad radicem pertinere, maximo argumento eſſe poteſt, quod ſolis viduis et iis quibus menſtrua ſupprimuntur, hujusmodi affectus oboriantur. Quod vero ex his ipſis ad hyſtericorum ſymptomatum generationem excitandam retentum ſemen majorem, menſtruum vero minorem vim obtineat, facile intelligitur ex iis mulieribus, quibus citra viduitatem purgationes ſupprimuntur; quamvis enim quibusdam aliis infeſtentur ſymptomatis, quae poſthac dicentur, reſpiratione tamen non privantur, neque animi defectione vehementi, neque aliis quoque ſymptomatis paulo ante dictis laborant; praeterea ex eo quod viduae quaedam, licet recte ut antea, aut paulo minus purgentur, nihilominus ſimilibus corripiantur ſymptomatis. Conſentiunt autem his-

Ed. Chart. VII. [521.] Ed. Baf. III. (316.)

τὰ κατὰ τὴν μήτραν φαινόμενα σημεῖα ταῖς ἁπτομέναις ἀκριβῶς ἰατρίναις· ἐνίοτε μὲν γὰρ ὡς ἀνεσπασμένης ὅλης αὐτῆς, ἐνίοτε δ' ὡς παρεσπασμένης ὁ τράχηλος τοῖς ψαύουσιν ἐγκεκλιμένος φαίνεται. διὸ καί τινες οἷον ζῶόν τι παιδοποιΐας ἐπιθυμητικὸν εἶναι τὴν μήτραν ὑποθέμενοι, στερισκόμενον ὧν ὀρέγεται, παντὶ τῷ σώματι λυμαίνεσθαί φασι. γράφει γοῦν ὁ Πλάτων οὕτως· αἱ δὲ ἐν ταῖς γυναιξὶν μῆτραί τε καὶ ὑστέραι λεγόμεναι δι' αὐτὰ ταῦτα, ζῶον ἐπιθυμητικὸν ἐὸν τῆς παιδοποιΐας, ὅτ' ἂν ἄκαρπον παρὰ τὴν ὥραν χρόνον πολὺν γίνηται, χαλεπῶς ἀγανακτοῦν φέρει, καὶ πλανώμενον πάντῃ κατὰ τὸ σῶμα, τὰς τοῦ πνεύματος διεξόδους ἀποφράττον, ἀναπνεῖν οὐκ ἐῶν, εἰς ἀπορίας τὰς ἐσχάτας ἐμβάλλει καὶ νόσους παντοδαπὰς ἄλλας παρέχει. ταῦτα τοῦ Πλάτωνος εἰπόντος, ἔνιοι προσέθεσαν, ὡς ἐπειδὰν αἱ μῆτραι πλανώμεναι κατὰ τὸ σῶμα τῷ διαφράγματι προσπέσωσιν, ἐμποδίζουσι τὴν ἀναπνοήν· ἔνιοι δὲ πλανᾶσθαι μὲν αὐτὴν ὥσπερ ζῶον οὔ φασιν, ἐπισχεθέντων δὲ τῶν καταμηνίων ξηραινομένην ἀνατρέχειν εἰς τὰ σπλάγχνα, ποθοῦσαν ὑγραν-

ce ea quoque figna, quae circa uterum fentiunt medicae diligenter tangentes; nam cervix uteri tangentibus inclinata videtur, interdum veluti furfum retractus fit totus, interdum autem veluti fit tractus ad latus. Proinde quidam uterum tanquam animal quoddam effe ftatuentes prolis creandae cupidum, privatum his quae concupiscit, univerfo corpori nocere dicunt. Sic igitur fcribit Plato: *Quae pars in mulieribus et uterus et vulva nominatur, quum fit animal prolis generandae cupidum, fi intempeftive diuque infructuofum fuerit, fuccenfens aegre fert, erransque per totum corpus et fpiritus meatum obftruens, refpirareque non finens, in extremam anxietatem dejicit atque multiplices alios morbos excitat.* Haec dicente Platone, quidam addiderunt, uterum, quum ita per corpus errans ad feptum transverfum pervenerit, refpirationem interturbare. Alii errare ipfum velut animal non dicunt, fed ubi fuppreffa funt menftrua, exiccatum ac humectari cupientem ad viscera usque ascen-

θῆναι, κἀπειδάν ποτε κατὰ τὴν ἄνοδον ὁμιλήσῃ τῷ διαφράγματι, στερίσκεσθαι τῆς ἀναπνοῆς τὸ ζῶον. ὅσοι μὲν οὖν ἀγνοοῦσί τε τὰ κατὰ τὰς ἀνατομὰς φαινόμενα, περί τε τῶν φυσικῶν καὶ προαιρετικῶν ἐνεργειῶν οὐδὲν ἐπεσκέψαντο, καίτοι μηδὲν ἀποδεικτικὸν ἀκούοντες ὧν εἶπον, ἐνδέχεσθαι νομίζουσιν εἶναί τι τῶν εἰρημένων ἀληθές· ὅσοι δὲ ἐν ἀμφοτέροις ἐγυμνάσαντο, καθορῶσι καὶ χωρὶς ἐμοῦ τὸ σαθρὸν τοῦ λόγου· εἰ γὰρ καὶ ἀνεσπάσθαί τι φαίνοιτο μέρος τῆς μήτρας, βραχὺ τοῦτ᾽ ἐστὶ καὶ οὐχ ἱκανὸν ἐνδείξασθαι τὸ κύτος ὅλον αὐτῆς οὐδ᾽ ἄχρι τῆς γαστρὸς ἀνεσπάσθαι, μήτιγε καὶ ταύτην ὑπερβᾶσαν ἅψασθαι τῶν φρενῶν που· εἰ δέ περ καὶ ἥπτετο, τί ἂν εἴη τοῦτο πρὸς ἄπνοιαν, ἢ λειποψυχίαν, ἢ τὰς τῶν κώλων συντάσεις, ἢ κάρον παντελῆ; τοῖς γοῦν ὑπερεμπλησθεῖσιν ὁ τῆς γαστρὸς ὄγκος ἐναργῶς φαίνεται θλίβων τὸ διάφραγμα· καὶ διὰ τοῦτο [522] μὲν ἡ ἀναπνοὴ πυκνοῦται, σύμπτωμα δ᾽ οὐδὲν ἄλλο καταλαμβάνει τὸ ζῶον. ἀλλὰ καὶ κατὰ τὰς κυήσεις ἐπεκτεινόμεναι τοῖς κυομένοις αἱ μῆτραι

dere; quum vero ascendendo nonnunquam feptum transverfum contingat, idcirco animal refpiratione privari. Ac ii quidem, qui ignorant ea quae in diffectionibus apparent, quique neque naturales neque voluntarias affectiones unquam confideraverunt, quamvis ea quae jam diximus nulla audiant demonftratione roborari, fieri tamen poffe arbitrantur, ut aliquid ex enarratis verum exiftat; at vero, qui in utrisque fuerint exercitati, hujus rationis infirmitatem etiam me tacente confpiciunt. Nam etiam fi qua pars uteri ascendere videatur, ea perexigua eft, neque fufficit ad hoc, ut totum ipfius fpatium ne ad ventriculum quidem ascendiffe videatur, nedum ut hunc praetereundo ad feptum transverfum pertingere; at etiamfi attingat, quid momenti habebit id, ut refpirationem tollere, aut animi defectionem, aut membrorum contentionem, aut integrum foporem inducere posfit? Etenim impletis, ventriculus intumescens plane videtur feptum transverfum comprimere atque ob hanc rem refpiratio redditur crebrior, fed nullo alio fymptomate animal infeftatur. Sed et praegnantibus uterus foetui coextenfus facit

πυκνοτέραν ἐργάζονται τὴν ἀναπνοὴν, οὐδὲν δ᾽ οὐδ᾽ αὗται βλάπτουσιν ἄλλο. τὸ δὲ καὶ ξηραινομένας αὐτὰς ἀνατρέχειν ἐπὶ τὰ σπλάγχνα ποθούσας ὑγρανθῆναι, παντάπασιν ἄτοπον· εἰ μὲν γὰρ ἁπλῶς ὑγρότητος αἱ μῆτραι δέονταί ποτε, τὴν κύστιν ὁμιλοῦσαν ἔχουσι καὶ τὸ κάτω μέρος ἅπαν τοῦ παχέος ἐντέρου· εἰ δ᾽ οὐχ ἁπλῶς ὑγρότητος, ἀλλ᾽ αἱματικῆς ὑγρότητος, ἐπὶ τὸ ἧπαρ ἐχρῆν αὐτὰς, οὐκ ἐπὶ τὰς φρένας φέρεσθαι. τί δὲ καὶ δέονται προσπίπτειν ἔξωθεν ἄλλοις μορίοις, ἔχουσαι περικείμενον ἑαυταῖς στέγασμα πυκνὸν, ὑμενῶδες ἀμφίεσμα; τὰ γὰρ ἕλκοντα πάντα τὰς ἐξ ἐντέρων ὑγρότητας εἰς ἑαυτὰ διὰ στομάτων παμπόλλων τοῦτο πράττει· πάμπολλα δ᾽ εἰς τὰς μήτρας καθήκει στόματα φλεβῶν, δι᾽ ὧν ἕλκειν ἐκ τῆς κοίλης φλεβὸς αἷμα δυνατὸν ἦν αὐταῖς, ἐκ τοῦ ἥπατος ἐχούσης ἐπιῤῥέον αὐτῇ τὸ αἷμα. τίνα δ᾽ ἂν ὀχετὸν ἕτερον εὕροι τις αἵματος ἐξ ἥπατος εἰς μήτρας φερόμενον ἀξιολογώτερον τοῦδε; διὰ τίνος δ᾽ ὅλως ἄλλου δυνατὸν αὐταῖς ἐξ ἥπατος ἑλκύσαι τι; κἂν εἰ μὴ μέγιστος δ᾽ ἦν ὁ τῆς κοίλης φλεβὸς ὀχετὸς, ἀλλά τοι γ᾽ ἄλλος οὐκ ἔστιν· αὕτη γὰρ

crebriorem refpirationem, fed nihil aliud laedit. Quod autem exiccatus humoris defiderio ad viscera afcendat, id prorrus abfurdum. Si enim fimpliciter aliquando uterus requirat humorem, veficam atque craffi inteftini partem inferiorem totam fibi proximam habet; fi vero non fimpliciter humorem, fed fanguineum humorem defiderat, ad hepar potius quam ad feptum transverfum ipfum moveri oportebat. At vero quid opus eft, ut aliis extrinfecus irruat partibus, quum a denfo tegumento membraneo indumento ipfum ambiente contineatur? nam omnes partes quae ad fefe ab inteftinis humorem trahunt, per ora quamplurima id efficiunt: atqui ad uterum multa admodum venarum ora perveniunt, per quas ex cava vena, cui ex hepate fanguis influit, fanguinem attrahere poteft. Quem vero alium ductum hoc infigniorem quis invenerit, quo ex hepate in uterum fanguis deferatur, aut per quem alium omnino uterus ex jecore quippiam attrahere poffit? At licet hic cavae venae rivus non effet maximus, certe non eft alius; haec enim unica vena partibus fub

μία μόνη φλὲψ τοῖς κάτω τοῦ διαφράγματος ἅπασιν ἐξ ἥπας ὀχετεύει τὸ αἷμα. παντελῶς οὖν ἄτοπος ὁ λόγος αὐτῶν ἐστι, πρὸς τῷ καὶ ζῶον ἐργάζεσθαι τῷ λόγῳ τὴν μήτραν. ἀλλ᾽ εἰ καὶ τοῦτο συγχωρηθείη, λυπηθήσεται μὲν ἀποστερουμένη τῶν ἰδίων ὀρεκτῶν, ἴσως δὲ καὶ ἀτροφήσει, καθάπερ ἔνιοί φασι τοὺς ἐρῶντας φοίνικας πάσχειν, οὐ μὴν οὔτ᾽ ἐπὶ τὰς φρένας οὔτ᾽ ἐπ᾽ ἄλλο τι χωρίον ἀφίξεται· πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ ξηρότατόν ἐστι τῇ κράσει τὸ διάφραγμα, δεῖται δὲ ἡ μήτρα κατὰ τοὺς ξηραίνεσθαι φάσκοντας αὐτὴν ὑγρῶν μορίων κοινωνίας. ἴσως οὖν τις ἡμᾶς ἐρωτήσεται τὴν αἰτίαν, δι᾽ ἣν ἀνεσπασμένη τε καὶ παρεσπασμένη πολλάκις ἡ μήτρα φαίνεται· τοῦτο γὰρ αἱ μαιεύτριαι λέγουσιν, ὥσπέρ γε καὶ ὅτι πολλάκις ἐπὶ τῆς οἰκείας ἕδρας μενούσης αὐτῆς, οὐδὲν ἧττον ἐπιλαμβάνει τὰς γυναῖκας ὑστερικὰ συμπτώματα. πειράσομαι δὴ τούτοις εἰπεῖν τὴν αἰτίαν, ἑπόμενος τοῖς ὑφ᾽ Ἱπποκράτους εἰρημένοις. τὰς γάρ τοι τῶν ὑστερῶν ἐντάσεις αἰτίας γίγνεσθαί φημι τοῦ καὶ τὸν αὐχένα ταῖς ἁπτομέναις μαίαις ἀνεσπάσθαί τε καὶ παρεσπάσθαι φαίνεσθαι·

transverſo ſepto conſtitutis omnibus ex hepate defert ſanguinem. Abſurda igitur omnino eſt illorum ratio, cum hoc, quod uterum eſſe animal hac ratione aſtruant. Sed ſi hoc quoque ipſis concedatur, laedetur uterus, ſi propriis votis privetur, ac fortaſſis alimentis deſtitutus tabescet, quemadmodum amantes palmas affici nonnulli perhibent; verum ob hoc neque ad ſeptum transverſum, neque ad alium quemvis locum perveniet. Nam, ut caetera omittamus, perquam aridum eſt temperamento ſeptum transverſum; at uterus juxta illorum placita, qui ipſum exiccari dicunt, humidarum partium communicatione indiget. Interrogabit ergo fortaſſe nos aliquis, quam ob cauſam ſaepe ſurſum, ſaepe in latus trahi uterus videatur; id enim obſtetrices ajunt, ut et ipſo in ſua ſede ſaepenumero manente, nihilominus mulieres hyſtericis ſymptomatis corripi. Equidem hujus rei cauſam explicare tentabo, ea quae ab Hippocrate dicta ſunt, imitando. Nam uteri tenſiones in cauſa eſſe dico, cur tangentibus obſtetricibus cervix modo ſurſum, modo in latus trahi videa-

συνεσπάσθαι γὰρ ἀναγκαῖόν ἐστι ταῖς μήτραις τὸν αὐχένα. τίς οὖν αἰτία τοῦ τὰς μήτρας ἀνεσπάσθαι τε καὶ παρεσπάσθαι; τοῦτο γὰρ ἔτι λείπει τῷ λόγῳ· τῶν πρὸς αὐτὰς καθηκόντων ἀγγείων ἡ πλήρωσις ἅμα τοῖς ἀρτήμασιν αὐτῶν· ἀπεδείχθη γὰρ ἡμῖν, ἡνίκα τὸν ἀφορισμὸν ἐξηγούμεθα, καθ᾽ ὅν φησι τὸν σπασμὸν ὑπὸ κενώσεώς τε καὶ πληρώσεως γίγνεσθαι, εἰς μὲν τὸ πλάτος τε καὶ τὸ βάθος ἐκτείνειν τὰ τῶν πληρουμένων σώματα, βραχύτερον δ᾽ ἐργάζεσθαι τὸ μῆκος· ὅσον οὖν βραχύτερον γίγνεται, τοσοῦτον ἐπὶ τὴν ἀρχὴν ἀνασπᾶται. καὶ γὰρ οὖν καὶ τοὺς μῦς ὁ Ἐρασίστρατος ἐκ τοῦ πληροῦσθαι πνεύματος εἰς εὖρος ἐπιδιδόντας ἀφαιρεῖν φησι τοῦ μήκους, καὶ διὰ τοῦτ᾽ ἀνεσπάσθαι. πόθεν οὖν ἡ πλήρωσις γίγνεται τῶν τε φλεβῶν καὶ τῶν ἀρτημάτων; ἐκ τῆς ἐπισχέσεως δηλονότι τῶν καταμηνίων. ἀφικνεῖται γὰρ ἄχρι τῆς μήτρας, εἴσω δ᾽ οὐκ εἰσέρχεται τὸ αἷμα, ποτὲ μὲν αὐτὸ παχύτερον ἢ κατὰ τὸ στόμα [523] τῶν ἀγγείων γεγονὸς, ἔστι δὲ ὅτε μυσάντων ἐκείνων· ὥστε ἐν ταῖς φλεψὶ πληθῦνον ἐκείνας τε διατείνειν, διαβρέχειν τε τὰ πλησίον αὐτῶν ἀρτή-

tur; nam fimul cum utero cervicem quoque ipfius retrahi neceffe eft. Quam ob caufam igitur uterus vel furfum vel ad latus retrahitur? hoc enim huic fermoni adhuc deeft. Ob vaforum ad ipfum pervenientium plenitudinem una cum eorum vinculis; etenim oftendimus in enarratione ejus aphorismi, quo inquit: *convulfionem a plenitudine fieri et evacuatione, plenitudinem* corpora repletorum in latum et profundum extendere, fed longitudinem abbreviare; ergo quo efficiuntur breviora, eo magis ad originem retrahuntur. Nam Erafiftratus musculos quoque, fi fpiritu impleantur, in latitudine augeri, in longitudine vero minui atque ob id etiam retrahi dicit. Unde ergo oritur plenitudo tum venarum tum vinculorum? nempe ex menftruorum retentione. Nam pervenit quidem ad uterum fanguis, fed ad interna ipfius ingredi non poteft, aut quia craffior eft quam ut per ora vaforum poffit penetrare, aut quia claufa funt ipfis ora: itaque abundans in venis eas extendit atque vicina ipfis vincula ma-

ματα· τῇ δὲ τούτων τάσει κατὰ τὸ συνεχὲς αἱ μῆτραι συναγασπῶνται. ἐὰν μὲν οὖν ἰσοῤῥόπως ἕλκωνται πανταχόθεν, ἀπαρέγκλιτος αὐτῶν ἡ μετάστασις γίγνεται· ἐὰν δὲ ἑτεροῤῥόπως, πρὸς τὸ μᾶλλον ἕλκον ἐκτείνονται. οὔκουν οὐχ ὡς ζῶον πλανώμενον ἄλλοτ᾽ εἰς ἄλλον ἀφικνεῖται τόπον ἡ μήτρα ταῖς γυναιξὶν, ἀλλ᾽ ὑπὸ συντάσεως ἀνελκομένη. καὶ λέγων ἄν τις αὐτὸ μὲν τὸ σῶμα τῶν ὑστερῶν ἀπαθὲς εἶναι τηνικαῦτα, τὴν διαστροφὴν δὲ πάσχειν αὐτὰς ἑλκο(317)μένας ἄλλοτ᾽ ἀλλαχόσε, προσηκόντως ἐρεῖ. συμβαίνει γὰρ καὶ κατ᾽ ἄλλα μόρια τοῦ σώματος ἡ τοιαύτη φαντασία τῶν παθῶν, ὡς πολλάκις ἐξαπατᾶσθαι τοὺς ἰατροὺς, οἰομένους πεπονθέναι τὸ διεστραμμένον, ἢ καμφθῆναι μὴ δυνάμενον ἢ ἐκταθῆναι. καὶ τοῦτο διδάσκων ὁ Ἱπποκράτης ἐν τῷ περὶ ἄρθρων βιβλίῳ καὶ τῆς κατὰ τὰς μήτρας λεγομένης πλάνης ἐμνημόνευσεν ὧδέ πως γράψας· οἷς δ᾽ ἂν εἰς τοὐπίσω κεφαλὴ μηροῦ ἐκπέσῃ, ὀλίγοισι δ᾽ ἐκπίπτει, οὗτοι ἐκταννύειν οὐ δύνανται τὸ σκέλος, οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν οὔτέ τι κάρτα κατὰ τὴν ἰγνύην· ἀλλ᾽ ἥκιστα τῶν ἐκ παλαιῶν

defacit; ad horum autem extenſionem per continuitatem uterum retrahi neceſſe eſt. Igitur ſi aequaliter undique trahatur, recta erit et ſine inclinatione ipſius transmutatio; ſi vero inaequaliter, ad partem vehementius trahentem extendetur. Non ergo veluti animal errabundum alias ad alium locum discurrit in mulieribus uterus, ſed ab extenſione retrahitur. Quod ſi dixerit quispiam uteri corpus tum non eſſe affectum, ſed perverſione laborare, quum alias aliorſum trahitur, haud abſurda proferet. Nam circa reliquas quoque corporis partes accidit ut hujusmodi appareant affectus, ut ſaepenumero decipiantur medici, qui perverſam partem, quia vel incurvari vel extendi non poſſit, arbitrantur eſſe affectam. Atque hoc docens Hippocrates libro de articulis etiam de uteri vocato errore mentionem fecit, ita ſcribens: *Quibus in poſteriorem partem caput ſemoris exciderit, hoc autem raro ſit, hi crus extendere nequeunt, neque ſecundum luxatum articulum, neque adeo ſecundum poplitem;*

Ed. Chart. VII. [523.] Ed. Baf. III. (317.)

οὗτοι ἐκταννύουσι καὶ τὸ κατὰ βουβῶνα καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. ἐν τούτῳ τῷ λόγῳ, καίτοι μηδέν τι πεπονθὸς τὸ κατὰ τὴν ἰγνύην ἄρθρον, ἐκ τῆς πρὸς τὸ κατὰ τὸν βουβῶνα κοινωνίας ἀδυνατεῖν ἐκτείνεσθαί φησιν. εἶθ' ἑξῆς ἐπιφέρων ἐρεῖ· προσξυνιέναι μὴν καὶ τόδε χρὴ, εὔχρηστον γὰρ καὶ πολλοῦ λόγου ἄξιον καὶ τοὺς πλείστους λήθει, ὅτι οὐδ' ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκταννύειν τὸ ἄρθρον, ἢν μὴ συνεκταννύσωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον, πλὴν εἰ μὴ πάνυ ἄνω αἴρωσιν τὸν πόδα· οὕτως δ' ἂν δύναιντο. οὐ τοίνυν οὐδὲ συγκάμπτειν δύνανται τὸ κατὰ τὴν ἰγνὺν ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτερον, εἰ μὴ συγκάμψωσιν καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον. ταῦτα προειπὼν ἐφεξῆς φησιν· πολλὰ δὲ καὶ ἄλλα κατὰ τὸ σῶμα τοιαύτας ἀδελφίξιας ἔχει, καὶ κατὰ τὰς τῶν νεύρων ξυντάσιας, καὶ κατὰ μυῶν σχήματα, καὶ πλεῖστά τε καὶ πλείστου ἄξια γιγνώσκεσθαι, ἢ ὥς τις οἴεται, καὶ κατὰ τὴν τοῦ ἐντέρου φύσιν καὶ τὴν τῆς ξυμπάσης κοιλίης καὶ τὰς τῶν ὑστερῶν πλάνας τε καὶ ξυντάσιας. ἐν ταύταις ταῖς λέξεσι προῦ-

fed ii minime, quibus ex vetufto idem contigit et inguinis et poplitis articulum extendunt. Hoc fermone quamvis poplitis articulus haudquaquam afficiatur, quia tamen cum inguine communicat, ipfum extendi non poffe ait. Atque deinceps fubjungens inquit: *Sane animadvertere hoc quoque oportet, nam et utile eft, et cujus magna fit habenda ratio, quamvis non paucos lateat, ne fanos quidem extendere poffe poplitis articulum, non extenfo inguinis articulo, nifi furfum admodum levato pede, ita enim poffunt; neque tamen fimiliter, fed longe majori cum difficultate, flectere poffunt poplitis articulum, nifi fimul flectant articulum inguinis.* His dictis deinceps ait: *Multae vero et aliae corporis partes eas habent focietates et fecundum nervorum diftentiones et musculorum figuras; quin etiam plurima notatu fortaffe digniora quam quis putaverit, et fecundum inteftinorum naturam et univerfum ventriculum atque uteri tum errores tum extenfiones.* His verbis Hippocrates de

θετο μὲν εἰπεῖν ὁ Ἱπποκράτης περὶ τοῦ κατὰ τὴν ἰγνύαν ἄρθρου, μὴ δυναμένου κινεῖσθαι κατὰ φύσιν, οὐ τῷ πεπονθέναι τι πάθος ἴδιον, ἀλλὰ τῇ κοινωνίᾳ τῇ πρὸς τὸ κατ᾽ ἰσχίον· ἐμνημόνευσε δὲ καὶ τῶν κατὰ τὴν μήτραν συντάσεων, ὅταν αὕτη μὲν ὅσον ἐφ᾽ ἑαυτῇ μὴ μεθίστηται, τεινομένη δ᾽ ὑπό τινων ἑτέρων ἕπηται τοῖς ἐπισπωμένοις. αἱ μὲν οὖν διαστροφαὶ τῆς μήτρας κατὰ τὸν εἰρημένον τρόπον ἀκολουθοῦσι ταῖς τῶν ἐμμήνων ἐπισχέσεσιν, οὐκ αὐταὶ τῶν περὶ τὸ σῶμα τοῦ ζώου συμπτωμάτων αἰτίαι γιγνόμεναι, κοινὴν δὲ αἰτίαν αὐτῶν κτώμεναι τὸ πλῆθος τῆς ἐπεσχημένης ἐμμήνου καθάρσεως· αἱ δ᾽ ἄνευ τῶν διαστροφῶν ἢ καὶ τῆς ἐπισχέσεως τῶν καταμηνίων ταῖς χηρευούσαις γιγνόμεναι βλάβαι διὰ τὴν ἐπίσχεσιν τοῦ σπέρματος συμβαίνουσι. παρὰ δὲ τὴν ποσότητά τε καὶ ποιότητα τοῦ τε καταμηνίου καὶ τοῦ σπέρματος ἄλλοτ᾽ ἄλλο συμπτώματος εἶδος αὐταῖς γίγνεται. ψύχειν μὲν γὰρ ὅλον τὸ σῶμα δυναμένου τοῦ λυποῦντος αἰτίου, καταψύχονται σφοδρῶς, ὡς μήτ᾽ ἀναπνεῖν αἰσθητῶς μήτε σφύζειν· παχέος δ᾽ ὄντος ἢ δριμέος, οἱ σπασμοὶ γίγνονται·

poplitis articulo dicere propofuerat, qui fecundum naturam moveri non poteft, non ob proprium ipfius affectum, fed ob eam quam cum ifchio habet focietatem; extenfionum autem uteri mentionem fecit, quum ipfe non per fe transmutatur, fed extenditur a quibusdam aliis, quorum attrahentium fequax eft. Igitur uteri perverfiones eo quem diximus modo fuppreffa fequuntur menftrua; neque fymptomatum animalis corpori oborientium caufae ipfae funt, fed communem habent caufam plenitudinem a fuppreffa menftruorum purgatione; quae vero citra perverfionem aut menftruorum retentionem viduas moleftant noxae, hae ob retentum femen accidunt. Atque his pro multitudinis qualitatisve ratione tum menftruorum tum feminis alias aliae fymptomatum fpecies oriuntur. Etenim quum laedens caufa univerfum corpus refrigerare poteft, hae adeo vehementer refrigerantur, ut neque manifefte refpirent, neque pulfum edant; fi vel craffa fuerit vel acris, convulfiones aderunt;

δυσθυμίαι δὲ, ὅταν ᾖ μελαγχολικώτερον· ὥσπέρ γε πάλιν λειποψυχίαι τε τῇ σφοδρότητι τῶν τάσεων ἕπονται καὶ ταῖς καταψύξεσι καὶ ταῖς τοῦ [524] στομάχου κακώσεσιν. εὔδηλον δ᾽ ὅτι τὸ στόμα τῆς γαστρὸς ἐν τοῖς τοιούτοις λόγοις εἰώθαμεν ὀνομάζειν στόμαχον, ὥσπερ κἀν ταῖς στομαχικαῖς συγκοπαῖς ἅπασι τοῖς ἰατροῖς ἔθος ἐστὶν οὕτω χρῆσθαι τῇ προσηγορίᾳ. ὅσα δὲ ταῖς ἐμμήνοις καθάρσεσιν ἐπεχομέναις ἀκολουθεῖ συμπτώματα, καὶ γὰρ καὶ περὶ τούτων ὑπεσχόμην εἰπεῖν τι, νῦν ἤδη δίειμι, τὴν ἀρχὴν ἀφ᾽ ὧν Ἱπποκράτης ἐν ἀφορισμοῖς ἔγραψεν ποιησάμενος, ὧν ἓν καὶ τόδε ἐστίν· ἢν γυνὴ μὴ κύουσα μηδὲ τετοκυῖα γάλα ἔχῃ, τὰ καταμήνια αὐτῆς ἐκλέλοιπεν. ἄνευ δὲ τοῦ γάλα κατὰ τοὺς τιτθοὺς φαίνεσθαι, τῶν καταμηνίων ἐπεσχημένων καὶ τάδε σημεῖα· βάρους μὲν αἴσθησις ἐν ὅλῳ τῷ σώματι, καὶ ἄση, καὶ ἀνορεξία, καὶ ἀνωμαλία φρικώδης· ἐὰν δὲ χωρὶς φρίκης ἀνωμαλία τις ᾖ, καὶ ἄση, καί τινων ἀλλοκότων ἐπιθυμία, σκέψασθαι κέλευσον τὴν μαῖαν ἁψαμένην τοῦ τῆς μήτρας αὐχένος· εἰ γὰρ ἄνευ σκληρότητος μεμυκὼς ᾖ, κυήσεως ταῦτ᾽ ἐστὶ σημεῖα.

moerores vero, fi atra bilis exuberet, quemadmodum animi quoque defectiones, extenfionum vehementiae et refrigerationibus et ftomachi depravationibus fuccedunt. Conftat autem quod in hujusmodi fermonibus os ventriculi ftomachum folemus appellare, ut et omnibus medicis mos eft in fyncope ftomachica hujusmodi uti appellatione. Sed quae fymptomata menftruas purgationes fuppreffas fequuntur, nam de his quoque nonnihil me dicturum pollicitus fum, nunc enarrare aggredior, fumpto initio ab iis quae Hippocrates in aphorismis fcripfit; quorum id unum eft: *Si mulier neque praegnans neque puerpera lac habeat, ipfius menftrua defecerunt.* At nullo in mammis apparente lacte, menftruorum fuppreffforum etiam haec figna funt: gravitatis fenfus in corpore, faftidium, dejecta cibi appetentia, horror inaequalis; quod fi citra horrorem inaequalitas aliqua fuerit, et faftidium et alienorum quorundam cupiditas, jube obftetricem uteri cervicem tangere: nam fi citra duritiem claufa fit, graviditatis

τινὲς δὲ αὐτῶν καὶ τὴν τροφὴν ἐμοῦσιν, ἐσθίουσί τε γῆν, ἢ ἄνθρακας ἐσβεσμένους, ἤ τινα τοιαῦτα. τὸ μέντοι μετὰ σκληρότητος μεμυκὸς στόμα τοῦ τῆς μήτρας αὐχένος πάθος εἶναί τι κατὰ τὴν μήτραν σημαίνει, καὶ χρὴ σκοπεῖσθαι τὴν μαιεύτριαν, ἐς ὅ τι μέρος παρέσπασταί τε καὶ ἀνέσπασται, κατ᾽ ἐκεῖνο γάρ ἐστιν ὁ πεπονθὼς τόπος τῆς ὑστέρας· ἐνίαις δὲ καὶ διασημαίνει τι κατ᾽ ἐκεῖνο τὸ μέρος ἄλγημα μετὰ βάρους, ἔρχεται δὲ καὶ εἰς ἰσχίον τὸ ἄλγημα, καὶ τὸ κατ᾽ εὐθὺ σκέλος αὐτὸ χωλεύει κατὰ τὴν ὁδοιπορίαν. κἂν πολλῷ χρόνῳ τὰ καταμήνια κρυφθῇ, καὶ μηδεμίαν κένωσιν ὁ ἰατρὸς τῇ γυναικὶ προσαγάγῃ, φαίνεταί τις ἐνίοτε κατὰ τὸν κενεῶνα παρὰ φύσιν ὄγκος, ἐνδεικνύμενος διὰ βάθους εἶναί τι φλεγμαῖνον· ἐνίαις δὲ καὶ φυματώδης ὄγκος ἐγείρεται κατὰ τὸ πέρας τοῦ κενεῶνος, οἷοι καὶ τοῖς ἀνδράσι γίγνονται κατὰ τὸ χωρίον τοῦτο, καί τινι διεπύησε καὶ τομῆς ἐδεήθη. κατὰ τοῦτο γοῦν τὸ μέρος καὶ κῶλον οἴδαμεν ἐκπυήσαντά τε καὶ τμηθέντα, ἐνίοτε μὲν ἀγνοούντων ὃ τέμνουσι τῶν ἀπειροτέρων ἰατρῶν, ἔστι δ᾽ ὅτε καὶ γιγνωσκόντων·

haec figna funt. Ex iis etiam nonnullae cibum evomunt, ac terram, aut extinctos carbones, aut quaedam hujusmodi edunt. Si vero cum duritie claufum fuerit os cervicis uteri, affectum aliquem in utero effe fignificat, oportetque obftetricem fpeculari, ad quam partem vel declinet, vel retrahatur, nam in ea parte affecta uteri fedes eft, atque in quibusdam ejus partis dolor cum gravitate apparet; quinetiam in coxam dolor tranfit ac crus ipfum, quod e regione eft, per inceffum claudicat. Quod fi longiori tempore fupprimantur menftrua, nullamque medicus mulieri vacuationem promoveat, tumor aliquis praeter naturam in ilibus interdum exoritur, oftendens ex internis partibus quampiam effe inflammatam; nonnullis panus in extrema ilium parte excitatur, quales tumores viris eodem in loco oriuntur, qui nonnunquam fuppurati fecari debent. Vidimus in hac parte etiam colum fuppuratum fectumque, interdum ignorantibus medicis inexpertis, quid inciderent, interdum intelligentibus quoque.

Ed. Chart. VII. [524.] Ed. Baf. III. (317.)

καὶ πάντ᾽ ἰάθη τὰ οὕτως ἐκπυήσαντα κῶλα ῥαδίως, αἱ δὲ κατὰ τὴν μήτραν τομαὶ δυσχερέστερον εἰς σύμφυσιν ἔρχονται. τοιαῦτα μὲν οὖν ἕπεται συμπτώματα ταῖς τῶν καταμηνίων ἐπισχέσεσι, καὶ χωρὶς τούτων ἀλγήματα κατ᾽ ὀσφῦν καὶ τράχηλον καὶ βρέγμα καὶ τὰς τῶν ὀφθαλμῶν βάσεις, πυρετοί τε καυσώδεις καὶ οὖρα μελαινόμενα μετ᾽ ἐρυθροῦ τινος ἰχῶρος, ὥσπερ εἰ κρεῶν νεοσφαγῶν πλύμασι μίξαις ἀσβόλην· ἔνιαι δὲ καὶ δυσουροῦσι καὶ ἰσχουροῦσι. ὅτ᾽ ἂν οὖν τι τοιοῦτον ἴδῃς ἐπὶ γυναικῶν, ὑπόπτευε κατὰ τὰς μήτρας εἶναι τὴν οἷον ῥίζαν αὐτῶν. ἐὰν δὲ καὶ κατ᾽ ἄλλον τινὰ τόπον τοῦ σώματος ἔκκρισις αἵματος ἢ φλεγμονή τις ᾖ, ἢ ἐρυσίπελας γένηται, πυνθάνεσθαι χρὴ περὶ τῆς ἐμμήνου καθάρσεως· οὐδὲν γὰρ τούτων γίγνεται ταῖς ἀμέμπτως καθαιρομέναις. ταῖς μὲν οὖν ἐπισχέσεσι τῆς ἐμμήνου καθάρσεως τοιαῦτα τοὐπίπαν ἐπιγίγνεται συμπτώματα· ταῖς δ᾽ ἀμέτροις κενώσεσιν ἄχροιαι καὶ ποδῶν οἰδήματα καὶ ὅλον ὕποιδον τὸ σῶμα, καὶ μοχθηρῶς πέττειν τὰ σιτία καὶ φαύλως ὀρέγεσθαι, καὶ πάνθ᾽ ὅσα δι᾽ αἵματος ἄμετρον κένωσιν εἴωθεν

Atque ab hujusmodi tumore fuppurato in colo nemo non facile fanus evafit, uteri vero fectiones majori cum difficultate conglutinantur. Hujusmodi ergo fymptomata fuppreffa menftrua fequuntur ac praeterea lumborum et colli et fincipitis dolor et oculorum bafeos, item febres ardentes et urinae nigricantes cum rubra quadam fanie, perinde ac fi carnium recens mactatarum loturis fuliginem miscueris; quibusdam urina aut difficulter redditur, aut omnino fupprimitur. Quum ergo horum aliquod in muliere confpexeris, uterum veluti radicem ipforum effe conjice. Quod fi per alium etiam quempiam corporis locum fanguis effluxerit, aut inflammatio, aut eryfipelas excitetur, an menftrua purgentur, interrogare debes; fiquidem nihil horum accidit integre purgatis. Igitur fuppreffionem menftruae purgationis hujusmodi plerumque fequuntur fymptomata, immoderatas autem vacuationes decoloratio, pedum oedemata, totum corpus fubtumidum, vitiofa ciborum tum concoctio tum cupiditas et quaecunque ob immoderatam fanguinis vacuationem, five

ἕπεσθαι συμπτώματα, κᾂν ἐξ αἱμοῤῥοΐδος, ἤ τινος ἄλλης αἱμοῤῥαγίας ἡ κένωσις γένηται. καὶ χωρὶς δὲ τοῦ πεπονθέναι τὰς μήτρας ὁ καλούμενος ῥοῦς γυναικεῖος ἔστιν ὅτε συμβαίνει ταῖς γυ[525]ναιξὶν, ὅλου τοῦ σώματος ἐκκαθαιρομένου τε καὶ κενουμένου δι᾽ αὐτῆς, ὥσπερ ἐνίοτε καὶ διὰ νεφρῶν ἐκκενοῦται· καὶ γίγνεται τοῦτο μάλιστα ταῖς ἁπαλοσάρκοις τε καὶ φλεγματώδεσι, ἃς καὶ χωρὶς τοῦ ψαῦσαι τῆς μήτρας ἰασάμεθα διὰ τῶν τοῦ παντὸς σώματος βοηθημάτων. ἔστι δὲ τὸ κενούμενον ἐνίοτε μὲν ἐρυθρὸς ἰχὼρ, ἔστιν ὅτε δ᾽ ὑδατώδης ἢ ὕπωχρος· εἰ δ᾽ αἷμα καθαρὸν ὡς ἐν φλεβοτομίᾳ φαίνοιτο, προσέχειν ἀκριβῶς, μή τις ἀνάβρωσις γέγονεν ἐν τῇ μήτρᾳ· συμ(318)βαίνει δ᾽ ὡς τὸ πολὺ κατὰ τὸν αὐχένα μᾶλλον ἢ ἀλλαχόθι τὰς ἀναβρώσεις αὐταῖς γίγνεσθαι. διαγιγνώσκονται δὲ τοῖς φερομένοις ἰχῶρσιν αἱ βυθιώτεραι, κατὰ δὲ τὸ στόμιον τοῦ αὐχένος οὐ τούτοις μόνον, ἀλλὰ καὶ διὰ τῆς ἁφῆς. ἐκκρίνεται δ᾽ αἷμα καὶ τῶν κυουσῶν ἐνίαις, ἀναστομουμένων τῶν κατὰ τὸν αὐχένα φλεβῶν. εἰ δὲ κυούσης γυναικὸς ἐξαίφνης ἰσχνοὶ γενηθεῖεν οἱ τιτθοὶ, προσδόκα

ex haemorrhoide, five alio quodam fanguinis fluore evenientem, fequi confueverunt fymptomata. Sed accidit interdum foeminis muliebre vocatum profluvium, vel utero haudquaquam affecto, quum univerfum corpus per ipfum expurgatur evacuaturque, quemadmodum interdum per renes quoque evacuatur; id vero potiffimum fit, fi mulieres laxis fint carnibus et pituitofae, quas etiam intacto utero, univerfo corpori adhibitis remediis, fanavimus. Quod autem excernitur, nonnunquam rubra fanies eft, interdum aquofa, aut fubpallida; quod fi purus fuerit fanguis, qualis fecta vena cernitur, diligenter animadvertere oportet, numquae erofio fit in utero; ea vero magna ex parte in cervice potius, quam alibi contingere folet; difcerniturque per excretam faniem, fi fuerit profunda; fi vero circa os cervicis confliterit, non folum per hanc, fed tactu quoque. Atque praegnantes quoque, quum ora venarum in cervice aperiuntur, fanguinem excernunt. Si vero mulieri gravidae mammae fubito exte-

ταύτην ἐκτρώσειν· δίδυμα δὲ κυούσης ὁ ἕτερος τιτθὸς ἰσχνὸς γενόμενος ἐκτρωθήσεσθαι σημαίνει τὸ ἕτερον τῶν ἐμβρύων· καὶ τοὐπίπαν τὸ μὲν ἄῤῥεν ὁ δεξιὸς, τὸ δὲ θῆλυ ὁ ἕτερος, ἐπειδὴ τὰ μὲν ἄῤῥενα τοὐπίπαν ἐν τοῖς δεξιοῖς μέρεσι τῶν μητρῶν κυΐσκεται, τὰ δὲ θήλεα ἐν τοῖς ἀριστεροῖς, καὶ σπάνιόν ἐστι τὸ ἐναντίον, ὡς κἀπὶ τῶν ἄλλων φαίνεται ζώων, οἷς ἡ φύσις ἐστὶ διδυμοτόκος· αἶγές τε γὰρ πολλαὶ καὶ πρόβατα τοιαῦτα καὶ τῶν ἄλλων τετραπόδων ζώων οὐκ ὀλίγα. εἰ δὲ κυΐσκοιτο μὲν ἑτοίμως ἡ γυνὴ, δίμηνον δὲ καὶ τρίμηνον ἢ τετράμηνον ἐκβάλλῃ τὸ κύημα, περὶ τὰς κοτυληδόνας αὐτῇ τῶν μητρῶν ὑγρότης φλεγματώδης ἀθροίζεται, δι' ἣν ἡ τῶν γενομένων ἐν τῷ χορίῳ φλεβῶν τε καὶ ἀρτηριῶν σύμφυσις τοῖς στόμασι τῶν καθηκόντων εἰς τὴν μήτραν ἀγγείων ἄτονός ἐστιν, ὡς μὴ φέρειν τὸ τοῦ κυουμένου βάρος, ἀλλ' ἀποῤῥήγνυσθαι ῥᾳδίως.

Κεφ. στ. Ὥσπερ ὀλίγα τῶν διὰ ἕδρας ἐκκρινομένων σημεῖα τῶν πλησίων αὐτῆς ἐστι τόπων πεπονθότων, τὰ πλεῖστα δ' αὐτῶν τῶν ἐντέρων καὶ τῆς γαστρὸς καὶ τοῦ

nuentur, ipfam abortum facturam expecta. Atque geminos ferentis altera mamma extenuata alterum foetum aborturum portendit, ac omnino dextra marem, finiftra foeminam, quoniam foetus mares in parte uteri dextra ut plurimum feruntur, foeminae in finiftra, atque raro contrarium accidit, ut animalibus quoque, quae fua natura geminos gerunt, accidere videmus, ut capris, ovibus atque aliis quadrupedibus non paucis. Si vero mulier prompte quidem concipiat, fed fecundo, aut tertio, aut quarto impraegnationis menfe foetum ejiciat, circa uteri acetabula humor ei pituitofus accumulatur; quo venarum arteriarumque in chorio tunica exiftentium ad ora vaforum in uterum defcendentium nexus ita debilis fit, ut foetum ob gravitatem ferre nequeat, fed facile abrumpatur.

Cap. VI. Quemadmodum pauca ex iis quae per anum excernuntur vicinorum ipfi locorum affectorum figna funt, plurima vero ex iis inteftinorum et ventriculi et fple-

σπληνὸς καὶ τοῦ ἥπατος, οὐκ ὀλιγάκις δὲ καὶ τῶν ἐν ὅλῳ τῷ σώματί ἐστι χυμῶν γνωρίσματα, κατὰ τὸν αὐτὸν τρόπον ὀλίγα τῶν κατὰ τὸ αἰδοῖον ἐκκρινομένων ἴδιον αὐτοῦ πάθος ἐνδείκνυται, τὰ πολλὰ δὲ κύστεως καὶ νεφρῶν, ἥπατός τε καὶ σπληνὸς, καὶ πνεύμονος καὶ θώρακος, καὶ τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως τῶν χυμῶν ἐστι σημεῖα· διορίζεται δὲ τοῖς ἄλλοις, ἃ συνεδρεύειν εἴπομεν ἑκάστῳ μορίῳ πάσχοντι. τό γε μὴν αἰδοῖον αὐτὸ πεπονθέναι γνωρίσεις ἐκ τῶνδε. τῆς μὲν ἑλκώσεως αὐτοῦ γνώρισμα σαφὲς ἡ ὀδύνη κατ᾽ αὐτὸ γενομένη, μετα τοῦ κατὰ τὰς οὐρήσεις ἐκκρίνεσθαί τι τῶν συνεδρευόντων τῷ ἕλκει. καὶ διακρίνεταί γε ταυτα τῶν ἐκ κύστεως φερομένων τῷ φθάνειν αὐτὰ κατὰ τὴν πρώτην ἔξοδον ἐπιφαίνεσθαι, τὰ δ᾽ ἐκ τῆς κύστεως ἀναμεμίχθαι τοῖς οὔροις· ἀλλὰ καὶ δάκνεται κατὰ τὰς οὐρήσεις συνεχῶς τὰ ἐν τοῖς αἰδοίοις ἕλκη, καὶ μᾶλλον ὅτ᾽ ἂν ἀπολυθείσης ἐφελκίδος, ἢ ῥύπου, καθαρὰ γένηται· πολὺ δὲ μᾶλλον αἵ τε φλεγμοναὶ καὶ τὰ τοιαῦτα χωρὶς σημείου διαγιγνώσκεται. περὶ δὲ γονοῤῥοίας τε καὶ πριαπισμοῦ διελθεῖν ἐπὶ πλέον ἄμεινον. ἡ μὲν οὖν γονόῤῥοια

nis et jecoris atque non raro humorum in univerſo corpore exuperantium notae ſunt; eodem modo pauca earum, quae per colem excernuntur, proprium ipſius affectum oſtendunt, ſed multa veſicae, renum, hepatis, ſplenis, pulmonis, thoracis atque humorum in univerſo corpore affectionis ſigna ſunt; verum haec per alia, quae unicuique parti affectae asſidere diximus, diſtinguuntur. Affectum tamen colem ex his dignosces. Ulceris quidem ipſius manifeſtum indicium dolor eſt ipſum obſidens; tum ſiquid eorum per urinas excernatur, quae ulceri aſſident. Id vero ab eo, quod e veſica fertur, discerni poteſt, quod ipſum in primo protinus exitu apparens urinam praeveniat, quod vero a veſica egreditur, urinae admixtum ſit; quinetiam aſſidue inter mejendum mordacia ſunt pudendorum ulcera, praecipue quum vel cruſtula, vel ſordibus ſolutis, pura fuerint. Multo vero magis et ipſius inflammationes et reliqua hujusmodi citra ſignum dignoscuntur. Verum de gonorrhoea et priapismo fuſius disſerere ſatius fuerit. Ergo gonorrhoea eſt ſeminis excretio

σπέρματος ἀπόκρισίς [526] ἐστιν ἀκούσιος, ἔξεστι δὲ καὶ ἀπροαίρετον ὀνομάζειν, ὥσπερ καὶ σαφέστερον, ἀπόκρισιν σπέρματος συνεχῶς γιγνομένην, χωρὶς τῆς κατὰ τὸ αἰδοῖον ἐντάσεως. ὁ δὲ πριαπισμὸς αὔξησις εἰς μῆκός τε καὶ κύκλον ἐστὶν ὅλου τοῦ αἰδοίου, χωρὶς ἀφροδισίου προθυμίας, ἤ τινος θερμασίας ἐπικτήτου, καθάπερ ἐνίοις γίγνεται καὶ κοιμωμένοις ὑπτίως· οὕτω γὰρ αὐτὸν ὑπετυπώσαντό τινες· ἔνεστι καὶ συντομώτερον, αὔξησιν μόνιμον τοῦ αἰδοίου, ἢ ἐξοίδησιν μόνιμον. ὠνόμασται δὲ παρωνύμως ἀπὸ τοῦ Πριάπου δηλονότι· καὶ γὰρ ἐκεῖνον ὡς φύσει τοιοῦτον ἔχοντα τὸ αἰδοῖον οἱ ἄνθρωποι πλάττουσί τε καὶ γράφουσι. τὸ δὲ τῆς γονοῤῥοίας ὄνομα προφανῶς ἐστι σύνθετον ἔκ τε τῆς γονῆς καὶ τοῦ ῥεῖν· ὀνομάζεται γὰρ τὸ σπέρμα καὶ γονὴ καὶ γόνος. ὥσπερ δὲ καὶ τἄλλα πάντα τὰ ἐκ τοῦ σώματος ἡμῶν ἐκκενούμενα κατὰ διττὸν τρόπον τοῦτο πάσχει, ποτὲ μὲν ἐκ τῶν περιεχόντων αὐτὰ σωμάτων ἐκκρινόμενα, ποτὲ δὲ αὐτομάτως ἐκρέοντα δι᾽ ἀῤῥωστίαν τῶν αὐτῶν σωμάτων οὐ κατεχόμενα, οὕτως καὶ τὸ σπέρμα. τῆς μὲν γὰρ φύσεως ἔργον ἐστὶν ἐπὶ

invita, quam involuntariam quoque nominare licet, quemadmodum fignificantius, feminis affiduam excretionem, cole haudquaquam extenfo. Priapismus vero eft, univerfi colis in longitudinem et circulum porrectio, nullo ftimulante ad libidinem defiderio, aut afcititio calore, ut quibusdam accidere confuevit fupine decumbentibus; fic enim quidam ipfum defcripferunt; at breviori quoque compendio licet, permanentem colis auctionem, aut permanentem tumorem. Deducta vero denominatio eft a Priapo fcilicet; nam illum natura hujusmodi colem habentem fingunt atque pingunt homines. Gonorrhoeae autem nomen plane compofitum eft ex *γονῆς* et *ῥεῖν fluere;* etenim femen modo *γονὴ*, modo *γόνος* nominatur. Quemadmodum autem alia omnia noftro e corpore duobus modis vacuantur, interdum a continentibus ipfa corporibus excreta, interdum fponte effluentia, quod ob imbecillitatem ipforum corporum contineri non poffint, ita etiam femen. Nam in omnibus hujusmodi ut excernere

τῶν τοιούτων ἁπάντων ὥσπερ τὸ ἐκκρίνειν ἐπὶ τοῖς προσήκουσι καιροῖς, οὕτω καὶ τὸ κατέχειν. ἀλλὰ τὸ μὲν ἐκκρίνειν γίγνεται, τοῦ μὲν πόρου τῆς ἐκροῆς ἀνοιγνυμένου, τοῦ δ᾽ ἄλλου κύτους περιστελλομένου τε καὶ ὠθοῦντος ἐπὶ τὸν ἀνεῳγότα πόρον ἅπαν τὸ περιεχόμενον ἐν τῇ κοιλότητι, τὸ δ᾽ ἴσχεσθαι, διαμένοντος μὲν ἐν τῷ κεκλεῖσθαι τοῦ πόρου, μηδεμιᾶς δὲ εἰς τὸ περιεχόμενον ἐκ τοῦ περιέχοντος ὤσεως γιγνομένης, ἀλλὰ τοὐναντίον ἅπαν, περιστολῆς τε καὶ κρατήσεως. οὕτως μὲν ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων αἵ τε ἐκκρίσεις καὶ αἱ κατοχαὶ γίγνονται τῶν περιεχομένων ὑγρῶν ἐν τοῖς κοίλοις ὀργάνοις· ἐπὶ δὲ τῶν παρὰ φύσιν αἱ μὲν ἐποχαὶ δι᾽ ἀῤῥωστίαν τῆς ἐκκριτικῆς δυνάμεως, αἱ δὲ ἐκκρίσεις διὰ τὴν τῆς καθεκτικῆς ἀσθένειαν, ἤ τινα διάθεσιν ὁμοίως τῇ κατὰ φύσιν ἐκκριτικῇ κινοῦσαν τὰ μόρια, καθάπερ ἐπ᾽ αὐτῶν τῶν σπερματικῶν ἐν ἐπιληψίαις τε συμβαίνει καὶ τοῖς ἄλλοις σπασμοῖς, ὁπόταν βιαίως γενηθῶσιν. ὁρῶμεν δὲ καὶ καθ᾽ ἕτερα μόρια τοὺς σπασμοὺς, οἷον χεῖρας ἢ πόδας ἢ δακτύλους, ἐνίοτε μὲν ἅμα τῷ παντὶ σώματι σπωμένῳ γιγνομένους, ἐνίοτε δὲ μόνων

tempeſtive, ita continere, naturae officium eſt. Verum excretio fit, aperto quidem fluxionis meatu, reliquo vero conceptaculo contracto et ad apertum jam meatum quicquid in ſpatio continetur propellente; retentio vero, quum clauſus permanet meatus et contentum a continente haudquaquam propellitur, ſed contra per contractionem comprehenditur et retinetur. Hoc modo contenti in cavis organis humores in iis qui ſecundum naturam ſe habent et excernuntur et retinentur, in illis autem, qui praeter naturam ſe habent, retentio quidem ob excretricis facultatis imbecillitatem, excretio vero ob retentricis facultatis infirmitatem evenit, vel ob affectionem aliquam, quae haud ſecus quam naturalis ipſa excretrix facultas partes moveat, ut in ſeminariis vaſis accidit per comitialem morbum, vel alias convulſiones, quae violenter irruunt. Caeterum videmus alias quoque partes, ut manus aut pedes aut digitos convelli, modo ſimul cum univerſi corporis convulſione, modo ipſis ſolis

πασχόντων· οὐδὲν οὖν ἐστιν ἄλογον, ἐν τοῖς σπερματικοῖς ἀγγείοις ποτὲ μόνοις γίγνεσθαι τοιαύτην διάθεσιν, ὥσπέρ γε καὶ τὴν τῆς γονοῤῥοίας, ἀνάλογον οὔρων ἐκκρίσεσιν ἀκουσίοις, ὅταν ἡ κατέχουσα δύναμις αὐτὴ παραλυθεῖσα τύχῃ. γονόῤῥοια μὲν οὖν, τῶν σπερματικῶν ὀργάνων ἐστὶ πάθος, οὐ τῶν αἰδοίων, οἷς ὁδῷ χρῆται πρὸς ἔκρουν ἡ γονή· ὁ πριαπισμὸς δὲ σαφῶς τοῦ αἰδοίου φαίνεται σύμπτωμα, δυνατὸν δ᾽ ἐστὶ καὶ μηδὲν αὐτοῦ πεπονθότος ἴδιον ἐξαίρετον πάθημα, τῶν ἀρτηριῶν εἶναι μόνον, τοιαύτην ἰσχουσῶν διάθεσιν ἐνίοτε παρὰ φύσιν, ὁποία αὐταῖς συμβαίνει, ὅτε ἡ κατὰ φύσιν ἔντασις ἐγίγνετο τοῦ παντὸς αἰδοίου. ὅτι μὲν γὰρ ὑπὸ πνεύματος ἐξοιδίσκεται, πρόδηλόν ἐστι τεκμαιρομένοις τῷ τάχει τῆς ὀγκώσεώς τε καὶ συστολῆς· ὑγρὸν γὰρ οὐδὲν οὕτω ταχεῖαν ἐφ᾽ ἑκάτερα τὴν μεταβολὴν οἷόν τέ ἐστι ποιεῖσθαι. τούτου δ᾽ οὕτως ἔχοντος, καὶ φαινομένων ἐν ταῖς ἀνατομαῖς ἀρτηριῶν μεγάλων εἰς μικρὸν μόριον τὸ αἰδοῖον ἐμβαλουσῶν, φαινομένης δὲ καὶ τῆς οὐσίας τοῦ αἰδοίου τοιαύτης, ὁποίαν

affectis; proinde haudquaquam abfurdum in feminariis vafis folis aliquando hujusmodi affectionem excitari, quemadmodum et gonorrhoeam, quae invitae urinarum excretioni proportione refpondet, quum retentricem facultatem refolvi contigerit. Igitur gonorrhoea fpermaticorum vaforum affectio eft, non pudendorum, quae feminis genitalis via funt, qua excernatur; priapismus vero plane colis eft fymptoma; fieri poteft etiam, ut nullo praecipuo proprioque ipfum affectu infeftante, ad arterias folas referatur, quae folae interdum hujusmodi habeant praeter naturam affectionem, qualis ipfis accidit, quum fecundum naturam totus colis intenditur. Quod enim a fpiritu in tumorem attollatur, manifefte patet iis, qui ejus tum intumescentis tum fe contrahentis celeritatem perpendunt; nam nullus humor tam fubitam in alterutram partem mutationem efficere poteft. His fic fe habentibus, quum in corporum diffectione magnae videantur arteriae in pudendorum exiguam partem ferri, fitque colis fubftantia talis, qualem in nulla alia parte videre eft, corpus

οὐδὲν ἄλλο μόριον ἔχει, σῶμα γάρ ἐστι νευρῶδες τὴν ἰδέαν, συριγγῶδες ὅλον, χωρὶς τῆς καλουμένης βαλάνου, τί ἂν ἄλλο [527] τις ἐννοῆσαι δύναιτο παρὰ τὸ πληρούμενον ἀτμώδους πνεύματος ἐκ τῶν ἀρτηριῶν ἐπιῤῥέοντος τὸν ἐν ταῖς ἐντάσεσιν ὄγκον ἴσχειν, καὶ διὰ τοῦτο τὴν βάλανον ἶσον ἀεὶ τὸ μέγεθος ἔχειν, ὅτι τὸ συριγγῶδες αὐτῇ νεῦρον οὐκ ἐνυπάρχει; τίς οὖν αἰτία τοῦ κατὰ τὰς ἀφροδισίας ὁρμὰς ἐντείνεσθαι τὸ αἰδοῖον; ἢ τίς καὶ κοιμωμένοις, ὅταν ὕπτιοι κατακείμενοι θερμανθῶσι τὴν ὀσφῦν; εὑρεθείσης γὰρ αὐτῆς, ἐλπίς ἐστι καὶ τὴν τοῦ πριαπισμοῦ διάθεσιν εὑρήσειν ἡμᾶς. ὅτι μὲν γὰρ ἤτοι ἐκ τῶν ἀρτηριῶν, ἢ ἐκ τοῦ συριγγώδους νεύρου, τὴν ἀρχηγὸν αἰτίαν, ἢ καὶ συναμφοτέρου μεταβολήν τινα σχόντος ἐκ τῆς ἔμπροσθεν καταστάσεως, ἀναγκαῖόν ἐστι γίγνεσθαι τὴν πλήρωσιν, ἄντικρυς δῆλον· ἐξ ὁποτέρου δ᾽ αὐτῶν μᾶλλον, ἢ εἰ καὶ (319) ἐξ ἀμφοτέρων, ἐφεξῆς σκοπῶμεν, ἀρχὴν τῷ λόγῳ τήνδε θέμενοι. τὰ μόρια τοῦ σώματος ἡ διαπλάσασά τε καὶ τελειώσασα φύσις εἰργάσατο χωρὶς διδασκαλίας ἐπὶ τὴν οἰκείαν ἐνέργειαν ἔρχεσθαι· καὶ βασανόν γε τούτου μεγίστην ἐποιησάμην ποτὲ θρέψας ἔριφον,

enim nervofum eft atque undecunque fiftulofum, excepta ea parte, quam glandem vocant, quid aliud cogitare quis posfit, quam vaporofo fpiritu ab arteriis affluente, per extenfiones eum in tumorem attolli, ideoque glandem aequalem femper habere magnitudinem, quia fiftulofus in ipfam nervus non ingreditur? Ergo quae caufa eft, cur quum libidinis impetu quis ftimulatur, aut ob fupinum decubitum calefacti funt lumbi, colis extendatur? hac enim inventa, priapismi quoque affectionem inventum nobis iri fperandum. Quod enim neceffario princeps caufa fit plenitudo, vel arteriarum, vel nervi fiftulofi, aut etiam utriusque, quum ex priore conftitutione mutantur, palam conftat; at vero, utrius eorum magis, aut num etiam amborum, deinceps confideremus, hinc fermonis noftri fumpto exordio. Natura corporis partes conformans perficiensque, ut ipfae citra doctrinam proprias actiones aggrederentur, effecit; cujus rei accuratiffimum aliquando fecimus periculum, haedum ita

ἄνευ τοῦ θεάσασθαί ποτε τὴν κυήσασαν. αἶγας γὰρ ἐγκύμονας ἀνατεμὼν ἕνεκα τῶν ἐζητημένων θεωρημάτων τοῖς ἀνατομικοῖς ἀνδράσι περὶ τῆς κατὰ τὸ κυούμενον οἰκονομίας, εὑρών ποτε γενναῖον τὸ ἔμβρυον, ἀπέλυσα μὲν τῆς μήτρας, ὥσπερ εἰώθαμεν· ἁρπάσας δὲ πρὶν θεάσασθαι τὴν κυήσασαν, εἰς οἶκον μέν τινα κομίσας κατέθηκα, πολλὰ μὲν ἔχοντα λεκάνια, τὸ μὲν οἴνου, τὸ δὲ ἐλαίου, τὸ δὲ μέλιτος, τὸ δὲ γάλακτος, ἢ ἄλλου τινὸς ὑγροῦ πλῆρες, οὐκ ὀλίγα δ᾽ ἄλλα τῶν δημητρίων καρπῶν, ὥσπέρ γε καὶ τῶν ἀκροδρύων· ἐθεασάμεθα δὲ τὸ ἔμβρυον ἐκεῖνο πρῶτον μὲν βαδίζον τοῖς ποσὶν, ὥσπερ ἀκηκοὸς ἕνεκα βαδίσεως ἔχειν τὰ σκέλη· δεύτερον δ᾽ ἀποσειόμενον τὴν ἐκ τῆς μήτρας ὑγρότητα· καὶ τρίτον ἐπὶ τούτῳ κνησάμενον ἑνὶ τῶν ποδῶν τὴν πλευράν· εἶτ᾽ ὀσμώμενον εἴδομεν αὐτὸ τῶν κειμένων κατὰ τὸν οἶκον ἑκάστου· ὡς δὲ πάντων ὠσμᾶτο, τοῦ γάλακτος ἀπεῤῥόφησεν, ἐν ᾧ καὶ ἀνεκεκράγαμεν ἅπαντες, ἐναργῶς ὁρῶντες ὅπερ Ἱπποκράτης ἔφη· φύσιες ζώων ἀδίδακτοι. καὶ τοίνυν καὶ ἀνεθρέψαμεν ἐκεῖνο τὸ ἐρίφιον, εἴδομέν τε προσφερόμενον ὕστερον οὐ τὸ

alendo, ut matrem quae ipfum in utero geftaverat, nunquam vidiffet. Quum enim gravidas capras diffecarem, diffectorum virorum quaeftionibus, quibus foetus in utero formationem fpeculantur, promotus, inveni generofum foetum, quem a matre abfolutum, ut folemus, abftuli, priusquam ipfam videret; atque in domum quandam, ubi multae pelves erant, depofui, quarum aliae vini, aliae olei, aliae mellis, aliae lactis, aut alterius cujuspiam humoris erant plenae, fructuum non paucae tum cerealium tum ab arboribus. Hunc itaque haedum confpeximus, in primis quidem pedibus incedentem, perinde ac fi audiviffet fibi inceffus gratia crura fuiffe conceffa; deinde excutientem quam a matre contraxerat humiditatem; tertio poftea pede latus fcalpentem; eum deinde fingula per domum *vafa* olfacere vidimus, ac percepto omnium odore lac tandem forbuit; quibus vifis omnes exclamavimus, quod Hippocrates dixit, manifefte cernentes: *Animalium naturae non edoctae.* Sic ergo haedum hunc educatum non folum lac, fed multa infuper alia, quae forte of-

γάλα μόνον, ἀλλὰ καὶ ἄλλα τινὰ τῶν κειμένων. ὄντος δὲ τοῦ καιροῦ, καθ' ὃν ἐξηρέθη τῆς μητρὸς ὁ ἔριφος, ἐγγὺς τῆς ἠρινῆς ἰσημερίας, μετὰ δύο που μῆνας εἰσεκομισάμην αὐτῷ μαλακοὺς ἀκρέμονας θάμνων τε καὶ φυτῶν, ὧν πάλιν καὶ αὐτῶν ὀσμησάμενος ἁπάντων ἐνίων μὲν εὐθέως ἀπέστη, τινῶν δὲ ἠξίωσε γεύσασθαι, καὶ γευσάμενος ἐπὶ τὴν ἐδωδὴν ἐτράπετο τῶν καὶ ταῖς μεγάλαις αἰξὶ συνηθῶν ἐδεσμάτων. ἀλλὰ τοῦτο μὲν ἴσως μικρὸν, ἐκεῖνο δὲ μέγα· τὰ γὰρ φύλλα καὶ τοὺς μαλακοὺς ἀκρέμονας ἀποφαγὼν κατέπιεν, εἶτ' ὀλίγον ὕστερον ἐπὶ τὸ μηρυκάζειν ἧκεν, ὃ πάλιν οἱ θεασάμενοι πάντες ἀνεβόησαν, ἐκπλαγέντες ἐπὶ ταῖς φυσικαῖς τῶν ζώων δυνάμεσι· μέγα μὲν γὰρ ἦν καὶ τὸ πεινῆσαν διά τε τοῦ στόματος καὶ τῶν ὀδόντων προσφέρεσθαι τὴν ἐδωδὴν, ἀλλ' ὅτι τὸ καταποθὲν εἰς τὴν γαστέρα, πρῶτον μὲν ἀναφέρειν εἰς τὸ στόμα προσῆκεν, ἔπειτα λεαίνειν ἐν αὐτῷ μασσώμενον ἐν χρόνῳ πολλῷ, καὶ μετὰ ταῦτα καταπίνειν μηκέτι εἰς τὴν αὐτὴν κοιλίαν, ἀλλ' εἰς ἑτέραν, ἱκανῶς ἡμῖν ἐφαίνετο θαυμάσιον εἶναι. παρορῶσι δ' οἱ πολλοὶ τὰ τοιαῦτα τῆς φύσεως ἔργα, μόνα τὰ ξένα θεάματα θαυμάζοντες.

ferebantur, comeffe poftea vidimus. At quia non longe aberat vernum aequinoctium, quum eriperetur haedus a matre, exactis duobus fere menfibus, tenellos ei fruticum et plantarum ramos obtuli, quorum iterum omnium expertus odorem alios quidem contempfit, alios vero guftavit atque fic ad confuetos adultarum quoque caprarum cibos converfus eft. Sed hoc fortaffe parvi momenti eft, illud vero magni, quod foliis et teneris ramusculis devoratis bibit, tum paulo poft ruminare coepit; quod rurfus omnes videntes exclamaverunt, naturales animalium facultates admirati. Magnum enim erat, quod impellente fame, per os atque dentes cibum affumpfiffet; at illud vehementius admirati fumus, quod cibum in ventriculo jam contentum in primis quidem ad os fublevando reduceret, deinde multo tempore mandendo tereret, poftremo rurfus ipfum devoraret, non in eundem, fed in alium ventriculum. At multi hujusmodi naturae munera defpiciunt, fola peregrina fpectacula admirantes;

ἐπεί τοι πῶς οὐ θαυμαστὸν τὸ τοὺς μὲν ἀνατομικωτάτους τῶν ἰατρῶν ζητεῖν, ὑπὸ τίνος μὲν μυὸς ἐκτείνεται τόδε τὸ ἄρθρον, οἷον φέρε τὸ κατ᾽ ἰσχίον, ὑπὸ τίνος δὲ κάμπτεται, τίνες δ᾽ εἰσὶν οἱ ἐφ᾽ ἑκάτερα πρὸς τὸ πλά[528]γιον ἀπάγοντες αὐτὸ, καὶ τίνες οἱ περιστρέφοντες ἑκατέρωσε· τὸ δ᾽ ἐρίφιον ἣν ἂν ἐθελήσῃ κίνησιν ἑκάστης διαρθρώσεως εὐθέως ἐργάζεσθαι, καθάπερ γε καὶ τοὺς ἀνθρώπους αὐτοὺς, καίτοι γ᾽ ἀγνοοῦντας ὑπὸ τίνος μυὸς ἑκάστη γίνεται κίνησις; ἐπὶ γοῦν τῆς κατὰ τὴν γλῶτταν κινήσεως, ἵν᾽ ὡς ἐν παραδείγματι ταύτης μνημονεύσω, πῶς οὐκ ἄν τις θαυμάσειεν τοὺς μὲν ἀνατομικοὺς διαφωνοῦντας ἀλλήλοις εὑρὼν οὐ μόνον περὶ τὸν ἀριθμὸν τῶν μυῶν, ἀλλὰ καὶ περὶ τὰς ἐνεργείας αὐτῶν, τὴν δὲ φύσιν εὑρὼν τὰ παιδία δεδιδαχυῖαν, ὅπως μὲν μιμήσηται τήνδε τὴν φωνὴν, ἤ τινα τῶν ἄλλων, ὅπως δὲ τὴν γλῶτταν κινήσηται, καὶ διὰ τίνων μυῶν ἐργάσηται τὴν αὐτὴν φωνήν; οὕτω δὲ καὶ περὶ πάσης τῆς ἄλλων φωνῆς τε καὶ ἀναπνοῆς, καὶ συνελόντι φάναι τῶν προαιρετικῶν ἐνεργειῶν θαυμάσειεν ἄν τις τὸ τῶν ὀργάνων αὐτοδίδακτον. οὐ μικρᾶς οὖν οὐδὲ

quanquam quis non miretur, medicos in fecandis corporibus peritiffimos quaerere, a quo musculo articulus hic extendatur, exempli gratia coxae, aut a quo incurvetur, aut qui fint qui ipfum in utramque partem transverfum abducunt, aut qui ipfum utroque circumvolvunt, haedum vero fingulos articulos ad quamcunque motionem libitum fuerit excitare, quemadmodum et homines ipfos, quamvis a quo musculo quisque motus efficiatur non intelligant? Sed de linguae motione, ut hanc pro exemplo adducamus, quis non mirabitur, diffectores inter fe non folum de musculorum numero, fed de ipforum etiam actione pugnantes videns, a natura vero infantes edoctos, quo pacto hanc vocem aut aliam hujusmodi imitentur, quo pacto etiam linguam moveant, aut quibus musculis vocem eandem efficiant? Sic etiam in omni reliquorum animalium tum voce tum refpiratione atque, ut fummatim dicamus, voluntariis actionibus mirabitur quispiam per fe nullo docente inftructa inftrumenta; de quibus

Ed. Chart. VII. [528.] Ed. Baf. III. (319.)

περὶ τούτων τῶν ἐνεργειῶν, διαφωνίας γεγονυίας τοῖς ἀνατομικοῖς ἀνδράσιν, ὅπως τε γίγνονται καὶ δι᾽ ὧν τινων ὀργάνων, ὅμως ἀναπνεῖ καὶ φωνεῖ πάντα τὰ ζῶα μετὰ τὴν πρώτην γένεσιν εὐθέως. οὐδὲν οὖν θαυμαστόν ἐστι καὶ τὰ γεννητικὰ μόρια τὰς ἐνεργείας ὧν χάριν ὑπὸ τῆς φύσεως ἐγίγνετο γιγνώσκειν εὐθέως ἐξ ἀρχῆς, ἐπεὶ κατὰ τί συλλαβοῦσα μὲν ἡ μήτρα τὸ σπέρμα μέμυκεν ἀκριβῶς ἄχρι τοῦ τελειωθῆναι τὸ ἔμβρυον, ἀνοίγνυσι δὲ ἐπὶ πλεῖστον, αὐτοῦ τελειωθέντος, ἀνοίξασά τε δι᾽ αὐτὸ τοῦτο τὸ ἔμβρυον ἐκκρίνει; καταφρονεῖται δὲ καὶ ταῦτα τῷ συνεχεῖ τῆς θέας, καὶ παρορᾶται τοῖς πολλοῖς, ὡς τὸ μηδὲν εἰθικόσι θαυμάζειν, οὐ τὰ θαυμαστὰ κατ᾽ ἀλήθειαν, ἀλλὰ τὰ σπανίως αὐτοῖς ὁρώμενα. τί γὰρ ἂν εἴη τῇ φύσει θαυμασιώτερον τοῦ μησὶν μὲν ὅλοις ἐννέα μεμυκέναι τὸ τῆς μήτρας στόμιον οὕτως ἀκριβῶς, ὡς μηδὲ πυρῆνα μήλης παραδέχεσθαι, τελειωθέντος δὲ τοῦ κυϊσκομένου διάστασιν ἴσχειν τηλικαύτην, ὡς ὅλον τὸ ζῶον ἐξέρχεσθαι δι᾽ αὐτοῦ; οὔκουν ἀπιστεῖ τις αὐτοδίδακτον εἶναι καὶ τὴν τῶν αἰδοίων δύναμιν, ὥστε τὸ συριγγῶδες ἐκεῖνο

quidem actionibus non mediocris inter diffectores eft pugna, quomodo fiant et quibus organis omnia animalia fimul atque genita funt et refpirent et vocem edant. Igitur non mirum eft genitales partes eas actiones, quarum gratia a natura inftitutae funt, protinus ab initio cognoscere. Etenim quamobrem uterus, quum femen genitale conceperit, donec perfectus fuerit foetus, exacte claufus permanet, perfecto vero foetu, plurimum aperitur ac deinde fic apertus foetum excludit? Multi autem haec quod affidue confpiciantur, et contemnunt et defpiciunt, ut qui nihil, quod re vera fit admirabile, fed ea duntaxat, quae raro vident, admirari confueverunt. Quid enim natura poteft effe admirabilius, quam quod novem perpetuis menfibus claudatur os uteri adeo exacte, ut ne fpecilli quidem acumen admittat, perfecto autem foetu, usque adeo diftendatur, ut totum animal per ipfum egrediatur? Ne igitur dubitet aliquis etiam pudendorum facultatem per fe doctam effe, ut fiftulofum illud nervofum-

σῶμα, τὸ νευρῶδες τὴν ἰδέαν, ὅτ᾽ ἂν ἐπὶ συνουσίαν ὁρμήσῃ τὸ ζῶον, εὐθέως διΐστασθαι, φυσικὴν ἔχον τὴν διαστέλλουσαν αὐτὸ δύναμιν, ὥσπερ ἡ καρδία τε καὶ ἀρτηρία, πλὴν ὅτι διὰ παντὸς ἐκεῖνα μὲν κινεῖται, διότι καὶ τῆς ἐνεργείας αὐτῶν ἀεὶ χρήζομεν, οὐ διὰ παντὸς δὲ τὸ συριγγῶδες νεῦρον κινεῖται, ἀλλ᾽ ὅταν ἡ χρεία καλῇ· διαστελλομένου δὲ αὐτοῦ, τὸ ἐκ τῶν ἀρτηριῶν ἕπεται πνεῦμα, καθάπερ ὁ πνεύμων τῷ θώρακι, τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ. δύναιτο δ᾽ ἄν τις ἴσως καὶ ταῖς ἀρτηρίαις ἀνατιθέναι τὴν δύναμιν τοῦ πληροῦντος πνεύματος τὸ συριγγῶδες νεῦρον, ὅτ᾽ ἂν ὁρμήσῃ τὸ ζῶον ἐπὶ συνουσίαν· ἄμεινον δὲ πολὺ τοῦ νεύρου φάναι τὴν ἐνέργειαν εἶναι ταύτην, οὐ τῶν ἀρτηριῶν, εἴ γε τὰς ἐνεργείας ἐκ τῆς τῶν μορίων οἰκείας οὐσίας, οὐκ ἐκ τῆς θέσεως εὔλογόν ἐστι γίγνεσθαι, καὶ τήν τε καρδίαν, εἰ καὶ κατ᾽ ἄλλο τι μέρος ἔκειτο, τὴν αὐτὴν ἐνέργειαν ἔχειν, ἧπάρ τε καὶ σπλῆνα, καὶ τὰ ἄλλα πάντα. καὶ τὰς ἀρτηρίας οὖν ἐν ἅπαντι μορίῳ τοῦ σώματος εὔλογόν ἐστι τὴν αὐτὴν ἐνέργειαν ἔχειν, ὥσπερ καὶ φαίνονται· καθ᾽ ἕνα γέ τοι καιρὸν αἱ καθ᾽ ὅλον τὸ ζῶον ἀρτηρίαι διαστέλλονται παραπλησίως ἀλλήλαις· ὥστ᾽ οὐκ εἰκός ἐστι,

que corpus, ubi ad coitum infurgit animal, protinus diftendatur, naturali quae ipfum dilatet praeditum facultate, quemadmodum cor et arteria; nifi quod haec perpetuo moventur, quod neceffaria fit nobis femper eorum actio, fiftulofus vero nervus non femper movetur, fed quum ufus requirit. Quum vero diftenditur, fequitur ex arteriis fpiritus, quemadmodum *fequitur* pulmo thoracem, vacuati confecutione. Verum poffet etiam fortaffe replentis fiftulofum nervum fpiritus facultas, quum ad coitum irrumpit animal, ad arterias referri; at multo fatius eft, hujusmodi actionem ad nervum, non ad arterias referre, fi quidem actiones ex propria partium fubftantia, non ex earum fitu provenire rationi confonum eft, et cor, fi in alia quapiam parte poneretur, nihilominus actionem fuam obtenturum et jecur et lienem ac reliqua omnia. Univerfi igitur corporis arterias eandem habere actionem probabile eft, quemadmodum et apparent; eodem nempe tempore omnes totius animalis arteriae inter fefe fimiliter dilatantur. Itaque haud par eft, arterias pu-

τὰς εἰς τὸ αἰδοῖον ἐμφυομένας ἀρτηρίας ἄλλην τινὰ δύναμιν ἐπικτᾶσθαι παρὰ τὴν ἐν ὅλῳ τῷ σώματι προϋπάρχουσαν αὐταῖς, ἀλλ' εὐρύτερα ἔχειν τὰ στόματα τῶν ἄλλων ἀρτηριῶν εὔλογον, εἰς τάχος τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας παρεσκευασμένας, ἀεὶ γὰρ ἡ φύσις φαίνεται τὸ χρήσιμον ἑκάστῃ τῶν ἐνεργειῶν πανταχόθεν ἐκπληροῦσα, [529] δύναμιν δὲ ἐνεργείας ἐξαίρετον οὐδεμίαν ἴσχειν ἑτέραν, ὅταν εἰς τὸ αἰδοῖον ἀφίκωνται· θερμανθείσης μέντοι τῆς ὀσφύος, εὔλογόν ἐστι θερμοτέρας τε γίγνεσθαι τὰς ἀρτηρίας ἀναστομοῦσθαί τε μᾶλλον, ὥστε καὶ κατὰ τοῦτο προχεῖν πνεύματος οὐκ ὀλίγην οὐσίαν εἰς τὸ συριγγῶδες νεῦρον, ὑφ' οὗ κατ' ὀλίγον πληρούμενον ἐντείνεται τὸ αἰδοῖον, ὡς ἂν ὅλης τῆς οὐσίας αὐτοῦ κατὰ τὸ συριγγῶδες ὑπαρχούσης νεῦρον. τούτων ἡμῖν ἐγνωσμένων, ἐπὶ τὴν τοῦ πριαπισμοῦ διάθεσιν ἔλθωμεν. ὅτι μὲν γὰρ ἤτοι κατὰ τὰ στόματα τῶν ἀρτηριῶν εὐρυνόμενα γίγνεται τὸ πάθος, ἢ κατὰ τὸ συριγγῶδες νεῦρον ἀτμῶδες πνεῦμα γεννῆσαν, ἐκ τῶν προεγνωσμένων φαίνεται· πότερον δ' αὐτῶν μᾶλλον ἄν τις (320) αἰτιάσαιτο, ζητητέον. ἐμοὶ δὴ δοκεῖ κατ' ἀμφότερα μὲν γίγνεσθαι, πλεονάκις δὲ τοῖς τῶν ἀρτηριῶν

dendis innatas aliam aliquam habere facultatem, praeter eam quam in toto corpore habent, ſed rationi conſonum eſt eas latiora quam reliquas arterias ora ſortiri, ad celeritatem ſequelae ad id quod evacuatur parata, ſemper enim natura videtur unicuique actioni id quod utile eſt undequaque explere, caeterum nullam aliam inſuper praecipuam habere actionis facultatem, quum ad pudendum pervenerint. At calefactis lumbis par eſt ut et arteriae calidiores reddantur et magis pateant ipſarum ora; quamobrem non exiguam tunc ſpiritus ſubſtantiam in fiſtuloſum nervum effundant, qui paulatim impletum colem intendit, quod tota ipſius ſubſtantia in fiſtuloſo nervo conſiſtat. His itaque nobis cognitis ad priapismi affectionem veniamus. Nam ex prius dictis conſtat vel ob arteriarum ora immodice patentia, vel flatulentum ſpiritum in fiſtuloſo nervo ortum, hunc fieri affectum; ſed utrum potius pro cauſa ſit habendum, inquirere oportet. Certe ab utriſque mihi videtur, crebrius tamen arteriarum

στόμασιν εὐρυνομένοις ἕπεσθαι· ῥᾷον γὰρ εὐρυνθῆναι ταῦτα τοῦ πνεῦμα φυσῶδες ἐν τῷ συριγγώδει νεύρῳ γεννηθῆναι· καί μοι δοκῶ τὴν μὲν κατὰ τὸ νεῦρον διάθεσιν ἅπαξ ἑωρακέναι, τὴν δὲ τῶν ἀρτηριῶν πολλάκις· ἐτεκμηράμην δὲ τοῦτο τοῖς τε προηγησαμένοις συμπτώμασι καὶ τῷ τρόπῳ τῆς θεραπείας. ᾧ μὲν γὰρ οἱ παλμοὶ τοῦ αἰδοίου συνεχεῖς προηγοῦντο, πνεῦμα φυσῶδες ἦν αἴτιον, καὶ πρὸς τοῦτο τὴν θεραπείαν ἅπασαν ἁρμοσάμενος ἰασάμην τὸν ἄνθρωπον· οἷς δὲ τὰ στόματα τῶν ἀρτηριῶν ηὐρύνθη, τοιοῦτον μὲν οὐδὲν προηγεῖτο σύμπτωμα, συμβεβήκει δὲ τῷ μέν τινι πολλῷ χρόνῳ παρὰ τὸ ἔθος ἀφροδισίων ἀπέχεσθαι, τῷ δὲ κακοχύμων ἐδεσμάτων καὶ δριμέων ἐδωδῇ κεχρῆσθαι, τῷ δέ τινι ζώνῃ καθ' ὁδοιπορίαν δυοῖν μηνῶν, ἀήθει ζώνης ὄντι. τὴν οὖν ἀναστόμωσιν τῶν ἀρτηριῶν ἐτεκμηράμεθα τοῖς μὲν διὰ τὴν ἐκ τῆς κακοχυμίας δριμύτητα γεγονέναι, τοῖς δὲ διὰ πνεύματος φυσώδους γένεσιν ἀτάκτως τε καὶ βιαίως κινουμένου. καὶ γάρ τοι καὶ τὰ φάρμακα τὰ τῶν αἰδοίων ἐντατικὰ, τά τε πινόμενα καὶ τὰ κατὰ τοῦ περιναίου καὶ τῆς ὀσφύος ἐπιβαλλό-

ora patentia fequi, nam facilius eft haec dilatari quam flatulentum fpiritum in nervo fiftulofo generari. Ac mihi videor hujusmodi quidem nervi affectionem femel vidiffe, arteriarum vero faepenumero, cujus rei conjecturam feci tum ex iis quae praecefferunt fymptomatis tum ex modo curationis. In illo enim, cui affidua colis palpitatio praecefferat, caufa erat fpiritus flatulentus, ad quem quum omnem curationem convertiffem, hominem fanavi; quibus vero *fupra modum* arteriarum ora patebant, iis nullum hujusmodi fymptoma praecedebat, acciderat autem cuidam, ut longo tempore praeter confuetudinem a concubitu abftineret; alteri vero, ut mali fucci alimentis acribusque uteretur, alii etiam ut duobus menfibus praecinctus proficifceretur, quum antea cingi non confueviffet. Conjecimus itaque arteriarum ora nimis patefacta, illis quidem ob humorum vitia et acrimoniam, his vero flatulentum fpiritum fine ordine et violenter commotum. Etenim medicamenta excitandae tentiginis vim obtinentia, tum epota tum etiam perinaeo lumbisque ad-

μενα θερμὰ καὶ πνευματώδη πάντ᾽ ἐστί· ὥσπερ αὖ τὰ ἐναντία πάντα ἄφυσα καὶ ψύχοντα μᾶλλον ἢ θερμαίνοντα. προσέχειν δὲ χρὴ τῷ λόγῳ μὴ παρατρέχοντα· φάρμακα γὰρ εἶπον, οὐκ ἐδέσματα, διότι τῶν ἐδεσμάτων ἔνια μὲν γεννητικὰ πολλοῦ σπέρματος ὄντα, κατὰ τοῦτο καὶ τὰς εἰς τὴν λαγνείαν ὁρμὰς παροξύνει. ταῦτα μὲν οὖν μαρτυρεῖ τῷ λόγῳ, καθ᾽ ὃν ἀρτίως ἐλέγετο καὶ τοὺς τῶν ἀφροδισίων ἀποσχομένους ἐνίοτε τοῖς πριαπισμοῖς ἁλίσκεσθαι· συμβαίνει γὰρ τοῦτο τοῖς πολυσπέρμοις τε ἅμα καὶ παρὰ τὸ ἔθος ἀποσχομένοις, ὅτ᾽ ἂν μὴ διαπονῶσι πλήθει γυμνασίων τὴν περιουσίαν τοῦ αἵματος, καὶ μάλιστα ἐξ αὐτῶν ὅσοι τῆς μὲν τῶν ἀφροδισίων ἐννοίας οὐκ ἀπλλάγησαν, ὥσπερ οἱ σωφρονικοί τε φύσει καὶ χρόνῳ πλέονι τὴν τοιαύτην ἐγκράτειαν ἀσκήσαντες, εἰς φαντασίαν δ᾽ αὐτῶν ἀφικνούμενοι, διά τε θεαμάτων ἐξορμᾷν αὐτοὺς δυναμένων καὶ δι᾽ ἀναμνήσεως αὐτῶν· ἐναντιωτάτη γὰρ ἡ τούτων τῶν ἀνθρώπων διάθεσις ἐν τοῖς αἰδοίοις γίγνεται τῇ τῶν οὐδ᾽ ὅλως εἰς ἔννοιαν ἀφροδισίων ἐρχομένων. καί τινι

mota, calida omnia atque flatulenta ſunt; quemadmodum contraria omnia flatus ſedant et refrigerant potius quam calefaciunt. Sed adverte, nec obiter hunc ſermonem praetercurre; nam medicamenta, non cibos dixi, quoniam ſunt quaedam alimenta, quae plurimum ſeminis pariunt et ideo impetum ad libidinem excitant. Haec ergo ſermonem illum quem nuper dicebamus, probabiliorem reddunt, quod a concubitu abſtinentes interdum priapismis corripiantur; nam id accidit iis, qui plurimo ſemine abundant, ſimulque praeter conſuetudinem a coitu abſtinent, quum laboribus et exercitationum multitudine ſanguinis abundantiam non abſumunt, atque ex iis praecipue, quicunque a libidinis quidem cogitatione liberi non evaſerunt (quemadmodum qui et natura caſti ſunt et longo tempore in ejusmodi continentia ſeſe exercuerunt) ad libidinis autem imaginem perveniunt, tum ob ſpectacula, quae illos movere poſſunt, tum ob illorum recordationem. Nam horum hominum maxime contraria affectio in pudendis generatur eorum affectioni, qui nullo pacto libidinis cogitationibus ſunt obnoxii. Atque amico

φίλῳ προελομένῳ παρὰ τὸ πρόσθεν ἔθος ἀποσχέσθαι τελέως ἀφροδισίων εἰς ὄγκον ἐπεδίδω τὸ αἰδοῖον ἐμφυσώμενον, ὡς ἀναγκασθῆναι ἀνακοινώσασθαί μοι περὶ τοῦ συμπτώματος. ἔφη γὰρ θαυμάζειν, ὅπως τῷδε μὲν τῷ ἀθλητῇ [530] ῥυσσὸν καὶ προσεσταλμένον ἐστὶ τὸ αἰδοῖον ἐκ τῆς εὐταξίας, ἑαυτῷ δ᾽ ἀφ᾽ οὗ τοῦτ᾽ ἐνεστήσατο, τοὐναντίον συμβαίνει. τότε μὲν οὖν αὐτῷ συνεβούλευσα τὸ ἠθροισμένον ἐκκρῖναι σπέρμα, τοῦ λοιποῦ δὲ καὶ θεαμάτων καὶ διηγήσεως καὶ μνήμης ἐπεγείρειν δυναμένης εἰς ἀφροδίσια παντάπασιν εἴργειν ἑαυτόν. ὅσοι δ᾽ εὐθὺς ἐξ ἀρχῆς ἢ ἀθλοῦντες ἢ φωνασκοῦντες ἄπειροι τῶν ἀφροδισίων διετέλεσαν, εἴρξαντες παντάπασιν ἑαυτοὺς ἁπάσης ἐννοίας τε καὶ φαντασίας τοιαύτης, ἰσχνὰ καὶ ῥυσσὰ τοῖς τῶν γερόντων ὁμοίως αὐτοῖς γίνεται τὰ αἰδοῖα. πρὸς γὰρ τοῖς ἄλλοις κἀκεῖνο συμβαίνει τοῖς ἐν νεότητι κατὰ τὸν πρῶτον χρόνον ἀφροδισίοις πολλοῖς χρησαμένοις, εὐρυνομένων τῶν ἐν τούτοις τοῖς τόποις ἀγγείων, εὔρουν τε γίγνεσθαι πρὸς αὐτὸ τὸ αἷμα καὶ τὴν ὀρεκτικὴν δύναμιν τῶν ἀφροδισίων αὔξάνεσθαι, κατὰ τὸν κοινὸν λόγον ἁπασῶν τῶν δυνά-

cuidam, praeter antecedentem confuetudinem a concubitu prorfus abftinere volenti, in tumorem inflatus penis adeo excrevit, ut mihi fymptoma declarare cogeretur. Mirari enim fe dicebat, quomodo huic athletae ob continentiam rugofus collapfusque penis effet, fibi vero ex quo id inftituisfet, eveniret contrarium. Tum equidem illi auctor fui ut collectum femen excerneret, poftea vero a narrationibus et fpectaculis et meditationibus libidinem fuscitare potentibus omnino fe abftineret. At cantoribus et athletis, qui jam inde ab initio nullam vitae partem venereis illecebris contaminaverunt, nullam admittentes hujusmodi vel cogitationem vel imaginationem, iis pudenda exilia et rugofa veluti fenibus fiunt. Nam praeter caetera iis, qui protinus a prima juventute immodicae libidini fefe permiferunt, id etiam evenit, ut horum locorum vafa amplius patentia, majorem ad fe fanguinis copiam alliciant et coeundi cupiditas increscat, communi ratione facultatum omnium, quae a Platone etiam

μεων, ὃν καὶ Πλάτων ἔγραψε, τὴν μὲν ἡσυχίαν ἐκλύειν λέγων, τὴν δ' ἐν τοῖς οἰκείοις ἔργοις διατριβὴν αὐξάνειν τὴν ῥώμην. οὕτως μὲν οὖν καὶ οἱ τιτθοὶ ταῖς μὲν μηδέποτε κυησάσαις προσεσταλμένοι διαμένουσι, ταῖς δὲ μετὰ τὸ κυῆσαι θηλαζούσαις παιδία μέγιστοι γίγνονται, καὶ διαμένουσί γε γάλα παρέχοντες, ἄχρις ἂν θηλάζωσιν, παυομέναις δὲ τοῦ θηλάζειν τὰ παιδία καὶ ἡ τοῦ γάλακτος ἐν τοῖς τιτθοῖς γένεσις οὐ μετὰ πολὺ παύεται. ταῦτ' οὖν ἡμῖν ἅπαντα προδιεσκεμμένοις καὶ πρὸς τὴν θεραπείαν ἀφορμὰς παρέξει, διοριζομένοις τὰς αἰτίας, ὑφ' ὧν ἑκάστῳ τῶν πασχόντων τὸ πάθος ἐγένετο· νῦν δ' οὔπω καιρὸς αὐτῶν, ἀλλ' ἤδη τέλος ἐχούσης τῆς προκειμένης πραγματείας, καταπαύσω τὸν λόγον ἐνταῦθα.

notata eſt, quum ait: *ignaviam quidem exolvere, propriarum autem functionum exercitationem robur augere.* Sic mammae quoque iis, quae nondum impraegnatae fuerunt, contractae permanent, a partu infantulos lactantibus vaſtiſſimae redduntur, atque permanent lac emittentes, donec lactant, quum vero lactare deſinunt pueros, haud ita multo poſt lac etiam generari deſinit. Igitur omnia haec ſi bene conſiderentur, et cauſae ob quas in ſingulis affectis partibus affectus conſiſtit definiantur, ad curationis rationem anſam praebebunt. At nondum horum in praeſentia tempus eſt, ſed jam hoc opere ad finem perducto, hic orationi finem imponam.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΣΦΥΓΜΩΝ ΤΟΙΣ ΕΙΣΑΓΟΜΕΝΟΙΣ.

Ed. Chart. VIII. [1.] Ed. Baſ. III. (1.)

Κεφ. α΄. Ὅσα τοῖς εἰσαγομένοις, φίλτατε Τεῦθρα, χρήσιμον ἐπίστασθαι περὶ σφυγμῶν, ἐνταῦθα λεχθήσεται. τὴν δ᾽ ὅλην ὑπὲρ αὐτῶν τέχνην ἑτέρωθι γεγραμμένην ἔχεις. πᾶσαι μὲν οὖν αἱ ἀρτηρίαι τὸν αὐτὸν τρόπον σφύζουσιν ἀλλήλαις τε καὶ τῇ καρδίᾳ, ὥστ᾽ ἐκ μιᾶς αὐτῶν δύνασθαι περὶ πασῶν συλλογίζεσθαι, οὐ μὴν αἰσθέσθαι γε τῆς κινήσεως ὁμοίως ἁπασῶν δυνατὸν, ἀλλὰ τῶν μὲν ἐν τοῖς ἀσάρκοις μέρεσι προφανέστερον, τῶν δ᾽ ἐν τοῖς σαρκώδεσιν ἀμυδρότερον. ὅσαι δ᾽ ὑπὸ παχείας σαρκὸς καλύπτονται, ἢ ὀστῶν ἔν-

GALENI DE PVLSIBVS LIBELLVS AD TIRONES.

Cap. I. Quaecunque tironibus, amantiſſime Teuthra, de pulſibus ſcire *fuerit* utile, hic exponentur, omnem autem de his artem alibi deſcriptam habes. Omnes igitur arteriae tum inter ſe tum cum ipſo corde eodem modo pulſant; quamobrem ex earum una de omnibus poſſis concludere. Verum motum non perinde omnium ſentias, ſed in partibus nulla tectis carne clarius, in carnoſis obſcurius. Quae opertae craſſa carne ſunt, aut ſub oſſibus latent,

δον εἰσὶν, ἢ ἐπίπροσθεν αὐτῶν ἐστιν ἄλλα σώματα, τούτων οὐκ ἂν αἴσθοιο τῆς κινήσεως, ἔν γε τῷ κατὰ φύσιν ἔχειν τὸ ζῶον. ἐκτακέντος δὲ τοῦ σώματος σφοδρῶς, ἥ τε κατὰ τὴν ῥάχιν ἀρτηρία πολλάκις τοῖς ἁπτομένοις τοῦ ἐπιγαστρίου τὴν κίνησιν διασημαίνει καί τινες τῶν ἐν τοῖς κώλοις ᾔσθησαν, ἀφανῶς πρότερον οὐσῶν. διαπαντὸς δ᾽ αἵ τε κατὰ τοὺς κροτάφους καὶ τῶν ποδῶν αἱ ἐπὶ τοῖς ταρσοῖς καὶ τῶν χειρῶν αἱ κατὰ τοὺς καρποὺς ἐντὸς αἰσθητὴν ἔχουσι τὴν κίνησιν. τούτων δ᾽ ἔλαττον μὲν, οὐ μὴν ἀφανῶς οὐδ᾽ αὐταὶ σφύζουσιν αἵ τε τῶν ὤτων ὄπισθεν ἐν τῇ κεφαλῇ καὶ τῶν βραχιόνων ἐντός. καὶ ἤδη τινὲς ἄλλαι, αἳ μὴ πάνυ τῇ πολλῇ σαρκὶ καλύπτονται, ἀλλ᾽ οὔτε ἑτοιμότερον οὔτε εὐσχημονέστερον οὔτε τῇ χρείᾳ συμφερώτερον ἄλλης ἂν ἅπτοι, τὰς ἐν τοῖς καρποῖς παρείς· αὗται γὰρ ἐπιφανεῖς μάλιστα ὑπάρχουσι τῷ τ᾽ ἀσάρκῳ τοῦ χωρίου καὶ οὐδὲν δι᾽ αὐτὰς γυμνοῦν τοῦ σώματος ἀναγκαῖον, ὥσπερ δι᾽ ἄλλας πολλὰς, καὶ ὅτι κατ᾽ εὐθὺ τεταγμέναι εἰσίν· οὐ μικρὸν δὲ τοῦτο εἰς ἀκρίβειαν διαγνώσεως.

aut quibus corpora funt alia objecta, harum, dum valet animal, motum non percipias. Quod fi vehementer emarcuerit, arteria quae fita eft fecundum dorfum tangentibus abdomen motum faepenumero repraefentat. Et quidam fenfu perceperunt eas quae in artubus, quum prius non apparerent. At femper arteriae temporum ac pedum fecundum plantas, manuum in carporum parte interna fenfibilem motum habent. His minus, non illae tamen obfcurae, pulfant arteriae capitis poft aures et quae tenent brachii interiorem regionem ac jam etiam aliae nonnullae, quae non admodum multa carne obteguntur. Verum aliam neque promptius neque honeftius neque ad ufum commodius tangat, fi eas quae carpis infunt praetereat; hae namque, quod praefertim locus carnem non habeat, apertiffimae funt, nec quod propter alias multas eft neceffarium, detegere harum gratia ullam corporis partem neceffe habeas; ad haec in rectum ductae funt, id quod non parum ad exactam notitiam refert.

Ed. Chart. VIII. [2.] Ed. Baf. III. (1.)

Κεφ. β'. Ἁπτομένῳ δέ σοι φανεῖται διαστελλομένη κατὰ πᾶσαν διάστασιν ἡ ἀρτηρία. τρεῖς δ' εἰσὶ διαστάσεις παντὸς τοῦ σώματος, εἰς μῆκος, βάθος καὶ πλάτος. ἀλλ' ἐν τῷ κατὰ φύσιν ἔχειν τὸ ζῶον συμμέτρως πάνυ διαστελλομένην εὑρήσεις τὴν ἀρτηρίαν· ἐν δὲ τῷ παρὰ φύσιν ἔχειν ἔστιν ὅπη τὸ μὲν ἐλλείπει, τὸ δ' ὑπερβάλλει, καθ' ἡντιναοῦν διάστασιν. ἐν τούτῳ χρὴ μεμνημένον σε, οἷος ἦν ὁ κατὰ φύσιν σφυγμὸς, καὶ εἰ μὲν τῷ πλάτει μείζων ὁ παρὰ φύσιν εὑρίσκοιτο, πλατὴν καλεῖν, εἰ δὲ τῷ μήκει, μακρὸν, εἰ δὲ τῷ βάθει, ὑψηλὸν, καὶ τοὺς ἐναντίους αὐτοῖς τοὺς ἐλάττους τοῦ κατὰ φύσιν ὀνομάζειν ἀνάλογον, στενὸν καὶ βραχὺν καὶ ταπεινόν. τῶν δὲ ἐν πάσαις ταῖς διαστάσεσιν ὁμοίως εἰς τὸ παρὰ φύσιν τρεπομένων ὁ μὲν πάντη μειωθεὶς μικρὸς, ὁ δὲ πάντη αὐξηθεὶς μέγας ὀνομάζεται. αὗται μὲν αἱ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐν σφυγμῷ διαφοραί.

Κεφ. γ'. Τῶν δὲ τῆς κινήσεως ἰδίων ἥ τε ταχύτης ἐστὶ καὶ ἡ βραδύτης, ἡ μὲν ἠπειγμένη τις οὖσα κίνησις, ἡ δὲ

Cap. II. Tibi autem tangenti videbitur diſtendi in omnem dimenſionem arteria. Sunt autem cujuscunque corporis tres dimenſiones, in longitudinem, profunditatem et latitudinem. Sed enim dum ſecundum naturam ſe habet animal, invenies arteriam diſtendi ſane quam moderate, ſin autem praeter naturam ſe habeat, nunc deficit, nunc exuperat, in quacunque dimenſione. Hic tibi memoria tenendum eſt, qui pulſus naturalis eſſet. Atque ſiquidem eum reperias, qui praeter naturam eſt, latitudine eſſe majorem, appellabis latum, ſi longitudine, longum, ſi profunditate, altum, et contrarios his, qui naturali minores ſunt, ſimili modo vocabis anguſtum, brevem, humilem. At de his, qui ad ſtatum praeter naturam tribus ex aequo dimenſionibus deflectunt, qui undequaque eſt imminutus, parvus, qui auctus in omnem partem, magnus nominatur. Hae quantitatis distentionis in pulſu differentiae ſunt.

Cap III. Propriae autem motus differentiae ſunt celeritas et tarditas, quarum haec motus eſt exolutus, illa in-

ἐκλελυμένη. κριτέον δὲ καὶ ταύτας τῷ κατὰ φύσιν παραβάλλοντας. ἐν δὲ τῷ ποιῷ τῆς προσβολῆς ἥ τε σφοδρότης καὶ ἀμυδρότης συνίστανται, βιαίως μὲν ὠθουμένης τῆς ἁφῆς ἡ σφοδρότης, ἀῤῥώστως δὲ ἡ ἀμυδρότης. μαλακότης δὲ καὶ σκληρότης αὐτοῦ τοῦ χιτῶνος τῆς ἀρτηρίας ποιότητές εἰσιν· ἡ μὲν μαλακότης, ὅταν οἷον σαρκωδεστέρα καὶ κατὰ τὴν προσβολὴν ἡ ἀρτηρία φαίνηται· ἡ δὲ σκληρότης, ὅταν οἷον ξηροτέρα τε καὶ βυρσωδεστέρα. συνδιαγινώσκεται μὲν οὖν εὐθὺς τῇ κινήσει τῆς ἀρτηρίας καὶ ἡ τοιαύτη τῶν σφυγμῶν διαφορά. οὐκ ἔστι δὲ αὐτῆς ἰδία, καθάπερ αἱ προειρημέναι τρεῖς. ἐκείνων γὰρ ἡ μὲν τοῦ τάχους καὶ τῆς βραδύτητος κατὰ τὸ ποιὸν ἦν τῆς κινήσεως, ἡ δὲ τῆς σφοδρότητος καὶ τῆς ἀμυδρότητος κατὰ τὸ τῆς πληγῆς ποιὸν, ἡ δὲ τοῦ μεγέθους καὶ τῆς μικρότητος κατὰ τὸ ποσὸν τῆς διαστολῆς. ἡ διαστολὴ δὲ οὐκ ἄνευ κινήσεως. τὸ δὲ μαλακὸν σῶμα καὶ σκληρὸν οὐ προσδεῖται κινήσεως εἰς τὸ τοιοῦτον εἶναι. τέσσαρας οὖν ταύτας τὰς διαφορὰς τῶν σφυγμῶν κατὰ τὴν πληγὴν εὑρήσεις.

Κεφ. δ'. Πέμπτην δὲ ἄλλην κατὰ τὸ τῶν πληγῶν

citatus. De his faciendum eft judicium ex comparatione cum naturali pulfu. In qualitate occurfus vehementia confiftit et remiffio, vehementia quidem quum violenter tactus impellitur; quum debiliter, remiffio. Mollities autem et durities funt tunicae arteriae qualitates, mollities quum arteria quafi carnofior apparet in occurfu, durities ubi veluti ficcior rigidiorque in modum corii. Atque haec quidem etiam differentia pulfuum una ftatim cum arteriae motu percipitur, non tamen ejus eft, ut tres antedictae, propria. Illarum enim differentia celeritatis et tarditatis pofita erat in qualitate motus, vehementiae et remiffionis in ictus qualitate, magnitudinis parvitatisque in quantitate diaftoles. Atqui non caret motu diaftole, molle vero corpus atque durum, ut fit tale, non requirit motum. Quatuor ergo has pulfuum differentias invenies in ictu.

Cap. IV. Quinetiam aliam in ictuum intervallo;

Ed. Chart. VIII. [2. 3.] Ed. Baf. III. (1.)

διάλειμμα. καλεῖν γὰρ ἔθος οὕτω τοῖς ἰατροῖς τὸν μεταξὺ δύο πληγῶν χρόνον, ἐν ᾧ διαστέλλεται ἡ ἀρτηρία καὶ συστέλλεται. καὶ προσήκειν ἡγοῦμαι τοῖς εἰσαγομένος γυμνάσασθαι, πρῶτον μὲν, ὡς ἐπ᾽ ἀναισθήτου τῆς συστολῆς. καλείσθω μοι τὸ μέν τι πληγὴ, τὸ δὲ διάλειμμα· πληγὴ μὲν ἡ ἀπὸ τῆς ἀρτηρίας κινουμένης προσβολὴ τῇ ἁφῇ γιγνομένη· διάλειμμα δὲ ἡ μεταξὺ δυοῖν πληγῶν ἡσυχία, καθ᾽ ἣν ὁ πυκνὸς καὶ ἀραιὸς καὶ μέσος ἀμφοῖν, ἐφ᾽ ᾧπερ οἱ κατὰ φύσιν συνίστανται σφυγμοί. γνωριεῖς δὲ καὶ τούτους τῷ ποσῷ τοῦ χρόνου. πυκνὸς μὲν γάρ ἐστιν, ὅταν βραχὺς ὁ τῆς ἡσυχίας ᾖ χρόνος· ἀραιὸς δὲ, ὅταν πολύς. ἡσυχίαν δὲ λέγειν, ἢ διάλειμμα πληγῶν, ἢ συστολὴν, οὐ διοίσει.

Κεφ. ε΄. [3] Ὁμαλότης δὲ καὶ ἀνωμαλία γίνεται κατὰ πάσας τὰς εἰρημένας διαφοράς. ἡ γὰρ ἐφεξῆς ἰσότης τούτων ὁμαλότης ἐστί· οἷον ὅταν τὸ μέγεθος τῶν ἐφεξῆς ἴσον ᾖ, λέγοιτ᾽ ἂν ὁμαλὸς εἶναι κατὰ τὸ μέγεθος ὁ σφυγμός· καὶ εἰ τὸ τάχος ἴσον, ὁμαλὸς κατὰ τὸ τάχος. ὡσαύτως δὲ καὶ εἰ κατὰ σφοδρότητα καὶ πυκνότητα καὶ ἀμυδρότητα. ἡ δὲ ἀνωμαλία

nam ita medici folent medium tempus inter duos ictus, quo diftenditur contrahiturque arteria, appellare. Ego vero congruum effe duco tironibus, ut fe primum, quafi infenfibilis fyftole fit, exerceant. Vocetur a me alterum quidem ictus, alterum autem intervallum: ictum, arteriae motum tactui occurrentem; intervallum, quietem inter duos ictus, quae crebrum complectitur rarumque atque medium utriusque, in quo quidem naturales pulfus continentur. Quos etiam temporis quantitate cognosces; nam creber eft, quum quietis fit breve tempus; rarus, quum longum. Quietem dicas, an ictuum intervallum, aut fyftolen, nihil intererit.

Cap. V. Aequalitas et inaequalitas omnibus his dictis differentiis accidunt. Nam continuata harum paritas eft aequalitas; ut quum fefe confequentium par eft magnitudo, pulfus magnitudine aequalis dicetur; quum celeritas, aequalis celeritate. Ad eundem modum, fi vehementia, remiffio, crebritas. Inaequalitas paritatis corruptela eft, in

διαφθορὰ τῆς ἰσότητός ἐστι, καθ' ἣν ἂν τύχῃ διαφορὰν τῶν σφυγμῶν συνισταμένη. ἔσται γὰρ ὁ μέν τις κατὰ τὸ μέγεθος ἀνώμαλος, ὁ δέ τις κατὰ τὸ τάχος, ὁ δὲ κατὰ σφοδρότητα καὶ ἀμυδρότητα καὶ πυκνότητα, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Κεφ. στ'. Ἔστι δὲ ὅτε καὶ διά τινος τάξεως ἀριθμοῦ πληγῶν ὡρισμένου τοῖς ἴσοις σφυγμοῖς εἷς ἄνισος παρεμπίπτει· καὶ τοῦτο γίνεται πολυειδῶς. καὶ γὰρ τρισὶν ἴσοις ὁ τέταρτος ἄνισος ἕπεται, καὶ τοῦτο ἐφεξῆς ἀεὶ, ἢ τέτρασιν ὁ πέμ(2)πτος. καὶ κατὰ πᾶν ἄλλο πλῆθος ὡσαύτως. καὶ γὰρ πέντε πολλάκις ἴσοις ὁ ἕκτος ἄνισος ἕπεται, καὶ πάλιν ἓξ ἴσοις ὁ ἕβδομος οὐκ ἴσος. ἡ μὲν οὖν ἰσότης ἐν τοῖς τοιούτοις οὐκέτι σώζεται· καὶ διὰ τοῦτο ἀνώμαλος ὁ σφυγμὸς γίνεται, τάξις μέντοι τις σώζεται, καὶ διὰ τοῦτο τεταγμένος ἐστί. δι' ἴσου γὰρ ἀεὶ πλήθους τοῖς ἴσοις σφυγμοῖς εἷς ἄνισος παρεμπίπτων τὴν ἰσότητα διαφθείρει· ἥ γ' οὖν κατὰ τὰς περιόδους ἀναλογία φυλάττει τινὰ τάξιν. ἂν δ' ὅλως μηδεμία σώζηται περίοδος, ἄτακτος ὁ τοιοῦτος καλεῖται.

quamcunque cadat differentiam pulsuum. Erit enim quidam magnitudine inaequalis, alius celeritate, nonnullus vehementia et remissione et crebritate, atque in reliquis similiter.

Cap. VI. Nonnunquam etiam ordine quodam certo ictuum numero pulsibus paribus unus intercurrit impar; quod multis modis fit. Etenim tribus paribus quartus impar consequitur, idque ita semper deinceps, aut quatuor quintus. Ad eundem modum quovis in alio numero, siquidem comitatur saepe quinque pares impar sextus, et etiam sex pares septimus impar. Itaque in his aequalitas non amplius servatur; quamobrem pulsus inaequalis fit, tamen ordo retinetur quidam ideoque ordinatus est. Quum enim pari semper numero paribus pulsibus intercurrit unus impar, aequalitatem corrumpit, sed proportio circuituum quendam ordinem conservat; nam si circuitus prorsus servetur nullus, inordinatus hic vocatur.

Κεφ. ζ'. Γίνεται δὲ καὶ καθ' ἕνα σφυγμὸν ἀνωμαλία, περί τε τὰ μέρη τῆς ἀρτηρίας διαφερόντως ἔχοντα πρὸς ἄλληλα, θέσει τε καὶ κινήσει, καὶ παρὰ τὴν ἑνὸς ἑκάστου σφυγμοῦ καθ' αὐτὸ κίνησιν. ἡ μὲν οὖν ἐν τῇ θέσει τῶν μορίων ἀνωμαλία συνίσταται παρὰ τὸ ἄνω καὶ κάτω, καὶ πρόσω καὶ ὀπίσω, καὶ δεξιὰ καὶ ἀριστερὰ μετῆχθαι δοκεῖν τὴν ἀρτηρίαν· ἐν δὲ τῇ κινήσει θᾶττον, ἢ βραδύτερον, ἢ πρωϊαίτερον, ἢ ὀψιαίτερον, ἢ σφοδρότερον, ἢ ἀμυδρότερον, ἢ ἐπὶ πλείονα χρόνον, ἢ ἐλάσσονα, ἢ ἀεὶ, ἢ οὐδ' ὅλως κινουμένων. καθ' ἕκαστον δὲ μέρος ἐν μὲν τῷ διακεκόφθαι σαφῶς, ἐξ ὧν ἐστι καὶ ὁ δορκαδίζων· ὡσαύτως δὲ καὶ ἐν τῷ παλινδρομεῖν, ἐξ ὧν ἐστι καὶ ὁ δίκροτος. ἐν δὲ τῷ τῆς κινήσεως οὐκ ἰσοταχεῖ, ὅταν ἀρχομένη μὲν ὠκυτέρα, τελευτῶσα δὲ βραδυτέρα, καὶ ἀνάπαλιν ἀρχομένη μὲν βραδυτέρα, τελευτῶσα δὲ ὠκυτέρα, καὶ κατὰ σφοδρότητα καὶ ἀμυδρότητα καὶ μικρότητα καὶ μέγεθος ὡσαύτως, οὐκ εἰς δύο μόνους χρόνους τῆς κινήσεως μεριζομένης, ἀλλὰ καὶ εἰς πλείονας, ἐφ' ὅσον ἂν αἰσθήσει διαγνωστόν. αὗται μὲν οὖν αἱ ἁπλαῖ καὶ καθ' ἕνα σφυγμὸν ἀνωμαλίαι.

Cap. VII. Accidit autem et in uno pulſu inaequalitas, tum pro mutua diſſenſione arteriae partium in ſitu et motu, tum pro uniuscujusque pulſus peculiari motu. In ſitu partium conſiſtit inaequalitas, ex eo quod ſurſum, deorſum, antrorſum, retrorſum, dextrorſum, ſiniſtrorſum, traducta arteria videatur; in motu, quum celerius, tardius, maturius, ſerius, vehementius, languidius, aut longiore tempore, aut breviore, aut perpetuo, aut nihil prorſus movetur. In ſingulis partibus, quum interciſus eſt manifeſte, in quibus caprizans eſt; item quum reciprocatur, de quibus eſt dicrotus. In motus impari celeritate, quum initio celerior, in fine tardior ſit, et e contrario, quum tardior initio, in fine ſit celerior, in vehementia, remiſſione, parvitate, magnitudine ad eundem modum; neque in duo tantum tempora motus, ſed et in plura, quoad aſſequi ſenſus poſſit, diſtribuitur. Atque hac quidem ſimplices ſunt et unius pulſus inaequalitates.

Κεφ. η΄. Σύνθετοι δὲ καθ᾽ ὅσον ἂν δυνατὸν ᾖ ἄλλην ἄλλῃ, καὶ μίαν μιᾷ, καὶ μίαν πλείοσι, καὶ πολλὰς πολλαῖς μίγνυσθαι. καί τινες αὐτῶν ἰδίου τετυχήκασιν ὀνόματος. ὥσπερ καὶ ὁ σκωληκίζων καὶ ὁ μυρμηκίζων καὶ ὁ ἑκτικός· ὁ μὲν σκωληκίζων, [4] ὅταν οἱονεὶ ἕρποντος τὴν ἀρτηρίαν σκώληκος ἔμφασις γίγνηται κυματωδῶς ἐγειρομένου, καὶ μὴ καθ᾽ ἕνα χρόνον ὅλης διαστελλομένης τῆς ἀρτηρίας εἰ μὲν οὖν σὺν μικρότητι διαστολῆς τοῦτο γίγνοιτο, σκωληκίζων καλεῖται· εἰ δὲ σὺν μεγέθει, κυματώδης ἁπλῶς. δῆλον δὲ ὅτι καὶ ἀμυδρὸς καὶ πυκνός ἐστιν ὁ σκωληκίζων. ὁ δ᾽ εἰς ἐσχάτην καταπεπτωκὼς ἀμυδρότητα καὶ πυκνότητα καὶ μικρότητα μυρμηκίζων καλεῖται, ταχὺς μὲν εἶναι δοκῶν, οὐκ ὢν δὲ ταχύς. ἑκτικὸς δὲ, ὥσπερ πυρετὸς, οὕτως καὶ σφυγμὸς καλεῖται, ὁ μηδεμίαν τροπὴν μεγάλην ποιούμενος, ἀλλ᾽ ἀεὶ παραπλήσιος μένων, συμπλεκόμενός τε καὶ μηδέποτε λυόμενος ὅλης τῆς ἕξεως τετραμμένης νοσωδῶς, ἐν τοῖς τοιούτοις πυρετοῖς τε καὶ σφυγμοῖς. ταῦτά μοι ἀρκεῖν δοκεῖ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς τοῖς εἰσαγομένοις εἰρῆσθαι. εἰ γάρ τις ἐπὶ τὸ

Cap. VIII. Compofitae fiunt, quatenus altera poteft cum altera et una cum una et cum pluribus una, denique cum multis multae commisceri. Quarum nonnullae proprium nomen funt fortitae, ut vermiculans, formicans et hecticus. Vermiculans, quum fpecies exhibetur quafi perreptantis arteriam vermis, undarum in modum infurgentis, quumque non uno et eodem tempore tota diftenditur arteria. Si igitur cum diaftoles parvitate hoc fiat, vocatur vermiculans; fin autem cum magnitudine, undofus fimpliciter. Eft vero vermiculans etiam aperte languidus et creber. At qui ad extremam devenit remiffionem, crebritatem et parvitatem, vocatur formicans: qui quum celer effe videatur, haud tamen eft celer. Hectica vero quemadmodum febris, ita et hecticus pulfus vocatur, qui non magnopere ullo modo variat, caeterum manet in perpetuum fimilis, cohaeretque nec folvitur unquam, quod totus habitus morbum induit in ejuscemodi febribus et pulfibus. Haec tironibus exiftimo de pulfuum differentiis fufficere. Quod fi cognoscere haec exactius

ἀκριβέστερον αὐτὸ ἔρχεσθαι βούλοιτο, βιβλίον ὅλον ἔχει περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς ὑφ᾽ ἡμῶν γεγραμμένον. οὔκουν οὔτε περὶ πλήρους καὶ κενοῦ σφυγμοῦ νῦν λέγειν ἀναγκαῖον, οὔτε περὶ ῥυθμῶν, ἐν ἐκείνῳ γὰρ εἴρηται ἀκριβῶς περὶ αὐτῶν, καὶ ἔστιν ἀσαφέστερος ὁ λόγος τοῖς εἰσαγομένοις. ἀναλαβόντες οὖν ἐν κεφαλαίῳ τὰ προειρημένα, τῶν ἐφεξῆς ἐχώμεθα. μέγας τοίνυν ἐστὶ σφυγμὸς ὁ κατὰ μῆκος καὶ πλάτος καὶ βάθος τῆς ἀρτηρίας ἐπὶ πολὺ διϊσταμένης γινόμενος, μακρὸς δὲ ὁ κατὰ μῆκος μόνον, πλατὺς ὁ κατὰ πλάτος, καὶ ὑψηλὸς ὁ κατὰ βάθος. σφοδρὸς δὲ σφυγμός ἐστιν ὁ πλήττων εὐρώστως τὴν ἁφήν· μαλακὸς δὲ, ἐφ᾽ οὗ ὁ χιτὼν τῆς ἀρτηρίας ἁπαλὸς ᾖ· καὶ ταχὺς μὲν ὁ ἐν ὀλίγῳ χρόνῳ διαστελλομένης τῆς ἀρτηρίας γινόμενος· πυκνὸς δὲ ὁ δι᾽ ὀλίγου· καὶ ὁμαλὸς μὲν ὁ ἐφεξῆς ἴσος· τεταγμένος δὲ ὁ κατὰ περίοδον ἴσος· ὁ δὲ κατὰ μίαν πληγὴν ἄνισος ἀνώμαλος λέγεται κατὰ μίαν πληγήν. εἶεν δ᾽ ἂν σαφεῖς καὶ οἱ ἐναντίοι αὐτῶν μικρὸς καὶ βραχὺς καὶ στενὸς καὶ ταπεινὸς καὶ ἀμυδρὸς καὶ σκληρὸς καὶ βραδὺς καὶ ἀραιὸς καὶ ἀνώμαλος καὶ ἄτακτος. οὐκ ἄδηλον δὲ καὶ ὅτι τῶν μὲν ἄλλων ἐναντίων ἐστὶν

cupias, librum habes integrum a nobis conſcriptum de differentiis pulſuum. Nec vero etiam cauſa eſt, cur de pleno hic et vacuo pulſu dicam, vel de calido et frigido, vel de rhythmis; illic enim accurate de his differui, etiam is ſermo tironibus eſt obſcurior. Quare ſi quae commemoravimus, ſummatim repetierimus, reliqua perſequemur. Magnus pulſus eſt qui ſit ubi in longum arteria et latum profundumque diſtenditur multum; longus, quum in longum duntaxat; latus, quum in latum; altus, quum in altum. Vehemens eſt pulſus, qui valenter ferit tactum; mollis, quum tunica mollis eſt arteriae; celer ſit, quum pauco tempore arteria diſtenditur; creber, quum parvo interpoſito ſpatio; aequalis, qui perpetuo ſibi conſtat; ordinatus, qui per circuitum par eſt; qui in uno eſt ictu impar, inaequalis nominatur in uno ictu. Jam etiam horum contrarii ſint aperti, parvus, brevis, anguſtus, humilis, languidus, durus, tardus, rarus, inaequalis, inordinatus. Nec vero hoc obſcurum eſt, ſingulorum alio-

Ed. Chart. VIII. [4.] Ed. Baſ. III. (2.)

ἑκάστου μέσος· ὁμαλοῦ δὲ καὶ ἀνωμάλου μέσος οὐδείς ἐστιν, οὐδὲ τεταγμένου καὶ ἀτάκτου. καὶ ὅτι τῶν μὲν ἄλλων ἁπάντων οἱ μέσοι κατὰ φύσιν, ἐν τούτοις δὲ ὁ μὲν ὁμαλὸς κατὰ φύσιν μόνος, οἱ ἄλλοι οὐ κατὰ φύσιν, ὅ τε ἀνώμαλος καὶ ἄτακτος.

Κεφ. θ'. Ἐπεὶ δὲ πολυειδῶς οἱ σφυγμοὶ τρέπεσθαι πεφύκασιν, οὐδὲν γὰρ εὕροις, ὡς ἔπος εἰπεῖν, αἴτιον, ὃ μὴ καὶ τούτους τρέπει, δοκεῖ μοι τριττὴν αὐτῶν τῆς τροπῆς τὴν ἀνωτάτω διαφορὰν ποιησάμενον οὕτως ὑπὲρ ἑκάστης ἰδίᾳ κατὰ μέρος εἰπεῖν. πρώτη μὲν οὖν ἡ κατὰ φύσιν αὐτῶν ἐστι τροπή. δευτέρα δὲ ἡ οὐ κατὰ φύσιν μὲν, οὐ μὴν ἤδη παρὰ φύσιν. τρίτη δὲ ἡ παρὰ φύσιν. ἐπιγίνονται δ' αὗται πᾶσαι ταῖς φυσικαῖς διαφοραῖς· ἄλλῳ γὰρ ἄλλως αἱ ἀρτηρίαι φύσει κινοῦνται· καὶ χρὴ πρώτας ταύτας ἐπίστασθαι τὸν μέλλοντα γνωρίζειν ὑπὸ τίνος αἰτίου καὶ μέχρι πόσου τετράφθαι συμβέβηκε τὸν σφυγμόν· ἀλλὰ τὸ μὲν ἴδιον ἑκάστου ἀκριβῶς ἂν τις πειραθεὶς μάθοι. καὶ δεῖ πολλάκις ἧφθαι τῆς ἀρτηρίας, μάλιστα μὲν ὑγιαίνοντος ἀμέμπτως καὶ ἐν ἡσυχίᾳ

rum contrariorum medium eſſe; aequalis et inaequalis medium eſſe nullum, neque ordinati et inordinati. Praeterea aliorum omnium ſecundum naturam medios eſſe; at in his aequalis ſolus ſecundum naturam eſt, alii non ſecundum naturam, praeterea inaequalis et inordinatus.

Cap. IX. Quum autem multis modis pulſus mutari poſſint, nullam enim, ut verum fatear, cauſam invenias, quae hos non immutet, placet mihi triplici ac generaliſſima mutationis ipſorum differentia conſtituta, ita demum ſingulas ipſas ſeorſim ac ſigillatim pertractare. Prima igitur mutatio horum naturalis eſt, altera non illa quidem naturalis, nec tamen jam praeter naturam, tertia eſt praeter naturam. Verum omnes hae mutationes differentias naturales comitantur; alii enim aliter arteria natura movetur; quas quidem tenere ante omnes debet, qui cognoscere cupit qua de cauſa ac quatenus mutari pulſus contigit; at proprium cujusque ad unguem experiundo quis aſſequatur. Sane frequenter tangenda arteria eſt, praeſertim integra ſanitate praediti at-

πάσης σφοδρᾶς κινήσεως, ἤδη δὲ καὶ ἐν ταῖς ἄλλαις διαθέσεσιν. ἐπειδὴ δὲ πάντων οὐκ ἐνδέχεται δι' ἐμπειρίας ἐληλυθέναι, πολλοὶ γὰρ ἤδη πολλάκις ἐδεήθησαν ἰατρῶν [5] οἷς ὑγιαίνοντες οὐκ ἐνέτυχον, ἄριστον δὴ κἀνταῦθα πλεῖον ἰδιώτου τὸν τεχνίτην ἔχειν. ἔχοι δ' ἂν πλέον, ἐπιστήμην πορισάμενος τῶν τοῖς πολλοῖς ὁμοίως ὑπαρχόντων. ἔστι δέ τις, ὡς τύπῳ φάναι, κοινὴ φύσις ἀνδρῶν, καὶ ἄλλη γυναικῶν, καὶ ὅσοι θερμότερόν εἰσι κεκραμένοι καὶ ὅσοι ψυχρότερον. καὶ τούτων ἑκατέρων κοινὴ φύσις, καὶ τῶν ἰσχνῶν πάντων κοινὴ καὶ τῶν παχέων ὡσαύτως κοινή. καὶ σπάνιον ἐν ἑκάστῃ τῶν προειρημένων κοινοτήτων τὸ μὴ τοῖς πολλοῖς ἐοικός. ὥστε καὶ τὸ ἁμαρτάνειν τοῦ ἀληθοῦς ἐστι σπάνιον τῷ τὸ κοινὸν ἀκριβῶς ἐπισταμένῳ.

Ἄνδρες μὲν γυναικῶν ὡς ἐπίπαν μείζονα πολλῷ καὶ σφοδρότερον ὡσαύτως πολλῷ καὶ βραδύτερον ὀλίγῳ καὶ ἀραιότερον ἱκανῶς ἔχουσι τὸν σφυγμόν.

Οἱ δὲ φύσει θερμότεροι μείζονα μὲν καὶ ὠκύτερον καὶ πυκνότερον πολλῷ, σφοδρότερον δὲ οὐ πολλῷ.

que vacui omnis vehementis motus, jam vero et caeteris in ftatibus. At quum omnes experientia affequi non liceat, etenim multi jam medicos faepe defideraverunt, cum quibus fani nullum habuerunt commercium, optimum hercle eft etiam hic imperito praeftare artificem. Praeftiterit autem, fi fcientiam comparaverit eorum, quae in multis ex aequo infunt. Eft autem quaedam, ut fummatim dicam, communis virorum natura, alia mulierum. Etiam qui calidiore funt temperamento, quique frigidiore, habent hi fuam utrique communem naturam. Ad haec omnium communis natura eft gracilium, obeforum item communis eft. Ac rarum in fingulis eft, quas memoravi, communitatibus, quod non affimile multis fit. Proinde etiam qui probe commune tenet raro a vero aberret.

Viri mulieribus pulfum fere habent longe tum majorem tum vehementiorem, paulo tardiorem fatisque rariorem.

Calidi natura multo habent majorem, celeriorem et crebriorem, vehementiorem non item multo.

Οἱ δ᾽ ἰσχνότεροι φύσει μείζονα μὲν, καὶ ἀραιότερον πολλῷ, σφοδρότερον δὲ οὐ πολλῷ. φύσει μὲν οὖν οὕτως διαφέρουσι.

Τρέπονται δὲ κατὰ μὲν τὰς ἡλικίας ὡδί πως. ὁ μὲν τοῦ νεογενοῦς παιδίου σφυγμὸς πυκνότερος· ὁ δὲ τοῦ γέροντος ἀραιότερος· οἱ δ᾽ ἐν τῷ μεταξὺ πάντες ἀνά(3)λογον, ἐφ᾽ ὅσον ἂν ἢ παιδίου ἢ γέροντος ἐγγύτεροι τυγχάνωσιν ὄντες. ὡσαύτως ταχύτατος μὲν ὁ τοῦ παιδίου, βραδύτερος δὲ ὁ τοῦ γέροντος· οἱ δὲ τῶν ἄλλων ἡλικιῶν μεταξύ. πολλῷ δὲ μείζων ἡ κατὰ τὴν ἀραιότητα διαφορὰ γέροντος πρὸς παιδίον τῆς κατὰ τὸ τάχος. ἐν δὲ τῇ κατὰ μέγεθος καὶ σφοδρότητα διαφορᾷ μέγιστος μὲν ἐν ἡλικίαις ὁ τῶν ἀκμαζόντων, μικρότατος δὲ ὁ τῶν γερόντων, μέσος δὲ αὐτῶν βραχὺ μείζων ὁ τῶν παιδίων. καὶ σφοδρότατος μὲν ὁ τῶν ἀκμαζόντων, ἀμυδρότατος δὲ ὁ τῶν γερόντων, μέσος δὲ αὐτῶν ὁ τῶν παιδίων. οὕτως μὲν ἐν ταῖς ἡλικίαις οἱ σφυγμοί.

Κατὰ δὲ τὰς ὥρας τοῦ μὲν ἦρος τὰ μέσα μεγίστους καὶ σφοδροτάτους, ὡς ἐν ὥραις, τάχει δὲ καὶ πυκνότητι

Natura graciliores majorem rarioremque multo, vehementiorem paulo. Atque natura fic differunt.

Porro pro aetatibus hoc pacto immutantur. Infantis pulfus creberrimus eft, rariffimus fenis; omnes, qui inter hos intercedunt, proportionem fervant, prout vel ad puerum, vel ad fenem propius accedunt. Celerrimus item pueri pulfus, fenis tardiffimus; reliquarum aetatum *pulfus inter hos* medii funt, At fenex a puero longe magis raritate quam celeritate diftat. In vehementiae et magnitudinis differentia maximus eft, ut in aetatibus, pulfus juvenum, minimus fenum, medius et paulo major pulfus puerorum. Jam vehementiffimus juvenum, languidiffimis fenum, medius eft inter hos puerorum pulfus. Atque pulfus in aetatibus fic habent.

Pro anni tempeftatibus, medio vere pulfus maximi funt et vehementiffimi, ut in temporibus, celeritate et crebritate

συμμέτρους. ὡσαύτως δὲ καὶ τοῦ φθινοπώρου τὰ μέσα. προϊὸν δὲ τὸ ἔαρ ἀφαιρεῖται τοῦ μεγέθους καὶ τῆς σφοδρότητος, προστίθησι δὲ τῷ τάχει καὶ τῇ πυκνότητι. καὶ τέλος ἡνίκα ἂν ἐπιλάβῃ τὸ θέρος, ἀμυδροὶ καὶ μικροὶ καὶ ταχεῖς καὶ πυκνοὶ γίνονται. τὸ δὲ φθινόπωρον προϊὸν ἁπάντων ἀφαιρεῖ, μεγέθους, σφοδρότητος, τάχους, πυκνότητος, ὥστε καὶ τοῦ χειμῶνος ἐπελθόντος, εἰς μικρότητα καὶ ἀμυδρότητα καὶ βραδύτητα καὶ ἀραιότητα τετράφθαι. ἔοικε δὲ τὰ μὲν πρῶτα τοῦ ἦρος τοῖς ὑστάτοις τοῦ φθινοπώρου, τὰ δὲ ὕστατα τοῖς πρώτοις, καὶ τὰ μὲν πρῶτα τοῦ θέρους τοῖς ὑστάτοις τοῦ θέρους, καὶ τὰ πρῶτα τοῦ χειμῶνος τοῖς ὑστάτοις τοῦ χειμῶνος. ὥστε ὅσα θέρους μέσου καὶ μέσου χειμῶνος ἴσον ἐφ᾽ ἑκάτερα ἀφέστηκεν, ὁμοίως τρέπει. μέσον δὲ θέρους πῆ μὲν ὡσαύτως ἐστὶ, πῆ δὲ ἐναντίως ἔχει μέσῳ χειμῶνι, μικροὶ μὲν γὰρ καὶ ἀμυδροὶ καθ᾽ ἑκάτερον. ὠκεῖς δὲ καὶ πυκνοὶ θέρους καὶ βραδεῖς καὶ ἀραιοὶ χειμῶνος, οὐ μὴν οὕτω μικροὶ θέρους, ὡς χειμῶνος, ἀλλ᾽ ἧττον θέρους, οὐδ᾽ οὕτως ἀμυδροὶ χειμῶνος, ὡς θέρους,

moderati. Pari modo medio autumno. Progrediens autem ver nonnihil de magnitudine et vehementia detrahit, fed auget celeritatem atque crebritatem, tandemque ineunte jam aeftate languidi, parvi, celeres crebrique fiunt. Autumni proceffus cuncta imminuit, magnitudinem, vehementiam, celeritatem, crebritatem. Ita ineunte hieme in parvitatem convertuntur et remiffionem et tarditatem et raritatem. Refpondet autem initium veris fini autumni, illius finis initio hujus. Aeftatis item principium fuo et principium hiemis fuo fini. Proinde quae pari fpatio a media aeftate et media hieme in utramque partem deflexerunt, fimiliter variant. Porro media aeftas partim convenit cum media hieme, partim diffidet. Nam parvi utrobique et languidi funt, fed celeres atque crebri aeftate, tardi rarique hieme; non peraeque tamen parvi aeftate, ut hieme; fed aeftate minus, nec ita hieme languidi, ut aeftate, caeterum

ἀλλ᾽ ἧττον χειμῶνος. αὗται μὲν οὖν αἱ κατὰ τὰς ὥρας τῶν σφυγμῶν τροπαί.

Περὶ δὲ τὰς χώρας ὡσαύτως ταῖς ὥραις. ἐν μὲν ταῖς ἄγαν θερμαῖς οἷοι μέσου θέρους. ἐν δὲ ταῖς ἄγαν ψυχραῖς οἷοι μέσου χειμῶνος. ἐν δὲ ταῖς εὐκράτοις οἷοι μέσου τοῦ ἦρος. ἀνάλογον δὲ κἀν ταῖς μεταξύ. καὶ τῶν ἄλλων δὲ καταστάσεων τοῦ περιέχοντος ἡμᾶς ἀέρος αἱ μὲν θερμαὶ ταῖς θερμαῖς ὥραις, αἱ δὲ ψυχραὶ ταῖς ψυχραῖς, αἱ δὲ μέσαι ταῖς μέσαις τοῦ ἦρος ἐοίκασιν.

Ἐν δὲ τῷ κύειν οἱ σφυγμοὶ μείζονες καὶ πυκνότεροι καὶ [6] ὠκύτεροι γίνονται· τὰ δὲ ἄλλα κατὰ φύσιν φυλάττουσιν.

Εἶεν δ᾽ ἄν, εἴπερ τι καὶ ἄλλο, καὶ ὕπνοι κατὰ φύσιν. τρέπουσι δὲ καὶ οὗτοι τοὺς σφυγμοὺς, ἀρχόμενοι μὲν μικροτέρους καὶ βραδυτέρους καὶ ἀραιοτέρους καὶ ἀμυδροτέρους ἀπεργαζόμενοι, προϊόντες δὲ βραδύτητα μὲν ἐπιτείνουσι καὶ ἀραιότητα, καὶ μάλιστα κατὰ τροφήν. μείζους δὲ γίνονται καὶ σφοδρότεροι. χρονίσαντες δὲ πάλιν τρέπονται εἰς ἀμυδρότητα καὶ μικρότητα· φυλάττουσι δὲ βραδύτητα καὶ ἀραιότητα.

minus hieme. Ad hunc modum pro temporibus pulfus variant.

Pro regionibus perinde ut pro temporibus. In vehementer calidis, ficut media aeftate. In magnopere frigidis ut media hyeme. In temperatis ita ut medio vere; ad horum proportionem in iis, quae medium locum funt fortitae. Porro aëris nos circumdantis alii ftatus, qui calidi funt, calidis temporibus; frigidi frigidis, medii medio veri refpondent.

Praegnantium majores, crebriores, celeriores pulfus funt, caetera fecundum naturam fervantur.

Jam fomni etiam fint, fi quid aliud, naturales, qui et ipfi variant pulfus. Initio minores, languidiores, tardiores rarioresque reddunt. Poftea tarditatem pedetentim augent et raritatem praefertim a cibo, at majores funt et vehementiores. Tandem ad languorem et parvitatem redeunt; tarditatem et raritatem retinent.

Τῶν δ᾽ ἐξ ὕπνου μεταπεπτωκότων εἰς ἐγρήγορσιν ἐν μὲν τῷ παραχρῆμα μεγάλοι καὶ σφοδροὶ καὶ ταχεῖς καὶ πυκνοὶ καί τινα κλόνον ἔχοντες. μετ᾽ ὀλίγον δὲ εἰς συμμετρίαν ἔρχονται.

Αἱ δ᾽ ἐπίκτητοι σχέσεις τοῦ σώματος ὁμοίως ταῖς φυσικαῖς τρέπουσι τοὺς σφυγμούς. ὁ μὲν γὰρ ἰσχνὸς φύσει, γενόμενος εὔσαρκος, ἀνάλογον τῷ τοιούτῳ φύσει τὸν σφυγμὸν ἔχει. ὁ δὲ εὔσαρκος, ἰσχνὸς γενόμενος, τοῖς ἰσχνοῖς φύσει παραπλήσιον ἔχει τὸν σφυγμόν. δῆλον δὲ ὅτι χωρὶς τοῦ τὴν δύναμιν ὑπαλλάττεσθαι, τὴν κατ᾽ ἰσχνότητα καὶ εὐσαρκίαν διαφορὰν ἐξετάζειν χρή· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ὥστε καθ᾽ ἓν μόνον, ὑπὲρ οὗ τὸν λόγον ἑκάστοτε ποιούμεθα, τὴν τροπὴν γεγονέναι. ἅπερ δ᾽ ἐπὶ τῶν εὐσάρκων εἴρηται, ταῦτα καὶ ἐπὶ τῶν παχέων εἰρῆσθαι δοκεῖν χρὴ, ἐπιτεταμένα μᾶλλον.

Καὶ αἱ κράσεις δὲ τοῦ σώματος αἱ ἐπίκτητοι ταῖς φυσικαῖς κράσεσιν ἀνάλογον τρέπουσι τοὺς σφυγμούς.

Κεφ. ι΄. Ἑξῆς δὲ καιρὸς ἂν εἴη λέγειν τὰς ἄλλας τροπὰς τὰς ἐπὶ τοῖς οὐ φύσει γινομένας αἰτίοις. γυμνάσια κατ᾽

Qui expergiscuntur, e veftigio pulfus magnos, vehementes, celeres, crebros et cum quadam vibratione habent, qui mox mediocritatem affequuntur.

Adscititiae habitudines corporis perinde ut naturales pulfus immutant. Nam gracilis natura, fi quadratus evaferit, huic, qui talis natura eft, affimilem pulfum habet. Sin autem quadratus factus gracilis fit, affimilem gracilibus natura. Conftat vero gracilitatis et quadrati corporis, citra facultatis immutationem, aeftimandam differentiam effe; etiam in omnibus eodem aliis modo, ut unum id tantum ubique, de quo in praefenti disputemus, mutetur. Quae diximus de quadratis, eadem etiam de corpulentis dicta fuiffe eft putandum; nifi quod magis funt intenfa.

Jam etiam temperamenta corporis adscititia pulfus ea proportione mutant, qua naturalia temperamenta.

Cap. X. Nunc alias mutationes quae caufas habent non naturales, recenfeamus. Exercitationes primo, quae

ἀρχὰς μὲν, καὶ μέχρι τοῦ μετρίου, σφοδροτέρους τε καὶ μεγάλους καὶ ταχεῖς καὶ πυκνοὺς τοὺς σφυγμοὺς ἀπεργάζονται. πολλὰ δὲ καὶ ὑπὲρ τὴν δύναμιν τοῦ πονοῦντος, μικροὺς καὶ ἀμυδροὺς καὶ ταχεῖς καὶ πυκνοτάτους ἐσχάτως. ὑπερβαλλόντως δ᾽ ἄμετρα, ὥστε μόλις ἔτι κινεῖσθαι δύνασθαι, καὶ διὰ μακρῶν ἀναπαύσεων, ἢ μηδόλως· ἀλλ᾽ ἱκανῶς ἐκλύεσθαι, πάνυ μικροὺς καὶ ἀμυδροὺς καὶ βραδεῖς καὶ ἀραιοὺς ἐργάζεται τοὺς σφυγμούς. εἰ δὲ εἰς διάλυσιν τῆς δυνάμεως καταστρέφοι, τοὺς ἐκείνης ἰδίους. εἰρήσεται δὲ μικρὸν ὕστερον, ὁποίους διαλυομένη δύναμις ἐργάζεται σφυγμούς.

Λουτρὰ δὲ θερμὰ μὲν μεγάλους καὶ ταχεῖς καὶ πυκνοὺς καὶ σφοδροὺς, ἔστ᾽ ἂν εἴη σύμμετρα. τὰ δὲ ἄμετρα, μικροὺς καὶ ἀμυδροὺς, ὠκεῖς δ᾽ ἔτι, καὶ πυκνούς. εἰ δ᾽ ἐν τούτῳ μὴ παύσαιντο, μικροὺς καὶ βραδεῖς καὶ ἀραιοὺς καὶ ἀμυδρούς.

Λουτρὰ δὲ ψυχρὰ παραχρῆμα μὲν μικροὺς καὶ βραδεῖς καὶ ἀραιοὺς καὶ ἀραιοτέρους. εἰς ὕστερον δὲ οἷον ἄν τι καὶ τύχῃ ἐργασάμενα. πάντως γὰρ ἢ νάρκωσιν, ἢ ῥῶσιν.

moderatae ſunt, vehementes, magnos, celeres, crebros pulſus efficiunt. Si multae ſint et vires excedant laborantis, parvos, languidos, celeres et crebros in ſummo. Nimium immodicae, adeo ut aegre jam ſe poſſit movere et multis interpoſitis quietibus, aut nihil prorſus poſſit, ſed exolutae vires impenſe ſunt, pulſus mire parvos et languidos tardosque et raros. Quod ſi ad virium diſſolutionem perveniant, pulſus creant illi proprios. Quales autem excitet pulſus facultas, quae diſſolvitur, dicemus paulo inferius.

Balnea vero calida quidem quamdiu ſunt moderata, pulſus creant magnos, celeres, crebros, vehementes. Immoderata vero parvos et languidos, tamen adhuc celeres ac crebros. Quod ſi hic relinquantur, parvos, languidos, tardos atque raros.

Balnea frigida illico parvos ac languidiores et tardos rarosque pulſus efficiunt, poſtea prout id ſit, quod induxerunt, omnino vel torporem inducent, vel robur.

ναρκώσαντα μὲν οὖν καὶ καταψύξαντα μικροὺς καὶ ἀμυδροὺς καὶ βραδεῖς καὶ ἀραιοὺς, ἐκθερμήναντα δὲ καὶ ῥώσαντα μεγάλους μὲν καὶ σφοδροὺς, τάχει δὲ καὶ πυκνότητι συμμέτρους.

Σιτία πολλὰ μὲν, ὥστε βαρῦναι τὴν δύναμιν, ἀνωμάλους τε καὶ ἀτάκτους τοὺς σφυγμοὺς ἐργάζεται. Ἀρχιγένης δέ φησιν, ὠκυτέρους πλέον καὶ πυκνοτέρους. τὰ δὲ σύμμετρα μεγάλους καὶ σφοδροὺς καὶ ταχεῖς καὶ πυκνούς. τὰ δὲ ἐλάττονα, ὥστε μὴ τρέφειν αὐτάρκως, οὐχ ὁμοίως τοῖς συμμέτροις, ἀλλ' ἐλάττονα τὴν τροπὴν ἐργάζεται, καὶ μέχρι χρόνου βραχέος.

[7] Οἶνος τὰ μὲν ἄλλα παραπλησίως σιτίοις τρέπει τοὺς σφυγμοὺς, διαφέρει δὲ τῷ παραχρῆμα τὴν τροπὴν ἐργάζεσθαι καὶ τῷ προτέραν παύεσθαι τὴν ἀπὸ οἴνου τῆς ἀπὸ τῶν σιτίων, καὶ τῷ τὸ τάχος πλέον αὔξειν, καὶ τὸ μέγεθος, ἤπερ τὴν σφοδρότητα καὶ τὴν πυκνότητα. σχεδὸν γὰρ ὅσῳ σφοδροτέραν τε καὶ διαρκεστέραν τὴν ἰσχὺν τοῦ σώματος ἡ σύμμετρος τροφὴ παρέχει, τοσούτῳ τὸ μέγεθος ὁ οἶνος ἐξαίρει.

Quae torporem intulerunt et refrigerarunt, parvos et languidiores et tardos rarosque efficiunt. Quae excalfecerunt et robur conciliarunt, magnos, vehementes, celeritate et frequentia moderatos.

Cibus largus, ut etiam gravet facultatem, pulfus inaequales atque inordinatos concitat. Archigenes vult celeriores magis quam crebriores. Modicus, magnos, vehementes, celeres, crebros. Parcior quam qui fatis nutriat, non aeque ac moderatus, caeterum minus mutat, neque id diu.

Vinum pulfus caetera quidem, ut cibus, variat; hoc vero intereft, quod illico immutet et citius mutatio a vino profecta recedat, quam illa, quae a cibo: quod item celeritatem amplius et magnitudinem, quam vehementiam et crebritatem augeat. Quanto enim vehementius moderatus cibus conftantiusque robur conciliat, tantum fere vinum extollit magnitudinem.

Ὕδωρ ἁπάντων τῶν προσφερομένων βραχυτάτην τροπὴν ἐργάζεται, πλὴν ἀνάλογον σιτίοις, καὶ τοῦτο τρέπει.

Τὰ δὲ ἄλλα πάντα, καθ᾽ ὅσον ἂν ἢ τρέφειν, ἢ θερμαίνειν, ἢ ψύχειν δύνηται, κατὰ τοσοῦτον καὶ τὴν τῶν ἀρτηριῶν κίνησιν μεταβάλλει. οὕτω μὲν ἐπὶ τοῖς οὐ φύσει καλουμένοις αἰτίοις οἱ σφυγμοὶ τρέπονται.

Κεφ. ιά. Τὰς δὲ ἐπὶ τοῖς παρὰ φύσιν αἰτίοις τροπὰς ἐφεξῆς λέγωμεν, ὑπομνήσαντες πρότερον ὅσα τῇ τοῦ λόγου κοινωνίᾳ συνεγράφη τῶν παρὰ φύσιν. καταστάσεις οὖν ἀέρος καὶ πλῆθος σιτίων, ὥστε βαρῦναι τὴν δύναμιν καὶ γυμνασίων καὶ λουτρῶν καὶ ὕπνων ἀμετρίαι παρὰ φύσιν, αἱ γὰρ κατὰ ποσὸν ὑπερβολαὶ τῶν κατὰ φύσιν καὶ τῶν οὐ φύσει λεγομένων αἰτίων εἰς τὸ παρὰ φύσιν μεθίστανται. τῶν δὲ οὐ μόνον τῷ ποσῷ παρὰ φύσιν, ἀλλὰ καὶ τῷ γένει, τὸ μὲν πλῆθος ἄπειρον, καὶ διὰ τοῦτο ἀπερί(4)ληπτον. ἡ δὲ τέχνη κᾀν τούτοις συνίσταται καθ᾽ ὅσον ἐνδέχεται γένεσί τε καὶ εἴδεσιν ὡρισμένοις μετροῦσα τὸ ἄπειρον. ἕκαστον γὰρ τῶν παρὰ φύσιν αἰτίων οὐκ ἄν τις ἄπο τρόπου φαίη τὸ μὲν

Aqua minimam omnium ciborum et potuum mutationem inducit, quamquam perinde ut cibi et haec mutet.

Reliqua omnia, quatenus nutrire valent, vel calefacere vel refrigerare, hactenus arteriarum motum variant. Ad hunc modum ex caufis, quae non naturales appellantur, pulfus immutantur.

Cap. XI. Nunc mutationes ex caufis praeter naturam exponamus, illaque commemoremus prius quae jam de caufis praeter naturam communitate orationis confcripfimus. Ac aëris ftatus, ciborum copia, ut facultatem gravet, ad haec exercitationes et balneae fomnique immodici praeter naturam funt. Exceffus enim in quantitate naturalium caufarum et non naturalium defciscunt ad ftatum praeter naturam. At caufarum quae non quantitate modo, fed et genere funt praeter naturam, immenfus eft numerus; itaque nec poteft comprehendi. Ars vero in his quoque conftat generibus et speciebus, quantum fieri poteft, certis, infinitum complectens. Etenim quamlibet caufam praeter natu-

οἷον λύειν τε καὶ σκεδαννύειν τὴν ζωτικὴν δύναμιν, τὸ δὲ οἷον θλίβειν τε καὶ βαρύνειν. λύεται μὲν οὖν ἡ δύναμις τροφῆς ἀπορίᾳ, καὶ νοσημάτων κακοηθείᾳ, καὶ ψυχικῶν παθῶν ἰσχύϊ, καὶ ἀλγημάτων σφοδρότησιν, ἢ μήκεσι, καὶ κενώσεσιν ἀμέτροις. βαρύνεται δὲ ὑπό τε πλήθους ὕλης καὶ ὑπὸ τῶν ἐν τοῖς ὀργάνοις παθῶν, οἷον φλεγμονῶν καὶ σκίῤῥων καὶ ὄγκων καὶ ἀποστάσεων καὶ φθορῶν πολυειδῶν. ἡ μὲν οὖν λυομένη δύναμις μικρὸν καὶ ἀμυδρὸν καὶ πυκνὸν ἄγαν ἐργάζεται τὸν σφυγμὸν, ἡ δὲ θλιβομένη τε καὶ οἷον βαρυνομένη εἰς ἀνωμαλίαν τε καὶ ἀταξίαν τρέπει τοὺς σφυγμοὺς τήν τε ἄλλην ἅπασαν καὶ τὴν κατὰ σφοδρότητα καὶ μέγεθος. αὗται γὰρ ἴδιαι μάλιστα θλιβομένης δυνάμεως ἀνωμαλίαι, καὶ τῆς μὲν μεγάλως βαρυνομένης ἐπὶ πλείοσι διαφοραῖς, τῆς δ᾽ ἐπ᾽ ὀλίγον ἐν ὀλίγαις, καὶ πλείονες μὲν οἱ μεγάλοι σφυγμοὶ τῶν σμικρῶν καὶ οἱ σφοδροὶ τῶν ἀμυδρῶν ἐπὶ μικρᾷ τῇ βλάβῃ. τὸ δ᾽ ἐναντίον ἐν τῇ μεγάλῃ. καὶ ἀπόλλυνται δέ τινες ὅλαι κινήσεις, καὶ παρεμπίπτουσιν ἐν ταῖς τοιαύταις διαθέσεσιν. ἀλλ᾽ αἱ μὲν παρεμπίπτουσαι μικροτέραν

ram non abs re dixeris vel diffolvere vitalem facultatem et diffipare, vel quafi deprimere gravareque. Diffolvitur facultas alimenti inopia et morborum malignitate, animique affectuum vi, atque vehementia dolorum, vel diuturnitate, denique immodicis vacuationibus. Gravatur a materiae copia et ab inftrumentorum affectibus, ut inflammationibus, fcirrhis, tumoribus, abfceffibus, variisque corruptionibus. Itaque fatiscens facultas pulfum parvum, languidum et crebrum admodum efficit. Depreffa et quafi gravata vertit in inaequalitatem pulfus et in ordinem perturbatum cum omnem alium, tum vero vehementiae et magnitudinis. Hae fiquidem in primis inaequalitates propriae funt facultatis preffae, ac gravatae infigniter, in pluribus differentiis, parum in paucis. Etiam pulfus plures parvis magni funt et languidis vehementes, quum parva fit offenfa; contra, fi magna. Jam nonnulli pereunt etiam integri motus in ejuscemodi affectibus, intercurruntque; verum minorem intercurrentes noxam,

τὴν βλάβην, αἱ δὲ ἀπολλύμεναι μείζονα δηλοῦσιν. αὗται μὲν αἱ κοιναὶ τροπαὶ πάσης λύσεώς τε καὶ θλίψεως· τὸ δὲ ἴδιον ἑκάστη προσλαμβάνει παρὰ τὴν ποιήσασαν αἰτίαν. τῆς μὲν οὖν ὑπ᾽ ἐνδείας λυομένης δυνάμεως ἡ τροπὴ τῶν σφυγμῶν, κατ᾽ ἀρχὰς μὲν εἰς ἀμυδρότητα καὶ μικρότητα καὶ τάχος καὶ πυκνότητα γίγνεται, μεσούσης δὲ εἰς ἀμυδρότητα καὶ μικρότητα καὶ βραδύτητα καὶ ἀραιότητα, τελευτώσης δὲ εἰς ἐσχάτην μικρότητα καὶ ἀμυδρότητα καὶ πυκνότητα καὶ τάχους ψευδῆ φαντασίαν. οὗτός ἐστιν ὁ μυρμηκίζων καλούμενος. ὁ δὲ σκωληκίζων σφυγμὸς γίνεται μὲν καὶ αὐτὸς λυομένης ἤδη τῆς δυνάμεως, ἀλλ᾽ ἐπ᾽ ὀλίγον ἀντεχού[8]σης ἔτι. καὶ διαφέρει τοῦ μυρμηκίζοντος τῷ μηκέθ᾽ ὁμοίως εἰς ἐσχάτην ἀμυδρότητα καὶ μικρότητα συνεστάλθαι, καὶ φανερὸν ἔχειν τὴν κατὰ μίαν πληγὴν ἀνωμαλίαν, τὴν περὶ τὸ πρωϊαίτερον, ἢ ὀψιαίτερον τῶν μερῶν ἀρχομένων κινεῖσθαι γιγνομένην. ὅθεν ἧττον βραδὺς, ἢ μικρός ἐστι. ἔσθ᾽ ὅτε δὲ οὐδ᾽ ὅλως βραδύς. διόπερ καὶ ἥκιστα μοχθηρός ἐστι. αἱ μὲν οὖν ὑπὸ τῶν ὀλεθρίων καὶ ὀξέων πυρετῶν γιγνόμεναι συγκοπαὶ τὸν σκωληκίζοντα σφυγμὸν οὐκ ἴσχουσι, ταῖς δὲ

deperditi graviorem fignificant. Communes igitur funt hae omnes tum diffolutionis, tum oppreffionis facultatis mutationes. Peculiares accipit quaeque ex caufa efficiente. Ergo quum diffoluta a penuria facultas fit, fiunt pulfus primo languidi, parvi, celeres atque crebri; in medio languidi, parvi, tardi, rarique; tandem extreme parvi, languidi et crebri, praebentque celeritatis falfam fpeciem. Hic ille eft, qui vocatur formicans. Vermiculans autem, fit ille quidem etiam fatiscente jam facultate, fed nonnihil tamen renitente adhuc, diffidetque hac re a formicante, quod non ita in extremam contractus eft remiffionem et parvitatem et quod aperte in uno ictu inaequalis eft partibus, vel citius, vel tardius incipientibus moveri; quamobrem minus tardus quam parvus eft, nonnunquam nequaquam tardus, quocirca minime parvus eft. Proinde quas exitiales febres et acutae concitant fyncopas, hae pulfum vermiculantem prorfus non habent.

ἄλλαις λύσεσι τῆς δυνάμεως ὡς ἐπὶ τὸ πολὺ μὲν οἱ σκωληκίζοντες ἕπονται, καὶ τούτων μάλιστα ταῖς χωρὶς πυρετῶν γινομέναις, ἢ μετὰ μικρῶν πάνυ. ταῦτ᾽ ἄρα καρδιακαῖς μὲν συγκοπαῖς οἱ μυρμηκίζοντες, χολέραις δὲ καὶ ἰσχυροῖς ῥεύμασι κοιλίας, καὶ αἱμοῤῥαγίαις, καὶ γυναικείῳ ῥῷ, καὶ πᾶσι τοῖς ὀξέως κενωτικοῖς πάθεσιν ἐπιπλεῖστον μὲν οἱ σκωληκίζοντες, ἐν ἐσχάτοις δὲ οἱ μυρμηκίζοντες ἕπονται. ὅταν δὲ χωρὶς πυρετῶν ταῦτα συμπίπτῃ, τότε δὴ καὶ μᾶλλον εὑρήσεις τὸν σκωληκίζοντα σφυγμὸν, σαφῆ τε ἅμα καὶ μέχρι πλείστου παραμένοντα. τοιαῦται μὲν αἱ κοινόταται τῶν παρὰ φύσιν αἰτίων τροπαί.

Κεφ. ιβ΄. Καὶ κατ᾽ εἶδος δὲ αὐτὰς ἑξῆς ἐροῦμεν.

Θυμοῦ μὲν ὑψηλός ἐστιν ὁ σφυγμὸς καὶ μέγας καὶ σφοδρὸς καὶ ταχὺς καὶ πυκνός.

Ἡδονῆς δὲ μέγας καὶ ἀραιὸς, οὐ μὴν σφοδρότητί γε διάφορος.

Λύπης δὲ σμικρὸς καὶ βραδὺς καὶ ἀμυδρὸς καὶ ἀραιός.

Φόβου δὲ τοῦ μὲν ὑπογυίου καὶ σφοδροῦ ταχὺς καὶ κλονώδης καὶ ἄτακτος καὶ ἀνώμαλος, τοῦ δὲ ἤδη κεχρονισμένου

Reliquas facultatis diffolutiones fere comitantur vermiculantes, has potiffimum, quae febribus non funt conjunctae, aut quam minutis. Quare cardiacas fyncopas, formicantes; choleras et validos ventris fluxus, fanguinis profluvia, profluvium muliebre, omnes denique vehementer vacuantes affectus, plurimum comitantur vermiculantes; extremos, formicantes. Et fi his abfint febres, tum vero multo magis vermiculantem pulfum invenies cum clarum, tum admodum diuturnum. Hae caufarum praeter naturam communiffimae mutationes funt.

Cap. XII. Nunc fpeciatim eas explicabimus.

Irae altus eft pulfus, magnus, vehemens, celer et creber.

Laetitiae magnus et rarus, at vehementia nihil differt.

Triftitiae parvus, languidus, tardus et rarus eft.

Timoris recentis et vehementis celer et vibratus et inordinatus eft, inaequalisque. Inveterati jam talis qualis eft

οἷος ὁ τῆς λύπης. ἅπασι δὲ τούτοις εἰς μακρὸν χρονίζουσιν, ἢ σφοδροῖς ἄγαν γενομένοις, οἷοι διαλυομένης δυνάμεως ἕπονται σφυγμοί. καὶ γὰρ καὶ λύει τὴν δύναμιν ἅπαντα ταῦτα, συντόμως μὲν ὅσα ἰσχυρὰ, χρονίως δὲ ὅσα ἐναντία.

Ἄλγημα δὲ τὸ τρέπον τοὺς σφυγμοὺς, τρέπει δὲ ἢ τὸ ἰσχυρὸν, ἢ τὸ ἐν μορίοις κυρίοις, ὥσπερ καὶ ἡ φλεγμονὴ, μικρὸν μὲν ὂν ἔτι καὶ ἀρχόμενον μείζονα καὶ σφοδρότερον καὶ ὠκύτερον καὶ πυκνότερον τὸν σφυγμὸν ἐργάζεται, αὐξηθὲν δὲ καὶ ἰσχυρὸν πάνυ γενόμενον, ὡς ἀδικεῖν ἤδη τὸν ζωτικὸν τόνον, μικρότερον καὶ ἀμυδρότερον καὶ ταχὺν καὶ πυκνόν. καὶ ὅσῳ ἂν ἐγχρονίζῃ μᾶλλον ἢ σφοδρότερον γίνηται, τῶν εἰρημένων ἕκαστον ἐπιτείνεται. τὸ δὲ ἤδη διαλῦον τὴν δύναμιν εἰς ἀμυδρότητα καὶ μικρότητα καὶ τάχους ψευδῆ φαντασίαν, καὶ ὑπερβάλλουσαν πυκνότητα τὴν τροπὴν ἐργάζεται.

Φλεγμονῆς σφυγμὸς ὁ μὲν κοινὸς ἁπάσης οἷον ἐμπρίων ἐστὶν, ὡς δοκεῖν τὸ μέν τι διεστάλθαι τῆς ἀρτηρίας, τὸ δὲ μὴ, σκληροτέρας δηλονότι φαινομένης αὐτῆς. ἔχει δέ τι καὶ

triſtitiae. Haec omnia, ſi valde diuturna ſint multumque vehementia, pulſus, ut diſſoluta facultate, conſequuntur. Etenim diſſolvunt etiam facultatem haec omnia ſtatim, ſi valida ſint; diuturnitate, ſi non ſint valida.

Dolor, qui quidem variet pulſus (variat autem ingens, aut qui principes partes tenet, ut etiam inflammatio) dum parvus eſt, atque initio pulſum edit majorem, vehementiorem, celeriorem, crebriorem. Auctus vero jam et admodum validus, ut etiam vitale robur offendat, minorem, languidiorem, celerem, crebrum. Ac quo diuturnior fuerit, vel vehementior factus, hoc praedictum quodque magis intenditur. Qui vero facultatem jam diſſolvit, in remiſſionem et parvitatem et falſam celeritatis ſpeciem ingentemque crebritatem commutat.

Inflammatio habet omnis communem pulſum veluti ſerrantem, ut pars quidem arteriae dilatari videatur, alia vero minime, quae videlicet durior apparet. Habet etiam

κλονῶδες ὁ σφυγμὸς οὗτος. καὶ ταχὺς ἐστι καὶ πυκνὸς, οὐκ ἀεὶ δὲ μέγας. ὁ δὲ ἴδιος ἑκάστης ὁ μὲν τῆς ἀρχομένης μείζων τοῦ κατὰ φύσιν καὶ σφοδρότερος καὶ ὠκύτερος καὶ πυκνότερος. ὁ δὲ αὐξανομένης ἔτι ταῦτά τε προσαυξάνει πάντα καὶ σαφῶς τε ἤδη σκληρότερός ἐστι καὶ κλονωδέστερος. τῆς δὲ ἀκμαζούσης σαφέστερος μέν ἐστι καὶ σκληρότερος καὶ κλονωδέστερος, μικρότερος δὲ ἢ πρόσθεν, οὐ μὴν ἀμυδρότερός γε, πλὴν εἰ μὴ ὑπὲρ τὴν δύναμιν εἴη τὸ πάθος. ἀλλὰ καὶ πυκνότερος γίνεται καὶ ταχύς. εἰ δ' ἱκανῶς χρονίζοι, καὶ ἤδη σκληρύνοιτο σκιῤῥωδῶς, τοῖς εἰρημένοις [9] ἰσχνότης σφυγμοῦ καὶ σκληρότης προσγίνεται. ταῦτα ἐπὶ τῆς τὸν ἐν ὅλῳ τῷ ζώῳ σφυγμὸν τρεπούσης φλεγμονῆς ἢ διὰ τὸ μέγεθος, ἢ διὰ τὸ κύριον τοῦ μέρους ἐν ᾧ συνέστη. τῆς δὲ μὴ συγκινούσης τὸ πᾶν ὅ γε ἐν τῷ φλεγμαίνοντι μορίῳ σφυγμὸς οἷος εἴρηται. ἐπιτείνεται δὲ καὶ ἀνίεται τῶν εἰρημένων ἕκαστον ἢ παρὰ τὸ ποσὸν τῆς φλεγμονῆς, ἢ παρὰ τὴν αὐτοῦ τοῦ φλεγμαίνοντος ὀργάνου φύσιν. τὰ μὲν γὰρ νευρωδέστερα μέρη σκληροτέρους καὶ μᾶλλον ἐμπρίοντας καὶ μικροτέρους

vibrationis aliquid hic pulſus; ac celer quidem et creber eſt, non autem perpetuo magnus. At vero cuique eſt proprius, incipienti quidem major eo qui ſecundum naturam et vehementior et celerior et crebrior. Augescenti adhuc, quum illa omnia increscunt, tum clare jam durior et magis vibratus eſt. Vigenti autem manifeſtior eſt duriorque atque vibratus magis; ſed minor eſt, quam dudum, non tamen languidior, niſi facultatem excedat affectus; ſed et creberrimus fit et celer. Quae ſi diuturnior ſit, atque in ſcirrhum jam induresceat, accedit illis gracilitas pulſus et durities. Haec inflammatio habet, quae pulſum per totum corpus immutat, vel quia magna eſt, vel quia principem partem inſidet. Si vero univerſum corpus non afficiat, pulſus in parte inflammata talis erit, qualem diximus Crescunt autem quae commemoravimus ſingula diminuunturque, aut pro inflammationis quantitate, aut pro ipſius inſtrumenti natura inflammati. Siquidem partes nervoſiores duriores edunt pulſus, magis-

τοὺς σφυγμοὺς ἐργάζεται. τὰ δὲ φλεβωδέστερα καὶ ἀρτηριωδέστερα τοὺς ἐναντίους. αὐτῶν δὲ τούτων μείζων ὁ ἐν τοῖς ἀρτηριώδεσι· καὶ ῥᾳδίως ἀνώμαλος καὶ ἄτακτος γινόμενος. δῆλος οὖν ἤδη καὶ ὁ τῶν τὸ ἧπαρ φλεγμαινόντων σφυγμὸς, οἷος ἂν εἴη, καὶ ὁ τῶν τὸν σπλῆνα, καὶ ὁ τῶν τοὺς νεφροὺς, ἢ τὴν κύστιν, ἢ τὴν γαστέρα, ἢ τὸ κῶλον, καὶ πλευριτικῶν καὶ περιπνευμονικῶν καὶ πάντων ἁπλῶς εἰπεῖν ὧν τῇ τοῦ μέρους φλεγμονῇ πυρετὸς ἕπεται. πλὴν ὅσα διὰ μὲν τῶν συμπτωμάτων φύσιν τῶν τε ἐξ ἀνάγκης ἑπομένων αὐταῖς καὶ τῶν κατὰ τύχην συνδραμόντων, ὡς ἂν ἕκαστον τρέπειν δύνηται, καὶ τὸν σφυγμὸν ἐπὶ τοσοῦτον ἀλλοιοῦσθαι συμβήσεται, μικτῆς ἐν αὐτῇ τροπῆς γενομένης, τῆς δὲ κατὰ τὸν λόγον φλεγμονῆς, καὶ ἣν ἡ τοῦ τόπου φύσις, καὶ ἡ τοῦ παρόντος συμπτώματος ἐργάζεται. σπασθῆναι μὲν γὰρ τοῖς τὰς φρένας φλεγμαίνουσιν ἕτοιμον. πνιγῆναι δὲ τοῖς τὸν πνεύμονα. συγκοπῆναι δὲ τοῖς τὸ στόμα τῆς γαστρός. ἀτροφῆσαι δὲ τοῖς τὸ ἧπαρ. ἀπεπτῆσαι δὲ τοῖς τὴν γαστέρα. ἐπισχεθῆναι δὲ τὰ οὖρα τοῖς τοὺς νε(5)φρούς. καὶ τὰ μὲν αἰσθητικώτερα μέρη διὰ τὰς ὀδύνας τρέπει τοὺς σφυγμούς·

que ferrantes et minores. Quae autem venofae magis et arteriofae, contra; ac inter eos major eft in magis arteriofis atque inaequalis facile fit inordinatusque. Ex his liquet, qui pulfus fit illorum quibus inflammatum jecur eft, vel lien, renes, vefica, colon, ventriculus. Praeterea pleuriticorum et peripneumonicorum et breviter omnium in quibus partis inflammationem comitatur febris; nifi quibus in locis ob fymptomatum naturam, quae tum neceffario illas confequuntur, tum cafu adjuncta funt, prout quodque poffit mutare, ita pulfus contingat variari; ut mixta ibi mutatio fiat et quae inflammationi congrua eft et quam loci natura, vel praefentis inducit fymptomatis. Quibus enim inflammatum eft feptum transverfum, hi convulfionibus funt opportuni; quibus pulmo, fuffocationibus; quibus ventriculi os, fyncopis; quibus jecur, atrophiae; quibus ventriculus, cruditati; quibus renes, urinae fuppreffioni. Ad haec partes exquifitiore praeditae fenfu etiam propter dolores pulfus mutant;

τὰ δὲ ἀναισθητότερα κατὰ τὴν διάθεσιν μόνον. ἐκ τούτων οὖν ἁπάντων πολυειδεῖς αἱ ἀλλοιώσεις γίνονται τῶν ἐπὶ ταῖς φλεγμοναῖς σφυγμῶν, καὶ ὡς χρὴ διορίζειν αὐτὰς, εἴρηται μὲν ἐν ἑτέραις τελείως, εἰρήσεται δὲ καὶ νῦν, εἰς ὅσον τοῖς εἰσαγομένοις χρήσιμόν ἐστι.

Τῶν μὲν οὖν πλευριτικῶν ταχὺς καὶ πυκνὸς καὶ οὐ λίαν μέγας. δόξει δὲ εἶναι καὶ σφοδρός. ὁ δέ ἐστιν οὐκ ἀμυδρὸς μὲν, οὐ μὴν ἤδη καὶ σφοδρὸς, ὅσον ἐπὶ τῷ πάθει. τούτου γὰρ ἐπὶ πάντων μεμνῆσθαι χρὴ, τοῦ δεῖν ἐφ᾽ ἑκάστῳ τῶν πραγμάτων, ὅσον ἐπ᾽ ἐκείνῳ, τὴν τροπὴν ἐξετάζειν, διορίζοντας τὸ διά τι ἄλλο, καὶ μὴ δι᾽ ἐκεῖνο συμβεβηκός. ὁ τοίνυν τῶν πλευριτικῶν σφυγμὸς νευρωδεστέραν πως καὶ σκληροτέραν ἐργαζόμενος τὴν ἀρτηρίαν, ὡς ἂν εἰς σφοδρότητα τρέπων, ἀπατᾷ τοὺς ἀγυμνάστους, οὐ δυναμένους διακρίνειν σκληρὰν πληγὴν σφοδρᾶς. οὕτω δὲ καὶ ἄλλας πολλὰς διαφορὰς σφυγμῶν ἀδυνατοῦντες διακρίνειν οἱ πολλοὶ τῶν ἰατρῶν τάχα ἂν μέμψονται τοῖς ἐνταῦθα γεγραμμένοις, ἐξ ὧν αὐτοὶ μὴ συνίασι τῶν ὀρθῶς λεγομένων καταγιγνώσκοντες. ἀλλ᾽

quae hebetiore funt fenfu, duntaxat propter affectum. Igitur in inflammationibus varie pulfus ex his omnibus mutantur. Quae quemadmodum discernenda fint, cum alio loco exacte tractavimus, tum vero in praefentia, quantum interefl tironibus, perfequemur.

Pleuriticorum celer pulfus eft et creber, nec admodum magnus. Videbitur etiam vehemens effe. Eft ille vero non languidus quidem, fed tamen non vehemens ftatim, quantum ad affectum refert. Siquidem ubique oportet meminiffe, in quaque re mutationem effe quantum ad illam refert aeftimandam, diftinguendumque id, quod propter aliud quidpiam ac non propter illam accidit. Pulfus itaque pleuriticorum, quia nervofiorem quodammodo durioremque efficit arteriam, quafi converteret in vehementiam, imperitis imponit, qui durum ictum nequeunt a vehementi discernere. Ita quoque vulgus medicorum, quod alias etiam differentias pulfuum discernere nesciat, has fortaffis inftitutiones accufabit atque ex fua ignorantia damnabit recta praecepta. Ve-

οὐ χρὴ μηκύνειν ἐν τῷ νῦν λόγῳ περὶ αὐτῶν. γέγραπται γὰρ ἡμῖν ἰδίᾳ περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως. ἀσκεῖν οὖν παρακελεύομαι τόν τε λογισμὸν ἅμα καὶ τὴν ἁφὴν, ὡς ἐπ᾽ αὐτῶν τῶν ἔργων γνωρίζειν δύνασθαι τοὺς σφυγμοὺς, οἱ λόγῳ διακρίνειν μόνον. ἀρχὴ δὲ τῆς ἐπὶ τῶν ἔργων τριβῆς ἡ διὰ τοῦ λόγου διδασκαλία. καὶ γάρ τοι καὶ τῆς πυκνότητος οὐχ οἷόν τε τὸ ποσὸν λόγῳ ἑρμηνεῦσαι, καί τοι μεγάλην ἔχει διαφορὰν, ἢ ὑπερβαίνουσα τὸ εἰθισμένον μέτρον τῆς πλευρίτιδος, ἢ ἐλλείπουσα. τὰς μὲν γὰρ ὑπερβολὰς εἰς περιπνευμονίαν μεθισταμένης, ἢ συγκοπὴν ἀπειλούσης ἀνάγκη γίνεσθαι. τὰς δὲ ἐνδείας, εἰς καταφορὰν, ἢ νεύρων βλάβην τελευτᾷν. οὕτως δὲ καὶ τὸ τῆς ἀνωμαλίας εἶδος, τὸ μὲν οἷον ἐμπριστικὸν, ἴδιον οὐχ ἥκιστα πλευριτικῶν ὑπάρχον, ἀνιέμενον μὲν μαλακῆς καὶ ῥᾳδίως πεφθησομένης. ἐπιτεινόμενον δὲ χαλεπῆς καὶ δυσπέπτου γνώρισμα πλευρίτιδος. αἱ δὲ τοιαῦται [10] σὺν ἀσθενεῖ τῇ δυνάμει κινδυνώδεις ὀξέως· σὺν ἰσχυρᾷ δὲ ἢ χρονίως ἐπέφθησαν, ἢ εἰς ἐμπύημα μετέπεσον, ἢ φθινώδης αὐτὰς μαρασμὸς διεδέξατο. τῆς μὲν οὖν

rum non faciam, ut hic longior fim, quum feparatim de pulfibus dignoscendis fcripferim. Quare ut rationem exerceas fimul et tactum admoneo, ut in ipfis operibus pulfum poffis cognoscere, non discernere folum ratione. Principium vero exercitationis in ipfis operibus fermone expreffa doctrina. Quippe nequeas vel crebritatis quantitatem verbis explicare, tametfi multum interfit, excedat juftum pleuritidis modum, an non affequatur. Si quidem exceffus, ubi in peripneumoniam migrat, aut denuntiat fyncopen, neceffe eft fieri. Defectus in foporem, vel nervorum definere laefionem. Simili modo illa inaequalitatis fpecies, quae ferrantis imaginem praebet, in primis pleuritidis proprium eft fignum: fi remiffa eft, mollis et quae facile maturetur: fi vero magna, difficilis et admodum crudae pleuritidis. Tales cum imbecilla quidem facultate conjunctae periculum praefens habent, fi cum firma, aut tarde concoquentur, aut ad fuppurationem deflectent, aut tabidus eas excipiet marcor. Atque ejus

πεπτομένης ὁ σφυγμὸς πᾶσαν ἀποτίθεται καταβραχὺ τὴν παρὰ φύσιν τροπήν. τῆς δὲ εἰς ἐμπύημα μεταπιπτούσης οἱ τῶν ἐμπυημάτων ἴδιοι γίνονται. κατὰ ταὐτὰ δὲ καὶ τοῖς φθινωδῶς μαρανθησομένοις οἱ ἐπὶ τῶν μαρασμῶν.

Ἔστι δὲ τῶν ἐμπύων ὁ σφυγμὸς, ἄρτι μὲν ἀρχομένων οἷος ὁ τῆς ἀκμαζούσης φλεγμονῆς. αὕτη γὰρ καὶ αὐτῶν τῶν ἐμπυημάτων ἐστὶν ἀρχή. ἔσθ᾽ ὅτε δὲ καὶ ἀνώμαλος καὶ ἄτακτος, ἑκτικὸς δὲ πᾶσιν. ἤδη δὲ τοῦ πύου παρακειμένου, τὰ μὲν ἄλλα παραπλήσιος, ἀλλ᾽ ὁμαλώτερος. ἐπὶ δὲ ταῖς ῥήξεσιν ἀμυδρότερος καὶ πλατύτερος καὶ βραδύτερος καὶ ἀραιότερος.

Ὁ δὲ τῶν μαραινομένων οὐ καθ᾽ ἓν εἶδος τρέπεται σφυγμός. χρὴ δὲ ἐφ᾽ ὅσον ἐνδέχεται, διαφοραῖς εὐδήλοις διορίσασθαι περὶ αὐτῶν. οἱ μὲν δὴ ταῖς μὴ λυθείσαις φλεγμοναῖς κατὰ βραχὺ συναπομαρανθέντες ἀμυδροὺς καὶ θάττονας καὶ πυκνοὺς ἄγαν καὶ μυούρους κατὰ μέγεθος ἐν μιᾷ πληγῇ τοὺς σφυγμοὺς ἴσχουσιν. οὓς Ἀρχιγένης ἐπινενευκότας τε καὶ περινενευκότας καλεῖ, σαφῶς δηλοῦν βουλόμενος τὸ κατὰ τὴν διαστολὴν βραχὺ, μετὰ τῆς τῶν ἑκατέρωθεν περάτων

quae concoquitur, pulfus pedetentim omnem deponit illam praeter naturam mutationem. Quae deflectit ad fuppurationem, habet pulfus fuppuratorum proprios. Ita quoque quae tabide marcescet, pulfus marcorum.

Suppuratorum pulfus initio ftatim pulfum refert vigentis inflammationis. Hoc enim initium eft fuppurationum. Nonnunquam inaequalis eft et inordinatus, fed omnibus hecticus. Quum autem pus prope fit maturum, caetera fimilis eft, nifi quod aequalior fit; at quum erumpit, languidior, latior, tardior, rariorque.

Marcescentium pulfus non uno modo variat. Quare differentiis hi quam apertiffimis discernendi funt. Qui una cum inflammatione quae non discuffa fit, commarcuerint, languidos et celeriores mireque crebros pulfus habent ac decurtatos magnitudine in uno ictu. Quos Archigenes innuentes et circonnuentes appellat, ut aperte declaret diftentionis brevitatem, cum utriusque extremitatis quafi inclinatione.

οἷον ἐπινεύσεως, οὐ γὰρ ὡς ἀποκεκομμένων ἀθρόως, ἀλλ' ὡς ἐπικεκαμμένων τῶν ἑκατέρωθεν μερῶν εἰς βραχὺ συνέσταλται, μύουρος ὢν τῷ μεγέθει καθ' ἑκάτερα τὰ μέρη. τοῦτο μὲν οὖν οὐ τούτοις μόνοις, ἀλλὰ καὶ τοῖς πλείστοις τῶν ὁπωσοῦν μαραινομένων ὑπάρχει. τοῖς μὲν οὖν διὰ φλεγμονὰς πᾶσιν, ἤδη δὲ καὶ τῶν ἄλλων τοῖς πολλοῖς, εἰ μή τι ἄρα καὶ ἐκεῖνοι διά τινας φλεγμονὰς λανθανούσας μαραίνονται. καὶ εἴη ἂν οὗτος τῶν ἐπὶ φλεγμοναῖς μαραινομένων ἴδιος, οὐδενὶ τῶν ἄλλως μαρανθέντων ὑπάρχων. ἑκτικὸς δὲ ἅπασι τοῖς μαραινομένοις σφυγμός ἐστι, καὶ τοῦτο αὐτοῖς κοινότατον. ἐν δευτέρῳ δὲ ἡ κατὰ τὸ μέγεθος τῆς διαστολῆς ἀνωμαλία μυουρίζουσα. καὶ γὰρ καὶ τοῦτο τοῖς πλείστοις ὑπάρχει. τρίτον δὲ τὸ τῆς πυκνότητος. ὑπάρχει γὰρ καὶ τοῦτο πᾶσι μὲν τοῖς ἐπὶ φλεγμοναῖς μαρανθεῖσιν ἀχώριστον. ἀλλὰ καὶ τοῖς ἐπὶ καρδιακαῖς διαθέσεσιν, ἢ στομαχικαῖς συγκοπαῖς ὀξέως κινδυνεύουσιν, εἶτ' ἀπὸ οἴνου πόσεως διαφυγοῦσι μὲν τὴν ὀξύτητα, μαρανθεῖσι δὲ τῷ χρόνῳ, εἰ μή τις ἄρα καὶ τούτους φαίη τις ἐπὶ μικραῖς φλεγμοναῖς ἀδήλοις ἡμῖν ἀπόλλυσθαι.

Neque enim ut praecifis affatim, fed ceu partibus utrinque inflexis, contrahitur decurtatus magnitudine et in utrisque partibus. Atque hoc quidem non hi modo, fed marcescentes qualibet ex occafione habent fere omnes; qui ex inflammatione marcescunt, omnes; et alii item multi; nifi illi fane, qui ex occulta quapiam inflammatione marcescunt, eritque hic marcescentium ex inflammatione proprius', nulli conveniens, qui aliam ob caufam marcuerit. At hecticus omnibus marcescentibus pulfus eft; qui quidem iis eft communiffimus; fecundum illum, inaequalitas diaftoles magnitudine decurtata, quae etiam adeft plerisque, tertia vero crebritas. Etenim haec quoque omnibus qui ex inflammatione marcuerint, perpetua adhaeret, omnibusque adeo qui ob fyncopen, ex corde, vel ftomacho affecto profectam in praefens periculum venerunt ac deinde vini potione declinaverunt periculum, fed tempore tamen marcuerunt, nifi fane hos quoque dicas, ex parvis inflammationibus perire nobis incognitis.

Ed. Chart. VIII. [10.] Ed. Baſ. III. (5.)

καὶ γάρ τινες αὐτῶν τὸν ἐπινενευκότα σφυγμὸν ἔχουσι, εἰ μή τι ἄρα πάλιν τούτους μὲν ἐπὶ φλεγμοναῖς, τοὺς δὲ ἄλλους ἄνευ φλεγμονῆς μαραίνεσθαι φήσει τις. τοῦτο μὲν οὖν ἄπορον. ἔχουσι δὲ οὗτοι σφυγμὸν ἑκτικὸν, ἤτοι ἀμυδρὸν, πυκνὸν ἄγαν, καί τινες αὐτῶν τὸν ἐπινενευκότα. δευτέρα μὲν δὴ αὕτη διαφορὰ σφυγμοῖς τοῖς μαραινομένοις. ἄλλη δὲ τρίτη τῶν ἀραιὸν ἰσχόντων. ἀλλὰ καὶ τούτοις πάντως ὅ τε προηγησάμενος πυρετὸς ἐπύκνωσεν αὐτὸν, καὶ ἡ ἐσχάτη λύσις τῆς δυνάμεως ἱκανῶς πυκνοῖ. τοὐμμέσῳ δὲ πάντων μὲν πυρετῶν ὑποψυχθέντων, μηδέπω δὲ ἀπολλυμένων αὐτῶν τὴν εἰς ἀραιότητα τροπὴν εἰργάσατο. τοῦτο δὲ τὸ εἶδος τῶν μαρασμῶν πρεσβυτικῆς ἡλικίας ἴδιον, ἡνίκα ἂν μάλιστα τῶν κατὰ θώρακα καὶ πνεύμονα πεπονθός τι τύχῃ. οὗτοι τὴν πυρεκτικὴν σκληρότητα τοῦ σφυγμοῦ φυλάττουσι, κἂν ἀραιὸς ᾖ. παντελῶς δὲ ὀλίγοις τῶν μαραινομένων εἰς ἄλλην ἀνωμαλίαν ὁ σφυγμὸς τρέπεται, πλὴν τῆς εἰρημένης κατὰ τὸ μέγεθος.

Ὁ δὲ τῶν φθισικῶν ὀνομαζομένων σφυγμὸς μικρὸς καὶ ἀμυδρός ἐστι καὶ μαλακὸς καὶ ταχὺς συμμέτρως καὶ ἑκτικός.

Siquidem ſunt inter eos qui innuentem habeant pulſum; niſi etiam hos dicas ex inflammatione alios citra inflammationem marceſcere. Verum hoc in dubio eſt. Pulſum igitur hi habent hecticum, languidum, admodum crebrum, quem innuentem quidam appellant. Atque alteram hanc marceſcentes differentiam pulſuum ſunt ſortiti. Alia item tertia eſt eorum qui raram habent; verum et his quum antegreſſa febris pulſus reddidit crebros, tum facultatis extrema diſſolutio abunde efficit crebros. Quod autem intercedit, omnibus quidem refrigeratis febribus, nondum tamen extinctis iis, in raritatem commutat. Genus hoc marcoris ſenibus proprium eſt, praeſertim quum aliquid vitii pulmo et thorax contraxit. Hi febrilem retinent pulſus duritiem, etiam ſi rarus ſit. Omnino paucis marceſcentibus in aliam inaequalitatem pulſus, ac illam quam diximus, magnitudinis vertitur.

Phthiſicorum, quos vocant, pulſus parvus et languidus eſt mollisque et modice celer atque hecticus.

Ὁ δὲ τῶν περιπνευμονικῶν μέγας ἐστὶ, καὶ κυματῶδές τι ἔχων, καὶ ἀμυδρὸς καὶ μαλακὸς, ὁμοίως τῷ τῶν ληθαργικῶν, πλὴν ὅσα πλεονάζει τῇ ἀνωμαλίᾳ, τῇ τε [11] κατὰ μίαν πληγὴν καὶ τῇ συστηματικῇ καλουμένῃ· κατὰ μὲν τὴν μίαν πληγὴν οἷον διακεκομμένος τε καὶ κυματιζόμενος καὶ δίκροτος ἔσθ᾽ ὅτε γινόμενος· ἐν δὲ τῇ συστηματικῇ τάς τε ἄλλας διαφορὰς ἔχει, καί ποτε μὲν διαλείπει, ποτὲ δὲ παρεμπίπτει. πυρεττόντων δ᾽ ἁπάντων τῶν περιπνευμονικῶν ὀξέως, καί τι καὶ κωματῶδες ἐχόντων, ὁπότερον ἂν αὐτῶν ἐπικρατῇ, κατ᾽ ἐκεῖνο μάλιστα τὸ ποσὸν τῆς πυκνότητος εὑρίσκεται. πυρωδεστέρας μὲν ὑπαρχούσης τῆς περιπνευμονίας, ἱκανῶς ὁ σφυγμὸς πυκνός ἐστι· κωματωδεστέρας δὲ ἧττον πυκνός ἐστι.

Ὁ δὲ τῶν ληθαργικῶν σφυγμὸς ὅμοιος ὢν τῷ τῶν περιπνευμονικῶν κατά τε μέγεθος καὶ ἀμυδρότητα καὶ μαλακότητα καὶ βραδύτερος αὐτοῦ ἐστι καὶ ἀμυδρότερος καὶ ἧττον ἀνώμαλος καὶ διαλείπων μᾶλλον ἢ παρεμπίπτων. γίγνεται δὲ ἔσθ᾽ ὅτε καὶ δίκροτος. ἀεὶ μέντοι κωματώδης ἐστὶ, ἔν γε ταῖς βαθείαις καταφοραῖς, ἐφ᾽ ὧν ταῦτα λέγεται. τῶν γὰρ (6) συμπεπληρωμένων ἅπασι τοῖς ἑαυτῶν γνωρίσμασι νοση-

Peripneumonicorum magnus eft pulfus et undofi quid habens et languidus mollisque fimiliter atque lethargicorum pulfus; nifi quatenus praepollet inaequaliter et in uno pulfu et collectiva, quam vocant. In uno ictu, quum veluti interpellatur, et undofus eft ac dicrotus interdum fit; in collectiva, quum alias differentias habet, tum modo intermittit, modo intercurrit. Quum autem acute omnes peripneumonici febricitant, tum nonnihil comatis habent; utrum excellat horum, ex ejus maxime ratione crebritatis quantitas invenitur. Ubi ardentior febris adjuncta peripneumoniae fit, pulfus abunde creber eft; fi comatofior, minus creber.

Lethargicorum pulfus fimilis peripneumonicorum eft magnitudine, imbecillitate, mollitudine; fed eo eft tardior rariorque ac minus inaequalis, intermittens potius quam intercurrens. Fit autem interdum dicrotus. At undofus femper in altis quidem foporibus eft, de quibus haec dicuntur. Morborum enim pulfus exponimus, qui omnibus fuis indi-

μάτων τοὺς σφυγμοὺς διέξιμεν, ἵνα καὶ τῶν ἐλλειπόντων κατά τι καὶ μηδέπω τελείων ἱκανῶς γνωρίζειν δυνηθῶμεν τὸ μέγεθος, ὅσον τε ἤδη ἔχουσι καὶ ὅσον οἷόν τέ ἐστι προσγενέσθαι αὐτοῖς. ἐπειδὴ δὲ πολλάκις μὲν ἀνωμαλίας ἐμνημονεύσαμεν, ὀλιγάκις δὲ ἀταξίας, εἰδέναι χρὴ τοῦτο καθόλου, ταῖς ἀνωμαλίαις ὡς τὸ πολὺ τὴν ἀταξίαν ἑπομένην. σπανίως δὲ ἔστιν εὑρεῖν ἀνώμαλον σφυγμὸν τεταγμένον. αἱ μὲν οὖν μικρότεραι βλάβαι τοὺς ἀνωμάλους καὶ τεταγμένους, αἱ δὲ μείζονες τοὺς ἀνωμάλους καὶ ἀτάκτους σφυγμοὺς ἐργάζονται.

Ὁ δὲ τῶν φρενιτικῶν σφυγμὸς μικρός ἐστι· σπανιώτατα δὲ ὤφθη ποτὲ μέγας καὶ τόνου μετρίως ἔχει. καὶ σκληρὸς καὶ νευρώδης ἐστὶ καὶ πυκνὸς καὶ ἄγαν ταχύς. ἔχει δέ τι καὶ κυματῶδες. ἐνίοτε δὲ καὶ ὑποτρέμειν σοι δόξειε· ποτὲ δὲ καὶ ἀποκεκόφθαι σπασμωδῶς. τὸ γὰρ τῶν πυρετῶν ἴδιον ἐν τῷ τάχει σύμπτωμα μάλιστα οὗτος ἐναργῶς ἐκτήσατο κατ᾽ ἀμφότερα τῆς διαστολῆς τὰ πέρατα, καὶ μᾶλλον τὸ ἔξω. ἔστι δὲ καὶ τὸ τῆς κατὰ τὴν θέσιν ἀνωμαλίας εἶδος εὑρεῖν ἐν αὐτοῖς σφοδρῶς γενόμενόν ποτε. ἀλλὰ καὶ ὅλη σοι

ciis conftent, quo, fi qui aliquatenus deficiant, neque dum fint integri, fatis cognoscere magnitudinem, et qua jam funt praediti et quae accedere iis poteft, valeamus. Sed quoniam inaequalitatis faepe meminimus, raro autem perturbationis ordinis, hoc in univerfum fciendum eft, fere inaequalitates comitari perturbationem ordinis. Ac inaequalem pulfum, qui fit ordinatus, raro invenias. At nimirum minores offenfae inaequales et ordinatos, majores inaequales pulfus atque inordinatos creant.

Phreniticorum parvus pulfus eft; rariffime autem confpectus eft magnus effe. Validus eft modice. Durus et nervofus eft, valde eft celer et creber. Habet praeterea nonnihil undofi. Interdum fubtremere tibi videbitur; interdum etiam praecifus cum convulfione quadam. Quod enim febres in celeritate proprium habent fymptoma, hic obtinet clare in utroque termino diftentionis, praecipue externo. Invenias etiam inaequalitatis in fitu genus infigniter aliquando in illo apparere; imo totam fubinde arteriam, fua

δόξει πολλάκις ἡ ἀρτηρία καταλιποῦσα τὸν ἑαυτῆς τόπον, ἄνω φέρεσθαι κλονωδῶς, ἀναβρασσομένη μᾶλλον, οὐ σφυγματωδῶς διαστελλομένη. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ κάτω χωρεῖ κατασπωμένη μᾶλλον ἢ συστελλομένη. τὸ δὲ ἄγαν πυκνὸν αὐτῆς ἐφεδρεύουσαν ἀπειλεῖ συγκοπήν.

Ἔστι δέ τι καὶ ἄλλο πάθος ὃ εἴτε μέσον ληθάργου καὶ φρενίτιδος χρὴ ὀνομάζειν, ὡς οὐδετέρῳ ταὐτὸν ὄν, εἴτε κοινὸν ἀμφοῖν, ὡς μικτὸν ἔκ τε τῶν φρενίτιδος εἰδῶν ἔκ τε τῶν ληθάργου. τοῦτο μὲν ἰδίᾳ σκεψώμεθα. περὶ δὲ τῶν σφυγμῶν αὐτοῦ νῦν ἐροῦμεν. καὶ ἵνα μὴ ὥσπερ αἴνιγμά τι προβεβλημένον εἴη, τοῖς συνεδρεύουσιν αὐτῷ δηλώσω. τὰ μὲν πολλὰ μύουσι τοὺς ὀφθαλμοὺς καὶ ὑπνώδεις εἰσὶ καὶ ῥέγχουσιν. αὖθις δ᾽ ἐπὶ πλεῖστον ἀτενὲς ὁρῶντες, διετέλεσαν ἀσκαρδαμυκτὶ παραπλησίως τοῖς κατόχοις. καὶ εἰ πυνθάνοιτό τις, καὶ εἰ διαλέγεσθαι βιάζοιτο, δυσχερεῖς ἀποκρίνεσθαι καὶ ἀργοί. τὰ πολλὰ δὲ καὶ παραφόρως φθεγγόμενοι, καὶ οὐκ ὀρθῶς ἀποκρινόμενοι, καὶ ληροῦντες εἰκῇ. τοιοῦτον μέν ἐστι τὸ πάθος, ὃ καὶ νῦν βούλομαι δηλοῦν τοῖς συνεδρεύουσι γνωρισθὲν, ἀπορίᾳ οἰκείου ὀνόματος. οἱ σφυγμοὶ

ſede deſerta, conſpicias attolli, potius cum vibratione ebullientem, quam more pulſus diſtentam; pari modo delabi, detractam potius quam contractam. At vero immodica ejus crebritas proximam denunciat ſyncopen.

Jam etiam alius eſt affectus, quem an medium lethargi et phrenitidis oporteat appellare, ut qui cum neutro in totum conveniat an communem utrique, ut ex phrenitidis ſpeciebus et lethargi mixtum, ſuo loco conſiderabimus. Nunc de ejus pulſibus agemus. Ac ne quaſi aenigma quoddam propoſitum ſit, per ſigna aſſidentia eum ob oculos ponam. Connivent fere oculis, ſomnulenti ſunt atque ſtertunt. Rurſus oculis fixis ac inconniventibus diutiſſime, ut catochi intuentur. Et ſi quid roges atque ad colloquium compellas, difficiles ſunt et tardi ad reſpondendum. Plerumque etiam ſtulte loquuntur, nec recte reſpondent, ac temere nugantur. Is eſt affectus quem dico, qui ex ſignis ſibi adjunctis defectu proprii nominis cognoscitur. Pulſus ejus celeres ſunt et

δὲ αὐτοῦ ταχεῖς, καὶ πυκνοὶ παραπλησίως τοῖς φρενιτικοῖς, ἀλλ' ἧττον. οὕτω δὲ καὶ ἰσχύος ἧττον ἐκείνων ἔχουσι. πλατεῖς δὲ καὶ βραχεῖς, καὶ τὸ κατὰ τὴν ἔξω κίνησιν ἀθρόως ἀποκεκομμένον οὐκ ἔχοντες, ἀλλ' ἑτέρῳ μὲν τρόπῳ, καθάπερ εἴσω σπεύδοντες ὑποφεύγουσιν, ἐπιταχύνοντες μὲν τὴν συστολὴν, ὑποκλέπτοντες δὲ τὴν διαστολήν. οὐ μὴν ὁμοίως γε κατ' αὐτὴν τοῖς φρενιτικοῖς. τὸ γὰρ οἷον ἀποκεκομμένον οὐκ ἔχουσιν.

[12] Οἱ δὲ τῶν κατόχων σφυγμοὶ, κατόχους γὰρ καὶ κατεχομένους ἐκάλουν αὐτοὺς οἱ παλαιοὶ, κατοχὴν δὲ καὶ κατάληψιν οἱ νεώτεροι τὸ πάθος ὀνομάζουσιν, ἐοίκασι μὲν τὰ ἄλλα τοῖς ληθαργικοῖς, μεγέθους τε καὶ βραδύτητος καὶ ἀραιότητος, ὥσπερ καὶ ὅλον τὸ πάθος τοῦ πάθους οὐ πόῤῥω τὴν ἰδέαν ἐστίν. οὐ μὴν ἀσθενὴς ὁ τῶν κατόχων σφυγμὸς, οὐδὲ μαλακός. ἀλλ' ἐν τούτοις δὴ καὶ πάνυ διαφέρουσιν, ὥσπερ καὶ ἐν τῷ λύεσθαι μὲν καὶ οἰδίσκεσθαι τὴν ὅλην ἕξιν τοῖς ληθαργικοῖς, ἐσφίχθαι δὲ καὶ συνέχεσθαι τοῖς κατόχοις. οὕτω δὲ καὶ ἀνωμαλίᾳ καὶ ὁμαλότητι διαφέρουσιν ἀλλήλων. ὁμαλὸς γὰρ ὁ τῶν κατόχων σφυγμὸς,

crebri, perinde ut phreniticorum, minus tamen. Et roboris item minus ac illi obtinent. Lati autem funt et breves. Externum motum non habent fubito truncatum, fed alio modo, veluti intro fe proripientes, fubterfugiunt ac concitant contractionem et quafi fuffurantur diaftolen; verum in ea pulfui phreniticorum non funt fimiles, quod truncatione illa careant.

Catochorum pulfus (catochos enim et detentos veteres Graeci appellant; juniores ipfum affectum catochen et catalepfin vocant) caetera lethargicis fimiles funt magnitudine, tarditate, crebritate; ut nec totius hujus affectus fpecies late ab illo diffidat. Catochorum tamen non imbecillus eft pulfus, nec mollis; fed in his fane multum differt, ut etiam in hoc, quod laxatur lethargicis atque intumescit univerfum corpus; contra ftipatur et cogitur catochis. Ad haec aequalitate et inaequalitate diftant; aequalis enim pulfus eft cat-

ἀνώμαλος δὲ ὁ τῶν ληθαργικῶν. Ἀρχιγένης δέ φησι τὸν τῆς ἀρτηρίας τόπον ἰδίως ἐπ' αὐτῶν θερμότερον εὑρίσκεσθαι, καθάπερ τοῖς σπασθησομένοις μετὰ καταφορᾶς.

Τῶν σπωμένων αὐτὸ μὲν τὸ σῶμα τῆς ἀρτηρίας συνῆχθαι δοκεῖ, καὶ πανταχόθεν ἐσφηνῶσθαι, οὐχ ὡς τεθλιμμένον ὑπό τινος, ἢ στενοχωρούμενον. οὐ μὴν οὐδ' ὅλως πεφρικὸς οἷον τὸ πυρεκτικὸν, καὶ μάλιστα, ὡς ἐν ἐπισημασίαις. οὐδὲ ὡς διὰ σκληρότητα δυσεπέκτατον, οἷον τὸ ἐπὶ χρόνου μήκεσι. καὶ μάλιστα σὺν ἁμαρτήμασί τισιν, ἢ σπλάγχνων κακώσεσιν, ἀλλ' ὡς ἂν εἰ σῶμα νευρῶδες κοῖλον, οἷον ἔντερον, ἤ τι παραπλήσιον ἐξ ἀμφοτέρων τῶν περάτων τεταμένον. οὕτω δὲ καὶ ἡ κίνησις ἀνώμαλος, ἄνω καὶ κάτω μεθισταμένης τῆς ἀρτηρίας, ὥσπερ χορδῆς. οὐδὲ γὰρ διαστολῆς, ἢ συστολῆς ἔμφασίς ἐστιν, ἀλλὰ κλόνῳ μᾶλλον ἔοικεν, οἷον ἐκπηδώσης ἄνω, πάλιν δὲ εἴσω σπωμένης, καὶ οὔτε διακεκριμένως τοῦτο πασχούσης. ἀλλ' ἑνὶ χρόνῳ πολλάκις τὸ μέν τι μέρος αὐτῆς ἄνω φέρεσθαι δοκεῖ, καθάπερ ἐκτοξευόμενον, τὸ δὲ εἴσω φέρεσθαι, καθάπερ ὑπό τινος ἑλκόμενον, καὶ τὸ

ochorum, inaequalis lethargicorum. Archigenes arteriae locum auctor eſt proprie in iis inveniri calidiorem, ſicut illis quibus convulſio imminet cum ſopore.

Convulſorum ipſum corpus arteriae videtur contractum ac undequaque coarctatum, non ceu compreſſum ſit a quopiam vel conſtipatum; nec etiam veluti rigidum, ut in febre, praeſertim in acceſſionibus, nec vero ut prae duritie, ad intentionem contumax, veluti quod ſit diuturnitate temporis, praeſertim quum quid offenſum ſit, vel viscera vitiata; ſed ut corpus nervoſum, cavumque veluti inteſtinum, aut ſimile, ex utroque ſine extenſum. Ad eundem modum inaequalis motus eſt arteriae, in modum chordae, ſurſum deorſumque agitatae. Neque enim ſpecies diſtentionis, vel contractionis repraeſentatur, verum vibrationi potius ſimilis eſt, ceu exilientis ſurſum iterumque retractae intro; quod ne conſtituto quidem tempore habet, ſed uno ſaepe tempore altera ejus pars videtur ferri ſurſum veluti ejaculata, altera intro, ceu

μὲν ταχέως κινεῖσθαι, τὸ δὲ βραδέως. δοκεῖ δὲ καὶ σφοδρὸς εἶναι καὶ μέγας ὁ τῶν σπωμένων σφυγμός. ὁ δὲ ἔστι μὲν οὔτε ἀμυδρὸς, οὔτε μικρὸς, οὐ μὴν ἐφ᾽ ὅσον φαντάζεται σφοδρὸς, ἢ μέγας. ἐξαπατᾷ γὰρ ἡ πληγὴ, διὰ μὲν τὴν τάσιν εὔρωστος φαινομένη, διὰ δὲ τὸν κλόνον ἐκπηδητική. ὅθεν καὶ ὑψηλότερος ἔσθ᾽ ὅτε φαίνεται, καὶ οἷον ψόφον τινὰ τραχὺν ἀποτελεῖ πρὸς τὴν ἁφήν. καὶ οὐκ ἄν τινα λάθοι τῶν ἠσκημένων ὁ σφυγμὸς οὗτος. οὐδενὶ γὰρ ἔοικεν, οὔτε τὴν ἐφ᾽ ἑκάτερα τάσιν οὔτε τὸ σπασμῶδες τῆς κινήσεως. μιγνυμένου δὲ αὐτοῦ τῷ τῆς καταφορᾶς δυσφώρατος ἡ κίνησις, καὶ μόνῳ τῷ καθ᾽ ἑαυτὸν ἑκάτερον γνωρίζειν ἀκριβῶς ἠσκημένῳ, δυνατὸν καὶ τὴν μίξιν ἐπιγνῶναι.

Παραλύσεως σφυγμὸς μικρὸς καὶ ἀμυδρὸς καὶ βραδύς. καί τισι μὲν αὐτῶν ἀραιὸς, τισὶ δὲ πυκνὸς μὲν, ἀλλ᾽ ὑποδιαλείπων ἀτάκτως.

Ἐπιληπτικῶν δὲ καὶ ἀποπληκτικῶν οἱ σφυγμοὶ παραπλήσιοι. ὅσα οὖν περὶ τῶν ἐπιληπτικῶν ῥηθήσεται, ταῦτα καὶ περὶ τῶν ἀποπληκτικῶν εἰρῆσθαι δοκεῖν χρὴ,

a quopiam attracta, atque una moveri celeriter, altera tarde. Jam vehemens quoque et magnus convulforum pulfus videtur effe. Eft vero hic non imbecillus, neque parvus; non perinde tamen, ut videtur, vehemens, vel magnus; ictus enim imponit, dum ob tenfionem validus, ob vibrationem exilire apparet; quamobrem altior interdum videtur ac veluti ftrepitum quendam ad tactum edit asperum. Sane neminem qui quidem fit expertus, fugiat hic pulfus; quippe nulli eft fimilis, vel tenfione in utramque partem, vel convulfione motus. At quando cum pulfu cataphorae commixtus eft, difficillime commixtio deprehenditur; folusque qui adamuffim utrumque cognoscere feparatim meditatus eft, poterit confufos cognoscere.

Paralyticorum parvus pulfus et imbecillus, tardusque eft; nonnullis rarus quoque; aliis creber, fed nonnihil inordinate intermittens.

Comitialium et apoplecticorum fimiles pulfus funt; quare de comitialibus quae exponemus, eadem de apoplecti-

ἐπιτεταμένα δὲ μᾶλλον. ἐν μὲν δὴ τῷ μετρίως ἐνοχλεῖσθαι, καὶ μηδέπω τῆς φύσεως ἱκανῶς ἰσχυρότερον εἶναι τὸ πάθος, οὐδεμίαν εὔδηλόν ἐστιν εὑρεῖν τροπὴν ἐν μεγέθει καὶ σφοδρότητι καὶ τάχει καὶ πυκνότητι καὶ σκληρότητι. μόνον δ' ὥσπερ τεταμένη καθ' ἑκάτερόν ἐστιν ἡ ἀρτηρία τοῖς σπωμένοις εἰκότως. εἰ δ' ἰσχυρὸν εἴη τὸ πάθος, ὡς βαρύνειν τὴν δύναμιν, ἀνωμαλίαν τέ τινα λαμβάνει καὶ τάσιν ἰσχυρὰν καὶ μικρότερος γίνεται καὶ ἀμυδρότερος καὶ ἀραιότερος. μεγάλως δὲ θλίψαν, καὶ καταβαλὸν τὴν δύναμιν, ἀμυδροὺς καὶ πυκνοὺς καὶ ταχεῖς ἐργάζεται.

Ὁ δὲ τῶν συναγχικῶν σφυγμὸς τάσιν μέν τινα παραπλησίαν ἔχει τῷ σπασμῷ, μέγας δέ ἐστι καὶ κυματώδης, ὡς τῶν περιπνευμονικῶν. καὶ ὁπότερον ἂν ἐπ' αὐτῷ μεγάλως ἐπικρατῇ, κατ' [13] ἐκεῖνο χρὴ προσδοκᾷν τὴν μετάπτωσιν. εἰ μὲν γὰρ τὸ περιπνευμονικὸν εἶδος ἐπικρατήσειεν, εἰς περιπνευμονίας, εἰ δὲ τὸ σπασμῶδες, εἰς σπασμὸν ἡ συνάγχη τελήσει· ὅσοι δ' ἂν ἐξ αὐτῶν ἰσχυρῶς πνίγονται, μικρὸς τούτοις καὶ ἀραιὸς ὁ σφυγμὸς γίνεται· τελευτώντων δ' ἤδη πυκνὸς καὶ ἀνώμαλος.

cis, fed intenfa magis accipienda funt. Dum modice infeftatur natura, neque dum eam multum fuperavit morbus, nullam invenies mutationem infignem magnitudinis, vehementiae, celeritatis, crebritatis, duritiei; tantum eft convulfis intenta jure utrinque arteria. Sin autem gravis fit affectus, ut oneret facultatem, inaequalitatem quandam comparat atque tenfionem validam, ac minor, languidior rariorque efficitur. Si comprimat magnopere et facultatem dejiciat, languidos, frequentes ac celeres creat.

Angina laborantium pulfus tenfionem quandam habet, convulfioni perfimilem; magnus eft et undofus, ut pulfus peripneumonicorum; ac utrum infigniter in eo polleat, pro eo expectanda mutatio eft. Nam fi peripneumonica fpecies fuperior fit, in peripneumoniam; fi vero convulfiva, in convulfionem angina definet. Quicunque autem ex illis vehementer fuffocantur, parvum hi habent et rarum pulfum; ubi jam animam agant, crebrum atque inaequalem.

Ὀρθοπνοίας ὀξείας σφυγμὸς ἀνώμαλος καὶ ἄτακτος καὶ ὑπεκλείπων. καὶ τῆς μὲν μέσης τῇ κακίᾳ πυκνὸς, τῆς δ᾽ ἐσχάτως βιαίας βραδὺς καὶ ἐκλείπων· τῆς δ᾽ ἀναιρούσης ἤδη, πυκνὸς καὶ ἀμυδρός.

Ὑστερικῆς δὲ πνίξεως (7) ἀποτεταμένος σπασμωδῶς καὶ ἀραιός. τῆς δ᾽ ὀλεθρίας πυκνὸς καὶ ἄτακτος καὶ ὑπεκλείπων.

Στόμαχος πεπονθὼς, οὕτως γὰρ καλείσθω καὶ ὑφ᾽ ἡμῶν ἐν τῷ παρόντι τὸ στόμα τῆς κοιλίας διὰ τὴν τῶν πολλῶν συνήθειαν, οὐ καθ᾽ ἓν εἶδος τρέπει τὸν σφυγμόν. ἀλλ᾽ ὁ μὲν φλεγμαίνων μόνον, οἵαν ἐπὶ φλεγμονῆς νευρώδους σώματος εἴπομεν γίνεσθαι, τὴν τροπὴν τοιαύτην ἐργάζεται. ὁ δὲ θλιβόμενος, ἢ δακνόμενος, ἢ ἐκλύων, ἢ ἐμετικὸς, ἢ ναυτιώδης, ἢ ἀνόρεκτος, ἢ ὀδυνώδης κατὰ τὸ τοῦ συμπτώματος εἶδος. αἱ μὲν γὰρ δήξεις καὶ οἱ ἔμετοι καὶ ναυτίαι καὶ οἱ λυγμοὶ καὶ οἱ ἀλυσμοὶ καὶ ἐκλύσεις ἰσχυρῶς πυκνοῦσι τὸν σφυγμὸν, σὺν τῷ μικρὸν καὶ ἀμυδρὸν ἐργάζε-

Orthopnoea acuta inaequalem et inordinatum pulſum habet et nonnihil deficientem; quae mediocriter eſt gravis, crebrum; quae violentiſſima, tardum et deficientem; quae jam perimit hominem, crebrum et languidum.

Uterinae ſuffocationis pulſus, ut ſi convelleretur, protenſus eſt et rarus; quod ſi exitialis ſit ſuffocatio, creber, inordinatus et nonnihil deficiens.

Stomachus affectus (ut ſic vocemus in praeſentia os ventriculi, quod is uſus apud vulgus obtinuit) non uno modo commutat pulſus. Nam ſi inflammatus ſit duntaxat, ita mutat pulſum, ut corporis nervoſi diximus pulſum ſolere; ſi comprimatur, vellicetur, languescat, ſingultiat, vomat, nauſeet, faſtidiat, doleat, pro genere ſymptomatis. Nam vellicationes, vomitus, nauſeae, ſingultus, languor, non ſolum parvum et languidum efficiunt et interim etiam modice

σθαι. καί τισι μετρίως θάττονα. θλίψις δὲ μόνη χωρὶς τούτων τινὸς ἀραιὸν καὶ βραδὺν καὶ μικρὸν καὶ ἀμυδρόν. ἡ δὲ τοιαύτη θλίψις ἐπὶ τροφαῖς βαρυνούσαις γίνεται, μηδεμίαν ἐχούσαις ἰσχυρὰν δύναμιν, ἀλλὰ τῷ ποσῷ μόνῳ διοχλούσαις, καί τισι ὑγροῖς συῤῥυεῖσιν εἰς αὐτὸν ἀδήκτοις. εἰ δὲ καὶ ψύχοιτο πρὸς αὐτῶν, τότε δὴ καὶ μάλιστα τοιοῦτος ὁ σφυγμὸς ἔσται. καὶ ὁ τῶν βουλιμιάντων δὲ τοιοῦτός ἐστιν. αἱ μὲν οὖν εἰς πυκνότητα τρέπουσαι διαθέσεις, ἅπασαι χρονίζουσαι, ἢ καὶ σφοδρότεραι γινόμεναι, τὸν σκωληκίζοντα σφυγμὸν ἐργάζονται. αἱ δὲ εἰς ἀραιότητα πρὸς τῷ τὰς εἰρημένας διαφορὰς ἐπιτείνειν τοιοῦτόν τι σὺν αὐτοῖς εἶδος ἐν τῇ καθ' ἕνα σφυγμὸν ἀνωμαλίᾳ γεννῶσιν, ὡς εἰς πολλὰ δοκεῖν τετρῆσθαι τὸ σῶμα τῆς ἀρτηρίας, ὡς μηδὲν συνεχὲς δοκεῖν εἶναι, ἀλλ' οἷον ψάμμου προσπεσούσης αἴσθησιν γίνεσθαι τῇ ἁφῇ κατὰ τὴν διαστολήν.

Ὑδέρων ὁ σφυγμὸς τοῦ μὲν ἀσκίτου μακρὸς καὶ πυκνὸς καὶ ὑπόσκληρος σύν τινι τάσει· τοῦ δὲ τυμπανίτου μακρό-

celeriorem, verum etiam admodum crebrum; sola vero compressio, remotis illis omnibus, rarum, tardum, parvum et languidum. Ea compressio tum a cibis oritur gravantibus, neque ulla insigni praeditis virtute, sed sola abundantia molestis; tum ab humoribus quibusdam qui in eum confluant, non mordicantibus; qui ab his si semel refrigeretur, tum vero vel maxime talis pulsus existet. Ac bulimum patientium talis pulsus est. At omnes quidem affectus, qui in crebritatem mutant, si diuturni sint, vel evaserint graviores, pulsum vermiculantem creant. Qui vero in raritatem, praeterquam quod commemoratas differentias adaugent, talem praeterea speciem inaequalitatis in uno pulsu generant, ut multis locis pertusum corpus arteriae videatur, neque esse continuum; ac sentit tactus in distentione veluti arenae occursum.

Hydropum pulsus, ascitae, parvus, crebrior, subdurus cum quadam tensione est; tympanitae longior, non

τερος, οὐκ ἄῤῥωστος, θάττων, πυκνὸς, ὑπόσκληρος, σύν τινι τάσει· τοῦ δὲ ἀνὰ σάρκα κυματώδης πλατύτερος καὶ μαλακός.

Ἐλεφαντιώντων σφυγμὸς μικρὸς καὶ ἄῤῥωστος καὶ βραδὺς καὶ πυκνός.

Ἰκτεριώντων σφυγμὸς ἄνευ πυρετοῦ μικρότερος, πυκνότερος, σκληρότερος, οὐκ ἀμυδρὸς, οὐ τάχυς.

Τῶν δὲ ἐλλέβορον εἰληφότων, ὀλίγον μὲν πρὸ τῶν ἐμέτων, ἡνίκα ἂν θλίβωνται, πλατὺς, ἀραιὸς, ἀμυδρότερος καὶ βραδύτερος· ἐμούντων δὲ καὶ σπαραττομένων ἀνώμαλος καὶ ἄτακτος. ἤδη δὲ καὶ βελτιόνων γινομένων τεταγμένος μὲν, ἀλλὰ καὶ ἔτι ἀνώμαλος, ἧττον δὲ ἢ πρόσθεν. ἐγγὺς δὲ τοῦ κατὰ φύσιν ἐλθόντων ὁμαλὸς καὶ μείζων τοῦ πρόσθεν καὶ σφοδρότερος. ὅσοι δὲ ἐξ αὐτῶν συγκόπτονται καὶ σπῶνται καὶ λύζουσι, μικρὸς τούτοις καὶ ἀμυδρὸς καὶ ἄτακτος ὁ σφυγμὸς καὶ θάττων καὶ πυκνὸς ἄγαν. τοῖς δὲ πνιγομένοις αὐτῶν μικρὸς καὶ ἀμυδρὸς

imbecillus, celerior, creber, fubdurus, cum quadam tenfione; anafarcae undofus, latior mollisque.

Elephantia laborantium pulfus parvus, languidus, tardus creberque eft.

Ictericorum pulfus eft, fi abfit febris, minor, durior, crebrior, non languidus, nec celer.

Veratrum qui fumpferint, hi paulo ante vomitum, ubi comprimantur, pulfum habent latum, rarum, languidiorem, tardiorem. Interea dum vomunt et divelluntur, inaequalem et inordinatum. Quum melius habere coeperint, ordinatum quidem, fed inaequalem adhuc, minus tamen quam antea. Ubi vero jam ad naturalem ftatum prope redierint, aequalem ac majorem quam dudum vehementioremque. Qui horum fyncope corripiuntur, convelluntur atque fingultiunt; parvum hi et languidum inordinatumque et celeriorem atque multum crebrum habent. Qui ex his fuffocantur, parvum,

καὶ ἄτακτος καὶ ἀνώμαλος, οὐ μὴν πυκνὸς, οὐδὲ ταχὺς, ἀλλ' ἐπιβραδύνων μᾶλλον. ἐμφαίνει δέ τι καὶ κυματῶδες καὶ πλατὺ καί ποτε καὶ τάσιν τινὰ τῆς ἀρτηρίας βραχεῖαν.

languidum, inordinatum, inaequalem; non autem crebrum, nec celerem, imo potius tardum; repraeſentat etiam nonnihil undoſi et lati atque parvam quandam interdum arteriae tenſionem.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Α.

Ed. Chart. VIII. [14.] Ed. Baf. III. (7.)

Κεφ. α΄. Εὐξαίμην μὲν ἂν καὶ μαθεῖν καὶ διδάξαι δύνασθαι τὰ πράγματα, χωρὶς τῶν ἐπ᾿ αὐτοῖς ὀνομάτων, ἵνα μὴ πρὸς τῷ μακρὰν εἶναι τὴν τέχνην διὰ τὴν οἰκείαν θεωρίαν, ἐξ ἐπιμέτρου γένοιθ᾿ ἡμῖν ἡ περὶ τὴν λέξιν ἀσχολία. ἐπεὶ δὲ ἀνάγκη διὰ τῶν ὀνομάτων δηλοῦν ἃ βουλόμεθα, τοῖς μὲν σοφισταῖς ἀφθονία κἀνθάδε σοφισμάτων, καὶ διατριβῆς ἀχρήστου, τοῖς δὲ ἄλλοις ὅσοι πραγμάτων ἐπιστήμην, οὐκ ὀνομάτων ἐμπειρίαν ἐζηλώκαμεν ἄκουσι μὲν, ἐξ ἀνάγκης δὲ ὅμως,

GALENI DE PVLSVVM DIFFERENTIIS LIBER I.

Cap. I. Optarem equidem et percipi et tradi poſſe res citra ipſarum nomina, ne ad artis vel ex ſua ipſius commentatione longitudinem veluti cumulus nobis accederet ea quae circa dictionem eſt occupatio. Sed quum neceſſe ſit nominibus ea, quae volumus, ſignificare, ſophiſtis hinc commentorum et inutilis disputationis copioſa materia ſuppeditatur: caeteri vero quicunque rerum ſcientiam, non uſum vocum ſectamur, inviti quidem tamen compellimur propter

προσγίνεται διὰ τὰς τῶν σοφιστῶν ἐπηρείας ἡ περὶ τὴν λέξιν ἀσχολία. κάλλιστον μὲν γὰρ ἦν ὁπωσοῦν περὶ τῶν ὀνομάτων συνθέμενον ἐπὶ τὴν θεωρίαν σπεύδειν, ὡς ἐπὶ τοῦ προγραφέντος ἡμῖν περὶ σφυγμῶν τοῖς εἰσαγομένοις ἐποιήσαμεν, τῶν δὲ ἐν ὀνόμασι μόνων δεινῶν, ἐπ' αὐτῶν δὲ τῶν ἔργων τῆς τέχνης ἀμαθεστάτων ἐνοχλούντων ἀεὶ, καὶ μηδὲ ἀναπνεῦσαι χωρὶς ἐπηρείας ἐπιτρεπόντων, ἀναγκαία σχεδὸν ἤδη καὶ ἡ περὶ τὴν λέξιν ἀσχολία. τοὺς μὲν οὖν παλαιοὺς ἁπλῶς ἔστιν εὑρεῖν χρωμένους τοῖς ὀνόμασιν, ἑνὸς μόνου φροντίζοντας ἀεὶ τοῦ δηλῶσαι τὸ νοούμενον. οἱ δὲ νεώτεροι μόνον καθ' ἑκάστην συλλαβὴν σοφίζονταί τε καὶ φιλονεικοῦσι, καὶ οὐδὲ παύονται περὶ τῶν ὀνομάτων ἐρίζοντες, οἷον εὐθέως, ἵν' ἐξ ἑνὸς μορίου τῆς προκειμένης πραγματείας τὸ πᾶν ἐπιγνῶμεν, ὁ μέν τίς φησι τὸν ἰσχυρῶς πλήττοντα σφυγμὸν σφοδρὸν εἶναι. παρελθὼν δὲ ἕτερος οὐ τοῦτον, ἀλλ' ὃς ἂν καὶ μέγας ᾖ καὶ πλήρης καὶ ταχὺς, ἐκεῖνον εἶναί φησι τὸν σφοδρόν. ἄλλος δέ τις τὸν ἰσχυρὸν ἅμα καὶ ταχύν· καί τις μάλα σεμνῶς ἐπιτιμήσας τούτοις τὸν μέγαν ἅμα καὶ ταχὺν σφοδρὸν

ſophiſtarum contumelias de nominibus laborare. Optimum ſiquidem eſſet, quavis conditione de nominibus convenire et ad contemplationem properare; quod in libro illo fecimus, quem antea tironibus de pulſibus ſcripſimus. Sed quando qui in nominibus tantum valent, in operibus artis interim imperitiſſimi, nunquam non interpellant, neque reſpirare non citra contumeliam ſinunt, neceſſe prope jam nobis eſt nominibus ut immoremur. Majores noſtros ſimpliciter vocabulis videas uſos, hoc ſemper unum curantes, ſenſum ut aperirent. Juniores vero ſolum de ſingulis ſyllabis argute disputant atque contendunt, neque de nominibus deſiſtunt digladiari. Exempli gratia, quo una ex parte hujus inſtituti ſummam perſpiciamus, quidam pulſum ait valenter pulſantem vehementem eſſe; adeſt alius qui non hunc, caeterum qui magnus ſit et plenus celerque, illum affirmat vehementem eſſe; alius validum ſimul ac celerem et qui hos mira gravitate inſimulans, magnum pariter et celerem vehemen-

εἶναί φησιν. [15] οὐκ ἀνασχόμενος δὲ τούτου πέμπτος τις ἄλλος ἔτι σεμνότερον ἐπιπλήξας, τὸν πλήρη τε ἅμα καὶ παχὺν σφοδρὸν εἶναί φησι. καὶ ναὶ μὰ Δία γε ἕκτος τις ἄλλος ἐπ᾽ αὐτοῖς τὸν μέγαν ἅμα καὶ πλήρη, τοῦτον εἶναί φησι τὸν σφοδρόν. εἰ δὲ καὶ ἕβδομός τις καὶ ὄγδοος παρεῖεν ἐν τούτοις, ὁ μὲν μηδὲν διαφέρειν λέγων τοῦ πλήρους αὐτὸν, ὁ δὲ τῷ σκληρῷ τὸν αὐτὸν εἶναι, πηλίκην οἴει μάχην ἔσεσθαι; ἢ δηλονότι τηλικαύτην, οἵαν πολλάκις ὁρῶμεν ἔν τε τῷ τῆς εἰρήνης τεμένει καὶ ἐπ᾽ αὐτῶν τῶν ἀῤῥώστων; ὥστε τινὰς μηδὲ τὼ χεῖρε κατέχειν ἔτι· τοσοῦτον ἀποδέουσιν αἰσχροῦ ῥήματος ἀποσχέσθαι. καὶ τὰ μὲν τούτων τῶν νῦν ἡμῖν ὀχλούντων ἧττον δεινὰ, καί περ ὄντα δεινότατα. τὰ δὲ τῶν συγγράφειν ἐπιχειρησάντων οὐκ ἀνασχετά. πρόχειρος μὲν γὰρ ὁ τῆς ἀχρηστίας τοῦ ζητήματος ἔλεγχος. οἱ δὲ οὐχ ὁρῶσιν αὐτὸν, ἀλλὰ πάντες ὡδί πως γράφουσιν· ὁ τοιόσδε σφυγμὸς σφοδρός ἐστι, καὶ ὁ τοιόσδε πλήρης ἐστὶ, καὶ ὁ τοιόσδε πυκνός ἐστι, δέον ἀφελεῖν μὲν τὸ ἐστὶ, προσθεῖναι δὲ μάλιστα μὲν, εἰ οἷόν τε, τὸ καλεῖται. τούτου δ᾽ ἀποροῦντας τὸ καλείσθω, καὶ οὕτως ἤδη διδάσκειν, οἷόν τι

tem esse ait. Jam alius hunc non ferens, acerbius etiam objurgat, vultque plenum simul ac velocem vehementem esse. Et hercle praeter hos sextus magnum plenumque esse vehementem contendit. Quod si septimus huc et octavus accedant, hic afferens inter plenum et hunc nihil interesse, ille eundem cum duro esse, quam censes pugnam fore? anne talem qualem frequenter in templo Pacis et inter ipsos aegrotos conspicimus? adeo ut etiam ad manum res veniat; tantum abest ut turpi dicto abstineant. Sed mihi qui nunc molesti sunt, minus stomachum faciunt, tametsi sunt importunissimi; qui vero ad commentandum appulerunt, quis ferat? Ad manum enim est inutilis quaestionis confutatio: eam tamen illi non cernunt, sed sic omnes scribunt: Hic pulsus vehemens est, ille plenus est, is creber: quum *est* sit submovendum, adjungendum autem maxime, si fieri possit, *appellatur*; quo si careant, *appelletur*, ac tum demum docendum

δηλοῦν πέφυκεν ὁ σφυγμὸς ὁ τοιοῦτος, ὃν ἐκάλεσαν, εἰ τύχοι, σφοδρόν. οὐ γὰρ δὴ τοῦ καλέσαι γε χάριν, οὐδὲ τοῦ θέσθαι τοὔνομα κυρίως, τὴν περὶ τοὺς σφυγμοὺς τέχνην αὐτοὶ μετεχειρισάμεθα, ἢ ἑτέρους διδάσκειν ἐπιχειροῦμεν, ἀλλ' ὅπως ἡμῖν γνωρίζοιτό τε τὰ παρόντα καὶ προγιγνώσκοιτο τὰ μέλλοντα συμβήσεσθαι τοῖς ἀῤῥωστοῦσι. (8) ταῦτα δὲ ἐκ τῶν πραγμάτων, οὐκ ἐκ τῶν ἐπ' αὐτοῖς ὀνομάτων εὑρίσκεται. καθόλου γὰρ πρὸς μὲν τὴν τῶν πραγμάτων ἐπιστήμην οὐδὲν ἡμᾶς ὠφελεῖ τὰ ὀνόματα, πρὸς δὲ τὴν διδασκαλίαν μόνον, ἣν καὶ κατὰ τὴν συνθήκην περαίνεσθαι δυνατόν. εἴτε γὰρ μηδόλως τις ὀνόματα θέμενος τοῖς πράγμασιν, γνωρίζειν τε αὐτὰ ἱκανὸς εἴη καὶ ὅ τι δηλοῦν πέφυκεν ἀκριβῶς ἐπίσταιτο, τῶν ὀνομαζόντων οὐδὲν ἂν ἧττον φαίνοιτο τούτου γ' ἕνεκα· εἴ τε διδάσκειν ἐπιχειρήσας ὀνόματα τίθεται τὰ δόξαντα αὐτῷ, καὶ οὕτως οὐδὲν ἂν ἔχοι μεῖον. ἐμοὶ μὲν οὖν οὐδ' εἰ Δίωνα, ἢ Θέωνά τις καλεῖν σφοδρὸν σφυγμὸν ἐθέλοι, μὴ σφάλλοιτο δ' ἐν τῷ διδάσκειν τίνες αἰτίαι γεννῶσιν αὐτὸν, καὶ τίνος διαθέσεώς ἐστι γνώρισμα, καὶ ἐς ὅ τι τελευτήσει, οὐδὲν οὐδὲ οὗτος δοκεῖ σφαλήσεσθαι. τῷ μὲν

eſt, quid ſoleat is pulſus, quem vehementem forte vocaverunt, ſignificare. Neque enim, quo appellemus, aut nomen proprium inſtituamus, artem nos de pulſibus tractamus, aut alios docere conamur, ſed ut praeſentia cognoscamus et futura aegrotis praeſentiamus; at ex rebus haec, non ex nominibus earum, inveniuntur. Omnino enim ad rerum cognitionem nihil nomina referunt: ſed tantum ad doctrinam, quam et ex conſenſu poſſis abſolvere. Sive enim rebus haudquaquam dederis nomina, eas tamen cognoscere poſſis et quid denotare poſſis, plane teneas; hac in re certe nominantibus non conceſſeris: ſive quando docere inſtitueris, nomina quaelibet ponas, ne ſic quidem eris inferior. Equidem ſi vel Dionem, vel Theonem velit aliquis vehementem pulſum appellare: nec tamen fallatur in docendo, quae illum cauſae generant et cujus eſt affectus indicium et quo tandem evadet: nihil eum ſic peccare cenſuerim. Proinde

δὴ οὕτω μέλλοντι διδάσκειν ὁτιοῦν ἀρκεῖ νομοθετεῖν ὀνόματα, τῷ δ' ἐπὶ τοὺς παλαιοὺς ἀναπέμποντι τὸ ἐκείνων ἔθος διδακτέον, οὐδὲν πάλιν οὐδ' ἐνταῦθα πολυπραγμονοῦντα πότερον κυρίως, ἢ ἀκύρως ὠνόμασαν, ἢ ὑπαλλάττειν τολμῶντα, ἢ καταμεμφόμενον, οἷα δὴ δρῶσιν οἱ σοφισταί. περιττὰ γὰρ ταῦτα ἅπαντα καὶ ἔξω τῆς ἡμετέρας τέχνης. οὐ γὰρ ὀνομάτων αὕτη γε ὀρθότητος ἐπιστήμη ἐστὶν, ἀλλὰ πραγμάτων, οὐδὲ τοὺς μὴ καλῶς ὀνομάζοντας εἰς ἰατροὺς πέμπουσιν οἱ ἄνθρωποι, ἀλλὰ τοὺς ὑγείας δεομένους. οὐκοῦν οὐδὲ ὁ λόγος ὅδε πλέον τῶν εἰθισμένων ἡμῖν τε καὶ τοῖς ἄλλοις ἰατροῖς ὀνομάτων ἐπαγγέλλεται διδάξειν, ἀλλ' ἀγαπῴη ἂν, εἰ τούτου μετρίως τυγχάνοι.

Κεφ. β'. Πρῶτος μὲν οὖν ἁπάντων ὧν ἴσμεν Ἱπποκράτης τό τε ὄνομα τοῦ σφυγμοῦ γράφει καὶ τὴν ἐν αὐτῷ τέχνην οὐκ ἀγνοεῖν ἔοικεν, οὐ μὴν οὔτ' ἐπὶ πλέον ἐξειργάσατο τοῦτο τὸ μέρος τῆς τέχνης οὔτ' ἐπὶ πάσης ἀρτηριῶν κινήσεως τοὔνομα φέρει. παραπλήσιον δέ τι φαίνεται ποιεῖν αὐτῷ καὶ ὁ Ἐρασίστρατος. ἀλλ' ἐνταῦθα μὲν τοῖς ἰδίοις

qui ita eſt aliquid docturus, huic ſatis ſit nomina inſtituiſſe: qui ad veteres rejicit, illorum tradet inſtitutum; nec hic curioſus ſit, proprie an improprie appellarint; nec audeat immutare, nec incuſet, quod faciunt ſophiſtae: ſupervacanea ſunt enim haec omnia et ab arte noſtra remota. Neque ſane haec nominum eſt conſtituendorum ſcientia, ſed rerum: neque hos qui minus probum nomen dant, ad medicos mittunt homines, ſed eos, qui opus habent ſanitate. Quamobrem nihil haec disputatio ultra uſitata et nobis et aliis medicis nomina profitetur: ſed praeclare etiam cum ea agetur, ſi haec mediocriter aſſequatur.

Cap. II. Omnium itaque quos novimus primus nomen pulſus Hippocrates literis mandavit atque artem, quam complectitur, non videtur ignoraſſe: neque tamen hanc artis partem multum elaboravit, neque cuilibet arteriarum motui hoc tribuit nominis. Idem vero ac ipſe feciſſe videtur Eraſiſtratus. Sed ubi de illis viris peculiariter ſermonem

Ed. Chart. VIII. [15. 16.] Ed. Baf. III. (8.)

περὶ τῶν ἀνδρῶν λόγοις εἰρήσεται, καθ᾽ ὅτου τε μάλιστα τοὔνομα τίθενται καὶ ὅπῃ διαφέρουσι πρὸς ἀλλήλους, ἢ ὁμολογοῦσιν. ὁ δὲ τὸ περὶ παλμῶν ἐπιγεγραμμένον Αἰγιμίου βιβλίον συνθεὶς, εἴτ᾽ αὐτὸς ἦν ὁ Ἠλεῖος Αἰγίμιος εἴτ᾽ ἄλλος τις, ἰδίως κέχρηται [16] τῷ ὀνόματι, καὶ πολὺ παρὰ τὸ τῶν ἄλλων οὐκ ἰατρῶν μόνον, ἀλλὰ καὶ ἰδιωτῶν ἔθος ἅπασαν ἀρτηριῶν κίνησιν παλμὸν ὀνομάζει. ἡ δὲ Πραξαγόρου τε καὶ Ἡροφίλου χρῆσις ἔτι καὶ εἰς τάδε κρατεῖ. σφυγμὸν γὰρ οὗτοι πᾶσαν ἀρτηριῶν κίνησιν τὴν αἰσθητὴν καλοῦσιν. οὕτως δὲ καὶ οἱ μετ᾽ αὐτοὺς ἅπαντες, εἰ καὶ τοῖς ὁρισμοῖς διαφέρονται. δειχθήσεται δὲ τοῦτο ἑτέρωθι. ὥστε καὶ ἡμεῖς ἑπόμενοι τῇ κρατούσῃ συνηθείᾳ σκοπῶμεν ἤδη, πόσαι μὲν αἱ πᾶσαι τῶν σφυγμῶν διαφοραὶ, τί δ᾽ ἑκάστης αὐτῶν τοὔνομα. καίτοι καὶ κατ᾽ αὐτὴν τὴν εἰρημένην ῥῆσιν φιλονεικοῦσιν, οἱ μὲν ὧδέ πως ἀξιοῦντες προβάλλειν, πόσα γένη τῶν σφυγμῶν, οἱ δὲ οὐ γένη φασὶ χρῆναι καλεῖν, ἀλλ᾽ εἴδη, ποιότητας δ᾽ ἄλλοι, καὶ διαφορὰς ἄλλοι. καὶ ὅ τι ἂν ἑκάστῳ δόξῃ, τοῦτ᾽ ὄνομα θέμενος, ἐρίζει μακρὰ καὶ ἀπέραντα

habebo, referam cui potiffimum nomen hoc attribuant ac inter fe quatenus diffentiant aut confentiant. Autor libri de palpitationibus, Aegimii nomine infigniti, five ille Helienfis effet Aegimius, five alius, proprie hoc nomen ufurpat: atque longe praeter morem non medicorum tantum, fed et vulgi, quemvis motum arteriarum vocat palpitationem. Praxagorae ufus et Herophili etiam ad hunc usque diem vigent. Pulfum enim omnem arteriarum motum fenfibilem appellant. Ita etiam omnes eorum fucceffores, tametfi definitionibus diffideant. Sed hoc alio loco oftendemus. Ergo nos quoque ufum, qui invaluit, fequentes, videamus jam quot numero fint omnes pulfuum differentiae et quod fingulis nomen. Etfi de hac etiam ipfa dictione quidam contendunt, quorum alii ita volunt, ut ponatur, quot genera funt pulfuum? Alii non genera ajunt appellanda, fed fpecies; quidam qualitates, nonnulli differentias. Et quod cuique vifum eft, hoc inftituto nomine, diu disceptat de ejus recto

περὶ τῆς ὀρθότητος αὐτοῦ. καὶ ὡς περὶ γενῶν, οὕτω καὶ εἰδῶν καὶ διαφορῶν καὶ ποιοτήτων οὐκ ἀναγκαίαν ἐπεισάγουσι ζήτησιν, ἐπιλαθόμενοι τῆς χρείας τοῦ τοιούτου προβλήματος. ἧκον μὲν γὰρ ἐπ᾽ αὐτὸ πάντες, ὡς οἶμαι, τοὺς σφυγμοὺς ἐρευνῆσαι βουλόμενοι, τί δηλοῦν πεφύκασι. τυχεῖν δὲ οὗ προὔθεντο καὶ χωρὶς τῆς περὶ γενῶν καὶ εἰδῶν ζητήσεως δυνάμενοι, πάντα μᾶλλον ἢ τοῦτο δρῶσιν. ἀλλ᾽ ἡμεῖς κἀνταῦθα τὴν φλυαρίαν αὐτῶν φυγόντες, καὶ προβάλλειν ὅπως ἂν ἐθέλωσιν ἐπιτρέψαντες, ἐχώμεθα τοῦ χρησίμου, τοσοῦτον ἔτι προειπόντες, ὡς τοῖς βουλομένοις περὶ τῶν κατὰ τοὺς σφυγμοὺς ὅρων, ἢ καὶ περὶ τῶν ὀνομάτων αὐτῶν τῆς ὀρθότητος ἐκμαθεῖν, ἐν τοῖς μετὰ τοῦτο τὸ πρῶτον βιβλίον ἅπαντα γέγραπται. τουτὶ γὰρ αὐτὸ μόνον ἔχει τὸ χρήσιμον, οὐδενὸς τῶν σοφιστικῶν ζητημάτων ἐφαπτόμενον, ὥστ᾽ εἰ καὶ τελέως τις ἐθέλοι παραλιπεῖν ἐκεῖνα, δύναιτ᾽ ἄν. εἰς γὰρ τὰς ἄλλας πραγματείας, τήν τε περὶ διαγνώσεως τῶν σφυγμῶν καὶ τὴν περὶ τῶν αἰτίων, καὶ ἔτι τὴν περὶ τῆς δι᾽ αὐτῶν προγνώσεως, τοῦτο μόνον ἀναγκαῖόν ἐστι τὸ βιβλίον. ἐκεῖνα δὲ πρός τε τὰς τῶν σοφιστῶν ἐνοχλήσεις γέγραπται

ufu, nihilque non movet. Jam ficut de generibus, ita de fpeciebus, differentiis, qualitatibus, quaeftionem inducunt non neceffariam, obliti ufum talis quaeftionis. Omnes enim id mea opinione fpectaverunt, qui de pulfibus inftituerunt commentari, quid fignificare poffint; affequi vero quum nec vel fine generum et fpecierum quaeftione, quod intenderent, poffint, quidvis potius quam hoc agunt. Verum omiffis iftorum nugis, quaeftionem in medium pro fuo arbitrio proferant, nos utilitatem fectemur. Sed hoc praedicamus etiam qui pulfuum definitiones et conftitutionem eorum nominis discere volunt, in fequentibus hunc primum libris omnia eos tradita habere. Hic liber folum complectitur quod conducit, nec ullam attingit fophifticam quaeftionem. Ita fi quis femel illa velit repudiare, licet certe. Ad caeteras lucubrationes de dignoscendis pulfibus, de caufis, de praefagitione ex iis, unus hic liber requiritur. Illi adverfus fophiftarum

καὶ πρὸς τὸ παρακολουθεῖν τοῖς τῶν ἄλλων συγγράμμασιν, εἰδότας καθ᾽ ὅτου σημαινομένου φέρουσιν ἕκαστον τῶν ὀνομάτων. λέγωμεν οὖν ἤδη πόσα μὲν τὰ πρῶτα γένη τῶν σφυγμῶν, ἐφεξῆς δὲ τὰς διαφορὰς αὐτῶν, ἀρχὴν τῷ λόγῳ τήνδε ποιησάμενοι.

Κεφ. γ'. Τῆς ἀρτηρίας σώματος οὔσης κοίλου καὶ μακροῦ καὶ περιφεροῦς, κινουμένης τε διὰ παντὸς διπλῆν κίνησιν ἐξ ἐναντίων σύνθετον μορίων, ἢ γὰρ εἰς ἑαυτὴν συνιζάνει πανταχόθεν, ἢ διαστέλλεται πανταχόσε, καὶ ταύτης τῆς διπλῆς κινήσεως ὀνομαζομένης σφυγμοῦ, διττὰς ἀναγκαῖον αὐτῇ συμπίπτειν ἠρεμίας ἐφ᾽ ἑκατέρᾳ· ἑτέραν μὲν ἐπὶ τῷ διασταλῆναι πρὸ τοῦ συστέλλεσθαι, δευτέραν δὲ ἐπὶ τῷ συσταλῆναι πρὸ τοῦ διαστέλλεσθαι, καὶ ταύτας τὰς δύο ἡσυχίας ἥ τε τῶν γεγυμνασμένων ἁφὴ γνωρίζει καὶ ὁ λόγος οὐδὲν ἧττον ἀποδείκνυσι. πρὶν γὰρ καταπαῦσαι τὴν προτέραν κίνησιν, οὐκ ἂν ὑπάρξαιτο τῆς ἐναντίας ἡ ἀρτηρία. ἀλλὰ μὴν τὸ καταπαῦσαι στῆναί τε καὶ ἡσυχάσαι ἐστίν. ὥστε ἡσυχία μεταξύ ἐστι τῶν κινήσεων. ἀνάγκη οὖν πᾶσα τὸν μέν τινα χρόνον αὐτῶν εἶναι τῶν κινήσεων ἴδιον ἑκατέρας,

importunitatem ſcripti ſunt et ad intelligenda aliorum ſcripta, ubi traditur, qua quodque nomen ſignificatione uſurpent. Itaque exponamus primum pulſuum prima genera, deinde eorum differentias, hinc auſpicati.

Cap. III. Quum arteriae corpus ſit cavum, longum et teres, habeatque perpetuum geminum motum ex contrariis conſtitutum partibus; aut enim in ſeipſam undique conſidet, aut in omnem partem diſtenditur, qui duplex motus pulſus appellatur: in utroque ei gemina quies accidat neceſſe eſt, altera a diſtentione, priusquam contrahatur; altera a contractione, antequam diſtendatur. Quas quidem binas quietes expertorum tactus cognoscit, nec minus demonſtrat ratio. Nam prius contrarium motum arteria, quam priorem ſedaverit, non exorditur. Atqui ſedare conſiſtere eſt et in quiete eſſe. Sic motibus intercedit quies. Exprimit ergo neceſſitas quoddam eſſe tempus proprium utriusque motus;

τὸν δέ τινα τῶν ἡσυχιῶν, καὶ τούτων πάλιν ἑκατέρας ἴδιον. ἐπεὶ δὲ καὶ τρεῖς διαστάσεις ἡ ἀρτηρία κέκτηται, καθάπερ πᾶν ἄλλο τι σῶμα, μῆκος καὶ πλάτος καὶ βάθος, ἀνάγκη πᾶσα καθ᾽ ἑκάστην τῶν διαστάσεων γίγνεσθαί τινα ποσότητα τῆς διαστολῆς καὶ τῆς συστολῆς. καὶ μὲν δὴ καὶ τόνου πὼς αὐτὴν ἔχειν ἀναγκαῖον, ὥστε ἢ μόγις καὶ ἀῤῥώστως, ἢ ἑτοίμως τε καὶ εὐρώστως ἐνεργεῖν, [17] εἶναι δὲ καὶ αὐτὸν τὸν χιτῶνα τῆς ἀρτηρίας ἢ μαλακὸν, ἢ σκληρὸν, ἀλλὰ καὶ τὴν εὐρύτητα τὴν ἐντὸς ἢ διάκενόν πως, ἢ πλήρη, καὶ κατὰ ταῦτα πάντα ποτὲ μὲν ὁμαλότητα, ποτὲ δὲ ἀνωμαλίαν συνίστασθαι, καί τινα λόγον τοῦ χρόνου τῆς διαστολῆς πρὸς τὸν τῆς συστολῆς, καὶ παρὰ ταύτας μηδεμίαν ἄλλην δύνασθαι συστῆναι καθ᾽ ἕνα σφυγμὸν διαφοράν. εἴτε γὰρ ἐξετάσαι χρὴ τὸν χρόνον τῶν κινήσεων ἢ τῶν ἡσυχιῶν, εἴτε τῶν διαστάσεων, καθ᾽ ὧν κινοῦνται, τὸ ποσὸν, εἴτε τῆς ἐνεργείας τὸ ποιὸν, ἢ τοῦ χιτῶνος τῶν ἀρτηριῶν, ἢ τῆς κοιλότητος, ἢ τοῦ πὼς ἔχειν πρὸς ἄλληλα τὰ δυνάμενα παραβάλλεσθαι, δύναται δὲ δηλονότι τὰ ὁμογενῆ, πάντ᾽ εἴρηται ταῦτα, καὶ

aliquod etiam quietum; et harum item utriusque proprium. Jam quia tres arteria dimenfiones, ut omnia reliqua corpora, obtinet, longitudinem, latitudinem, profunditatem; non poteft in fingulis dimenfionibus non fieri quantitas aliqua distentionis et contractionis. Et vero etiam contentionem quandam neceffario habet, ut aut aegre et languide, aut prompte valenterque operetur. Eft praeterea ipfa arteriae tunica aut mollis, aut dura. Quin etiam capacitas interna aut vacua quodam modo eft, aut plena. Atque haec omnia aliquando aequalia, aliquando inaequalia funt. Temporis item diftentionis aliqua proportio eft cum tempore contractionis. Aliam in uno pulfu differentiam conftituas, praeter has, nullam. Sive enim motuum tempus eft aeftimandum, vel quietum, five dimenfionum in quibus moventur quantitas, five qualitas actionis, aut tunicae arteriarum, aut cavitatis; five qui mutuo conveniunt, quae conferri queunt; queunt autem cognata; omnia haec funt recenfita nec quic-

οὐδὲν ἔτι λείπει τῷ λόγῳ κατ' οὐδένα τρόπον, ἀλλ' εἰσὶν αἱ πᾶσαι καθ' ἕνα σφυγμὸν συνιστάμεναι διαφοραὶ γενῶν αἱ νῦν εἰρημέναι. δύο δὲ ἄλλαι προσέρχονται συστηματικαὶ καλούμεναι, καθ' ἃς ἐπὶ πλειόνων σφυγμῶν ἀλλήλοις παραβαλλομένων, ὁμαλότητά τε καὶ ἀνωμαλίαν, καὶ τάξιν, ἢ ἀταξίαν σκοποῦμεν.

Κεφ. δ'. (9) Ἑκάστου δὲ τούτων τῶν γενῶν αἱ κατ' εἶδος διαφοραὶ πλείους εἰσὶν, ἃς ἤδη διέξιμεν, ἀπὸ τοῦ κατ' αὐτὴν τὴν κίνησιν ἀρξάμενοι γένους. ἀνάγκη γὰρ ταύτην ἢ σύμμετρόν τε καὶ κατὰ φύσιν ὑπάρχειν, ἢ ὠκυτέραν πως, ἢ βραδυτέραν γεγονέναι, ὡς εἶναι κατὰ τοῦτο τὸ γένος τρεῖς τὰς πάσας διαφορὰς σφυγμῶν, ταχὺν μὲν τὸν ἐν ὀλίγῳ χρόνῳ κινουμένης τῆς ἀρτηρίας γενόμενον, βραδὺν δὲ τὸν ἐν πολλῷ, σύμμετρον δὲ τὸν ἐν συμμέτρῳ. αἱ δὲ κατὰ τὸ ποσὸν τῆς διαστολῆς διαφοραὶ σφυγμῶν, αἱ μὲν κατὰ μίαν νοούμεναι διάστασιν ἐννέα τὸν ἀριθμόν εἰσι, καθ' ἑκάστην τῶν τριῶν διαστάσεων τρεῖς, κατὰ μὲν τὸ μῆκος τῆς ἀρτηρίας, ὅστις σύμμετρος ἐν αὐτῷ, καὶ ὅστις ἂν ὑπερβάλλῃ τοῦδε, ἢ ἐλλείπῃ·

quam praeterea in ullam partem defiderat oratio; fed funt omnes quae in unum pulfum incidunt, differentiae generales quas retulimus. Quibus duae accedunt aliae, quas collectivas appellant. Ex quibus in plurium pulfuum mutua comparatione aequalitatem et inaequalitatem, ordinem atque ejus perturbationem aeftimamus.

Cap. IV. Cujusque autem horum generum differentiae fpeciatim plures funt, quas jam exponemus, a genere ipfius motus ingreffi: quem aut moderatum effe et fecundum naturam oportet, aut celeriorem, vel tardiorem. Itaque hoc genus efficit tres numero differentias pulfuum; celerem, qui fit, quum pauco tempore movetur arteria; tardum, quum multo; moderatum, quum mediocri. Differentiae vero pulfuum in diftentionis quantitate, fiquidem fingulis concipiantur dimenfionibus, novem numero funt, in unaquaque trium dimenfionum tres. In longitudine arteriae, qui moderatus in ea eft et qui hunc excedit, vel eo eft inferior; vocatur qui

καλεῖται δὲ ὁ μὲν ὑπερβάλλων μακρὸς, ὁ δὲ ἐλλείπων βραχύς. κατὰ δὲ τὸ πλάτος ὅ τε σύμμετρος ἐν αὐτῷ καὶ οἱ ἄμετροι δύο, πλατὺς μὲν ὁ ὑπὲρ τὸ σύμμετρον, ὁ δ᾽ ἐναντίος αὐτῷ στενός. κατὰ ταῦτα δὲ κᾀν τῇ κατὰ βάθος διαστάσει τῆς ἀρτηρίας ὁ μὲν ἔσται σύμμετρος, ὁ δὲ ὑψηλὸς, ὁ δὲ ταπεινός. αὗται μὲν ἐννέα διαφοραὶ σφυγμῶν τῶν κατὰ μίαν διάστασιν νενοημένων, αἱ δὲ κατὰ τρεῖς ἅμα διαστάσεις διαφοραὶ σφυγμῶν ἑπτὰ καὶ εἴκοσίν εἰσιν. γνώσῃ δ᾽ αὐτὰ σαφῶς ἐπὶ διαγράμματος, εἷς μὲν γὰρ ἔσται μακρὸς ἅμα καὶ πλατὺς καὶ ὑψηλὸς καὶ γεγράφθω πρῶτος ἁπάντων. ἕτερος δὲ μακρὸς ἅμα καὶ πλατὺς καὶ κατὰ βάθος σύμμετρος καὶ γεγράφθω δεύτερος. ἄλλος δὲ μακρὸς καὶ πλατὺς καὶ ταπεινὸς καὶ γεγράφθω τρίτος. ἑξῆς δὲ τούτοις οἱ λοιποὶ πάντες ὁμοίᾳ μεθόδῳ γνωριοῦνται, τῶν δύο μὲν τῶν πρώτων διαστάσεων τῶν αὐτῶν μενουσῶν, τρὶς δὲ τῆς ἐσχάτης ὑπαλλαττομένης, οἷον οὕτως, ὁ μὲν τέταρτος μακρὸς καὶ σύμμετρος τῷ πλάτει καὶ ὑψηλός· ὁ δὲ πέμπτος μακρὸς καὶ σύμμετρος τῷ πλάτει καὶ σύμμετρος τῷ βάθει. ὁ δὲ ἕκτος μακρὸς καὶ σύμμετρος τῷ πλάτει καὶ ταπεινὸς, εἶτ᾽ ἄλλοι πάλιν τρεῖς ἐφεξῆς, τῆς μὲν πρώτης διαστάσεως τὸ μακρὸν φυλαττούσης,

excedit, longus; qui inferior eſt, brevis. In latitudine, qui moderatus in ea, et duo immoderati; latus, qui moderatum excedit; contrarius huic, anguſtus. Itidem in dimenſione profunditatis arteriae unus moderatus eſt, alius altus et alius humilis. Hae quidem novem ſunt pulſuum in una dimenſione acceptorum differentiae; at differentiae pulſuum in trinis ſimul dimenſionibus ſunt xxvii. Perſpicias has manifeſte in tabella. Unus enim erit longus ſimul et latus altusque, qui omnibus praeponatur. Alius longus ſimul et latus et profunditate moderata, ſcribaturque ſecundus. Alius longus, latus, humilis, qui ordine tertius ſit; ſimilique omnes reliqui via et ratione cognoscentur: ut duae primae dimenſiones maneant immotae, trifariam ultima variet, hoc pacto. Quartus longus, moderata latitudine et altus. Quintus longus, moderata latitudine, ſimulque moderata profunditate. Sextus longus, latitudine, moderata, humilis. Deinde alii tres, prima dimenſione longum ſervante, ſecunda

τῆς δὲ δευτέρας τὸ στενὸν, τῆς δὲ τρίτης ὑπαλλαττομένης τριχῶς. οὗτοι μὲν ἐννέα, τῆς μιᾶς διαστάσεως τῆς κατὰ τὸ μῆκος μακρᾶς μενούσης, τῶν δὲ ἄλλων δυοῖν παντοίως ὑπαλλαττομένων. ἕτεροι δὲ ἑξῆς ἐννέα, τῆς μὲν κατὰ τὸ μῆκος διαστάσεως συμμέτρου μενούσης, τῶν λοιπῶν δ᾽ ὑπαλλαττομένων. καὶ αὖθις ἐννέα, τῆς μὲν κατὰ μῆκος διαστάσεως βραχείας μενούσης, τῶν δ᾽ ἄλλων ὑπαλλαττομένων.

[18] α΄ μακρὸς	πλατὺς	ὑψηλὸς	μέγας
β΄ μακρὸς	πλατὺς	σύμμετρος	
γ΄ μακρὸς	πλατὺς	ταπεινὸς	
δ΄ μακρὸς	σύμμετρος	ὑψηλὸς	
ε΄ μακρὸς	σύμμετρος	σύμμετρος	ἰσχνὸς
ϛ΄ μακρὸς	σύμμετρος	ταπεινὸς	ἰσχνὸς
ζ΄ μακρὸς	στενὸς	ὑψηλὸς	
η΄ μακρὸς	στενὸς	σύμμετρος	ἰσχνὸς
θ΄ μακρὸς	στενὸς	ταπεινὸς	ἰσχνὸς

anguftum, tertia trifariam variante. In his novem una dimenfio permanet longitudinis longae, aliae duae omnino commutantur. Mox alii novem dimenfione longitudinis in mediocritate confervata, variantibus reliquis. Ad haec novem, ubi longitudinis brevis maneat dimenfio et aliae immutentur.

1 Longus	Latus	Altus	Magnus
2 Longus	Latus	Moderatus	
3 Longus	Latus	Humilis	
4 Longus	Moderatus	Altus	
5 Longus	Moderatus	Moderatus	Gracilis
6 Longus	Moderatus	Humilis	Gracilis
7 Longus	Anguftus	Altus	
8 Longus	Anguftus	Moderatus	Gracilis
9 Longus	Anguftus	Humilis	Gracilis

ι΄	σύμμετρος	πλατὺς	ὑψηλὸς	ἁδρὸς
ια΄	σύμμετρος	πλατὺς	σύμμετρος	
ιβ΄	σύμμετρος	πλατὺς	ταπεινὸς	
ιγ΄	σύμμετρος	σύμμετρος	ὑψηλὸς	
ιδ΄	σύμμετρος	σύμμετρος	σύμμετρος	μέσος
ιε΄	σύμμετρος	σύμμετρος	ταπεινὸς	
ις΄	σύμμετρος	στενὸς	ὑψηλὸς	
ιζ΄	σύμμετρος	στενὸς	σύμμετρος	
ιη΄	σύμμετρος	στενὸς	ταπεινὸς	ἰσχνὸς
ιθ΄	βραχὺς	πλατὺς	ὑψηλὸς	ἁδρὸς
κ΄	βραχὺς	πλατὺς	σύμμετρος	ἁδρὸς
κα΄	βραχὺς	πλατὺς	ταπεινὸς	
κβ΄	βραχὺς	σύμμετρος	ὑψηλὸς	ἁδρὸς
κγ΄	βραχὺς	σύμμετρος	σύμμετρος	ἁδρὸς
κδ΄	βραχὺς	σύμμετρος	ταπεινὸς	

10	Moderatus	Latus	Altus	Turgidus
11	Moderatus	Latus	Moderatus	
12	Moderatus	Latus	Humilis	
13	Moderatus	Moderatus	Altus	
14	Moderatus	Moderatus	Moderatus	Medius
15	Moderatus	Moderatus	Humilis	
16	Moderatus	Anguſtus	Altus	
17	Moderatus	Anguſtus	Moderatus	
18	Moderatus	Anguſtus	Humilis	Gracilis
19	Brevis	Latus	Altus	Turgidus
20	Brevis	Latus	Moderatus	Turgidus
21	Brevis	Latus	Humilis	
22	Brevis	Moderatus	Altus	
23	Brevis	Moderatus	Moderatus	Turgidus
24	Brevis	Moderatus	Humilis	Turgidus

Ed. Chart. VIII. [18.] Ed. Baſ. III. (9. 10.)

κέ	βραχὺς	στενὸς	ὑψηλὸς	
κς'	βραχὺς	στενὸς	σύμμετρος	
κζ'	βραχὺς	στενὸς	ταπεινὸς	μικρὸς

(10) Ὄντων δὲ τούτων ἑπτὰ καὶ εἴκοσι σφυγμῶν, τῶν κατὰ τὸ ποσὸν, ἐν ταῖς τρισὶν ἅμα διαστάσεσι συνισταμένων, δύο μὲν ἔχουσιν ἐξ αὐτῶν ὀνόματα πρὸς ἁπάντων ὁμολογούμενα, ὅ τε πρῶτος ἐν αὐτοῖς γεγραμμένος καὶ ὁ ἔσχατος. ὁ μὲν γὰρ μέγας, ὁ δὲ μικρὸς καλεῖται, τὸ δ᾽ ἄλλο πᾶν πλῆθος οὐκ ἔχει. οὐδὲ γὰρ οἱ ἰσχνοί τε καὶ οἱ ἁδροὶ λεγόμενοι σφυγμοὶ ἕνα τινὰ τῶν ἐκ τοῦ διαγράμματος δηλοῦσι, ἀλλὰ κατὰ πολλῶν ἅμα γενικῶς κατηγοροῦνται. ἐφ᾽ ὧν γὰρ ἂν ἡ κατὰ τὸ μῆκος διάστασις πλεονεκτῇ πως τῶν λοιπῶν δυοῖν, τούτους πάντας ἰσχνοὺς καλοῦσιν· ἐφ᾽ ὧν δ᾽ ἂν αἱ λοιπαὶ δύο ταύτης, ἅπαντας αὖ πάλιν ἐκείνους ἁδρούς. ὥστε καὶ τὸν πέμπτον ἐν τῷ διαγράμματι καὶ τὸν ἕκτον, ἔτι δὲ πρὸς αὐτοῖς τὸν ὄγδοόν τε καὶ ἔνατον καὶ ιη' ἰσχνοὺς καλεῖσθαι, ἔμπαλιν δὲ τούτοις ἁδροὺς τόν τε δέκατον ἐν τῷ διαγράμματι καὶ τὸν ἐννεαδέκατον καὶ τὸν εἰκοστὸν καὶ προσέτι

25	Brevis	Anguſtus	Altus	
26	Brevis	Anguſtus	Moderatus	
27	Brevis	Anguſtus	Humilis	Parvus

Atque quum hi viginti ſeptem pulſus, ſecundum quantitatem, in tribus dimenſionibus conſiſtent, duo ſunt nomina ſortiti ab omnibus approbata qui primus relatus eſt et qui poſtremus; hic parvus appellatur, ille magnus. Reliqui alii omnes nomen non habent. Neque enim pulſus qui graciles et turgidi vocantur, certum ex tabella unum indicant, caeterum multis ſimul generatim tribuuntur. Nam in quibus longitudinis dimenſio quodam modo duabus reliquis praeſtat, omnes hos graciles vocant. In quibus duae reliquae hac, contra turgidos hos appellant. Proinde quintus in tabella et ſextus, inſuper octavus et nonus ac octavus decimus graciles vocantur. E diverſo turgidi decimus nonus, vigeſimus item et vigeſimus ſecundus et xxiii. Haec ergo ſunt nomina ge-

τὸν δεύτερον καὶ εἰκοστὸν καὶ τὸν τρίτον καὶ εἰκοστόν. ὥστε γενικώτερα ταῦτ᾽ ἐστὶ τὰ ὀνόματα καὶ πλειόνων κοινά. καλοῦσι δὲ ἤδη τοὺς αὐτοὺς τούτους σφυγμοὺς καὶ ἑτέρως, λεπτὸν μὲν ἰσχνὸν, παχὺν δὲ τὸν ἁδρόν. ἀλλ᾽ οὐδὲ τοῦ συμμέτρου κατὰ τὰς τρεῖς διαστάσεις, ὅσπερ μόνος ἐστὶν ὁ κατὰ φύσιν ἐν τοῖς ἑπτὰ καὶ εἴκοσιν, ἴδιον ἔχομεν ὄνομα. λόγῳ δὲ καὶ τοῦτον δηλοῦμεν, ἤτοι σύμμετρον εἶναι λέγοντες ἐν ταῖς τρισὶ διαστάσεσιν, ἢ μέσον μεγάλου τε καὶ μικροῦ, ἢ κατὰ φύσιν ἐν τῷ ποσῷ τῆς διαστολῆς, ἢ σύμμετρον ἐν τῷ ποσῷ τῆς διαστολῆς, ἢ ὅπως ἂν μάλιστα ἄλλως σαφὲς ἐλπίσωμεν ἔσεσθαι τὸ λεγόμενον. διό μοι καὶ θαυμάζειν ἐπέρχεται τῶν ἐν ὀνόμασι μόνον δεινῶν, καὶ τί χρὴ καλέσαι τὸν τοιοῦτον σφυγμὸν ἀεὶ ζητούντων, εἰ μὴ κἂν διὰ τοῦτο τῆς ἔριδος παύσαιντο, πολλοὺς ὁρῶντες σφυγμοὺς ὄνομα μὲν ἴδιον οὐκ ἔχοντας, οὐδὲν δ᾽ ἐκ τούτου τὴν διδασκαλίαν βλάπτοντας, ὅταν γε λόγῳ δηλοῦσθαι δύνωνται. [19] τὸ γοῦν σφυγμὸν ὀνομάζειν τινὰς βραχὺν καὶ στενὸν καὶ ταπεινὸν ὅμοιόν ἐστι τῷ λέγειν ζῶον πεζὸν δίπουν. ὡς γὰρ ἐνταῦθα ὁ λόγος μὲν τὸ ζῶον πεζὸν δίπουν, τὸ δὲ ὄνομα τοῦ πράγματος, οὗ

neraliora et pluribus communia. Jam vocant etiam hosce pulfus aliter, tenuem gracilem, et craffum turgidum. Quin nec moderati quidem in tribus dimenfionibus, qui unus naturalis inter xxvii eft, peculiare nomen habemus, fed definitione hunc fignificamus, dicentes, aut moderatum tribus dimenfionibus, aut medium magni et parvi, aut naturalem in quantitate diftentionis, aut quacunque alia ratione fermonem potiffimum fperamus fore clarum. Quare eos mihi in mentem venit mirari, qui in nominibus tantum excellunt et quo nomine fit vocandus is pulfus, per totam vitam quaerunt, fi non vel hac de caufa contentionem deponant, quod multos videant pulfus qui proprium quidem requirunt nomen, nec hinc quicquam laedi tamen inftitutionem, cum definitione quidem indicari poffit. Siquidem, quum pulfum appellent quidam brevem, anguftum humilemque, perinde faciunt ac illi qui dicunt animal pedeftre bipes. Nam, ut hic definitio eft, animal pedeftre bipes: et rei nomen, cujus

Ed. Chart. VIII. [19.] Ed. Baf. III. (30.)

ὁ λόγος, ἄνθρωπος, οὕτω κἀν τοῖς σφυγμοῖς ὄνομα μὲν ὁ μέγας, λόγος δ᾽ αὐτοῦ μακρὸς καὶ πλατὺς καὶ ὑψηλός. καὶ αὖθις ἑτέρου σφυγμοῦ λόγος μὲν, βραχὺς, πλατὺς, ταπεινὸς, ὄνομα δὲ οὐδέν ἐστιν. ἀλλὰ περὶ μὲν τούτων καὶ αὖθις ἐροῦμεν.

Κεφ. ε΄. Νυνὶ δὲ μεταβάντες ἐπὶ τὸ τρίτον γένος τῶν σφυγμῶν τὸ κατὰ τὸν τόνον, εἴπωμεν καὶ τὰς τούτου διαφοράς. εἰσὶ δὲ τρεῖς, ὁ μέν τις εὔρωστος τῷ τόνῳ. καλεῖται δὲ σφοδρός. ὁ δέ τις ἄῤῥωστος, ὃν ἀμυδρὸν ὀνομάζουσι. τοῦ μέσου δ᾽ αὐτῶν οὐκ ἔστιν ἴδιον ὄνομα, ἀλλὰ καὶ τοῦτον τῷ λόγῳ δηλοῦμεν. τὸ δὲ τέταρτον τῶν γενῶν τὸ κατὰ τὸ σῶμα τῆς ἀρτηρίας συνιστάμενον εἰς τρεῖς τέμνεται καὶ αὐτὸ διαφορὰς καὶ καλεῖται παρὰ μὲν τοῖς πλείστοις τῶν ἰατρῶν, καὶ μάλιστα τοῖς νεωτέροις, τῷ τοῦ πλήρους ὀνόματι καὶ τῷ τοῦ κενοῦ. τὸ γὰρ μέσον ἀμφοῖν ἀνώνυμον κἀνταῦθα. παρ᾽ ἡμῖν δ᾽ οὐχ οὕτως. ἀλλ᾽ ὁ μὲν ἕτερος αὐτῶν σκληρὸς, ὁ δὲ ἕτερος μαλακὸς ὀνομάζεται, καὶ δηλοῦσιν ἀμφότεροι τῆς ἀρτηρίας τὴν σύστασιν. εἰ δ᾽ ὀρθότερον οὕτως, ἢ ἐκείνως ὀνομάζειν, ὅτῳ καὶ τούτων μέλει, διὰ

haec eſt definitio, homo; ita in pulſibus nomen eſt magnus; ejus definitio, longus, latus, altus. Item alius pulſus definitio, brevis, latus, humilis, ſed nullum habet nomen. Verum de his agemus alias.

Cap. V. Jam nunc ad tertium pulſuum genus, quod in robore conſiſtit, descendamus et hujus etiam differentias exponamus. Sunt autem tres, unus validus robore, qui vehemens vocatur; alter imbecillus, quem languidum appellant; medio inter eos proprium non eſt nomen, ſed hunc quoque explicamus definitione. Quartum genus, quod in arteriae conſiſtit corpore, dividitur etiam in tres differentias, vocaturque a medicis plerisque, maxime a junioribus, plenum et vacuum; et quod inter utrumque medium eſt, ne hic quidem ſortitum eſt nomen. A nobis non ita, ſed alter durus, alter mollis appellatur: et declarat uterque arteriae ſtatum. An vero rectius hoc ſit modo appellandum, an illo, qui de

τῶν ἑξῆς μαθήσεται. νυνὶ δὲ τὸ προκείμενον περαντέον. ἄλλο γένος ἦν σφυγμῶν, ἐμφαῖνον, ὥς φασι, τὸ τῆς ἀρτηρίας ἔγχυμα, μακροῦ δεόμενον, ὡς ἐμοὶ δοκεῖ, εἰς διάγνωσιν ἀκριβῆ λόγου. τὸ δ᾽ οὖν εἴς τε τὰ παρόντα χρηστὸν καὶ τοῖς εἰσαγομένοις ἱκανὸν εἰρήσεται κἀνταῦθα, τρεῖς νοεῖσθαι τούτου τοῦ γένους διαφορὰς σφυγμῶν, ὀνομάζεσθαι δὲ τὸν μέν τινα πλήρη, τὸν δὲ κενόν. ὁ γὰρ μέσος ἀμφοῖν οὐδὲν ἴδιον ὄνομα κέκτηται. πλήρης μὲν οὖν ἐστι σφυγμὸς, ὡς ὁ Ἀρχιγένης ὁρίζεται, ὁ ναστοτέραν ἐπιδεικνὺς τὴν ἀρτηρίαν καὶ τὴν ὑπόπτωσιν αὐτῆς διασεσαγμένην ἐγχύλως, κενὸς δὲ ὁ πομφολυγώδη τὴν ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος, ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν. ταῦτα μὲν οὖν τὰ πέντε γένη τῶν σφυγμῶν κατὰ μίαν κίνησιν τῆς ἀρτηρίας συνίσταται, καὶ ἡ καθ᾽ ἕκαστον ὁμαλότης αὐτῶν τε καὶ ἀνωμαλία, ἧς τὰς διαφορὰς ἐροῦμεν, ὅταν καὶ περὶ τῆς ἑτέρας ἀνωμαλίας τῆς ἐν πλείοσι συνισταμένης σφυγμοῖς λέγωμεν.

Κεφ. στ΄. Αἱ δ᾽ ἄλλαι διαφοραὶ τῶν σφυγμῶν τοῖς μὲν μηδ᾽ ὅλως αἰσθάνεσθαι λέγουσι τῆς συστολῆς, ἔν τε τῷ

hoc laborat, inferius discet. Nunc quod inftituimus eft abfolvendum. Aliud genus erat pulfuum, arteriae perfufionem, ut ajunt, declarans: quod longum requirit mea fententia fermonem ad abfolutam notitiam; at quod ad propofitum conducit atque fufficit tironibus, hoc loco exponemus. Tres et hujus generis differentias pulfuum fingi, quorum unus plenus, alter vacuus appellatur; nam medius utriusque nomine peculiari caret. Plenus ergo pulfus eft, ut definit Archigenes, qui arteriam oftendit pleniorem et occurfum humide tumidum; vacuus, qui arteriae elevationem facit bullofam, ut digitorum impreffioni egreffus per vacua occurrat. Haec quinque pulfuum genera in uno motu confiftunt arteriae et fingulae eorum aequalitates atque inaequalitates, quarum exponemus differentias, quum de altera agemus inaequalitate, quae in pluribus pulfibus pofita eft.

Cap. VI. Aliae differentiae pulfuum his qui fe negant contractionem fentire, in tempore intervallorum con-

Ed. Chart. VIII. [19. 20.] Ed. Baf. III. (10.)

χρόνῳ συνίστανται τῶν διαλειμμάτων, οὕτω γὰρ ὀνομάζουσι τὸν μεταξὺ χρόνον τῶν αἰσθητῶν κινήσεων, καὶ προσέτι τῷ λόγῳ τοῦ τε τῆς κινήσεως αὐτῆς χρόνου καὶ τοῦ τῆς ἡσυχίας. καλοῦσι γὰρ καὶ οὕτως τὸ διάλειμμα. τοῖς δὲ καὶ τῆς συστολῆς αἰσθάνεσθαι λέγουσι, καὶ δηλονότι τῶν μεταξὺ δυοῖν ἠρεμήσεων, ἃς ἡσυχίας τε καὶ ἠρεμίας καὶ ἀκινησίας καλοῦσιν, ἕτεραί τε συνίστανται καὶ πολλῷ πλείους γίνονται. δίκαιον οὖν ὑπὲρ ἑκατέρων ἰδίᾳ σαφέστερον εἰπεῖν, καὶ περὶ προτέρου γε τῶν μόνης τῆς διαστολῆς αἰσθάνεσθαι φασκόντων· [20] ἵν᾽ ἐν τοῖς ἑτοιμοτέροις γνωσθῆναι γυμνασάμενοι ῥᾷον ἑπώμεθα τοῖς χαλεπωτέροις. πληττομένης δὴ τῆς ἁφῆς κατὰ τὴν προσβολὴν τῆς ἀρτηρίας, τῶν τε ἄλλων ὧν εἶπον ἔμπροσθεν αἰσθανόμεθα καὶ χρόνου τοῦ παρεκτεινομένου τῇ κινήσει. δευτέρας δ᾽ αὖ κινήσεως ὑπαρξαμένης, ἄλλος ἡμῖν χρόνος ἐφωράθη μεταξὺ τοῦ τε τῆς προτέρας κινήσεως τέλους καὶ ἀρχῆς τῆς δευτέρας, ὥστε εἶναι δύο χρόνων διάγνωσιν ἐν τῇ τοῦ σφυγμοῦ συμπληρώσει, προτέρου μὲν τοῦ τῆς κινήσεως, ἣν καὶ πληγὴν καὶ διαστολὴν ὀνομάζουσι, δευτέρου δὲ τοῦ τῆς ἡσυχίας, ἣν καὶ διάλειμμα

fiftunt, ita enim tempus, quod inter motus fenfibiles intercedit, vocant; praeterea in proportione temporis motus et quietis, nam ita etiam intervallum appellant. At illis qui fe contractionem ajunt fentire ac medium utique quietis utriusque, quam quietem remiffionem et ceffationem a motu vocant, aliae prodeunt et longe efficiuntur plures. Sed faciendum mihi eft, ut de utrisque feparatim planius agam, et primum de his qui fe folam dicunt diftentionem fentire: quo in facilioribus cognitu exercitati, difficiliora facilius affequamur. Ubi tactus ab arteria infultante feritur, quum alia quae ante memoravi fentimus, tum tempus quod motu producitur. Inde quando alter inceperit motus, aliud nos tempus deprehendimus inter exitum prioris motus atque alterius principium, ut duorum fit temporum in pulfu abfoluto cognitio; prioris, quod motus eft, quem et ictum et diftentionem appellant; fecundi, quod quietis eft, quod et inter-

καὶ συστολὴν καλοῦσιν, γίγνεσθαι δὲ κατὰ μὲν τὸ τοῦ προτέρου χρόνου ποσὸν ἢ ταχὺν, ἢ βραδὺν, ἢ τὸν μέσον αὐτῶν σφυγμὸν, κατὰ δὲ τοῦ δευτέρου πυκνὸν, ἢ ἀραιὸν, ἢ τὸν μέσον αὐτῶν, ὥστ᾽ εἶναι ταχὺν μὲν σφυγμὸν τὸν ἐν ὀλίγῳ χρόνῳ τῆς ἀρτηρίας διαστελλομένης γιγνόμενον, πυκνὸν δὲ τὸν δι᾽ ὀλίγου, καὶ βραδὺν μὲν τὸν ἐν πολλῷ χρόνῳ τῆς ἀρτηρίας διαστελλομένης γινόμενον, ἀραιὸν δὲ τὸν διὰ πολλοῦ, καὶ μέσον μὲν ὠκέος καὶ βραδέος τὸν ἐν συμμέτρῳ χρόνῳ τῆς ἀρτηρίας διαστελλομένης γιγνόμενον, μέσον δὲ πυκνοῦ καὶ ἀραιοῦ τὸν διὰ συμμέτρου χρόνου τῆς ἀρτηρίας διαστελλομένης ἀποτελούμενον. εἴτε δὲ διαστελλομένης, εἴτε διϊσταμένης εἴποιμεν, εἴτε ἐξαιρουμένης, εἴτε κινουμένης, οὐδὲν διαφέρειν ἡγοῦμαι. δῆλον οὖν ἤδη τίς τε ὁ πυκνὸς σφυγμὸς κατ᾽ αὐτοὺς καὶ ὅπη τοῦ ταχέος ἕτερος, ὅς τίς τε ἀραιὸς καὶ ὅπῃ βραδέος διαφέρει. παραβαλλομένου δὲ τοῦ τῆς πληγῆς χρόνου τῷ τῆς ἡσυχίας, ὁ ῥυθμὸς γεννᾶται, λόγος ὢν τοῦ χρόνου τῆς πληγῆς πρὸς τὸν τῆς ἡσυχίας. εἴπομεν δὲ ὅτι μηδὲν κατὰ τούτους διαφέρει πληγὴν λέγειν, ἢ

vallum contractionemque vocant. Fieri autem ex prioris temporis quantitate aut celerem, aut tardum, aut inter eos medium pulſum: ex quantitate alterius temporis frequentem, aut rarum, aut horum medium. Ut ſit celer pulſus, qui quum modico tempore arteria diſtenditur fit; creber, qui quando parvo interpoſito intervallo; tardus, quum longo tempore arteria diſtenditur; rarus, quum interpoſito longo intervallo; medius velocis et tardi, qui quum moderato tempore diſtenditur arteria, fiat; medius crebri et rari, qui ſit quum moderato interpoſito tempore arteria diſtenditur. Sive diſtenditur, ſive dilatatur, ſive attollitur, ſive movetur, dicamus, nihil intereſſe puto. Liquet igitur qui creber ſit pulſus illis et quemadmodum a veloci diſtet; tum qui rarus, quaque ratione a tardo discrepet. Comparato autem ictus tempore cum tempore quietis, gignitur rhythmus, qui proportio temporis eſt ictus ad tempus quietis. Diximus etiam nihil apud hos differre ictum, vel diſtentionem, vel motum

διαστολὴν, ἢ κίνησιν. καὶ ἡσυχίαν, ἢ διάλειμμα, ἢ συστολήν. καὶ μὲν δὴ καὶ ἀντὶ τοῦ λόγον φάναι τοῦ χρόνου τῆς διαστολῆς πρὸς τὸν τῆς συστολῆς (11) τὸν ῥυθμὸν εἶναι, τάξιν τινὲς ἔφασαν, ἕτεροι δὲ σχέσιν εἶναι δυοῖν χρόνοιν πρὸς ἀλλήλους, τοῦ τῆς πληγῆς πρὸς τὸν τοῦ διαλείμματος. αὕτη μὲν ἡ κατὰ τοὺς προτέρους διδασκαλία.

Κεφ. ζ. Μεταβῶμεν δ' ἐπὶ τοὺς αἰσθάνεσθαι φάσκοντας τῆς συστολῆς, βραδύτητα μὲν καὶ τάχος ὁμοίως ἐκείνοις ἐν τῷ τῆς διαστολῆς χρόνῳ τιθεμένους, ἤδη δὲ κἀν τῷ τῆς συστολῆς, οὐ μὴν τήν γε πυκνότητα καὶ τὴν ἀραιότητα καὶ τὸν ῥυθμὸν ἔθ' ὡσαύτως ἐκείνοις, ἀλλὰ τὴν μὲν πυκνότητα καὶ τὴν ἀραιότητα κατὰ τὰς ἠρεμίας ἑκατέρας, τὸν ῥυθμὸν δὲ κατὰ τὸν τῆς διαστολῆς χρόνον ἅμα τῷ τῆς μετ' αὐτὴν ἡσυχίας παραβαλλόμενον τῷ τῆς συστολῆς ἅμα τῷ τῆς μετ' αὐτὴν ἠρεμίας. ἔσθ' ὅτε δὲ καὶ τὸν τῆς διαστολῆς μόνης χρόνον τῷ τῆς συστολῆς μόνης παραβάλλοντες, οὕτω τὸν ῥυθμὸν γεννᾶσθαι λέγουσι. καὶ γὰρ περὶ τῆς πυκνότητος ἔνιοι μὲν αὐτῶν, ὡς εἴρηται, τινὲς δὲ τοῖς πρόσθεν

dicere; nec quietem, vel intervallum, vel contractionem. Et vero etiam pro hoc, proportionem temporis diftentionis ad contractionis tempus rhythmum effe, quidam ordinem dixerunt, alii convenientiam duorum effe temporum inter fefe, ictus cum intervalli. Haec funt quae priores tradunt.

Cap. VII. Transeamus jam ad eos qui contractionem fentire fe dictitant, qui tarditatem quidem et celeritatem non aliter atque illi in diftentionis ponunt tempore et in contractionis etiam, crebritatem vero et raritatem rhythmumque non perinde ac illi, caeterum crebritatem atque raritatem in utraque quiete; rhythmum in diftentionis tempore una cum tempore infequentis eam quietis, ad tempus collato contractionis fimul cum tempore excipientis eam quietis. Nonnunquam folius diftentionis tempus cum folius comparantes tempore contractionis, rhythmum ita dicunt gigni. Ac de crebritate quidam ex his, ut diximus, fenfe-

παραπλησίως ἐν τῷ τῆς διαστολῆς χρόνῳ τὸ τάχος καὶ τὴν βραδύτητα γεννᾶσθαι φήσαντες, ἐν τῷ λοιπῷ παντὶ τῷ συγκειμένῳ ἔκ τε τῶν δυοῖν ἡσυχιῶν καὶ τῆς συστολῆς τὴν πυκνότητα καὶ τὴν ἀραιότητά φασι συνίστασθαι. τινὲς δὲ καὶ τὸν ῥυθμὸν ὁμοίως τοῖς πρόσθεν οὐκ ὤκνησαν ἐν τῷ λόγῳ τοῦ τῆς διαστολῆς χρόνου πρὸς τὸν λοιπὸν ἅπαντα συνίστασθαι φάσκειν. οὐ μὴν οὐδ᾽ ἐν τῷ πάσης αἰσθάνεσθαι τῆς διαστολῆς ἢ τῆς συστολῆς ὁμολογοῦσιν ἀλλήλοις, ἀλλ᾽ εἰσὶ μὲν οἳ πάσης ἑκατέρας, εἰσὶ δὲ οἳ μήτε τῶν πρώτων τῆς διαστολῆς μήτε τῶν ἐσχάτων τῆς συστολῆς, εἶτα καὶ περὶ τῶν ὀνομάτων ἐρίζουσιν ἀλλήλοις. ἵν᾽ οὖν ἡμεῖς μήτε τι τῶν πραγμάτων αὐτῶν παραλεί[21]πωμεν μήτ᾽ ἐν τοῖς ἀχρήστοις ἐπὶ πλέον διατρίβωμεν, εἰπόντες τὸ ἀληθές τε ἅμα καὶ χρήσιμον, ἐπιτρέψωμεν ὀνόματα θέσθαι τοῖς τοῦτο ἔργον πεποιημένοις, τῶν δὲ ὄντως ἔργων τῆς τέχνης ἀμελοῦσιν, οὔτε τῆς διαστολῆς τῶν πρώτων οὔτε τῆς συστολῆς τῶν ἐσχάτων δυνατοῖς αἰσθάνεσθαι. πόσον δ᾽ ἑκατέρου τὸ αἰσθητὸν καὶ διὰ τί, δείκνυμεν

runt. Aliqui non aliter ac priores in diftentionis tempore celeritatem generari et tarditatem confirmaverunt, in toto reliquo conflato ex binis quietibus et contractione crebritatem et raritatem ajunt confiftere. Sunt etiam qui rhythmum aeque ac priores in temporis diftentionis proportione ad omne reliquum non dubitent conftituere. Verum inter eos tamen non convenit in fentienda omni diftentione vel contractione, fed quidam omnem fentiri utramque ajunt, alii nec primas diftentiones, nec contractiones extremas. Tum etiam de nominibus contendunt inter fefe. Quare ne quam nos rem praetereamus, nec in rebus frivolis immoremur diutius, quod verum eft et conducibile, exponamus. Nomina ponere his permittamus, qui de iis laborant et artis vera negligunt opera, nec diftentionis primas partes nec contractionis poftremas fentire valentibus. Quantum autem utriusque fentiatur et quamobrem, in libris de pulfibus di-

ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως. ἔστι δὲ δηλονότι χρήσιμον ἰατρῷ τὸ ὑπὸ τὴν αἴσθησιν ἐρχόμενον· ὥστε καὶ χρόνον διαστολῆς ἢ συστολῆς τὸν αἰσθητὸν ἀναγκαῖον γνωρίζειν αὐτῷ. τὴν μὲν οὖν ἠρεμίαν τὴν ἄνω καλουμένην, τὴν ἐπὶ τῇ διαστολῇ πρὸ τῆς συστολῆς, ἀκριβῶς δυνατὸν ἡλίκη τίς ἐστι γνῶναι διὰ τῆς ἁφῆς, τὴν κάτω δὲ οὐκ ἔτι ἀκριβῶς, διὰ τὸ προσλαμβάνειν ἑκατέρωθεν μόρια, κατὰ μὲν τὴν ἀρχὴν τὸ τῆς συστολῆς πέρας, κατὰ δὲ τὴν τελευτὴν τὰ πρῶτα τῆς διαστολῆς. μεμνῆσθαι δὲ χρὴ τῶν χρόνων τούτων τό τε κατὰ φύσιν ἑκάστου μέγεθος καὶ τὸν πρὸς ἀλλήλους λόγον, καὶ γνωρίζειν δύνασθαι πόσον ἐν τῷ νοσεῖν ἀλλοιοῦνται, καὶ τί δηλοῦν ἑκάστη τροπὴ πέφυκεν, ὃ τῇ τε τῆς αἰτίας εὑρέσει καὶ τῇ μακρᾷ πείρᾳ λαμβάνεται, καὶ ἡμεῖς περὶ αὐτῶν ἑτέρωθι λέγομεν.

Κεφ. η'. Ἐν δὲ τῷ παρόντι τὰς διαφορὰς ἔτι προσθέντες τῶν δύο τούτων γενῶν τῶν νῦν εἰρημένων, τοῦ τε κατὰ τὴν ἠρεμίαν καὶ τοῦ κατὰ τὸν ῥυθμὸν, ἐπὶ τὰ συνεχῆ τοῦ λόγου μεταβαίνωμεν. ἐν μὲν δὴ τῷ κατὰ τὴν ἡσυχίαν τῆς ἀρτηρίας γένει

gnoscendis oftendimus. Eft vero utile medico quod fenfui occurrit, itaque diftentionis tempus, vel contractionis fenfibile necefſe habet cognoscere. Quo fit ut quietem quam vocant fuperam, quae fecundum diftentionem contractionem praecedit, quanta fit tactu queas ad unguem affequi; inferam non item plane, quod utrinque fibi afciscat partes; ad initium contractionis extremitatem, ad finem principium diftentionis. Recordari porro horum temporum oportet naturalem cujusque magnitudinem et mutuam proportionem, et poſſe cognoscere in morbo quantum immutentur, et quid quaeque fignificare mutatio foleat. Quod et ex caufae inventione et ex longa experientia fumitur. De quibus alio nos loco differuimus.

Cap. VIII. Nunc fimulatque duorum generum, de quibus jam verba fecimus, differentias, tum quietis tum rhythmi, adjecerimus, ad ea quae fequuntur transibimus. In genere quietis arteriae tres pulfuum differentiae confiftunt,

τρεῖς διαφοραὶ συνίστανται σφυγμῶν, ἀραιὸς, πυκνὸς, μέσος, ὧν καὶ τοὺς λόγους ὀλίγῳ πρόσθεν ἐμάθομεν. ἐν δὲ τῷ κατὰ τὸν ῥυθμὸν οὐχ ἁπλῶς οὕτως ἐγχωρεῖ εἰπεῖν τὰς συνισταμένας διαφορὰς, ἀλλὰ πρῶτον, ὅτι πᾶς σφυγμὸς ῥυθμὸν ἔχει, δηλωτέον, ἵνα μή τινα τὸ τῶν ἀρύθμων καλουμένων σφυγμῶν ἐξαπατῆσαν ὄνομα ψευδῶς ὑπολαμβάνειν ποιήσῃ, παντὸς ἐστερῆσθαι ῥυθμοῦ τοὺς τοιούτους σφυγμούς. ὡς γὰρ ἀτράχηλος ἄνθρωπος καὶ κιθαρῳδὸς ἄφωνος, οὕτω καὶ σφυγμὸς ἄρυθμος καλεῖται, κάκωσιν τοῦ κατὰ φύσιν ῥυθμοῦ δηλούσης τῆς προσηγορίας, οὐ στέρησιν παντελῆ. καὶ ἔστιν ἐναντίος τῷ ἀρύθμῳ οὐχ ὁ ἔνρυθμος, πᾶς γὰρ σφυγμὸς ἔν τινι ῥυθμῷ, ἀλλ᾽ ὁ εὔρυθμος καλούμενος. ἀμφοτέρων δὴ τούτων, ἀρύθμου λέγω καὶ εὐρύθμου, κοινὸν γένος ἐστὶν ὁ ἔνρυθμος σφυγμός. ὁ μὲν οὖν εὔρυθμος εἷς μένει καὶ ἄτμητος. τοῦ δὲ ἀρύθμου τρεῖς εἰσι διαφοραὶ, παράρυθμος, ἑτερόρυθμος, ἔκρυθμος. οἷος δ᾽ ἐστὶν ἕκαστος, ἐπὶ παραδείγματος μάθοις ἄν. ἑκάστῃ τῶν ἡλικιῶν

rarus, creber, medius; quorum paulo ante definitiones docuimus. At generis rhythmi non eſt perinde abſolute explicare quae ſint differentiae; caeterum prae omnibus pulſum omnem obtinere modulum quendam, eſt oſtendendum: ne deceptus quis pulſuum, qui modulum non ſervantes appellantur, nomine adducatur, ut omni eſſe orbatos rhythmo eos pulſus falſo exiſtimet. Nam ut ſine collo homo atque citharoedus ſine voce, ita etiam proportionem non ſervans pulſus vocatur; vitium enim nativi rhythmi non abſolutam abolitionem ſignificat. Atque contrarius eſt modulum non ſervanti non is qui proportionem habet, ſiquidem omnis in aliquo eſt rhythmo pulſus, ſed ille, qui modulum ſervans vocatur. Utriusque porro horum, proportionem non ſervantis et ſervantis, is qui habet proportionem pulſus commune eſt genus. Atque proportionem habens quidem unus et indiviſus manet: proportionem non ſervantis tres ſunt omnes differentiae, pararhythmus, heterorhythmus, eerhythmus. Qualis vero quisque ſit, exemplo diſces,

ἐστί τις κατὰ φύσιν σφυγμός. τούτων οὖν ὁ μὲν σώζων τὸν ῥυθμὸν εὔρυθμος καλεῖται, ὁ δὲ διαφθείρων ἄρυθμος. καὶ τοῦ διαφθείροντος ὁ μὲν τὸν τῆς πλησίον ἡλικίας ῥυθμὸν μεταλαμβάνων παράρυθμος, ὁ δὲ τὸν τῆς ἑτέρας ἡστινοσοῦν ἑτερόρυθμος, ὁ δὲ μηδεμιᾶς ὅλως ἡλικίας ἀποσώζων ῥυθμὸν ἔκρυθμος ὀνομάζεται. οὕτω δὲ καὶ περὶ φύσεων καὶ ὡρῶν καὶ χωρῶν καὶ τῶν ἄλλων ἁπάντων χρὴ νοεῖν. ἑκάστου γὰρ αὐτῶν ἐστί τις οἰκεῖος ῥυθμὸς, οὗ διαφθειρομένου τό τ' ἄρυθμον χρὴ νοεῖν καὶ τὰς εἰρημένας ἐν αὐτῷ διαφοράς. ἁπάντων δὲ τῶν ῥυθμῶν οἱ μὲν ἐν ἴσῳ λόγῳ συνίστανται, οἱ δὲ ἐν ἀνίσῳ· ἐν ἴσῳ μὲν, ὅταν ὁ τῆς διαστολῆς χρόνος ἴσος ὑπάρχῃ τῷ τῆς συστολῆς· ἐν ἀνίσῳ δὲ, ὅταν θάτερος αὐτῶν ὑπερέχῃ. [22] γίνεται δὲ τοῦτο ποτὲ μὲν ἐν ῥηταῖς, ποτὲ δὲ ἐν ἀῤῥήτοις ταῖς ὑπεροχαῖς· καὶ ἐν ῥηταῖς μὲν διχῶς, ἢ ὡς ἐν πολλαπλασίῳ λόγῳ, ἢ ὡς ἀριθμοῦ πρὸς ἀριθμὸν, ὅσπερ καὶ ἐπιμόριος ὀνομάζεται. πολλαπλάσιος μὲν οὖν λόγος ἐστὶν ὁ διπλάσιος, ἢ τριπλάσιος, ἢ τετραπλάσιος, ἤ τις τῶν ἑξῆς.

Suus eſt cuique aetati naturalis pulſus; qui jam de his rhythmum ſervat, eurhythmus vocatur; qui labefactat, arhythmus. Atque labefactans interim rhythmum vicinae aetatis mutuatur, qui pararhythmus; interim cujusvis alterius, ac heterorhythmus hic appellatur; at qui rhythmum prorſus nullius aetatis retinet, hic ecrhythmus. Idem de naturis ac anni temporibus et locis omnibusque aliis ſtatuendum. Suus eſt enim cuique horum certus quidam rhythmus, qui quum corrumpitur, arhythmum tum intelliges, et quas ejus diximus differentias eſſe. Jam vero inter omnes rhythmos hi pari proportione, illi impari conſtant; pari, ubi diſtentionis tempus aequet tempus contractionis; impari, ſi alterutrum eorum excedat. Id quod modo certis, modo incertis fit exceſſibus; certis biſariam, aut multiplici proportione, aut ut numeri ad numerum, qui et ſuperpartialis appellatur; proportio quidem multiplex eſt dupla, vel tripla, vel quadrupla, vel aliqua inſequentium;

ὡς ἀριθμοῦ δὲ πρὸς ἀριθμὸν, ὅταν ἡλίκων ἡ διαστολὴ δυοῖν ἢ χρόνων, τηλικούτων ἡ συστολὴ, πέντε, ἢ ἑπτὰ, ἢ ἐννέα, ἢ ἕνδεκα· ἀῤῥήτοις δὲ τριχῶς μὲν καθόλου· ἢ γὰρ ὁ τῆς διαστολῆς χρόνος ἄῤῥητός ἐστιν, ἢ ὁ τῆς συστολῆς, ἢ ἀμφότεροι. κατὰ μέρος δὲ τούτων ἕκαστος ποτὲ μὲν ἐπ᾽ ὀλίγον παρηυξημένους ἔχει τοὺς ἀῤῥήτους χρόνους, εἴτε πλείους εἶεν, εἴθ᾽ εἷς ὁ πρῶτος, ποτὲ δὲ ἐπὶ πλέον, ποτὲ δὲ ἐπὶ πλεῖστον. ὅτι δὲ πρῶτον χρόνον οὐ πρὸς τὴν φύσιν αὐτὴν, ἀλλὰ πρὸς αἴσθησιν ἀκούειν χρὴ, πρόδηλον. οὕτω γὰρ ἔχει καὶ παρὰ τοῖς μουσικοῖς. ταῦτ᾽ ἀρκεῖ τὸ νῦν περὶ ῥυθμῶν. ὅσον γὰρ ἐκ τούτου τοῦ γένους τῶν σφυγμῶν, τὸ δυνατόν τε καὶ χρήσιμον, ἢ ἀδύνατόν τε καὶ ἄχρηστον, ἔν τε τοῖς περὶ διαγνώσεως αὐτῶν καὶ ἐν τοῖς περὶ προγνώσεως εἰρήσεται.

Κεφ. θ'. Ἀλλ᾽ ἐπὶ τὰ λοιπὰ δύο γένη μεταβαίνωμεν ἤδη· τὸ μὲν ἕτερον ἐν ᾧ τήν τε ὁμαλότητα καὶ τὴν ἀνωμαλίαν ἐπισκοπούμεθα, τὸ δ᾽ ἕτερον ἐν ᾧ τάξιν τε καὶ ἀταξίαν. ὁμαλότης μὲν οὖν καὶ ἀνωμαλία καθ᾽ ἕνα τε σφυγμὸν καὶ

ut numeri ad numerum, quum quanta funt duo diftentionis tempora, tanta fint contractionis tempora, quinque, vel feptem, vel novem, vel undecim; incertis in univerfum tripliciter; nam aut diftentionis eft tempus incertum, aut contractionis, aut utrumque. Sigillatim vero quisque horum interdum paululum amplificata habet incerta tempora, five plura fint, five unum primum; interdum plus; eft quum plurimum. Atqui tempus primum planum eft non natura ipfa effe, fed fenfu accipiendum, fic etenim apud muficos etiam fit. Haec quidem fufficiunt in praefentiarum de rhythmis. Nam ex hoc pulfuum genere quid fieri poffit et conducat, aut non poffit et inutile fit, in libris de his dignofcendis et in libris de praefagitione dicemus.

Cap. IX. Porro ad genera jam reliqua duo transeamus: alterum, in quo aequalitatem fpectamus et inaequalitatem; alterum, in quo ordinem et ordinis perturbationem. Atque aequalitas et inaequalitas tum in uno pulfu fiunt

περὶ πλείονας γίνεται. τάξις δὲ καὶ ἀταξία περὶ πλείονας μόνον. ἐπεὶ δὲ χαλεπὴ καὶ δυσθεώρητός ἐστιν ἡ καθ' ἕνα σφυγμὸν ἀνωμαλία, περὶ τῆς ἐν πλείοσι συνισταμένης πρότερον εἴπωμεν συναποδόντες αὐτῇ καὶ τὸν περὶ τάξεως καὶ ἀταξίας λόγον, ἐπειδὴ παράκειταί τε καὶ οἰκεῖός ἐστιν, οὕτω καὶ ἐπὶ τὴν καθ' ἕνα σφυγμὸν ἀνωμαλίαν ἐπανελθόντες, ἁπάσας αὐτῆς εἰπεῖν πειρασόμεθα τὰς διαφοράς. ἡ τοίνυν ἐν πλείοσιν σφυγμοῖς θεωρουμένη ὁμαλότης τε καὶ ἀνωμαλία, ἃς καὶ συστηματικὰς καλοῦσιν, ἐν τῷ παραβάλλειν τὰς ἐν τῷ πρώτῳ σφυγμῷ διαφορὰς τὰς ἁπάσας ταῖς ἐν τοῖς ἐφεξῆς νοοῦνται. εἰ μὲν γὰρ ἴσαι φυλάττοιντο κατὰ πάντα, ὁμαλὸς ἁπλῶς ὁ τοιοῦ(12)τος καλεῖται σφυγμός· εἰ δὲ ἄνισοι κατὰ πάντα, ἀνώμαλος ἁπλῶς. εἰ δὲ κατὰ τινὰ μὲν, ἢ τινὰς ἴσαι, κατὰ τινὰ δὲ, ἢ τινὰς ἄνισοι, καθ' ἃς μὲν ἴσαι, κατὰ ταύτας ὁμαλὸς ὁ σφυγμὸς ῥηθήσεται, καθ' ἃς δ' ἄνισοι, κατ' ἐκείνας ἀνώμαλος, πολὺ διαφέροντος, ἢ ἁπλῶς ὁμαλὸν καὶ ἀνώμαλον εἰπεῖν, ἢ καθ' ἓν ὁτιοῦν γένος. ὁ μὲν γὰρ ἁπλῶς ὁμαλὸς οὔτε μέγεθος οὔτε τάχος οὔτ' ἄλλο οὐδὲν ἄνισον

tum in pluribus; ordo et perturbatio ordinis in pluribus duntaxat. Sed enim quod difficilis fit in uno pulfu, neque facile animadvertatur inaequalitas, primo loco de ea dicamus quae ex multis pulfibus conftat, fimulque de ordine et ordinis perturbatione explicemus, quando finitimum eft hoc genus et affine; mox ad inaequalitatem nos in uno pulfu referamus, demusque operam ut omnes ejus differentias recenfeamus. Ergo quae pluribus in pulfibus aequalitas atque inaequalitas animadvertuntur, quas collectivas vocitant, in comparatione omnium differentiarum aeftimantur primi pulfus cum reliquorum differentiis. Nam pares fi omnino maneant, aequalis abfolute is pulfus vocatur; fin omnino impares, inaequalis abfolute. Quae fi in una fint vel pluribus pares, et in una vel pluribus impares, quatenus pares funt, hactenus pulfus aequalis appellabitur, quatenus impares, hactenus inaequalis. Nam abfolute aequalem pulfum dicas et inaequalem, an aliquo in genere, multum refert; quod abfolute aequalis neque magnitudinem neque velocitatem neque aliud habet impar

ἔχει. ὁ δὲ καθ᾽ ἓν ὁτιοῦν ἅμα τῇ ἐκείνου προσηγορίᾳ λέγεσθαι βούλεται κατὰ μέγεθος ὁμαλὸς, κατὰ τάχος, κατὰ σφοδρότητα, καθ᾽ ἓν ὁτιοῦν ἄλλο. καὶ μέντοι καὶ ἀνώμαλος, ἤτοι κατὰ μέγεθος, ἢ τάχος, ἤ τι τῶν ἄλλων, ἔσθ᾽ ὅτε δὲ καὶ κατὰ δύο τούτων, ἢ τρία, ἢ πλείω, ἢ καὶ πάνθ᾽ ὁμοῦ πολλάκις, ὅταν ἁπλῶς ὁμαλὸς, ἢ ἀνώμαλος λέγηται. τοιοῦτοι μὲν ὅ τε ὁμαλὸς καὶ ἀνώμαλος. ὁ δὲ τεταγμένος καὶ ἄτακτος, τμηθέντος τοῦ ἀνωμάλου εἴς τε τὸ κατὰ περιόδους ἴσον καὶ εἰς τὸ παντοίως ἄνισον, καθ᾽ ἑκάτερον τῶν τμημάτων τὴν γένεσιν ἴσχουσι· κατὰ μὲν τὸ τῶν περιόδων ἴσον ὁ τεταγμένος, κατὰ δ᾽ αὖ τὸ παντοίως ἄνισον ὁ ἄτακτος. ὧδε γὰρ δὴ τὸ πᾶν αὖθις ἀναλαβόντες εἴπωμεν, ὑπὲρ τοῦ μηδὲν ἔτι διαφεύγειν ἀσαφές. αἱ καθ᾽ ἕνα σφυγμὸν ἅπασαι διαφοραὶ ταῖς ἐν τοῖς ἑξῆς ἴσαι καθ᾽ ἕκαστον γένος ἔστωσαν, ὁμα[23]λὸς ἁπλῶς ὁ τοιοῦτος λεχθήσεται σφυγμός. ἀλλὰ πᾶσαι πάσαις ἄνισοι τυγχανέτωσαν οὖσαι, ἀνώμαλος ἁπλῶς ὁ τοιοῦτος. ἀλλὰ τὶς μὲν, ἢ τινὲς ἴσαι, τὶς δ᾽, ἢ τινὲς ἄνισοι, κατὰ τινὰ μὲν, ἢ τινὰς, ὁ σφυγμὸς ὁμαλὸς ἔσται, κατὰ τινὰ δ᾽, ἢ τινὰς ἀνώμαλος.

quicquam. Ille vero qui in aliquo, quum illius vult nomine dici, magnitudine aequalis, celeritate aequalis, vehementia et alio quoquo modo: itidem inaequalis, aut magnitudine, aut velocitate, aut alio quopiam. Nonnunquam duobus horum, vel tribus, vel pluribus, vel omnibus saepe simul, quum absolute aequales, vel inaequales vocantur. Habes aequalem et inaequalem. Ordinatus vero et inordinatus, divisa inaequalitate in paritatem circuituum et in absolutam imparitatem, in utroque membro generantur; in circuituum paritate ordinatus, in absoluta imparitate inordinatus. Itaque universum repetamus, ne quid obscuri nos fugiat. Sint omnes unius pulsus differentiae, sequentium differentiis omni in genere pares, absolute aequalis hic appellabitur. Contra omnes sint omnibus impares, inaequalis absolute ille. Age sint aliqua vel aliquae pares, et aliqua vel aliquae impares; in aliqua pulsus vel aliquibus aequalis erit, in aliqua vel

ὁ μὲν οὖν ἁπλῶς ὁμαλὸς, ἢ ὁ κατὰ τινὰ διαφορὰν μίαν, ἢ καὶ πλείους, οὐ δέχεται τομήν. τὸν δ' ἁπλῶς ἀνώμαλον, ἢ κατὰ τινὰς ἰδέας, ἢ τινὰ τέμνοντες, τῷ κατὰ περιόδους ἴσῳ τε καὶ ἀνίσῳ τὸν τεταγμένον τε καὶ ἄτακτον εὑρήσομεν, ἢ ἁπλῶς, ἢ κατὰ τινὰς διαφορὰς, ἢ τινά. τὸ δὲ κατὰ περιόδους ἴσον οἶμαι μὲν ἤδη σαφὲς ὑπάρχειν, ἀπὸ τῶν ἐφεξῆς ἴσων διωρισμένον, οὐ μὴν ἀλλὰ ὑπὲρ τοῦ μηδὲν ἐλλείπειν τῷ λόγῳ καὶ τοῦτο προσκείσθω παραδείγματος ἕνεκα, προχειρισαμένοις ἓν γένος σφυγμοῦ τὸ κατὰ τὸ μέγεθος. ἔστωσαν γὰρ ὁ μὲν πρῶτος σφυγμὸς καὶ ὁ δεύτερος καὶ ὁ τρίτος ἴσοι κατὰ τὸ μέγεθος, ἄνισος δ' αὖ τοῖς ἐφεξῆς ἐπέσθω ὁ τέταρτος. δῆλον ὡς ἀνώμαλος κατὰ μέγεθος ὁ τοιοῦτός ἐστι σφυγμὸς, οὐ μὴν ἤδη πω δῆλον, εἰ καὶ ἄτακτος, ἀλλὰ χρὴ περιμένειν ἄλλους τέτταρας, ἵν' εἰ μὲν οἱ τρεῖς οἱ δεύτεροι καὶ ἀλλήλοις καὶ τοῖς ἐκ τῆς προτέρας περιόδου γεννηθεῖεν ἴσοι, καὶ μετ' αὐτοὺς ὁ τέταρτος τῷ τετάρτῳ, τεταγμένος ὁ τοιοῦτος λέγοιτο σφυγμὸς κατὰ μέγεθος, εἴ γε ὡσαύτως τὰς πρώτας δύο περιόδους καὶ τὰς ἑξῆς ἁπάσας ἴσας διαφυλάττει. εἰ δὲ μὴ πάντες οἱ ἐκ τῆς δευτέρας περιόδου

aliquibus inaequalis. Qui abfolute eft aequalis, aut una differentia pluribusve, non recipit partitionem. Qui autem abfolute inaequalis eft, hunc per unam vel plures fpecies dividentes, circuituum paritate et imparitate ordinatum reperiemus et inordinatum, vel abfolute, vel pluribus in differentiis, vel in una. Ac paritatem circuituum puto jam clarum effe ab fefe fequentibus diftingui paritatibus. Caeterum ne quid oratio defideret, addam hoc etiam atque exempli gratia proponam unum pulfus in magnitudine genus. Sint primus pulfus et fecundus et tertius magnitudine pares, contra fit in fequentibus quartus impar; eum pulfum liquet magnitudine inaequalem effe, ecquid tamen inordinatus fit, nondum clarum eft, fed alii funt quatuor expectandi: ubi fi tres illi alteri mutuo fint inter fe et illis prioris circuitus pares ac mox quarto quartus, ordinatus ejusmodi dicitur pulfus magnitudine, fi quidem aeque primos duos circuitus fequentesque retineat pares omnes. Quod fi non omnes

τοῖς ἐκ τῆς προτέρας ἴσοι γίγνοιντο, τηνικαῦτα ἤδη καὶ ὁ σφυγμὸς ἄτακτος λέγοιτο κατὰ μέγεθος. οὕτω δὲ καὶ κατὰ τάχος καὶ πυκνότητα καὶ τὰς ἄλλας διαφοράς. ἔσθ᾽ ὅτε δὲ δύο μὲν ἢ τρεῖς περίοδοι σφυγμῶν ἄνισοι κατὰ πᾶν ἀλλήλαις εἰσὶν, αἱ δὲ ἑξῆς οὐκ ἔτι· τὸν τοιοῦτον σφυγμὸν ὅτι μὲν οὐ χρὴ καλεῖν τεταγμένον ἁπλῶς, ἄντικρυς δῆλον, οὐ μὴν οὐδὲ ἁπλῶς ἄτακτον, ἀλλ᾽ ἐπισκοπεῖσθαι χρὴ καὶ διορίζεσθαι μή τις τῶν κατὰ περιόδους ἐστὶ τεταγμένων. ἔσθ᾽ ὅτε γὰρ τρεῖς, ἢ τέτταρες περίοδοι ἀλλήλαις ἄνισοι γενόμεναι τὰς ἑξῆς ἴσας ἀνάλογον ἴσχουσιν. ὥστ᾽ εἰ τύχοι τὴν μὲν τετάρτην τῇ πρώτῃ, τὴν δὲ πέμπτην τῇ δευτέρᾳ, τὴν δ᾽ ἕκτην τῇ τρίτῃ κατὰ πᾶν ἐξισοῦσθαι, τοιοῦτον τὸν σφυγμὸν εἰώθαμεν τεταγμένον κατὰ περίοδον καλεῖν, μέσον ὄντα τῶν ἁπλῶς λεγομένων τεταγμένων τε καὶ ἀτάκτων. τούτων μὲν γὰρ ἑκάτερος οὐδαμῇ τοῦ ἐναντίου μετέχει, οὔτ᾽ οὖν ὁ τεταγμένος ἀταξίας οὔθ᾽ ὁ ἄτακτος τῆς τάξεως. ὁ δὲ κατὰ περίοδον τεταγμένος ἔστιν ᾗ τάξεως, ἔστι δὲ ᾗ ἀταξίας μετέχει, τάξεως μὲν τῆς ἐν ἁπάσαις ταῖς περιόδοις, ἀταξίας δὲ τῆς

alterius circuitus primi circuitus pulfibus fint pares, ibi pulfus jam dicitur inordinatus in magnitudine. Eadem eft ratio in celeritate, crebritate caeterisque differentiis. Aliquando pulfuum duo, vel tres circuitus omnino inter fe funt impares, proximi non item, eum pulfum in confeffo eft non appellandum effe abfolute ordinatum, non tamen inordinatum abfolute; fed ecquis ex ordinatis per circuitus fit, animadvertendum eft. Eft quum tres vel quatuor inter fe circuitus fint impares et inferiores obtineant proportione pares. Quare fi fiat, ut quartus primo et quintus fecundo et fextus tertio, undequaque adaequetur, folemus hunc pulfum ordinatum per circuitus appellare; qui quidem inter eos medius, qui abfolute ordinati vocantur et inordinati, intercedit; nam uterque hic contrarii expers eft, ordinatus perturbationis ordinis, inordinatus ordinis. At per circuitus, qui ordinatus eft, aliquam ordinis partem, aliquam etiam perturbationis ordinis habet; ordinis, quatenus in omnibus eft circuitibus ordo, pertur-

καθ' ἑκάστην αὐτῶν. ὁ μὲν γὰρ ἁπλῶς τεταγμένος ἴσας ἁπάσας ἔχει τὰς περιόδους, ὁ δὲ κατὰ περιόδους τεταγμένος οὐχ ἁπάσας ἴσας, ἀλλὰ διά τινος ἀριθμοῦ. πάλιν δὲ ὁ μὲν ἄτακτος οὔτε πάσας ἐφεξῆς ἴσας ἔχει τὰς περιόδους οὔτε διά τινος ἀριθμοῦ. ὁ δὲ κατὰ περίοδον τεταγμένος ἑκάτερον μὲν αὐτῶν οὐκ ἔχει, θάτερον δ' ἔχει. καὶ οὕτω μέσος τε ἀμφοῖν γίνεται, τεταγμένου τε καὶ ἀτάκτου, καὶ τὸ μὲν ἔχει κοινὸν ἑκατέρου, τὸ δ' οὔ. δύναιτο δ' ἄν τις καὶ ἁπλῶς τεταγμένους τοὺς τοιούτους ἡγεῖσθαι σφυγμοὺς, εἰ τὰς κατὰ μέρος περιόδους τὰς διά τινος ἀριθμοῦ ταῖς ἑξῆς ἴσας εἰς μίαν ἁπάσας μεγάλην συναριθμοίη περίοδον. ὅση δὲ καὶ οἵα ποικιλία καὶ πλοκὴ γένοιτ' ἂν τῶν περιόδων, ἐν διαφέρουσιν ἀριθμοῖς συνισταμένων, οὐ χαλεπὸν συνιδεῖν, καὶ μάλιστα τοῖς γεγυμνασμένοις τὰς ἐν τοῖς πυρετοῖς περιόδους ἐπιπλέκειν ἀλλήλαις. οὔκουν ἐπὶ πλέον ἡμᾶς δεήσει ἔτι τὰς διαφορὰς αὐτῶν ἐπεξιέναι, ἀλλ' ἐπὶ τὰς κατὰ τὴν ἀνωμαλίαν ἐλθόντας εἰπεῖν προτέρας μὲν τὰς συστηματικὰς, ἑξῆς δὲ τὰς καθ' ἕνα σφυγμόν.

bationis ordinis, quatenus haec in ſingulis illis ineſt. Si quidem qui abſolute eſt ordinatus, pares ſortitus eſt circuitus omnes; qui per circuitus ordinatus eſt, non omnes aequales, ſed certos. Rurſus inordinatus abſolute nec habet omnes deinceps pares circuitus, neque certos; per circuitus vero ordinatus ambo haec non habet, alterum habet. Ita utriusque medius fit, ordinati et inordinati, atque illud utriusque commune habet, hoc non habet. Dicas etiam abſolute ordinatos ejuscemodi pulſus, ſi ſingulos circuitus, qui certo ſunt numero in ſequentibus pares, in unum cogas univerſos magnum circuitum. Quanta vero et qualis fiat varietas et concurſio circuituum ex diverſis numeris conſtantium, facile quis, maxime qui febrium circuitus complicare mutuo eſt exercitatus, animadvertet. Quare nihil eſt quod pluribus etiam eorum differentias perſequamur: ſed ad differentias veniendum eſt inaequalitatis, declarandaeque primum collectivae, deinde unius pulſus inaequalitates.

Κεφ. ί. [24] Αἱ μέντοι συστηματικαὶ τῶν ἀνωμαλιῶν, ἐν ἀθροίσματι δ᾽ αὗται πλειόνων, ὡς ἔφαμεν, σφυγμῶν συνίστανται, πρώτην μὲν ἔχουσι διαφορὰν, καθ᾽ ἣν ὁτὲ μὲν ὁμαλῶς, ὁτὲ δὲ ἀνωμάλως γίγνονται, καὶ οὐ χρὴ θαυμάζειν εἰ ὁμαλήν τινα καλοῦμεν ἀνωμαλίαν. ἔχει γὰρ οὕτως οὐκ ἐν σφυγμοῖς μόνον, ἀλλὰ κἀν τοῖς ἄλλοις σχεδὸν ἅπασιν, ὅσα τρέποντα τὴν ἐξ ἀρχῆς φύσιν, εἴτε κατὰ μέγεθος εἴτε κατὰ ποιότητα, ἢ ὁμαλὰς ποιεῖ τὰς αὐξήσεις, ἢ ἀνωμάλους. καθόσον μὲν γὰρ τρέπει διαφθείροντα τὴν ἰσότητα, λέγοιτ᾽ ἂν ἀνώμαλα, καθόσον δὲ τὸ ἴσον ἀεὶ τῆς τροπῆς ἐπιλαμβάνει, λέγοιτ᾽ ἂν ὁμαλῶς τρέπεσθαι. τὰ δὲ μήτε ἐν τῷ πρόσθεν μένοντα μήτε τὸ ἴσον ἀεὶ τῆς τροπῆς ἐπιλαμβάνοντα τελέως ἀνώμαλα λέγεται. τοιοῦτον δή τι καὶ κατὰ τούσδε τοὺς σφυγμοὺς συμβέβηκεν, ἤτοι κατὰ βραχὺ καὶ ὁμαλῶς ἐκλυομένης αὐτῶν τῆς ἰσότητος, ἢ ἀθρόως καὶ κατὰ μεγάλα. γένοιτο δ᾽ ἂν ἐφ᾽ ἑνὸς γένους, ὡς ἐπὶ παραδείγματος, ὁ λόγος σαφής. ἔστω τοίνυν ὁ μὲν δεύτερος σφυγμὸς τοῦ πρώτου βραχὺ μικρότερος, ὁ δὲ τρίτος τοῦ δευτέρου τοσούτῳ πάλιν, ἀλλὰ καὶ ὁ τέταρτος τοῦ τρίτου τῷ ἴσῳ, καὶ τοῦτ᾽

Cap. X. Collectivae quidem inaequalitates quae in acervo, uti diximus, plurium pulfuum conftant, primam habent differentiam, qua interim aequaliter, interim inaequaliter fiunt. Neque admirationis habet quicquam, quod aequalem quandam vocamus inaequalitatem, quum id ufu veniat non pulfibus modo, fed et aliis prope omnibus quae priftinam naturam immutantia, five magnitudine, five qualitate, aequalia capiunt incrementa, vel inaequalia. Nam quatenus aequalitatem commutant, vocentur inaequalia; fed quatenus aequam femper mutationem affequuntur, aequaliter dicantur mutari; fed vero quae nec priftino conftant ftatu, nec accipiunt parem mutationem, haec femel inaequalia vocantur. Ergo id ipfum pulfibus accidit, feu paulatim perdatur et aequaliter ipforum aequalitas, feu affatim et infigniter. Ac id uno in genere, exempli gratia, planum fiat. Sit primo pulfu fecundus paulo minor et tertius tanto fecundo et vero etiam quartus tertio pari modo, idque ad plu-

ἄχρι πλείονος ἐφεξῆς γενέσθω, τοὺς τοιούτους σφυγμοὺς μειουρίζοντάς τε καὶ μειούρους καλοῦσιν, ἀπὸ τῶν εἰς ὀξὺ τελευτώντων σχημάτων τοὔνομα μεταφέροντες. ὅσοι μὲν διὰ παντὸς αὐτῶν μειοῦνται καὶ οὐδέποτε παύονται τοῦδε τοῦ παθήματος, εἰς ἀκινησίαν παντελῆ τελευτῶσιν, καὶ καλοῦμεν αὐτοὺς ἐκλείποντας μυούρους· ὅσοι δὲ παύονται, διττὴν ἔχουσι τὴν διαφοράν. τινὲς μὲν γὰρ αὐτῶν ἐν ᾗ περ πρῶτον ἐπαύσαντο μειούμενοι σμικρότητι, ταύτην διὰ παντὸς φυλάττουσιν, τινὲς δ᾽ αὐξάνονται πάλιν, οὓς μυούρους παλινδρομοῦντας καλοῦσι. τούτων δ᾽ αὐτῶν οἱ μὲν εἰς ἴσον τῷ καταρχὰς ἐπανέρχονται μέγεθος, οἱ δ᾽ εἰς ἔλαττον· καὶ τινὲς μὲν ἐν αἷς ἔμ(13)προσθεν ἐμειώθησαν ὑπεροχαῖς, ἐν ταύταις αὖθις αὐξάνονται· τινὲς δ᾽ ἐλάττοσιν ἢ μείζοσι προσθέσεσι χρῶνται. τοιαῦται μέν τινες αἱ ὁμαλαὶ τῶν ἀνωμαλιῶν εἰσι διαφοραί.

Κεφ. ια΄. Τῶν δ᾽ ἀνωμάλων ἀνωμαλιῶν τινὲς μὲν οὐδεμίαν ὅλως φυλάττουσιν ἰσότητα, τινὲς δὲ μέχρι μὲν τριῶν, ἢ τεττάρων, ἢ πέντε σφυγμῶν φυλάττουσι, διαφθείρουσι δ᾽ ὕστερον. ἐν ἑκατέραις δ᾽ αὐτῶν ἤτοι τάξις, ἢ ἀταξία συνίσταται·

res usque deinceps perveniat, hos pulfus vocant mutilos et quafi decurtatos, a figuris nomen, quae in acutum terminant, mutuantes. Jam qui ex iis perpetuo diminuuntur, nec minui defiftunt, ad quietem prorfus recidunt denique et in immobilitatem defínunt, ipfosque deficientes decurtatos appellamus. At qui definunt, duplici funt differentia; quidam, in qua primum parvitate diminui defiverunt, hanc fervant conftantiffime, alii de integro augentur, quos appellant reciprocos decurtatos. Quorum quidem ipforum quidam ad parem priftinae revertuntur magnitudinem, aliqui ad minorem, ac nonnulli quibus ante exceffibus funt imminuti, his augentur rurfus; alii minoribus acceffionibus utuntur. Tot inaequalitatum funt aequales differentiae.

Cap. XI. Inaequalium inaequalitatum quaedam nullam prorfus aequalitatem retinent: aliquae retinent ad tres usque, vel quatuor, vel quinque pulfus, fed poftea amittunt. In quorum ineft utrisque vel ordo, vel perturbatio ordinis;

τάξις μὲν, εἰ περιόδους τινὰς ἴσας φυλάττοιεν· ἀταξία δὲ, εἰ καὶ ταύτας διαφθείροιεν. ἐκλείπουσι δὲ κἀπὶ τούτων πολλάκις αἱ κινήσεις, ὥσπερ κἀπὶ τῶν ὁμαλῶς κινουμένων, ἀλλ' ἐκείνους μὲν μυούρους ἐκλείποντας ὀνομάζομεν, τούτους δὲ ἀνωμάλους ἐκλείποντας. ἐν μὲν δὴ τῇ κατὰ τὸ μέγεθος καὶ σμικρότητα ἀνωμαλίᾳ πάνυ σύνηθες τοῖς ἰατροῖς ὄνομα τὸ μύουρον. ἐν δὲ τῇ κατὰ σφοδρότητα καὶ ἀμυδρότητα καὶ τοῖς ἄλλοις γένεσιν οὐκ ἔθ' ὁμοίως ἐν ἔθει. ἡ μέντοι τῶν πραγμάτων ἀναλογία καθ' ἕκαστον γένος ἡ αὐτή. ἤτοι γὰρ ὁμαλῶς διαφθείρουσι τὴν ἰσότητα, ἢ ἀνωμάλως. καὶ τὰς ἄλλας τὰς ἐν μέρει διαφορὰς, τὰς αὐτὰς ἴσχουσιν ἀνωνύμους τὰς πλείστας αὐτῶν. πλὴν γὰρ τοῦ παρεμπίπτοντός τε καὶ διαλείποντος οὐδενὸς τῶν ἄλλων ἐστὶν [25] ἴδιον ὄνομα. τούτων δὲ ὁ μὲν παρεμπίπτων ἐκ τῆς κατὰ πυκνότητα μόνης ἐστὶν ἀνωμαλίας, ὁ δὲ διαλείπων ἔν τε τῇ κατὰ ἀραιότητα καὶ μικρότητα συνίσταται, καθ' ἕτερον ἐν ἑκατέρᾳ τρόπον, ἐν μὲν τῇ κατὰ τὴν ἀραιότητα τῷ τὴν ἡσυχίαν ἐπὶ μήκιστον ἐκτετάσθαι, ἐν δὲ τῇ κατὰ σμικρότητα τῷ τὴν διαστολὴν

ordo, fi circuitus fervent aliquos pares; perturbatio ordinis, fi et hos quoque violent. Atque hi quidem et ipfi motibus frequenter deficiuntur, ut illi, qui aequaliter moventur; caeterum illos decurtatos deficientes appellamus, hos inaequales deficientes. Nam in magnitudinis et parvitatis inaequalitate admodum medicis eft decurtatum nomen ufitatum, at in vehementiae inaequalitate et remiffionis aliisque generibus, non ita jam celebre eft. Nihilominus eadem rerum eft in quoque genere convenientia; nam aut aequaliter aequalitatem, aut inaequaliter corrumpunt. Et caeteras habent quidem fingulares easdem differentias, fed eas fine nomine plerasque, nam praeter intercurrentem et intermittentem alius nomen proprium habet nullus. Quorum intercurrens ex fola inaequalitate eft crebritatis; intermittens vero ex inaequalitate conftat raritatis atque parvitatis, alio atque alio utrobique modo, in raritatis inaequalitate, quod quies fit longiffime producta; in parvitatis, quod diftentio minimum fit dila-

ἐπ᾽ ἐλάχιστον διεστάλθαι. μᾶλλον δέ πως ἐπὶ μὲν ταῖς σμικρότησι τῶν σφυγμῶν οἱ ἐκλείποντες, ἐπὶ δὲ ταῖς ἀραιότησιν οἱ διαλείποντες γίνονται. παράκεινται δὲ τοῖς διαλείπουσι σφυγμοῖς οἱ καλούμενοι παλινδρομοῦντες ἐκλείποντες, ὅταν δύο, ἢ καὶ τριῶν, ἢ καὶ πλειόνων ἔτι σφυγμῶν χρόνον ἀκίνητος εἶναι δόξασα παντάπασιν ἡ ἀρτηρία πάλιν ὑπάρξηται κινεῖσθαι. ταυτὶ μὲν καὶ τὰ τῆς συστηματικῆς ἀνωμαλίας εἴδη.

Κεφ. ιβ'. Ὑπόλοιπον δ᾽ ἂν εἴη τῆς καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίας εἰπεῖν τὰς διαφοράς. ἔστι δὲ κἀνταῦθα παραπλήσιος ὁ λόγος ἐφ᾽ ἑκάστου τε τῶν γενῶν καὶ πάντων ὁμοῦ. τὸν μὲν γὰρ ἁπλῶς ὁμαλὸν καλέσομεν, τὸν δὲ ἁπλῶς ἀνώμαλον, τὸν δὲ καθ᾽ ἓν ὁτιοῦν γένος, ἐν ᾧ διαφθείρεσθαι συμβαίνει τὴν ἰσότητα. λέγωμεν οὖν ἐπὶ τοῦ κατὰ τὴν κίνησιν γένους πρώτως τὰς διαφοράς. εἰ γὰρ ἐπὶ τούτῳ γυμνασαίμεθα, ῥᾳδίως ἤδη καὶ περὶ τῶν λοιπῶν συνείσομεν. τῆς οὖν κατὰ τὴν κίνησιν ἀνωμαλίας δύο μὲν χρὴ τὰς πρώτας διαφορὰς τίθεσθαι, τὴν μὲν ἐν ἑνὶ μορίῳ τῆς ἀρτηρίας τὴν γένεσιν ἴσχουσαν, ἐν πλείοσι δὲ τὴν ἑτέραν. ἑκατέρα δ᾽ αὐτῶν αὖθις εἰς πλείους τέμνεσθαι πέφυκεν, ἃς

tata; vel potius ex pulſuum parvitatibus deficientes conſtent, intermittentes ex raritatibus. Jam pulſibus intermittentibus affines ſunt qui reciproci deficientes vocantur, ubi duorum ſpatium vel trium, vel plurium etiam pulſuum motu omnino arteria non cieri viſa, iterum agitari incipiat. Atque hae ſunt collectivae inaequalitatis ſpecies.

Cap. XII. Reliquum jam eſt, ut de inaequalitatis dicamus unius pulſus differentiis: eſtque eadem etiam hic ratio in ſingulis generibus et univerſis. Hunc enim abſolute aequalem appellamus, illum abſolute inaequalem, alium pro quoque genere, in quo perdi paritatem contingit. Igitur explicemus primo loco generis motus differentias: nam ad hoc ſi exercitati ſimus, nullo jam negotio percipiamus reliqua. Ac inaequalitatis motus duae conſtituendae primae differentiae ſunt, una in una arteriae parte gignitur, in pluribus altera. Quarum iterum poteſt utraque in plures diſtri-

δίκαιον ἂν εἴη πάσας εἰπεῖν ἀρξαμένους ἀπὸ τῆς καθ᾽ ἓν μόριον συνισταμένης, οὐ κατὰ τὸν αὐτὸν δηλονότι χρόνον. ἀμήχανον γὰρ ἓν καὶ ταὐτὸ μόριον ἐν ἑνὶ καὶ ταὐτῷ χρόνῳ μὴ ὡσαύτως φαίνεσθαι κινούμενον, ἀλλ᾽ ἐν διαφέρουσι καιροῖς ἡ τοῦ ἑνὸς μορίου κίνησις οὐχ ἡ αὐτὴ φαίνεται πολλάκις, ὅταν ἀρχομένη μὲν βραδυτέρα, τελευτῶσα δὲ ὠκυτέρα, καὶ ἀνάπαλιν ἀρχομένη μὲν ὠκυτέρα, τελευτῶσα δὲ βραδυτέρα, πάνυ πολλῆς τοιαύτης ἀνωμαλίας καὶ πολλάκις ἐν τοῖς σφυγμοῖς εὑρισκομένης καὶ πολλὰ δηλοῦν πεφυκυίας, ὡς ἑτέρωθι λέγεται. δείξομεν δὲ νῦν αὐτῆς ἁπάσας τὰς κατὰ μέρος διαφοράς. εἰσὶ δὲ τρεῖς μὲν αἱ πρῶται, ποτὲ μὲν ἡσυχίας διακοπτούσης τὴν κίνησιν τοῦ μορίου, ποτὲ συνεχοῦς μὲν φαινομένης αὐτῆς, οὐ μὴν ἰσοταχοῦς, ποτὲ δὲ ἐπανερχομένης. ἐν ἑκάστῃ δ᾽ αὐτῶν κατὰ μέρος ἕτεραι.

Κεφ. ιγ΄. Περὶ πρώτης οὖν εἴπωμεν τῆς πρῶτον ῥηθείσης, ἐν ᾗ διακόπτεσθαι τὴν κίνησιν ὑπὸ τῆς ἠρεμίας συμβέβηκεν. εὑρίσκονται δὲ ἐν αὐτῇ διαφοραὶ σφυγμῶν ἐννέα, τρόπῳ τῷδε συνιστάμεναι. τῆς προτέρας κινήσεως ὠκείας

bui; quas fane par fit omnes recenfere; aufpicabimurque ab ea, quae unam partem tenet, fed non eodem tempore; qui enim una eademque pars uno et eodem tempore non moveri fimiliter videatur? Caeterum temporibus diftinctis motus ejusdem partis faepenumero videtur non idem, quum initio tardior, poftremo celerior fit, et contra initio celerior, tandem tardior. Quae certe admodum frequens inaequalitas, faepeque in pulfibus invenitur, multaque denotare confuevit, ut alio loco tradimus. Nunc jam fingulas ejus differentias ob oculos ponemus. Sunt autem tres primae, modo, quum quies interpellat partis modum; modo, quum continuus ille apparet, non paris tamen velocitatis; nonnunquam quum recurrit. At hae habent alias fingulae.

Cap. XIII. De prima ergo quae primo loco eft commemorata, agamus: in qua fit, ut abs quiete motus interpelletur. Novem in hac differentiae pulfuum inveniuntur, quae hoc pacto fiunt. Sit prior motus celer: alter trifariam

οὔσης, ἡ δευτέρα τὰς τρεῖς τρεπέσθω τροπὰς, ἢ ὠκεῖα, ἢ βραδεῖα, ἢ σύμμετρος γινομένη. τρεῖς μὲν αὗται διαφοραὶ σφυγμῶν. αὖθις δ᾽ ἄλλαι τρεῖς, τῆς προτέρας βραδείας μενούσης, ὑπαλλαττομένης δὲ τῆς δευτέρας τριχῶς, καὶ αὖθις δ᾽ ἄλλαι τρεῖς, τῆς προτέρας μενούσης συμμέτρου, τῆς δὲ δευτέρας τριχῶς τρεπομένης.

Κεφ. ιδ΄. [26] Τῶν δὲ μὴ διαλειπόντων κατὰ τὴν διαστολὴν ἀνωμάλων σφυγμῶν ἐν τῇ κινήσει, ἀλλ᾽ ἑξῆς ἀεὶ μίαν τὴν ἀνωμαλίαν ἐχόντων μηδαμοῦ σχιζομένην ἀκινησίᾳ, τινὲς μὲν ὠκέως ἀρχόμενοι κινήσεως, βραδύνουσι τελευτῶντες, ἄλλοι δ᾽ ἔμπαλιν ἄρχονται μὲν βραδεῖς, ταχύνονται δὲ ἀεὶ καὶ μᾶλλον, ἑκατέροις δ᾽ αὐτῶν ἢ ὁμαλῶς ἢ ἀνωμάλως τὸ τοιοῦτο γίνεται. προείρηται γὰρ ὅπως ὁμαλή τις ἡ ἀνωμαλία γίγνεται. τῶν μὲν οὖν ὁμαλῶς ἐκλυόντων τὴν κίνησιν ἢ ἐπιτεινόντων οἱ μὲν ἀπὸ τῆς ἐσχάτης βραδύτητος ἐπὶ τὴν σύμμετρον κίνησιν ἔρχονται, τινὲς δὲ ἀπὸ τῆς συμμέτρου κινήσεως ἐπὶ τὴν ἐσχάτην βραδύτητα, καὶ τινὲς μὲν ἀπὸ τοῦ πρώτου τάχους τῆς συμμέτρου κινήσεως ἐπὶ τὴν ἐσχάτην βραδύτητα, τινὲς δὲ ἀπὸ ταύτης ἐπὶ τὸ ἔσχατον τάχος. ἄλλοι

convertatur, fiatque vel celer, vel tardus, vel moderatus. Hic tres differentiae pulſuum emergunt. Rurſus alterae tres, ubi prior manet tardus et triſariam ſecundus variat. Aliae item tres, ſi permaneat moderatus primus, varietur autem tribus ſecundus modis.

Cap. XIV. At vero inter non intermittentes in distentione inaequales motu pulſus, ſed perpetuam habentes, nulla interciſam quiete inaequalitatem, quidam velociter motum exordientes, tarditate finiunt, alii contra tardi ſunt initio, celeres ſemper magis ac magis evadunt; idque horum utrique habent, aut aequaliter, aut inaequaliter: nam ſuperius, quemadmodum inaequalitas quaedam aequalis fiat, demonſtratum eſt. Illorum ergo qui motum aequaliter minuunt vel augent, quidam ab extrema tarditate ad moderatum motum perveniunt; quidam a moderato motu ad ultimam tarditatem. Alii a prima celeritate ad tarditatem extremam, nonnulli ab hac ad ſummam celeritatem. Sunt

δέ τινες ἐφ᾽ ἑκάτερα τῆς συμμέτρου κινήσεως βραχὺ ἀποχωροῦσι διχῶς καὶ οὗτοι, ποτὲ μὲν ὠκύτεροι, ποτὲ δὲ βραδύτεροι γιγνόμενοι. ὥστ᾽ εἶναι τὰς πάσας αὐτῶν ἓξ διαφορὰς, καίτοι πλέονες ἐπινοεῖσθαι δύνανται. ἀλλ᾽ ἡμεῖς τὰς φαινομένας εἴπωμεν. οὐ γὰρ εὕρομεν οὔτ᾽ ἀπὸ τῆς ἐσχάτης βραδύτητος εἰς ἔσχατον τάχος ἀφικνούμενον οὐδένα σφυγμὸν τῶν ὁμαλὴν τὴν ἀνωμαλίαν ἐχόντων οὔτ᾽ ἔμπαλιν ἀπὸ τῆς ταχίστης κινήσεως εἰς τὴν βραδυτάτην. ἀλλ᾽ ἐν τοῖς ἀνώμαλον τὴν τροπὴν ποιουμένοις σπανίως γίνεται τοῦτο. οὐ γὰρ ἐπὶ τῇ τυχούσῃ διαθέσει τηλικαύτη μεταβολὴ γίνεσθαι πέφυκεν, ὥστε ἀρξαμένην βραδύτατα κινεῖσθαι τὴν ἀρτηρίαν τελευτῶσαν εἰς ἔσχατον ἀφικέσθαι τάχος, ἢ τάχιστα κατὰ τὴν ἀρχὴν κινηθεῖσαν εἰς ἐσχάτην βραδύτητα μεταστρέψαι. καὶ ὅταν τοῦτο γίνηται, καὶ ἡ τροπὴ τηνικαῦτα ἐξ ἀνάγκης ἀνώμαλός τέ ἐστι καὶ ἀθρόα κατὰ μεγάλας μεταβολὰς, καὶ οὐ κατὰ βραχὺ γενομένη, καθάπερ ἐξαλλομένης τῆς ἀρτηρίας, ὅταν ἐκ τῆς βραδύτητος εἰς τὸ τάχος μεταπίπτῃ, καὶ αὖθις οἷον εἰργομένης καὶ δεσμουμένης καὶ κατεχομένης ὑπό τινος,

praeterea qui utrinque a moderato motu paululum deflectunt, hique bifariam; modo enim celeriores, modo tardiores fiunt; ut fex fint earum cunctae differentiae, tametfi excogitari plures poffunt; verum nos quae advertuntur, referamus. Neque enim qui ab extrema tarditate ad extremam perveniret celeritatem, qui quidem de iis effet, qui aequalem habent inaequalitatem, pulfum invenimus ullum, nec item, qui ad tardiffimum motum ex velociffimo. Verum qui variant inaequaliter, in iis illud, raro tamen accidit; non etenim quemlibet affectum tanta poteft mutatio confequi, ut tardiffime initio agitata arteria ad extremam denique celeritatem perveniat, aut primo concitata celerrime ad fummam transeat tarditatem. Quod quum fit, mutatio tum non poteft non effe inaequalis; eaque confertim magnis mutationibus et non pedetentim fit, veluti exiliente arteria, quum ex tarditate demigrat in celeritatem. Itidem, ut fi vinciatur et conftringatur a quopiam comprimaturque, ubi ex celeri

ὅταν ἐκ τοῦ ταχέως κινεῖσθαι μεταπίπτῃ ποτὲ ἀθρόως εἰς βραδύτητα, τὴν ἐν μέσῳ συμμετρίαν ὑπερβᾶσα. τίνες μὲν οὖν αἱ διαθέσεις καὶ τίνες αὐτῶν αἱ αἰτίαι καὶ εἰς ὅ τι τελευτῶσιν οἱ τοιοῦτοι σφυγμοὶ, τηνικαῦτα λεχθήσεται, ὅταν καὶ περὶ τῶν ἄλλων ἁπάντων ἢ τὰς αἰτίας ἢ ὅ τι δηλοῦν πεφύκασιν ἐπισκεπτώμεθα. νυνὶ δὲ τὰς διαφορὰς μόνον ἐπέξιμεν.

Κεφ. ιε΄. Εἰρηκότες οὖν ἱκανῶς, ὅτι τῶν ἀνωμάλων καθ᾽ ἓν μόριον σφυγμῶν, ὅταν ὁμαλὴν ποιῶνται τὴν ἀνωμαλίαν, ἓξ εἰσιν αἱ πᾶσαι διαφοραὶ, καὶ ὡς οὐχ εὑρήκαμεν οὐδένα τῶν τοιούτων οὔτ᾽ ἀπὸ τῆς βραδυτάτης κινήσεως εἰς τὴν ταχίστην οὔτ᾽ ἀπ᾽ ἐκείνης εἰς τὴν βραδυτάτην τελευτήσαντα, περὶ τῶν ἀνώμαλον τὴν τροπὴν ποιουμένων ἤδη λέγωμεν, ἐν οἷς ποτὲ μὲν δύο, ποτὲ δὲ τρεῖς (14) σαφῶς φαίνονται διαφοραὶ τῆς κινήσεως. ἡμῖν δὲ καὶ τετάρτη ποτὲ ἀμυδρῶς ἐφαντάσθη. τάχα δ᾽ ἄν τις ἐπὶ πλέον τριβόμενος καὶ προσεδρεύων τῷ πράγματι καὶ ἀσκῶν τὴν ἁφὴν καὶ τέτταρας γνωρίσαι σαφῶς δυνηθείη.

motu in tarditatem fubito, mediocritate quae intercedit fuperata, tranfit. Qui ergo affectus fint et quae caufae horum atque quo tandem hi deveniant pulfus, illic dicemus, ubi etiam de aliis omnibus vel caufas vel quid nunciare folent, commentabimur; nunc duntaxat differentias perfequemur.

Cap. XV. Pofteaquam igitur inaequalium una in parte pulfuum abunde diximus, ubi moliuntur aequalem inaequalitatem, fex effe differentias omnes, nec ullum nos ex iis inveniffe nec a tardiffimo motu ad velociffimum, neque ab hoc deveniffe ad tardiffimum, de illis nunc qui inaequali in mutatione funt, verba faciamus: quorum interim duae aperte, tres interim differentiae motus manifefte apparent. Nos quartam praeterea aliquando, fed obfcure animadvertimus. Poffit, fi quis diu verfetur in hac re ftudiumque navet affiduum et exerceat tactum, cognofcere clare vel qua-

ἀλλὰ νῦν περὶ τῶν ἐναργῶς φανεισῶν πολλάκις καὶ ἡμῖν καὶ τοῖς ἄριστα τὴν περὶ τοὺς σφυγμοὺς τέχνην μεταχειρισαμένοις πολλάκις ἐροῦμεν, ὅταν ἤτοι [27] δύο διαφορὰς αἰσθητὰς ἡ κίνησις τῆς ἀρτηρίας, ἢ τρεῖς ποιῆται. δύο μὲν γὰρ οὐσῶν ἓξ ἔσται συμπλοκῶν σχήματα, τριῶν δὲ τέτταρα καὶ εἴκοσι. τί δή ποτε δὲ τριῶν ὄντων σφυγμῶν ἐν ἑκατέρᾳ τῶν διαφερουσῶν κινήσεων, ὠκέος τε καὶ βραδέος καὶ συμμέτρου, τὰς ἐκ τῆς συμπλοκῆς αὐτῶν οὐκ ἐννέα φαμὲν, ἀλλ' ἓξ γίνεσθαι διαφορὰς, ᾧδ' ἂν μάθοις, εἰ γνοίης ὅτι τὸν αὐτὸν σφυγμὸν ἐφεξῆς δὶς ὑποθέμενος γίνεσθαι, μηδεμιᾶς ἡσυχίας μέσης αὐτοῖς ὑπαρχούσης, ἕνα τὸν ὅλον ὁμαλὸν ἀπεργάσῃ, καὶ κατὰ τοῦτο τῶν ἐννέα συμπλοκῶν τρεῖς ἀποχωροῦσιν, ἐν αἷς οὐκ ἔτ' ἀνώμαλος σφυγμὸς, ἀλλ' ὁμαλὸς γίνεται, ἤτοι ταχὺς, ἢ βραδὺς, ἢ σύμμετρος, ὡς ἐπὶ τοῦ διαγράμματός ἐστι δῆλον. ὁ δεύτερος γὰρ ἐν αὐτῷ καὶ ὁ τέταρτος καὶ ὁ ἔννατος ὁμαλοὶ γίνονται, ταχὺς μὲν ὁ δεύτερος, βραδὺς δὲ ὁ τέταρτος, σύμμετρος δὲ ὁ ἔννατος. εἰ δέ τις καὶ αὐτῶν τούτων πρὸς ἀλλήλους ἐστὶ διαφορὰ, τοῦ ταχέος πρὸς τὸν ταχὺν, ἢ τοῦ βραδέος

tuor. Sed de his nunc, quae manifeste tum nobis tum iis qui artem optime de pulfibus coluerunt, apparuerunt frequenter, fermo erit; ubi differentias motus arteriae duas fenfibiles, vel tres efficit. Nam duae fi fint, fex erunt formae connexionum: fi tres, quatuor et viginti. Quid autem quum in utroque disparium motuum infint tres pulfus, velox, tardus, moderatus, ex connexionibus eorum non novem dicamus, fed fex prodire differentias, hac ratione intelliges, fi noveris, qui eundem bis deinceps pulfum ponat, nulla intercedente quiete fieri, unum eum totum aequalem pulfum effecturum. Itaque de novem connexionibus tres detrahuntur, in quibus non inaequalis jam pulfus, fed redditur aequalis, vel celer, vel tardus, vel moderatus; id quod eft ex tabella apertum. Nam fecundus in ea et quartus et nonus funt aequales, celer fecundus, tardus quartus, nonus moderatus. Quod fi qua eft horum ipforum mutua inter fe diverfitas, inter celerem et celerem, inter tardum et tardum,

Ed. Chart. VIII. [27.] Ed. Baf. III. (14.)

πρὸς τὸν βραδὺν, τοῦτο νῦν παρείσθω. πλέονα γὰρ ἀσάφειαν παρέξει. ἀλλ' ὡς τῶν αὐτῶν καὶ ἴσων ἀλλήλοις ὑπαρχόντων ὁ παρὼν λόγος περαινέσθω.

α' ταχὺς	βραδὺς
β' ταχὺς	ταχὺς
γ' ταχὺς	σύμμετρος
δ' βραδὺς	βραδὺς
ε' βραδὺς	ταχὺς
ς' βραδὺς	σύμμετρος
ζ' σύμμετρος	βραδὺς
η' σύμμετρος	ταχὺς
θ' σύμμετρος	σύμμετρος

Οὕτω δὲ καὶ εἰ τρεῖς ὑποθέμενος διαφερούσας ἀλλήλων κινήσεις, καθ' ἑκάστην αὐτῶν τοὺς τρεῖς σφυγμοὺς ὑπαλλάττων

id in praefentia praetereatur, nimirum enim majorem obfcuritatem afferret. Verum quafi iidem fint atque inter fe pares, noftra oratio haec inftituatur.

1 Celer	Tardus
2 Celer	Celer
3 Celer	Moderatus
4 Tardus	Tardus
5 Tardus	Celer
6 Tardus	Moderatus
7 Moderatus	Tardus
8 Moderatus	Celer
9 Moderatus	Moderatus

Eadem ratione, fi tribus pofitis inter fe disparibus motibus, in fingulis iis ternos pulfus commutatos committas,

συμπλέκοις, ἑπτὰ μὲν καὶ εἴκοσιν ἔσται τὰ πάντα σχήματα, τρία δ' ἐξ αὐτῶν εἰς ὁμαλότητα μεταπεσεῖν ἀναγκαῖον. ἔστι δὲ καὶ τοῦτο δῆλον ἐπὶ διαγράμματος.

α' ταχὺς	ταχὺς	βραδὺς
β' ταχὺς	ταχὺς	ταχὺς
γ' ταχὺς	ταχὺς	σύμμετρος
δ' ταχὺς	βραδὺς	βραδὺς
ε' ταχὺς	βραδὺς	ταχὺς
ς' ταχὺς	βραδὺς	σύμμετρος
ζ' ταχὺς	σύμμετρος	βραδὺς
η' ταχὺς	σύμμετρος	ταχὺς
θ' ταχὺς	σύμμετρος	σύμμετρος
ι' βραδὺς	ταχὺς	βραδὺς
ια' βραδὺς	ταχὺς	ταχὺς
ιβ' βραδὺς	ταχὺς	σύμμετρος

viginti feptem numero formae erunt, ex quibus tres neceffe eft, in aequalitatem recidant. Eftque id etiam ipfum ex tabella planum.

1 Celer	Celer	Tardus
2 Celer	Celer	Celer
3 Celer	Celer	Moderatus
4 Celer	Tardus	Tardus
5 Celer	Tardus	Celer
6 Celer	Tardus	Moderatus
7 Celer	Moderatus	Tardus
8 Celer	Moderatus	Celer
9 Celer	Moderatus	Moderatus
10 Tardus	Celer	Tardus
11 Tardus	Celer	Celer
12 Tardus	Celer	Moderatus

ιγ' βραδὺς	βραδὺς	βραδὺς
ιδ' βραδὺς	βραδὺς	ταχὺς
ιε' βραδὺς	βραδὺς	σύμμετρος
ιϛ' βραδὺς	σύμμετρος	βραδὺς
ιζ' βραδὺς	σύμμετρος	ταχὺς
ιη' βραδὺς	σύμμετρος	σύμμετρος
ιθ' σύμμετρος	ταχὺς	βραδὺς
κ' σύμμετρος	ταχὺς	ταχὺς
κα' σύμμετρος	ταχὺς	σύμμετρος
[28] κβ' σύμμετρος	βραδὺς	βραδὺς
κγ' σύμμετρος	βραδὺς	ταχὺς
κδ' σύμμετρος	βραδὺς	σύμμετρος
κε' σύμμετρος	σύμμετρος	βραδὺς
κϛ' σύμμετρος	σύμμετρος	ταχὺς
κζ' σύμμετρος	σύμμετρος	σύμμετρος

13 Tardus	Tardus	Tardus
14 Tardus	Tardus	Celer
15 Tardus	Tardus	Moderatus
16 Tardus	Moderatus	Tardus
17 Tardus	Moderatus	Celer
18 Tardus	Moderatus	Moderatus
19 Moderatus	Celer	Tardus
20 Moderatus	Celer	Celer
21 Moderatus	Celer	Moderatus
22 Moderatus	Tardus	Tardus
23 Moderatus	Tardus	Celer
24 Moderatus	Tardus	Moderatus
25 Moderatus	Moderatus	Tardus
26 Moderatus	Moderatus	Celer
27 Moderatus	Moderatus	Moderatus

Ὁμαλῶν οὖν ἐν τούτοις τριῶν γενομένων, τοῦ δευτέρου κατὰ τὸ διάγραμμα, καὶ τοῦ τρισκαιδεκάτου καὶ ἑβδόμου καὶ εἰκοστοῦ, ταχὺς μὲν ὁ δεύτερος ἔσται, βραδὺς δὲ ὁ τρισκαιδέκατος, μέσος δὲ ὁ ὕστατος. ἤδη δὲ καὶ ἄλλοι δέκα δύο σφυγμοὶ μεταπίπτουσιν εἰς τὸ πρῶτον διάγραμμα. τῷ μὲν γὰρ ἐκ τοῦ πρώτου διαγράμματος πρώτῳ δύο ἂν γενηθεῖεν οἱ αὐτοὶ, τῶν ἐκ τοῦ δευτέρου πρῶτός τε καὶ τέταρτος, ὁ μὲν τάχους τὸ πλέον, ὁ δὲ βραδύτητος ἔχων. τῷ τρίτῳ δὲ ὁ τρίτος καὶ ὁ ἔννατος, ὁ μὲν τάχους τὸ πλέον, ὁ δὲ συμμετρίας ἔχων. τῷ πέμπτῳ δὲ ὅ τε ἑνδέκατος καὶ ὁ τεσσαρεσκαιδέκατος, ὁ μὲν τάχους τὸ πλέον, ὁ δὲ βραδύτητος ἔχων. τῷ ἕκτῳ δὲ ὅ τε πεντεκαιδέ(15)κατος καὶ ὁ ὀκτωκαιδέκατος, ὁ μὲν βραδύτητος τὸ πλέον, ὁ δὲ συμμετρίας κεκτημένος. τῷ ἑβδόμῳ δὲ ὅ τε εἰκοστὸς δεύτερος καὶ ὁ εἰκοστὸς πέμπτος, ὁ μὲν τῇ βραδύτητι πλεονεκτῶν, ὁ δὲ τῇ συμμετρίᾳ. λοιποὶ δὲ δύο τῶν ἐκ τοῦ δευτέρου διαγράμματος οἱ αὐτοί εἰσιν τῷ ἐκ τοῦ πρώτου διαγράμματος ὀγδόῳ, εἰκοστός τε καὶ εἰκοστὸς ἕκτος, ὁ μὲν τῷ τάχει πλεονεκτῶν, ὁ δὲ τῇ συμμετρίᾳ. καὶ γένοιτ' ἂν διαίρεσις ἐνταῦθα τῶν μὲν, εἰ δύο μόνον εἶεν ἐν τῇ διαστολῇ διάφοροι κινήσεις, εἰς τὸ πρότερον διά-

Itaque tres in his funt aequales, fecundus in tabella, et tertius decimus et vigefimus feptimus. Celer quidem fecundus eft, tardus tertius decimus, medius ultimus. Et jam alii duodecim pulfus in primam tabellam transeunt. Nam primo primae tabellae duo fient fimiles, primus ac quartus alterius tabellae, hic tarditatis plus, ille celeritatis habens, et tertio tertius et nonus, ille plus obtinens celeritatis, hic mediocritatis. Quinto undecimus et quartus decimus, ille majore celeritate, hic tarditate praeditus. Sexto decimus quintus atque decimus octavus, hic plus habens mediocritatis, ille tarditatis. Septimo vigefimus alter et vigefimus quintus, hic mediocritate, ille tarditate excellens. Reliqui de fecunda tabella duo octavo funt primae tabellae fimiles, vigefimus et vigefimus fextus, hic mediocritate praeftans, ille celeritate. Atque controverfia hic fuerit, quod aliqui, fi duo tantum diverfi in diftentione motus fint, tales in prio-

Ed. Chart. VIII. [28.] Ed. Baf. III. (15.)

γραμμα, τοὺς τοιούτους σφυγμοὺς ἅπαντας τιθέντων, τῶν δὲ τὰ μεγέθη προσλογιζομένων, καὶ οὕτως, ἴσων μὲν αὐτῶν ὄντων, εἰς τὸ πρότερον τιθέντων, θατέρου δὲ διπλασίονος, εἰς τὸ δεύτερον. ἐπεχείρησα δ᾽ ἂν κρῖναι τὴν μάχην, εἴ τι μέγα κερδαίνειν ἤλπιζον· ἐπεὶ δ᾽ ἀρκεῖ τοσοῦτο διορίσασθαι, τὸ ποτὲ μὲν τὴν ἑτέραν τῶν κινήσεων κατὰ μείζονος ἐνηνέχθαι διαστάσεως, ποτὲ δὲ τὴν ἑτέραν, ἢ καὶ ἀμφοτέρας ἐξ ἴσου, τούτου τις μεμνημένος, ἵν᾽ αὖθις μάθῃ τί δηλοῦν ἑκάστη πέφυκεν, εἰς ὁπότερον βούλεται τῶν διαγραμμάτων τιθέσθω τοὺς εἰρημένους σφυγμούς. ὅτι δὲ οἱ λοιποὶ δώδεκα, οἱ ἐκ τοῦ δευτέρου διαγράμματος, οἱ κατὰ πᾶν ἀνώμαλοι, κατ᾽ οὐδὲν τοῖς ἐν τῷ προτέρῳ κοινωνοῦσιν, ἄντικρυς δῆλον, ἐφ᾽ ὧν αὐτό γε τοῦτο προσγέγραπται τὸ τῆς ἀνωμαλίας, οὐχ ὡς τῶν ἄλλων τῶν δέκα δύο τῶν κοινωνούντων τῷ πρώτῳ διαγράμματι μὴ ὄντων ἀνωμάλων, εἰσὶ γὰρ, ἀλλ᾽ ὅτι κατὰ τὰς τρεῖς διαφορὰς τῶν κινήσεων οὗτοι τὴν ἀνωμαλίαν ἔχουσι σαφῆ, τῶν ἄλλων κατὰ τὰς δύο διαφορὰς ἐχόντων, καί εἰσιν ἀπὸ τοῦ πρώτου κατὰ τὴν τάξιν ἀριθμοῦντι

rem tabellam pulfus omnes referant; alii magnitudinum etiam rationem ducant, itaque illi fi pares fint, in priore ponant; fed fi alter duplus fit, in altera. Equidem fi magnopere ducerem ad rem pertinere hanc pugnam, darem operam ut dirimerem; verum quandoquidem tantum fatis eft declaraffe, interim alterum motum majore fpatio ferri, interim alterum, vel etiam utrumque ex aequo, hoc qui meminerit, ut pofthac, quid folet fignificare quisque addiscat, locet, in utralibet tabella praedictos pulfus licet. Nam duodecim alterius tabellae reliquos, qui prorfus funt inaequales, nihil cum illis prioris tabellae confentire clariffimum eft, in quibus ipfa eft inaequalitas adfcripta; non quin alii illi duodecim, qui conveniunt cum prima tabella, inaequales fint; funt enim; caeterum quod in ternis hi differentiis motuum aperta inaequalitate fint praediti, quum in binis differentiis eam habeant alii. Sunt autem, fi ordine a primo numeres, quintus, fextus, feptimus, octavus, decimus, duodecimus,

πέμπτος τε καὶ στ′ καὶ ζ′ καὶ ή καὶ ί καὶ ιστ′ καὶ ιθ′ καὶ κά καὶ κγ′ καὶ κδ′.

Κεφ. ιστ′. Ἀρκεῖν μοι δοκεῖ καὶ περὶ τούτων τὰ τοσαῦτα. ἐπὶ γὰρ τὴν ἔτι λοιπὴν καὶ τρίτην διαφορὰν τῶν καθ᾽ ἓν μόριον ἀνωμάλων σφυγμῶν ἐπάνιμεν αὖθις, οὓς Ἀρχιγένης μὲν ὡς ἕνα γράφει καὶ καλεῖ δίκροτον. εἰσὶ δὲ πλείους. ὅσοι δέ τινες καὶ οἷοι, μετ᾽ ὀλίγον ἐροῦμεν, ἂν πρότερον ἐπισκεψώμεθα, πότερον τῶν κατὰ μίαν διαστολὴν τῆς ἀρτηρίας συνισταμένων ἐστὶν, ἢ δύο εἰσὶν ἐφεξῆς ἀλλήλων ἄνισοι σφυγμοί. τοῦτο δ᾽ οὐχ οἷόν τε κρῖναι καλῶς, εἰ μὴ πρότερον ἀκριβῶς μάθωμεν, οἷός ἐστιν ὁ σφυγμὸς οὗτος, ὁ πρὸς Ἀρχιγένους δίκροτος κεκλημένος. [29] ὅτι μὲν γὰρ τῶν δὶς παιόντων τὴν ἁφὴν, ἄντικρυς δῆλον. ἀλλὰ τοῦτο μὲν καὶ τοῖς διαλείπουσι κατὰ μίαν πληγὴν ὑπάρχει, καὶ εἴ τις μόνῳ τῷ πλήττεσθαι προέχων, δύο σφυγμοὺς τὸν δὶς παίοντα νομίζει, φανερῶς ἁμαρτάνει. τοὺς γὰρ ἐν μιᾷ διαστολῇ διαλείποντας οὐκ ἂν φαίη δύο σφυγμοὺς εἶναι, καίτοι δὶς πλήττουσιν. ἐναργῶς γὰρ ἐπ᾽ αὐτῶν ἡ κίνησις ἀπολ-

decimus fextus, decimus feptimus, decimus nonus, vigefimus primus, vigefimus tertius, vigefimus quartus.

Cap. XVI. Haec ego de his effe fatis puto. Siquidem ad reliquam jam et tertiam pulfuum una in parte aequalium differentiam redibimus, quos ut unum Archigenes defcribit vocatque dicrotum. Sunt vero plures. Quot autem fint et quales, paulo poft explicabimus, fi expenderimus prius, de illisne fit, qui ex arteriae una diftentione conftant, an duo fint continentes impares pulfus. Sed id perbelle judicare non eft, nifi ad unguem, qui pulfus hic fit, teneamus, quem Archigenes dicrotum appellavit. Nam in iis effe eum qui iterum tactum feriunt, plane liquet. Atqui intermittentes in uno ictu obtinent id ipfum. Et fi folum quis ictum attendens, duos pulfus cenfeat effe eum qui bis feriat, in manifefto errore eft; nam qui in una diftentione intermittunt, quanquam iterum feriunt, non dixeris duos pulfus effe, manifefte etenim in illis deftitutus motus continuitate, quiete

Ed. Chart. VIII. [29.] Ed. Baf. III. (15.)

λῦσα τὸ συνεχὲς ἀκινησίᾳ μέση διακόπτεται. τὸ δὲ γένος τὸ τῶν δικρότων οὐχ οὕτως, ἀλλ᾽ ἐπειδὰν πληρώσῃ τὴν διαστολὴν ἅπασαν, εὐθὺς ἀποχωρεῖ πρὸς βραχὺ, καὶ αὖθις παίει τὸ δεύτερον, ὥστε τῶν μὲν διαλειπόντων ἡσυχίαν μέσην εἶναι τῶν πληγῶν, τοῦ δὲ δικρότου συστολὴν ἢ σύνοδον, ἢ ὑπονόστησιν, ἢ ὡς ἄν τις ἐθέλῃ καλεῖν. διὰ τοῦτό τινες δύο σφυγμοὺς εἶναί φασι, οὐχ ἕνα, τὸν δίκροτον. ἐροῦσι δὲ αὐτὸ μάλιστα οἱ μὴ παρακολουθοῦντες τῇ συστολῇ τῆς ἀρτηρίας, ἀλλ᾽ ἐκ πληγῆς καὶ διαλείμματος τὸν σφυγμὸν συνεστάναι φάσκοντες. οὗτοι γὰρ μετὰ τὴν προτέραν προσβολὴν τῆς ἀρτηρίας ἀκινησίαν βραχεῖαν ἐροῦσι γίγνεσθαι, καὶ μετ᾽ αὐτὴν ἑτέραν προσβολὴν, καὶ φήσουσιν ἀνώμαλον εἶναι τὸν τοιοῦτον σφυγμὸν κατὰ πυκνότητα. τούτους γὰρ ἀνωμάλους κατὰ πυκνότητα νομίζουσιν, ὑφ᾽ ὧν ἄνισον τὸ μεταξὺ τῶν πληγῶν διάλειμμα, καθάπερ καὶ μετ᾽ ὀλίγον ἐροῦμεν, ἀλλὰ νῦν γε, ὅτι καὶ κατὰ τούτους διοίσουσιν οἱ δίκροτοι σφυγμοὶ τῶν ἐν μιᾷ διαστολῇ διαλειπόντων, πειραθῶμεν πρότερον ἀποδεῖξαι, συγχωρήσαντες αὐτοῖς τὴν ὑπόθεσιν, καθ᾽ ἣν οὔ φασιν αἰσθητὴν εἶναι τὴν συστολήν. εἰ

interrumpitur media. Dicrotorum genus non item: fed, fimulatque omnem diftentionem effecit, fe paulisper fubducit ac mox pulfat iterum, ut intermittentium quies media ictus intercipiat; dicroti contractio, vel congreffus, vel reditus, vel ut libet appellare. Idcirco quidam duos pulfus effe dicrotum, non unum autumant. Hoc affirmabunt illi potiffimum qui arteriae contractionem non animadvertunt, fed ex ictu ajunt pulfum et intervallo conftare. Iidem enim ab arteriae primo occurfu fieri brevem quietem contendunt, fub quam alterum occurfum, atque crebritate dicent eum pulfum inaequalem effe. Nam qui impar habent, quod ictus dividit, intervallum, hos crebritate inaequales vocant, ut dicemus paulo inferius. Quin nunc etiam, quod diftabunt, vel horum fententia ab intermittentibus in una diftentione pulfus dicroti, faciemus; ut demonftremus, et quod ponunt illi, contractionem non poffe fentiri, dabimus; nam ut hoc con-

γὰρ καὶ τοῦτο δοθείη, τὸ γοῦν οὐκ ἀπὸ τῶν ἴσων διαστημάτων ἀνιοῦσαν φαίνεσθαι τὴν ἀρτηρίαν οὐκ ἄν τις ἀρνήσαιτο. τοῦτο δ' ἐπὶ τῶν διαλειπόντων ἐναργῶς φαίνεται. κάτωθεν γάρ ποθεν ἀρξαμένη τῆς κινήσεως ἡ ἀρτηρία, κἄπειτα παυσαμένη, τὴν ἀρχὴν αὖθις τῆς δευτέρας κινήσεως, ἵνα περ ἐτελεύτησεν ἡ προτέρα, ποιεῖται, τῶν δικρότων οὐχ οὕτως πληττόντων, ἀλλὰ φανερῶς ἐκ βάθους πλέονος καὶ κατὰ μείζονος διαστάσεως ἡ προτέρα κίνησις ἐνηνέχθαι φαίνεται, αὐτόθεν δήπουθεν ἐγγύθεν ἡ δευτέρα. τούτους μὲν οὖν τοσοῦτον ὁμολογοῦντας ἕξομεν, ὡς οὐ ταὐτόν ἐστι διαλείπειν ἐν μιᾷ διαστολῇ σφυγμὸν, ἢ δὶς παίειν, ὡς ὁ δίκροτος. οὐ μὴν ἀναγκάσαι γε αὐτοὺς ἄκοντας οἷόν τε, κατὰ μίαν πληγὴν ἀνωμάλους ὀνομάζειν τοὺς δικρότους. ἐροῦσι γὰρ ἀπομαχόμενοι δύο πληγῶν φανερῶς αἰσθάνεσθαι, μήτε τὸ μέγεθος ἴσον μήτε τὸν χρόνον, ἀλλὰ μηδὲ τὸν τόνον. καὶ δι' ὀλίγου φήσουσι χρόνου τὴν δευτέραν ἐπὶ τῇ προτέρᾳ γίγνεσθαι. καὶ ἀνώμαλον μὲν συγχωρήσουσιν εἶναι τὸν τοιοῦτον σφυγμὸν, οὐ μὴν τὸν κατὰ μίαν πληγήν· ἀλλὰ τὰς ἐν πυκνότητι καὶ σμικρότητι καὶ τόνῳ τῆς ἀνωμαλίας

cedatur, quin arteria ab intervallis non videatur fe efferre paribus, non negaveris certe. Jam in intermittentibus hoc perfpicuum plane eft; etenim inferne arteria nonnunquam aufpicata motum, mox fimulatque deftiterit moveri, initium iterum facit alterius motus, ubi prior defiit. Dicroti vero non ita pulfant, fed manifefte ex altiore profunditate et intervallo majore prior motus videtur cieri atque indidem continenter alter. Hanc ergo ab iftis affenfionem expreffimus, non effe perinde in una diftentione pulfum intermittere ac bis, ut dicrotus facit, ferire. At induci illi tamen inviti, ut in uno ictu inaequales appellent dicrotos, non poffunt. Defendent enim binorum ictuum fentiri aperte, nec magnitudinem parem, nec tempus, imo nec robur quidem. Et pauco tempore dicent fecundum excipere priorem. Atque admittent inaequalem illi quidem effe hunc pulfum, non uno in ictu tamen; fed differentias huic inaequalitatis, crebrita-

διαφορὰς αὐτῷ προσάψουσιν. τοῖς δὲ καὶ τῆς συστολῆς αἰσθανομένοις φανερῶς ὁ δίκροτος ἐκπίπτει τῆς συστηματικῆς καλουμένης ἀνωμαλίας. ἔοικε γὰρ τὸ ἐπ᾽ αὐτοῦ γιγνόμενον ταῖς τῆς σφυρᾶς διπλαῖς πρὸς τὸν ἄκμονα πληγαῖς, τῆς μὲν προτέρας ἐκ πολλοῦ μὲν διαστήματος καταφερομένης καὶ σφοδρῶς παιούσης, τῆς δευτέρας δὲ οἷον ἀναπαλλομένης τῆς σφυρᾶς ἀπὸ τοῦ ἄκμονος οὐκ ἐπὶ πολὺ, καὶ αὖθις αὐτῷ προσπιπτούσης ἀῤῥωστότερόν τε ἢ πρόσθεν καὶ ἐξ ὀλίγης διαστάσεως. τοιοῦτον γάρ τοι καὶ οἱ δίκροτοι τυγχάνουσιν ἔχοντες τὸ εἶδος, οἷον ὠθουμένης τῆς ἀρτηρίας εἰς τοὐπίσω κατὰ τὴν προσβολὴν, εἶτ᾽ αὖθις ἐπανερχομένης. ὃ δ᾽ ἂν μάλιστα σαφέστατα τὴν τῶν δικρότων σφυγμῶν φύσιν ἐνδείξαιτο καὶ χωρίσειε τῆς συστηματικῆς ἀνωμαλίας, τὸ τῆς ἀποχωρήσεώς ἐστιν εἶδος. οὐδὲ γὰρ συστέλλεται τότε ἡ ἀρτηρία, ἀλλά πως οἷον κλονουμένη καταφέρεται, καὶ τὴν καταφορὰν αὐτῆς ἀπὸ τοῦ πέρατος τῆς πρώτης διαστολῆς, οὐδεμία σαφὴς ἡσυχία διαιρεῖ, καθάπερ ἐπὶ τῆς συστολῆς φαίνεται, ἀλλ᾽ εὐθὺς ἅμα τῷ παύσασθαι τῆς ἄνω φορᾶς ἡ ὑποχώρησις γίνεται, πρὸς ὀλίγον κλονουμένης αὐτῆς, εἶτ᾽ αὖθις ἐμπιπτούσης· οἷόν τι

tis et parvitatis et contentionis accommodabunt. Qui contractionem autem fentiunt, defciscere hi manifefte a collectiva, quam vocant, inaequalitate dicrotum animadvertunt. Nam ifta res inftar habet geminorum ad incudem mallei ictuum, quum ex multo intervallo prior incutitur, valideque pulfat, fecundus porro, quum quafi refultat ab incude malleus, non ita multum, reciditque in eam non ita ut antea, valenter et brevi intervallo. Ex eodem genere funt dicroti; nam arteria in occurfu quafi repellitur, moxque redit. Quod autem prae caeteris pulfuum dicrotorum clariffime naturam doceat et a collectiva inaequalitate fejungat, genus eft recesfus. Neque enim tum arteria contrahitur, fed quafi concuteretur, occidit; cujus delapfum a primae diftentionis termino nulla dirimit manifefta quies, ut animadvertitur in contractione: fed fimulatque attolli deftitit, recedit, atque illa paulisper vibrata, mox occurrit iterum; id quod etiam

[30] καὶ τοῖς πρὸς βίαν ἑλχθεῖσι κλάδοις, εἶτ᾽ ἀφεθεῖσι γίγνεται. καὶ γὰρ ἐκεῖνοι φέρονται μὲν ἐπὶ τὸν ἐξ ἀρχῆς τόπον, οὐ μὴν εὐθὺς ἐν αὐτῷ μένουσιν, ἀλλ᾽ αὖθις ἀναχωροῦσιν ἐπὶ ταὐτὸ, ὅθεν ἠνέχθησαν, καὶ οὐδὲ ἴσην γε διάστασιν ἐπιλαμβάνουσι τῇ πρόσθεν, ἀλλ᾽ ἐλάττονα μικρῷ· καὶ πάλιν ἀπὸ τούτου τοῦ πέρατος ἐπὶ τὸν οἰκεῖον ἀναφέρονται τόπον, καὶ δεύτερόν γε ὑποχωροῦσιν αὖθις· καὶ ἐπανέρχονται πάλιν, καὶ τρίτον τε καὶ τέταρτον καὶ πολλάκις, ἔστ᾽ ἂν κατὰ βραχὺ μειοῦντες τὴν ἐπάνοδον, εἰς ἡσυχίαν παντελῆ τελευτήσωσι. τοιοῦτόν τι καὶ τῆς ἀρτηρίας κινήσει συμβέβηκεν ἐν τοῖς (16) δικρότοις σφυγμοῖς. ὥστ᾽ ἔγωγε οὐ μόνον ἅπαξ ἐπανιοῦσαν, ἀλλὰ καὶ δεύτερον εἶδόν ποτε. καὶ τὸ σύμπαν φάναι, κλονώδη πάντως δεῖ τὴν κίνησιν εἶναι τοῦ δικρότου σφυγμοῦ, ὥστε καὶ κατ᾽ αὐτὴν τὴν προτέραν πληγὴν οἷον ἐπαιρομένην καὶ τὸν τόπον ὅλον ἀλλάττουσαν τὴν ἀρτηρίαν ἄνω φέρεσθαι μᾶλλον ἢ διαστελλομένην· τοιοῦτοι γὰρ οἱ κλονώδεις. καὶ ὅταν γε σφοδρῶς αὐτοῖς τοῦτο τὸ πάθημα συμπίπτῃ, καὶ τὰ μόρια τῆς ἀρτηρίας διαφερόντως κινῶνται, τοῦ μὲν εἰ τύχοι πρώτου, τοῦ δὲ δευτέρου, τοῦ δὲ τρίτου καὶ πολλάκις τετάρτου καὶ πέμπτου μέρους αὐτῆς ἀναφερομένου

vi tractis ramis, inde dimiffis, accidit, qui quidem contendunt ad priftinum locum: ubi non ftatim refiftunt tamen, fed eodem, unde abierunt, revertuntur. Neque vero aequum fumunt ac antea intervallum, fed longe minus, iterumque ab hoc termino ad propriam fedem fe conferunt, iterumque recedunt et redeunt et tertio et quarto et faepius, dum reditum paulatim imminuendo ad abfolutam aliquando evadant quietem. Tale etiam quid in dicrotis pulfibus motui arteriae ufu venit. Ego itaque non jam femel vidi reverfum fuiffe, fed iterum aliquando. Et breviter vibrari omnino motum oportet pulfus dicroti, ut in ipfo primo ictu veluti evecta atque ex univerfo loco arteria demigrans potius efferatur quam diftendatur; hujuscemodi enim funt vibrati. Quod illis, ubi cum vi aliqua accidit, partes arteriae aliter atque aliter moventur; ut verbi gratia, prima, fecunda, tertia et frequenter quarta et quinta ejus pars attollatur et

τε καὶ αὖθις καταφερομένου. ὥστε ἔστιν ὅτε καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον τὰ μὲν ἀναφέρεσθαί σοι δόξει μόρια, τὰ δὲ καταφέρεσθαι. τοιαύτης οὖν οὔσης τῆς τῶν δικρότων σφυγμῶν ἰδέας, αἱ διαφοραὶ γενήσονται κατὰ πάντα τὰ προγεγραμμένα γένη, πληρότητος, σκληρότητος, μεγέθους, σφοδρότητος, τάχους, καὶ τῶν ἐναντίων, ἐν αὐτῇ τε τῇ πρώτῃ κινήσει καὶ τῇ κατὰ τὴν ὑποχώρησιν ἐπανόδῳ. δύναται γὰρ μεγάλη καὶ οὐ μεγάλη, καὶ σφοδρὰ καὶ οὐ σφοδρὰ, καὶ ταχεῖα καὶ οὐ ταχεῖα, καὶ τῶν ἄλλων ἕκαστον εἰδῶν γίνεσθαι, καὶ ἤτοι ὁμαλὴ, ἢ ἀνώμαλος, ὥστε τὰς τοιαύτας ἐπαλλάξεις πολλὰ ποιεῖν εἴδη τῶν δικρότων σφυγμῶν. αὗται μὲν αἱ κατὰ διαστολὴν τῶν δικρότων σφυγμῶν τῆς ἐν ἑνὶ μορίῳ συνισταμένης ἀνωμαλίας διαφοραί.

Κεφ. ιζ΄ Μεταβάντες δ' ἐπὶ τὴν ἐν διαφέρουσι μορίοις, εἴπωμεν ἤδη καὶ τὰς ἐκείνης ἁπάσας διαφορὰς, πρώτας μὲν δύο, καθ' ἃς ἢ συνεχής ἐστιν ἡ κίνησις, ἢ διαλείπουσα κατά τι, τὰς δ' ἄλλας τὰς κατὰ μέρος ἐκ τῆς τούτων τομῆς συνισταμένας. ἡ μὲν γὰρ συνεχὴς ἤτοι ὁμαλής ἐστιν, ἢ

delabatur. Itaque fit aliquando ut uno eodemque tempore hae partes attolli, decidere illae appareant. Quae forma quum dicrotorum pulfuum fit, differentiae in illis omnibus, quae retulimus, generibus erunt, plenitudinis, duritiei, magnitudinis, vehementiae, celeritatis et contrariorum; tam in ipfo primo motu, quam in reditu a difceffu. Nam magnus poteft et non magnus, et vehemens et non vehemens, et celer et non celer, et aliarum quarumlibet fpecierum altera effe, etiam vel aequalis, vel inaequalis; quae certe commutationes multas fpecies conftituunt dicrotorum pulfuum. Hae dicrotorum pulfuum in una diftentione funt, inaequalitate unam partem occupante differentiae.

Cap. XVII. Jam ad inaequalitatem diverfarum partium transeamus, ejusque explicemus omnes differentias ac primas duas, juxta quas aut continuus eft motus, aut intercifus aliqua ex parte, alias fingulares ex harum divifione genitas. Nam continuus aut eft aequalis, aut inaequalis.

ἀνώμαλος. ἐμάθομεν γὰρ ὅπως ὁμαλὴς καὶ ἀνώμαλος ἀνωμαλία γίγνεται. τῆς μὲν οὖν ὁμαλοῦς, ἢ ἐκλύεσθαι τὸ τάχος, ἢ ἐπιτείνεσθαι ἀναγκαῖον ἑξαχῆ, καθάπερ μικρῷ πρόσθεν ἐλέχθη, τῆς δ᾽ ἀνωμάλου πλείους εἰσὶν αἱ διαφοραὶ παρὰ τὸ μακρὸν, ἢ βραχὺν, ἢ σύμμετρον κατὰ τὸ μῆκος εἶναι τὸν σφυγμόν. τοῖς μὲν γὰρ δύο δακτύλοις ὑποπιπτούσης τῆς κινήσεως ἓξ ἔσονται διαφοραὶ, τοῖς δὲ τρισὶ τέσσαρες καὶ εἴκοσι, τοῖς δὲ τέσσαρσιν ὀκτὼ καὶ ἑβδομήκοντα. ὅπως μὲν οὖν εἰ τοῖς δύο δακτύλοις ἡ κίνησις ὑποπίπτοι, τὰς διαφορὰς ἓξ ἀναγκαῖον γενέσθαι, καὶ εἰ τοῖς τρισὶ, τέσσαρας καὶ εἴκοσι, τὰ προγεγραμμένα δύο διαγράμματα διδάσκει. πῶς δὲ καὶ εἰ τοῖς τέσσαρσιν, ὀκτὼ καὶ ἑβδομήκοντα, μάθοις ἂν, εἰ πρότερον γνοίης ὅτι τεττάρων πραγμάτων ὡντινωνοῦν τρεῖς ἑκάστου διαφορὰς ἔχοντος ἀνάγκη τὰς πάσας συζυγίας γενέσθαι μίαν καὶ ὀγδοήκοντα. τοῦτο δ᾽ οὐ χαλεπὸν εὑρεῖν ἐκ τοῦ γιγνώσκειν, ὅτι τῶν τρεῖς ἐχόντων διαφορὰς ἑπτὰ καὶ εἴκοσι συζυγίαι γίνονται. προσελθόντος γὰρ τοῦ τετάρτου τρεῖς ἔχοντος διαφορὰς, εὔλογόν ἐστι μίαν καὶ ὀγδοήκοντα

Docuimus enim qua ratioue aequalis fiat et inaequalis inaequalitas. Aequalis itaque vel remittatur celeritas, vel increscat a primo fex modis neceffe eft, uti paulo ante declaravimus. Inaequalis funt plures differentiae, pro pulfus magnitudine longa, vel brevi, vel moderata. Namque duobus digitis fi motus occurrat, fex differentiae exiftent; fi tribus, quatuor et viginti; fi quatuor, feptuaginta octo. At quemadmodum fi occurrat duobus digitis, erunt neceffario fex differentiae; fi tribus, vigintiquatuor; duae illae fuperius delineatae tabellae planum faciunt. Jam quanam ratione, fi quatuor etiam, octo et feptuaginta fient, affequeris, fi prius perfpexeris quatuor rerum quarumlibet, quarum ternas fingulae differentias affecutae fint, conjugationes neceffe effe, numero ut octoginta una fint. Neque eft difficile hoc inventu, modo noris eorum quae tres differentias habent, conjugationes effe viginti feptem. Si jam quartum accedat, cui tres fint differentiae, unam et octoginta numero

γενέσθαι τὰς πάσας, ὧν εἰ ἀφέλοιμεν τρεῖς τὰς ὁμαλοὺς ποιούσας τοὺς σφυγμοὺς, [31] οἱ λοιποὶ δηλονότι ὀκτὼ καὶ ἑβδομήκοντα γενήσονται. κατὰ ταὐτὰ δὲ τοῖς προγεγραμμένοις δύο διαγράμμασι δῆλον, ὡς καὶ τούτων τῶν εἴκοσι μὲν καὶ τεττάρων τινὲς τοῖς ἓξ τοῖς πρώτοις οἱ αὐτοὶ γενήσονται, τῶν δὲ ὀκτὼ καὶ ἑβδομήκοντα τοῖς τέσσαρσι καὶ εἴκοσιν, ὅτι τε καθάπερ ἐπ᾽ ἐκείνων, οὕτω καὶ ἐπὶ τούτων αἱρέσεις δύο γενήσονται, τῶν μὲν οἰομένων κοινωνεῖν ἀλλήλοις τὰ διαγράμματα, τῶν δὲ μή.

Κεφ. ιη΄. Λοιπὸν δ᾽ ἂν εἴη τὰς διαλειπούσης τῆς κινήσεως γιγνομένης διαφορὰς ἐξαριθμῆσαι. γενήσονται δὲ τέτταρες μὲν αἱ πρῶται, κατὰ μέρος δ᾽ ἑκάστης αὐτῶν πλείους, αἱ μὲν τέσσαρες ὧδέ πως. ἢ γὰρ ὁ πρῶτος καὶ τρίτος δάκτυλος αἰσθάνονται τῆς κινήσεως, οὐ μὴν ὁ δεύτερος καὶ ὁ τέταρτος, ἢ ὁ πρῶτος καὶ τρίτος καὶ τέταρτος, οὐ μὴν ὁ δεύτερος, ἢ ὁ πρῶτος καὶ δεύτερος καὶ τέταρτος, οὐ μὴν ὁ τρίτος, ἢ ὁ πρῶτος καὶ τέταρτος, οὐ μὴν οὔθ᾽ ὁ δεύτερος οὔθ᾽ ὁ τρίτος. ὅταν μὲν οὖν ὁ πρῶτος καὶ τρίτος αἰσθάνωνται μόνον, ἐννέα γίνονται διαφοραὶ σφυγμῶν καθ᾽ ἕκαστον γένος, ὅταν δ᾽ ὁ πρῶτος καὶ ὁ τρίτος

ratio poftulat effe. Quibus fi tres, quae creant aequales pulfus, eripias, reliqui quidem feptuaginta octo erunt. Itaque ex ante defcriptis duabus tabellis conftat, horum vigintiquatuor quosdam primis fex futuros fimiles, atque illorum octo et feptuaginta, his vigintiquatuor. Praeterea ut in illis, et item quoque in his duae erunt fectae, ut hi convenire exiftiment inter fe tabellas, illi fecus.

Cap. XVIII. Reftat nunc ut differentias recenfeamus motus interrupti. Erunt autem primae quatuor, quarum fingularum complures, atque quatuor in hunc modum. Aut primus et tertius digitus motum fentiunt, non fecundus autem et quartus, aut primus et tertius et quartus, at non fecundus, aut primus, fecundus, quartus, non tertius tamen, aut primus atque quartus, fecundus et tertius minime. Quum primus et tertius duntaxat fentiunt, novem in fingulis generibus differentiae fiunt pulfuum, ubi vero primus et

καὶ τέταρτος, ἑπτὰ καὶ εἴκοσιν. ἴσαι δὲ τὸν ἀριθμὸν ταῖσδε καὶ ὅταν ὁ πρῶτος καὶ δεύτερος καὶ ὁ τέταρτος. ὅταν δ' ὁ πρῶτος καὶ ὁ τέταρτος, ἐννέα. σαφὴς δὲ ὁ καθ' ἑκάστην ἀριθμὸς ἐκ τῶν προγεγραμμένων μεθόδων. αὕτη καὶ ἡ τῆς κατὰ τὰ διαφέροντα μόρια γινομένης ἀνωμαλίας τομή. γίνονται δὲ καὶ μίξεις ἀμφοτέρων τῶν πρώτων διαφορῶν πρὸς ἀλλήλας πολυειδῶς, ὥστε μὴ μόνον ἐν διαφέρουσι μορίοις εἶναι τὴν ἀνωμαλίαν, ἀλλὰ καὶ καθ' ἓν ὁτιοῦν. εἰ δή τις τῶν ἐκ θατέρου γένους διαφορῶν τὰς ἐνδεχομένας μιγνύναι βούλοιτο ταῖς ἐκ θατέρου, καὶ τοῦτο ποιῶν μὴ κάμνοι πρὶν ἁπάσας συμπλέξαι, γυμνάσαιτ' ἂν οὐκ ἀχρήστως. ἡγοῦμαι δὲ οὐδ' ἂν χαλεπῶς δρᾶσαί τινα αὐτὸ, εἰ μὴ ἀργῶς τὰ μέχρι τοῦδε ὑφ' ἡμῶν γεγραμμένα παρέδραμεν. οὕτως μὲν ἄν τις ἁπάσας μάθοι τὰς κατὰ τὴν κίνησιν ἐν μιᾷ διαστολῇ γινομένας ἀνωμαλίας.

Κεφ. ιθ'. Ἡ δὲ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἀνωμαλία περὶ μὲν τοῖς διαφέρουσι μορίοις τῆς ἀρτηρίας καὶ φαίνεται γιγνομένη πολλάκις καὶ νοηθῆναι ῥᾴστη διαλείπουσά τε καὶ συνεχὴς, ὁμαλῶς τε καὶ οὐχ ὁμαλῶς, ἐξ οὗ

tertius et quartus, viginti feptem: totidem, quum primus, fecundus et quartus, quum primus et quartus, novem. Atqui fingularum apertus eft numerus ex viis rationibusque ante traditis. Haec eft jam etiam inaequalitatis divifio, quae diverfis in partibus fit. Commiscentur porro variis modis ambae inter fe primae differentiae, ut non jam diverfas tantum partes, verum etiam fingulas teneat inaequalitas. Jam vero fi quis unius generis congruas differentias cum alterius confundere volet, nec id laboris, dum omnes connexuerit, deprecabitur, operam non luferit Equidem cenfeo, nifi haec obiter quae hactenus funt tradita, percurreris, id nullo te negotio confequuturum. Hac ratione inaequalitates motus in una diftentione omnes didiceris.

Cap. XIX. At vero inaequalitas quantitatis diftentionis, diverfas quidem arteriae partes occupans, quum animadvertitur crebro, tum percipitur facillime et interrupta et continua, aequaliter et inaequaliter. De quo genere qui

γένους εἰσὶν οἵ τε μύουροι καλούμενοι κατὰ μίαν διαστολὴν, οἵ τε πρός τινων ἐπινενευκότες τε καὶ περινενευκότες ὀνομασθέντες. ἐν ἑνὶ δὲ μορίῳ τῆς ἀρτηρίας οὐκ ἂν συσταίη κατὰ τοῦτο τὸ μέρος ἀνωμαλία καθ' ἕνα σφυγμόν. πρὶν γὰρ ἐπὶ τὸ τέλος ἐξικέσθαι τὴν κίνησιν, οὐδέπω τὸ μέγεθος δῆλον, ἀλλὰ μόνον τοῦτο τὸ γένος τῶν σφυγμῶν εἰς τὴν ἐπίγνωσιν τοῦ τέλους προσδεῖται. σφοδρότητα μὲν γὰρ καὶ τάχος καὶ σκληρότητα καὶ τἀναντία τούτων καὶ τὰ μέσα δυνατόν ἐστι κινουμένης τῆς ἀρτηρίας γνωρίσαι, τὴν δὲ κατὰ τὸ μέγεθος καὶ σμικρότητα διαφορὰν οὐχ οἷόν τε πρὸ τοῦ παύσασθαι κινουμένην. ἅμα μὲν γὰρ τῷ παύσασθαι πηλίκος ἐστὶν ὁ σφυγμὸς ἐγνώσθη, πρὸ τούτου δ' ἔτι ἄδηλον ἦν, μέχρι πόσου κινήσεται. πῶς οὖν οἷόν τε καθ' ἓν μόριον ἀνώμαλον ἐν τούτῳ γένει συστῆναι σφυγμόν; ὃς γὰρ, ἵν' οἷός τίς ἐστι γνωσθῇ, δεῖται συμπεπερασμένης τῆς κινήσεως, οὗτος πῶς ἂν γνωσθείη γιγνομένης ἔτι;

Κεφ. κ'. [32] *Ἡ δὲ κατὰ τὸν ζωτικὸν τόνον ἀνωμαλία τὴν αὐτὴν ἐπιδέχεται τομὴν τῇ κατὰ τὴν κίνησιν. ἢ γὰρ*

decurtati vocantur, in una diftentione funt, et illi etiam qui ab aliquibus innuentes et circumnuentes appellantur. In una vero arteriae parte non recipiat hujus generis inaequalitatem unus pulfus, quod priusquam finem motus attingat, nequaquam liqueat magnitudo: caeterum quo innotescat, hoc unum pulfuum genus requirit finem. Nam vehementiam, dum movetur arteria atque celeritatem et duritiem horumque contraria et media cognoscas, magnitudinis et parvitatis differentiam, nifi jam moveri arteria deftiterit, non poffis. Nam fimul ut deftitit, quantus eft pulfus, apertum eft: antea incertum etiam erat, quousque moveretur. Qui fieri igitur poteft, ut una efficiat pars inaequalem in hoc genere pulfum? Qui enim quo cognoscatur, quis fit, poftulat motus exitum, hic in motu etiamnum quomodo perfpiciatur?

Cap. XX. Inaequalitas vero vitalis roboris eandem diftributionem ac inaequalitas motus, habet. Nam aut ean-

Ed. Chart. VIII. [32.] Ed. Baſ. III. (16. 17.)

περὶ τὸ αὐτὸ μόριον, ἢ ἐν διαφέρουσι συνίσταται. περὶ μὲν τὸ αὐτὸ, τριχῶς, ἢ διαλειπούσης τῆς κινήσεως, ἢ συνεχοῦς μενούσης, ἢ δικρότου γινομένης, περὶ δὲ τὰ διαφέροντα διχῶς, ἢ συνεχοῦς μενούσης, ἢ διακοπτομένης. ἴσαι δὲ καθ' ἕκαστον τούτων τῶν γενῶν αἱ κατὰ μέρος διαφοραὶ ταῖς ἐπὶ τῆς κινήσεως εἰρημέναις. καὶ μὲν δὴ καὶ μίγνυσθαι τὰς περὶ ἓν μόριον συνισταμένας ἀνωμαλίας ταῖς ἐν διαφέρουσι γιγνομέναις ὡσαύτως, ἀναγκαῖον.

Κεφ. κα΄. Ἡ δὲ κατὰ τὸ σῶμα τῆς ἀρτηρίας ἀνωμαλία, καθ' ἣν μαλακὸς, ἢ σκληρὸς ὁ σφυγμὸς γίνεται, καθ' ἓν μὲν οὐχ οἷόν τε μόριον γενέσθαι, κατὰ δὲ διαφέροντα φαίνεται συνισταμένη δισσῶς, ὥσπερ ἥ τε κατὰ τὴν κίνησιν καὶ ἡ κατὰ τὸν τόνον, ἤτοι (17) συνεχοῦς μενούσης τῆς κινήσεως, ἢ διακοπτομένης. ὥστε καὶ τὰς διαφορὰς εἶναι τὰς αὐτὰς κατὰ τοῦτο τὸ γένος ταῖς ἐπ' ἐκείνων προειρημέναις. ἓν δὲ μόριον ἀρτηρίας οὐχ οἷόν τε κατὰ μὲν τὴν ἀρχὴν τῆς διαστολῆς μαλακὸν φαίνεσθαι, κατὰ δὲ τὴν τελευτὴν σκληρὸν, ἢ ἀνάπαλιν ἀρχομένης μὲν σκληρὸν, τελευτώσης δὲ μαλακόν.

dem partem, aut diſtinctas tenet; eandem tribus modis, aut interrupto motu, aut perpetuo, aut dicroto; diſtinctas bifariam, vel continuo motu, vel interciſo. Singulorum praeterea horum generum totidem ſunt ſingulares differentiae, quot motus. Quin commisceri etiam poſitas una in parte inaequalitates neceſſe eſt, ut illas, quae in diverſis ſiunt.

Cap. XXI. Sed inaequalitas corporis arteriae, ex qua pulſus aut mollis aut durus redditur, in una quidem non poteſt parte fieri; in diverſis fieri duobus modis videtur, non aliter ac inaequalitas motus et roboris, ut aut continuus motus ſit, aut interciſus. Quo ſit ut et differentiae hujus generis ſint eaedem atque praedictae illorum. Verum arteriae pars una non poteſt initio eſſe diſtentionis mollis, dura in ſine, aut contra primo dura, in exitu mollis.

Ed. Chart. VIII. [32.] Ed. Baf. III. (17.)

ὥστε κατά γε τοῦτο διαφόρως ἔχει τούτῳ τῷ γένει τῶν σφυγμῶν, τῷ κατὰ σκληρότητα καὶ μαλακότητα, τὰ πρόσθεν δύο, τό τε κατὰ τὴν κίνησιν καὶ τὸ κατὰ τὸν τόνον.

Κεφ. κβʹ. Τὸ δὲ κατὰ τὴν ἐγκεχυμένην οὐσίαν τῇ κοιλότητι τῆς ἀρτηρίας γιγνόμενον γένος σφυγμῶν, ἐν ᾧ καὶ ὁ πλήρης καὶ ὁ κενὸς συνίσταται, τὰς αὐτὰς ἐπιδέχεται ζητήσεις τῷ προειρημένῳ, τῷ κατὰ τὸ ποσὸν τῆς διαστολῆς. δόξει γὰρ κἀνταῦθα περὶ μὲν τὰ διαφέροντα μόρια δύνασθαι συστῆναι καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίαν, περὶ δὲ τὸ αὐτὸ μὴ δύνασθαι. μακροῦ δὲ ὅλον τὸ γένος τοῦτο τῶν σφυγμῶν δεῖται λόγου, καὶ οὐ τοῦ παρόντος καιροῦ. ῥηθήσεται γὰρ ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως. ἔτι δὲ πλείονος δεῖται λόγου τὸ κατὰ τὸ τρίτον σημαινόμενον τῆς πληρότητος, ὑπό τε ἄλλων τινῶν καὶ τῶν περὶ τὸν Ἀρχιγένην λεγόμενον. ὥστε καὶ αὐτὸ εἰς αὖθις ἀναβεβλήσθω. τοσοῦτον δ᾽ ἔτι τοῖς εἰρημένοις προσθέντες ἐπὶ τὰ ἑξῆς ἴωμεν.

Κεφ. κγʹ. Ὅτι κατὰ τὸν τῆς ἀρτηρίας τόπον, ἐναργέστερον γνωριζομένης τῆς τοῦ πυρετοῦ θερμότητος οἵα τίς

Quare hactenus quidem ab hoc pulfuum genere duritiei et mollitiei duo genera diffident priora, motus et contentionis.

Cap. XXII. Porro pulfuum genus quod efficit infufa materia in arteriae cavitatem, in quo plenus et vacuus eft, easdem habet quaeftiones ac fuperius, quod quantitate conftabat diftentionis; videbitur enim hic quoque obtinere diverfas partes poffe in uno pulfu inaequalitas, eandem non poffe. Sed poftulat genus totum hoc pulfuum prolixam orationem neque eft hujus loci; in commentariis de pulfibus dignoscendis explicabitur. Jam etiam longiore tractatu opus eft ad tertiam notionem plenitudinis; cujus quum alii quidam tum Archigenes auctor eft. Proinde hoc quoque in aliud tempus rejiciamus. Adhuc tamen dictis tantum adjiciamus, inde ad reliqua proficiscamur.

Cap. XXIII. Quia evidentius in arteriae fede febris calor qualis fit, quam fi aliam tangas partem, cognoscitur,

ἐστιν, ἢ εἰ κατ᾽ ἄλλο τι μόριον ἅπτοιο, πιθανὸν ἔδοξεν εἶναί τισι καὶ τοιοῦτον γένος σφυγμῶν συναριθμῆσαι τοῖς ἄλλοις, δι᾽ οὗ τὴν ποιότητα τῆς θερμότητος γνωρίζομεν, οὗ δηλονότι γένους ὁμαλότης τε καὶ ἀνωμαλία συστήσονται κατὰ μίαν διαστολήν. καὶ διαφοραὶ τῆς ἀνωμαλίας γενήσονται πρώτη μὲν ἥ τε ἐν διαφέρουσι μορίοις καὶ ἡ περὶ ἓν ὁτιοῦν συνισταμένη, τούτων δ᾽ αὖθις τεμνομένων κατὰ τὰς προγεγραμμένας μεθόδους, ἕτεραι πλείους κατὰ μέρος.

Κεφ. κδ΄. [33] Ἄλλο γένος ἀνωμαλίας τῆς καθ᾽ ἕνα σφυγμὸν, οὐδενὶ τῶν εἰρημένων ὑποπῖπτον σφυγμῶν, τὸ παρὰ τὴν θέσιν τῆς ἀρτηρίας. φαίνεται γὰρ ἔσθ᾽ ὅτε τὸ μέν τι μέρος αὐτῆς εἰς τὰ δεξιὰ παρῆσθαι, τὸ δὲ εἰς τὰ ἀριστερὰ, καὶ τὸ μὲν ὑψηλότερον εἶναι, τὸ δὲ ταπεινότερον, ἤτοι κατὰ δύο τόπους, ἢ πλείονας, τοῦ τοιούτου πάθους συνισταμένου. παράκειται δὲ τοῦτο κατὰ τὴν φαντασίαν τῇ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἀνωμαλίᾳ, καὶ ὡς χρὴ διορίζειν αὐτὸ, ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως λέγεται.

Κεφ. κέ. Ἄλλο γένος ἀνωμαλίας τῆς καθ᾽ ἕνα σφυγμὸν τὸ κυματῶδες καλούμενον, οὗ τὴν ἰδέαν δηλοῖ μὲν ἱκανῶς

ideo quibusdam probabatur inter alia hoc etiam genus pulſuum referri, quo caloris noscimus qualitatem; cujus quidem generis aequalitas et inaequalitas verſantur in una distentione, ac inaequalitatis erunt differentiae, prima, tum quae diverſas partes, tum quae ſingulas tenet, quas iterum ſi ex praedictis viis et rationibus ſeces, alterae particulares plures.

Cap. XXIV. Aliud genus eſt uno in pulſu inaequalitatis, nec ullum dictorum pulſuum amplectitur hoc, quod a ſede arteriae proficiscitur. Siquidem eſt quum pars ejus dextrorſum, pars deflectatur ſiniſtrorſum, alia etiam pars ſurſum, alia deorſum; quod accidit aut in duobus locis, aut pluribus. Eſt autem hoc ſpecie finitimum diſtentionis inaequalitati quantitatis, quae, ut ſunt diſtinguenda, in libris de pulſibus dignoscendis explicatur.

Cap. XXV. Aliud item inaequalitatis unius pulſus genus eſt quod vocatur undoſum: quod quale ſit, abunde

καὶ αὐτὸ τὸ ὄνομα, χεῖρον δ' οὐδὲν ὑπὲρ σαφηνείας εἰπεῖν τι καὶ ἡμᾶς. οὐχ ἅμα φαίνεται κατὰ τὴν τοιαύτην ἀνωμαλίαν ἡ ἀρτηρία πᾶσα διαστελλομένη, ἀλλὰ τὸ μέν τι πρῶτον αὐτῆς, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον, τὸ δὲ τέταρτον. καὶ οὐδὲ ταῦτα ὡς ἔτυχεν, ἀλλὰ σὺν τῷ τὴν ἔπαρσιν κυματώδη γενέσθαι, τοῦ δευτέρου κύματος ἀεὶ τὸ πρότερον ἐκδεχομένου, καὶ ὅπη διαφέρει τῆς διακεκομμένης κινήσεως τὸ τοιοῦτον εἶδος τῆς ἀνωμαλίας, οὐ χαλεπὸν φωρᾶσαι. τὴν γὰρ τοῦ προτέρου μέρους τῆς ἀρτηρίας διαστολὴν ἡ τοῦ δευτέρου διαδέχεται, μηδενὸς ἀκινήτου μορίου μεταξὺ πίπτοντος, ἀλλ' ἐγγὺς μὲν ἀκινησίας ἔχεται τῶν κυμάτων τὸ πέρας, οὐ μὴν παντελῆ γε φωράσαις ἂν ἡσυχίαν οὐδενὸς μορίου, τὰ γὰρ συνάπτοντα τὰς κινήσεις εἰς ὕψος, οἷον κυματώδεις ἀναστάσεις, οὐκ ἔστιν ἀκίνητα παντελῶς, ἀλλὰ βραχεῖαν γοῦν τινα διασώζει κίνησιν. διαφέρει δὲ τοῦ σκωληκίζοντος ὁ σφυγμὸς οὗτος μεγέθει. τὸν γοῦν μέγιστον τῶν κυματωδῶν ἐπινοῶν ἀεὶ μειούμενον εἰς οὕτω ποτὲ μικρὸν ἀφίξῃ, ὥστε ἀπορεῖν εἴτε κυματώδης, εἴτε σκωληκίζων ἐστὶν ἤδη. οὐ γὰρ κατὰ τὸ ποιὸν ἐοίκασιν ἀλλήλων διαφέρειν, ἀλλὰ κατὰ τὸ ποσόν.

declarat ipfum nomen. Nihil caufae eft tamen quin quo res evadat apertior, aliquid et nos dicamus. Non videtur fimul arteria in ea inaequalitate diftendi univerfa, fed primo prima ejus pars, deinde fecunda, mox tertia, ab hac quarta; neque id temere tamen, fed cum elevatione quadam undofa, altera unda femper priorem excipiente. Neque vero ab interrupto motu, quid hoc genus abfit, ullius eft negotii deprehendere, nam prioris partis arteriae diftentionem fecundae confequitur, ut intercedat pars a motu libera nulla; verum propemodum quieti fimilis eft undarum finis; at non reperias tamen ullam partem prorfus quiescere, nam quae motus connectunt in alto, veluti undofos aeftus, non illae quidem prorfus immotae, fed brevem certe quendam retinent motum. A vermiculante hic pulfus magnitudine differt. Etenim maximum undofum fi fingas perpetuo minui, tam pufillum invenies aliquando redditum, ut undofus fit, an vermiculans jam, dubites; neque enim qualitas eos, fed quantitas

ἔστι δὲ τὸ μέν τι κοινὸν ἀμφοτέροις τε αὐτοῖς καὶ τοῖς εἴδεσιν ἅπασιν αὐτῶν, τὸ δὲ ἴδιον ἑκατέρων. κοινὸν μὲν ἀφ᾽ οὗ καὶ τοὔνομα ἑκατέροις, τῷ μὲν κυματώδει τὸ οἷον κύματα ἐπανίστασθαι κατὰ τὴν ἀρτηρίαν, ἕτερον ἐφ᾽ ἑτέρῳ, τῷ δὲ σκωληκίζοντι σκώληκος ἐοικέναι πορείᾳ, καὶ αὐτοῦ τοῦ ζώου κυματωδῶς κινουμένου, καθάπερ καὶ Δημόκριτος λέγει που περὶ τῶν τοιούτων διαλεγόμενος, τῶν ὅσα κυματοειδῶς ἀνὰ τὴν πορείαν πλάζεται. καὶ δῆλον ὅτι ἡ ἀρχὴ τῆς ἐπιῤῥοῆς ὕνωθέν ἐστιν ἀεὶ καὶ τελευτᾷ πρὸς τὰ πέρατα τῆς ἀρτηρίας. τοῦτο μὲν οὖν τὸ κοινόν. διαφοραὶ δ᾽ αὐτῶν αἱ κατ᾽ εἶδος ὧδέ πως συνίστανται. τινὲς μὲν εἰς εὐθὺ τὸ κῦμα φερόμενον ἔχουσι, τινὲς δὲ καὶ εἰς τὸ πλάγιον ἐκκλῖνον, καὶ τινὲς μὲν ἐν βραχείᾳ τῇ κατὰ τὸ μῆκος διαστάσει τὸ ὕψος ἱκανὸν, τινὲς δ᾽ ἔμπαλιν ἐν μακροτέρᾳ τῇ διαστάσει τὸ ὕψος ταπεινὸν, καὶ οἱ μὲν πλατὺ, οἱ δὲ στενὸν, καὶ οἱ μὲν ἰσοταχεῖς, οἱ δ᾽ οὔ. οὕτω δὲ καὶ τόνου τῷ μὲν μᾶλλον, τῷ δὲ ἧττον μέτεστι τῶν κυμάτων. ἐνίοτε δὲ καὶ κατὰ πάσας ἅμα τὰς εἰρημένας διαφορὰς ἡ ἀνωμαλία συνίσταται. ἀλλ᾽ οὐδὲ διὰ μίαν ἄλλην τῶν εἰρημένων ἀνωμαλιῶν οὕτως ὀνομάζονται,

disjungit. Eſt utrique tamen quiddam commune atque ſpeciebus eorum omnibus, aliquid etiam proprium utriusque. Commune, unde nomen uterque invenit, undoſo, exurgere quaſi undas in arteria alteram ab altera; vermiculanti, vermis aſſimilem eſſe greſſui, quod ipſum etiam animal in modum undarum movetur, ut Democritus quodam loco dicit, ubi de iis verba facit quae in modum undarum progrediuntur. Initium fluctuationis perſpicuum eſt ſuperne ſemper eſſe et ad arteriae fines terminari. Atque hoc eſt commune. Differentiae vero eorum hoc modo ſpeciatim fiunt. Quibusdam recta fertur unda, quibusdam in obliquum deflectit. Quidam etiam brevi longitudine habent inſignem altitudinem, ſunt contra qui longiores, altitudinem humilem, aliqui latam, nonnulli anguſtam, alii etiam pari celeritate praediti, alii ſecus. Et roboris etiam haec unda plus, illa habet minus. Interim ſimul omnium eſt iſtarum differentiarum in-

οὐδ᾽ ἔστιν οὐδ᾽ ἑτέροις αὐτῶν, οὔτε τοῖς κυματώδεσιν οὔτε τοῖς σκωληκίζουσι, τὸ εἶναι τοιούτοις δι᾽ ἄλλην τινὰ πλὴν τῆς κατὰ τὸ ποσὸν τῆς διαστολῆς. αὕτη γὰρ μόνη ἡ ἀνωμαλία [34] προσλαβοῦσα τὴν κατὰ τὸ πρότερον καὶ ὕστερον τῶν μορίων κίνησιν τοὺς τοιούτους συνίστησι σφυγμοὺς, ὥστ᾽ εἶναι σύνθετον τὴν γένεσιν αὐτῶν ἔκ τε τῶν ἀνωμάλων, κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐν διαφέρουσι μορίοις, καὶ τῶν μὴ ἅμα πάντα τὰ μόρια τῆς ἀρτηρίας ἐχόντων κινούμενα· οὐ μὴν εὕρηταί γέ πω καθ᾽ ἑαυτὴν ἡ τοιαύτη ἀνωμαλία, ὥστε τὸ πρότερον μόριον τῆς ἀρτηρίας πρότερον φαίνεσθαι κινούμενον, ἀλλ᾽ ὅταν γίγνηται, πάντως τις αὐτῇ καὶ τῶν ἄλλων τῶν προειρημένων μίγνυται. τὸ γὰρ ὑπ᾽ Ἐρασιστράτου λεγόμενον, ὡς ἀεὶ τὸ πρότερον φαίνεται κινούμενον, οὐ τὸ τῆς αἰσθήσεως πάθος διδάσκει. πᾶν γὰρ τοὐναντίον καὶ καταψεύδεται τοῦ φαινομένου, δόγματος δὲ ἕνεκα λέγεται, καθάπερ καὶ ἄλλα πολλὰ πολλοὶ τῶν δόγμασι συναγορευόντων ἀναπλάσαντες ἔγραψαν ὡς φαινόμενα μηδ᾽ ὄναρ πώποτε πεφηνότα.

aequalitas. Sed enim de nulla alia commemoratarum inaequalitatum et habent utrique hi, tum undofi tum vermiculantes, ut tales fint ex fola diftentionis inaequalitate, quantitatis. Una enim haec inaequalitas, adjuncto fibi, ut partium motus alter antevertat, alter cunctetur, hujuscemodi pulfus gignit. Quo fit ut hos conftituant inaequales quantitate in diverfis partibus et illi, qui non habent omnes fimul partes motas. Attamen haec inaequalitas haud dum eft fola inventa, ut prior arteriae pars prae caeteris videretur moveri, quum autem incidat, omnino aliarum cum illa aliqua, quas ante commemoravimus, complicata eft. Nam quod dicit Erafiftratus, femper priorem moveri prius videri, fenfus non probat. Imo vero longe aliud, ille adductus fuo dogmate in re aperta mentitur. Sicut alia item multa commenta, multi qui pro placitis propugnant, pro teftatis prodiderunt, quae ne per fomnium quidem vifa unquam funt.

Κεφ. κστ'. Ὥσπερ δὲ τὸν κυματώδη σφυγμὸν ὁ σκωληκίζων διαδέχεται μικρότερον γενόμενον, οὕτω τὸν σκωληκίζοντα ὁ μυρμηκίζων, ὅταν ἀπολλυμένων τῶν κινήσεων τῶν πολλῶν εἰς μίαν, καὶ ταύτην παντελῶς μικρὰν τελευτήσῃ, καὶ διὰ τοῦτο οὐδ᾽ ἀνώμαλος παντελῶς φαίνεται, καίτοι πιθανόν ἐστιν ἐκ τοῦ γένους αὐτῶν εἶναι τῶν ἀνωμάλων, ἀλλὰ διὰ τὴν μικρότητα λανθάνει ἡ ἀνωμαλία. κέκληται δ᾽ οὗτος ὁ μυρμηκίζων ἀπὸ τῆς πρὸς τὸ ζῶον τὸν μύρμηκα ὁμοιότητος, ὡς μέν τινές φασι κατὰ σμικρότητα, ὡς ἕτεροι δὲ διὰ τὸν τρόπον τῆς κινήσεως, ἵν᾽ ὁμοίως τῷ σκωληκίζοντι καὶ δορκαδίζοντι, καὶ οὗτος ᾖ κεκλημένος. ἐκεῖνοί τε γὰρ ὁμοιότητι κινήσεως τῆς πρὸς τὰ ζῶα ὧν τὴν ἐπωνυμίαν ἔχουσιν ἐκλήθησαν, οὗτός τε αὐτὸς ὁ μυρμηκίζων οὕτως. τινὲς δὲ καὶ δι᾽ ἄμφω φασὶν αὐτὸν οὕτως ὀνομάζεσθαι, διά τε τὴν μικρό(18)τητα καὶ τῆς κινήσεως τὸ εἶδος. ἡμῖν δὲ περὶ μὲν τούτων οὐ φιλοτιμητέον, οἷος δ᾽ ἐστὶν ὁ μυρμηκίζων, λεκτέον. ἔστι δὲ μικρὸς ἄγαν, οὗ μικρότερος ἄλλος οὐκ ἔστιν, ὡσαύτως δὲ καὶ ἀμυδρότατος πάντως καὶ πυκνότατος, οὐ μὴν ταχύς γε, ὥς τισι δοκεῖ. δειχθήσεται δὲ τοῦτο ἐν τοῖς περὶ

Cap. XXVI. Jam vero ut undofo pulfui fuccedit vermiculans imminuto, ita formicans vermiculanti, quum motibus amiffis multis in unum eumque prorfus parvum terminet. Quocirca nec inaequalem omnino dicas, quanquam effe ex genere verifimile eft inaequalium, fed inaequalitas, propter exiguitatem, latet. Nomen invenit hic formicans a fimilitudine, quae fibi cum animante eft formica, ut quidam volunt, parvitatis; ut alii, fpeciei motus; ut hic fit nominatus eadem ratione ac vermiculans et caprizans: quum illi enim a fimilitudine motus, quae ipfis cum animalibus quorum habent cognomen intercedit, fint nomen fortiti, tum ipfe hic formicans. Sunt qui propter utrumque fic ajunt appellari eum, et quod parvus eft et ob fpeciem motus. Nos de his non contendemus, at formicans qualis fit, explicabimus. Eft mire parvus, quo haud eft minor alius, juxtaque languidiffimus plane ac creberrimus, non tamen, ut quibusdam vifus eft, celer. At in libris de dignoscendis pulfibus hoc de-

Ed. Chart. VIII. [34.] Ed. Baf. III. (18.)

σφυγμῶν διαγνώσεως. ἀλλὰ νῦν γε τὸ λεῖπον ἔτι προσθέντες τῆς περὶ τῶν κατὰ μίαν διαστολὴν ἀνωμάλων σφυγμῶν διαφορᾶς, ἐπὶ τοὺς ἄλλους μεταβῶμεν.

Κεφ. κζ. Εἰσὶ δὲ οἵ τε κλονώδεις ἔτι καὶ οἱ σπασμώδεις, ἐοικότες μὲν ἀλλήλοις τῷ μὴ φυλάττειν ἕνα τόπον τὴν ἀρτηρίαν, ἀλλ᾽ ἄνω τε καὶ κάτω φέρεσθαι, τῆς κατὰ φύσιν θέσεως ἐξισταμένης, διαφέροντες δὲ καὶ κατὰ τοῦτο μὲν αὐτὸ, βραχὺ γὰρ τοῦ τοιούτου παθήματος οἱ σπασμώδεις μετέχουσι, μέγα δὲ καὶ σαφὲς ἱκανῶς τοῖς κλονώδεσιν ὑπάρχει, καὶ καθ᾽ ὅσον δὲ οἱ μὲν σπασμώδεις ἑκατέρωθεν ἐκ τῶν περάτων ἀνθέλκεσθαι καὶ τείνεσθαι καὶ σπᾶσθαι φαίνονται, τοῖς κλονώδεσι δὲ οὐδὲν τοιοῦτον ὑπάρχει. καὶ προσέτι μεγάλη μὲν πολλάκις ἡ διαστολὴ τοῖς κλονώδεσι, μικρὰ δ᾽ ἀεὶ τοῖς σπασμώδεσι. καὶ τῶν μορίων τῆς ἀρτηρίας τὰ μὲν ἀναφέρεσθαι, τὰ δὲ καταφέρεσθαι καθ᾽ ἕνα καὶ τὸν αὐτὸν χρόνον ἐν τοῖς κλονώδεσι φαίνεται ἐναργῶς, τῶν σπασμωδῶν παντελῶς ὀλίγοις καὶ ἀμυδρῶς τοῦ τοιούτου συμπιπτόντος. καθ᾽ ὅλου δὲ φάναι οἷον χορδῆς τινος τεταμένης αἴσθησίς ἐστιν ἐπὶ τοῦ σπασμώδους σφυγμοῦ, καθ᾽ ὃ

monſtrabitur. Nunc ſi reliquam partem differentiarum pulſuum in una diſtentione inaequalium addiderimus, ad alios nos conferemus.

Cap. XXVII. Superſunt autem vibrati et convulſivi, qui hactenus quidem ſunt inter ſe ſimiles, quod unum locum arteria non teneat, ſed ſurſum agitetur atque deorſum, naturali ſede deſerta. Diſtant tamen vel hoc ipſo, quod non adeo is affectus in convulſivos cadat, in vibratos magnopere et admodum perſpicue: jam etiam quatenus ex terminis utrisque retrahi contendique et convelli videntur convulſivi, vibrati omni iſto vacant. Ad haec, magna frequenter eſt vibratis diſtentio, parva ſemper convulſivis. Et partes arteriae quaedam ſuperiora petere, quaedam demitti uno eodemque tempore aperte in vibratis conſpiciuntur; convulſivis vero id perpaucis et obſcure accidit. Breviter, ſentias veluti fidem quandam intenſam in pulſu convulſivo, quae

Ed. Chart. VIII. [34. 35.] Ed. Baf. III. (18.)

καὶ οὐδενὶ τῶν ἄλλων ἔοικεν· ἐπὶ τῶν κλονωδῶν οὐδὲν τοιοῦτον φαίνεται. μάλιστα γὰρ [35] ἄν τις αὐτῶν τὴν κίνησιν εἰκάσειε τοῖς ἀκοντίοις, ὅσα σφοδρῶς ἀφεθέντα ταχέως φέρεται κραδαινόμενα. καλοῦσι γὰρ οὕτως τὸν πυκνὸν αὐτὸν καὶ ἀνώμαλον σεισμὸν, ὅπερ οὐχ ὑπάρχει τοῖς σπασμώδεσι. τούτους δὲ πάντας τοὺς σφυγμοὺς, τοὺς ἔξω τῶν πέντε γενῶν τῶν πρώτων, κατὰ μίαν διαστολὴν ἀνωμάλους γενομένους, δύο ταῦτα προσιόντα συνίστησι, τό τε παρὰ τὴν θέσιν τῆς ἀρτηρίας εἶδος τῆς ἀνωμαλίας καὶ τὸ πρωϊαίτερον ἢ ὀψιαίτερον ἄρχεσθαι τῆς κινήσεως τὰ μόρια, τὸν μὲν πρῶτον ἐν αὐτοῖς ῥηθέντα, τὸν παρὰ τὴν θέσιν τῶν μορίων ἀνώμαλον, αὐτὸ τοῦτο μόνον, τοὺς δὲ ἄλλους καὶ τοῦτο μὲν, καὶ ἄλλαι δέ τινες ἀνωμαλιῶν προσιοῦσαι διαφοραὶ τῶν πρώτων πέντε γενῶν. σύνθετοι γὰρ αἵ τε νοήσεις καὶ αἱ γενέσεις αὐτῶν, τοῦ τε κυματώδους καὶ τοῦ σκωληκίζοντος καὶ τοῦ κλονώδους καὶ τοῦ σπασμώδους. ὁ δὲ μυρμηκίζων, ὡς ἔφαμεν, ἀνώμαλος μέν ἐστιν, οὐ μὴν καὶ φαίνεταί γε

illi res cum nullo alio convenit; in vibratis nihil tale animadvertas. Maxime enim jaculis motum eorum quae magna vi emiffa, celeri impetu vibrantur, affimiles; nam ita crebram illam et inaequalem concuffionem appellant: qua quidem convulfivi carent. Omnes autem hosce pulfus qui praeter quinque illa prima genera in una diftentione inaequales funt, duorum acceffio horum conftituit, quae funt genus inaequalitatis in arteriae fede et quum maturius aut ferius motum partes auspicantur. Primum quidem horum illum qui inaequalis eft, quod fedem partium commutet, hoc ipfum folum, caeteros quum hoc tum aliae quaedam inaequalitatum adjunctae differentiae primorum quinque generum. Compofitae enim tam notiones horum, quam generationes funt, undofi, vermiculantis, vibrati, convulfivi. Formicans autem inaequalis quidem, ut diximus, eft, non videtur tamen.

Ed. Chart. VIII. [35.] Ed. Baſ. III. (18.)

Κεφ. κη'. Καὶ ὁ δορκαδίζων δὲ κληθεὶς ὑπὸ Ἡροφίλου σφυγμὸς ἔστι μὲν ἐκ τῶν κατὰ μίαν διαστολὴν ἀνωμάλων, σύνθετος δὲ καὶ αὐτός ἐστιν, οὐδετέρας ἐφαπτόμενος τῶν προσιουσῶν τοῖς πρώτοις πέντε γένεσιν ἀνωμαλιῶν, ἀλλ' ὅταν καθ' ἓν μόριον ὁτιοῦν διακόπτηται τὴν κίνησιν ἡ ἀρτηρία, τηνικαῦτα μάλιστα γενόμενος, οὐχ ἁπλῶς. οὐ γὰρ ὅλον τοῦτο τὸ γένος δορκαδίζων ἐστὶ σφυγμὸς, ἀλλ' ὅταν ἡ μετὰ τὴν ἡσυχίαν δευτέρα κίνησις ὠκυτέρα τε καὶ σφοδροτέρα τῆς προτέρας ᾖ. τῷ γὰρ τοιούτῳ μόνῳ τοῦτο ἐπίκειται τὸ ὄνομα, κατὰ τὴν πρὸς τὰ ζῶα τὰς δορκάδας ὁμοιότητα. καὶ γὰρ ἐκεῖνα τοῦτον φαίνεται πηδῶντα τὸν τρόπον, οἷον διπλῆν τινα κίνησιν ποιούμενα. πρὸς βραχὺ γὰρ ὑψώσαντα ἑαυτὰ, καί τινα δόκησιν, ὡς αὐτοῦ που τὴν κίνησιν καταπαύσαντα παρασχόντα, δευτέραν ἀδόκητον ὁρμὴν κινήσεως ποιεῖται, πολὺ τῆς πρόσθεν ὠκυτέραν, ὡς οἷον ἐπεμπηδῶντα ἑαυτοῖς. αὗται αἱ πᾶσαι κατὰ μίαν διαστολὴν ἀνωμαλίαι.

Κεφ. κθ'. Περὶ δὲ τῆς κατὰ πυκνότητα καὶ ἀραιότητα καὶ ῥυθμὸν νῦν ἐροῦμεν. οἴονται δὲ συστηματικὰς

Cap. XXVIII. Et qui pulſus caprizans ab Herophilo eſt appellatus, eſt ille de inaequalibus in uno pulſu; compoſitus item eſt, utriusque expers quae primis quinque generibus adjuncta erat, inaequalitatis, verum ubi motum arteria interpellat quapiam in parte, tum potiſſime exiſtit, non ſimpliciter, neque enim univerſum hoc genus caprizans eſt pulſus, caeterum ubi motus a quiete alter celerior primo et vehementior ſit. Ei ſiquidem ſoli ex ſimilitudine quam cum animalibus habet capris, attributum hoc nomen eſt: quippe quae hoc modo videntur ſalire, quaſi geminum quendam motum facientes; quod ubi aliquantulum ſeſe extulerint et ſpeciem deſiti alicubi motus praebuerint, alterum motus, nec opinatum impetum capiunt, priori longe citatiorem, veluti in ſe ipſas inſilientes. Hae quidem omnes in una diſtentione inaequalitates ſunt.

Cap. XXIX. Nunc de inaequalitate crebritatis et raritatis rhythmique agemus. Collectivas dicunt tantum eſſe

μόνον γίνεσθαι τὰς τοιαύτας ἀνωμαλίας. οὕτω δὲ καλοῦσι τὰς ἐν πλείοσι σφυγμοῖς συνισταμένας. εἴπωμεν δὲ πρότερον περὶ τῶν ἐν ἀθροίσματι γινομένων, εἶθ' οὕτως ἐπὶ τὰς καθ' ἕνα μεταβησόμεθα, προχειρισάμενοι παραδείγματος ἕνεκα μίαν αἵρεσιν τῶν περὶ πυκνότητος γεγενημένων, ἥπερ δὴ καὶ σαφεστάτη ἐστὶ, περὶ τὰ διαλείμματα τῶν πληγῶν συνίστασθαι νομίζουσα τὸ γένος τοῦτο τῶν σφυγμῶν. ὅταν οὖν ἑξῆς ᾖ πάντα τὰ διαλείμματα ἴσα κατὰ πάντας τοὺς σφυγμοὺς, ὁμαλὸν τοῦτον εἶναί φασι, εἰ δὲ τὰ μὲν μείζω, τὰ δ' ἐλάττω, δηλονότι ἀνώμαλον, ἐν πυκνότητι καὶ ἀραιότητι. καὶ τὸν ῥυθμὸν δ' ὡσαύτως ἐν τῷ λόγῳ τοῦ χρόνου τῆς πληγῆς πρὸς τὸν τοῦ διαλείμματος συνιστάμενον, ὅταν ἐφεξῆς ὁ αὐτὸς μένῃ, τότε εἶναί φασιν ὁμαλὸν, εἰ δὲ μεταβάλλει τὸν ἐξ ἀρχῆς λόγον, ἀνώμαλον γίγνεσθαι, καθάπερ εἰ καὶ τῶν διαλειμμάτων, ἃ καὶ ἡσυχίας καλοῦσιν, μεταπέσῃ τὰ μεγέθη, τὴν κατὰ πυκνότητα καὶ ἀραιότητα γίγνεσθαι ἀνωμαλίαν. ταῦτα μὲν [36] οὖν ὀρθῶς λέγουσιν, καὶ ἔστιν ἀπὸ τῆς εἰρημένης αἱρέσεως ἐπὶ τὰς ἄλλας μετιόντα γνωρίζειν ὁμαλότητά τε καὶ ἀνωμαλίαν ἐν ἀμφοτέροις τοῖς γένεσι, τὴν ἐν πλείοσι,

ejuscemodi inaequalitates, ita enim quae ex pluribus pulſibus conflatae ſunt, appellant. Primum de his dicemus, quae acervatim fiunt, deinde ad eas descendemus, quae in uno pulſu. Atque hic unam exempli gratia ſectam de his quae de crebritate ſunt, quae ſcilicet eſt clariſſima, ſumamus, quae ex ictuum cenſet intervallo hoc genus pulſuum effici. Ubi ergo omnia ordine aequa ſint intervalla per omnes pulſus, aequalem hunc dictitant eſſe; ſin partim majora, partim minora, inaequalem nimirum eſſe in crebritate et raritate. Rhythmum jam etiam eodem modo ex proportione temporis ictus ad intervalli tempus conſtantem, quum deinceps maneat eadem, aequalem jam dicunt eſſe: qui primam proportionem ſi variet, eſſe inaequalem; quomodo ſi intervallorum, quas et quietes vocant, mutentur magnitudines, inaequalitatem crebritatis raritatisque fieri. Haec ſane recte dicunt: atque ab iſta ſecta proficiſcenti ad alias aequalitatem perſpicere licet et inaequalitatem utriusque generis, quae com-

ὡς ἔφαμεν, σφυγμοῖς συνισταμένην, ἣν καὶ συστηματικὴν καλοῦσιν.

Κεφ. λ'. Περὶ δὲ τῆς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας αὐτῶν, ἣν ἅπαντες παραλελοίπασιν, οὐκ ἔθ' ὁμοίως σαφὲς, ἀλλ' ὑπὲρ τοῦ μηδὲν λείπειν τῇ προκειμένῃ πραγματείᾳ καὶ περὶ τούτων πειράσομαι καθ' ὅσον οἷόν τε σαφῶς εἰπεῖν ἀρχὴν τοῦ λόγου τήνδε ποιησάμενος. τὰ μόρια τῆς ἀρτηρίας ἤτοι πάνθ' ἅμα τῆς κινήσεως ἄρχεται, ἢ τὰ μὲν αὐτῶν πρωϊαίτερον, τὰ δὲ ὀψιαίτερον. εἰ μὲν οὖν πάνθ' ἅμα κινεῖσθαι ὑπάρξαιτο, εἶτα καὶ κινηθέντα μὴ ἐν ἴσοις χρόνοις αὖθις τῆς δευτέρας διαστολῆς ἅμα πάλιν ἄρξαιτο, τῶν δύο γενῶν ἀνωμαλία καθ' ἕνα σφυγμὸν συστήσεται, ὅτι μὲν ἐγένετο, γνωρισθεῖσα, τῆς δευτέρας διαστολῆς ἀρξαμένης, οὐ μὴν ἐν τῇ γε δευτέρᾳ τὴν ὕπαρξιν ἔχουσα, ὥσπερ οὐδὲ ὁ ῥυθμὸς αὐτὸς, οὐδὲ τὸ κατὰ πυκνότητα καὶ ἀραιότητα γένος. καὶ γὰρ καὶ ταῦτα καθ' ἕνα μὲν σφυγμὸν γίγνεται, δεῖται δὲ πάντως εἰς τὸ γνωσθῆναι τοῦ δευτέρου. πρὶν γὰρ ἄρξασθαι τοῦτον, οὐχ οἷόν τε τοῦ προτέρου τὸ πέρας γνωρίσαι. ἔτι δ' ἀγνώστου μένοντος τοῦ πέρατος, οὔτε τὴν πυκνότητα δυνατὸν,

plures, ut diximus, complectitur pulfus, quam collectivam vocitant.

Cap. XXX. Inaequalitas vero illorum in uno pulfu, quam neglexerunt omnes, non perinde jam eft aperta. Sed ut praefens lucubratio ne quid defideret, faciam, haec etiam ut quoad ejus fieri poterit, clare explicem, hoc fermonis initium faciens. Partes arteriae aut omnes una motum exordiuntur, aut pars earum maturius, pars tardius. Si jam moveri omnes fimul coeperint, mox motae minus aequis temporibus, iterum diftentionem alteram fimul inceperint, duorum generum in uno pulfu inaequalitas erit; quae quod fuerit, cognita quidem fit, ut fecunda diftentio coepit, non tamen in fecunda contineatur; ficut nec ipfe rhythmus, nec genus crebritatis et raritatis; quum et haec ipfa fiant in uno pulfu, tamen omnino defiderent, quo cognoscantur, fecundum; quod quidem ante hujus initium prioris nequeat finis cognosci. Jam incognito fine, nec crebritatem valeas, vel

ἢ τὴν ἀραιότητα, οὔτε τὸν ῥυθμὸν ἐπιγνῶναι. ὥστε καὶ περὶ τὴν τῆς ἀνωμαλίας γένεσιν, ἣν εἰρήκαμεν, οὐδὲν θαυμαστὸν ἀναμένειν τῆς δευτέρας διαστολῆς τὴν ἀρχήν. οὐ μὴν τούτου γε ἕνεκα συστηματικὴν αὐτὴν χρὴ νομίζειν. ἀμέλει πρὶν συμπεραθῆναι τὴν δευτέραν διαστολὴν, εὐθὺς ἀρχομένης αὐτῆς γνωρίζεται, μηδὲν μήτε τοῦ δευτέρου σφυγμοῦ δεηθέντων ἡμῶν μήτε τοῦ τρίτου μήτε τῶν ἑξῆς. οὕτως ἐν τῷ πρώτῳ μόνῳ γίγνεται. διὰ τοῦτ᾽ οὖν ἔφαμεν, ὅταν ἅμα πάντων τῶν μορίων ἀρξαμένων κινεῖσθαι κατά τε τὴν προτέραν καὶ τὴν δευτέραν διαστολὴν, μὴ ἴσος αὐτοῖς ὁ τῆς κινήσεως γένηται χρόνος, τῶν δύο γενῶν ἀνωμαλίαν συνίστασθαι, τὴν μὲν κατὰ πυκνότητα καὶ ἀραιότητα τῷ τῶν διαλειμμάτων ἀνίσῳ, τὴν δὲ κατὰ ῥυθμὸν τῷ λόγῳ τοῦ χρόνου τῆς πληγῆς πρὸς τὸν τοῦ διαλείμματος. ὁ μὲν γὰρ τοῦ πρώτου πάντων παυσαμένου τῆς κινήσεως μορίου χρόνος ἐλάχιστος ἔσται, μέγιστος δὲ ὁ τοῦ ὑστάτου. οἱ δ᾽ ἐν τῷ μέσῳ ἀνάλογον, ἐφ᾽ ὅσον ἂν ἢ τοῦ πρώτου ἢ τοῦ ἐσχάτου ἀφεστηκότες ὦσιν. ἔμπαλιν δὲ τοῖς τῶν κινήσεων χρόνοις (19) οἱ τῶν ἡσυχιῶν μείζους μὲν ἔσονται περὶ τὰ πρῶτα παυσάμενοι,

raritatem, vel vero rhythmum affequi. Quare ad inaequalitatem conftituendam, quam diximus, nil mirum eft fi fecundae diftentionis principium expectetur. Hac tamen de caufa non eft collectiva nominanda. Scilicet priusquam altera diftentio finiatur, ftatim in ejus principio cognoscitur, ut nec altero nobis pulfu fit, nec tertio, nec reliquis opus. Atque fic in primo folo fit. Itaque diximus, fi univerfae fimul partes coeperint in prima et fecunda diftentione moveri, nec habeant par tempus motus, generari duorum generum inaequalitatem; unam crebritatis et raritatis, imparitate intervallorum, alteram rhythmi, proportione temporis ictus ad intervalli. Tempus enim partis quae omnium partium prima moveri definit, minimum erit; maximum poftremae; media proportione, in quantum aut a prima aut a poftrema abfint. Contra ac tempora motuum, quietum tempora longiora funt in illis, quae primae a motu defiftunt,

ἐλάττους δὲ περὶ τὰ ὕστατα. ὥστε ὁ μὲν κατὰ τὸ πρῶτον παυσάμενον μόριον χρόνος τῆς κινήσεως ἐλάχιστος ὢν μεγίστῳ παραβάλλεται χρόνῳ τῷ τῆς κατὰ τὸ αὐτὸ μόριον ἡσυχίας, ὁ δὲ κατὰ τὸ ὕστατον μέγιστος ὢν ἁπάντων τῶν τῆς κινήσεως χρόνων ἐλαχίστῳ τῷ τῆς κατὰ τὸ αὐτὸ μόριον ἡσυχίας παραβάλλεται, καὶ οὕτως ὁ ῥυθμὸς ὑπαλλάττεται καθ᾿ ἑκάστην, εἰς ὅσον ὁ λόγος τοῦ τῆς κινήσεως χρόνου πρὸς τὸν τῆς ἡσυχίας οὐχ ὁ αὐτὸς ἐν ἅπασι μένει. ἂν μέντοι τῆς προτέρας διαστολῆς, ἅμα μὲν ἁπάντων τῶν μορίων τὴν ἀρχὴν τῆς κινήσεως ποιησαμένης, οὐκ ἰσόχρονον δὲ πᾶσιν ἡ δευτέρα διαστολὴ μὴ ἅμα πάντων ποιήσηται τὴν ἀρχὴν τῆς κινήσεως, ἀλλὰ προτέρου μὲν τοῦ προτέρου παυσαμένου, καὶ τοσούτῳ γε προτέρου, ὅσῳ πρότερον ἐπαύσατο, δευτέρου δὲ τοῦ δευτέρου, καὶ οὕτως ἑξῆς ἡ μὲν κατὰ τὸν ῥυθμὸν ἀνωμαλία γένοιτ᾿ ἂν οὕτως, ἡ δὲ κατὰ πυκνότητα καὶ ἀραιότητα οὐκ ἔτι. τὸ μὲν γὰρ τῆς ἡσυχίας ἴσον ἐν ἅπασι γενόμενον οὐδεμίαν ἐργάσεται κατὰ πυκνότητα καὶ ἀραιότητα διαφοράν· οὐ μὴν [37] ὅ γε λόγος ὁ αὐτὸς ἔσται τοῦ τῆς κινήσεως χρόνου πρὸς τὸν τῆς ἡσυχίας, εἴ γε ὁ μὲν τῆς κινήσεως οὐκ ἴσος ἦν ἅπασιν, ὁ δὲ τῆς

in illis, quae poftrema, breviora. Quare tempus motus, quem habuit pars, quae moveri prima defiit, minimum, cum maximo tempore quietis ejusdam partis comparatur et ultimae tempus, quod maximum erat omnium motus temporum, ad minimum confertur quietis ejusdem partis. Et ita rhythmus in fingulis commutatur, quatenus proportio temporis motus ad quietis tempus non eadem in omnibus manet. Quod vero, fi prior diftentio ex omnibus fimul partibus moveri coeperit, fed non pari in omnibus tempore, deinde altera diftentio motum auspicata fit non una omnium partium, fed prius quidem ejus, quae prior quieverat, atque eo prius quo prius quieviffet, fecundo motum ejus quae fecunda, atque ita deinceps, inaequalitas quidem ita rhythmi fiet, crebritatis et raritatis non item. Nam quies, quum omnibus aequa fit, differentiam in crebritate et raritate efficit nullam; non refpondebit tamen motus tempus tempori quietis, fiquidem motus non erat omnibus par tempus, quietis erat;

ἡσυχίας ἴσος, ὥστ᾽ οὐδὲ ὁ ῥυθμὸς ἅπασιν ὁ αὐτός. εἰ δ᾽ ἅμα πάντα τὰ μόρια τῆς ἀρτηρίας ἀρξάμενα κινεῖσθαι, μήθ᾽ ἅμα πάλιν ἄρξαιτο τῆς δευτέρας διαστολῆς μήθ᾽ ἅμα παύσαιτο τῆς προτέρας, ἀλλὰ μηδὲ τὸ τῆς ἡσυχίας ἴσον ἐν ἅπασι γένοιτο, διττὴν ἐν τῷ τοιούτῳ διαφορὰν ἀνάγκη συστῆναι, τῆς μὲν κατὰ πυκνότητα καὶ ἀραιότητα καθ᾽ ἑτέραν τῶν διαφορῶν ἀνωμαλίας συνισταμένης, οὐ μὴν τῆς γε κατὰ τὸν ῥυθμὸν ἐξ ἀνάγκης. ἐνδέχεται γὰρ ἐν τῷ αὐτῷ λόγῳ πάντων τῶν μορίων τοὺς τῆς κινήσεως χρόνους πρὸς τοὺς τῶν ἡσυχιῶν γενέσθαι. καὶ εἰ τοῦτο συμβαίνει, καὶ ὁ ῥυθμὸς ὁμαλὸς ἂν εἴη, μὴ σωζομένου δὲ τοῦ αὐτοῦ κατὰ πάντα τὰ μόρια λόγου, καὶ γὰρ καὶ τοῦτο ἐνδέχεται γενέσθαι, διαφθαρείη ἂν οὕτω καὶ ὁ ῥυθμός. εἰ δ᾽ αὖ πάλιν ἅμα πάντων ἀρξαμένων τῶν μορίων κινεῖσθαι, καὶ κινηθέντων ἐν ἴσῳ χρόνῳ τῆς δευτέρας διαστολῆς, μὴ ἅμα πάντα τὰ μόρια τὴν αὐτὴν ἀρχὴν ποιήσαιτο, ἀλλὰ τὰ μὲν πρωϊαίτερον αὐτῶν ἄρξαιτο, τὰ δὲ ὀψιαίτερον, οὔτε ὁ ῥυθμὸς ἔτι ὁμαλὸς οὔτε ἡ κατὰ πυκνότητα καὶ ἀραιότητα διαφορά. ταύτην μὲν γὰρ ἀνώμαλον ποιεῖ τῶν ἡσυχιῶν τὸ ἄνισον, τὸν δὲ ῥυθμὸν

nec ergo idem omnibus rhythmus. Quod fi quum moveri arteriae fimul omnes partes coeperunt, non item fimul omnes alteram diftentionem ordiantur, neque priorem terminaverint fimul, fed ne quies quidem in omnibus aequa fit, binas in eo neceffe eft differentias effe. Nam crebritatis et raritatis in alterutra differentia inaequalitas fit, at non rhythmi tamen neceffario; poffunt enim omnium partium tempora motus quietum temporibus refpondere; et fi hoc, erit item rhythmus aequalis. Sin autem eadem in omnibus partibus proportio non conftet, fane enim poteft etiam hoc fieri, fimul perdetur rhythmus. Jam vero ubi una omnes partes moveri coeperint, motaeque aequo fint tempore, fi alterae distentionis non idem omnes initium partes ordiantur, fed quaedam maturius, quaedam inceperint ferius, non rhythmus jam aequalis erit, neque crebritatis raritatisque differentia, hanc enim impares quietes inaequalem efficiunt, rhythmum

ἡ τῶν λόγων ἑτερότης, ἁπάντων μὲν τῶν μορίων ἐν ἴσῳ χρόνῳ κινηθέντων, οὐ μὴν καὶ ἡσυχασάντων ἐν ἴσῳ χρόνῳ. τοσαῦται μὲν ἀνωμαλίας αἱ διαφοραὶ, τῆς καθ' ἕνα σφυγμὸν ἀμφοῖν τοῖν γενοῖν, ὅταν ἅμα πάντα τὰ μόρια τῆς ἀρτηρίας ἄρξηται διαστέλλεσθαι· ὅταν δὲ τὸ μὲν πρότερον αὐτῶν, τὸ δὲ δεύτερον ἄρξηται τοῦ διαστέλλεσθαι, παυσαμένων μὲν ἁπάντων ἅμα, καὶ αὖθις τῆς δευτέρας διαστολῆς ἀρξαμένων ἅμα, κατὰ θάτερον γένος τὸ τοῦ ῥυθμοῦ μόνον, τὴν ἀνωμαλίαν ἀνάγκη γίνεσθαι. τὰ μὲν γὰρ διαλείμματα τῶν κινήσεων ἴσα πᾶσιν ἔσται τοῖς μορίοις, ὥστε οὐδεμία κατά γε τοῦτο τὸ γένος ἀνωμαλία συστήσεται. ἴσῳ δὲ ὄντι τῷ χρόνῳ τῷ τῆς ἡσυχίας ἐν ἅπασι τοῖς μορίοις ἄνισος παραβαλλόμενος, ὁ τῆς καθ' ἕκαστον αὐτῶν κινήσεως ἐν διαφέρουσι λόγοις τὸν ἑκάστου μορίου ῥυθμὸν ἀποτελέσει. εἰ δὲ κατὰ τὸν αὐτὸν τρόπον ἄρξαιτο τῆς δευτέρας διαστολῆς ἡ ἀρτηρία, καθ' ὃν καὶ τῆς προτέρας, ὥστε καθ' ἑκατέραν τῶν διαστολῶν ταὐτὸ μόριον ἄρχεσθαι πρωϊαίτερον ἑτέρου τῷ ἴσῳ, καὶ τοῦτ' ἐν ἅπασι τοῖς μορίοις φυλάττοιτο, παυσαμένων αὐτῶν ἅμα τῆς προτέρας διαστολῆς,

vero proportionum commutatio, quum aequo tempore omnes partes motae fint, non aequo tamen quieverint tempore. Tot funt inaequalitatis utriusque uno in pulfu generis differentiae, quum omnes una partes arteriae diftendi inceperint. At ubi haec primo, illa fecundo diftendi coeperit, fi omnes fimul quieverint ac deinde diftentionem una alteram auspicatae fint, inaequalitas in altero tantum genere neceffe eft fit rhythmi, quandoquidem aequa omnibus partibus erunt intervalla motuum: fic inaequalitas in hoc quidem genere nulla erit. Et fi cum tempore quietis, quod fit par in omnibus partibus, impar tempus conferatur cujusque partis motus, diverfis proportionibus cujuslibet rhythmum partis conficiet. Quod fi alteram diftentionem arteria juxta orfa fit atque priorem, ut in utraque diftentione eadem pars prior altera pari intervallo incipiat, idque in omnibus partibus fit conftans ac illae una defierint priorem

ἀνάγκη καθ᾽ ἑκάτερον τῶν γενῶν γενέσθαι τὴν ἀνωμαλίαν. ὁ μὲν γὰρ πᾶς χρόνος ὁ συγκείμενος ἔκ τε τῆς κινήσεως καὶ τοῦ διαλείμματος ἴσος ἔσται πᾶσι τοῖς μορίοις τῆς ἀρτηρίας. ἄνισοι δὲ οἱ τῶν κινήσεων λόγοι πρὸς τοὺς τῶν ἡσυχιῶν, τῷ τὸν ὅλον χρόνον μὴ εἰς ἴσα τέμνεσθαι. τῶν μὲν γὰρ πρότερον ἀρξαμένων μορίων κινεῖσθαι ὁ μὲν τῆς κινήσεως χρόνος μείζων ἔσται τοῦ τῶν ὕστερον ἀρξαμένων, ὁ δὲ τοῦ διαλείμματος ἐλάττων. τῶν δ᾽ ὕστερον ἀρξαμένων ἔμπαλιν ὁ μὲν τῆς κινήσεως χρόνος ἐλάττων, ὁ δὲ τῆς ἡσυχίας μείζων. ὥστε ἀνάγκη καὶ τὸν ῥυθμὸν ἄνισον εἶναι καθ᾽ ἕκαστον τῶν μορίων, καὶ τὴν κατὰ πυκνότητα δὲ καὶ ἀραιότητα συνίστασθαι περὶ αὐτοὺς ἀνωμαλίαν, ἀναγκαῖον, εἰς ὅσον οἱ τῶν διαλειμμάτων χρόνοι διαφέρουσι. εἰ δ᾽ ὁμοίως τῆς δευτέρας διαστολῆς τὴν ἀρχὴν τῆς τῶν μορίων κινήσεως ποιησαμένης, ἥνπερ ἡ προτέρα ἐπεποίητο, τουτέστιν ἵνα καθ᾽ ἑκατέραν τὸ αὐτὸ μόριον ἄρχηται, τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον τῆς κινήσεως, ἡ τελευτὴ τῆς προτέρας διαστολῆς, μὴ ἴση πᾶσι γένοιτο, δύο ἔσονται διαφοραί. δύναται γὰρ καὶ πολλῷ πρότερον παύσασθαι

distentionem, non poteſt non eſſe in utroque genere inaequalitas. Nam omne tempus, quod eſt ex motu et intervallo conflatum, omnibus eſt aequabile arteriae partibus. Sed motuum proportiones, quod totum tempus in aequas partes non distribuatur, non reſpondent quietum proportionibus. Etenim partium quae moveri primae coeperint, tempus motus excedet earum tempus, quae tardiores inceperint, intervalli vero minus erit; contra partes quae coeperint poſterius, tempus habent motus minus, quietis majus. Quare ſimul inaequalis rhythmus neceſſario erit ſingularum partium, et quatenus tempora intervallorum differunt, etiam crebritatis atque raritatis conjungi cum iis inaequalitatem eſt neceſſe. Si vero altera diſtentio perinde ac prior fecerat, initium motus partium ſit orſa, id eſt ſi eadem utrobique pars incipiat moveri, haec primo loco, illa poſteriore, non ſit autem finis prioris diſtentionis in omnibus aequus, duae erunt differentiae; poteſt enim et longe quidem quiescere

τὸ πρότερον τῆς κινήσεως ἀρξάμενον μόριον, δύναται δὲ καὶ ὕστερον. εἰ μὲν γὰρ ἐν ἴσῳ παύσαιτο τὸ πρότερον, ὅσῳ πρότερον ἤρξατο, κατ᾽ ἄμφω τὰ γένη, γένοιτ᾽ ἂν οὕτως ὁμαλὸς [38] σφυγμός. εἰ δὲ πολλῷ παύσαιτο πρότερον, ἤπερ ἤρξατο, τὴν ἀνωμαλίαν οὕτω γεννήσει τῶν δύο γενῶν. παυσάμενον δ᾽ ὕστερον τὸ πρότερον ἀρξάμενον πάντως ἐργάσεται τῶν δύο γενῶν τὴν ἀνωμαλίαν, ἄν τε πολλῷ τύχῃ παυσάμενον ὕστερον ἄν τε ὀλίγῳ. εἰ δὲ μήτε τῆς προτέρας διαστολῆς ἡ ἀρχὴ πᾶσιν ἅμα τοῖς μορίοις γένοιτο μήτε τῆς δευτέρας, ἐνδέχεται ποτὲ μὲν τὸν ῥυθμὸν ὁμαλὸν γίνεσθαι, ἐνδέχεται δὲ καὶ τὸ τῆς πυκνότητος καὶ ἀραιότητος γένος, εἰ μὲν οὕτω μερισθεῖεν οἱ τῶν κινήσεων χρόνοι πρὸς τοὺς τῶν ἡσυχιῶν. ὥστε τὸν αὐτὸν ἐν ἅπασιν εἶναι λόγον, ὁμαλοῦ τοῦ ῥυθμοῦ γιγνομένου. εἰ δ᾽ οἱ τῶν ἡσυχιῶν χρόνοι μόνοι ἴσοι γενηθεῖεν, ὁμαλότης ἐν θατέρῳ γένει. ταῦτα μὲν οὖν σπάνια, τὰ δὲ τῶν ἀνωμαλιῶν ἱκανῶς πολλά. καὶ γὰρ ἅμα πάντα δύναται τῆς κινήσεως παύσασθαι τὰ μόρια καὶ οὐχ ἅμα, κἂν τῷ μὴ ἅμα παύσασθαι τὰ μὲν πρότερον, τὰ δ᾽ ὕστερον, καὶ ἤτοι πολλῷ πρότερον, ἢ πολλῷ ὕστερον. οἷαι δὲ καὶ

prius, quae prior eft pars motum auspicata, poteft etiam pofterius. Nam fi tanto quieverit prius, quanto coepit, fiet ita aequalis in utroque genere pulfus. Sin multo prius, atque eft auspicata, quieverit, duorum generum efficiet inaequalem pulfum. At fi quae prior coepit, defiftat pofterior, duorum generum omnino inaequalitatem creabit, five multo tardius, five paulo quieverit. At vero, fi neque prioris distentionis initium ex omnibus fimul partibus fiat, neque fecundae eft; quum rhythmus poffit aequalis effe, poffit et crebritatis et raritatis genus, et fi quidem ita motuum tempora cum quietum temporibus fint partita, ut eadem fit proportio in omnibus, fit aequalis rhythmus; fi vero tempora fola paria fuerint quietum, aequalitas erit in altero genere. Sed haec infrequentia funt, inaequalitates vero funt permultae; nam omnes poffunt fimul partes a motu ceffare et non fimul, ac quum non ceffant fimul, hae prius, illae pofterius, jam etiam vel longe prius, vel longe tardius. At quae et

Ed. Chart. VIII. [38.] Ed. Baf. III. (19.)

ὅσαι γένοιντ' ἂν αἱ ἀνωμαλίαι, κατὰ ταῦτα τοῖς προειρημένοις ἂν εὑρίσκοις. ὥστε οὐδὲν δεῖ μηκύνειν ἔτι. μόνον δὲ ὑπομνήσαντας, ὡς τὸ προτεθὲν ἀποδέδεικται, τὸ γίνεσθαί τινας καὶ καθ' ἕνα σφυγμὸν ἀνωμαλίας, ἔν τε τῷ κατὰ πυκνότητα καὶ ἀραιότητα γένει, κἂν τῷ κατὰ τὸν ῥυθμὸν, ἐνταῦθά που καταπαῦσαι καιρὸς ἤδη τὸν πρῶτον λόγον. ἃ γὰρ ἐπὶ μιᾶς αἱρέσεως, τῆς μεριζούσης εἰς πληγὴν καὶ διάλειμμα τὸν σφυγμὸν, ὡς ἐπὶ παραδείγματος εἰρήκαμεν, οὐδὲν χαλεπὸν καὶ ἐπὶ τὰς ἄλλας μεταφέρειν, ὁμοίως ἡμῶν καὶ κατ' ἐκείνας ἁπάσας ἀποδεῖξαι δυναμένων ἐν τοῖς δύο γένεσι τούτοις, ὑπὲρ ὧν δὴ πέπαυμαι λέγων, τὰς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας συνισταμένας.

quot hac ratione differentiae fient, ex fuperioribus invenias, quo me oportet breviorem effe. Itaque fi commonuerim, quod inftitutum erat, effe demonftratum, habere fuas etiam unum pulfum inaequalitates; tum in genere crebritatis et raritatis, tum in genere rhythmi, finem hic jam primi libri faciam. Nam quae in una nos fecta, quae in ictum et intervallum pulfum partitur, exempli gratia retulimus, nullo negotio ad alias traducamus; poffumus enim perinde per omnes etiam illas in generibus his duobus, de quibus modo dixi, inaequalitates pulfus unius demonftrare.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Β.

Ed. Chart. VIII. [39.] Ed. Baf. III. (20.)

Κεφ. α'. Οὐ τὴν αὐτὴν χρείαν ἐπαγγέλλεται τόδε τὸ γράμμα τῷ πρόσθεν, ἀλλ' ὃν ἔχει λόγον ἐλλέβορος, ἢ σκαμμωνία πρὸς ἄρτον, ἢ κρέας, τοῦτον καὶ τὰ νῦν λεχθησόμενα πρὸς τὰ εἰρημένα. τρέφειν μὲν γὰρ ἐκεῖνα τὰς ὑγιαινούσας ἐδύνατο ψυχὰς, ἐκκαθαίρειν δὲ ταῦτα τὰς μοχθηρὰς δόξας, ὥσπερ τινὰ νοσήματα. συγκατασκευάζεσθαι δ' εἰκὸς τοῖς ἐλέγχοις τῶν διημαρτημένων πίστιν βεβαίαν τῶν ὀρθῶς εἰρημένων. ὥστ' εἴ τις τῷ παρόντι λόγῳ καὶ ταύτην προσθείη τὴν χρείαν, εὑρήσει τινὰ καὶ ὠφέλειαν ἑπομένην.

GALENI DE PVLSVVM DIFFERENTIIS LIBER II.

Cap. I. Non eundem ufum hic liber pollicetur ac primus, fed quam veratrum rationem habet, vel fcammonium, cum pane et carnibus, eandem quae nunc dicemus cum fuperioribus habent. Nutrire enim mentes illa fanas, haec referare pravas fententias valent, ut morbos quosdam. Aequum eft autem eorum quae perperam dicta funt objurgationibus fidem recte dictis firmam comparari. Quare hanc utilitatem fi propofitae difputationi addas, inveneris compendii nonnihil adjunctum.

Κεφ. β΄. Ἔστι δὴ πρῶτός μοι λόγος πρὸς τοὺς σοφιστὰς ὁ περὶ τῆς χρήσεως τῶν ὀνομάτων. ἡμεῖς γὰρ ἑπόμεθα τῇ τῶν Ἑλλήνων συνηθείᾳ· καὶ γὰρ ἐτράφημεν ἐν αὐτῇ, πειρώμεθά τε διὰ τῶν σαφεστάτων ὀνομάτων ἑρμηνεύειν ἀεὶ τὸ νοούμενον, οὐ μὴν ἐγκαλοῦμέν γε τοῖς ὀλιγωροῦσιν αὐτῆς, ἀλλ᾽ εἰ καὶ καθ᾽ ἑκάστην λέξιν ἐθέλοι τις βαρβαριστὶ φθέγγεσθαι, μὴ λυμαινόμενος τῷ σαφεῖ τῆς ἑρμηνείας, οὐδὲν ἡμῖν μέλει. τούτου γὰρ ἕνεκα χρώμεθα τῇ πρὸς ἀλλήλους διαλέκτῳ, τοῦ νοῆσαι τὰ δηλούμενα, καὶ τοῦτον ἡγούμεθα κάλλιστα χρῆσθαι λόγῳ, τὸν ἐναργέστατα δηλοῦν ἃ βούλεται δυνάμενον. ἡ μὲν ἡμετέρα προαίρεσις τοιαύτη, μέτριος, ὡς νομίζω, καὶ φιλάνθρωπος, οὐ μὴν ἐπιτρέπουσιν ἡμῖν οἱ σοφισταὶ, ἀλλ᾽ ὥσπερ ἀλλήλοις ἐρίζουσι περὶ τῶν ὀνομάτων, ἀμελοῦντες αὐτῶν τῶν πραγμάτων, οὕτω καὶ ἡμῖν ἐπη[40]ρεάζουσιν ὑβρίζοντες ἀεὶ, καὶ καταγελῶντες, εἰ μὴ χρησαίμεθα τοῖς ἐκείνων ὀνόμασιν. εἰ μὲν οὖν ἅπαντες συνθέμενοι μίαν διάλεκτον ὥσπερ νόμισμα καινὸν ὑπὸ ψηφίσματος εἰσηγήσαντο, τάχα ἂν ἐπειράθημεν ἐπιλαθέσθαι

Cap. II. Eſt autem primum mihi cum ſophiſtis ſermo de nominibus uſurpandis. Graecorum namque nos inſtitutum, etenim apud eos ſumus educati, tenemus, conamurque ut clariſſimis ſemper nominibus ſenſum interpretemur. Neque nos tamen ſcilicet in eos querimur, qui hoc floccipendunt; imo vero, ſi vel ſingula quis velit verba uſurpare barbare, modo interpretationis lucem non offendat, nihil laboramus. Nam linguae qua inter nos commentamur, hoc nomine utimur proprietate, quo mentem alterius aſſequamur, atque ut clariſſime quisque mentem ſuam poteſt ſignificare, ita ſermone cenſemus eum uti optime. Noſtrum id eſt inſtitutum, modeſtum ut arbitror et humanum; verum interpellant ſophiſtae, qui ſicut mutuo de nominibus contendunt, res ipſas negligentes, et iterum nos ſemper contumeliis inſequuntur, niſi ipſorum vocabulis utamur. Qui ſi univerſi unam linguam conſtituant, eamque ut novam monetam rogatione ferant, conemur for-

μὲν τῆς τῶν Ἑλλήνων, ἐκμαθεῖν δὲ τὴν πρὸς ἐκείνων νομοθετηθεῖσαν. ἀλλ᾽ οὐδ᾽ εἰ τῶν βαρβάρων τινὰ μιᾷ διαλέκτῳ συνέθεντο χρήσασθαι, μαθεῖν ἂν οὐδὲ ταύτην ὠκνήσαμεν, ὑπὲρ τοῦ πάντ᾽ αὐτοῖς χαρίσασθαι. ἐπεὶ δὲ οὐχ Ἑλληνικὴν διάλεκτον εἰλικρινῶς οὐδεμίαν, οὐδὲ βάρβαρον ἁπλῶς, ἀλλά τινα μικτὴν ἐξ ἁπασῶν, οἷον καρύκην, ἤ τινα ποικιλωτέραν τε καὶ ἀλλοκωτέραν καρύκης συντιθέασιν, ὡς ἂν ἕκαστος αὐτῶν βούληται, τὰ μὲν ἐκ Φοινίκης τε καὶ Συρίας, τὰ δὲ ἐξ Αἰγύπτου τε καὶ Θρᾴκης, ἢ ποθὲν ἄλλοθεν συμφορήσας, εἶτα τοῖς τῶν Ἑλλήνων ὀνόμασι μιγνὺς, οὐδὲ τούτοις γνησίοις, ἀλλὰ πολυειδῶς παρεφθαρμένοις, ἐγὼ μὲν οὐκ ἔχω μὰ τοὺς θεοὺς, ὅ τι καὶ γένωμαι, μήτ᾽ ἐκμανθάνειν τὰς τοιαύτας διαλέκτους δυνάμενος μήτ᾽ ἐκείνους πείθων μίαν ἐκμανθάνειν τὴν τῶν Ἑλλήνων, μήτ᾽ ἐπειδὴ τούτων οὐδ᾽ ἑτέρου τυγχάνω, τοῦ γοῦν τρίτου τε καὶ λοιποῦ τυχεῖν παρ᾽ αὐτῶν δυνάμενος, τοῦ συγχωρεῖν ἡμῖν, ἐν ᾗ τεθράμμεθα φωνῇ, ταύτῃ χρήσασθαι. τὸ μὲν δὴ περὶ τὴν τῶν ὀνομάτων χρῆσιν κακὸν τηλικοῦτον.

taſſis Graecae linguae oblivifci, edifcere autem ab iſtis promulgatam. Quin ne ſi barbaram quidem linguam aliquam ſtatuerent uſurpandam, ut iis morem ubique geram, dubitem diſcere. Quando vero Graecam nullam integram linguam, nec etiam ſemel barbaram, ſed confuſam quandam ex omnibus, quaſi carycam, aut ſi qua caryca varia magis et abſurdior fieri poteſt, componunt, atque pro ſuo quisque voto partim ex Phoenicia et Syria, partim ex Aegypto et Thracia, aut aliunde contrahunt, inde Graecorum commiſcent nominibus, nec iis ſane integris et legitimis, caeterum varie corruptis, equidem quid agam me hercle non habeo, qui neque eas linguas poſſum ediſcere, neque adducere illos, ut unam addiſcant linguam Graecam: nec poſteaquam horum neutrum obtineo ab illis, tertium poſſum, et quod eſt unum reliquum, ut in qua ſumus lingua educati, hac ut utamur, permittant. Atque hoc quidem habet tantum malum uſus vocum.

Κεφ. γ'. Ἕτερον δὲ τὸ περὶ τοὺς ὁρισμοὺς μακρῷ τούτου χαλεπώτερον. ἔνιοι γὰρ αὐτῶν δοκοῦσί μοι μηδὲ λάχανον ἂν πρίασθαι χωρὶς ὅρου, καὶ ταῦτα μέντοι μηδ᾽ ὄναρ διαλεκτικῆς ἡμμένοι, καὶ προτείνουσιν, ὡς ἂν τοιοῦτοί τε κἀν τοιούτοις τεθραμμένοι, τῶν ὀνομάτων τι τούτων τῶν καλῶν τῶν ἐκ μέσης Συρίας, ἢ Κιλικίας, καὶ τοῦτο ὁρίζεσθαι κελεύουσιν, ὃ μηδ᾽ ἴσως ἤκουσε τὴν ἀρχὴν ἄνθρωπος Ἕλλην μηδὲ πώποτε. εἶθ᾽ ὁ μὲν, ὡς ἂν ξένον τε καὶ βάρβαρον ἀγνοεῖ, ὁ δ᾽ ἤδη καταγελᾷ τε καὶ σκώπτει, καὶ τωθάζει καὶ παῖδα καὶ μειράκιον ἀποκαλεῖ. πολλάκις δὲ τὸ μὲν προταθὲν ὄνομα τῶν Ἑλληνικῶν ἐστιν, οὐ μὴν καθ᾽ οὗ γε παρὰ τοῖς Ἕλλησιν ἐπίκειται πράγματος, οὕτως αὐτὸ νοοῦσιν οἱ δαιμόνιοι σοφισταὶ, κἄπειτα κελεύουσιν ὁρίσασθαι. καί τις ἴσως Ἕλλην ἀνὴρ ὁριεῖται κατὰ τὴν τῶν Ἑλλήνων συνήθειαν. οἱ δὲ οὐ μόνον οὐ πείσονται, ἀνεκτὸν γὰρ ἂν ἦν, ἀλλὰ καὶ καταγελάσουσι, καὶ διαπαίξουσιν. οὗτος μὲν ὁ δεύτερος τρόπος τῶν περὶ τοὺς ὁρισμοὺς κακῶν. ὁ δὲ δὴ τρίτος ὁ μηκέτι κατὰ τοὔνομα καὶ τὸ σημαινόμενον, ἀλλ᾽ ἤδη καὶ κατ᾽ αὐτὸ

Cap. III. Alterum de definitionibus longe hoc est difficilius. Sunt enim qui ne olus quidem citra definitionem mihi videantur empturi, idque quum nec per somnium dialecticam viderint; proferuntque, ut tales ſolent, et in talibus enutriti, ex nominibus aliquod illis praeclaris, ex media petitis Syria vel Cilicia, atque definiri hoc imperant; id quod non audivit fortaſſe quisquam homo Graecus. Hoc ſi, ut peregrinum et barbarum, ignorat, ille iam ridet, cavillatur, exagitatque, et puerum et adolescentem appellat. Saepe etiam nomen quod in medium adductum eſt, Graecum quidem eſt, at non ut eſt rei cuipiam aſſignatum, ita accipiunt miſeri sophiſtae, moxque definitionem poſcunt. Hic ſi quis forte Graecus pro conſuetudine Graecorum definiat, tantum abeſt ut aſſentiantur, (ſane enim tolerabile hoc ſit) quin irrideant etiam et illudant, et hoc eſt alterum circa definitiones malum. At vero tertii qui non in nomine iam et ſignificatione, ſed in ipſa errant re quum dialecticae

τὸ ὑποκείμενον σφαλλάμενος, ὅταν ἐπιχειρῇ τις ἀνὴρ διαλεκτικὸς τοὺς ὅρους αὐτῶν, τοὺς μὲν ἐλλιπεῖς, τοὺς δὲ περιττοὺς, τοὺς δὲ ἀδιορίστους, τοὺς δὲ ἀσαφεῖς, τοὺς δὲ μακροὺς, τοὺς δὲ ψευδεῖς, τοὺς δ᾽ ὅλως οὐδ᾽ ὅρους δεικνύειν, ἐξαίφνης, ὥσπερ ἐνθουσιῶντες, πικροὶ τῆς διαλεκτικῆς ἀναφαίνονται κατήγοροι, καὶ τότ᾽ αὐτοῖς μάτην καὶ πρὸς κακοῦ δοκεῖ τῷ τε βίῳ παντὶ καὶ ταῖς τέχναις ἐπιτηδεύεσθαι. ὥστ᾽ ἐγὼ μὲν πολλάκις, νὴ τοὺς θεοὺς, ἐξεπλάγην, εἰ παρακαλούντων μὲν ἡμῶν, μὴ πάντα δι᾽ ὅρων πειρᾶσθαι μήτε διδάσκειν μήτε μανθάνειν, οἱ δ᾽ οὐ πείθονται· συγχωρησάντων δ᾽ ὁρίσασθαι, κἄπειτα δεικνύντων ἡλίκον σφάλλονται, τηνικαῦτα τοὺς ὅρους ἀχρήστους εἶναί φασι, καὶ ταῦτ᾽ οὐ μιᾶς ἡμέρας, ἢ δυοῖν ἐν τῷ μέσῳ γινομένων, ἀλλ᾽ ἐν ἀκαρεῖ χρόνῳ, τὸ λεγόμενον δὴ τοῦτο μεταπεσόντος ὀστράκου, ποτὲ μὲν ὅρον ἐρωτῶσι προβάλλοντες ὄνομα, ποτὲ δὲ ἀχρήστους εἶναι τοὺς ὅρους φασί. τὸ δὲ τέταρτον αὐτοῖς ἐν τοῖς τοιούτοις πλημμέλημα, μηδ᾽ ὅτι πάντων οὐκ εἰσὶν ὅροι γινώ[41]σκειν· εἶθ᾽ ὡς ἂν τοῦτο ἀγνοοῦντες ἐπιχειρεῖν ὁρίζεσθαι πάντα, καὶ πρὸς ἀλλήλους διαφέρεσθαι, καὶ κεκραγέναι μάτην

quispiam peritus, horum definitiones aggreditur, aut non plenas, aut superfluas, aut non distinctas, aut obscuras, aut prolixas, aut falsas, aut omnino definitiones non esse, probare; subito tanquam insani, acerbe dialecticam accusant: ac tum frustra iis, et cum incommodo videtur illa in omnibus rebus artibusque coli. Quare frequenter hercle obstupui, si quum rogamus, ne cum definitionibus omnia conentur et docere et discere, illi quidem non adducuntur; ubi vero definitiones damus, et postea quantum falluntur, aperimus, ibi nihil conducere aiunt definitiones; neque id uno die, aut altero interposito, sed in puncto temporis, ut est in proverbio, mutata pelle, modo definitionem positi nominis quaerunt, modo esse definitiones inutiles confirmant. Quartum iam istorum in hisce rebus peccatum est, quod non omnium nesciant esse definitiones: simulque ut qui id ignorant, definire studeant cuncta, et inter se altercentur, vociferenturque ne quicquam de rebus quae defini-

ὑπὲρ πραγμάτων ὁρισθῆναι μὴ δυναμένων. τὸ δὲ δὴ πέμπτον καὶ θαυμασιώτατον αὐτῶν ἐν τοῖς ὁρισμοῖς ἁμάρτημα, πρὶν διελθεῖν τὴν ὁμωνυμίαν, ἕνα τῶν πολλαχῶς λεγομένων ὁρισμὸν ποιοῦνται, ὥσπερ οὐ τῶν πραγμάτων τοὺς ὅρους, ἀλλὰ τῶν ὀνομάτων ὄντας. ἐμὲ γοῦν ποτε τούτων τις τῶν ἐπιπολαζόντων σοφιστῶν ὀλίγου δεῖν ἀπέπνιξε. προβαλόντι γάρ ὧδί πως αὐτῷ, τί ἐστι πλήρης σφυγμὸς, ἐγὼ μὲν ὑπολαβὼν εἶπον τῶν πολλαχῶς λεγομένων εἶναι τοὔνομα, καὶ διὰ τοῦτο μηδ᾽ ἔχειν ὅρον ἕνα, πρὶν διελέσθαι τὴν ὁμωνυμίαν. ὁ δ᾽ ἔτι μου ταῦτα λέγοντος, οὐκ οἶδ᾽, ἔφη, τί ληρεῖς. ἀρκεῖ μοι μαθεῖν παρὰ σοῦ τί ἐστι πλήρης σφυγμὸς, τοὺς δ᾽ ἐκ τῆς διαλεκτικῆς λήρους τοὺς ἐπιτρίψαντας τὴν ἰατρικὴν ἀπόλιπε. καὶ μὴν, ἔφην, οὐδὲν πώποτε ἤκουσας ἐμοῦ σπουδάζοντος οὐδὲν τῶν κατὰ διαλεκτικὴν ὁρίζεσθαι. τοῦτο γάρ τοι, φησὶ, τὸ δεινότατόν ἐστιν, ὅτι μήθ᾽ ὁρίζεσθαι τολμᾶτε καὶ διαλεκτικῇ φλυαρίᾳ καταντλεῖν ἡμᾶς οὐκ ὀκνεῖτε. ἀλλ᾽ εἰπὲ, φθέγξαι, λάλησον, ἀπόκριναι τίς πλήρης ἐστὶ σφυγμός; οὐ δυνατὸν δ᾽, ἔφην ἐγὼ, πρὶν διαστείλασθαι

tionem non recipiunt. Quintus porro lapfus in definitionibus, quique praeter caeteros eft fingularis, anteaquam homonymiam explicaverint, unam faciunt eorum quae varia fignificant, definitionem; quafi vero non rerum fint, fed nominum definitiones. Me certe unus aliquando de his praeclaris fophiftis parum abfuit quin enecaret. Quum enim in hunc modum pofuiffet, Quid eft plenus pulfus? fubjeci variae fignificationis nomen effe; quare nec definitionem unam habere, nifi diftincta homonymia fit. Nondum haec dixeram, quum ille, nefcio, inquit, quid nugeris: fatis eft mihi, fi de te difco, quid plenus fit pulfus; dialecticas mihi iftas nugas quae medicinam contaminant, mitte. At nihil me, inquam, audivifti unquam laborare, ut in dialectica definirem. Enimvero id ipfum, inquit, abfurdiffimum eft, quod neque definire audetis, et dialecticis nobis nugis non defiftitis obftrepere; fed dic, loquere, refponde, quis plenus eft pulfus? Non poteft fieri, inquam, prius-

Ed. Chart. VIII. [41.] Ed. Baf. III. (21.)

τὴν ὁμωνυμίαν. (21) ὁ δ᾽ ἀνακραγὰν ὁμωνυμίας πάλιν ἔφασκε καὶ λήρους μακροὺς ἀφῖχθαι, τὰ τὴν ἰατρικὴν ἐπιτρίψαντα καὶ ἡμᾶς ἀπολέσαντα. οὐ μὲν οὖν ἡμᾶς, εἶπον, ἀλλ᾽ ὑμᾶς ἀπώλεσε τοὺς ὁρίζεσθαι πάντα βουλομένους. ἰδοὺ, φησὶ, καὶ λοιδορεῖν ἡμᾶς ἐπιχειρεῖ. τί μᾶλλον, ἔφην, ἢ ἐμὲ σύ; κἀν τούτῳ διανίστατο τυπτήσων, ἀλλὰ τοῦτον μὲν ἐπέσχον οἱ παρόντες καὶ σοβαρῶς ἐπεγγελάσας ἐκεχώριστο, τῶν δ᾽ ὑπολοίπων ἤδη τις πρεσβύτης, πώγωνά τε μέγιστον ἄχρι τῶν στέρνων καθεικὼς, καὶ τἄλλα πάνυ σκυθρωπὸς, τοῦτο γὰρ νῦν τὸ σεμνὸν νενόμισται, παύσασθε, ἔφη, καὶ μὴ θορυβεῖτε, ὦ παῖδες, ἀλλ᾽ ἐάσατε τὸν ἑταῖρον ἡμῖν ἀποσαφῆσαι, τί ποτε καὶ λέγει. κἀγὼ προσβλέψας αὐτῷ, τί γὰρ, ἔφην, πυνθάνου; τοῦτ᾽ αὐτὸ, εἶπεν, ὑπὲρ οὗ διελέγεσθε, τὸ περὶ τοῦ πλήρους σφυγμοῦ. βούλει τοίνυν, εἶπον, μὴ πάνυ σπεύδειν, ἵν᾽ ἕπωμαί σοι; βραδὺς γάρ εἰμι φύσει, καὶ τοῖς ἐπειγομένοις οὐ ῥᾳδίως ἀκολουθῶ. ὡς οὐ σπεύσοντος ἔφη, διαλέγου. ἆρ᾽ οὖν, ἔφην, βραχύ μοι συγχωρήσεις ἕνεκα παραδείγματος, ἐρέσθαι κοινῇ πάντας ὑμᾶς;

quam homonymiam explicaverim. Hic ille exclamabat, rurfusque homonymiam aiebat atque immenfas nugas adeffe, quae medicinam labefactaffant ac nos perdidiffent. Imo non nos, inquam, fed vos, qui definire cuncta vultis, perdiderunt. Ecce autem, inquit, etiam convitiis nos incelfit. Non magis, inquam, quam tu me. Ibi ille exiliit, manus allaturus; fed hic hominem qui aderant repreffenunt. Ille, ubi fuperbe infultaffet, difceffit. Senex autem quidam de illis qui adhuc remanfiffent, barba ad pectus promiffa, atque caetera mire tetricus (haec enim nunc gravitas habetur) tacete, inquit, pueri: absque tumultu agite; finite focium noftrum aperire nobis, quid dicat. Ego hominem intuitus, quid vero, inquam, rogas? Id, inquit, ipfum de quo difputatis, de pleno pulfu. Vis igitur, inquam, non properare nimium, ut te affequar? tardus enim natura fum, et feftinantes non confequor facile. Age, inquit, nihil properavero. Ergo concedes, inquam, mihi, ut exempli gratia nonnihil ex omnibus vobis in communi

Ed. Chart. VIII. [41.] Ed. Bas. III. (21.)

ἐξέσται γὰρ ἀποκρίνασθαι τῷ βουλομένῳ. συνεχώρει. κἀγὼ συγχωρήσαντος ἐπυνθανόμην τί ἐστι γλῶττα, καὶ μετ᾽ ὀλίγον τις ἀποκρίνεται, ὄργανον ζώου γευστικόν. ἕτερος δὲ διαλεκτικὸν εἶπε. καί τις τρίτος γευστικόν θ᾽ ἅμα καὶ διαλεκτικόν. κἀγὼ πρὸς αὐτοὺς ἀποβλέψας, καὶ ἡ τοῦ ὑποδήματος, ἔφην, καὶ ἡ τοῦ αὐλοῦ γλῶττα ὄργανόν ἐστι ζώου γευστικὸν ἢ διαλεκτικόν; ὡς δὲ διεσιώπησαν ἐπὶ τούτῳ, καὶ ὁ σκυθρωπὸς γέρων πολὺ δή τι σκυθρωπότερος ἐγεγόνει, πάλιν αὐτὸν παρεκάλουν ἕν ἔτι παραπλήσιον ἐρέσθαι. ὁ δὲ πάνυ μὲν σεμνῶς καὶ μόγις, ὑπέσχετο δ᾽ ὅμως. κἀγὼ φοβηθεὶς μὴ μεταγνῷ βραδύναντος, σπουδῇ προὔβαλον, τί ποτ᾽ ἐστὶ κύων; ἀποκρινομένου δέ τινος ἐκ τῶν παρόντων, ζῶον τετράπουν ὑλακτικὸν, καὶ ὁ θαλάττιος, ἔφην, κύων, ζῶόν ἐστι τετράπουν ὑλακτικὸν, καὶ τὸ κατ᾽ οὐρανὸν ἄστρον, καὶ τὸ κατὰ πρόσωπον πάθος; ἐπὶ τούτοις ὁ μὲν γέρων ὥσπερ ὄνος ἔσειεν ἤδη τὰ ὦτα. καὶ τοῖς ἄλλοις δὲ τοῖς παροῦσιν ἐδοκοῦμέν τι λέγειν καὶ πάντες ἠξίουν, ὧν περ ἕνεκα ταῦτα ἐπηρώτητο, περαίνειν, ἐπειδὴ καὶ καταρχὰς εὐθὺς ὑπεσχό-

interrogem? nam, qui volet, respondeat licebit. Permittit. Ego, ut hoc dedisset, quid est lingua? quaerebam. Mox respondet quidam, instrumentum animalis gustui dicatum. Alter sermoni dicatum dixit. Tertius quidam gustui et sermoni attributum. Quos ego respiciens, etiam calcei, inquam, et tibiae lingua, instrumentum est animantis gustui et sermoni dicatum? Quum ad hoc obticuissent, et senex ille austerus multo redderetur austerior, iterum orabam, ut unum adhuc simile liceret quaerere. Ille admodum quidem graviter hoc et aegre, tulit tamen. Ego vero ne cunctationem meam non ferret veritus, festinabundus proposui, Quid est canis? Quum hic ex corona quidam responderet, animal quadrupes latrabile, Itaque marinus, inquam, canis animal est quadrupes latrabile, et sidus item caeleste, denique morbus faciei? Ad haec senex ut asinus aures jam concutiebat. Caeteris qui aderant aliquid videbamur dicere, volebantque omnes, ut quo tandem haec spectarent, quae exquisiveram, expedirem; quan-

μην παραδείγματος ἕνεκα τῶν ἑξῆς ποιήσασθαι τὴν ἐρώτησιν. ὡς δὲ σιωπῶντας αὐτοὺς καὶ ποθοῦντας ἀκούειν ἔσχον, οἶμαι νοεῖν ὑμᾶς, ἔφην, ἤδη, πηλίκον ἐστὶν ἁμάρτημα, πρὶν διαστείλασθαι τὴν ὁμωνυμίαν, ἐπιχειρεῖν ὁρίζεσθαι· [42] οὐ γὰρ δὴ τῶν ὀνομάτων, ἀλλὰ τῶν πραγμάτων οἱ ὅροι εἰσίν. ὅταν οὖν ὑφ᾽ ἑνὸς ὀνόματος πολλὰ δηλοῦται πράγματα, τοσούτους ἀνάγκη τοὺς ὅρους ὑπάρχειν, ὅσα περ καὶ τὰ πράγματα. φέρε γὰρ ἐπὶ τῆς γλώττης ὄνομα μὲν ἕν, τρία δ᾽ ἐξ αὐτοῦ δηλοῦται, καὶ καθ᾽ ἕκαστον αὐτῶν ἴδιός ἐστιν ὁρισμός. αὖθις δ᾽ εἰ τύχοι, δύο μὲν ὀνόματα, καὶ πολλάκις γε τρία καθ᾽ ἑνὸς πράγματος, ὡς ἐπὶ τοῦ ξίφος τε καὶ ἄορ καὶ φάσγανον· ὁ δ᾽ ὅρος εἷς, οὐ τρεῖς, ὥσπερ τὰ ὀνόματα. ἴσον γὰρ ἀεὶ τὸ πλῆθος τῶν ὅρων τῷ πλήθει τῶν πραγμάτων ἐστίν. ὥστ᾽ οὐδ᾽ ὅταν ἓν πρᾶγμα πολλοῖς ὀνόμασιν ᾖ κεκλημένον, ὅρους ἀξιώσεις λέγεσθαι πολλοὺς, οὐθ᾽ ὅταν ἓν μὲν ὄνομα, πολλὰ δὲ τὰ δηλούμενα, τὸν ὅρον ἀξιώσεις ἕνα σοι ῥηθῆναι. μετρήσεις γὰρ ἀεὶ τὸν ἀριθμὸν τῶν ὅρων τῷ πλήθει τῶν πραγμάτων. εἰ μὲν δὴ τὸ, πλῆρες, ὄνομα, καθ᾽

doquidem a primo ſtatim quaeſtionem exempli gratia ſequentium receperam inſtituturum. Ubi ſilerent et mihi aures darent, Tandem vos, inquam, animaduertere puto, accedere ad definiendum antequam homonymiam diſtinxerimus, quanta sit offenſio: neque enim nominum ſunt, ſed rerum definitiones. Quando igitur ab uno nomine res indicantur multae, neceſſario erunt totidem definitiones, quot ſunt res. Age ſane, linguae nomen eſt unum, at tres ſunt ſignificationes, et ſua cuique eſt definitio. Contra ſit ut duo unius rei nomina, et vero non raro tria ſint: ut hic, enſis, gladius, mucro: definitio vero una, non perinde ac nomina, tres. Semper enim numero rerum reſpondet definitionum numerus. Quare ubi multis nominibus res vocatur una, cave poſtules multas definitiones; neque quum unum ſit nomen, ſed ſignificationes multae, unam definitionem flagites; pro numero enim rerum definitionum ſemper rationem ſubduces. Proinde ſi nomen, plenum, uni rei sub-

ἑνὸς ὑποκειμένου λέγεται πράγματος, ἐνδέχεται προτεθέντος αὐτοῦ λέγειν ἤδη τὸν ὅρον. εἰ δ᾽ οἱ περὶ τὸν Ἀρχιγένη μάλιστα δὴ πάντων οὐκ εἴασαν ἓν ἐκ τοῦ πλήρους ὄνομα δηλοῦσθαι, τάξαντές τε πολυειδῶς τὸν τόπον καὶ πλῆθος ἐπεισκυκλήσαντες σημαινομένων, οὐχ ἡμῖν ἐγκαλεῖν χρὴ μὴ τολμῶσιν ὁρίζεσθαι, τοῖς δ᾽ ἀπαρξαμένοις, εἴπερ ἄρα, τῆς τοιαύτης ταραχῆς. εὑρίσκω γὰρ τοὺς νεωτέρους ἰατροὺς, τοὺς μὲν, ὅταν ὁ τῆς ἀρτηρίας χιτὼν ὅπως ἔχει συστάσεως μηνῦσαι θελήσωσι, τῷ τε τοῦ πλήρους ὀνόματι καὶ τῷ τοῦ κενοῦ κατὰ τοῦτο χρωμένους, τοὺς δ᾽ ὅταν τὴν ἐν τῇ κοιλότητι περιεχομένην οὐσίαν. καὶ ταύτης οἱ μὲν τὸ ποσὸν διὰ τῶν ὀνομάτων δηλοῦσθαι νομίζουσιν, οἱ δὲ τὸ ποιὸν, οἱ δ᾽ ἀμφότερα. Ἀρχιγένει δ᾽, ὡς ἔοικεν, οὐκ ἀρκεῖ μόνον ταῦτα, προσεπεισάγει δ᾽ ἡμῖν καὶ τὸ τῆς τοῦ πνεύματος δυνάμεως σημαινόμενον. οὔκουν οὐδ᾽ ὅρον ἕνα δυνατὸν ποιήσασθαι πλήρους σφυγμοῦ, ἀλλὰ τοῦ μὲν τὸ ποσὸν, ἢ τὸ ποιὸν, ἢ τὰ ἀμφότερα τῆς ἐγκεχυμένης οὐσίας δηλοῦντος, ἑτέρους ὁρισμοὺς ποιητέον, τοῦ δὲ τὴν δύναμιν τοῦ πνεύματος ἑτέρους, τοῦ δὲ τὸ ποιὸν τοῦ χιτῶνος ἄλλους. ταῦτ᾽ εἰπὼν ἐγὼ

jectae fervit, tum ejus, fi proponatur, poteft definitio dari. Si vero Archigenes omnium fane minime, denotare nomen, plenum, unam rem admifit, nomenque varie pofuit atque multas in eo complexus eft fignificationes, non fumus nos infimulandi, qui a definiendo deterreamur, fed princeps fcilicet eius turbationis. Nam juniores medicos invenio aliquos ubi declarare, quis ftatus fit arteriae tunicae, ftatuerunt, nomine pleni ibi et vacui uti; alios, ubi materiam in capacitate contentam, cujus hi quantitatem fignificari per ifta nomina, illi qualitatem, alii utrumque ducunt. Verum Archigeni haec fcilicet fola non fatisfaciunt: adiungit enim fignificationem facultatis fpiritus. Unde relinquitur non unam pleni pulfus fieri definitionem poffe, fed ejus qui quantitatem, vel qualitatem, vel utramque infufae fubftantiae fignificat, aliae definitiones faciendae funt, aliae ejus qui vim fpiritus, illius qui qualitatem tunicae, aliae. His ego ex-

μὲν ἐσιώπων· ἤνυστο γάρ μοι τὸ προτεθέν· οἱ δ᾽ ἠξίουν διελθεῖν αὖθις τὸν λόγον, ἐπειδὴ ἅπαξ ὑπηρξάμην. ἐκείνοις μὲν οὖν δεομένοις ἐχαρισάμην. ἐν δὲ τῷ παρόντι πάντα μὲν οὐ προσήκει λέγειν ἐκεῖνα, μέλλοντά γε τὸ πλεῖστον αὐτῶν καὶ τὸ χρησιμώτατον ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως ἐρεῖν.

Κεφ. δ΄. Ὅσον δ᾽ εἰς τὰ προκείμενα χρηστὸν, εἰρήσεται, τ᾽ μήθ᾽ ὁρίζεσθαι πάντα ἀξιοῦν μήτε πολλὰ σημαινόμενα προειπόντα τὸν ὁρισμὸν ἕνα ποιεῖν, ὅπερ ἐπὶ τοῦ πλήρους σφυγμοῦ διημάρτηται τῷ Ἀρχιγένει. διὰ τοῦτο οὐδ᾽ αὐτὸς ὁ ὅρος αὐτοῦ σαφής ἐστι, οὐδ᾽ ἔχει συμβαλεῖν, εἴτε περὶ τοῦ σώματος τῆς ἀρτηρίας, εἴτε περὶ τῆς ἐν τῇ κοιλότητι περιεχομένης οὐσίας διαλέγεται. κινδυνεύει γὰρ ὀνόματος ὁρισμὸν, οὐ πράγματος ποιεῖσθαι. πάντως γὰρ ἂν εἴπερ ἐτεθέατο τὰ πράγματα, πλείονας ἐποίησεν ὅρους, ἀλλ᾽ ὅτι γε τοὔνομα μόνον σκοπεῖ, μαθεῖν ἔνεστι κἀξ ὧν εὐθὺς κατ᾽ ἀρχὰς τοῦ περὶ τῶν σφυγμῶν συγγράμματος ὀκτὼ λέγει ποιότητας παρέπεσθαι τοῖς σφυγμοῖς, μέγεθος, σφοδρότητα, τάχος,

positis tacui, quia quod institueram, confectum mihi erat; illi commentationem instabant, quando semel institueram, ut persequerer. Illis igitur morem gessi rogantibus. Quae hoc loco non debeo omnia referre, quod eorum maximam partem et utilissimam sum expositurus in libris de dignoscendis pulsibus.

Cap. IV. Quod ad institutum refert, non praeteribo. Nolo definiri omnia: neque quum multas protuleris significationes, facias unam definitionem; in quod Archigenes de pleno pulsu incurrit. Quare ipsa est ejus obscura definitio, neque an de corpore arteriae dicat, an de substantia, quae in ejus cavitate continetur, possum coniicere: videtur enim nomen definivisse, non rem; omnino enim, si rerum duxisset rationem, plures faceret definitiones. Sed quod solum nomen consideret, vel ex illis perspicias, quae statim initio libri de pulsibus sic dicit: *Octo qualitates pulsus comitari magnitudinem, vehementiam, celeritatem, crebritatem, plenitudinem, ordinem, vel perturbationem ordi-*

πυκνότητα, πληρότητα, τάξιν, ἢ ἀταξίαν, ὁμαλότητα, ἢ ἀνωμαλίαν, ῥυθμόν. ἂν γὰρ τὸ τῆς πληρότητος ὄνομα κατὰ πλειόνων λέγηται ποιοτήτων, οὐκ οἶδα πῶς ἔτι μένουσιν ὀκτώ. φέρε γ᾽ οὖν, εἴ τις ἐπὶ ταῖς ἑπτὰ ταῖς ἄλλαις προστι-[43]θεὶς τήν τε κατὰ τὸ σῶμα τῆς ἀρτηρίας καὶ τὴν κατὰ τὸ καλούμενον ἔγχυμα, καὶ τὴν κατ᾽ αὐτὸ τὸ πνεῦμα, δέκα λέγει τὰς πάσας εἶναι ποιότητας τῶν σφυγμῶν, τί πρὸς τοῦτον ἐροῦμεν; ἵνα νὴ Δία, εἴ τις εἰς δύο τέμνων τὴν ἐγκεχυμένην οὐσίαν, ἑτέραν μὲν ἐπὶ τῷ ποσῷ ταύτης, ἑτέραν δ᾽ ἐπὶ τῷ ποιῷ τιθῆται τὴν ποιότητα. οὕτως ἐπὶ τοῖς ὀνόμασιν ὁ Ἀρχιγένης ἔοικε καταμένειν, μὴ διαρθρῶν τὰ σημαινόμενα. καὶ δίκαιον ἤδη τὸ τῆς παροιμίας εἰπεῖν, ἰδιωτικὸν μὲν, ἱκανῶς δ᾽ ἐοικὸς τοῖς παροῦσιν, ὅταν γὰρ, φησὶ, τὸ ὕδωρ πνίγῃ, τί ἐπιῤῥοφήσομεν; εἰ γὰρ Ἀρχιγένης ἁμαρτάνει τοιαῦτα, πρὸς τίνα πορευθῶμεν; τίς ἡμῖν ἐπανορθώσεται τὰ τούτων σφάλματα; καὶ γὰρ οὐδὲ ταῦτα μόνον, ἀλλ᾽ εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἄλλα πλείω φαίνεται σφαλλόμενος. αὐτίκα γέ τοι κατὰ τὰς ὀκτὼ τὰς πρώτας ποιότητας, οὐδαμοῦ μνημονεύσας σκληρότητος καὶ μαλακότητος, ἑξῆς ὑπὲρ

nis, aequalitatem, vel inaequalitatem, rhythmum. Namque plenitudinis fi nomen de compluribus rebus dicitur, miror, qui octo etiam maneant. Age enim, fi feptem illis aliis qualitatem corporis arteriae addas, et infufionis quam vocant, et etiam ipfius fpiritus, ac decem jam effe omnes qualitates pulfuum dicas, quid tibi refpondebimus? Ut hercle, fi in duo membra partiens infufam fubftantiam, unam quantitati hujus, alteram affignes qualitati qualitatem. Adeo in nominibus Archigenes non distinguendis fignificationibus videtur permanere. Ac par eft iam proverbium proferre, plebejum illud quidem, non a propofito tamen alienum. Quum aqua, inquiunt, suffocet, quid forbebimus? Nam fi ita Archigenes labitur, quem adibimus? quis hujus nobis errata corriget? Etenim non in his tantum videtur, fed, fi verum fateri oporteat, in aliis offendere paffim: ut nulla duritiei et mollitiei facta mentione inter primas octo

αὐτῶν διαλέγεται. (22) πρῶτον μὲν γὰρ περὶ μεγέθους, δεύτερον δὲ περὶ σφοδρότητος, καὶ τρίτον περὶ πληρότητος, τέταρτον δὲ περὶ σκληρότητος διείλεκται. εἰ μὲν οὖν σύνθετόν τινα ἐξ ἁπλῶν εἰργάζετο ποιοτήτων αὐτὴν, τάχ᾽ ἄν τις ἀπελογήσατο ὑπὲρ αὐτοῦ, δεόντως μὲν ἐν ἀρχῇ παραλελεῖφθαι φάσκων, ἡνίκα τῶν ἁπλῶν ἐμνημόνευσε μόνων, εὐλόγως δ᾽ ἑξῆς ἐν τοῖς συνθέτοις γεγράφθαι. νυνὶ δὲ περὶ τετάρτης αὐτῆς τὸν λόγον ἐποιήσατο, μέσην ὡς ἔνι μάλιστα τάξας ἁπασῶν τῶν ἁπλῶν ποιοτήτων. ἐξηγούμενος δὲ τί ποτ᾽ ἐστὶ, τὴν κατὰ σύστασιν, ἢ διάλυσιν τῆς ἀρτηρίας ἀντίληψιν εἶπεν, ἐξ ὧν δηλονότι τῶν ἁπλῶν αὐτὴν εἶναι βούλεται. ταῦτα μὲν οὖν εὐθὺς κατ᾽ ἀρχὰς ἡμάρτηται τῷ Ἀρχιγένει περὶ τὴν ἐξαρίθμησιν τῶν πρώτων ποιοτήτων, ἃς οὐδ᾽ ἀποδεῖξαι, πῶς τοσαῦται τὸν ἀριθμόν εἰσιν, ἠξίωσεν, ἀλλ᾽ ἁπλῶς ὡδί πως ἔῤῥιψε τὸν λόγον. ὀκτὼ λέγονται ποιότητες παρέπεσθαι τοῖς σφυγμοῖς, αἱ διηχημέναι παρά γ᾽ οὖν τοῖς καθαρείοις. ἐγὼ δὲ τί μέν ἐστι τὸ διηχημέναι, ἀκριβῶς συμβαλεῖν οὐ δύναμαι. οὐδὲ γὰρ εὗρον τοὔνομα παρά τινι τῶν Ἑλλήνων. ὥστε οὐδὲ καθ᾽ οὗ τέτακται πράγματος ὑπ᾽ Ἀρχιγένους ἐπίσταμαι, καὶ

qualitates, poſtea de iis agit; primo enim loco de magnitudine, ſecundo de vehementia, tertio de plenitudine, quarto de duritie tractat. Quod ſi compoſitam aliquam ex ſimplicibus eam faceret, defendere hominem poſſis, ſi recte initio dicas praetermiſſam, ubi de ſimplicibus duntaxat meminit, ſed mox iure in compoſitas relatam. Nunc quarto eam loco ſtatuit mediam, quantum poteſt maxime, inter ſimplices qualitates quam exponens, quidnam ſit, occurſum dicit ſolidae, vel diſſolutae arteriae. Unde certe de ſimplicibus illam esse vult. Haec igitur Archigenes mox ab initio in recenſendis primis qualitatibus errata commiſit; quas ne demonſtrare quidem, cur tot ſint numero, voluit, verum ita temere ſermonem eſſutiit. Octo dicuntur qualitates pulſus comitari *αἱ διηχημέναι* quidem apud puros. Ego vero, quid ſit ipſum *διηχημέναι*, coniicere plane nequeo, neque enim nomen hoc apud quendam inveni Graecum. Quo minus, cui Archigenes rei tribuat, perſpicio; idque quod de

ταῦτα μηδὲ γράψαντος αὐτοῦ βιβλίον περὶ τῆς ἰδίας διαλέκτου, καθάπερ Χρύσιππος ὑπὲρ ὧν ἔθετο κατὰ τὴν διαλεκτικὴν ὀνομάτων· μόνως γὰρ ἂν οὕτως συνίεμεν αὐτοῦ. ἐκ μέντοι τῆς ὅλης λέξεως ὑπονοήσειεν ἄν τις, κατὰ τοῦ παρὰ πᾶσι λεγομένου τε καὶ πεπιστευμένου τὸ διηχημέναι φέρειν αὐτόν. καίτοι γε οὐδὲ τοῦτ᾽ ἐστὶν ἁπλῶς ὑπονοῆσαι δυνατόν. οὐ γὰρ ἅπασιν, ἀλλὰ τοῖς καθαρείοις φησὶν, οὓς οὐδ᾽ αὐτοὺς πάλιν ἐπίσταμαι, τίνες ποτέ εἰσι. καίτοι μαθεῖν γε ἐδεόμην, ἵνα σκέψωμαι πότερον πιστευτέον αὐτοῖς χωρὶς ἀποδείξεως, ἢ μή. παρὰ μὲν γὰρ Ἀριστοτέλους ἔνδοξα λήμματα ἤκουσα, τὰ πᾶσιν ἀνθρώποις, ἢ τοῖς πλείστοις, ἢ τοῖς σοφοῖς δοκοῦντα. νυνὶ δὲ, εἰ τοὺς καθαρείους ἀντὶ τῶν σοφῶν χρὴ νοεῖν, οὐκ οἶδα. κάλλιον δ᾽ ἂν ἦν πολλῷ προσθεῖναί τινα, εἰ καὶ μὴ βεβαίαν ἀπόδειξιν, παραμυθίαν γ᾽ οὖν ἱκανὴν τῷ λόγῳ περὶ τῶν ὀκτὼ ποιοτήτων, ἵνα μή τις εὐθὺς κατ᾽ ἀρχὰς, ὡς εἰς Μωϋσοῦ καὶ Χριστοῦ διατριβὴν ἀφιγμένος, νόμων ἀναποδείκτων ἀκούῃ, καὶ ταῦτα ἐν οἷς ἥκιστα χρή. μέλλων γὰρ ἐρεῖν ὑπὲρ ἁπάντων τῶν σφυγμῶν, ὡς ἄν τις ἐξ ὧν

fua ipfe lingua librum non confcripfit, ut fecit Chryfippus de nominibus, quae in dialectica finxit: hac enim fola via eum affequeremur. Tamen ex tota oratione pro eo, *διηχημέναι*, uti eum fufpiceris, quod apud omnes eft pervulgatum et creditum. Quanquam ne id quidem fufpicari plane potes; nam non apud omnes ait, fed puros, quos ne ipfos quidem, qui fint, fcimus; etfi fcire nos oporteat, ut disceptemus, an credendum iis citra demonftrationem fit, necne. Apud Ariftotelem certe lemmata audivi probabilia, quae omnibus hominibus, vel plurimis, vel fapientibus probantur; hic an puri pro fapientibus accipiendi fint, me quidem praeterit. Multo certe praeftaret aliquam apponere fi non firmam demonftrationem, at rationem fufficientem fermoni de octo qualitatibus, ut ne quis initio ftatim quafi in Moyfi et Chrifti fcholam impingat, leges audiat nulla conftitutas demonftratione, idque ubi minime deceat. Nam quum dicere de omnibus pulfibus, quod ex iis quae ante

προὔγραψεν εἰκάσειεν, ὁπόσοι γ' εἰσὶν, οὐδεμιᾷ μεθόδῳ λογικῇ προβιβάζειν ἡμᾶς ἠξίωσεν, ἀλλ' ἐμπειρικὴν ἐποιήσατο διδασκαλίαν ὀκτὼ τοῖς καθαρείων λέγων διηχεῖσθαι ποιότητας. τί δὲ, εἰ ῥαθυμότερον οἱ καθάρειοι παρέλιπόν τινας ἐξ αὐτῶν, τούτου χάριν, οὐδὲ πρὸς τὴν φύσιν αὐτὴν, πλείους εἰσὶν, ἢ τὰ δοκοῦντα τοῖς καθαρείοις ἀπόχρη λέγειν, ὡς ἀληθῆ; καὶ ταῦτ' οὐκ εἰδότα τίνες ποτ' εἰσὶν οἱ καθάρειοι, πότερον οἱ γράμματα μεμαθηκότες, [44] ἢ οἱ τὰ πρῶτα μαθήματα, ἢ οἱ συνετοὶ, ἢ οἱ φρόνιμοι, ἢ οἱ σοφοί; ἀλλὰ καὶ τὸ ποιότητας ὀνομάζειν τὰς πρώτας καὶ γενικὰς τῶν σφυγμῶν διαφορὰς, ὀλίγωρον. ἡ γοῦν κατὰ μέγεθος καὶ μικρότητα διαφορὰ ποιότης οὐκ ἔστιν, εἰ μὴ καὶ τὸ τρίπηχυ ποιὸν ἐρεῖς. ἐγὼ μὲν γὰρ ᾤμην, ποσόν. ἀλλὰ καὶ περὶ τοῦ μεγάλου καὶ μικροῦ οὐκ ὀλίγον οἶδα γεγονότα λόγον, πότερον ποσόν τι δηλοῦσιν, ἢ πρός τι, ἢ ὅπερ καὶ ἀληθὲς, πρός τι μὲν ἔν τε τῇ τοῦ ποσοῦ κατηγορίᾳ, οὐ μὴν τῇ τοῦ ποιοῦ γένους οὐδαμῶς, ὥσπερ οὐδὲ ῥυθμὸν, οὐδ' ἀταξίαν καὶ τάξιν, οὐδ' ὁμαλότητα καὶ ἀνωμαλίαν.

ſcripſit conjicias, inſtituiſſet, quot ſint, nulla nobis rationali methodo voluit ob oculos ponere, ſed diſciplinam inſtituit empiricam, octo apud puros dicens pervulgatas qualitates eſſe. Quid ſi quasdam illarum negligentius puri praeterierint, ſtatimne erunt nec ipſa quidem ſua natura plures? an, quae puris placent, haec ſatis eſt retuliſſe pro veris, idque quum incertum ſit, quinam iſti ſunt puri? utrum qui literas didicerint, vel primas diſciplinas, an cordati, vel prudentes, vel ſapientes? ut nihili ducamus, quod qualitates appellavit principes et generales pulſuum differentias. Magnitudinis quidem et parvitatis certe differentia qualitas non eſt, niſi tricubitale etiam in qualitate pones; equidem quantum putarem. Sed et de magno et parvo non parvam ſcio diſputationem extitiſſe, utrum quale ſignificent, an ad aliquid, an, id quod res habet, ad aliquid in quantitatis praedicamento ſit, nullo tamen pacto in qualitatis, uti nec rhythmus, nec ordinis perturbatio et ordo, nec aequalitas et inaequalitas, quae item ex genere ad aliquid manifeſtae ſunt.

φανερῶς γὰρ καὶ ταῦτα τῶν πρός τι. τὸ δὲ καὶ κοινὸν γένος νομίζειν τὸ μὲν μέγεθος τοῦ μεγάλου τε καὶ μικροῦ σφυγμοῦ, τὴν δὲ σφοδρότητα τοῦ σφοδροῦ τε καὶ ἀμυδροῦ, τὸ δὲ τάχος τοῦ ταχέος τε καὶ βραδέος, τὴν δὲ πυκνότητα τοῦ πυκνοῦ τε καὶ ἀραιοῦ, καὶ αὖθις ἐφεξῆς ἐν τοῖς κατωτέρω, πληρότητα μὲν πλήρους τε καὶ κενοῦ, σκληρότητα δὲ σκληροῦ τε καὶ μαλακοῦ, πῶς οὐχὶ ταῦτα δεινῶς ἄτοπα; εἰ γὰρ ἐπιθυμεῖ πάντως ἑνὶ τὸ γένος ὅλον ὀνόματι κατηγορῆσαι, τί δή ποτ᾽ ἐπὶ τάξεώς τε καὶ ἀταξίας, ὁμαλότητός τε καὶ ἀνωμαλίας, οὐχ ὑπέμεινεν αὐτό; ἢ εἴπερ οὐκ ἐδεῖτο ἐπὶ τούτων κοινῆς κατηγορίας, τίς ἦν χρεία δεηθῆναι κατὰ τὰς ἄλλας διαφοράς; ἢ εἰ κατὰ τὰς ἄλλας ἅπαξ ἐτόλμησεν ὑπερβῆναι τὸ τῶν Ἑλλήνων ἔθος, τί δή ποτε πυκνότητα μὲν πυκνοῦ κατηγόρησε καὶ ἀραιοῦ σφυγμοῦ, ὁμαλότητα δ᾽ οὐκ ἐτόλμησεν ὁμαλοῦ τε καὶ ἀνωμάλου κατηγορῆσαι; ταῦτ᾽ οὖν ὅπως ἀλλήλοις ὁμολογεῖ, βουλοίμην ἂν μαθεῖν. τὰ μὲν γὰρ ὡς αἰδούμενος τὴν τῶν Ἑλλήνων συνήθειαν, τὰ δ᾽ ὡς καταφρονῶν καὶ ταράττων γράφει. ἐφ᾽ ἑνὸς οὖν τοῦ πρώτου γένους παρείσδυσιν πορισάμενος, ἐνεδείξατο μὲν ὡς ἐπὶ πάντα τὰ

Nam etiam commune genus exiſtimare magnitudinem magni et parvi pulſus, vehementiam vehementis et languidi, celeritatem celeris et tardi, et crebritatem crebri et rari, itaque deinceps in ſequentibus, plenitudinem pleni et vacui, duritiam duri et mollis, quis negabit majorem in modum eſſe abſurda? Quod ſi uno cupiat nomine totum genus complecti, quin hoc in ordine et perturbatione ordinis, in aequalitate et inaequalitate ſuſtinuit? Aut ſi in his commune praedicamentum non deſiderat, quae erat neceſſitas cur requireret in aliis differentiis? aut ſi in aliis auſus ſemel eſt Graecorum praeterire inſtitutum, quid crebritatem de crebro dixit et raro pulſu, aequalitatem autem dicere de aequali et de inaequali non fuit auſus? Haec ego, quemadmodum ſibi conſtent mutuo, libenter didicerim; nam haec, ut ſic ſuſpiciat Graecorum morem, illa, ut ſi contemnat et perturbet, ſcribit. In uno ergo primo genere, quia viam ſibi munivit, oſtendit in aliis omnibus eandem rationem habitu-

Ed. Chart. VIII. [44.] Ed. Baf. III. (22.)

ἀλλὰ τὸν αὐτὸν ἕξει λόγον, οὐ μὴν ἐνέμεινέ γε τῇ τόλμῃ, δέον ἐξ ἀρχῆς ἢ μὴ παρακόπτειν τῆς συνηθείας μηδὲν, ἢ τολμηρῶς καθ᾽ ὅλης ἰέναι. τὸ γάρ τοι μέγεθος τοῦ σφυγμοῦ γενικῶς φήσας λέγεσθαι, καὶ γὰρ τὸν μικρὸν ἔχειν ἴδιον μέγεθος, εἶτα καὶ τὴν σφοδρότητα γενικῶς εἰπών πως οὐ κατὰ τοῦ σφοδροῦ μόνου, ἀλλὰ καὶ κατὰ τοῦ ἀμυδροῦ κατηγορεῖσθαι, περὶ τῆς πληρότητος εὐθὺς ὀκλάζει γράφων ὡδί· τῷ πλήρει σφυγμῷ καὶ τῷ κενῷ ἐστι τι κοινὸν γένος. τοῦτ᾽ ἔσθ᾽ ὅτε πληρότης καλεῖται. τὸ γὰρ ἔσθ᾽ ὅτε, προσέθηκεν ἐν τούτῳ τῷ γένει, μὴ προσθεὶς τοῖς ἔμπροσθεν, οἷον ἐπιτιμώμενος ἤδη τὴν τοῦ παλαιοῦ τῆς λέξεως ἔθους σύγχυσιν. ἐροῦντος γὰρ, οἶμαι, τινὸς πρὸς αὐτὸν τῶν παρ᾽ Ἕλλησι τεθραμμένων, ὦ ἄνθρωπε, τῷ κενῷ τίς ὑπάρχει πληρότης; τί ταῦτα παρανομεῖς εἰς τὰς κοινὰς τῶν Ἑλλήνων φωνάς; ἵνα μὴ τοῦτο γένηται προσέθηκεν, ἔσθ᾽ ὅτε καλεῖται. καὶ δῆλον, ὡς ἡμεῖς μὲν ἐρησόμεθα, πότε, καὶ ποῦ, καὶ πρὸς τίνων. τοῦτο γὰρ βούλεται τὸ, ἔσθ᾽ ὅτε. ὁ δ᾽ οὐδὲν μὲν ἕξει τῶν Ἑλλήνων δεῖξαι βιβλίον, ἐξ οὗ τὴν χρῆσιν πιστώσαιτο, μόνον δὲ

rum, fed in audacia non permanfit. Oportebat vero a primo aut nihil confuetudinem imminuere, aut perpetuo contra confuetudinem audacem effe. Nam qui magnitudinem pulfus generatim affirmavit dici, etenim parvum etiam habere fuam magnitudinem, deinde etiam vehementiam confirmavit generatim, quodam modo non folum de vehemente, fed et de languido dici, ftatim in plenitudine labafcit, fcribens fic: *Pleno pulfui et vacuo eft commune quoddam genus, hoc nonnunquam plenitudo vocatur.* Nam in hoc genere, nonnunquam, addidit: quod fuperioribus non adjecit, quafi reprehendens jam veterem dictionis ufum confufum. Nam fi illi quis objiciat qui apud Graecos eft educatus: quae bone vir in vacuo plenitudo ineft? quid haec defignas in communes Graecorum dictiones praeter omnem morem? ut hoc declinaret, addidit, *nonnunquam vocatur.* Enimvero nos rogabimus, quando autem? ubi? a quibus? hoc enim vult illud, *nonnunquam.* Ille vero librum producere Graecorum, ex quo ufum illum confirmet, habebit nullum; tan-

ἴσως ἀρκέσει αὐτῷ λέγειν παρὰ τοῖς ναύταις, καὶ τοῖς ἐμπόροις, καὶ τοῖς καπήλοις, καὶ τοῖς βαλανεῦσιν. ἀεὶ γὰρ ἐπὶ τούτους καταφεύγουσι μάρτυρας, ὅταν ὑπὲρ ὀνόματος ἡ ζήτησις ᾖ.

Κεφ. έ. Τάχα τις ἐρεῖ πρὸς ἡμᾶς· σὺ δ᾽ ὦ τᾶν οὕτως ἄρα τὴν τῶν Ἑλλήνων συνήθειαν ὑπερτετίμηκας, ὥστε μηδ᾽ ἐπιτρέπειν μηδενὶ μηδὲ τοὐλάχιστον αὐτῆς παρακόπτειν; οὐ μὲν [45] οὖν, φήσω, μὰ τὸν Ἡρακλέα καὶ πάντας θεούς· ἀλλ᾽ εἰ καὶ βέκος ἐθέλοις τὸν ἄρτον καλεῖν, ὥσπερ οἱ Φρύγες, οὐδὲν ἡμῖν διαφέρει· μόνον δίδαξόν με πρῶτόν σου τὴν διαλεκτον, ἵν᾽ ἕπωμαι, καὶ μὴ λέγε, καλεῖται. πάντως γὰρ ἐρήσομαί σε, παρὰ τίσιν; οὐ γὰρ δή γε παρὰ τοῖς Ἕλλησιν. ἀλλά πώς φασι, καλείσθω. καὶ εἰ τοῦτό που λέξαντος ἔτι γρύζων εὑρεθείην, ἐμαυτῷ θανάτου τιμῶμαι. νυνὶ δ᾽ ἐπὶ μὲν τινῶν, καλεῖται, λέγεις, καταψευδόμενος τῆς συνηθείας τῶν Ἑλλήνων, ἐπὶ δὲ τινῶν οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τοῦ, ἔσθ᾽ ὅτε, καθάπερ ἐπὶ τῆς πληρότητος. τί γὰρ φὴς τοῦτ᾽, ἔσθ᾽ ὅτε πληρότης καλεῖται; ἀλλὰ περὶ μὲν δὴ τῆς πληρότη-

tum fortaffe homini fatis erit dicere, apud nautas, inftitores, caupones, et balneatores; nam ad iftos femper teftes confugiunt, ubi de nomine quaeratur.

Cap. V. Quaeres de nobis: quid? tibi tantine Graecorum eft ufus, ut nemini permittas de eo ne latum quidem unguem difcedere? Non equidem, dicam, me hercle et per omnes deos; imo fi vel *βέκος* velis panem appellare more Phrygum, noftra nihil refert, tantum me hoc primum doce idioma linguae tuae, ut affequar: neque dixeris, *vocatur:* omnino enim quaeram ex te, apud quos? certe quidem non apud Graecos. Sed forfitan dicunt, *vocetur.* At fi quum hoc dixeris, hifcere me amplius audias, capitis me damno. Nunc vero a quibusdam vocatur, dicis, Graecorum morem falfi infimulans; a quibusdam autem non abfolute, fed addito, nonnunquam, ut in plenitudine. Nam quid tandem ait, haec nonnunquam plenitudo vocatur? Verum de plenitudine quidem haec, quum falleretur jam, fcri-

τος ὀκλάζων ἤδη ταῦτ᾽ ἔγραψεν, περὶ δὲ τῆς σκληρότητος οὐδ᾽ (23) ὀκλάζων ἔτι. καταπεπτωκότος γὰρ ἤδη, καὶ νενικημένου τελέως ὁ τοιοῦτος λόγος. ἔστι δὲ μαλακότητος καὶ σκληρότητος σφυγμοῦ κοινόν τι γένος, ὃ τάχ᾽, ἂν τριβείη, σκληρότης καλεῖται. καὶ οὐκ ἔτ᾽ ἐνταῦθα ἐτόλμησε προσθεῖναι τοῦτ᾽, ἔσθ᾽ ὅτε, σκληρότης καλεῖται. καίτοι οὐδὲν ἦν ἡ πληρότης τιμιωτέρα τῆς σκληρότητος, ἵν᾽ ἐπ᾽ ἐκείνης τολμήσας, ἐνταῦθ᾽ αἰδεσθείη, ἀλλ᾽ ὅπερ ἔφην, τοῖς κατὰ βραχὺ πίπτουσιν ἔοικεν. γενναιότερον δ᾽ ἦν, οἶμαι, μὴ κατὰ μικρὸν, ἀλλ᾽ ἀθρόως πεσεῖν, καὶ μήθ᾽ ἡμῖν μήτ᾽ αὐτῷ πράγματα παρέχειν. ὃ τάχ᾽, ἂν τριβείη, φησὶ, σκληρότης καλεῖται. ὑπὸ τίνων τάχ᾽, ἂν τριβείη; τῶν σῶν ἴσως κληρονόμων. ἡμεῖς μὲν γὰρ, ὥσπερ νόμισμα καθ᾽ ἑκάστην τῶν πόλεων ἴσμεν σύμβολον ὠνῆς καὶ πράσεως, ὃ τοὺς παραχαράττοντας οἱ νομοθέται κολάζουσιν, οὕτω καὶ διαλέκτων χαρακτῆρας ἴσμεν πολλοὺς, οὓς φυλάττειν ἀξιοῦμεν ἕκαστον τῶν ἑλομένων ὁντιναοῦν ἐξ αὐτῶν. ἡμεῖς μὲν οὖν συνηρήμεθα τὴν κοινὴν καλουμένην διάλεκτον, εἴτε μία τῶν Ἀτθίδων

psit, de duritie quum nondum laberetur. Scilicet dejecti jam victique prorſus iſta verba ſunt. Eſt autem mollitiei et duritiei pulſus commune quoddam genus; quae durities, ſi receptum ſit, vocetur fortaſſe. Neque hic amplius auſus eſt addere hoc, *nonnunquam durities vocatur.* Tametſi nihilo erat plenitudo duritie praeſtantior, ut quod auſus illic eſt, hic vereretur: ſed quod dixi, paulatim labentibus ſimilis eſt. Atqui majoris erat ſtrenuitatis, puto, praecipitem ruere, non labi pedetentim, neque nobis, neque ſibi negotia faceſſere. Quae durities, inquit, ſi receptum ſit, vocetur fortaſſe. A quibus fortaſſe, ſi receptum ſit? a tuis fortaſſis haeredibus. Siquidem nos, quemadmodum monetam qualibet in urbe teſſeram eſſe ſcimus emptionis et venditionis, quam qui adulterant, in hos legislatores animadvertunt, ſic linguarum inſignia multa eſſe ſcimus, quarum tueri, quam quisque elegerit, volumus. Nos defendimus communem linguam, quam vocant; ſive una ea Atticorum eſt, mul-

Ed. Chart. VIII. [45.] Ed. Baſ. III. (23.)

ἐστὶ, πολλὰς γὰρ εἴληφε μεταπτώσεις ἡ τῶν Ἀθηναίων διάλεκτος, εἴτε καὶ ἄλλη τις ὅλως. δείκνυμι γὰρ ἑτέρωθι τὴν ἡμετέραν περὶ τούτου γνώμην. καὶ ταύτην τὴν διάλεκτον πειρώμεθα διαφυλάττειν, καὶ μηδὲν εἰς αὐτὴν παρανομεῖν, μηδὲ κίβδηλον ἐπεισάγειν φωνῆς νόμισμα, μηδὲ παραχαράττειν. σὺ δὲ, εἰ μὲν ἐπιθυμεῖς κατ᾽ αὐτὴν ἡμῖν διαλέγεσθαι, πρότερον ἐκμαθεῖν αὐτὴν πειράθητι, εἰ δ᾽ ἄλλῃ τινὶ χρᾷς, καὶ τοῦτο μήνυσον. εἰ μὲν γὰρ τῶν Ἑλληνίδων ἐστὶ μία, πάντως που καὶ ταύτην γνωρίζομεν· καὶ γὰρ καὶ τὰ τῶν Ἰώνων καὶ τὰ τῶν Αἰολέων καὶ τὰ τῶν Δωριέων ἀνελεξάμεθα γράμματα· εἰ δ᾽ οὐδεμία τούτων, ἀλλά τις τῶν βαρβάρων, καὶ τοῦτ᾽ εἰπὲ, μόνον πειρῶ φυλάττειν αὐτὴν ἄχραντον, ἥ τις ἂν ᾖ, καὶ μή μοι τρία μὲν ἐκ Κιλικίας φέρειν ὀνόματα, τέσσαρα δ᾽ ἐκ Συρίας, πέντε δ᾽ ἐκ Γαλατίας, ἓξ δ᾽ Ἀθήνηθεν. ἐγὼ γὰρ οὕτω πολλὰς ἐκμανθάνειν οὐ δύναμαι διαλέκτους, ἵν᾽ ἀνδράσιν εἰς τοσοῦτον πολυγλώττοις ἕπωμαι. δίγλωττος γάρ τις ἐλέγετο πάλαι, καὶ θαῦμα τοῦτο ἦν, ἄνθρωπος εἷς ἀκριβῶν διαλέκτους δύο· σὺ δὲ ἡμᾶς ἀξιοῖς πολλὰς ἐκμαθεῖν, δέον αὐτὸν ἐκμανθάνειν μίαν, οὕτω μὲν ἰδίαν, οὕτω δὲ

tas enim ſumpſit Athenienſum lingua mutationes, ſive omnino alia quaepiam, nam alio in loco de hac re meam ſententiam aperio, et hanc ſtudemus linguam ſervare, neque in ejus leges quicquam committere, neque monetam inducere vocis adulterinam, neque depravare; qua ſi mecum cupis colloqui, primum eam fac addiſcas. Sin alia quapiam uteris, id ipſum demonſtra. Nam ſi de Graecis est, ſane nec illa nos fugit, ſiquidem et Ionum et Aeoliorum et Doriorum revolvimus ſcripta. Sin autem nulla harum, ſed eſt barbara aliqua, id ipſum dic: tantum ago, eam ut ſerves integram et puram, quaecunque illa ſit. Nec tria mihi ex Cilicia verba affer, quatuor ex Syria, ex Galatia quinque, Athenis ſex. Equidem tot linguas ediſcere nequeo, ut homines intelligam adeo multarum linguarum. Bilinguis olim aliquis dicebatur, quod habebatur miraculum, homo unus duas callens linguas, tu multas nos vis ediſcere, quum ediſcere te oporteat unam, tam propriam, tam vero com-

κοινὴν ἅπασιν, οὕτω δ᾽ εὔγλωττον, οὕτω δ᾽ ἀνθρωπικήν. ὅπερ ἐὰν προσχῇς τὸν νοῦν ταῖς φωναῖς τῶν βαρβάρων διαλέκτων, εἴσῃ σαφῶς, τὰς μὲν ταῖς τῶν συῶν, τὰς δὲ ταῖς τῶν βατράχων, ἢ κολοιῶν, ἢ κοράκων ἐοικυίας, ἀσχημονούσας τε καὶ κατ᾽ αὐτὸ τὸ τῆς γλώττης τε καὶ τῶν χειλέων καὶ παντὸς τοῦ στόματος εἶδος. ἢ γὰρ ἔσωθεν ἐκ τῆς φάρυγγος τὰ πολλὰ φθέγγονται τοῖς ῥέγχουσι παραπλησίως, ἢ τὰ χείλη διαστρέφουσι καὶ συρίττουσιν, ἢ κατὰ πᾶσαν αὔξουσι τὴν φωνὴν, ἢ κατ᾽ οὐδεμίαν ὅλως, ἢ κεχήνασι μέγιστον, καὶ τὴν γλῶτταν προσσείουσι, καὶ διανοίγειν οὐδαμῶς δύνανται τὸ στόμα, καὶ τὴν γλῶτταν ἀργὴν καὶ δυσκίνητον καὶ ὥσπερ δεδεμένην ἔχουσιν. εἶτα σὺ [46] παρεὶς τὴν ἡδίστην τε καὶ ἀνθρωπικωτάτην διάλεκτον, ᾗ τοσοῦτον κάλλος ὁρᾶται καὶ χάρις ἐπανθεῖ, ἐκ πολλῶν ἀτόπων καὶ δεινῶν ἀθροίζεις ὀνόματα; πολὺ ῥᾷον ἦν μίαν ἐκμαθεῖν τὴν καλλίστην ἢ μυρίας μοχθηράς. ἀλλ᾽ οὐ μόνον αὐτοὶ μανθάνειν ὀλιγωροῦσιν, ἀλλὰ καὶ ἡμᾶς ἀναγκάζουσιν, ἐν ᾗ τεθράμμεθα καὶ πεπαιδεύμεθα φωνῇ, ταύτην καταλιπόντας, ἐκμανθάνειν τὰς ἐκείνων. οὐ βούλει μαθεῖν ἄνθρωπε τὴν τῶν Ἑλλήνων διά-

munem omnibus, tam etiam facundam, tam denique humanam. Quod fi linguarum voces barbararum advertas, perfpicies plane, alias porcorum linguas, alias ranarum, vel graculorum, vel corvorum repraefentare, turpes et inhoneftas, vel ipfa figura linguae, labiorum, totiusque adeo oris. Aut enim ex intimis fere faucibus non aliter ac qui ftertunt, loquuntur, aut labia diftorquent fibilantque, aut ubique vocem intendunt, aut nunquam prorfus, aut maxime hiant, et linguam jactant, et os aperire nequaquam valent, linguamque habent otiofam, nec facile motam atque quafi vinctam. Et tu jucundiffimam negligis humaniffimamque linguam, ea florentem elegantia atque gratia, et ex multis importunis et abfurdis congeris nomina? Unam longe erat proclivius ornatiffimam addifcere quam fexcentas depravatas. At non tantum ipfi repudiant, fed et nos cogunt, in qua educati et inftituti lingua fumus, hac dimiffa, edifcere fuam. Quid tu non vis bone vir addifcere lin-

λεκτον; ὡς ἐπιθυμεῖς, βαρβάριζε. μόνον, ὥσπερ ἐγὼ συγχωρῶ καθ᾽ ὃν αὐτὸς προήρησαι τρόπον λαλεῖν, οὕτω κἀμοὶ συγχώρησον ὡς ἔμαθον διαλέγεσθαι. πατὴρ ἦν ἐμοὶ ἀκριβῶν τὴν τῶν Ἑλλήνων διάλεκτον, καὶ διδάσκαλος καὶ παιδαγωγὸς Ἕλλην. ἐν τούτοις ἐτράφην τοῖς ὀνόμασιν. οὐ γνωρίζω τὰ σά. μήτ᾽ ἐμπόρων μοι, μήτε καπήλων, μήτε τελωνῶν χρῆσιν ὀνομάτων ἔπαγε, οὐχ ὡμίλησα τοιούτοις ἀνθρώποις. ἐν ταῖς τῶν παλαιῶν ἀνδρῶν βίβλοις διετράφην. καὶ ταῦτα λέγω, μηδενὶ πώποτ᾽ εἰπὼν, μήθ᾽ ὅτι βαρβαρίζεις ὦ οὗτος, μήθ᾽ ὅτι σολοικίζεις, μήθ᾽ ὅτι κακῶς καὶ οὐ κυρίως ὠνόμασας, ἀλλ᾽ ἐπιτρέπω πᾶσιν ὡς βούλονται φθέγγεσθαι. κἂν ὁ κυβερνήτης εἴπῃ φέρε τὸν ποὺς, οὐδὲν ἐμοὶ διαφέρει. ταῦτα Φαβωρῖνος καὶ Δίων, οὐκ ἐγὼ μέμφομαι· συνιέναι μόνον βούλομαι τοῦ λεγομένου. ὅταν δέ ποτε καὶ κατ᾽ αὐτὸ τοῦτο ταράττωμαι, τότε ἀναγκαίως πυνθάνομαι, τίς δηλοῦν βούλεται τοὔνομα, καὶ μηνύσαντος ὃ βούλεται, σιωπῶ, μήτ᾽ ἐξελέγχων, μήτε μεμφόμενος, εἰ παρὰ τὴν τῶν Ἑλλήνων εἴρηται συνήθειαν. ἑνὸς γάρ μοι μόνου φροντὶς, τοῦ γνῶναι

guam Graecam? Barbare, ut velis, fonaveris. Tantum, ut ego permitto pro tuo tibi arbitrio loqui, fic mihi, ut doctus fum, concede, ut dicam. Patrem habui, qui adamusfim teneret Graecam linguam, effetque doctor et paedagogus Graecus; in his altus vocabulis fum, nefcio tua. Nec mercatorum mihi, aut cauponum, aut publicanorum ufum nominum adducas. Non ufus fum iftorum hominum confuetudine, a puero in veterum verfatus fum libris. Atque haec dico, nec ulli dixi tamen unquam, vel heus tu barbare fonas, vel foloecismum committis, vel parum bene et proprie appellafti. Imo loqui, ut volunt, omnibus per me quidem licet, ut etiam gubernator dicat: Adducas pes, nil laboro. Phavorinus haec et Dion, non ego reprehendo; tantum fermonem volo intelligere. Qui fi me quando perplexum habet, ibi neceffum quaerere mihi eft, qui interpretari nomen velit. Si aperit fenfum, taceo: neque incufo, vel exprobro, quod a confuetudine defciverit Graecorum. Una duntaxat mihi cura, capiendi fenfum fermonis.

τὸν νοῦν τοῦ λεγομένου. τοῖς δὲ, ὡς ἔοικεν, οὐκ ἀρκεῖ τὸ τοιοῦτον, ἀλλ᾽ ὅταν ἡμεῖς τοῖς τῶν Ἑλλήνων ὀνόμασι χρησώμεθα, τότ᾽ ἐκεῖνοι πρῶτον μέμφονται, τὰ μὲν ὡς διαλεκτικοὶ, τὰ δὲ ὡς φυσικοί τινες ἄνδρες, τὰ δ᾽ ὡς ῥήτορες, τὰ δὲ ὡς γραμματικοί. πολυειδῶς γὰρ ἐπηρεάζουσιν. εἶθ᾽ ὅταν τις αὐτοὺς, εἰς μακρότερον ἀναγκασθεὶς ἀφικέσθαι διάλογον, ἐξελέγχῃ μηδὲν γινώσκοντας, ὧν ὡς γινώσκοντες ἐθρασύνοντο, παραχρῆμα σφῶν αὐτῶν ἐπιλανθανόμενοι, κατηγοροῦσι τῶν αὐτῶν τούτων, ὑπὲρ ὧν ἐξ ἀρχῆς ὡς χρησίμων διελέγοντο. τίς γὰρ ἡμῖν οὐκ ἐπιπηδᾷ τῶν θρασέων τούτων, ἐπειδὰν εἴπωμεν τὰς διαφορὰς τῶν κατὰ τοὺς σφυγμοὺς γενῶν εἶναι τοσαύτας, κακῶς φάσκων διαφορὰς ἡμᾶς εἰρηκέναι, καὶ πολὺ χεῖρον ἔτι γενῶν. φεύγοντες δὲ αὐτῶν ἡμεῖς τὴν ματαίαν ἐπήρειαν, ἀλλ᾽ εἰ βούλει φαμὲν, ποιότητας αὐτὰς κάλεσον, ἢ ὅ τι ἂν ᾖ σοι φίλον. οὐ γὰρ ὑπὲρ ὀνομάτων ὁ λόγος ἡμῖν, ἀλλὰ περὶ πραγμάτων. πόσα γὰρ τὰ πρῶτα γένη τῶν σφυγμῶν χρηστὸν εἰδέναι, μή πως εὐθὺς ἐν τῇ πρώτῃ διαιρέσει γένος ὅλον παραλίπωμεν. οἱ δὲ οὐκ ἐπιτρέπουσιν

Iſtis hoc, ut videtur, non ſatis eſt; ſed quum nos utamur Graecorum nominibus, tum nos illi primum accuſant, atque nunc dialecticos agunt, nunc phyſicos quosdam, alias oratores, nonnunquam grammaticos. Variis enim modis nos divexant. Deinde quum quis in longiorem cum iis diſputationem neceſſario deductus, imperitiam detegat omnium quae quaſi noſſent, jactabant, ſtatim ſui ipſi obliti, quae initio eſſe utilia defendebant, haec ipſa accuſant. Quis eſt de iſtis audacibus, qui nobis non inſultet, quando differentias dicamus pulſuum generum tot eſſe, male differentias contendens nos dixiſſe, et multo etiam pejus generum. Nos autem ut inanem contumeliam iſtorum vitemus, age qualitates, dicimus, eas vocaveris, aut quomodocunque cordi tibi ſit; neque enim de nominibus nos, ſed de rebus disputamus. Nam quot pulſuum ſint prima genera, noſſe refert, ne jam in prima forte diviſione genus integrum praetereamus. Hi ne haec quidem dicere nobis permittunt, ſed

ἡμῖν οὐδ᾽ αὐτὰ ταῦτα εἰπεῖν, ἀλλ᾽ εὐθὺς ἐπιστομίζουσι πράγματος ὅλου λέγοντας, οὐκ ὀνόματος εἶναι τὴν ἄγνοιαν. εἶτα ἀναγκάζουσιν ἡμᾶς λέγειν πρὸς αὐτοὺς, ἃ μηδέ ποτ᾽ ἂν ἑκόντες εἴποιμεν. κᾄπειτ᾽ ἐξελεγχόμενοι, πρῶτον μὲν ὅτι περὶ ὀνόματος, οὐ περὶ πράγματός ἐστιν ἡ ζήτησις, ἔπειθ᾽ ὅτι κακῶς αὐτοὶ κέχρηνται τοῖς ὀνόμασιν, οὐχ ἡμεῖς, ἀγανακτοῦσι δεινῶς, καὶ ὥσπερ ἐξ ὕπνου διεγερθέντες, ἄχρηστον εἶναι λέγουσι τὴν ἐν τοῖς ὀνόμασιν μικρολογίαν, ὥσπερ ἡμῶν ἐξ ἀρχῆς ἄλλο τι λεγόντων, ἢ βουλομένων, ἢ οὐκ αὐτοὶ κατάρξαντες τῆς τοιαύτης ψυχρολογίας. ὀκτὼ λέγεις ποιότητας, ἄνθρωπε, τῷ σφυγμῷ παρέπεσθαι. συγχωρήσω σοι τῷ τῆς ποιότητος ὀνόματι καλῶς κεχρῆσθαι, μηδὲν περὶ τούτου φθεγξάμενος, ἐπιδείξω πῶς οὐκ εἰσὶν ὀκτώ. περὶ πράγματος αὕτη ἡ ζήτησις, εἰς ἣν ἐγὼ προσκαλοῦμαι τοὺς γενναίους τούτους σοφιστάς. οἱ δ᾽, ἵν᾽ ἐκ ταύτης διαλύσεις πορίσωνται, λέγοντος ἄν μου μεταξὺ κατὰ τὸν λόγον, ὀνόματός τινος ἐπελάβοντο. εἶθ᾽ ὅταν ἐξελεγχθῶσιν ὑπὲρ ἀμφο[47]τέρων, τῶν τε πραγμάτων ἅμα καὶ τῶν ὀνομάτων, ἀγανακτοῦσι, δέον, οἶμαι, περὶ μὲν τῶν πραγμάτων τὴν μοχθηρὰν ἀποθέσθαι δόξαν,

ſtatim os obturant, ac rei totius confirmant, non nominis, eſſe ignorationem. Inde ea nos in ſe cogunt dicere, quae diceremus inviti. Mox convicti, primum non de re, ſed de nomine quaeri; deinde nominibus uſurpandis ipſos oſſendiſſe, non nos, indigniſſime ferunt, et inutilem vocant, velut de ſomno excitati, argutam illam et anxiam de nominibus ſedulitatem; quaſi vero aliud nos a primo dixerimus, aut contenderimus, ac non ipſi initium introduxerint iſtarum ineptiarum. Octo dicis tu qualitates pulſum comitari. Dabo tibi hoc, qualitatis te nomine recte uſum: de eo verbum non faciam. Oſtendam non eſſe octo. Haec de re quaeſtio eſt, ad quam ego egregios hos ſophiſtas provoco. Iſti, quo hinc ſeſe expediant, dum ego diſputo, nomen aliquod prehendunt. Quum jam in utrisque coarguti ſint, rebus ſimul et nominibus, ſtomachantur. Erat vero prava de rebus ſententia abjicienda, et ipſi nobis, ut nos ipſis no-

(24) τοῖς δ᾽ ὀνόμασιν, ὥσπερ ἡμεῖς ἐκείνοις χρῆσθαι συγχωροῦμεν, οὕτω καὶ αὐτοὺς ἡμῖν ἐπιτρέπειν. ἀλλ᾽ οὐκ ἐπιτρέπουσι. διὰ τοῦτο κἀγὼ βραχέα περὶ τῆς φωνῆς αὐτῶν ἀναγκασθεὶς εἶπον.

Κεφ. στ΄. Καὶ νῦν ἔτι δεήσομαι παρέντας τὸ περὶ τῶν ὀνομάτων ἐρίζειν, καὶ συγχωρήσαντας ἡμῖν κατὰ τὸ τῶν Ἑλλήνων ἔθος διαλέγεσθαι, μαθεῖν ὅτι κακῶς ὀκτὼ ποιότητας λέγουσιν. οὐ γάρ ἐστιν ἅπαντα τὰ πρῶτα γένη τῶν σφυγμῶν ποιότητες, ὡς ἐδείξαμεν. ἀλλὰ πῶς λέγειν χρὴ, φασίν. ἐρωτῶσι δὲ ταῦτα, οὐχ ἵνα μάθωσιν, ἀλλ᾽ ἵν᾽ ἀρχὴν ἔχωσιν ἀμφισβητήσεως. σὺ τοίνυν ἀποκριθήσῃ, διαφορὰς χρῆναι λέγειν τῶν πρώτων ἐν τοῖς σφυγμοῖς γενῶν, ἢ καὶ νὴ Δία οὕτως, τῶν ἐν τοῖς σφυγμοῖς διαφορῶν τὰ πρῶτα γένη. οἱ δ᾽ ἐξ ἀνάγκης ποῖα πρῶτα γένη φήσουσι, καὶ τίνα, καὶ ποίας διαφοράς. σὺ δὲ καὶ πρὸς ταῦθ᾽ ὡδί πως αὐτοῖς ἀπόκριναι, πρῶτον ἄκουσον εἰπὼν ὦ τᾶν, ὅτι γενῶν, καὶ τότε ἀκούσεις, ὅτι πρώτων, καὶ μετὰ τοῦθ᾽, ὅτι διαφορῶν. ὅτι μὲν οὖν γενῶν, ἐντεῦθεν εἴσῃ. λέγεταί τις μέγας σφυγμὸς,

minibus uti pro arbitrio permifimus, concedere deberent. Sed non permittunt. Quare et ego de voce illorum pauca, neceffitate adductus, dixi.

Cap. VI. Ac nunc etiam orabo, ut depofita de nominibus contentione, concedant nobis ex Graecorum inftituto loqui, addifcantque male octo fe qualitates dicere Neque enim omnia prima genera pulfuum qualitates, ut demonftravimus, funt. Quomodo igitur, inquiunt, dicendum eft? Hoc non, quo difcant, quaerunt, fed anfam ut habeant controverfiae. Tu ergo refpondebis, differentias dicendum effe primorum generum pulfuum; aut fic certe differentiarum pulfuum prima genera. Illi qualia genera, neceffario rogabunt, et quae, et quales differentias? Tu etiam ad hoc illis refponde in hunc modum: Primum quaefo audi, quod generum: inde audies, quod primorum; poftea, quod differentiarum. Atque quod generum, hinc cognofces.

καὶ ἐναντίως αὐτῷ μικρός. καί τις ἀμφοῖν μέσος, ὁ σύμμετρος αὐτῶν. καὶ νὴ Δία γε μακρός τις καλεῖται σφυγμὸς καὶ βραχὺς καὶ πλατὺς καὶ στενὸς καὶ ὑψηλὸς καὶ ταπεινὸς καὶ οἱ μέσοι τούτων ἁπάντων οἱ σύμμετροι. δοκεῖ σοι τούτων τῶν εἰρημένων σφυγμῶν εἶναί τι κοινὸν γένος, ὁποῖον φήσουσι δηλαδὴ θρασυνόμενοι τῇ φωνῇ. σὺ δὲ, μὴ ταραχθεὶς ἐν τούτῳ, λαβὼν ἀνάγνωθι τὸ τοῦ Ἀρχιγένους βιβλίον αὐτοῖς, πρῶτον μὲν τὸ ἐπίγραμμα τοῦ κεφαλαίου τοιοῦτον ἔχον. περὶ μεγέθους σφυγμοῦ. εἶτα καὶ αὐτὴν τὴν ἀρχὴν τοῦ λόγου κατὰ λέξιν ὡδί πως γεγραμμένην· τὸ μέγεθος τοῦ σφυγμοῦ γενικῶς λέγεται. ἔχει γὰρ μέγεθος καὶ ὁ μικρὸς σφυγμὸς καὶ ὁ μέγας. εἶτα μικρὸν ἐπειλίξας τὸ βιβλίον, αὖθις ἐκ τοῦ περὶ σφοδρότητος ἀνάγνωθι ταύτην τὴν λέξιν· οὐκοῦν γένος μὲν ἡ σφοδρότης, εἴδη δ᾽ αὐτῆς ὅ τε σφοδρὸς σφυγμὸς καὶ ἀμυδρὸς καὶ ὁ μέσος. εἶτα πάλιν ἐπειλίξας τὸ βιβλίον ὀλίγον τὴν ἀρχὴν ἀνάγνωθι τοῦ περὶ τῆς πληρότητος λόγου, τοιαύτην οὖσαν· τῷ πλήρει σφυγμῷ καὶ τῷ κενῷ ἔστι κοινὸν γένος. τοῦτ᾽ ἔσθ᾽ ὅτε πληρότης καλεῖται. καὶ

Dicitur quidam magnus pulfus, et ei contrarius parvus, ac quidam inter utrumque medius, moderatus in hoc genere. Et hercle eft, qui longus vocatur, eft qui brevis et latus et anguftus et altus et humilis et qui horum medii funt moderati. Horum tibi, quos commemoravimus, unum effe pulfuum genus cenfes qualitatem? Innuent fcilicet audace et confidenti voce: tu cave, hac re commoveare; fume et recita Archigenis illis librum primum, qui capitis hunc habet primum titulum, De magnitudine pulfus. Deinde initium tractatus fic ad verbum fcriptum: *Magnitudo pulfus generatim dicitur; obtinet enim magnitudinem et parvus pulfus et magnus.* Tum paulum revolvito librum et rurfus ex tractatu de vehementia hoc caput recita: *Igitur genus eft vehementia; ejus fpecies vehemens pulfus et languidus et medius.* Iterum librum aliquantum revolve ac principium recita tractatus de plenitudine, quod eft hujusmodi: *Plenus pulfus et vacuus commune habent genus: haec nonnunquam plenitudo vocatur.* Ac paulisper

μικρὸν ἐπισχὼν τὸν λόγον, τὴν ἀνάγνωσιν τοῦ βιβλίου, φάθι πρὸς αὐτοὺς, ὡς οὐδὲν ἡμεῖς καινὸν λέγομεν, ἀλλ' ὅπερ εἴρηται καὶ Ἀρχιγένει. καθ' ἕκαστον γὰρ τῶν σφυγμῶν ἔστι τι κοινὸν πλειόνων διαφορῶν γένος, ὥσπερ ἐν τῷ παρόντι τρία ταυτὶ πρὸς Ἀρχιγένους εἴρηται, μέγεθος, σφοδρότης, πληρότης. εἶθ' ἑξῆς φάθι τέταρτον αὐτὸν γράφειν γένος τὴν σκληρότητα, καὶ τὴν λέξιν ἀνάγνωθι τόνδε τὸν τρόπον ἔχουσαν· ἔστι δὲ μαλακότητος καὶ σκληρότητος σφυγμοῦ κοινὸν γένος, ὃ τάχ', ἂν τριβείη, καλεῖται σκληρότης. ἔτι δὲ σαφέστερον ἐν τῷ περὶ τάξεως καὶ ἀταξίας ὁμαλότητός τε καὶ ἀνωμαλίας λόγῳ, τὰ γένη τούτων τῶν διαφορῶν ἀκατονόμαστα λέγων εἶναι, τόνδε τὸν τρόπον ἄρχεται. ὁ δὲ Ἡρόφιλος κατὰ γένος τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἐκθέμενος οὕτως· μέγεθος, τάχος, σφοδρότης, ῥυθμός. ἀσυζύγως κατ' εἶδος τάξεως ἐμνήσθη καὶ [48] ἀταξίας ὁμαλότητός τε καὶ ἀνωμαλίας. ἐγκαλεῖται τοίνυν ὑπὸ τῶν μικραιτίων ὡς γένεσιν εἴδη ἀντιδιαστειλάμενος. ταῦτα μὲν κατὰ τὴν ἀρχὴν τοῦ λόγου· κατωτέρω δὲ οὐκέτι τὸ

intermitte recitationem libri, atque dic iftis nihil novare nos, fed fequi Archigenem. Eft enim omni in pulfu commune plurium differentiarum genus, ut hoc loco funt ab Archigene tria haec genera commemorata, magnitudo, vehementia, plenitudo. Tum quartum dic deinceps eum fcribere genus, duritiem. Atque caput recita, quod ita habet: *Mollitiei eft et duritiei pulfus commune genus, quae durities, fi receptum fit, vocetur fortaffe.* Clarius jam etiam in tractatu de ordine et perturbatione ordinis aequalitate et inaequalitate, genera dicens harum differentiarum nomen non fortita, hoc modo orditur Herophilus, qui generatim pulfuum protulit alias differentias hoc pacto: *Magnitudo, celeritas, vehementia, rhythmus: non conjunctim, fed fpeciatim ordinis meminit et perturbationis ordinis atque aequalitatis et inaequalitatis.* Unde curiofiores illum, qui generibus in partitione fpecies opponat, reprehendunt. Haec ad initium tractatus. Inferius, quum non

Ἡροφίλῳ δοκοῦν ἐξηγούμενος, ἀλλὰ τὴν ἑαυτοῦ γνώμην γράφων ἐν τῷ περὶ τάξεως καὶ ἀταξίας λόγῳ, τί φησι; μᾶλλον οὖν ῥητέον, ὅτι τὸ γένος ἐστὶν ἀκατονόμασον. τοῦτο δὲ δὴ τί βούλεται αὐτῷ, ὅτι μεγέθους μὲν καὶ μικρότητος τὸ κοινὸν γένος ὠνόμασε μέγεθος, καὶ σφοδρότητος καὶ ἀμυδρότητος σφοδρότητα, καὶ πληρότητος καὶ κενότητος πληρότητα, καὶ σκληρότητος καὶ μαλακότητος σκληρότητα, καὶ τάχους καὶ βραδύτητος τάχος, καὶ πυκνότητος καὶ ἀραιότητος πυκνότητα, τάξεως δὲ καὶ ἀταξίας τὸ γένος ἐπινοεῖ μὲν, ὄνομα δὲ οὐδὲν ἔχει κατ᾽ ἀμφοῖν τοιοῦτον εἰπεῖν, οἷον κατὰ μεγέθους καὶ μικρότητος τὸ μέγεθος; οὐ γὰρ ὥσπερ ἐκεῖ τῷ μικρῷ σφυγμῷ μέγεθος ὑπάρχειν ἔφησεν, οὕτω κἀνταῦθα τῷ ἀτάκτῳ τάξιν τολμᾷ φάναι συμβεβηκέναι· κατὰ ταὐτὰ δὲ οὐδὲ τῷ ἀνωμάλῳ ὁμαλότητα. ὅθεν οὐδὲ τούτων τὸ γένος τὸ κοινὸν ὁμαλότης ὠνόμασται. καὶ διὰ τοῦτο ἀκατονόμαστά φησι τούτων τῶν διαφορῶν εἶναι τὰ γένη. γένη μὲν δὴ κατὰ τὰς τῶν σφυγμῶν διαφορὰς οὐχ ἡμεῖς μόνον, ἀλλὰ Ἀρχιγένης εἶναί φησι καὶ Ἀγαθῖνος

Herophili alterius, ſed ſuam ipſius tradit mentem in capite de ordine et perturbatione ordinis, quid ait? Citius enim affirmaverim genus eſſe ſine nomine. Hoc autem quid ſibi vult, quod magnitudinis et parvitatis commune genus magnitudinem appellavit, vehementiae et remiſſionis vehementiam, plenitudinis et vacuitatis plenitudinem, duritiei et mollitiei duritiem, celeritatis et tarditatis celeritatem, crebritatis et raritatis crebritatem, at ordinis et perturbationis ordinis mente quidem concipit, ſed nomen non poteſt amborum tale exprimere, quale magnitudinis et parvitatis, magnitudinem? Neque enim, ut illic parvo pulſui magnitudinem ait ſuppetere, et hic dicere audet in inordinatum cadere ordinem, neque vero etiam in inaequalem aequalitatem. Quare nec genus horum commune nominatur aequalitas. Itaque nomine ait vacare harum genera differentiarum. Genera ergo ſecundum pulſuum differentias non nos modo, ſed Archigenes eſſe dicit, ſed Agathinus,

καὶ πάντες σχεδὸν οἱ περὶ σφυγμῶν γράψαντες ὑπομνήματα. πῆ τοίνυν αὐτῶν διαφέρομεν; ὅτι κυριωτέροις ἡμεῖς χρώμεθα τοῖς ὀνόμασιν. εἰπόντος γὰρ Ἀρχιγένους κατὰ μέγεθος εἶναί τινα ποιότητα, καὶ αὖθις ἑτέραν κατὰ σφοδρότητα, καὶ τρίτην κατὰ πληρότητα, καὶ τετάρτην κατὰ σκληρότητα, καί τινας ἐπὶ ταύταις κατὰ τάχος καὶ πυκνότητα, τὴν μὲν κατὰ μέγεθος ἡμεῖς κατὰ τὸ ποσὸν τῆς διαστολῆς ὀνομάσομεν. οὐ γάρ ἐστι κοινὸν γένος μεγέθους καὶ μικρότητος μέγεθος, οὐ μᾶλλον ἢ λευκότητος καὶ μελανότητος λευκότης. ἀλλ᾽ εἴπερ τούτων γένος τι τὸ χρῶμα, ζητητέον τί ποτ᾽ ἐστὶ τοῦ μεγάλου καὶ μικροῦ γένος. ἢ γὰρ τὸ ποσόν ἐστιν, ἢ τὸ πρός τὶ, ἢ σύνθετον ἅμα τῷ πρός τὶ καὶ τὸ ποσόν. ἴσμεν γὰρ ὅτι κατὰ πολλὰ γένη συνίστατο τὸ πρός τί. καὶ γὰρ λευκότερον καὶ μελάντερον ἐν τῷ γένει τοῦ χρώματος. ποιὸν δὲ τὸ χρῶμα. καὶ ἀνωτέρω καὶ κατωτέρω πάλιν ἐν τῷ τοῦ ποῦ γένει. καὶ πρωϊαίτερον καὶ ὀψιαίτερον ἐν τῷ τοῦ πότε, καὶ κατ᾽ ἄλλας πλείους γενικὰς κατηγορίας τὸ πρός τὶ συνίσταται. τί δὴ θαυμαστὸν, εἰ καὶ κατὰ τὴν τοῦ ποσοῦ συνέστη;

fed qui de pulfibus commentati funt, pene omnes. Ubi ergo ab illis diffidemus? quod vocabulis nos magis utimur propriis. Nam quum quandam Archigenes magnitudinis qualitatem dicat effe, alteram vehementiae, tertiam plenitudinis, quartam duritiei, et quasdam praeterea celeritatis atque crebritatis, magnitudinis qualitatem nos quantitatem diftentionis nominavimus. Neque eft enim commune magnitudinis et parvitatis genus magnitudo potius quam albedinis et nigritiei albedo. Sed fi harum eft color genus, quodnam magni fit et parvi genus, quaerendum eft; nam aut quantitas eft, aut ad aliquid, aut conjuncta cum ad aliquid quantitas. Neque enim fumus nefcii multis generibus effe commune ad aliquid: fiquidem albius et nigrius funt in genere coloris, et qualitas color eft; jam fuperius atque inferius etiam in genere ubi, maturius item et tardius in genere quando. Et vero etiam aliis in pluribus generalibus praedicamentis ad aliquid verfatur. Quid igitur admirationis habet, fi et in praedicamento quantitatis locum habet?

μάλιστα γὰρ ἂν ἐβουλήθημεν, εἴπερ ἦν δυνατὸν, ὡρισμένῳ μέτρῳ τὸ ποσὸν τῆς διαστολῆς ὀνομάσαι, καθάπερ ἐπὶ πολλῶν ποδιαῖόν τε καὶ πηχυαῖον, ἢ διπηχυαῖον, καὶ τὰ τοιαῦτα καλοῦμεν. ἐπεὶ δὲ οὐδὲν εὕρομεν τοιοῦτον ἐκ τῶν ἐνόντων, ἐγγυτάτω προσίεμεν ὡρισμένων. γιγνώσκοντες γὰρ, οἶμαι, τόν θ᾽ ἁπλῶς καὶ τὸν καθ᾽ ἕκαστον ἡμῶν σύμμετρον σφυγμὸν, τοὺς ὑπερβάλλοντας ἢ ἐλλείποντας ὀνομάζειν σαφῶς πειρώμεθα, ποτὲ μὲν οὑτωσὶ λέγοντες, ἢ κἂν μὴ λέγωμεν πρὸς ἀλλήλους, ἐν ἡμῖν γοῦν αὐτοῖς νοοῦντες, οὗτος ὁ σφυγμὸς βραχὺ τοῦ συμμέτρου μείζων ἐστὶν, αὖθις δὲ πάλιν, οὗτος ὁ σφυγμὸς οὐκ ὀλίγῳ τοῦ συμμέτρου μείζων ἐστί. τὸ δ᾽ αὐτὸ καὶ οὕτως λέγομεν, ἀξιολόγως τοῦ συμμέτρου μείζων, ἢ ἱκανῶς μείζων· ἢ πάλιν ἁπλῶς, οὑτοσὶ μέγας ἐστὶν ὁ σφυγμός· ἢ καὶ οὕτως, ὁ σφυγμὸς οὗτος ἱκανῶς μέγας ἐστί· ἢ καὶ νὴ Δία οὕτως, πάνυ μέγας ὁ σφυγμὸς οὗτός ἐστι· ἢ μᾶλλον ἔτι προσαύξοντες τὴν νόησιν πάνυ σφόδρα μέγαν εἶναί φαμεν, ἢ καὶ νὴ Δία μέγιστον. ἅπασαι γὰρ αἵδε αἱ λέξεις τὸν τοῦ συμμέτρου μείζονα δηλοῦσαι, τὸ μᾶλλόν τε καὶ

Sane nihil mallem, ſi quidem poſſet, quam certo termino quantitatem diſtentionis appellare, ſicut in multis pedale, cubitale, bicubitale, et ejuscemodi vocamus. Atqui quando ejuscemodi ex accidentibus nihil invenimus, quamproxime ad certos acceſſimus. Nam quum teneamus quidem pulſum moderatum abſolute, et moderatum ad ſingulos nos: excedentes modum, et qui infra modum ſunt, damus operam ut clare nominemus: atque ſic interim dicimus: aut, ſi cum nemine loquamur, nobiscum certe cogitamus: Hic pulſus aliquanto eſt moderato major: alias, non paulo hic pulſu moderato major eſt. Idem etiam ſic dicimus, bene major moderato, aut ſatis major, aut etiam abſolute, hic magnus eſt pulſus: vel hoc modo, pulſus hic ſatis magnus eſt: vel hercle, admodum eſt magnus hic pulſus: aut quum longius etiam intelligentiam protendimus, majorem in modum dicimus magnum eſſe, aut denique maximum. Nam omnes hae dictiones moderato majorem denuntiantes, majo-

ἧττον ἐμφαίνουσιν, ὥστε τινὰ τὸ πρὸς τὴν χρείαν σύμμετρον αὐταρκέστατον δηλοῦν, εἰ μόνον ἐπιστάμενος εἴη τὸ σύμμετρον. ἀρκεῖ γὰρ ἐν αὐτῷ τῷ μείζονι [49] τοῦ συμμέτρου, πέντε ποιησάμενον, ἢ καὶ νὴ Δία ἓξ διαφορὰς, τὸν μὲν ὑπὲρ ἅπαν(25)τας, ὃν ἡμῖν καὶ αὐτὸν ἐγνῶσθαι χρὴ, καθάπερ τὸν σύμμετρον, ὀνομάζειν μέγιστον, τὸν δ᾽ ὥσπερ μέσον τοῦ μεγίστου καὶ τοῦ μέσου μέγαν ἁπλῶς. μεταξὺ δὲ τούτου τε κἀκείνου καθ᾽ ἑκάτερον ἄλλους δύο τάξαι, τὸν μὲν ὀλίγῳ τοῦ συμμέτρου μείζονα, τὸν δ᾽ ἀπολειπόμενον ὀλίγῳ τοῦ μεγάλου, καὶ τὸν μὲν ὑπὲρ τὸν μέγαν τὸν ἐγγυτάτω τοῦ μεγίστου. ταῦτα εἴρηταί μοι πρὸς ἔνδειξιν τοῦ δηλωτικὸν ποσότητος εἶναι τόν τε μέγαν καὶ τὸν μικρὸν, κἂν ὅτι μάλιστα δοκῶσι τῆς τοῦ πρός τι κατηγορίας ἔχεσθαι. διὰ τοῦτο οὖν ἡμεῖς τοῦ σαφοῦς τῶν μανθανόντων πεφροντικότες, κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἅπαντα τὰ τοιαῦτα ὠνομάσθαι λέγομεν, ἅμα μὲν τὴν χρείαν αὐτοὺς διδάσκοντες τῶν ὀνομάτων, ἅμα δὲ οὐ ταράττοντες, ὅταν τῷ μικρῷ τὸ μέγεθος ὑπάρχειν λέγωμεν. ἄν τε γὰρ καὶ ἰδιώτης τις ᾖ καὶ ἀγύμναστος τῶν

rem exceffum et defectum oftendunt. Quare optime valeas moderatum, qui requiritur, oftendere, modo moderatum cognofcas. In ipfo enim majore, quam eft moderatus, fatis eft quinque facere, aut certe fex differentias. Eum qui excedat omnes, qui nobis animadvertendus etiam eft, non fecus ac moderatus, maximum vocabimus; qui medius eft inter maximum et medium, magnum fimpliciter. Jam interponendi huic et illi utrinque alii duo: unus paulo major moderato, alter, qui magno paulum concedit; alius jam qui magnum fuperet, alius qui proximus fit maximo. Haec adduxi, ut demonftrarem magnum et parvum, ut videantur effe quam maxime praedicamenti ad aliquid, quantitatem fignificare. Quocirca nos, qui ut clare intelligant difcipuli, curamus, ex quantitate diftentionis omnia dicimus illa nominata effe, fimulque ufum eos nominum docemus, nec perturbamus, quum parvitati dicamus magnitudinem ineffe. Nam fi vel idiota fis et primarum difciplinarum im-

πρώτων μαθημάτων, πᾶν μᾶλλον ἢ τοῦτο προσήσεται, ἂν δ᾽ ᾖ τι καὶ προμεμαθηκὼς, εὕρηκεν, οἶμαι, μυριάκις παρὰ τοῖς Ἕλλησι γεγραμμένα μέγεθος καὶ μικρότητα. καὶ συνείθισται τῷ μὲν μεγάλῳ μέγεθος ὑπάρχειν νοεῖν, τῷ δὲ μικρῷ μικρότητα. καί τινα οἶδά ποτε ἐξηγούμενόν μοι τὸ τοῦ Ἀρχιγένους περὶ τῶν σφυγμῶν βιβλίον, ὑπολαβόντα μηδαμῶς ὑπάρχειν μέγεθος τῷ μικρῷ. εἰ γὰρ δὴ τούτῳ τινὶ, φησὶν, ἡ μικρότης ὑπάρξει, καὶ ἀμφότερα τῷ αὐτῷ. διασιωπήσαντος δέ μου, ποσότητα μὲν ἔφησεν, ἢ πηλικότητα, ἤ τι τοιοῦτον ἄλλο δύνασθαι νοεῖν ὑπάρχειν τῷ μικρῷ, μέγεθος δὲ οὐδαμῶς. ταῦτ᾽ ἐγὼ μήτε διαβάλλειν ἔχων, ὡς οὐκ ὀρθῶς εἰρημένα, μήτε παρὰ καιρὸν ταράττειν βουλόμενος τοὺς πρῶτον μανθάνοντας, ἐν τῷ διδάσκειν αὐτοὺς, ὅτι τῶν ὁμωνύμων τε καὶ διχῶς λεγομένων τὸ μέγεθός ἐστιν, ὀρθότερον ἐνόμισαα λέγειν δεῖν, κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνίστασθαι πολλὰς διαφορὰς σφυγμῶν. οὕτως γὰρ οἶδα τὴν μικρότητα δι᾽ ἔθους τοῖς Ἕλλησιν οὖσαν, ὥς τι συμβεβηκὸς καὶ ἀχώριστον τῶν μικρῶν. ὥστε που Πλάτων καὶ ἰδέας

peritus, quidvis potius quam hoc concedes; quas fi antea attigifti, profecto millies offendifti fcriptas apud Graecos magnitudinem et parvitatem, esque ad concipiendum affuetus, magnum habere magnitudinem atque parvum parvitatem. Equidem novi quendam qui olim Archigenis mihi de pulfibus librum interpretaretur, qui parvo credebat nullam fuppetere magnitudinem. *Nam fi*, inquit, *cuipiam adfit parvitas, etiam eidem aderunt ambae.* Hic ego quum tacuiffem, quantitatem, inquit, aut tale aliquid parvo cogeris fuppetere, magnitudinem nequaquam. Haec ego, quia ut parum recta non valeo calumniari, neque inftituendos tirones volo importune confundere, quando homonymum eft magnitudo, et de his, quae bifariam dicuntur, fatius effe dicendum duxi, diftentionis quantitatem multas differentias pulfuum complecti. Nam eum fcio parvitatis effe apud Graecos ufum, ut quoddam accidens et infeparatum a parvis. Itaque Plato etiam ideas efficiebat magnitudinis et

ἐποίει μεγέθους τε καὶ μικρότητος, καὶ τῇ τούτων μεταλήψει τὸ μέγα καὶ τὸ μικρὸν ἐγέννα τῷ λόγῳ. καὶ ταῦτα εἴ τις πάντα παρελθὼν, συγχωρήσειε μεγέθους τι καὶ τοῖς μικροῖς ὑπάρχειν σφυγμοῖς, κατὰ θάτερον τῶν κατὰ τὴν ὁμωνυμίαν σημαινομένων τὸ σπανιώτερον, ἀλλὰ τοῖς γε μακροῖς καὶ βραχέσι καὶ πλατέσι καὶ στενοῖς καὶ ταπεινοῖς καὶ ὑψηλοῖς ἐκ ταὐτοῦ γένους οὖσι τῷ τε μεγάλῳ καὶ μικρῷ πῶς ἂν ὑπάρχειν λέγοιτο μέγεθος; ὁ μὲν γὰρ μακρὸς ὁ κατὰ μῆκός ἐστιν ἐπιπλέον ηὐξημένος τῷ κατὰ φύσιν, ὁ δὲ πλατὺς ὁ κατὰ πλάτος, καὶ ὑψηλὸς ὁ κατὰ βάθος, οὐδεὶς αὐτῶν κατὰ τὰς τρεῖς διαστάσεις νοούμενος τῆς ἀρτηρίας, ὧν οὐκ ἄνευ μέγεθος συνίσταται. τὸ γὰρ κατὰ μίαν διάστασιν ποσὸν οὐ μέγεθος, ἀλλὰ μῆκός ἐστι, καὶ μακροὺς καὶ βραχεῖς κατὰ τοῦτό τινας λέγομεν, οὐ μεγάλους, οὐδὲ μικρούς. οὐδὲ γὰρ γραμμὴν οὕτω ποτὲ καλοῦμεν, ἀλλ' ἤτοι μακρὰν, ἤτοι βραχεῖαν. ὅσα δὲ τριχῇ διέστηκε σώματα, ταῦτα μόνα μεγάλα τε καὶ μικρὰ λέγεται. αὐτὸς γοῦν ὁ Ἀρχιγένης μέγεθος εἶναί φησι σφυγμοῦ τὸν ὄγκον τῆς ἐπαναστάσεως τῶν ἀρτηριῶν.

parvitatis; ac harum viciſſitudine magnum et parvum generabat ratione. Atque his ſi quis omnibus praeteritis, magnitudinem parvis pulſibus aliquam ineſſe concedat ſecundum alteram homonymorum ſignificationem rariorem: ſed et longis jam et brevibus et latis et anguſtis humilibusque, et altis, quum ejusdem ſint generis cum magno et parvo, ineſſe dicat magnitudinem? Nam longus eſt, qui longitudinem naturalem excedit; latus, qui latitudinem: altus, qui profunditatem; quorum intelligitur nullus in tribus dimenſionibus arteriae, citra quas nulla conſtet magnitudo. Siquidem quantitas unius dimenſionis non magnitudo, ſed longitudo eſt, ex qua aliquos longos et breves vocitamus, non magnos vel parvos. Neque vero ita lineam unquam appellamus, ſed aut longam, aut brevem. Verumenimvero illa demum quae triſariam corpora dimenſa ſint, magna dicimus et parva. Atque adeo ipſe Archigenes magnitudinem eſſe pulſus ait tumorem aſſurgentis arteriae. Atqui tumo-

ὄγκος δὲ οὐχ ὑπάρχει γραμμῇ, ἀλλὰ μόνοις τοῖς τριχῶς διεστῶσι. φανερῶς γοῦν καὶ κατ᾽ ἐκεῖνον τοῦ κατὰ μέγεθος γένους ἐκπεπτώκασιν ἅπαντες οἱ κατὰ μίαν διάστασιν λεγόμενοι σφυγμοί. ἢ τοίνυν ἴδιον ἑξῆς ποιησάτω γένος, ὥσπερ τῷ μεγάλῳ τε καὶ μικρῷ τὸ μέγεθος, ἢ μὴ ποιῶν, ζητησάτω μὴ μεγάλου μόνον καὶ μικροῦ κοινὸν γένος, ἀλλὰ καὶ μακροῦ καὶ βραχέος καὶ πλατέος καὶ στενοῦ καὶ ὑψηλοῦ καὶ [50] ταπεινοῦ, καὶ τῶν ἄλλων ἐν ἅπασιν αὐτοῖς συμμέτρων. ἀλλ᾽ οὐδὲν ἕξει κατὰ πάντων κοινῇ κατηγορῆσαι πλὴν τοῦ ποσοῦ. γίγνοιτο δ᾽ ἂν οὕτω καὶ ἡ διδασκαλία πᾶσα σαφὴς καὶ διηρθρωμένη. τίς γὰρ εἰς τοσοῦτον σκαιός ἐστιν, ὡς μὴ συνιέναι τῶν οὑτωσὶ λεγομένων, τὸ ποσὸν τῆς διαστολῆς τῶν ἀρτηριῶν, ὅταν μὲν τὸ κατὰ μίαν διάστασιν ἡντιναοῦν δηλῶσαι βουληθῶμεν, ὀνόμασι τοῖσδε χρώμεθα, τὸν μὲν ὑπερβάλλοντα τὸ κατὰ φύσιν μῆκος μακρὸν, τὸν δ᾽ ἐλλείποντα βραχὺν καλοῦμεν, ὡσαύτως δὲ καὶ τὸν μὲν ὑπὲρ τὸ κατὰ φύσιν πλάτος πλατὺν, τὸν δὲ ἐναντίον αὐτῷ στενὸν, καὶ ὑψηλὸν αὖ καὶ ταπεινὸν ἀνάλογον τούτοις ἐν τῇ κατὰ βάθος

re linea caret, quae folis trifariam dimenfis convenit. Proinde omnes clare, vel de illius fententia, a magnitudinis genere, qui ex una dimenfione nomen fortiti pulfus funt, rejiciuntur. Quare aut peculiare faciat ipfis genus, ut magno et parvo magnitudinem; aut, nifi faciat, non magni tantum et parvi quaerat commune genus, fed etiam longi et brevis, lati et angufti, alti et humilis, caeterorumque adeo in iis moderatorum. Verum praeter quantitatem, quod de omnibus dicatur in communi, nihil habebit. Atque ita evadet quoque clara doctrina et diftincta. Nam quis eft tam plumbeus, ut non affequatur, quum dicitur, quantitatis arteriarum diftentionis? Ubi quantitatem unius dimenfionis demonftrare volumus, haec ufurpamus nomina; eum qui fuperat naturalem longitudinem longum; qui inferior eft ea, brevem appellamus. Simili modo qui jufta latitudine eft latior latum; qui ei contrarius eft, anguftum; atque proportione horum altum et humilem in profundi-

διαστάσει. τὸ δὲ κατὰ τὰς τρεῖς ἅμα διαστάσεις ποσὸν ὧδέ πως ὀνομάζομεν, τὸν μὲν ἐπὶ πλεῖον τοῦ κατὰ φύσιν ηὐξημένον πάντη μέγαν, τὸν δὲ πάντη μεμειωμένον μικρόν. ὅστις δ᾽ ἂν φυλάττη πάντη τὸ κατὰ φύσιν μέτρον, σύμμετρον τὸν τοιοῦτον καλοῦμεν. ὅταν δὲ μὴ φυλάττωσι τὴν ἀναλογίαν αἱ τρεῖς διαστάσεις, ἀλλά τις ἐξ αὐτῶν ἤ τινες ἐλλίπωσιν, ἢ πλεονεκτήσωσι, τέτταρες καὶ εἴκοσι διαφοραὶ σφυγμῶν γίγνονται, ἃς ἡμεῖς ἐπὶ διαγράμματος ἐξεθέμεθα μετὰ τῶν προειρημένων τριῶν, ἵνα δείξωμεν ἑπτὰ καὶ εἴκοσιν εἶναι τὰς πάσας τῶν κατὰ τὰς τρεῖς ἅμα διαστάσεις συνισταμένων σφυγμῶν διαφοράς. τοῦτο γὰρ ἦν, οἶμαι, χρήσιμον τοῖς ἀρχομένοις μανθάνειν τὴν κατὰ τοὺς σφυγμοὺς θεωρίαν, ἁπάντων γνῶναι τὸν ἀριθμὸν αὐτῶν καθ᾽ ἕκαστον γένος, ὅπερ οἱ πρὸ ἡμῶν παραλελοίπασιν. ἀλλὰ τοῖς μὲν ἄλλοις συγγνώμη. τί γὰρ ἄν τις τοῖς τελέως καταπεπτωκόσι προσπαλαίοι; τοῖς δὲ περὶ τὸν Ἀρχιγένην πῶς οὐκ ἂν ἐγκαλέσαιμεν εἰκότως; οἷς δέον εἰς τὴν τῶν τοιούτων εὕρεσιν χρῆσθαι τῇ διαλεκτικῇ, οἱ δ᾽ ἐν οἷς οὐ χρὴ παρεπιδείκνυνται κακῶς

tatis dimenfione. At vero quantitatem in trinis dimenfionibus ad hunc modum vocamus, majorem in modum undique ultra moderatum auctum magnum, et omni ex parte diminutum parvum; qui modum fervet prorfus aequum, moderatum hunc appellamus. Quum vero a proportione tres illae dimenfiones difcedunt, atque aliqua vel aliquae illarum imminuuntur vel exuperant, quatuor et viginti nafcuntur differentiae pulfuum; quas nos quo viginti feptem effe obtinentium tres dimenfiones pulfuum univerfas differentias oftenderemus, cum praedictis tribus in tabella propofuimus. Namque hoc vifum mihi eft horum referre, qui jam primum ad commentationem addifcendam de pulfibus appulerunt, omnium tenere eorum fingulis in generibus numerum; id quod priores neglexerunt. Sed his fane venia danda eft: quid enim cum iftis lucteris qui omnino conciderunt? Archigenem vero qui non jure accufem? quem ad ea oportebat invenienda dialectica uti; ille ubi minime de-

αὐτὴν, ταράττοντες μόνον τοὺς μανθάνοντας, διδάσκοντες δ᾽ οὐδέν. ἄμεινον γὰρ ἦν ἔχοντάς γε διαιρετικὴν καὶ συνθετικὴν μέθοδον, ἐξευρίσκειν μὲν αὐτῇ τὸ πλῆθος ἁπάντων τῶν ἐν τοῖς σφυγμοῖς διαφορῶν, μὴ μέντοι παρεπιδείκνυσθαί γ᾽ ὀψιμαθῶς, ἀλλὰ μηδὲ δηλοῦν αὐτὸ τοῦτο τοῖς εἰσαγομένοις, ὡς ἐστί τις μέθοδος καθ᾽ ἣν συνέστη τὸ διάγραμμα. τοῖς μὲν γὰρ μὴ μεμαθηκόσι τὰ παιδικὰ μαθήματα μάτην ἐρεῖς, οἱ μεμαθηκότες δὲ καὶ πρὸ τοῦ σε μηνῦσαι γνωρίζωσιν ἐκ τῶν ἔργων τὴν μέθοδον. τί δή ποτ᾽ οὖν οὐδεὶς αὐτῶν οὔτε τῇ διαιρετικῇ φαίνεται κεχρημένος μεθόδῳ πρὸς τὴν ἐξαρίθμησιν τοῦ καθ᾽ ἕκαστον γένος πλήθους οὔτε τῇ συνθετικῇ πρὸς τὴν τῶν πρώτων εὕρεσιν; καίτοι διαλεκτικοῖς μόνοις ταύταις ἐστὶ χρῆσθαι μεθόδοις, ποτὲ μὲν ἀπὸ τῶν ἀτόμων τε καὶ ἀπεράντων τὸ πλῆθος ἐπὶ τὸ ἓν ἐκεῖνο τὸ πρῶτον ἁπάντων γένος ἀνιόντα διὰ τῶν ἐν μέσῳ γενικῶν τε καὶ εἰδικῶν διαφορῶν, ποτὲ δ᾽ ἀπ᾽ ἐκείνου πάλιν ἐπὶ τὸ ἄπειρον ἰόντα διὰ τῶν αὐτῶν τῶν ἐν μέσῳ. ἀλλὰ τούτων

cet, illic male eam oftentat, obtundens tantum difcipulos, nihil interim docens. Atqui praeftabat, parata dividendi componendique via et ratione, numerum per eam omnium differentiarum pulfuum inveftigare, non tamen oftentare iis qui jam fenes demum ad difcendum fefe conferunt, fed ne indicare quidem hoc ipfum tironibus, effe rationem et viam qua conftat tabella. Nam iis qui humanis ftudiis non funt inftituti, nequicquam dicas: qui illis imbuti funt, prius ex rebus ipfis quam tu admoneas, rationem illam et viam cognofcant. Qui ergo factum eft, ut nemo iftorum quisquam dividendi videatur ratione ufus ad numerum cujusque generis differentiarum ineundum, neque ad invenienda prima componendi? Quanquam dialecticis folis utendi facultas datur harum viarum rationumque, interim ab indivifis et numero infinitis ad primum illud afcendentibus omnium genus, per eas quae in medio funt, genericasque ac fpeciales differentias; interim vero ab illo primo genere rurfus ad infinitum pergentibus per easdemmet, quae in medio funt, differentias. Sed horum eft aufus nullus ulla conftituere

Ed. Chart. VII. [50. 51.] Ed. Baf. III. (25. 26.)

οὐδεὶς ἐτόλμησεν οὐδεμιᾷ μεθόδῳ πιστώσασθαι τὸν ἀριθμὸν, ἢ τῶν πρώτων γενῶν, ἢ τῶν ἐκ τῆς τούτων τομῆς γινομένων διαφορῶν. ἀλλ' ἡμεῖς γε πεποιήκαμεν αὐτὸ, καὶ ὡς ἂν ὁδῷ βαδίζοντες εὕρομεν τῶν ἑπτὰ καὶ εἴκοσι σφυγμῶν τῶν κατὰ τὰς τρεῖς διαστάσεις λεγομένων καὶ τῶν ἐννέα τῶν κατὰ μίαν ἓν κοινὸν γένος τὸ ποσὸν ἐν τῇ διαστολῇ τῆς ἀρτηρίας. εἰ δὲ καὶ τὴν συστολὴν ἔνεστιν ἁφῇ γνωρίζειν, γένοιτο ἂν, οἶμαι, κἂν ταύτῃ τὸ (26) ἴσον πλῆθος τῶν διαφορῶν. ἀλλὰ περὶ μὲν τούτου ζητήσομεν ἐν τοῖς περὶ διαγνώσεως.

Κεφ. ζ. [51] Ἀρχιγένης δὲ, τούτου γὰρ πρώτου δίκαιον μνημονεύειν, μετά γε τὸν Ἡρόφιλον ἐπιφωνήσαντας τὸν Ὅμηρον·

Οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσιν,

οὐ μόνον ἐν τοῖς ὀνόμασιν ἔοικεν, ἀλλὰ καὶ πολὺ πρότερον ἐν τοῖς πράγμασιν αὐτοῖς τεταράχθαι. καὶ διὰ τοῦτο παρὰ πόδας ἑαυτῷ τἀναντία λέγων οὐκ αἰσθάνεται· μάθοις δ' ἂν ἐξ αὐτῆς τῆς λέξεως, ἐχούσης ὧδε· εἰσὶ δέ τινες ἄλλοι

via et ratione numerum, vel primorum generum, vel ab diftributis proficifcentium differentiarum. Verum nos quidem hoc effecimus, et quafi via progredientes, viginti feptem pulfuum reperimus qui tres habent dimenfiones; et eorum novem qui unam, unum commune genus, quantitatem diftentionis arteriae. Quod fi etiam contractionem eft tactu cognofcere, et in hac quoque erunt fcilicet totidem differentiae. Sed de hac re in libris De dignofcendis pulfibus difceptabimus.

Cap. VII. At vero Archigenes, hujus enim folius aequum eft meminiffe, poft Herophilum inclamantes Homericum illud,

Unicus ille fapit, tibi mens involvitur umbris,

non in nominibus modo videtur, fed longe etiam in rebus prius confufus effe. Quo fit, ut paffim fe non percipiat fecum pugnare. Difcas id ex his ipfis verbis: *Sunt porro alii*

Ed. Chart. VIII. [51.] Ed. Baf. III. (26.)

σφυγμοὶ οὔτε μέσοι οὔτε μεγάλοι οὔτε μικροὶ κατὰ μέγεθος θεωρούμενοι, ἢ τάς γε τοῦ μεγέθους διαστάσεις. εἶθ᾽ ἑξῆς φησιν· ἔστι γὰρ σφυγμὸς κατὰ μῆκος τῆς ἀρτηρίας διϊσταμένης ἐφ᾽ ἱκανὸν, στενουμένης δὲ κατὰ τὸ πλάτος καὶ ταπεινότερον ἐγειρομένης. καλείσθω μακρός. ἕτερος δὲ πλατείας μὲν τῆς διαστολῆς, ταπεινῆς δὲ κατὰ τὸ μῆκος βραχείας ὑποπιπτούσης, καλείσθω πλατύς. τρίτος ἱκανῶς εἰς ὕψος ἐπαιρομένης, στενῆς δὲ καὶ βραχείας κατὰ μῆκος σπάνιος ὢν, ὑψηλὸς λεγέσθω. ἐν τούτοις προὔθετο μὲν εἰπεῖν τοὺς κατὰ μίαν διάστασιν λεγομένους, μὴ συνεπινοουμένων τῶν λοιπῶν δυοῖν. ἀπεπλανήθη δὲ καὶ περὶ τῶν κατὰ τὰς τρεῖς διαστάσεις νενοημένων γράφων. τὸν μὲν γὰρ πρῶτον αὐτῶν οὐ μακρὸν μόνον, ἀλλὰ καὶ στενὸν καὶ ταπεινὸν πεποίηκεν, οὐ τῇ νοήσει μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς ὀνόμασι. τί γάρ φησι; κατὰ μῆκος μὲν τῆς ἀρτηρίας διϊσταμένης ἐφ᾽ ἱκανὸν, στενουμένης δὲ κατὰ πλάτος, καὶ ταπεινότερον ἐγειρομένης, τὸ μὲν γὰρ στενουμένης κατὰ πλάτος τὸν στενὸν σφυγμὸν δηλοῖ, τὸ δὲ, καὶ ταπεινότερον ἐγειρομένης τὸν ταπεινὸν

pulſus, hique nec medii, nec magni, nec parvi, ex magnitudine cenſentur, vel ex magnitudinis dimenſionibus. Mox ſubdit: *Eſt enim pulſus, quum longitudine arteria diſtenditur inſigni, ſed latitudine anguſta, et humilius etiam ſublata; vocetur longus. Alter, quum lata quidem diſtentio, ſed humilis et longitudine brevis occurrit; appelletur latus. Tertius, ubi admodum attollitur, anguſta tamen et longitudine eſt brevis, eſt autem hic rarior; vocetur altus.* Hic erat illi de iis propoſitum dicere qui unam habent dimenſionem, remotis reliquis duabus: ſed de inſtituto argumento abductus eſt, quod de illis etiam ſcribat qui tribus dimenſionibus intelliguntur. Nam eorum primum non longum modo, verum etiam anguſtum et humilem fecit, neque id tantum conceptione, ſed et verbis. Nam quid ait? Quum longitudine arteria diſtenditur inſigni, ſed latitudine anguſta et humilius eſt ſublata. Nam latitudine anguſta anguſtum pulſum ſignificat, et humilius ſublata humilem.

πεινόν. πάλιν δ' αὖ τὸν δεύτερον οὐ πλατὺν μόνον, ἀλλὰ καὶ ταπεινὸν καὶ βραχὺν ἐποίησεν, οὐ τῇ νοήσει μόνον, ἀλλὰ καὶ τοῦτον τῇ λέξει. καὶ τὸν τρίτον δὲ κατὰ τὰ αὐτὰ οὐχ ὑψηλὸν μόνον, ἀλλὰ καὶ στενὸν καὶ βραχύν. εἰσὶ δὲ οἱ τρεῖς οὗτοι τῶν κατὰ τὰς τρεῖς διαστάσεις ἅμα λεγομένων τῶν ἑπτὰ καὶ εἴκοσιν, οὓς ἐπὶ τοῦ διαγράμματος ἐξεθέμεθα. γέγραπται δὲ ὁ μὲν πρῶτος ἐν τούτοις εἰρημένος ἔννατος ἐν τῷ διαγράμματι τόνδε τὸν τρόπον· μακρὸς, στενὸς, ταπεινός. ὁ δὲ δεύτερος ἐν τούτοις πρῶτος καὶ εἰκοστὸς ἐν τῷ διαγράμματι γέγραπται τόνδε τὸν τρόπον· βραχὺς, πλατὺς, ταπεινός. ὁ δὲ τρίτος ἐν αὐτοῖς πέμπτος καὶ εἰκοστός ἐστιν ἐν τῷ διαγράμματι, γέγραπται δὲ οὕτως· βραχὺς, στενὸς, ὑψηλός. ἢ τοίνυν τὴν ἀρχὴν τοῦ περὶ αὐτῶν ὑπαλλαξάτω λόγου, ἐν ᾧ φησι κατὰ μέγεθος αὐτοὺς θεωρεῖσθαι, ἢ τάς γε τοῦ μεγέθους διαστάσεις ἁπλῶς γραψάτω κατὰ μέγεθος, ἢ προσκειμένου τοῦ κατὰ τὰς τοῦ μεγέθους διαστάσεις, μηκέτι ἐκ τῶν κατὰ μέγεθος διαφορῶν αὐτοὺς ἡγείσθω. τί γὰρ καὶ βούλεται, πότερα τῶν κατὰ τὰς τρεῖς ἅμα διαστάσεις νοουμένων ὑπάρχειν αὐτοὺς, ἢ τῶν κατὰ μίαν μόνην; ἑκατέρως

Inde fecundum, non latum tantum, fed etiam humilem et brevem fecit, tam conceptu quam verbis. Eodem tertium modo, non altum folum, verum etiam anguftum et brevem; quum fint hi tres de iis qui trinis dimenfionibus dicuntur viginti feptem quos in tabella profcripfimus. Scriptus eft autem, qui hic primus relatus eft, in tabella nonus, hoc pacto: Longus, anguftus, humilis. Qui hic fecundus eft, primus et vigefimus eft in tabella defcriptus in hunc modum: Brevis, latus, humilis. Tertius hic in tabella eft vigefimus quintus, qui fic fcriptus eft: Brevis, anguftus, altus. Quare aut initium de iis fermonis immutet, ubi magnitudinem dicit eorum fpectari; aut magnitudinis certe dimenfiones fimpliciter tradat pro magnitudine; aut quando appofitum eft, *ex dimenfionibus magnitudinis*, ne in magnitudinis amplius differentiis eos numeret. Nam quid quaerit, utrum de his illos effe qui trinis fimul dimenfionibus aeftimantur, an de illis qui tantum una? Utrobique

γὰρ ἄπορον, εἰ μὲν τῶν κατὰ τὰς τρεῖς ἀκούοιμεν, ἁπάντων μὲν τῶν κατὰ μίαν διάστασιν παραλελειμμένων ἐννέα τὸν ἀριθμὸν ὄντων, ἄλλων δ᾽ ὀκτωκαίδεκα τῶν κατὰ τὰς τρεῖς ἅμα. ἐννέα γὰρ οὕτω φανεῖται μόνων μνημονεύων, τριῶν μὲν τῶν πρώτων ῥηθέντων, μεγάλου τε καὶ μικροῦ καὶ τοῦ μέσου αὐτῶν· τριῶν δὲ τῶν νῦν ῥηθέντων, καὶ τριῶν ἄλλων τῶν τούτοις ἐναντίων, ὧν ἑξῆς μνημονεύει, καὶ πρὸς τούτοις ἔτι μάτην προσκείσεται τῷ λόγῳ τῷ κατὰ τὰς τοῦ μεγέθους διαστάσεις. ἤρκει γὰρ ἁπλῶς εἰπεῖν κατὰ μέγεθος. ἂν δ᾽ αὖ πάλιν περὶ τῶν κατὰ μίαν διάστασιν νοουμένων, οἰηθῶμεν αὐτὸν ταῦτα γράφειν· [52] πρῶτον μὲν ἄτοπον τὸ μεμνῆσθαι καὶ τῶν λοιπῶν δυοῖν καθ᾽ ἕκαστον, ἔπειτα δὲ οὐκ ὀκτωκαίδεκα μόνους, ἀλλὰ τέτταρας καὶ εἴκοσι φανεῖται παραλελοιπὼς τῶν ἐκ τοῦ διαγράμματος. καὶ τρίτον ὅτι μοχθηρῶς δόξει λέγειν κατὰ μέγεθος αὐτοὺς θεωρεῖσθαι, δέον οὐ κατὰ μέγεθος, ἀλλὰ κατὰ τὰς διαστάσεις τοῦ μεγέθους εἰπεῖν, εἴ γε, ὡς αὐτὸς εἴρηκεν, ὄγκος τίς ἐστι τὸ μέγεθος. οὐ μὴν τό γε μῆκος αὐτὸ καθ᾽ ἑαυτὸ μόνον, ἀλλ᾽ οὐδὲ τὸ βάθος

eſt enim defectus. Si eos qui trinis aeſtimantur dimenſionibus, accipimus, quum omnes praetermittuntur unius dimenſionis, qui novem numero ſunt; tum alii deſiderantur octodecim, qui trium ſimul aeſtimantur dimenſionum. Ita enim novem tantum videbitur mentionem feciſſe; trium qui primi commemorati ſunt, magni, parvi mediique inter eos; deinde trium, quorum hic meminit; ad haec trium aliorum qui his ſunt oppoſiti, quos poſtea adducit. Ad haec fruſtra hoc orationi additum eſt, *ex magnitudinis dimenſionibus*, ſat enim dicere abſolute erat, *ex magnitudine.* Contra ſi de his qui una dimenſione aeſtimantur, exiſtimememus eum haec ſcribere: Primum alienum ſit reliquorum duorum in ſingulis meminiſſe. Deinde non jam octodecim caeterum quatuor et viginti illos ex tabella reliquerit. Tertio male videbitur dicere ex magnitudine cenſeri eos: quum non ex magnitudine ſit dicendum, ſed ex magnitudinis dimenſionibus; ſi quidem tumor, ut ipſe aſſeruit, eſt magnitudo. Quanquam non ſolum longitudo per ſe, ſed nunc

ἢ τὸ πλάτος ὄγκος ἐστὶν, ἀλλ᾽ ὥσπερ καὶ ὀνομάζεται διάστασις. οὐ ταὐτὸν δὲ δήπουθεν ὄγκος τε καὶ ὄγκου διάστασις μία. ἑκατέρως μὲν δὴ σφάλλεται πάντως ὁ τοῦ Ἀρχιγένους λόγος, διὰ τὸ συγκεχυμένως τε καὶ ἀδιαρθρώτως εἰρῆσθαι, καὶ οἷον ἐπαμφοτερίζειν τῇ νοήσει. κατὰ τί δὲ μᾶλλον ἠθέλησεν εἰπεῖν, εἰ χρὴ μαντευσάμενον ἀποφήνασθαι, καὶ τοῦτο τολμήσω. δοκεῖ μοι τοὺς κατὰ μίαν διάστασιν νοουμένους ἐπιχειρῆσαι γράφειν, καὶ διὰ τῆς ἀρχῆς γε αὐτὸ τοῦτο ἐνδείξασθαι, ἢ τάς γε τοῦ μεγέθους διαστάσεις εἰπεῖν, σφαλῆναι δὲ περὶ τὴν ἑρμηνείαν, ὡς ἂν ἐν ὅλῳ τῷ γράμματι συγκεχυμένος τε καὶ τεταραγμένος τὴν διάνοιαν. τὸ γὰρ ἀγνοεῖν ἑπτὰ καὶ εἴκοσιν εἶναι τοὺς κατὰ τρεῖς ἅμα διαστάσεις νενοημένους, μέγιστον τεκμήριον τοῦ παχεῖ λόγῳ καὶ ἀδιαρθρώτῳ περὶ αὐτῶν ἀποφήνασθαι. ὅτι δὲ ταύτης μὲν ἔχεται τῆς προαιρέσεως, ἁμαρτάνει δ᾽ αὐτῆς ἄκων, ἐκ τῶν ἐπιφερομένων ἐστὶ δῆλον. τί γάρ φησιν εὐθὺς ἐφεξῆς; συντρεχουσῶν γὰρ πολλάκις καὶ δυοῖν τινῶν διαστάσεων, ὥσθ᾽ ἅμα βραχὺν καὶ ταπεινὸν εἶναι, ἢ βραχὺν καὶ στενὸν, ἐπί τε

profunditas vel latitudo eſt tumor, caeterum, ut etiam appellatur, dimenſio. Neque ſane perinde eſt tumor, et tumoris una dimenſio. In utrumque igitur incurrit plane Archigenis oratio, quod nec diſtincte, nec diſtribute dixit, ſed intelligentia veluti ambigua. Caeterum in quam ille partem potius acceperit, ſi divinando oportet pronunciare, vel id audebo. Equidem voluiſſe dixerim hos deſcribere qui una dimenſione intelliguntur: idque adeo ipſum initio innuiſſe, quum dicit, *Vel ex magnitudinis dimenſionibus;* ſed in narrando offendiſſe, uti toto in libro, et animo conturbato fuiſſe et attonito. Nam quod hominem lateret eſſe ſeptem et viginti eos qui tribus ſimul dimenſionibus intelliguntur, maximum eſt argumentum, craſſa ratione minimeque diſtincta de illis ſtatuiſſe. Nam ejus eſſe hoc inſtitutum, et ab hoc illum deflectere invitum, ex ſuprapoſitis liquet. Nam quid tandem mox ſubdit? Etenim, quum etiam duae aliquae ſaepenumero dimenſiones concurrant, ut ſimul et bre-

τῆς ἑτέρας συζυγίας μακρὸν καὶ πλατὺν, ἢ μακρὸν καὶ ὑψηλόν. δῆλος γὰρ ἐκ τούτων ἐστὶ τοὺς προειρημένους κατὰ μίαν μόνην διάστασιν νοεῖσθαι βουλόμενος. τούτου γ᾽ οὖν κατὰ τὰς δύο μόνας γράφει, τὴν τρίτην ὅπως ἂν ἔχει παραλιπών. τί γάρ φησι; συντρεχουσῶν πολλάκις καὶ δυοῖν τινῶν διαστάσεων, ὥσθ᾽ ἅμα βραχὺν καὶ ταπεινὸν εἶναι. δεῖ γὰρ ἐν τούτῳ τῷ λόγῳ προεγνῶσθαι, τίς ὁ βραχὺς ἁπλῶς, καὶ τίς ὁ ταπεινὸς ἁπλῶς. ἢ οὐκ ἔσται σαφὴς ὁ βραχὺς ἅμα καὶ ταπεινός. ἀλλ᾽ οὐδὲ μακρὸς ἅμα καὶ πλατὺς γένοιτ᾽ ἄν ποτε σαφὴς, μὴ προνοηθέντος ἰδίᾳ καὶ κατὰ μόνας ἑκατέρου. χρὴ γὰρ πρότερον μὲν νοῆσαι τὸν μακρὸν ἰδίᾳ, μετὰ ταῦτα δ᾽ αὖ τὸν πλατὺν, ἰδίᾳ καὶ τοῦτον, ἔπειτα συντιθέναι τὰς νοήσεις αὐτῶν εἰς ταὐτὸν, καὶ οὕτως λέγειν μακρὸν ἅμα καὶ πλατὺν, ᾧ καὶ δηλονότι τεταραγμένος ἐναντία παρὰ πόδας αὐτῷ λέγει. τὸν μὲν γὰρ μακρὸν οὐκ ἠρκέσθη κατὰ μῆκος φάναι τῆς ἀρτηρίας ἐπὶ πολὺ διϊσταμένης γίνεσθαι. καίτοι γ᾽ ἤρκει τοῦτο μόνον, ἀλλὰ προσέθηκεν ἐκ περιττοῦ, στενουμένης δὲ κατὰ πλάτος καὶ ταπεινότερον

vis ſit et humilis, vel brevis et anguſtus, atque in alia conjugatione longus et latus, vel longus et altus, profecto hinc planum eſt eos illum, quos diximus, una tantum dimenſione accipi velle. Hos ſiquidem duabus dimenſionibus dumtaxat ſcribit, tertiae ſtatum praetermittit. Nam quid dicit? Etenim quum etiam duae aliquae ſaepenumero dimenſiones concurrant, ut ſimul et brevis ſit et humilis. Nam in hac oratione, qui brevis ſimpliciter ſit, cognoſcendum eſt, et qui humilis ſimpliciter; alioqui nos fugiet brevis ſimul et humilis. Quin nec longus pariter ac latus, niſi ante utrumque ſeparatim commentere, erit clarus. Primum enim longus ſeorſum eſt intelligendus, deinde ſeorſum ipſe etiam latus; poſtea illorum intelligentiae committendae una ſunt; ac tum dices denique longum ſimul et latum. Quapropter fit, ut a ſe ipſe quidem confuſus manifeſte diſſideat. Nam longum non ſatis habuit dicere, *quum longitudine arteria diſtenditur inſigni,* fieri; etſi hoc unum ſufficiebat; ſed fruſtra addidit, *ſed latitudine anguſta et humilius*

ἐγειρομένης. τὸν δὲ πλατὺν πάλιν οὐδ᾽ αὐτὸν ἠρκέσθη φάναι πλατείας τῆς διαστάσεως γινομένης, ἀλλὰ προσέθηκε, ταπεινῆς δὲ καὶ κατὰ μῆκος βραχείας. ἀλλ᾽ εἰ ταύτας με χρὴ τὰς ἐννοίας φυλάττειν, ὦ Ἀρχίγενες, πῶς νοήσω τὸν αὐτὸν ἅμα γινόμενον μακρὸν καὶ πλατὺν, ὡς ἑξῆς γράφεις; ἀφεῖλες γὰρ αὐτὸς σὺ τῆς μὲν τοῦ μακροῦ νοήσεως τὴν πλατύτητα, τῆς δὲ τοῦ πλατέος τὴν ὡς ἄν τις εἴποι μακρότητα. ταῦτα οὖν ἐναργῶς ἀλλήλοις διαφέρεται, κατὰ μὲν τὸν πρότερον λόγον ἐξαιροῦντος αὐτοῦ τῆς κατὰ τὸν μακρὸν ἐννοίας τὴν πλατύτητα, κατὰ δὲ τὸν δεύτερον φυλάττοντος. καὶ κατὰ τὸν πλατὺν καὶ ὑψηλὸν ὡσαύτως, ἐν μὲν τῷ προτέρῳ λόγῳ τῶν ὑπολοίπων καθ᾽ ἑκά(27)τερον δυοῖν διαστάσεων ὦσε τὴν ποσότητα, κατὰ δὲ τὸ δεύτερον φυλάττει. ταῦτα δὲ πάντα σφάλματα πέπονθεν ἐν τῇ τῶν ὀνομάτων ἐξηγήσει, διὰ τὸ πολὺ πρότερον ἐν αὐτοῖς τοῖς πράγμασιν ἐσφάλθαι. φαίνεται γὰρ οὔτε τῇ διαιρετικῇ μεθόδῳ κεχρημένος οὔτε τῇ συνθετικῇ κατ᾽ οὐδεμίαν τῶν διδασκαλιῶν. κινδυνεύω δ᾽ εἰπεῖν, ὅτι τὸ τῶν πολλῶν καὶ περὶ λόγους ἀγυμνάστων πέπονθεν, ὥστε πολλάκις μὲν ἐπι[53]χειρεῖν τὸ φύσεως σύνθετον ἀναλύειν εἰς τὰ πρῶτά τε καὶ ἁπλᾶ, πολλάκις

etiam ſublata. Rurſus latum parum erat dicere, *quum lata quidem diſtentio;* verum ſubjicit, *ſed humilis et longitudine brevis occurrit.* At ſi hae mihi ſunt, Archigenes, notiones obſervandae, quum longum eundem et latum intelligam, quod ſubdis fieri? Nam a longi notione tu ipſe latitudinem diſcluſiſti, et a lati longitudinem, ut ſic dicam. Atqui haec inter ſe pugnant plane: quum primo loco a longi notione abſtrahat latum, retineat ſecundo. Non aliter in lato et alto, primum a reliquis duabus dimenſionibus ſeparat longitudinem, deinde ſervat. In has ille omnes offenſiones nominibus exponendis, eo quod in ipſis rebus multo ante lapſus ſit, incidit. In nulla enim diſciplina videtur uſus ratione, vel dividendi, vel componendi. Ne dicam illi uſu veniſſe, quod vulgo ſolet et indoctis, ut naturae frequenter compoſitionem in prima et ſimplicia diſſolvere

Ed. Chart. VIII. [53.] Ed. Baf. III. (27.)

δὲ, ἐπεὶ μηδὲν τούτων ἰδίᾳ τε καὶ καθ᾽ ἑαυτὰ δυνατὸν ὑπάρχειν, ἵστασθαί τε καὶ παλινδρομεῖν ἐπὶ τὸ σύνθετον· αὖθις δ᾽ αὖ πάλιν, ἐπειδὴ σύνθετον ἀδιάρθρωτόν τε καὶ ἀδιώριστον ἔχει τὴν διδασκαλίαν, καὶ παντάπασιν ἰδιωτικήν τε καὶ ἄτεχνον, μὴ διαιρεθὲν εἰς τὰ πρῶτα, τοῦ διαιρεῖν ἀποστῆναι μὴ δύνασθαι, εἶτ᾽ ἐντεῦθεν πάλιν ἐπὶ τὸ σύνθετον ἀνακάμπτειν, ὡς ἂν ἀκριβῶς τῇ νοήσει τῶν ἁπλῶν ἕκαστον ἀδυνατοῦντα διορίζεσθαι· καὶ τοῦτον τὸν δίαυλον κάμπτοντά τε καὶ κυλινδούμενον ἐν τῷ μέσῳ τῶν ἄκρων, διαπαντὸς ἐπαμφοτερίζειν τε ταῖς νοήσεσι καὶ ταῖς εἰρημέναις ἐναντιολογίαις ἐξ ἀνάγκης συνέχεσθαι. χρὴ δ᾽, οἶμαι, τόν γε διαλεκτικὸν εἶναι προσποιούμενον ἕξιν ἱκανὴν ἔχειν, ὥστε τὸ προχειρισθὲν ἅπαν, ὅταν ᾖ σύνθετον, ἀναλύειν εἰς τὰ πρῶτά τε καὶ ἁπλᾶ κατ᾽ ἐπίνοιαν, οὐχ ὡς ἴδια καὶ μόνα πόθ᾽ ὑπάρξαντα, τοῦτο γὰρ ἀμήχανον, ἀλλ᾽ ὡς νοηθῆναι μόνα δυνάμενα, μὴ συνεπιβαλλόντων ἡμῶν ἐν τῷ νοεῖν αὐτὰ μηδεμιᾷ διαφορᾷ τῶν ἐξ ἀνάγκης ἐζευγμένων. ὡς γὰρ σιμὸν ἄνθρωπον νοοῦμεν καὶ γρυπὸν, οὔτ᾽ εἰ μέγας ἐστὶν ὁ τοιοῦτος, οὔτε εἰ μικρὸς, οὔτε εἰ λευκὸς, οὔτ᾽ εἰ μέλας, οὔτ᾽ εἰ παχὺς, οὔτ᾽ εἰ

conetur; frequenter autem, quando nihil horum feparatim, vel per fe poteft effe, refiftat, et fe ad compofitum recipiat. Rurfus quando compofitum indigeftam nec diftinctam obtinet difciplinam, omninoque plebejam et rudem, ni in prima diffectum fit, a divifione nefciat manum abftinere, inde ab compofitum iterum divertat; quod intelligentia nequeat diftinguere fingula fimplicia. Atque hunc orbem repetens et volutatus femper inter extrema, intelligentiis ambiget, nec ulla ratione his fe pugnantiis poffit explicare. Omnino qui dialecticum fe facit, hoc volo meditatum plane effe, ut quicquid aggrediatur, fi fit compofitum, redigat ad prima notione et fimplicia; non quod feparatim unquam et fola appareant, nam hoc effici non poffit, fed quod mente fola concipi poffint, nec cogitando haec cum ulla conjungamus differentia, quibus funt neceffario alligata. Nam ut fimum hominem intelligimus et aquilum, neque magnus is fit an parvus, albus an niger, corpulentus an gracilis fit,

Ed. Chart. VIII. [53.] Ed. Baf. III. (27.)

λεπτὸς, δεόμενοι, οὕτως ὑψηλόν τινα νοοῦμεν σφυγμὸν, οὐ δεόμενοι πῶς ἔχει μήκους ἢ πλάτους εἰδέναι. ταῦτ' ἄρα καὶ οἱ φάσκοντες μηδένα μακρὸν ἁπλῶς ἐπινοεῖν σφυγμὸν, δεῖν γὰρ αὐτὸν ἐξ ἀνάγκης ἔχειν πὼς πλάτους τε καὶ βάθους, ἄγροικοι καὶ ἀμαθεῖς εἰσι τῶν πρώτων μαθημάτων, ἃ ἐχρῆν αὐτοὺς μεμαθηκότας καὶ γεγυμνασμένους γε κατ' αὐτὰ πρὸς ἡμᾶς ἥκειν οὕτως. ἐκ γὰρ τοῦ μὴ δύνασθαι συστῆναι τὸν μακρὸν ἰδίᾳ, μηδ' ἐννοηθῆναι δύνασθαι φασὶν αὐτὸν ἰδίᾳ. μὴ τοίνυν μηδὲ σιμὸν ἄνθρωπον, μηδὲ γρυπὸν ἰδίᾳ νοείτωσαν, ἂν μὴ μάθωσιν ἅπαντ' αὐτοῦ τἄλλα, πότερον μέγας, ἢ μικρός ἐστιν, ἢ παχὺς, ἢ λεπτὸς, ἢ μέλας, ἢ λευκὸς, ἢ Ἕλλην, ἢ βάρβαρος, ἢ πονηρὸς, ἢ ἀγαθὸς, ἢ ὑγιαίνων, ἢ νοσῶν, ἢ νέος, ἢ πρεσβύτης. πῶς δ' οὐκ ἄτοπον, μακρὸν μέν τινα καὶ ὑψηλὸν καὶ πλατὺν ἅμα νοεῖν ὁμολογεῖν καὶ καλεῖν δι' ἑνὸς ὀνόματος μέγαν, μακρὸν δὲ μὴ δύνασθαι φάσκειν νοεῖν ἰδίᾳ καὶ μόνον, ὥσπερ οὐ τὴν αὐτὴν ἀναλογίαν ἔχοντος καὶ τοῦ μεγάλου πρὸς τὸν ὅλον σφυγμὸν, ἥν περ ὁ μακρὸς πρὸς τὸν μέγαν; ὡς γὰρ μακρὸς ἰδίᾳ καὶ κατὰ μόνας

noſſe nobis eſt opus, ſic altum quendam intelligimus pulſum, non deſiderantes longitudinem vel latitudinem ejus cognoſcere. Quapropter qui nullum ajunt longum ſimpliciter pulſum ſe complecti animo (nam omnino oportere eum aliqua praeditum eſſe latitudine et profunditate) rudes ſunt primarum diſciplinarum: quas didiciſſe eos et in illis tritos oportebat eſſe, atque ad nos tum denique ſe conferre. Quia enim ſolus non poſſit longus conſiſtere, continuo, nec intelligi confirmant ſolum poſſe. Quin ergo nec ſimum hominem cogitent ſeparatim, nec aquilum, niſi ejus norint omnia reliqua, magnus ſit an parvus, corpulentus an gracilis, niger an albus, Graecus an barbarus, malus an bonus, valens an aegrotus, juvenis an ſenex. Quid hoc autem? nonne importunum eſt, longum ſe quendam et altum et latum ſimul fateri intelligere ac uno nomine magnum appellare, longum non poſſe ſeorſum et ſolum concipere? Quaſi vero non eadem ratio ſit cum toto pulſu magni ac longi cum magno. Nam ut longus ſeparatim et ſolus ſtat

Ed. Chart. VIII. [53.] Ed. Baf. III. (27.)

οὐδείς ἐστιν ἄνευ τοῦ πὼς ἔχειν βάθους τε καὶ πλάτους, οὕτως οὐδὲ μέγας σφυγμός ἐστί τις χωρὶς τοῦ ταχὺς, ἢ βραδὺς, ἢ σφοδρὸς, ἢ ἀμυδρὸς ὑπάρχειν, ἤ τινα τῶν ἄλλων ἔχειν διαφορῶν. ἀλλ᾽ οὐδ᾽ εἰ μετὰ πασῶν τῶν διαφορῶν νοήσαις κινουμένην τὴν ἀρτηρίαν, ἰδίᾳ δύναταί ποτε γενέσθαι κινουμένη. τίς γὰρ εἶδεν ἀρτηρίαν ἔξω τοῦ σώματος ἔτι σφύζουσαν; ἀνάγκη τοίνυν αὐτὴν ἐν τῷ ὅλῳ σώματι οὖσαν, ἐπικεῖσθαί μέν τινι νεύρῳ, καὶ τοῦτο εἶναι ποιὸν καὶ ποσὸν, ὑποκεῖσθαι δὲ φλεβὶ, καὶ ταύτην εἶναι καὶ ποιὰν καὶ ποσὴν, περικεῖσθαι δ᾽ αὐτῇ σώματα πολλά. καὶ πάντα τις ἐντεῦθεν ἀρξάμενος δύναται λέγειν, ὧν χωρὶς οὐχ οἷόν τε εἶναι τὸν σφυγμόν. ἀλλ᾽ οἶμαι, νοῦν ἔχων ἄνθρωπος, ἐὰν ὑπακούσῃ τοῦ ταῦτα λέγοντος, ἐρήσεταί τινα τῶν παρόντων, ἆρά γε παίζων ἢ μαινόμενος τὰ τοιαῦτα ληρεῖ. πῶς γὰρ οὐ διωλύγιος ὄντως καὶ μακρὰ φλυαρία, τὰ χωρὶς ἑτέρων ὑπάρχειν μὴ δυνάμενα, μηδ᾽ ἐπινοεῖσθαι χωρὶς ἐκείνων ὁμολογεῖν; ὅτι μὲν οὖν ἄνευ τοῦ πὼς ἔχειν βάθους καὶ πλάτους οὐ δύναται μακρὸς εἶναι σφυγμὸς, οὐδεὶς ἀντιλέγει. ἀλλ᾽ οὐ τοῦτο ἦν

nullus fine aliqua profunditate et latitudine, ita neque magnus eft ullus pulfus, nifi fimul celer, vel tardus, vel vehemens, vel languidus fit, vel particeps aliarum fit differentiarum. Imo vero, ut cogites omnibus differentiis arteriam moveri, feparatim non poffit unquam moveri; quis enim extra corpus arteriam etiam confpexit pulfare? Omnino itaque eft in toto corpore, et nervo alicui incumbit, isque qualitatem habet et quantitatem; fubjicitur porro venae, et haec eft qualitatis et quantitatis particeps; circumjiciuntur jam corpora illi multa atque omnia, hinc progreffus fine quibus confiftere pulfus non valet recenfeas. Sed vir prudens, fi haec fubaudiat differentem, de affiftentibus aliquem rogaverit, Num ifte fcilicet ludit, vel infanit, qui haec nugetur? Quid? quae fine aliis effe non poffunt, nonne mera fatuitas eft et magna vanitas, ne cogitatione quidem repraefentari citra illa profiteri? Nam longum quidem pulfum, nifi aliqua conjuncta fit profunditas et latitudo, non effe poffe, nemo caufam dicit. Atqui hoc non erat

Ed. Chart. VIII. [53. 54.] Ed. Baf. III. (27.)

τὸ ζητούμενον, ἀλλ᾽ εἰ μηδὲ νοεῖσθαι χωρὶς ἐκείνων δύναται. τοῦτο γὰρ εἴ τις λέγοι, λέληθεν ἑαυτὸν ἁπάσας μὲν ἀνατρέπων τὰς τέχνας, ἅπασαν δὲ τὴν ἐν τῷ βίῳ χρείαν τῶν ὀνομάτων. [54] τίς γὰρ ἡμῶν ποτε τὴν θεραπευτικὴν τέχνην ἔμαθε πλευριτικοῦ Δίωνος; οὐδείς. οὐ μὴν οὐδ᾽ ἁπλῶς ἀνθρώπου πλευριτικοῦ, ἀλλ᾽ ἐν ταῖς ἰδικαῖς τε καὶ γενικαῖς ἐπινοίαις αἱ τέχναι συνίστανται, πρῶτον μὲν κατ᾽ αὐτὸ τὸ πάθος ἰδίων διορισμῶν παραληφθέντων· ἤτοι γὰρ πρὸς κλεῖν τὴν ὀδύνην, ἢ εἰς ὑποχόνδριον ἐνοήσαμεν τελευτῶσαν, καὶ οὐδαμοῦ Δίων ἐνταῦθα ἢ Θέων συνεπινοεῖται· ἔπειτα δὲ τὰ προηγούμενα καὶ τὰ συμπαρόντα. πληθωρικός ἐστιν ὁ πλευριτικὸς, ἢ τοὐναντίον ἐνδεῶς ἔχων χυμῶν, εὔχυμος, ἢ κακόχυμος. καὶ τούτων ἑκάτερον, ἆρά γε νῦν, ἢ πάλαι; καὶ εἰ πάλαι, πότερον ἐκ διαίτης, ἢ φύσει; καὶ οὐδαμοῦ πάλιν ἐνταῦθα Δίων ἢ Θέων, ἀλλ᾽ οὐδ᾽ ὅταν περὶ κράσεως τοῦ νοσοῦντος ὁ λόγος ἡμῖν ᾖ, Δίωνος ἢ Θέωνος ἀνάγκη μνημονεύειν, ἢ ὅλως ἐπινοεῖν, ἢ δεῖσθαί τι. γεωμετρία δ᾽ ὅπως ἀπόλλυται, τί δεῖ καὶ λέγειν, ἐάν τις μήτε γραμμὴν

propofitum, fed anne intelligi quidem poffit absque illis. Nam hoc fi quis dicat, artes imprudens evertat omnes, atque adeo omnem in vita ufum nominum. Etenim curandi artem quis unquam veftrum pleuritici Dionis didicit? nemo vero. Omnino non in homine pleuritico, fed in commentatione fpecierum et generum artes pofitae funt; primum pro ipfo affectu certis fumptis diftinctionibus; fiquidem vel ad claviculam dolorem, vel ad praecordia pertinere cogitamus: neque hic Dionem usquam vel Theonem una concipimus; deinde fuperiorem ftatum et praefentem fpectamus. Abundantia laborat pleuriticus, aut contra defectu humorum; bonos fuccos habet, vel malos; atque utrunque fcilicet nuncne primum, an jampridem? Et fi jampridem, utrum a victus ratione, an natura; neque hic quidem usquam Dion vel Theon. Neque vero etiam, ubi de temperamento aegroti agimus, Dionem neceffe eft vel Theonem appellare, aut animo concipere, aut aliquo modo defiderare. Nam ea ratione Geometriam fuftolli quid atti-

φῇ νοεῖν μήτ' ἐπιφάνειαν, ὅτι χωρὶς στερεοῦ σώματος ἀδύνατον ὑπάρχειν αὐταῖς; τί δὲ τὰ κατὰ τὸν βίον σύμπαντα, τὰ χωρὶς ἀλλήλων εἶναι μὴ δυνάμενα, πῶς οὐκ ἄν τις ἄτοπος εἴη μηδὲ νοεῖσθαι κατὰ μόνας συγχωρῶν; ἀλλὰ τὴν μὲν τοιαύτην ἀγροικίαν οὐκ ἄν ποθ' ὑπέμεινεν ὁ Ἀρχιγένης. φαίνεται γοῦν αὐτὸς τοὐναντίον ἀεὶ δρῶν, ἀναλύων ἕκαστον εἰς τὰ πρῶτά τε καὶ ἁπλᾶ. σφάλλεται δὲ τοῦ σκοποῦ, καὶ διαμαρτάνει πολλάκις ἄκων, ὑπ' ἀγυμνασίας, ἐμοὶ δοκεῖ. ἔνεστι γοῦν ἐπ' αὐτοῦ τοῦ νῦν προκειμένου σαφῶς ὃ λέγω τεκμήρασθαι. συντρεχουσῶν γὰρ, φησὶ, πολλάκις καὶ δυοῖν διαστάσεων, ὥσθ' ἅμα βραχὺν καὶ ταπεινὸν εἶναι· ἡμεῖς δὲ τούτους κατὰ σύνδυο νοουμένους, τοῖς μὲν κατὰ μίαν, ὅτι τε τοὺς κατὰ τὰς τρεῖς διαστάσεις νοουμένας ἑπτὰ καὶ εἴκοσιν ὄντας οὐκ ἦν διδάξαι πρὸ τοῦ μίαν ἑκάστην τῶν διαστάσεων ἰδίᾳ νοεῖν ἐθίσαι, ποτὲ μὲν αὐξανομένην, ποτὲ δὲ μειουμένην, ποτὲ δὲ σύμμετρόν τε κἀν τῷ κατὰ φύσιν διαμένουσαν, καὶ προσέτι διὰ τὸ πολλὰ δύνασθαι διαγινώσκειν ἡμᾶς ἀπὸ μιᾶς διαστάσεως. ὡς γὰρ ὁ μέγας σφυγμὸς

net referre, fi quis fe nec lineam nec fuperficiem dicat concipere, quod carere folido corpore non poffint. Quid cunctas res mundi, quae a fe divelli mutuo non poffunt, anne abfurdum, fi ne intelligi quidem feparatim admittas? Sed eam importunitatem nunqnam ferret Archigenes, imo contra facere ille femper advertitur, diffolvens fingula in prima et fimplicia: verum deflectit ab inftituto interdum et aberrat invitus, quod parum, ut equidem cenfeo, fit exercitatus. Certe in re propofita, quod dico, perfpicias non obfcure. *Etenim quum etiam duae,* inquit, *aliquae faepenumero dimenfiones concurrant, ut fimul et brevis fit, et humilis;* nos feparavimus hos, qui duabus intelliguntur, ab illis qui fingulis dimenfionibus: tum quod hos, qui trinis dimenfionibus intelliguntur, qui funt viginti feptem, prius docere non poffem, quam fingulas dimenfiones intelligere feparatim affuefeciffem, nunc augeri, nunc minui, nunc moderatas effe, et in naturali ftatu perfiftere; tum quod multa nos ex una dimenfione cognofcere poffumus. Nam ut cer-

ἴδιόν τι πέφυκε δηλοῦν, οὕτω καὶ ὁ ὑψηλὸς αὐτὸς καθ' ἑαυτὸν, οὐ συνεπινοουμένων αὐτῷ τῶν ἄλλων διαστάσεων. οἱ δὲ κατὰ δύο διαστάσεις οὔτε πρὸς τὴν τῶν κατὰ τὰς τρεῖς ἅμα νοουμένων ἔχουσί τι χρήσιμον, ἐκπεπτώκασί τε τῆς διαιρετικῆς μεθόδου, καὶ διὰ τοῦτο καὶ διδασκαλίας ἀτέχνου, μάτην κατατρίβοντες τὸν εἰσαγόμενον, ὥσπερ εἰ καὶ οὕτως τις ἐδίδασκε σφυγμὸν εἶναι, λέγων τὸν μέν τινα μέγαν ἅμα καὶ ταχὺν, ἄλλον δὲ μέγαν ἅμα καὶ σφοδρὸν, καὶ ἄλλον ταχὺν καὶ σφοδρὸν, καὶ οὕτω κατὰ σύνδυο προϊὼν ἐζεύγνυεν, ὅπερ οὐδ' αὐτὸς ὁ Ἀρχιγένης ἐποίησεν, ὡς ἂν ἄτεχνόν τε καὶ ἀμέθοδον ἱκανῶς καὶ ἄχρηστον. τό τε γὰρ ἐξ ἁπασῶν τῶν δια(28)φορῶν σύνθετον καὶ νοεῖν ἠβουλόμεθα καὶ ἡ τέχνη ζητεῖ γνῶναι, πρὸς τὸ τὴν ὅλην εἰδέναι τοῦ προκειμένου πράγματος φύσιν, τό τ' εἰς τὰς ἁπλᾶς ἀναγόμενον διαφοράς. ἄνευ γὰρ τούτου τὸ σύνθετον οὐχ οἷόν τε διηκριβωμένως ἐκμαθεῖν. τὸ δὲ μήτε τὴν ὅλην τοῦ πράγματος φύσιν εἰς ἓν συλλαμβάνειν μήτ' ἐπὶ μιᾶς

tam rem demonftrare magnus pulfus folet, ita etiam altus folus, non fimul cum ipfo aliis dimenfionibus animo conceptis. At vero pulfus duarum dimenfionum nec ad viam et rationem quicquam faciunt eorum qui trinis fimul dimenfionibus intelliguntur, et a dividendi funt methodo abducti; unde etiam difciplinam habent, quae nulla arte conftat, fruftra tironem detinentes; ut fi quis ita doceat, pulfum dicens effe aliquem magnum fimul et celerem, alium magnum fimulque vehementem, alium item celerem et vehementem; itaque progreffus duos copulet: quod ne ipfe fecit Archigenes, ut quod nullius fit artis nulliusque prope rationis et ufus. Interdum enim ex omnibus differentiis tum nos volumus conftitutum intelligere tum ars requirit ut cognofcamus, ut propofitae rei totam naturam perfpiciamus. Interdum in fimplices reducimus differentias, quod absque eo exacte compofitum non intelligamus. Nam nifi totam rei naturam in unum complecti atque in una diffe-

καὶ ἁπλῆς καταμένειν διαφορᾶς, ἄτεχνόν τε καὶ ἀμέθοδον καὶ ἄχρηστον.

Κεφ. η'. [55] Διὰ τοῦθ' ἡμεῖς πρῶτον μὲν τὴν ὅλην φύσιν τῶν σφυγμῶν ἀνελύσαμεν εἰς τὰς συντιθείσας αὐτὴν διαφορὰς, τὴν μέν τινα κατὰ τὸ ποσὸν τῆς διαστολῆς ὀνομάσαντες, τὴν δὲ κατὰ τὸ ποιὸν τῆς πληγῆς, ἄλλην δὲ κατὰ τὸ τοῦ χιτῶνος ποιὸν, καὶ ἄλλας τὰς ἑξῆς εἰρημένας. εἶτ' ἐν αὐταῖς ταύταις πάλιν ἐζητήσαμεν ἁπλᾶς νοήσεις, ἵν' ὃν ἔχει λόγον ἡ κατὰ τὸ ποσὸν τῆς διαστολῆς διαφορὰ πρὸς τὴν ὅλην τοῦ σφυγμοῦ φύσιν, τὴν ἐκ πάντων συγκειμένην, οὕτως ἡμῖν εὑρεθῇ τι παραπλησίως ἔχον ἄλλο πρὸς αὐτὴν ταύτην. ὡς γὰρ τοῦτο τὸ γένος συμπληρωτικόν ἐστι τῆς ὅλης τοῦ σφυγμοῦ φύσεως, οὕτως αὐτὸ πάλιν τοῦτο τῶν διαστάσεων ἑκάστην συμπληροῖ. σύνδυο δὲ διαστάσεις ἅμα νοεῖν, οὔθ' ὡς πρὸς τὴν τοῦ ὅλου σφυγμοῦ συμπλήρωσιν ἀναγκαῖον οὔθ' ὡς πρὸς μίαν τὴν κατὰ τὸ ποσὸν τῆς διαστολῆς. διὰ τοῦτο περιττὸς ὁ περὶ αὐτῶν λόγος, καὶ καλῶς μὲν ὑφ' ἡμῶν ἑκόντων παρελήφθη, κακῶς δ' ὁ Ἀρχιγένης οἷον ἐσπάραξεν αὐτὸ, καὶ μόνας ἓξ εἰπὼν συζυγίας, τὰς ἄλλας μίαν οὖσας

rentia et fimplici valeas confiftere, nulla erit ars, nulla via, vel ratio, nulla etiam utilitas.

Cap. VIII. Quamobrem nos primum pulfuum univerfam naturam deduximus in differentias, quae ipfam conftituunt, atque hanc quantitatis diftentionis appellavimus, illam qualitatis ictus, aliam qualitatis tunicae, aliasque ordine commemoratas. Deinde in his ipfis rurfus fimplices requifivimus notiones, ut quam habet rationem differentia quantitatis diftentionis ad totam pulfuum ex omnibus conflatam naturam, ita aliud reperiamus fimiliter habens ad hanc ipfam. Nam hoc genus, ut univerfam pulfus naturam conficit, ita idem iterum dimenfionem efficit quamlibet. Sed duas concipere dimenfiones nihil refert, nec ad totum pulfum abfolvendum, nec ad unam quantitatem diftentionis; unde fupervacaneum de iis fit fermonem habere, et nos dedita opera praetermifimus. Contra male Archigenes eum veluti dilaceravit, et fex duntaxat commemoratis conjuga-

Ed. Chart. VIII. [55.] Ed. Baf. III. (28.)

καὶ εἴκοσι παρέλιπεν. ἁπάσας γὰρ δεῖ τὰς διαφορὰς ἑκάστης τῶν διαστάσεων ἁπάσαις ταῖς διαφοραῖς τῶν ἄλλων ζευχθῆναι, ὥστε γενέσθαι καθ' ἑκάστην δυοῖν διαστάσεων σύζευξιν ἐννέα διαφορῶν, τὰς πάσας δ' ἑπτὰ καὶ εἴκοσι. παραγράψω δὲ μίαν, ἐξ ἧς καὶ περὶ τῶν λοιπῶν ἐνέσται μαθεῖν.

α'	μακρὸς	πλατὺς
β'	μακρὸς	σύμμετρος
γ'	μακρὸς	στενὸς
δ'	πλατὺς	σύμμετρος
ε'	σύμμετρος	σύμμετρος
ϛ'	στενὸς	σύμμετρος
ζ'	βραχὺς	πλατὺς
η'	βραχὺς	σύμμετρος
θ'	βραχὺς	στενὸς

tionibus, aliam unam fupra viginti praeteriit. Siquidem differentiae uniuscujusque dimenfionis funt omnes omnibus aliarum copulandae, ut in unaquaque binarum dimenfionum copulatione exiftant novem differentiae, omnes viginti feptem. Adfcribam unam, ex qua de reliquis etiam licebit difcere.

1	Longus	Latus
2	Longus	Moderatus
3	Longus	Anguftus
4	Latus	Moderatus
5	Moderatus	Moderatus
6	Anguftus	Moderatus
7	Brevis	Latus
8	Brevis	Moderatus
9	Brevis	Anguftus

ἐν τούτῳ μὲν οὖν τῷ διαγράμματι τὰς κατὰ τὸ μῆκος τρεῖς διαφορὰς ταῖς κατὰ τὸ πλάτος τρισὶ συμπλέξαντες ἐννέα συζυγίας ἐποιήσαμεν. ἕτερον δ' αὖ διάγραμμα κατὰ τὸν αὐτὸν γένοιτο τρόπον ταῖς τοῦ μήκους τρισὶ διαφοραῖς, τὰς τοῦ βάθους τρεῖς ἔχον ἐζευγμένας, καὶ ἄλλο τρίτον, ἐν ᾧ ταῖς τοῦ βάθους τρισὶν αἱ τοῦ πλάτους τρεῖς συμπλακήσονται. καὶ πρόδηλον, ὡς καθ' ἕκαστον αὐτῶν ἐννέα γενήσονται συζυγίαι. ὥστ' εἶναι τὰς πάσας ἑπτὰ καὶ εἴκοσι. δῆλον οὖν ἤδη γέγονεν, ὡς καὶ τούτων τῶν κατὰ σύνδυο νοουμένων παμπόλλους παρῆκεν ὁ Ἀρχιγένης, ὥσπερ καὶ τῶν ἄλλων. ἡμεῖς δὲ τούτους μὲν παρήκαμεν δι' ἃς εἴπομεν αἰτίας, ἐγράψαμεν δὲ τούς τε κατὰ μίαν διάστασιν νοουμένους ἐννέα τὸν ἀριθμὸν ὄντας καὶ τοὺς κατὰ τὰς τρεῖς ἅμα, τοὺς ἐν τῷ διαγράμματι, τοὺς ἑπτὰ καὶ εἴκοσιν. ἁπάντων δὲ τούτων κοινὸν γένος ἐποιήσαμεν οὐ τὸ μέγεθος, ἀλλὰ τὸ ποσὸν τῆς διαστολῆς, δηλοῦμέν τε τῶν κατὰ τοὺς σφυγμοὺς διαφορῶν τὰς μὲν ὀνόματι, τὰς δὲ λόγοις. οὔτε γὰρ ἔχουσιν ὀνόματα πᾶσαι καὶ νομοθετεῖν καινὰ περιττὸν ἡγούμεθα,

In hac ergo tabella longitudinis tres differentias complicantes cum tribus latitudinis novem effecimus differentias. Altera erit eodem modo tabella, cum tribus longitudinis differentiis conjunctas profunditatis tres habens. Tertia praeterea, in qua profunditatis tribus tres copulabuntur latitudinis. Neque est obscurum quin singulae tabellae novenas complectantur conjugationes, itaque omnes viginti septem sint. Jam igitur apertum, horum qui bini intelliguntur, praetermisisse Archigenem permultos, ut etiam aliorum. Nos autem hos omisimus ob causas quas exposuimus, sed tradidimus eos qui singulis dimensionibus intelliguntur, numero novem; atque eos qui trinis simul, quos in tabella descripsimus, septem et viginti. Quorum fecimus omnium commune genus, non magnitudinem, verum quantitatem distensionis, explicamusque pulsuum differentias quasdam nominibus, aliquas definitionibus; neque enim nomina omnes sortitae sunt et imponere abs re ducimus nova, quan-

μηδέν γε δὴ χεῖρον τῶν λόγων δηλοῦν δυναμένων. ἐμοὶ μὲν γὰρ δοκοῦσι μὴ πολὺ χεῖρον, ἀλλὰ καὶ πολὺ βέλτιον [56] τῶν ὀνομάτων διδάσκειν οἱ λόγοι. τά τε γὰρ ἄλλα καὶ τὰς πλείστας τῶν διαφορῶν τέμνουσιν εἰς ἄλλας πλείους, καθάπερ εἰρήκαμεν ἐπὶ τοῦ μεγάλου σφυγμοῦ. τούτου γὰρ αὐτοῦ πάλιν ἓξ διαφορὰς ἔστι καὶ νοῆσαι καὶ λόγῳ διερμηνεῦσαι, τὸν μέν τινα μέγιστον ἐν αὐταῖς νοήσαντα καὶ καλέσαντα τὸν πλεῖστον ἀπέχοντα τοῦ συμμέτρου, τὸν δ᾽ ἁπλῶς μέγαν, τὸν μεταξὺ τοῦ μεγίστου καὶ τοῦ συμμέτρου. μεταξὺ δ᾽ ἑκατέρων ἄλλας θεῖναι δύο διαφορὰς ἐγχωρεῖ, τὴν μὲν ὀλίγῳ μείζονα τοῦ συμμέτρου, τὴν δ᾽ ἀπολειπομένην ὀλίγῳ τοῦ μεγίστου. τὸ δ᾽ οὕτως τέμνειν ὅτι μέν ἐστιν εἰς τὰς προγνώσεις χρησιμώτατον, ἅπαντι δῆλον ὅτῳ καὶ μικρὸν ἐμέλησε τῶν ἔργων τῆς τέχνης. καὶ γὰρ ἐπὶ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ καὶ πάντων ἁπλῶς τῶν κατὰ τὴν τέχνην τὸ διαιρεῖν ἐπὶ σμικρότητα δύνασθαι καὶ ταῖς κατ᾽ ὀλίγον ὑπεροχαῖς πειρᾶσθαι παρακολουθεῖν ἀνδρός ἐστιν ἄλλως τε συνετοῦ καὶ προσέτι γεγυμνασμένου κατὰ τὰ ἔργα καὶ περὶ

do definitiones commonſtrare nihilo ſane ſecius valent. Equidem non multo pejus exiſtimem, ſed multo etiam docere quam ipſa nomina definitiones melius, quod, ut alia omittam, plerasque etiam differentias in alias plures, ut in magno pulſu demonſtravimus, diffindunt; quippe cujus rurſus ſex concipias differentias et definitione explices, ſi quendam ex illis maximum et conceperis et vocaveris eum qui a moderato diſtat quam plurimum; aliquem ſimpliciter magnum, qui inter maximum et moderatum medium locum tenet; ac inter utrunque alias duas differentias ſtatuas, licet unam paulo moderato majorem, alteram, quae paulum infra maximum ſit. Nam hujuscemodi diviſionem, neminem fugit qui operam vel ſtudium in operibus artis poſuit, magno uſui eſſe ad praeſagiendum. Etenim in calido, frigido, ſicco, humido, breviter omnibus quae ad artem pertinent, in minima facultas dividendi et parvorum exceſſuum obſervatio viri eſt cum prudentis tum vero experti in operibus,

παντὸς ποιουμένου τὸ στοχαστικὸν τῆς τέχνης εἰς στενὸν ὡς ἔνι μάλιστα συγκλείειν. οὐ μὴν ἔν γε ταῖς ἀρχαῖς τῆς διδασκαλίας τμητέον οὕτως. τοῖς μὲν γὰρ ἀσυνέτοις τῶν μανθανόντων ταραχὴν οὐκ ὀλίγην παρέξει, τοῖς δὲ συνετοῖς εἷς ἐκ τῶν εἰρημένων ἐπινοηθήσεται. διὰ τοῦτο οὐδὲ ἡμεῖς ἐμνημονεύσαμεν αὐτῶν ἐν τῷ πρώτῳ τῶν ὑπομνημάτων, ἀλλ' οὐδὲ νῦν ἂν εἴποιμεν, εἰ μὴ πᾶν τὸ πλῆθος τῶν κατὰ τὸ ποσὸν ὀνομαζομένων τε καὶ νοουμένων σφυγμῶν ἠβουλήθημεν ἐνδείξασθαι. καὶ γὰρ τῶν κατὰ μίαν διάστασιν νοουμένων τάς θ' ὑπερβολὰς καὶ τὰς ἐνδείας ἐξ ἀρχῆς τέμνειν δυνατὸν, ὥσπερ ἐπὶ τοῦ μεγάλου συνεδείξαμεν. ὁ γὰρ σύμμετρος μόνος ἐν ἑκάστῳ τῶν γενῶν εἷς ἐστι καὶ ἄτμητος, οἱ δὲ ἄλλοι πλείστας τομὰς δέχεσθαι δύνανται, πρὸς μέν γε τὴν φύσιν αὐτῶν ἀπείρους, κατὰ γὰρ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν παντὶ γένει τῷ δεξαμένῳ τὴν ὑπερβολὴν καὶ ἔλλειψιν ἀπείρους ἀναγκαῖον εἶναι τὰς διαφορὰς, οὐ μὴν πρός γε τὴν αἴσθησιν οὕτως ἔχει, ἀλλὰ παρὰ τὸ βέλτιον ἢ χεῖρον αὐτοὺς ἠσκῆσθαι, τῇ μὲν καὶ τὰς παρὰ μικρὸν ἐνέσται διαφορὰς

nihilque potius ducentis quam fcopum artis in anguftum quam maxime cogere. Non tamen in principio inftitutionis ea eft fumenda divifio, nam difcipulis ea res minus doctis non parum confufionis afferet; docti unum ex commemoratis intelligent. Quae caufa fuit quamobrem nec eorum in primo commentario meminerimus: fed ne nunc quidem dixerimus, nifi omnem pulfuum qui ex quantitate nominantur et intelliguntur, ftatuiffemus acervum ob oculos ponere. Siquidem exceffus pulfuum qui una dimenfione intelliguntur, et defectus a principio potes dividere, ut in magno demonftravimus Nam moderati foli fingulis generibus finguli funt et indivifi; alii plures divifiones recipiunt, fua quidem natura infinitas; quod enim genus majorem vel minorem exceffum et defectum obtinet, infinitas neceffe eft habeat differentias. At non ad fenfum tamen fic habent, fed ut ad illos te melius vel pejus exercitaveris, ita modo vel minutulas differentias percipere poteris, modo infignes tan-

γνωρίζειν, τῇ δὲ τὰς ἀξιολόγους μόνον. καὶ γὰρ καὶ τὰς τῆς φωνῆς ὑπεροχὰς ὁ μὲν μουσικὸς οὐκ ἄχρι τόνου καὶ ἡμιτονίου μόνον, ἀλλὰ καὶ μέχρι διέσεως ἱκανῶς διαγινώσκει, ὁ δ᾽ ἰδιώτης οὐδὲ δυοῖν τόνοιν ὑπεροχὴν ἀκούειν οἷός τε. καὶ γοῦν καὶ ἡμεῖς τό γε νῦν εἶναι τὴν ἡμετέραν αἴσθησιν ἐξηγησάμεθα, παρακολουθοῦμεν γὰρ ἐν τῇ τοῦ συμμέτρου καθ᾽ ἕκαστον γένος ὑπερβολῇ τε καὶ ἐνδείᾳ διαφοραῖς σφυγμῶν ἕξ. ἀλλ᾽ ἀρκεῖ τοῖς εἰσαγομένοις, τὰ μὲν πρῶτα μιᾶς ἑτέρας αἰσθάνεσθαι καὶ χωρίζειν αὐτὰς δύνασθαι τῆς συμμέτρου· χρόνῳ δ᾽ ἄν, οἶμαι, τριβομένοις αὐτοῖς περὶ τὸ πρᾶγμα πρῶτον μὲν ἴσως διχῇ τέμνειν αὐτὰς, εἶτα δὲ καὶ τριχῇ καὶ τετραχῇ περιέσται. ταῦτα πάντα μάλιστα μὲν ὑπὲρ τοῦ δεῖξαι πολλῶν σφυγμῶν ἓν γένος κοινὸν εἴρηται, χρήσιμα δ᾽ ἐστὶ καὶ αὐτὰ καθ᾽ ἑαυτὰ γινώσκεσθαι, καὶ ἡμεῖς τοῖς ἤδη προήκουσιν ἐν τοῖς μαθήμασι τὰ τοιαῦτα λέγομεν, ὧν περ δὴ καὶ μόνων ἐστὶν ἀκούσματα. ὅτι μὲν οὖν ἐστί τι γένος σφυγμῶν τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνισταμένων, αὐτάρκως δέδεικται.

tum. Siquidem et muficus vocis exceffus non ad tonum et femitonum tantum, fed et ad elementum ipfum usque et minimum fonum fatis affequitur, idiota nec duorum exceffum tonorum poteft audire. Nam nos quidem, ut nunc eft, noftrum fenfum expofuimus. Affequimur in moderati exceffu et defectu cujusque generis differentias pulfuum fex; fed tironibus primum unam aut alteram, fatis eft de illis fentire et difcernere a moderato illas poffe. Tractu certe temporis, fi hac in re verfentur diu, primum in duas partes fortaffe eas partiri, deinde in tres et quatuor poterunt. Haec ideo omnia, ut multorum pulfuum effe declaremus unum genus differuimus. Refert tamen etiam fuo nomine ea cognofcere: nosque his, qui in difciplinis profectum jam fecerunt, haec dicimus, quibus fcilicet folis dictavimus. Ergo effe quoddam genus pulfuum, qui in quantitate diftentionis confiftunt, fatis oftenfum eft.

Κεφ. θ'. Ὅτι δὲ καὶ τῶν πρώτων ἐστὶ γενῶν, οἶδα γὰρ καὶ τοῦτ' ἐπαγγειλάμενος δείξειν, ὧδ' ἂν μάλιστα μάθοις, εἰ πειραθείης καθ' ἕκαστον τῶν ἄλλων γενῶν τὴν αὐτὴν ποιήσασθαι γυμνασίαν, (29) ἣν ἐπὶ [57] τούτου νῦν ἐποιησάμεθα. ποιήσεις δὲ μάλιστα οὕτως, εἰ καθ' ἕκαστον αὐτῶν προχειριζόμενος, ἐπισκοποῖο τί κοινὸν γένος ἀνωτάτω ἐνδέχεται συστῆναι, τούτου τε κατὰ τὸ ποσὸν τῆς διαστολῆς καὶ τοῦ σὺν αὐτῷ προτεινομένου. φέρε γὰρ ἐπειδὴ ταχύς τίς ἐστι καὶ βραδὺς καὶ σύμμετρος ἐν τῇ κινήσει τῆς ἀρτηρίας σφυγμὸς, καὶ τοῦτο κοινὸν γένος ἐστὶ τὸ ποιὸν τῆς κινήσεως, ὡς κἀν τοῖς περὶ διαγνώσεως σφυγμῶν ἐπιδείκνυται, σκεπτέον ἡμῖν ἐστι, τί ποτε κοινὸν γένος εὑρεῖν δυνησόμεθα ποιοῦ τε καὶ ποσοῦ. μὴ δυνηθέντες γὰρ ἐν τοῖς πρώτοις γένεσι τάξομεν τό τε ποσὸν τῆς διαστολῆς καὶ τὸ ποιὸν τῆς κινήσεως. ἀλλ' ἐπεὶ καὶ τὸ ποιὸν τοῦ σώματος τῆς ἀρτηρίας ἄλλο γένος ἦν σφυγμῶν, ἐν αὐτῷ γὰρ ὅ τε μαλακὸς καὶ ὁ σκληρὸς καὶ ὁ σύμμετρος κατὰ τὴν σύστασιν τοῦ χιτῶνος τῆς ἀρτηρίας ἦσαν, ἐπισκεπτέον αὖ πάλιν, τί καὶ τούτων ἐστὶ κοινὸν γένος,

Cap. IX. Jam de primis esse generibus, memini enim hoc quoque recepisse demonstraturum, hac potissimum ratione perspicias, si in singulis perinde aliis generibus coneris commentari, atque nunc in hoc fecimus. Id quod in hunc modum maxime feceris, si in singulis tractandis considereș, ecquod supremum genus esse possit et hujus generis, quod est quantitatis distentionis, et ejus quod cum illo proponitur. Age enim, quandoquidem celer quidam est et tardus et moderatus in arteriae motu pulsus, atque horum commune genus qualitas est motus, quod in commentariis De dignoscendis pulsibus demonstramus, ecquod invenire commune genus valeamus qualitatis et quantitatis, attendendum nobis est. Si nequeamus, in prima referemus genera; tum quantitatem distentionis, tum qualitatem motus. Sed quando et qualitas corporis arteriae aliud genus sit pulsuum, scilicet in quo mollis sit et durus et moderatus in statu arteriae tunicae, videndum est rursus quodnam horum sit

Ed. Chart. VIII. [57.] Ed. Baf. III. (29.)

λέγω δὲ τούτου τε τοῦ νῦν εἰρημένου καὶ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς. ἂν δὲ μηδὲν φαίνηται, τῶν πρώτων ἡμῖν καὶ αὐτὸ θετέον εἴη. ὅτι δ᾽ ἐν τῷ περὶ τῶν τοιούτων σκοπεῖσθαι γεγυμνάσθαι χρὴ διαγινώσκειν τὰς κατηγορίας, ἡγοῦμαι πρόδηλον ὑπάρχειν· ἵν᾽ ὅταν ὑπὸ μίαν μὲν ἄμφω ἄγηται κατηγορίαν τὰ ζητούμενα, μὴ μέντοι κοινὸν γένος τι ἐπ᾽ αὐτοῖς ᾖ, μὴ ταραττώμεθα τῷ κοινῷ τῆς κατηγορίας, ὡς τούς γε πλείστους τῶν ὀψιμαθῶν τε καὶ ἀγυμνάστων ψευδοδιαλεκτικῶν, ἔνθα κατηγορία κοινὴ, καὶ γένος ἐνταῦθα κοινὸν εὑρήσεις νομίζοντας, ὡς ἂν μὴ δυναμένους διαιρεῖσθαι τὴν ὁμωνυμίαν. οὕτω γοῦν ἔχει κἀπὶ τοῦ κατὰ τὴν κίνησιν καὶ τὸ σῶμα τῆς ἀρτηρίας ποιοῦ. κατηγορία μὲν ἡ τοῦ ποιοῦ κοινὴ κατ᾽ ἀμφοῖν τοῖν γενοῖν, οὐ μὴν καὶ γένος γέ τι κοινὸν ἐπ᾽ ἀμφοῖν. ὁμωνύμως γὰρ, οὐ συνωνύμως ἄμφω ποιὰ λέγεται. οὐ γὰρ ἓν ταὐτόν ἐστιν ἐν ἀμφοτέροις τὸ ποιὸν, καθάπερ ἐν λευκῷ καὶ μέλανι, ἢ ἐν ψυχρῷ καὶ θερμῷ, ἀλλὰ κινήσει μὲν τὸ ποιὸν ἴδιον καὶ γένους ἄλλου, τῷ δὲ σώματι τῆς ἀρτηρίας ἴδιον καὶ γένους ἄλλου.

commune genus: hujus dico de quo nunc egimus et illius qui in diftentionis quantitate confiftit. Si nihil reperiatur, ex primis etiam eft hoc cenfendum. Nam quod exercitatum requirit in praedicamentis horum commentatio, apertum puto effe ut quum, quae in quaeftionem venerunt, in unum ambo praedicamentum cogantur, non commune tamen ullum genus habeant, ne communitas nos praedicamenti moveat; ut plerosque, qui fero ad literas fe conferunt, et inexercitatos pfeudodialecticos, ubi praedicamentum fit commune, genus etiam reperies hic commune exiftimare effe, ut qui diftinguere homonymiam non valeant. Sane fic habet in qualitate motus et corporis arteriae. Praedicamentum eft qualitatis commune utrique generi, tamen genus non item ambo ullum obtinent commune. Nam per homonymiam utrunque, non fynonymiam qualitas dicitur, neque enim eadem eft in ambobus qualitas, ficut in albo et nigro, atque frigido et calido. Caeterum motui peculiaris eft qualitas et diverfa, et corpori arteriae peculiaris di-

οὐ γάρ ἐστιν ἐν ταὐτῷ γένει κίνησίς τε καὶ σύστασις ἀρτηρίας σώματος. ἀλλὰ περὶ μὲν τούτων τάχ᾽ ἂν ἐν τοῖς ἑξῆς πλέον ῥηθείη. περὶ δὲ τοῦ κατὰ τὸ ποσὸν γένους τῶν σφυγμῶν ἤδη δῆλον ὅπως χρὴ σκοπεῖσθαι, πότερα τῶν πρώτων ἐστὶ γενῶν, ἢ τῶν δευτέρων. τοῦ μὲν γὰρ κατά τε τὴν κίνησιν καὶ τὸ σῶμα τῆς ἀρτηρίας φανερῶς ἕτερον ὑπάρχει, εἴ γε καὶ τὸ ποσὸν ἕτερον τοῦ ποιοῦ· διὰ ταῦτά γε καὶ τοῦ κατὰ τὸν τόνον, ἐν ᾧ σφοδροί τέ τινες καὶ ἀμυδροὶ γίνονται σφυγμοί. καὶ γὰρ οὗτοι κατὰ τὸ ποιὸν ἤτοι τῆς πληγῆς, ἢ τοῦ ζωτικοῦ τόνου συνίστανται. καὶ μὴν καὶ ῥυθμοῦ καὶ τοῦ κατὰ τάξιν τε καὶ ἀταξίαν, ὁμαλότητά τε καὶ ἀνωμαλίαν. ὑπὸ γὰρ τὴν τοῦ πρός τι κατηγορίαν ἔρχεται ταῦτα σύμπαντα. λοιπὸν δ᾽ ἂν εἴη παραβάλλειν αὐτὸ τῷ κατὰ τὴν πυκνότητα καὶ ἀραιότηται γένει. φαίνεται γὰρ τοῦτο κατὰ τὸ ποσὸν τοῦ χρόνου τῆς ἡσυχίας συνιστάμενον. ἀλλὰ κἀνταῦθα πάλιν ὑπὸ μὲν τὴν αὐτὴν κατηγορίαν ἀναχθήσεται, γένος δ᾽ οὐ ταὐτὸν ἀμφοῖν γενήσεται. γένει γὰρ ὅλῳ δια-

verfaque: fcilicet non generis funt ejusdem motus et flatus corporis arteriae. Verum de his inferius fortaffis amplius agetur. De pulfuum nunc genere in quantitate, qua ratione animadvertendum eft, liquet: primorumne generum, an fecundorum fit. Nam a genere motus corporisque arteriae plane diftat, fiquidem quantitas a qualitate diffidet; atque idcirco etiam a genere contentionis, in quo vehementes quidam et languidi funt pulfus, (etenim qualitate hi vel ictus vel vitalis roboris conftant) fed et a rhythmo etiam et a genere ordinis et perturbationis ordinis, aequalitatis, et inaequalitatis; quae quidem praedicamento ad aliquid attribuuntur univerfa. Hoc jam fupereft ut illud comparemus cum genere crebritatis et raritatis: nam hoc conftituere quantitas videtur temporis quietis. Sed fub idem fic rurfus praedicamentum reducentur, genus ambobus tamen non erit idem; nam genere toto quantitas dimenfionis corporis a quantitate abeft temporis. Ac nullum effe apertum eft in pulfibus ge-

φέρει τὸ ἐν διαστάσει σώματος ποσὸν τοῦ κατὰ χρόνον ποσοῦ, καὶ δῆλον ὡς οὐδὲν ἀνωτέρω γένος ἐν σφυγμοῖς ἐστι τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς, ὥσπερ οὐδὲ τῶν ἄλλων τῶν εἰρημένων οὐδενός. ὅστις δὲ ἀκριβῶς τούτοις ἕπεσθαι βούλεται, γεγυμνάσθαι πρότερον αὐτὸν χρὴ περὶ τὰς κατηγορίας. τὸ γὰρ τοῦ Ἀρκεσιλάου καλὸν, ὡς οὐδεὶς πόκον εἰς γναφεῖον φέρει. τάξις γάρ ἐστιν ὥσπερ ἐρίων ἐργασίας, οὕτω καὶ μαθημάτων διδασκαλίας. καὶ οὐδεὶς οὔτ᾽ ἀναγινώσκειν διδάσκεται, πρὶν πάσας ἐκμαθεῖν τὰς συλλαβὰς, [58] οὔτε τὰς συλλαβὰς αὐτὰς, πρὶν ἅπαντα τὰ στοιχεῖα τῆς φωνῆς, οὔτε τὰ σύντονα παλαίσματα πρὸ τῶν ἁπλῶν καὶ ῥαδίων, οὐδὲ ταῦτα, πρὶν τρίψασθαι καλῶς, οὐδὲ τοῦτο, πρὶν ἀλείψασθαι γυμναστικῶς, ἀλλ᾽ ἕκαστον αὐτῶν τὸ μὲν πρῶτον, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον ἐστὶν ἐν ἁπάσαις ταῖς τέχναις. οὕτω δὴ κἀν τοῖς κατὰ τὴν διαλεκτικὴν οὐκ ἐνδέχεταί τινα, πρὶν ἐν τοῖς πρώτοις καὶ οἷον στοιχείοις γυμνάσασθαι, ταῖς τῶν ἑξῆς ἀποδείξεσιν ἕπεσθαι. περὶ μὲν τούτων εἴς γε τὸ παρὸν ἱκανὰ καὶ ταῦτα.

nus altius quantitatis genere diſtentionis; ut nec aliorum quoquam commemoratorum. At exercitatum oportet prius eſſe, qui aſſequi haec volet, ad praedicamenta. Nam ſcitum eſt Arceſilai dictum: *Nemo vellus portat ad fullonem.* Ordo eſt enim ut lanificii, ſic inſtitutionis diſciplinarum. Nec legere quisquam prius docetur, quam ſyllabas omnes didicerit; nec ſyllabas ipſas prius, quam vocis cuncta elementa. Neque validas luctas ante ſimplices et leves; neque has ante, quam probe ſit frictus; imo ne id quidem, niſi praeceſſerit more athletarum unctio; ſed omnium horum aliud primum eſt, aliud ſecundum, aliud tertium in omnibus artibus. Sic etiam in dialectica, antequam quis ad prima ſe et veluti elementa exercitaverit, ſequentium non valeat aſſequi demonſtrationem. Sed haec hoc loco ſatis de his ſunt.

Κεφ. ί. Λοιπὸν δ᾽ ἂν εἴη περὶ τοῦ τῆς διαφορᾶς ὀνόματος εἰπεῖν. πρῶτον μὲν ὅτι μὴ καινοτομοῦμεν ἡμεῖς περὶ τοὔνομα, δείξομεν· ἔπειτα δὲ καὶ οἷόν τι δηλοῖ παρὰ τοῖς Ἕλλησιν ἐξηγησόμεθα. τοῦ μὲν δὴ μὴ καινοτομεῖν πρῶτος Ἀρχιγένης μάρτυς, ὡδί πως γράφων κατὰ τὴν ἀρχὴν τοῦ περὶ τάξεώς τε καὶ ἀταξίας ὁμαλότητός τε καὶ ἀνωμαλίας γένους· Ἡρόφιλος κατὰ γένος τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἐκθέμενος οὕτως· μέγεθος, τάχος, σφοδρότης, ῥυθμὸς, ἀσυζύγως κατ᾽ εἶδος τάξεως ἐμνήσθη καὶ ἀταξίας ὁμαλότητός τε καὶ ἀνωμαλίας. ἐν ταύτῃ τῇ λέξει σαφῶς ὁ Ἀρχιγένης οὐ μόνον ὅτι διαφοραὶ περὶ τοὺς σφυγμούς εἰσιν, ἀλλὰ καὶ ὡς αἵ μέν τινες αὐτῶν κατὰ γένος, αἱ δὲ κατ᾽ εἶδος ἐμνημόνευσεν. οὐ μόνον δὲ κατὰ τὴν ἀρχὴν τοῦτο ἐποίησεν, ἐπελάθετο δὲ ἐν τῷ μετὰ ταῦτα λόγῳ παντί. μυριάκις γὰρ μνημονεύει τοῦ τε τῆς διαφορᾶς ὀνόματος τοῦ τε τῶν γενῶν καὶ εἰδῶν, ὀρθότατα φρονῶν καὶ γινώσκων ὅτι τῶν διαφορῶν αἵ μέν τινές εἰσι γενικαὶ, αἱ δὲ εἰδικαὶ, καὶ αὐτῶν γε τούτων αἱ μὲν γενικώτεραι, αἱ δὲ εἰδικώτεραι.

Cap. X. Reftat ut de nomine differentiae dicam. Primum in nomine nos nihil innovare oftendemus, deinde quid apud Graecos fignificet interpretabimur. Nam novi nos nihil defignare primus eft Archigenes teftis, qui in hunc modum in principio fcribit tractatus de ordine et perturbatione ordinis, aequalitatis et inaequalitatis: *Herophilus qui generatim pulfuum protulit alias differentias hoc pacto: Magnitudo, celeritas, vehementia, rhythmus, non conjunctim, fed fpeciatim ordinis meminit, et perturbationis ordinis, aequalitatisque et inaequalitatis.* Hoc loco aperte Archigenes non modo differentias effe in pulfibus, fed et aliquas generum effe, quasdam fpecierum memoravit. Neque initio hoc tantum fecit, oblitus autem poftea eft in toto fermone; millies enim nominis meminit differentiae, et generum, et fpecierum, rectiffime fentiens fciensque differentiarum quasdam genericas, quasdam effe fpecificas; ac harum etiam ipfarum has magis genericas, illas fpecificas

ὀλίγας οὖν παραγράψομεν ῥήσεις αὐτοῦ εἰς ἀπόδειξιν τοῦ προκειμένου, πρῶτον μὲν ταύτην ἐκ τοῦ αὐτοῦ λόγου περὶ τάξεως καὶ ἀταξίας· οἱ μέν γε τὴν ὁμαλότητα ἐπὶ τινῶν διαφορῶν ἤκουον μόνον, ἐγὼ δ᾽ ἐπὶ πασῶν ἐφ᾽ ὅσων καὶ τὴν τάξιν. εἶθ᾽ ἑξῆς· ἀνωμαλία μὲν ἀνισότης σφυγμῶν κατά τινα τῶν παρεπομένων αὐτοῖς διαφορῶν, ἀταξία δὲ ἀσυστασία χρονικὴ κατά τινα τῶν τοῦ σφυγμοῦ διαφορῶν. ἐν ταύτῃ μέν γε τῇ ῥήσει δὶς ἔγραψε τὸ τῆς διαφορᾶς ὄνομα. εἶτα μετ᾽ ὀλίγον· οὐδ᾽ εἰρήκασιν οὐδ᾽ ὑπὲρ τούτων, εἴ γε δεῖ τὸν κατὰ πᾶσαν διαφορὰν ἴσον ὁμαλὸν λέγειν. αὖθις δ᾽ ἐφεξῆς· καὶ ὁ μὲν καθὰ παρατεταγμένος, οὗτος καθ᾽ ἡμᾶς ἔσται ἴσος μεγέθει, σφοδρότητι, τάχει, ῥυθμῷ, καὶ εἴ τινι ἄλλῃ τοιαύτῃ διαφορᾷ σχέσιν ἔχων θεωρεῖται κατὰ πάσας· πρὸς τὶ δὲ ὁ κατὰ μίαν τινὰ τούτων διαφορὰν ἐν σχέσει θεωρούμενος, ἢ κατὰ δύο, ἢ κατὰ πλείονας. ἐν ταύτῃ γὰρ πάλιν τῇ ῥήσει δὶς ἐμνημόνευσε τοῦ τῆς διαφορᾶς ὀνόματος. συνάπτων δ᾽ αὐτῇ τὸν ἑξῆς λόγον, πρῶσον μὲν οὕτως ἐρεῖ· ἡ μὲν γὰρ καθάπαξ καὶ ἀπολελυμένη πασῶν τῶν διαφορῶν

magis. Quare paucula ejus verba adfcribamus ad confirmandum propofitum: primum hoc ex eodem de ordine et perturbatione ordinis tractatu: *Quidam fane aequalitatem acceperunt in certis tantum differentiis; ego vero in omnibus, in quibus ordinem.* Mox addit: *Inaequalitas eft imparitas pulfuum in aliqua fuccedentium eis differentiarum; perturbatio vero ordinis, conturbatio difpofitionis temporaria in aliqua pulfus differentia.* Bis in hoc quidem capite fcripfit differentiae nomen. Paulo poft: *Neque aperuerunt, ne de his quidem, an qui omni in differentia fit par, fit aequalis dicendus.* Inde rurfus: *et qui eft abfolute ordinatus, hic nobis erit par magnitudine, vehementia, celeritate, rhythmo; et fi qua alia ejuscemodi differentia difpofitus attenditur in omnibus effe, fed aliqua ex parte, qui in una horum differentia difpofitus videtur effe, vel duabus, vel pluribus.* Hoc rurfus loco nomen differentiae bis appellavit, cui annectens fequentem orationem, primum fic dicit: *Nam illa integra et omnium*

ἐστιν ἰσότης. ποτὲ δὲ οὕτως· καὶ ἀνώμαλον μὲν σφυγμὸν τὸν καθάπαξ καὶ κατὰ μίαν διαφορὰν ἄνισον λεγόμενον. ποτὲ δ᾽ οὕτως· ἔσθ᾽ ὅτε δὲ τὰ μὲν ἄλλα διὰ τριῶν, ὡς εἶπον, ἀναλογεῖ. ἡ σφοδρότης δὲ ὡς ἂν ἀμφημερινός ἐστιν, ὁμαλὴς οὖσα καὶ ἴση. ἐφεξῆς, ἢ ἄλλη τις τῶν λοιπῶν διαφορῶν, ἢ ἄλλη. τούτοις δὲ συνάπτων τὸν ἑξῆς λόγον ἐρεῖ· ἀναλογούντων τῶν σφυγμῶν ὁμοῦ τε πάσαις ταῖς διαφοραῖς καί τινι ἢ τισιν. εἶτ᾽ ἐφεξῆς· ἔσθ᾽ ὅτε δὲ τὰ μὲν ἄλλα πάντα τετα(30)γμένα ἐστὶν, ἢ νὴ Δί᾽ [59] ὁμαλά· μία δέ τις διαφορὰ, οἷον τὸ μέγεθος, ἢ δύο, ἢ πλείους, ἄτακτοι τελέως εἰσίν. εἶτα ἐπὶ τῇ τελευτῇ τοῦ λόγου· νοεῖσθαι γὰρ δεῖ, φησὶν, ἃ ἔφην περὶ τάχους καὶ βραδύτητος ἐπὶ πάσης ἄλλης διαφορᾶς σφυγμοῦ. τοσαῦτα μὲν ἐκ τούτου τοῦ λόγου παραγεγράφθω. τί γὰρ ἄν τις πλειόνων μνημονεύοι; μεταβῶμεν δὲ αὖθις ἐφ᾽ ἕτερον, ὑπὲρ τοῦ μὴ δοκεῖν ἐξ ἑνὸς τόπου μαρτυρίας λαμβάνειν. παραγράφωμεν οὖν ῥήσεις ἐκ τῶν ἑξῆς καὶ πάλιν ἐκ τῶν ἔμπροσθεν. ἑξῆς μὲν οὖν ἐστι πρόγραμμα τοιοῦτον· τίς ἡ καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλία.

differentiarum abfoluta paritas. Interim fic: *Et inaequalem pulfum eum qui prorfus, vel una differentia eft impar vocamus.* Interim hunc in modum: *Nonnunquam alia per tres, ut dixi refpondent. Vehementia vero, quafi quotidiana eft, quum fit aequalis, et per deinceps, aut alia quaepiam reliquarum differentiarum, aut alia.* Hic fubdens proximam orationem dicit: *Convenientibus pulfibus, et fimul omnibus differentiis, et una, vel pluribus.* Poftea: *interim funt alia omnia ordinata, aut certe aequalia; una autem aliqua differentia, ut magnitudo: vel duae, vel plures femel inordinatae funt.* Poft haec exitu tractatus: *Accipienda funt enim,* inquit, *quae retuli de celeritate et tarditate, denique de omni pulfus alia differentia.* Atque haec ex hoc tractatu adducta fint: quid enim plura cites? Digrediamur jam ad alium, ut ne ex uno loco teftimonia videamur capere. Afcribamus igitur capita ex fequentibus atque etiam ex praecedentibus. Ac fequitur quidem hic titulus: *quae fit uno in pulfu inaequalitas.*

γράφει δ' εὐθέως μετὰ τὴν ἀρχὴν τοῦ λόγου τόνδε τὸν τρόπον· εἰσὶ δ' αὐτῆς πλείους διαφοραὶ, τῆς καθ' ἕνα δηλονότι σφυγμὸν ἀνωμαλίας. εἶθ' ἑξῆς· τὰ πολλὰ δὲ ταύταις ταῖς διαφοραῖς καὶ ταῖς κατὰ μέγεθος συντρέχουσιν ἀνωμαλίαις. καὶ πάλιν ἐφεξῆς· ἄλλη δ' ἐστὶ διαφορὰ κατὰ μέγεθος ἀνωμάλου ἑνὸς σφυγμοῦ. ταῦτα μὲν καὶ ἐκ τούτου τοῦ λόγου λαβεῖν ἐστι. προσπαραγράψωμεν δ' αὐτοῖς ἔτ' ὀλίγα τῶν εὐθὺς κατ' ἀρχὰς εἰρημένων τοῦ βιβλίου. μία μὲν οὖν ῥῆσις ἐν τῷ περὶ σφοδρότητος σφυγμοῦ λόγῳ τοιαύτη τις· ἔστι δὲ κατὰ τὴν σφοδρότητα τοιαύταις καὶ ἄλλαις ἐντυγχάνειν διαφοραῖς. ἑτέραν δὲ ταύτην ἀμυδροῦ σφυγμοῦ διαφορὰν θείη τις ἄν. καὶ ἑξῆς ἄλλην. εἰ δ' οὐκ ἔκλυτος μὲν, ἀλλ' οἷον παραπεποδισμένη καὶ εἴσω ῥέπον τὸ βάρος ἔχουσα, πεποδισμένη καὶ δεδυκυῖα διαφορὰ, κατὰ σφοδρότητα ἂν εἴη σφυγμοῦ. ἑξῆς δ' ἐν τῷ περὶ πληρότητος λόγῳ ποτὲ μὲν οὕτως γράφει, τοσούτων διαφορῶν, ποτὲ δ' οὕτως· ἡ διαφορὰ μόνον πρὸς τὸν διανενεγμένον ψιλῶς θεωρείσθω. πάλιν δ' ἐν τῷ περὶ πυκνότητος καὶ τάχους ὧδί πως γράφει· ὀλίγοι

Statimque fcribit ab initio tractatus in hunc modum: *funt enim plures differentiae inaequalitatis, puta in uno pulfu.* Inde: *frequenter autem cum hifce differentiis, et cum magnitudinis conjunguntur inaequalitatibus.* Mox: *Alia porro eft differentia in magnitudine unius pulfus inaequalis.* Haec ex hoc tractatu proferas. Porro adfcribamus his pauca adhuc ex ipfo initio libri. Unum quidem eft caput hoc, Tractatus de pulfus vehementia. *In vehementia autem ejuscemodi invenias praeterea alias differentias.* Alterum jam: *Hunc in pulfus languidi differentias referas.* Et inde aliud: *Quidam non remiffus quidem, fed quafi impeditus, et intro vergente praeditus gravitate, repreffus et demerfus, differentia erit vehementiae pulfus.* Poftea ubi de plenitudine agit, interim fic fcribit: *Numerus tot differentiarum.* Interim fic: *Differentia tantum ad contrarium fimpliciter aeftimetur.* Rurfus in tractatu de crebritate et raritate in hunc modum fcribit: *Non-*

δέ τινες ἐμφαίνουσι σαινόμενοι διαφοράς. καὶ κατὰ τὴν τελευτὴν τοῦ παντὸς λόγου· ταχύτητος μὲν δὴ καὶ πυκνότητος διαφοραὶ αὗται. πάλιν δ᾽ ἐν τῷ, τίς ὁ δι᾽ ἴσου καὶ οὐ δι᾽ ἴσου σφυγμός· οὐκ ἔστι δὲ ἰδία τις διαφορὰ σφυγμοῦ αὕτη, ἀλλ᾽ ἐν εἴδει κεῖται ἢ ῥυθμοῦ ἢ τάξεως. ἅλις ἤδη γε διαφορᾶς, μή πως λάθωμεν εἰς ἐκφορὰν ἐκπεσόντες. εἰ γάρ τις βούλεται τὸ περὶ σφυγμῶν βιβλίον ὅλον ἀναγινώσκειν τοῦ Ἀρχιγένους, ἄλλο βιβλίον ἐξ αὐτοῦ πληρῶσαι δυνήσεται τοῦ τῆς διαφορᾶς ὀνόματος· νῦν μὲν γὰρ ἡμεῖς οὐδ᾽ ἐκ τοῦ πέμπτου μέρους ἐξελέξαμεν ταῦτα. καὶ πολλὰς παρεγράψαμεν ῥήσεις, οὐχ οὕτως ὑπὲρ τοῦ τῆς διαφορᾶς ὀνόματος σπουδάσαντες, ἀλλ᾽ ἵν᾽ ἐπιδείξωμεν τὸ σημαινόμενον πολυειδὲς ὄν. καὶ γὰρ τὰ γένη πολλάκις διαφορὰς κέκληκε, τά τε πρῶτα καὶ τὰ δεύτερα, καὶ τὰ εἴδη τῶν γενῶν οὐδὲν ἧττον. καὶ ὅσα δὲ μήτε γένη μήτ᾽ εἴδη τέταχεν ὄντα, διαφοραὶ δ᾽ αὐτὸ τοῦτο μόνον καὶ ταύτας διαφορὰς κέκληκεν, ἐν ᾧ καὶ ἡ παρακοὴ τῶν ψευδοδιαλεκτικῶν ἐστι. τοῦ γὰρ τῆς διαφορᾶς ὀνόματος παρά τε τοῖς ἄλλοις Ἕλλησιν ἅπασι καὶ παρὰ τοῖς

nulli videntur turbare differentias. Et ad finem totius tractatus: *Habes celeritatis et tarditatis differentias.* Rursus ubi agit qui sit pulsus per par et non par: *At enim non est haec peculiaris pulsus differentia, sed speciem ea complectitur vel rhythmi vel ordinis.* Sed satis jam de differentia, ne imprudentes forte a proposito aberremus. Nam Archigenis si de pulsibus velis totum librum revolvere, alterum ex eo librum conficias de nomine differentiae; nam nunc quidem ne ex quinta parte quidem haec excerpsimus; ac multa protulimus capita, non adeo quo de nomine differentiae laboraremus, sed ut significationem esse variam ostenderemus. Etenim genera non raro differentias appellavit cum prima tum secunda, et species item generum. Ac quae neque genera, neque statuit species esse, quae quidem differentiae sunt solae, etiam vocavit has differentias, quae pseudodialecticis res imponit. Nam quando differentiae quum apud alios Graecos, tum apud priscos philosophos de

παλαιοῖς φιλοσόφοις κατὰ τῶν τριῶν τούτων ὧν εἴπομεν ἄρτι λεγομένου, κατὰ μὲν τῶν γενῶν καὶ τῶν εἰδῶν κοινότερον, κατὰ δὲ τῶν μὲν ἐν ταῖς διαιρέσεσιν εὑρισκομένων, ὄντων δὲ μήτ᾽ εἰδῶν μήτε γενῶν ἰδικώτερον, τοῦτο μόνον τὸ σημαινόμενον ἐμνημόνευσαν, τοῦ κοινοῦ παντάπασιν ἐπιλαθόμενοι, ἀλλ᾽ ὑπὸ τῆς Ἀδραστείας νεμεσώμενοι ταῖς σφετέραις ἑαυτῶν οὐκ ἐμμένουσι νομοθεσίαις. διὰ τοῦτ᾽ ἐγὼ νῦν οὐ παρὰ τῶν ἄλλων Ἑλλήνων τὰ σημαινόμενα τῶν ὀνομάτων ἀναμιμνήσκω, ῥᾷστον ὄν μοι παρὰ πάντων λαβεῖν, ἀλλὰ παρ᾽ αὐτῶν τούτων τῶν ψευδοδιαλεκτικῶν. τοὺς γὰρ ἐπαγγελλομένους μὲν ἐξηγεῖσθαι τὰς ἐννοίας τῶν ὀνομάτων καὶ ταύτην ἀρχὴν τῆς διαλεκτικῆς θεωρίας τιθεμένους, οὐκ ἐξηγουμένους δὲ, ἀλλὰ νομοθετοῦντας μόνον, οὕτως ὀνομάζειν εἴωθα. καὶ γὰρ Ἀρχιγένης οἶδ᾽ ὅτι θᾶττον ἂν ὁτιοῦν παθεῖν εἵλετο, πρὶν ὁμολογῆσαι τὸ τῆς διαφορᾶς ὄνομα καὶ κατὰ τῶν εἰδῶν λέγεσθαι. [60] τά τε γὰρ ἄλλα καὶ ἡ αἵρεσις αὐτῶν θᾶττον πόλιν ἢ δόγμα φησὶ χρῆναι προδιδόναι, ἀλλ᾽ ἐὰν σιωπήσῃς νομοθετούντων καὶ μηδόλως ἀντείπῃς, εἶτ᾽ ἐπιτρέψῃς περί τινος διαλέγεσθαι, παραχρῆμα

tribus his quae modo memoravi, accipiantur, de generibus et fpeciebus communius; fed de illis quae in divifionibus reperiuntur, quae nec fpecies funt nec genera, peculiarius; hujus ifti tantum fignificationis meminerunt, communi omnino neglecta. Enimvero ftimulante eos confcientia in fuis ipforum placitis non conftant. Quapropter nunc non ex aliis Graecis nominum fignificata fuggero, quum tamen mihi promptiffimum effet ab omnibus mutuari, fed ex iis ipfis pfeudodialecticis. Nam qui recipiunt fe nominum notiones expofituros, et dialecticae hoc commentationis principium conftituunt, quum non exponunt, fed quafi leges folum ferunt, hoc nomine fum folitus eos appellare. Nam Archigenes quidem, fat fcio, omnia citius fubeat quam differentiae nomen attribui fpeciebus quoque fateatur. Etenim, ut praeteream alia, vel fecta eorum civitatem prius quam placitum ait effe prodendam. At tu fi, dum leges illi ferunt, fileas, nec refiftas quicquam, inde de re quapiam fa-

Ed. Chart. VIII. [60.] Ed. Baf. III. (30.)

ταῖς ἑαυτῶν νομοθεσίαις ἐναντία φθέγγονται. πολὺ δὲ τοῦτ᾿ ἔστι παρὰ τῷ προπάππῳ τῆς αἱρέσεως αὐτῶν Χρυσίππῳ. νομοθετεῖ μὲν γὰρ ὀνόματα πλεῖον ἢ Σόλων Ἀθηναίοις ἱστᾷν τοῖς ἄξοσι νομίσματα. συγχεῖ δ᾿ αὐτὸς πρῶτος αὐτά. καὶ εἰ ἔροιο τοὺς διαδόχους αὐτοῦ τῆς νομοθεσίας, τί δή ποτε οὐκ ἐμμένει τοῖς ἑαυτοῦ παραγγέλμασι, καταχρῆται, φασίν. ἔξεστιν οὖν, ὦ βέλτιστοι, καταχρῆσθαι, καὶ οὐχ ἁμαρτάνουσιν οἱ τοῦτο ποιοῦντες; ἔξεστι, φασί. τί γὰρ ἄλλο εἰπεῖν ἔχουσιν, ὅταν ἐν φρέατι, τοῦτο δὴ τὸ τοῦ λόγου, συσχεθῶσι; τί δή ποτ᾿ οὖν τοῖς ἄλλοις ἀνθρώποις οὐκ ἐπιτρέπουσιν; ἢ μόνῳ Χρυσίππῳ καὶ τοῖς ἀπ᾿ αὐτοῦ τοῦτο δρᾷν ἔξεστι; διὰ τί πρὸς τῶν θεῶν; ὅτι δηλαδὴ γηγενὴς Ἀττικὸς ἦν τῶν ἀμφὶ Κόδρον τε καὶ Ἐρεχθέα. ἀλλ᾿ εἰ τῶν τοιούτων ὄντως ἦν, οὐκ ἂν παρεχάραττεν οἷον νόμισμά τι τὸ τῆς παλαιᾶς φωνῆς ἔθος. νυνὶ δὲ τὸ δεινότατον οὔτε γεννηθεὶς Ἀθήνησιν οὔτε τραφεὶς, ἀλλὰ χθὲς καὶ πρώτως ἥκων ἐκ Κιλικίας, πρὶν ἀκριβῶς αὐτὸν ἐκμαθεῖν ἡντιναοῦν Ἑλλάδα φωνὴν, Ἀθηναίοις ὑπὲρ ὀνομάτων ἐπιχειρεῖ νομοθετεῖν

cias poteftatem differendi, cum fuis ipfi ftatim decretis pugnant. Quod fane proavo hujus eorum fectae frequens eft Chryfippo, de nominibus enim ipfe diligentius fanxit quam Athenienfibus de appendendis nummis Solon fuis tabulis; confundit autem ipfe ea primus. Et fi quaeras de fuccefforibus ejus placiti, quid non tueatur fua decreta? abutitur, inquiunt. At licet, o viri boni, abuti, an ne qui hoc admittunt, peccant? licet, inquiunt; nam quid dicant aliud, ubi in puteo, ut in proverbio eft, fint oppreffi? Qui autem aliis hoc hominibus minus permittunt? An uni Chryfippo iftud ejusque facere permiffum eft aemulis? At quam quaefo ob rem? quod terra fit natus fcilicet Atticus de Codri familia et Erechthei? Atqui, fi quidem illorum fit nepos, non adulteraret, quafi numum aliquem, antiquae inftitutum vocis. Nunc vero (quod quis ferat?) neque Athenis natus, nec altus, fed ex Cilicia nuper adveniens, priusquam probe Graecam vocem didicerit ullam, Athenienfibus ftudet

ἁ κίττα τὰν σειρῆνα μιμουμένα, ἵνα κίτταν εἴπωμεν, μὴ κολοιὸν, μηδὲ κόρακα, μηδ᾽ ἄλλο μηδὲν ὧν οἰκειότερον ἦν εἰπεῖν τὸν οὕτω θρασύν. ὅσα μὲν οὖν Χρύσιππος εἰς τὴν τῶν Ἀθηναίων ἐξυβρίζει διάλεκτον, τάχ᾽ ἄν ποτε καὶ αὖθις ἡμῖν διελθεῖν γένοιτο· τὰ δ᾽ Ἀρχιγένους ταυτὶ τὰ νῦν ἡμῖν προκείμενα θαυμαστῶς ὁρᾷς ὁμόλογα, φοβηθέντος μὲν εἰπεῖν πρῶτα γένη καὶ πρώτας διαφορὰς καὶ γενικὰς διαφορὰς καὶ γένη διαφορῶν, καίτοι τούτων ἁπάντων συνήθων μὲν τοῖς Ἕλλησιν ὄντων, ὑπὸ Ἡροφίλου δὲ καὶ τῶν Ἡροφιλείων σχεδὸν ἁπάντων μυριάκις εἰρημένων, ἐξευρόντος δὲ τὸ τῆς ποιότητος ὄνομα κατὰ πάντων κοινόν. καὶ μὴν τὸ μὲν τῆς διαφορᾶς ἐγχωρεῖ κατὰ πάντων λέγειν, καὶ τῶν ποιῶν καὶ τῶν ποσῶν καὶ τῶν πρός τι, καὶ ὅλως ἁπαξαπάντων· παρὰ γὰρ τὸ διαφέρειν ἕτερον ἑτέρου τὸ τῆς διαφορᾶς ὄνομα γέγονέ τε καὶ νενόηται. διαφέρει δ᾽ ἀλλήλων τὰ μὲν εὐθὺς ἐν τοῖς πρώτοις γένεσι τῶν κατηγοριῶν, ὡς ἄνθρωπος καὶ λευκὸν καὶ δίπηχυ καὶ δεξιόν. τὸ μὲν γὰρ αὐτῶν οὐσία, τὸ δὲ ποιὸν, τὸ δὲ ποσὸν, τὸ δὲ πρός τι. τὰ δ᾽ ἐν τοῖς ὑπ᾽ αὐτὰ, καθά-

legem de nominibus ferre, pica Sirenem imitans; ut picam, non graculum dicamus, vel corvum, vel quippiam aliud, quem verius appellaveris tam audacem. Sed Chryfippi in linguam Atticam contumelias pofthac fortaffe detegemus. Archigenis errata haec quae nunc in manibus habemus, mire confitearis aperta effe; qui veretur dicere prima genera et primas differentias, genericasque differentias, et genera differentiarum, tametfi frequentia apud Graecos haec fint nomina, ab Herophilo vero et Herophiliis prope omnibus millies prolata; fed omnibus commune nomen commentus eft qualitatis. Atqui differentiae nomen poteft omnibus affignari qualitatibus, quantitatibus, relationibus, uno verbo univerfis; nam ab eo quod differat alterum ab altero, nomen differentiae factum eft et conceptum. Differunt autem quaedam ftatim primis generibus praedicamentorum, ut homo, album, bicubitale, dextrum; nam unum illorum eft fubftantia, alterum qualitas, aliud quantitas, aliud ad aliquid. Quaedam fubjectis generibus fub his, ut album et

περ τὸ λευκὸν καὶ τὸ τρίγωνον. τοῦ μὲν γὰρ τὸ χρῶμα γένος, τοῦ δὲ τὸ σχῆμα. πέπτωκε δ᾽ ἄμφω ταῦτα πάλιν ὑπὸ τὴν τοῦ ποιοῦ κατηγορίαν, ὥστε τὸ λευκὸν τῷ τριγώνῳ κατὰ μὲν τὴν πρώτην κατηγορίαν ὡσαύτως ῥηθήσεται· ποιὸν γὰρ ἑκάτερον· ἐν γένει δ᾽ ἔσται διαφέροντι, τὸ μὲν τῶν χρωμάτων, τὸ δὲ τῶν σχημάτων. ἄλλα δ᾽ αὖ κατ᾽ εἶδος διαφέρει, τῷ γένει μὴ διαφέροντα, καθάπερ τὸ λευκὸν καὶ τὸ ξανθόν. τῷ μὲν γὰρ γένει ταὐτὰ, χρώματα γὰρ, εἰδικὴν δέ τινα ἔχει διαφοράν. εἴδη γὰρ χρώματος ὥσπερ τὸ μέλαν καὶ τὸ ἐρυθρὸν καὶ τὸ κυανοῦν, οὕτω τὸ λευκόν τε καὶ ξανθόν. ἄλλα δ᾽ αὖ κατὰ τὸ ἄτομόν τε καὶ ἀριθμῷ ἓν, δια-(31)φέρει, καθάπερ καὶ τὸ λευκὸν, ὃ δειχθῆναι δύναται, τοῦδε τοῦ λευκοῦ, τοῦ δειχθῆναι δυναμένου, διαφέρει μέν τινα διαφορὰν ἰδίαν, ὑπὸ δὲ ταὐτὸν πέπτωκεν εἶδος τὸ λευκόν. ἀλλὰ καὶ γένος αὐτῶν ταὐτὸν, τὸ χρῶμα, καὶ κοινὴ κατηγορία, τὸ ποιόν. οὕτως πᾶν παντὸς, ἕτερον ἑτέρου πάντως κατά τι διαφέρει. ἐπεὶ οὖν ἡ διαφορὰ παρὰ τὸ διαφέρειν εἴρηται καὶ νενόηται, τὸ διαφέρειν δὲ κἂν τοῖς ἀτόμοις κἂν τοῖς εἴδεσι καὶ τοῖς ὑπ᾽ ἄλληλα γένεσιν εὑρίσκεται, καὶ περὶ

triangulare; color enim illius eſt genus, hujus figura. Haec rurſus ambo praedicamento ſubjecta qualitatis ſunt, itaque albo primum praedicamentum cum triangulari convenit; eſt enim utrunque qualitas: caeterum generis ſunt diverſi, hoc figurarum, illud colorum. Alia jam ſpecie differunt quum non differant genere, ut album et flavum; genere ſunt enim eadem, nam colores ſunt; ſed ſpeciei habent quandam differentiam; nam ſpecies coloris ut nigrum, rubeum, coeruleum, ita album et flavum ſunt. Jam alia differunt individuo et uno numero, verbi gratia, album, quod oſtendi poteſt, ab hoc albo, quod poteſt oſtendi, peculiari quadam diſtat differentia; ſed eidem ſpeciei tamen ſubditum eſt albo: et idem eorum etiam genus color eſt, atque commune praedicamentum qualitas; adeo quodlibet a quovis, alterum ab altero prorſus aliquatenus differt. Quandoquidem igitur differentia a differendo eſt appellata et inventa, differre autem tum individua, tum ſpecies, tum genera inveniuntur

πάνθ᾽ ἁπλῶς τὰ ὁπωσοῦν ὄντα, ἀνάγκη καὶ τὴν διαφορὰν ἐν ἅπασιν ὑπάρχειν τοῖς οὖσιν, οὐ μὴν τήν γε ποιότητα. [61] διὰ τοῦτο Ἀρχιγένης μὲν κακῶς τὰ πρῶτα γένη τῶν ἐν τοῖς σφυγμοῖς διαφορῶν ποιότητας ὠνόμασεν, ἡμεῖς δὲ ὀρθῶς καὶ ταῦτα καὶ τἄλλα πάντα διαφοράς, ὅθεν καὶ τοὐπίγραμμα τῷ λόγῳ παντὶ περὶ σφυγμῶν διαφορᾶς ἐποιησάμεθα. τί λοιπὸν ἔτι λείπει τῶν ἀναβληθέντων; οὐδὲν ἢ τὸ δεῖξαι τήν τε παρὰ τοῖς παλαιοῖς ἰατροῖς καὶ τοῖς ἄλλοις Ἕλλησι περὶ τοὔνομα τῆς διαφορᾶς συνήθειαν. ὁ μὲν γὰρ ἔμπροσθεν λόγος παρ᾽ Ἀρχιγένους αὐτοῦ τὰς πίστεις ἐποίησατο, καὶ οὐδ᾽ ἐξ ἁπάντων μέντοι τῶν βιβλίων αὐτοῦ, ἀλλ᾽ οὐδ᾽ ἐκ τοῦ περὶ σφυγμῶν ὅλου. ὡς εἴγε κἀπὶ τἄλλα τις ἔρχοιτο τοῦ Ἀρχιγένους συγγράμματα, καὶ πυρετῶν διαφορὰς εὑρήσει καλοῦντα τὸν ἄνδρα καὶ παθῶν καὶ διαιτημάτων καὶ μυριάκις χρώμενον καθ᾽ ὧν εἴπομεν πραγμάτων τῷ τῆς διαφορᾶς ὀνόματι. τὸ δὲ καὶ παρὰ τῶν ἄλλων τε ἰατρῶν καὶ ὅλως Ἑλλήνων χρήσεις παραγράφειν, οὕτω μοι δοκεῖ μακρὸν ὑπάρχειν, ὥστε βίβλους μεγίστας δύνασθαι πληρῶσαι. κάλλιστον

subalterna, et semel omnia quae aliquo modo sunt, etiam differentia oportet in omnibus sit, quae sunt, non item qualitas. Male ergo prima genera Archigenes differentiarum pulsuum vocavit qualitates, nos recte atque ordine quum haec tum alia omnia differentias; quare etiam universo operi titulum fecimus De pulsuum differentiis. Quid jam superest eorum, quae distulimus? nihil, nisi ut veterum medicorum aliorumque auctorum usum nominis differentiae declaremus. Nam superior quidem oratio ipsius testimonio Archigenis fidem fecit, neque ex omnibus tamen ejus libris, ne ex illo quidem de pulsibus toto. Quod si alia opera inspicias Archigenis, etiam febrium differentias reperias hominem appellare, et morborum, victuumque: atque uti millies in his, quas memoravimus, rebus, nomine differentiae. Quod si aliorum medicorum usum et omnino Graecorum adscribam, res mihi tam fore videtur prolixa, ut libros conficere maximos possit. Omnium ergo primum

οὖν αὐτῶν ἕκαστον ἐκλέγειν. εὐθὺς γὰρ καὶ τοῖς ἄλλοις τῶν Ἑλλήνων ὀνόμασιν ἐθισθήσεται καὶ ἧττον ἡμῖν πράγματα παρέξει πρὸς τὸν ἑξῆς λόγον. καὶ ἡμετέρας δὲ δύο πραγματείας ὁ βουλόμενος ἔχει, τήν τε περὶ Ἀττικῶν ὀνομάτων καὶ τὴν περὶ τῶν ἰατρικῶν. ἴσως δ᾽ ἂν ποτε καὶ περὶ τῶν Ἰωνικῶν ποιήσαιμ᾽ ἂν, ὥστε ἐξ ἐκείνων ὅσα περὶ λέξεώς τε καὶ ὅλως ὀνομάτων ζητεῖται, μανθάνειν. νυνὶ δὲ τὸ συνεχὲς τοῦ λόγου περαινέσθω, τοῦτο μὲν ἐνταῦθα καταπαυσάντων ἡμῶν, ἐν δέ τοι τοῖς ἑξῆς ὅσα λείπει προσθέντων.

ſit, ut quisque excerpat; nam ſe ſtatim authorum vocabulis aſſuefecerit, minusque nobis exhibuerit negotii ad ſequentem diſputationem. Etiam duae cuilibet ad manum ſunt lucubrationes noſtrae, et de Atticis nominibus et de medicis. Poteſt fieri ut de Ionicis quoque conſcribam aliquando: ut quae de dictione et omnino de nominibus quaeruntur diſcas ex illis. Nunc ſeriem orationis perſequamur, atque hunc librum quidem hic finiamus, in ſequentibus libris addamus reliqua.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Γ.

Ed. Chart. VIII. [61. 62.] Ed. Bas. III. (51.)

Κεφ. α'. Τὸ μὲν δὴ περὶ τῶν πραγμάτων ἡμᾶς διαφέρεσθαι, τῷ μὲν ἴσως ἀναγκαῖον εἶναι δόξει, τῷ δ' εὔλογον, τῷ δέ τινι καὶ συγγνώμης ἄξιον. κατὰ μὲν γὰρ τὸν τραγικὸν ποιητὴν,

Εἰ πᾶσι ταὐτὸ καλὸν ἔφυ σοφόν θ' ἅμα,
Οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις.

[62] νυνὶ δ' ἐπεὶ οὐδὲ δοκεῖ πᾶσι ταὐτὸν οὔτε καλὸν οὔτε σοφὸν οὔτε ἀληθὲς εἶναι, ἀναγκαῖον, οἶμαι, διαφέρεσθαι. κατὰ δὲ τὸν φιλόσοφον τὸν εἰπόντα· ἣν γὰρ καὶ τὰ μέγιστα

GALENI DE PVLSVVM DIFFERENTIIS LIBER III.

Cap. I. Controverſia nobis de rebus, cuipiam neceſſaria fortaſſe videatur eſſe, alii juſta eſſe, alicui etiam condonanda. Nam ut ait Poëta Tragicus,

Anceps foret contentio haud mortalibus,
Eſſet ſi idem bonum atque ſapiens omnibus.

Nunc quia non videtur omnibus idem neque honeſtum, neque ſapiens eſſe, neque etiam verum, neceſſarium puto diſſentire. Ut vero philoſophus dixit, *Etenim ſi vel maxi-*

τύχῃ τετελεσμένα, εἰπὼν αὐτὸς, ὅμως οὐκ οἶδε, δοκὸς δ' ἐπὶ πᾶσι τέτυκται. διὰ τὸν δοκὸν τοῦτον εὔλογον διαφέρεσθαι. κατὰ δὲ τοὺς ἡγουμένους εἶναι βεβαίως τε καὶ ἀραρότως γνωστὸν, ἀλλὰ χαλεπὸν εὑρεθῆναι τοῖς πολλοῖς, συγγνωστὸς ὁ μὴ τυγχάνων αὐτοῦ. τὸ δὲ καὶ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, καὶ μηδὲ μετρίως τοῦτο, μηδ' ὡς ἔτυχε, ποιεῖν, ἀλλὰ βίβλους ὅλας μεγίστας ἀναπιμπλάναι τῆς περὶ ταῦτα τερθρείας, οὔτ' ἀναγκαῖον οὔτ' εὔλογον οὔτε συγγνώμης ἄξιον ἐμοὶ γοῦν εἶναι δοκεῖ. τοσαύτης γὰρ οὔσης τῆς ἐν τοῖς πράγμασιν ἀσαφείας, ὥστε εἰ καὶ τριπλασίονα βίον ζήσαιμεν οὗ νῦν ζῶμεν, οὐδὲ τότ' ἂν ἴσως ἁπάντων ἡμῖν ἀκριβῶς γνωσθέντων, καὶ διὰ τοῦτ' εἰπόντος Ἱπποκράτους, ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, πῶς οὐκ ἄτοπος ὁ περὶ τὰ μηδὲν προσήκοντα τρίβων τὸν χρόνον; ὥσπερ οὕτω πολὺν ἔχων, ὥστε καὶ τοῦτ' ἐκ περιττοῦ μανθάνειν, καὶ τἀναγκαῖα κατὰ σχολὴν ζητεῖν. ἆρ' οὖν οὐ τοῦτο δρῶσιν οἱ τὰ τοιαῦτα γράφοντες, οἷά περ καὶ ὁ Ἀρχιγένης ἐν τῷ περὶ σφοδροῦ σφυγμοῦ λόγῳ; ἔστι δὲ ἡ ῥῆσις μακρὰ καὶ πᾶσαν παραγράφειν ἐνταῦθα

ma fint, inquit, *definita, non tamen fcio, fed eft in omnibus opinio; ex opinione hac par eft nafci diffidium.* Ut autem fentiunt illi qui fcientiam firmam effe et congruentem ducunt, fed non facile inveniri; qui eam non affequitur, huic eft habenda venia. At de nominibus pugnare, nec ullum hic modum facere, et multum laborare, folidosque implere libros maximos hifce praeftigiis, nec neceffe effe, nec par, nec venia dignum mihi videtur. Nam rerum quum fit ea obfcuritas, ut fi vel in triplum haec vita noftra prorogetur, ne tunc quidem exacte nos omnia cognofcamus, et hac adductus re dixerit Hippocrates, *Vita brevis, ars longa,* quomodo qui in his quae abs re funt, tempus fuum ponit, non abfurdus videatur? quafi vero tantum ei fupereffet temporis, ut et hunc ei liceat cumulum addifcere, et neceffaria per otium indagare. Quid? hoc nonne faciunt qui ejuscemodi confcribunt, ut Archigenes in libro de vehemente pulfu? Eft vero prolixa ejus oratio, nec convenit

αὐτὴν ἄτοπον, ἀλλ᾽ ὅμως ὁ βουλόμενος ἐκ τοῦ περὶ τῶν σφυγμῶν συγγράμματος ἀναγινωσκέτω. τέταρτον γάρ ἐστιν ἀπὸ τῆς ἀρχῆς κεφάλαιον. ἄρχεται δ᾽ αὐτοῦ τοῦτον τὸν τρόπον· τὴν σφοδρότητα τοῦ σφυγμοῦ οὐκ εἶναι ἁπλῶν ποιοτήτων φησὶ Μάγνος. ὡς οὖν ἀνεγνωκότι σοι τοῦτον ἅπαντα τὸν λόγον τὸν περὶ τῆς σφοδρότητος, ἤδη πειράσομαι λέγειν ἃ γινώσκω. θαυμάζω γὰρ οὐ τοῦτο μόνον ὅτι περὶ ὀνόματος ἐρίζει· τοῦτο μὲν γὰρ τὸ ἁμάρτημα σχεδὸν ἤδη τοῖς πλείστοις οὐκ ἰατροῖς μόνον, ἀλλὰ καὶ φιλοσόφοις σύνηθες· ἀλλ᾽ ὅτι μηδ᾽ αὐτὸ τοῦτ᾽ αἰσθάνεται, ὅτι περὶ ὀνομάτων ἐρίζει, καὶ διὰ τοῦτο, οἶμαι, νομίζων περὶ πράγματος διαλέγεσθαι, μακροὺς ἀποτείνει λόγους. οἳ πρὸς τοῖς ἄλλοις ἀτόποις, ἔτι καὶ ἀσαφῶς κειμένοις, βίβλου τινὸς ἑτέρας ἐξηγουμένης αὐτοὺς οὐ μικρᾶς δέονται, ἵν᾽ ἀεὶ κατατριβώμεθα δηλαδὴ περὶ ὄνου σκιᾶς ἀμφισβητοῦντες, μηδὲ τοσοῦτον ἄρα πρὸς τῆς διαλεκτικῆς ὠφεληθέντες, ὡς γνωρίζειν δύνασθαι, τίς μὲν ὑπὲρ ὀνόματός ἐστι, τίς δὲ ὑπὲρ αὐτοῦ ζήτησις τοῦ πράγματος. ὄντος γάρ τινος σφυγμοῦ βιαίου κατὰ τὴν προσβολὴν, ὡς ὠθεῖν τε καὶ ἀνατρέπειν τὴν ἁφὴν, τὸ μὲν ὅπως

omnem hic adfcribere; nihilominus qui eam requirit, ex opere de pulfibus legat. Nam quartum eft a principio caput, quod orditur in hunc modum. Vehementiam pulfus non effe fimplicem qualitatem confirmat Magnus. Proinde, quafi hoc de vehementia caput legeris, quae fentio aggrediar dicere. Miror enim non hoc modo, quod de nomine certet; nam hoc quidem delictum plerisque jam folenne eft; verum quod ne id ipfum quidem percipiat, fibi de nominibus effe litem. Quapropter quum arbitretur, puto, de re difputare, extendit orationem, quae praeter alia abfurda, etiam fcripta obfcure, librum alium quaerit, neque eum parvum, qui ipfam exponat; ut perpetuo haereamus fcilicet de afini umbra ambigentes, neque tantum in dialectica nobis fit profectum, ut quae de nominibus, quae de ipfa fit re quaeftio, perfpiciamus. Siquidem ubi pulfus aliquis fit violento occurfu, ut impellat tractum et evertat, fi qua ipfum

ἄν τις αὐτὸν ἀκριβῶς διαγινώσκοι ζητεῖν, καὶ προσέτι τὰς αἰτίας ὑφ᾽ ὧν γίνεται, καὶ τί δηλοῦν πέφυκεν ὁ τοιοῦτος σφυγμὸς, περὶ πράγματός ἐστι σκοπεῖσθαι· τὸ δὲ τί κλητέον αὐτὸν, ὑπὲρ ὀνόματος. ἵν᾽ οὖν σαφῶς ἐπιγνῶμεν, ὅτι τὸ μὲν ὑπὲρ ὀνομάτων ἐστὶ, τὸ μηδὲν ζητεῖν, τὸ δ᾽ ὑπὲρ αὐτῶν τῶν πραγμάτων σκοπεῖσθαι τὰς τέχνας αὔξει, καλέσωμεν τὸν προειρημένον σφυγμὸν Δίωνα. κἄπειτα λέγωμεν, ὅπως μὲν ἀκριβῶς διαγινώσκεται, τουτέστι ὅτι θλιβόντων τὴν ἀρτηρίαν, οὐκ ἐπιπολῆς ψαυόντων, ἔπειθ᾽, ὅτι γίνεται τῇ ῥώμῃ τῆς ζωτικῆς δυνάμεως, ὡς ἐν τοῖς περὶ σφυγμῶν αἰτίας ἐνδείκνυμεν. εἶθ᾽ ὅτι σημεῖόν ἐστιν ἐν νόσοις ἀγαθὸν, καὶ ἄλλα τέ τινα καὶ κρίσεις οἵας πέφυκε δηλοῦν. εἰς τέτταρα γάρ τοι μέρη νενεμημένης ἁπάσης τῆς περὶ τοὺς σφυγμοὺς θεωρίας, εἴς τε τὸ περὶ τῆς διαφορᾶς αὐτῶν καὶ τὸ περὶ διαγνώσεως καὶ τὸ περὶ τῶν αἰτίων καὶ τέταρτον τὸ περὶ τῆς δι᾽ αὐτῶν προγνώσεως, οὐδὲν αὐτῶν παραβλάπτεται, καλεσάντων ἡμῶν τὸν ἰσχυρῶς πλήττοντα σφυγμὸν Δίωνα. καὶ γὰρ ὅπῃ τῶν (32) ἄλλων διαφέρει μεμαθήκαμεν, ἄν τε Θέων, ἄν τε Δίων, ἄν τ᾽ ἄλλό τι καλῆται, καὶ ὅπως

ratione dignofcas quaeris, et praeterea caufas, a quibus proficifcitur, et quid denunciare is pulfus folet, de re tum commentaris; fin autem, quo fit appellandus nomine, de nomine. Quo igitur intelligamus, de nominibus laborare, operam effe ludere, ipfas vero res confiderare, artes augere, vocemus illum pulfum Dionem. Inde dicamus, quemadmodum exacte dignofcatur, hoc eft, fi comprimamus arteriam, non leviter attingamus; deinde robore fieri vitalis facultatis, ut in commentariis docemus de caufis pulfuum; poftea fignum in morbis falubre effe, et alia quaedam; etiam quas judicationes folet promittere. Nam quando in quatuor partes fit omnis diftributa de pulfibus commentatio; in partem de differentiis eorum, de cognofcendis iis, de caufis, et quartam de praefagitione per eos; ut pulfum valenter pulfantem appellemus Dionem illorum nihil labefactatur. Siquidem, quatenus ab aliis diftat, perfpeximus, five Theon, five Dion, five quid aliud vocetur; et quomodo

[63] διαγνωσθήσεται, καὶ ὑπὸ τίνος αἰτίας γίγνεται, καὶ τί δηλοῖ. φιλονεικείτω δὴ λοιπὸν ὑπὲρ αὐτοῦ πρὸς Μάγνον Ἀρχιγένης, τάχα μὲν παρανομοῦντα καὶ αὐτὸν εἰς τὸ τῶν Ἑλλήνων ἔθος τὸ περὶ τὰς προσηγορίας, ὅμως δὲ συνιέντα τό γε τοσοῦτον, ὡς τὸ πλεῖστον αὐτῷ τῆς πρὸς τοὺς πρεσβυτέρους ἀμφισβητήσεως ὑπὲρ ὀνόματος ἐστί. τί γὰρ δὴ καί φησιν ὁ Μάγνος αὐτῇ λέξει; χρὴ τοίνυν καὶ μέγεθος ἀξιόλογον εἶναι τοῖς σφυγμοῖς καὶ πληρότητα καὶ μετὰ τάχους προσπίπτειν τοῖς δακτύλοις, εἰ μέλλει τις κυριολογεῖν σφοδρὸν σφυγμὸν ὀνομάζων. οἶδεν οὖν σαφῶς ὁ Μάγνος ὅτι μὴ περὶ πράγματος, ἀλλὰ τοῦ κυρίως ὀνομάζειν, ἢ μὴ κυρίως, πρὸς τοὺς ἄλλους ἰατροὺς ἀμφισβητεῖ. σαφέστατον δ᾽ ἔτι ποιεῖ τοῦτο διὰ τῶν ἐφεξῆς· ἀξιοῖ γὰρ τὸν Δημήτριον, ᾧ ταῦτα τὰ βιβλία τὰ περὶ τῶν ἐφευρημένων μετὰ τοὺς Θεμίσωνος χρόνους ἀνέθηκε, συνεπισκέψασθαι καὶ αὐτὸν, ὡς ἂν φιλόσοφόν τε ὄντα καὶ τί τὸ κύριον ὄνομα καὶ τί τὸ μὴ τοιοῦτον ἀκριβέστερον εἰδότα. λέγει δ᾽ οὕτως, οὐδὲν γὰρ χεῖρον κἀνταῦθα παραγράψαι τὴν ῥῆσιν αὐτὴν τοῦ Μάγνου· πῶς οὖν τοῦτον καλῶς ἐν ταῖς ἁπλαῖς διαφοραῖς κατέταξαν,

dignofcitur, et a qua gignitur caufa, ac quid fignificat. Difputet jam licet de ipfo in Magnum Archigenes, contaminantem et eum fortaffe confuetudinem Graecorum in nomine, at tantum certe intelligentem, controverfiam fere cum veteribus fibi de nomine effe. Nam quae funt Magni verba? *Debent igitur magnitudinem pulfus infignem habere et plenitudinem, velociterque digitis occurrere, fi proprie vocare vehementem pulfum velis.* Probe igitur hoc novit Magnus, non fibi de re, fed de proprio, vel non proprio nomine concertationem cum medicis effe. Apertius hoc etiam inferius declarat; nam Demetrium vult, cui libros hos de inventis poft Themifonis tempora dicavit, fimul etiam hoc confiderare; nempe qui quum philofophus etiam effet, et quod proprium nomen effet et quod fecus exactius teneret. Atque ejus haec funt verba; nihil enim caufae eft quin ipfa verba adfcribamus Magni: *Qua ratione ergo recte in fimplicibus differentiis hunc ftatuit.*

σύ μοι διαίτησον. σοὶ γὰρ ἐπιβάλλει μᾶλλον τὰς κυριολογίας κρίνειν καὶ ἀπὸ τῶν ὀνομάτων τεκμήρασθαι τὴν ὑπόστασιν τῶν σημαινομένων. εἶθ᾽ ἑξῆς μᾶλλον σαφέστερον ποιεῖ λέγων ὡδί· ἐγὼ δ᾽ οὐκ ἀλλάσσω τὴν ἐμαυτοῦ γνώμην μέχρι τοῦδε. φημὶ δὲ τὸ τῆς σφοδρότητος ὄνομα σημαίνειν οὐχ ἁπλῆν διαφορὰν σφυγμῶν, σύμμετρον δὲ ἐκ μεγέθους καὶ τάχους καὶ πληρότητος. οὐκοῦν κἀνταῦθα περὶ τοῦ τί σημαίνει τὸ ὄνομα τὸ τῆς σφοδρότητος ἀμφισβητεῖν ὁμολογεῖ. καὶ ὅλως εἴ τις βούλεται τὸν πάντα λόγον ἀναλέξασθαι, γέγραπται δὲ ἐν τῷ τρίτῳ τῶν ἐφευρημένων μετὰ τοὺς Θεμίσωνος χρόνους, εὕροι αὐτὸν αἰσθανόμενον ὅτι περὶ ὀνόματός ἡ ζήτησίς ἐστι. τάχ᾽ οὖν τινι θαυμάζειν ἔπεισι τῆς καινοτομίας τοῦ Μάγνου. τί γὰρ ἔδει μετατιθέναι τὰ σημαινόμενα τῶν ὀνομάτων, εἴτε ὀρθῶς εἴτε οὐκ ὀρθῶς οἱ πρόσθεν ἰατροὶ κατεχρήσαντο αὐτοῖς; θεωρίαν μὲν γάρ τινα ἐφευρίσκειν εἰς τὰ τῆς τέχνης ἔργα διαφέρουσαν ἀνεμέσητον οὐ Μάγνῳ μόνον, ἀλλὰ καὶ παντὶ τῷ δυναμένῳ, κἂν τήμερόν τις ᾖ τοιοῦτος, κἂν μετὰ μυριάδας ἐτῶν παμπόλλας γίνηται·

tu mihi expedi; nam ad te pertinet magis proprietatem verborum judicare, et ex nominibus conjicere fignificatorum fubftantiam. Poftea clarius etiam facit hifce verbis: *Equidem de mea fententia hactenus non difcedo. Tantum dico vehementiae nomen fignificare non fimplicem differentiam pulfuum, fed moderatum ex magnitudine et celeritate atque plenitudine.* Proinde hoc etiam loco fe disceptare fatetur de hoc, quid fcilicet hoc nomen vehementia, fignificet. Ac omnino fi quis totam velit difputationem colligere (fcripta enim eft in tertio inventorum poft Themifonis tempora libro) ipfum fentientem intelliget hanc effe de nomine quaeftionem. Fortaffe ergo cuipiam veniet in mentem innovationem mirari Magni. Quid enim transpofuiffe oportebat nominum fignificationes, five recte iis, five fecus prifci medici fint abufi? Nam meditationem indagare quae ad artis opera intereft, non folum Magno non eft vertendum in vitium, fed nec cuiquam, qui facultatem eam habet, five hodie fit is, five a fexcentis annis nafcetur.

τὸ δ᾽ ὑπὲρ ὀνομάτων ἐρίζειν οἷς τοσούτων πέρι ἡ σκέψις, οὐκ ὀρθόν. ἀλλ᾽ εἴ τις ταῦτα θαυμάζει τε καὶ μέμφεται, καλῶς μὲν ἴσως ποιεῖ, δοκεῖ δὲ ἀγνοεῖν τὴν προαίρεσιν τῶν ἀνδρῶν. ἀρέσκονται γὰρ οὗτοι πάντες οἱ Πνευματικοὶ καλούμενοι τοῖς ἀπὸ τῆς στοᾶς δόγμασιν. ὥστ᾽ ἐπεὶ Χρύσιππος αὐτοὺς εἴθισεν ἀμφισβητεῖν περὶ τῶν κατὰ τὴν φιλοσοφίαν ὀνομάτων, οὐδ᾽ αὐτοὶ περὶ τῶν κατὰ τὴν ἰατρικὴν ταῦτα ποιεῖν ὀκνοῦσι. καὶ Ζήνων δὲ ὁ Κιττιεὺς ἔτι πρότερον ἐτόλμησε καινοτομεῖν τε καὶ ὑπερβαίνειν τὸ τῶν Ἑλλήνων ἔθος ἐν τοῖς ὀνόμασιν. οὐκοῦν ἔτι θαυμαστὸν οὐδὲν, εἰς τοσοῦτον ἐκπεπτωκέναι τῆς ἐν αὐτοῖς φιλονεικείας τοὺς νεωτέρους ἰατρούς τε καὶ φιλοσόφους. ἀλλὰ τί θαυμάζειν αὐτῶν ἄξιον, εἰ μηδ᾽ ὅτι περὶ ὀνόματος ἐρίζουσι συνιᾶσιν; ὥσπερ οὖν οὐδ᾽ ὁ Ἀρχιγένης, καί τοι τἄλλα συνετὸς ὢν, οὐκ ἠξίωσεν, αὐτὸ τοῦτ᾽ ἐπισημηνάμενος, ὅτι καινοτομεῖ περὶ τοὔνομα τῆς σφοδρότητος ὁ Μάγνος, οὕτω παρελθεῖν ἐπί τι τῶν χρησιμωτέρων, ἀλλ᾽ ἄνω καὶ κάτω στρέφεται κατὰ τὸν τόπον, τά τ᾽ ἄλλα διαμαρ-

Verum de nominibus pugnare, quibus tantarum rerum eſt propoſita commentatio alienum eſt. Sed ſi haec mireris ac reprehendas, facis tu quidem probe, caeterum inſtitutum te videtur iſtorum hominum fugere, nam omnibus qui Pneumatici vocantur decreta Stoicorum placent. Proinde ut Chryſippus eos de nominibus contendere, quorum in philoſophia uſus eſt, aſſuefecit, nec medicis ipſis nominibus haec dubitant facere. Jam vero Zeno Citienſis prius etiam novare ſuſtinuit et praeterire Graecorum uſum in nominibus. Quare nihil habet admirationis, ſi eo devenerunt contentionis de eis juniores philoſophi et medici. Sed quid habes quod de iis mireris, niſi quod ne de nominibus ſe quidem animadvertunt digladiari? Quemadmodum nec Archigenes, alioqui prudens, noluit, quum hoc ipſum oſtendiſſet in nomine vehementiae Magnum innovationem facere, tum accedere denique ad utiliora; ſed ſurſum atque deorſum id loci verſatur, quum in aliis offendens tum quod

τάνων καὶ ὅτι μηδ᾽ αὐτὴν τὴν ῥῆσιν ἑκάστοτε τοῦ Μάγνου παρατίθεται, πολὺ σαφεστέραν οὖσαν ὧν αὐτὸς γράφει, μεταλαμβάνων. ἄλλο δέ τι μεῖζον ἁμάρτημα τῆς ἐν τοῖς ὀνόμασι μικρολογίας ἁμαρτάνουσι σχεδὸν ἅπαντες [64] οἱ μεθ᾽ Ἡρόφιλον περὶ τῶν σφυγμῶν γεγραφότες. δέον γὰρ, ὡς ὀλίγῳ πρόσθεν ἡμεῖς διειλόμεθα, καὶ αὐτοὺς οὕτω διελομένους, ἰδίᾳ μὲν περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν, ἰδίᾳ δὲ περὶ τῆς διαγνώσεως αὐτῶν, ἰδίᾳ δ᾽ ἔτι περὶ τῶν ἐν αὐτοῖς αἰτίων, κἄπειθ᾽ ἑξῆς ἰδίᾳ περὶ τῆς δι᾽ αὐτῶν προγνώσεως διδάσκειν, οὐκ οἶδ᾽ ὅπως ἅπανθ᾽ ὁμοῦ συγχέουσί τε καὶ ταράττουσι, τὰ μὲν παραλιπόντες ὅλως, τῶν δ᾽ ἐπὶ σμικρὸν κομιδῆ μνημονεύοντες, τὰ δ᾽ ἀχρήστως τε καὶ περιττῶς ἀπομηκύνοντες, τὰ δ᾽ ἀλόγως εἰς ταὐτὸ συναγαγόντες, ὥσπερ ἓν ὄντα, καίτοι πάμπολυ διαφέροντα. κατά γ᾽ οὖν τοῦτον αὐτὸν λόγον τὸν περὶ τῆς σφοδρότητος ὁ Ἀρχιγένης, ὅταν μὲν γράφῃ ὡς ἐκ τοῦ καθ᾽ ἕνα χωρισμοῦ φανερὰ γίγνεται καθ᾽ αὐτὴν ἡ σφοδρότης οὖσα ὁ τόνος, ὡς εἶπον, τῆς τῶν ἀρτηριῶν κινήσεως, τὸ τῆς σφοδρότητος αἴτιον εἰπὼν αὐτὴν οἴεται δεδηλωκέναι

ipfa verba non femper Magni profert; quae quum funt iis quae fcripfit ipfe, multo clariora immutat. Jam vero aliud majus crimen hac de nominibus curiofitate committunt qui poft Herophilum de pulfibus fcripferunt prope omnes. Nam quum debuiffent, uti paulo ante nos divifimus, et ipfi item dividentes, feorfim de pulfuum differentiis, feorfim de dignofcendis iis, feparatim etiam de eorum caufis, feparatim jam de praefagitione per eos docere omnia fimul nefcio quomodo confundunt atque conturbant; ac partem eorum femel omiferunt, partem leviter attigerunt; nonnulla abs re et praeter modum extenderunt; alia temere coëgerunt, ut fi unum fint, in unum, quum multum interfit inter illa. Atque hoc ipfo in capite de vehementia Archigenes, ubi fcribit, fi per fe aeftimetur, manifefte apparere fua fponte vehementiam contentionem effe, ut dixi, arteriarum motus; quum caufam explicavit vehementiae, ipfam putat fe aperuiffe vehemen-

τὴν σφοδρότητα. εἰ γὰρ δὴ τοῦτό ἐστιν, ὦ Ἀρχίγενες, ἡ σφοδρότης, ἀπόκριναι τὴν αἰτίαν ἡμῖν αὐτῆς. ἀλλ᾽ οὐχ ἕξεις. ἢ πάλιν ταὐτὸν ἀναγκασθήσῃ λέγειν τὸν τόνον. καὶ ἔσται σοι ὁ τόνος τῆς τῶν ἀρτηριῶν κινήσεως ἅμα μὲν αἰτία τῆς σφοδρότηρος, ἅμα δὲ ἡ σφοδρότης αὐτή. πολλῷ τοίνυν ἄμεινον οἱ πρὸ Ἀρχιγένους περὶ σφυγμῶν γράψαντες, οἱ μὲν τὸ ἀντιβατικὸν, οἱ δὲ τὸ βίαιον, οἱ δὲ τὸ ἰσχυρὸν, οἱ δὲ τὸ ἀνατρεπτικὸν τῆς προσβολῆς τῶν ἀρτηριῶν ἐκάλεσαν σφοδρότητα. καὶ τοῦτο καὶ αὐτὸς ὁ Ἀρχιγένης ἐπίσταται. τί γοῦν φησι; δοκεῖ δέ τισι ἐν τῇ τῆς ἁφῆς πληγῇ κεῖσθαι, καθ᾽ ὃ καὶ πληγὴν ἀπ᾽ ἀρτηρίας φασὶν αὐτήν τινες. εἶτ᾽ οὐκ οἶδ᾽ ὅπως οἴεται διαβάλλειν αὐτῶν τὴν δόξαν, ὡδί πως γράφων· φαίνεται δὲ καθ᾽ ὅλην τὴν διαστολὴν τὸ στεγανὸν τῆς ὁρμῆς, καθ᾽ ὃ καὶ εἰ προσπιέσαιμεν τοὺς δακτύλους, στερεωτέρα ὑποπίπτει ἡ πληγὴ, οὐ κατὰ τὸ πέρας τῆς διαστολῆς, ἀλλὰ κατωτέρω τότε γινομένη. ἡ μὲν λέξις αὕτη. πάρεστι δὲ ἐπισκοπεῖσθαι, ὡς οὐδὲν ἡ ἀντιλογία περαίνει. τί γὰρ πρὸς ἔπος, εἰ καὶ πρὸ τοῦ πέρατος τῆς διαστολῆς ἡ τῆς

tiam. Nam quidem, ſi hoc, Archigenes, eſt vehementia, da mihi ejus cauſam. At non poteris, aut eandem iterum dicere cogeris contentionem, eritque contentio tibi motus arteriarum ſimul et cauſa vehementiae et ipſa vehementia. Ita multo ſcripſerunt rectius qui anteceſſerunt Archigenem de pulſibus, quorum aliqui reniſum, alii violentiam, alii robur, nonnulli impulſum occurſus arteriarum vocitarunt vehementiam. Nec hoc quidem ipſum latet Archigenem; nam quid ait? *Sunt quibus in tactus ictu videtur poſita eſſe: unde et ictum quidam arteriae illam appellant.* Mox haud ſcio, quomodo putat illorum ſe ſententiam premere, ubi ſic ſcribit: *Apparet vero per totam diſtentionem firmitas impetus, ex qua ſi objiciamus digitos, etiam firmior occurrit ictus, qui non ad finem diſtentionis, ſed etiam ante eum fit.* Haec ejus ſunt verba. Jam attendendum eſt, nihil eum efficere contradicendo. Nam quid ad rem facit, ſi etiam ante finem diſtentionis qualitas

πληγῆς ποιότης δήλη γίγνεται, τὸ μὴ οὐκ εἶναι πληγὴν ἀπ᾽ ἀρτηρίας, τὴν σφοδρότητα; εἰ μὲν γὰρ τοῦτ᾽ ἔλεγον οἱ πρὸ Ἀρχιγένους, ὡς ἔστιν σφοδρότης ἀντιβατικὴ πληγὴ κατὰ τὸ πέρας τῆς διαστολῆς γινομένη, καλῶς ἀντέλεγεν αὐτὸς ὑπομιμνήσκων ὅτι καὶ πρὸ τοῦ πέρατος ἤδη φαίνεται τὸ βίαιον τῆς προσβολῆς, ἐπεὶ δ᾽ ἁπλῶς ἔφασαν ἀντιβατικὴν εἶναι πληγὴν τὴν σφοδρότητα, τὸ δεικνύειν ὅτι καὶ πρὸ τοῦ πέρατος τῆς διαστολῆς ἤδη φαίνεται τοιαύτη, μάταιον.

Κεφ. β΄. Ἀλλ᾽ ἔστω τοῦθ᾽ ὅπερ ὁ Ἀρχιγένης βούλεται, τόνος μέν τις ἡ σφοδρότης, τὸ δ᾽ ἰσχυρὸν τῆς πληγῆς, οὐκ εἶναι σφοδρότης. ἐρωτήσωμεν αὐτὸν, τίς αἰτία σφοδρότητος σφυγμῶν; οὐ γὰρ δή που ταυτόν ἐστι σφοδρότης τε καὶ σφοδρότητος αἰτία. τὸ μὲν γὰρ φαίνεται καὶ πᾶς ἰατρὸς ζητεῖ ἐπὶ νοσοῦντος· ὅ γε μὴν παντάπασιν ἀγύμναστος εὐθὺς γνωρίζει τὸν σφυγμὸν ἢ σφοδρὸν ἢ ἀμυδρὸν εἶναι, οὐ μὴν ἥ γε (33) αἰτία φαίνεται. καὶ διὰ τοῦτο οὐδὲν ὑπὲρ αὐτῆς ὡμολόγηται. Ἡρόφιλος μὲν γάρ φησι ῥώμην τῆς κατὰ τῆς ἀρτηρίας ζωτικῆς δυνάμεως αἰτίαν εἶναι σφοδροῦ σφυγμοῦ·

ictus fiat manifesta, nequaquam ictum arteriae esse vehementiam? Nam hoc si illi ante Archigenem dixissent, vehementiam esse renitentem ictum, qui in fine distentionis fit, recte contradiceret, ac ipse subjiceret jam ante finem etiam apparere occursus violentiam; sed quandoquidem dixerunt absolute, renitentem ictum esse vehementiam, stultum sit jam ante etiam finem distentionis animadverti talem, demonstrare.

Cap. II. Verum demus hoc quod contendit Archigenes, contentionem et robur quoddam esse vehementiam, sed vim ictus non esse vehementiam; rogemus eum quae sit causa vehementiae pulsuum, neque enim idem vehementia est et vehementiae causa. Nam illa quidem aperta est et omnis medicus in aegroto quaerit; ac vero, quantumlibet imperitus, statim pulsum cognoscit vel vehementem vel languidum esse; causa tamen non statim perspicitur. Unde fit ut de ea nihil conveniat. Siquidem Herophilus vitalis facultatis robur arteriarum affirmat causam vehementis pul-

Ἀθήναιος δὲ τοῦ ζωτικοῦ τόνου τὴν ἰσχύν· Ἀσκληπιάδης δὲ ἀμφοῖν καταγελάσεται, καὶ τόνους καὶ δυνάμεις καὶ πάντα τὰ τοιαῦτα καινὰ φάσκων ὑπάρχειν ὀνόματα, τὴν δ᾽ αἰτίαν τῆς σφοδρότητος εἰς πλῆθος καὶ λεπτότητα πνεύματος ἀνοίσει, καθάπερ, οἶμαι, καὶ Ἐρασίστρατος. οὐδὲ γὰρ οὗτος τοῖς χιτῶσιν αὐτοῖς τῶν ἀρτηριῶν μεταδίδωσι τῆς τονικῆς δυνάμεως, ἀλλὰ [65] τῆς καρδίας ἰσχυρῶς ἐκθλιβούσης τὸ πνεῦμα, τῇ τούτου διὰ τῶν ἀρτηριῶν φορᾷ τὸ ἀντιβατικὸν ἐν τῇ πληγῇ φησι γεννᾶσθαι. καὶ τί δεῖ τούτων μνημονεύειν; ὁ γάρ τοι Μάγνος, καὶ αὐτὸς ἀπὸ τῆς πνευματικῆς αἱρέσεως εἶναι προσποιούμενος, ἑτέρως τὸ ἰσχυρὸν τῆς πληγῆς γίνεσθαί φησιν ἢ ὡς Ἀρχιγένης. ἀλλὰ περὶ μὲν τῆς τοιαύτης διαφωνίας οὐ νῦν ὁ καιρός. ὑπομεμνήσθω δ᾽ οὖν εἰς τὰ παρόντα τό γε τοσοῦτον, ὡς τὸ μὲν ἰσχυρὸν τῆς πληγῆς ἐν τῷ τὴν ἁφὴν ὠθεῖν καὶ ἀντιβαίνειν καὶ ἀνατρέπειν κείμενον ἅπασιν ὡμολόγηται, τὸ δ᾽ ὑπὸ τίνος αἰτίας γίγνεται διαφωνεῖται. γελοῖον δ᾽ ἐστὶν ἐν τῇ διαφωνίᾳ τοῦ τί ποτ᾽ ἐστὶν ὅδε τις ὁ σφυγμὸς μὴ τοῦτο διδάσκειν, ἀλλ᾽ ὑπὸ τίνος γίγνεται γράφειν. τὸ μὲν γὰρ τί ποτ᾽ ἐστὶ φαίνεσθαι

ſus eſſe; Athenaeus vitalis contentionis vim; Asclepiades utrumque deridet, et contentiones et virtutes, eaque dicit omnia eſſe inania nomina; at cauſam vehementiae ad copiam refert et ſubtilitatem ſpiritus, quemadmodum etiam, ut opinor, Eraſiſtratus. Nam nec hic quicquam tunicis ipſis arteriarum contentae virtutis aſſignat: ſed quum ſpiritum valenter cor exprimat, hujus per arterias tranſitu reniſum ait in ictu gigni. Sed quo haec afferimus? quum Magnus, qui ſe quoque eſſe Pneumaticae ſectae ſingit, aliter dicat ac Archigenes, ictus ſieri vim; verum ea diſſenſio non eſt hujus loci. Tantum referamus tamen ad rem praeſentem, quod robur ictus in tactus impulſu, repulſu, ſubverſioneque poſitum eſſe, omnibus eſt in profeſſo; at a qua cauſa fiat, controverſum eſt. Ridiculum vero eſt, ubi diſceptatur, quidnam ſit quispiam pulſus, non hoc docere, ſed a quo fiat tradere; nam quid ſit, clarum oportet eſſe; a quo gigna-

δεῖ, τὸ δ' ὑπὸ τίνος γίγνεται λόγῳ φωρᾶσθαι. δῆλον οὖν ὡς οὐδ' ὅπη διήνεγκεν ὁ σφοδρὸς σφυγμὸς τῆς αἰτίας ὑφ' ἧς γίγνεται, διηρθρωμένως ἐγίγνωσκεν ὁ Ἀρχιγένης. καὶ διὰ τοῦτο ἐν τῷ τόνῳ τῆς κινήσεως τῶν ἀρτηριῶν τὴν σφοδρότητα τίθεται, δέον τοῦτο μὲν αἴτιον εἰπεῖν σφοδρότητος, αὐτὴν δὲ κατὰ τὸ ποιὸν τῆς πληγῆς φάναι συνίστασθαι βιαιόν τινα οὖσαν καὶ ἀντιβατικὴν προσβολήν. ὅτι δὲ συγκέχυται περὶ τὰ πράγματα καὶ διηρθρωμένως οὐδὲν λέγει, δῆλον ἐξ ὧν ἐπιφέρει, προελόμενος ὁρίζεσθαι τοὺς σφυγμούς. τί γάρ φησι; σφοδρὸς μὲν οὖν σφυγμὸς ὁ μείζονα τόνον ἔχων τῆς κινήσεως καὶ ῥοιζώδης ὤν· ἀμυδρὸς δὲ ὁ ἐκλελυμένον τὸν τόνον ἔχων καὶ ἀσύστροφον τὴν πληγήν. οὐ γὰρ ἁπλῶς εἶπε, σφοδρὸς μὲν οὖν ἐστι σφυγμὸς ὁ μείζονα τὸν τόνον ἔχων τῆς κινήσεως, ἀλλὰ προσέθηκε, καὶ ῥοιζώδης ὤν· ὅ τί ποτ' αὐτῷ βούλεται, μὰ τοὺς θεοὺς, οὐκ ἀκριβῶς συνίημι. ποιητικὸν γὰρ τοὔνομά ἐστιν ὁ ῥοῖζος, οὐ πολιτικὸν, οὔτε συνεχῶς λεγόμενον οὐδὲν, οὐδὲ τί ποτε σημαίνει, προδηλοῦν. ἀλλ' εἰ μέν τι χρὴ τοῖς γραμματικοῖς

tur, ratione inveſtigare. Planum eſt ergo, nec quid inter pulſum vehementem interſit, et cauſam quae ipſum conſtituit, probe Archigenem tenere. Quapropter in contentione motus arteriarum vehementiam ſtatuit, quum hanc cauſam debuiſſet vehementiae dicere eſſe, et illam in ictus qualitate poſitam eſſe, ac violentum quendam eſſe et renitentem occurſum. Nam quod confundat res, nec quicquam diſtincte doceat, ex illis quae infert, cernas, quum pulſus inſtituiſſet definire. Nam quid ait? *Vehemens ergo pulſus eſt, qui majorem contentionem habet motus et ſtridulus eſt; languidus, qui remiſſam habet contentionem, et ictum non incitatum.* Neque enim dixit ſimpliciter, *vehemens ergo pulſus eſt qui majorem contentionem habet motus*, ſed addidit, *et ſtridulus eſt;* quod medius fidius non intelligo quid ſignificet: nam poëticum eſt nomen ſtridor, non civile; neque etiam vulgare eſt, nec quid denotat, oſtendit. Verum grammaticis

πιστεύειν ἐξηγουμένοις τὸ παρὰ τῷ ποιητῇ λεγόμενον ἐπὶ τοῦ Κύκλωπος,

Πολλῷ δὲ ῥοίζῳ πρὸς ὄρος τρέπε πίονα μῆλα,

τάχος κινήσεως ὁ ῥοῖζος δηλοῖ. οὐ μὴν ἐβούλετό γε τοῦτο Ἀρχιγένης αὐτὸς, ὁπότ᾽ ἀντέλεγε τῷ Μάγνῳ, πλὴν εἰ παραπλήσιόν τι τοῖς ῥήτορσι ποιεῖ, κατηγορεῖ πολλάκις ὧν οὐκ ἔγνωκεν. ἀλλ᾽ οὐκ ᾤμην ἔγωγε. τί ποτ᾽ οὖν ἐστιν ὃ βούλεται δηλοῦν ὁ ῥοῖζος, εἰ μὴ τὸ τάχος; ἀλλ᾽ ἆρά γε τὸ ἰσχυρὸν τῆς πληγῆς; ἀλλ᾽ οὕτως πάλιν ἅμα δυοῖν ἔσται τὸν ὁρισμὸν πεποιημένος, αἰτίου τε τοῦ ποιοῦντος καὶ γιγνομένου πρὸς αὐτοῦ, καὶ μείζων ἡ ἀπορία. πότερον ἑκάτερον αὐτῶν βούλεται τὸν σφοδρὸν εἶναι σφυγμὸν, τό τε τοῦ τόνου μέγεθος καὶ τὸ βίαιον τῆς πληγῆς, ἢ τὸ συναμφότερον, ἄν τε γὰρ ἑκάτερον ἄν τε συναμφότερον, οὐ καλῶς, ὅτι μὴ δυνατὸν, ὡς ἐλέχθη, τὴν αἰτίαν τῷ γιγνομένῳ πρὸς αὐτῆς ταὐτὸν εἶναι. καὶ γὰρ δὴ τὸ φάναι, μείζονα τόνον ἔχειν τῆς κινήσεως τὸν σφοδρὸν σφυγμὸν, ἀσαφές. οὐδὲ γὰρ οὐδ᾽ ἐνταῦθα συνίημι τί λέγει, πότερον ὑπὸ μείζονος τόνου γίγνεσθαι

fi habenda fides eft, enarrantibus, quod eft apud poëtam de Cyclope:

Ad montem cogit pingues ftridore bidentes.

celeritatem motus ftridor fignificat. At non hoc fane Archigenes ipfe voluit, quando in Magnum difputat; nifi oratorem agit, frequenter reprehendit quae non intelligit. Sed mihi quidem non fit verifimile. Quid tandem igitur eft, quod fignificare vult ftridor, nifi celeritatem; num vim ictus? Atqui ita duorum rurfus fecerit definitionem, caufae efficientis et effectus; ac major erit haefitatio, utrumquene horum effe velit vehementem pulfum, tum contentionis magnitudinem tum vim ictus, an fimul ambo. Nam five utrunque, five fimul ambo, non recte; quod nequeat, ut oftenfum eft, caufa eadem effe cum fuo effectu. Sed enim quod dicit majorem contentionem motus habere vehementem pulfum, obscurum eft. Nam quid vel hic dicat equidem non affequor: utrum a majore contentione et robore vehemen-

τὸν σφοδρὸν σφυγμὸν, ἢ τὸν μείζονα τόνον σφοδρὸν εἶναι σφυγμόν. κατὰ μὲν γὰρ τὸ πρότερον τῶν σημαινομένων, οὐ τί ποτ᾽ ἐστὶν ὁ σφοδρὸς σφυγμὸς, ἀλλ᾽ ὑπὸ τίνος γίνεται, δεδηλωμένον ἂν εἴη· κατὰ δὲ τὸ δεύτερον, ἀδήλου τε καὶ ἀμφισβητουμένου κατὰ τὰς αἱρέσεις ἡ διδασκαλία. χρὴ δ᾽ εἴπέρ τι καὶ ἄλλο, καὶ τὸν σφοδρὸν σφυγμὸν ἕν τι τῶν αἰσθητῶν εἶναι πραγμάτων. ἀλλ᾽ ὁ τόνος οὐκ αἰσθητὸς, ἢ πάντως ἂν ἅπασιν ὡμολόγητο. τινὲς μὲν γὰρ οὐδὲ συνιέναι φασὶν ὅλως, τί ποτε σημαίνεται πρὸς τοῦ τόνος ὀνόματος, καί τοι συνιέντές τε καὶ αἰσθανόμενοι σφοδροῦ σφυγμοῦ. τινὲς μὲν ὁμολογοῦσι τὸ λεγόμενον, ὑπάρχειν δ᾽ οὐ συγχωροῦσιν. οὕτως οὐ ταὐτόν ἐστι τόνος κινήσεως καὶ σφοδρὸς σφυγμὸς, εἴγε τὸ μὲν αὐτῶν αἰσθήσει φαίνεται, τὸ δὲ οὐ μόνον ἄδηλον ταῖς αἰσθήσεσιν, ἀλλὰ καὶ διαμφισβητούμενον καὶ ἀσαφὲς ὅλως ἐστίν.

Κεφ. γ΄. [66] Ἆρ᾽ οὖν ἡ μὲν τοῦ σφοδροῦ σφυγμοῦ διδασκαλία καὶ ἀσαφὴς καὶ ψευδὴς κατὰ πάντα τὰ σημαινόμενα, σαφεστέρα δὲ καὶ ἀληθεστέρα ἡ τοῦ ἐναντίου αὐτοῦ τοῦ ἀμυδροῦ; τάχα γὰρ ἐκ τῆς ἀντιθέσεως συνιέναι τινὸς τῶν ἐν

tem pulſum fieri, an majorem contentionem eſſe vehementem pulſum. Nam priore ſignificatione, non quid ſit vehemens pulſus, caeterum a quo fiat, explicatum ſit; altera rem obscuram et controverſam inter ſectas docet. Vehementem vero pulſum oportet, ſi quid aliud, eſſe de rebus ſenſibilibus. Atqui contentio non eſt ſenſibilis, aut omnino apud omnes eſſet pro confeſſo; quando ſunt, qui ſe a nomine contentionis quid ſignificetur, quum intelligant pulſum vehementem ſentiantque, plane affirment non aſſequi: quidam ſe intelligentia aſſequi id quod dicitur, fatentur, ſed negant eſſe. Adeo non idem eſt contentio motus et vehemens pulſus; ſiquidem hic ſenſu percipitur, illa non modo ſenſus latet, ſed ambigua eſt et prorſus obscura.

Cap. III. Quid ergo? quod de vehementi pulſu docuit, et obscurum eſt et omnibus ſignificationibus falſum; de ejus contrario quod ſcribit languido, apertiusne eſt atque verius? forte enim ex oppoſitione aliquid intelligere pote-

τῷ προτέρῳ λόγῳ δυνησόμεθα. τί δή φησιν; ἀμυδρὸς δὲ ὁ ἐκλελυμένον τόνον ἔχων καὶ ἀσύστροφον τὴν πληγήν. ἐνταῦθα δὴ φανερῶς τῷ μὲν μεγάλῳ τόνῳ τὸν ἐκλελυμένον ἀντέθηκε, δέον οὐ τοῦτον, ἀλλὰ τὸν μικρὸν ἀντιθεῖναι. ἢ κακῶς ἐν τῷ σφοδρῷ τὸν μέγαν εἶπε, τῷ δὲ ῥοιζώδει ἀσύστροφον τῆς πληγῆς. εἰ μὲν οὖν ἐνόουν τί ποτ᾽ ἐστὶν τὸ ἀσύστροφον, ἴσως ἂν συνῆκα τοῦ ῥοιζώδους. νυνὶ δ᾽ αὐτὸ τοῦτο πάλιν ἀσαφέστερόν ἐστι πολλῷ τοῦ ῥοιζώδους. ὥστ᾽ οὐδέτερον αὐτῶν ἐξηγητικὸν γίνεται θατέρου. πότερον γὰρ τὸ βραδὺ νομίσομεν λέγειν αὐτὸν ἀσύστροφον, ἢ τὸ ἄῤῥωστον, ἢ τὸ μαλακὸν, ἢ τὸ εὐανάτρεπτον, ἢ τὸ διαλελυμένον, οὐκ ἔχω συμβαλεῖν. ἓν δὲ μόνον ἐν τούτῳ τῷ τρόπῳ πλέον μοι νομίζω γεγονέναι, τὸ καὶ τὴν ποιότητα τῆς πληγῆς αὐτὸν εἰς τὴν ἔννοιαν τῆς σφοδρότητος παραλαμβάνειν, καί τοι κατ᾽ ἀρχὰς, ὁπότ᾽ ἀντέλεγε τῷ Μάγνῳ, μόνον τόνον εἰπόντι τῆς τῶν ἀρτηριῶν κινήσεως. ἀλλὰ νῦν καὶ ἀσύστροφον ἔφη τὴν πληγήν· καὶ μὴν ἀντεῖπεν ὀλίγῳ πρόσθεν τοῖς ἐν τῇ τῆς ἁφῆς πληγῇ κεῖσθαι νομίζουσιν αὐτόν. ἐμοὶ μὲν δὴ καὶ ταῦτα

rimus eorum, quae in fuperiori oratione dixit. Cedo ergo ejus verba. *Languidus eft qui remiffam habet contentionem, nec incitatum ictum.* Hic manifefte quidem magnae contentioni remiffam oppofuit, par erat vero non hanc, fed parvam opponere, aut male in vehemente magnam dixit; praeterea ftridulo non incitatum ictum. Jam fi quidnam non incitatum fit, caperem, fortaffis ftridulum intelligam; nunc ftridulo hoc ipfum multo obscurius eft. Itaque neutrum interpretatur alterum; an enim pro tardo accipiendum fit non incitatum, an pro imbecillo, an molli, an facile fubverfo, an diffoluto, quid conjiciam, non habeo. Unum quidem certe mihi quiddam profectum, hoc modo arbitror, qualitatem etiam illum ictus ad notionem vehementiae affumere, tametfi a primo, quum refelleret Magnum, folam contentionem dixit arteriarum motus; hic autem etiam non incitatum dixit ictum, atqui cum illis paulo ante pugnabat qui in tactus ictu eum ponunt. Equidem haec om-

πάντη τεταραγμένου καὶ μηδὲν ἀκριβὲς ἔχοντος εἰπεῖν εἶναι δοκεῖ. σοὶ δ' εἴπερ μὴ ταῦτα, τὰ δ' οὖν ἐφεξῆς αὐτῶν οἶδ' ὅτι λῆρος εἶναι δόξει μακρὸς, ἄν γε μὴ σοφιστής τις ἦς καὶ αὐτὸς, ἀλλὰ τῶν τῆς ἰατρικῆς ἔργων ἐραστής. ἡ μὲν οὖν ῥῆσις αὕτη τοῦ Ἀρχιγένους τόνδε τὸν τρόπον ἔχει· ἔστι δὲ κατὰ τὴν σφοδρότητα τοιαύταις καὶ ἄλλαις ἐντυγχάνειν διαφοραῖς, ἐν αἷς ἐκλελυμένη ἐμπίπτει ἡ πληγὴ καὶ ἀβαρὴς, ὃν ἀμαυρὸν σφυγμὸν ἤδη τινὲς ἐκάλεσαν. ἄλλη δὲ βαρεῖα μὲν ἔκλυτος ταύτην ἀμυδροῦ σφυγμοῦ διαφορὰν θείη τις ἂν, ἡ δ' οὐκ ἔκλυτος μὲν, ἀλλ' οἷον παραπεποδισμένη καὶ εἴσω ῥέπον τὸ βάρος ἔχουσα, πεπιεσμένη καὶ δεδυκυῖα. διαφορὰ κατὰ σφοδρότητα εἴη ἂν σφυγμοῦ καὶ κατὰ τὸν σφοδρὸν, ἡ μέν τις πληγὴ εἴη ἂν ἐξεριστικὴ, ὑγρότερον ἐξωθοῦσα τὴν ἁφὴν, οἷα ἀπὸ τροφῆς μάλιστα νεαρᾶς ἐγγίνεται. ἡ δὲ δύσθραυστός ἐστι μᾶλλον, οἷον διηγκωνισμένου τοῦ κινοῦντος. ἡ δ' ἐν πείσεσί τισι καὶ ἐπὶ τοῖς ἐν σαρκὶ πλεονασμοῖς (34) φαίνεται. ταῦτ', ὦ πρὸς θεῶν, πότερον θαυμαστά τις, ἢ ληρήματα φήσει; τὸν γοῦν βίον βραχὺν ὡς πρὸς τὸ τῆς τέχνης ὄντα

nia attoniti esse nihilque certi quod diceret habentis duco. Tu, si quidem sentis aliter, at proxima, non dubito, si non ipse sane sophista es etiam, sed mediocrum operum studiosus, quin meras nugas dicas. Porro caput hoc Archigenis hujuscemodi est: *In vehementia autem ejuscemodi invenias praeterea alias differentias, in quibus remissus occurrit ictus et levis, quem obscurum pulsum nunc nonnulli vocitarunt. Alius gravius ille quidem, caeterum remissus; hunc in differentias languidi pulsus referas. Quidam non remissus quidem, sed quasi impeditus, et intro vergente praeditus gravitate, repressus et demersus; differentia erit vehementiae pulsus. Atque in vehementi quidam fuerit ictus connitens, humidius impellens tactum, qui maxime a cibo recente efficitur. Alius est qui aegrius frangitur, veluti motore cubitis propellente. Et qui in affectibus quibusdam et in carnis superfluitatibus apparet.* Haec per Deos utrum miracula dices, an deliramenta? Vitam quidem pro artis prolixitate brevem, hic scilicet non

μέγεθος οὐ βραχὺν οὗτός γε, ἀλλὰ τὸ μηδὲν ποιεῖ, τοσοῦτον ὄχλον ἐπεισάγων αὐτῇ ψευδοῦς θεωρίας. πόθεν γοῦν οὗτοι πάλιν ἥκουσιν ἡμῖν οἱ σφυγμοὶ, βαρὺς καὶ ἀβαρής; τί δ᾽ οὐ καὶ ταύτην ἐν ἀρχῇ τὴν διαφορὰν ἐδήλωσεν, ἡνίκ᾽ ὀκτὼ ποιότητας ἔλεγεν ὑπάρχειν τοῖς σφυγμοῖς; ὡς γὰρ μέγεθος καὶ τάχος καὶ σφοδρότητα καὶ τἄλλα, τί τὸ κωλῦον ἦν καὶ βαρύτητα προσγράψαι; πόθεν αὕτη πάλιν ἡ καινὴ τραγῳδία, βαρὺς σφυγμός ἐστί τις; πόσων μνῶν, ὦ Ἀρχίγενες, ἑρμήνευσον ἡμῖν, εἴ γε μὴ μόνον ὀνόματα γεγραφὼς ἔσῃ, πρᾶγμα δ᾽ οὐδὲν εἰρηκώς. ἔστι τις σφοδρὸς σφυγμὸς, ὡς οἱ μὴ τραγῳδοῦντες ἔγραψαν, ἀντιβατικὸς κατὰ τὴν πληγὴν, διάγνωσις δ᾽ αὐτοῦ, θλιβόντων τὴν ἀρτηρίαν, οὐκ ἐπιπολῆς ψαυόντων. αἰτία δ᾽ ἄλλη μὲν κατ᾽ ἄλλον, ἄλλη δὲ κατὰ τοὺς πνευματικοὺς ὑμᾶς, ἡ ῥώμη τοῦ τόνου. λέξον μοι καὶ περὶ τοῦ βαρέος ὡσαύτως, τήν τε φύσιν αὐτοῦ καὶ τὴν διάγνωσιν καὶ τὴν αἰτίαν. ἢ γελοιότατος ἂν εἴης [67] τίς μέν ἐστι σφοδρὸς σφυγμὸς καὶ ταχὺς καὶ μέγας, ἐξηγούμενός τε καὶ ὁριζόμενος, οὓς καὶ χωρὶς ὁρισμῶν ἐνοήσαμεν ἂν, εἴ γε

brevem facit, sed nihili facit, qui tanto oneret eam acervo falsae meditationis. Unde nobis ergo rursum hi adsunt pulsus gravis et levis? Quin hanc initio prodidit differentiam, quum diceret octo pulsuum qualitates esse? Nam ut magnitudiuem, celeritatem, vehementiam et reliqua, quo minus grevitatem quoque adjungeret, quid causae erat? Unde haec denuo nova tragoedia? Gravis pulsus quis est? quot ponderum? o Archigenes, explica nobis, quod ni facias, nomina tantum scripseris, rem dixeris nullam. Est quidam vehemens pulsus, ut illi tradiderunt, qui monstra non prodiderunt, in ictu renitens. Cognoscas, si premas arteriam, non leniter tangas. Causam alius aliam facit, aliam etiam vos Pneumatici vim contentionis. De gravitate mihi itidem expedi, naturam, rationem, dignoscendi ejus causam. Nam ridiculosissimus sis, quum, qui vehemens pulsus sit, qui celer, qui magnus exponas et definias, quos etiam citra definitiones intelligemus, nisi semel simus Graecae

μὴ παντάπασιν ἀήθεις ἦμεν Ἑλληνικῆς λέξεως, τίς δ' ἐστὶν ὁ σφυγμὸς ὁ βαρὺς οὗτος, ὃν ἐπεισάγεις ἡμῖν καινὸν, οὐκ ἐξηγούμενος, ἀλλ' ὑπολαμβάνων, εἰ τοὔνομα μόνον γράψειας, εἰρηκέναι τι πλέον. τοῦτο δὲ οὐ λέγειν, ἀλλὰ λαλεῖν ἐστί. εἰ μὲν οὖν βούλει κατὰ τὸν Κωμικὸν,

Λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν,

ἕτερος ἂν εἴη λόγος· εἰ δ' οὐ λαλεῖν, ἀλλὰ λέγειν, τί καὶ διδάσκειν ἐθέλεις, δήλωσον ἡμῖν, τίνι τῶν αἰσθήσεων, καὶ πῶς διαγνωσόμεθα τὸν βαρὺν τοῦτον σφυγμόν; ἐγὼ μὲν γὰρ οὐδὲ λίθου βάρος, οὐδὲ ξύλου δύναμαι διαγνῶναι, μὴ ταῖς χερσὶν ἀράμενος, ἢ ἀναθέμενος τοῖς ὤμοις, ἢ ἐξαρτησάμενος τοῦ πραχήλου. πότερον οὖν καὶ τὴν ἀρτηρίαν τοῦ νοσοῦντος ἐν ταῖς χερσὶ βαστάζοντας ἡμᾶς, ἢ ἀναθεμένους, δεήσει διαγιγνώσκειν οὕτως τὸ βάρος τῶν σφυγμῶν, ἢ τί κελεύεις ὦ Ἀρχίγενες; πρὸς δὲ ταῦτα τῶν ἀπ' αὐτοῦ τις, γέρων σεμνὸς, ἐννενηκοντούτης, ὦ τὰν, ὦ τέκνον ἔφη, ἐκλελυμένος καὶ νωχελὴς καὶ βραδὺς καὶ μέλλων σφυγμὸς ἂν εἴη. πάλιν οὖν ἡμεῖς ἔφαμεν, ὦ πάτερ, ἐκλελυμένον τίνα λέγεις; ἆρά γε

linguae rudes; gravis vero hic pulfus qui fit, quem novum inducis nobis, non exponas, fed fi nomen fcripferis tantum, arbitreris aliquid confecuturum te. Enimvero non eft hoc dicere, fed blaterare. Si igitur vis, ut dixit Comicus, effe,

Garrire doctus, verum ineptus dicere,

alia erit ratio; quod fi non garrire velis, fed dicere aliquid ac docere, quonam fenfu, quaque ratione in notitiam veniemus gravis hujus pulfus, demonftres fac nobis. Equidem certe ne lapidis quidem valeo gravitatem vel ligni cognoscere, nifi manibus fuftollam, vel humeris imponam, vel appendam collo. Num igitur etiam manibus noftris arteria eft aegroti libranda, aut attollenda, ut cognoscamus ita demum pulfuum gravitatem? aut quid imperas, Archigenes? His quidam ab illius fchola fenex nonagenarius, Heus tu fili, refpondit, remiffus et fegnis et tardus et cunctans pulfus erit. Rurfus hic requifivimus. Quemnam tu re-

τὸν βραδὺν, ἢ τὸν ἀραιόν; οὐ γὰρ συνίεμεν. ὀλίγον οὖν διασιωπήσας, τὸν βραδὺν ἀπεκρίνατο. καὶ μὴν περί γε τοῦ νωχελοῦς, ἔφην, οὐκ ἂν ἐροίμην σε. δῆλον γὰρ ὅτι καὶ τοῦτον βραδὺν εἶναι φήσειας. ἀλλὰ καὶ ὁ μέλλων, ἔφην, οἶμαι, βραδύς ἐστι. ἐκ τούτων συνεὶς ὁ γέρων, ὡς ἐξ ἁπάντων τῶν τεττάρων ὀνομάτων ἓν ἐδείκνυτο δηλούμενον πρᾶγμα, βραδύτης σφυγμοῦ, ταράττεσθαί τε καὶ φιλονεικεῖν ὑπήρξατο. καὶ πρῶτον μὲν τὸν μέλλοντα πρὸς αὐτοῦ κληθέντα σφυγμὸν οὐ κατὰ τὸ βραδὺ τῆς κινήσεως, ἀλλὰ κατὰ τὸ τῆς ἡσυχίας ἔφασκε μῆκος κεῖσθαι. τοῦτο γὰρ εἶναι τὸ μέλλειν, ὀκνεῖν ἄρξασθαι· μετὰ δὲ ταῦτα καὶ τὸν ἐκλελυμένον καὶ τὸν νωχελῆ τὸν οἷον ἄῤῥωστον ἔλεγεν. ἐκλελύσθαι γὰρ καὶ ἀδυνατεῖν καὶ ἀσθενεῖν ταὐτὸν δηλοῦν. ἐγὼ τοίνυν πρὸς αὐτὸν ὑπολαβὼν, οὐδὲν, ἔφην, πρᾶγμα. καὶ γὰρ εἰ δεύτερον καὶ τρίτον ἀναθέσθαι περὶ τῶν αὐτῶν ἐθέλεις, συγχωρήσομέν σοι. ζητοῦμεν γὰρ ἐξευρεῖν τἀληθὲς, οὐκ ἀμφισβητοῦμεν φιλονεικοῦντες. ἔστωσαν δὴ, ἔφην, ὁ μὲν μέλλων κατὰ τὸ τῆς ἡσυχίας μῆκος νενοημένος ὁ δὲ ἐκλελυμένος καὶ νωχελὴς κατὰ τὴν ἀῤῥωστίαν. ἀναμνήσθητι τοίνυν, ὡς

miffum, pater, appellas? tardumne an rarum? nam non affequimur. Qui poftquam aliquantisper conticuiffet, tardum refpondit. Sane quidem de fegni, inquam, te non rogarim, quem plane etiam dices tardum effe. Imo etiam cunctans, inquit, tardus mea fententia eft. Hinc fenex, quum ex omnibus his quatuor nominibus rem declarari unam animadvertiffet, tarditatem pulfus, ftomachari coepit rixarique. Atque primum, quem cunctantem appellaffet pulfum, non in tarditate motus dixit, fed in quietis longitudine effe pofitum, nam cunctari effe incipere tardare, deinde remiffum et fegnem veluti imbecillum effe, nam remitti, fatiscere et imbecillum effe atque debilem idem denotare. Tum illi fubjeci: nil laboro. Etenim fi iterum ac tertio eandem rem narrare velis, dabimus tibi; veritatem nos indagamus, non litigamus contentiofe. Age cunctantem, inquam, de quietis longitudine accipiamus, et remiffum fegnemque de imbecillitate. Proinde gravem pulfum memi-

βαρὺν ἔφησθα σφυγμὸν εἶναι τὸν ἐκλελυμένον καὶ νωχελῆ καὶ βραδὺν καὶ μέλλοντα. σαφέστερον δέ μου περὶ τῶν σημαινομένων ἀξιώσαντος μαθεῖν, ἐν ἀρχῇ μὲν οὐδὲν πλέον ἅπαντος τοῦ βραδέος ἐφαίνετο δηλοῦν, νυνὶ δὲ τὸν μὲν ἐκλελυμένον καὶ νωχελῆ τὸν οἷον ἄῤῥωστον ἔφαμεν εἶναι, τὸν μέλλοντα δὲ κατὰ τὸ μῆκος τῆς ἡσυχίας νενοῆσθαι, τὸν βραδὺν δὲ βραδὺν καὶ νῦν ἔτι μένειν. αὖθις οὖν ἀπόκριναί μοι, τὸν ἀραιὸν, εἰ μὴ τὸν ἀμυδρὸν λέγεις; ἀλλὰ λέγω, φησί. τί δὲ τὸ τὸν ἡσυχάζοντα μέχρι πολλοῦ; ἆρ᾽ οὐ καὶ τοῦτον ἀραιὸν ἐρεῖς; ὡμολόγει. περαίνοιτ᾽ ἂν οὖν, ἔφην, ἐκ τῶν ὡμολογημένων ὁ βαρὺς σφυγμὸς ἀμυδρός τις ἅμα καὶ βραδὺς εἶναι καὶ ἀραιός. ἐσιώπησεν ἐπὶ τούτοις ὁ πρεσβύτης μάλα σεμνῶς. ἀλλ᾽ εἰ καὶ τοῦτ᾽, ἔφην, οὐκ ἂν εἴη ποιότης ἑτέρα τις παρ᾽ ἃς ἅπαντες λέγουσιν ἡ τοῦ βαρέος, ἀλλ᾽ ὄνομα κατὰ τριῶν ποιοτήτων συνόδου κείμενον. τὸν γὰρ ἀμυδρὸν ἅμα καὶ βραδὺν καὶ ἀραιὸν βαρὺν εἶναι φήσομεν. οὐκ οἶδ᾽, ἔφη, τί λέγεις, καὶ φιλονεικεῖς μάτην, καὶ τοῦτ᾽ εἰπὼν ἀπηλλάττετο, προσβλέψας ἡμῖν ἐπιτιμητικόν τι καὶ

neris te remiſſum confirmaſſe eſſe et ſegnem et tardum et cunctantem. Quumque de ſignificationibus explicatius cuperem discere, primo plane praeter unum tardum nihil demonſtrabat. Hunc autem remiſſum et ſegnem diximus quaſi imbecillum eſſe; cunctantem de quietis longitudine accipi; tardum tardum adhuc manere. Quare hoc quoque mihi denuo reſponde, an rarum eſſe languidum dicas. Verum, inquit. Quid autem diu quiescentem? nonne hunc etiam dices rarum? Annuit. Igitur ex confeſſis, inquam, efficitur, gravem pulſum languidum pulſum ſimul et tardum eſſe rarumque. Conticuit ad haec ſenex ſane cum magna gravitate. Verum ſi hoc, inquam, ſic habet, non erit qualitas diſtincta ab iis quas omnes in ore habent, ea quae eſt gravitatis, ſed nomen concurſui trium qualitatum attributum; quandoquidem ſimul languidum et tardum atque rarum eſſe dicimus gravem. Quid dicas, inquit, non intelligo, et rixas concitas inanes; ſimulque his dictis disceſſit, oculisque nos acerbis intuitus eſt ac minacibus.

καταγνωστικόν. ἀλλ᾽ ἡμεῖς μετ᾽ ὀλίγας ἡμέρας ἐπὶ νοσοῦντός τινος αὐτοῦ τε παρόντος ἐκείνου τοῦ [68] γέροντος καὶ ἄλλων πολλῶν εὐδοκίμων ἰατρῶν, καὶ πάντων ταραττομένων ἐπὶ τοῖς ὑπάρχουσι τῷ κάμνοντι συμπτώμασι, κοιλίαν ἐκταραχθήσεσθαι προειπόντες, εἶτ᾽ ἐρωτώμενοι πρὸς αὐτῶν, ὁπόθεν αὐτὸ προειρήκαμεν, πόκον, εἴπομεν, εἰς γναφεῖον οὐδεὶς ἀποφέρει, δηλοῦντες αὐτοῖς, ὡς πολλοῦ δέουσι τὰ τηλικαῦτα μανθάνειν, μηδὲ τὰ βραχύτατα γινώσκοντες. ὀλίγων δ᾽ ὕστερον ἡμερῶν ἐξ ἀριστεροῦ μυκτῆρος αἱμοῤῥαγίαν προειπόντες, εἶτ᾽ αὖθις παρωτίδας ἐσομένας, εἶτα ἄλλο τι καὶ ἄλλο, τὸ μὲν προγνόντες, τὸ δὲ θεραπεύσαντες, ὧν ἠδυνάτουν ἐκεῖνοι, δεομένοις αὐτοῖς εἰπεῖν, ἐκ τίνος τὰς τοιαύτας θεωρίας προλέγετε καὶ πράττετε, διὰ παντὸς ἐσιωπῶμεν, ἐκείνοις μὲν οὐδὲν ἀποκρινόμενοι, πρὸς δὲ ὑμᾶς αὐτοὺς λέγοντες τὸ τοῦ Κωμικοῦ,

Ὡς οὔτε στρεβλὸν ὀρθοῦται ξύλον,
Οὔτε γεράνδριον μετατεθὲν μοσχεύεται.

At paucis diebus apud aegrotum quendam quum hoc illo ipfo praefente fene tum aliis multis magni nominis medicis, quum de fymptomatibus quae tenerent aegrotum, omnes attoniti effent, ventris fluxum praediximus. Mox illi, unde id praediceremus, requirebant. Quibus refpondimus: vellus ad fullonem nemo portavit, innuentes iis multum abeffe ipfos ut hoc intelligerent, qui ne leviffima quidem fcirent. Paucis poft diebus de finiftra nare praefagivimus fanguinis profluvium, deinde etiam parotidas; poftea alia atque alia tum praediximus tum curavimus, quorum illi erant imperiti. Ubi quum illi inftarent ut ex qua re eas commentationes praenunciatis et obitis, aperirem, perpetuo filui, nec quicquam illis refponfi dedi, fed nobis ipfis dixi Comici illud,

Ut ligna tortuofa nunquam corrigas,
Virides nec arbor vetus, alio fi transferas,
Produxerit ftolones.

θᾶττον γὰρ ἄν τις τοὺς ἀπὸ Μωϋσοῦ καὶ Χριστοῦ μεταδιδάξειεν ἢ τοὺς ταῖς αἱρέσεσι προστετηκότας ἰατρούς τε καὶ φιλοσόφους. ὥστ᾽ ἐγὼ τελευτῶν ἔγνων κερδαίνειν μακρὰν ἀδολεσχίαν περὶ μηδενὸς αὐτοῖς ὅλως διαλεγόμενος· καί μοι τοῦτο πράττεται καὶ πραχθήσεται. καὶ τάδε τὰ γράμματα σαφῶς εἰδὼς ἀνωφελῆ πᾶσιν ὀλίγου δεῖν ἐσόμενα, πλὴν ἑνὸς ἴσως τινὸς, ἢ δυοῖν, οἳ ἂν καὶ φύσει θαυμαστῇ καὶ διδασκαλίᾳ καὶ μελέτῃ χρήσωνται, καὶ πρὸ τούτων ἁπάντων ἔξω τῆς περὶ τὰς αἱρέσεις καταστῶσι μανίας, ὅμως γράφω, ἅμα μὲν παιδιὰν οὐκ ἄμουσον παίζων, ἅμα δὲ εἰς τὸ τῆς λήθης γῆρας, ὡς ὁ Πλάτων φησὶν, ὑπομνήματα ἑαυτῷ παρασκευαζόμενος, ἅμα δὲ καί τισι τῶν ἑταίρων δεηθεῖσι χαριζόμενος. ἀλλὰ περὶ μὲν τῆς ἐπιπολαζούσης ἀμαθίας ἅμα καὶ φιλονεικίας ἀρκεῖ καὶ ταῦτα.

Κεφ. δ΄. Περὶ δὲ ὧν προὐθέμεθα λέγειν ἐπάνιμεν αὖθις, ἐπιδεικνύντες τοῖς ἕπεσθαι δυναμένοις, ὡς ὁ βαρὺς σφυγμὸς ὄνομα μόνον ἐστὶ, πρᾶγμα δὲ οὐδὲ ἕν. εἰ γὰρ ὡς ὁ σοφώτατος τῶν καθ᾽ ἡμᾶς Ἀρχιγενείων ἀναγκαζόμενος αὐτὸν

Potius enim alii Moyfis et Chrifti fectatores decedant de fua disciplina quam qui fectis funt addicti et confecrati medici et philofophi. Itaque tandem ego cognovi magnas me et importunas ineptias lucrari, de re nulla cum illis difputando; egoque in eo fum et ero; et hos libros quum certo fciam, nifi uni forte, aut alteri, qui fingulari ingenio fit, doctrinaque utatur et meditatione et prae his omnibus infania liber fit illa circa fectas, nemini propemodum fore ufui; attamen fcribo, fimul nec indocte ludens, et praefidio obliviofae fenectuti, ut dixit Plato, commentarios mihi ipfe comparans; fimul familiarium etiam quorundam precibus gerens morem. At de infigni imperitia atque etiam contentione hactenus eft fatis.

Cap. IV. Jam ad inftitutum redeamus ac oftendamus illis qui id valent affequi nomen tantum effe gravem pulfum, rem vero nullam. Nam fi ut ex Archigeniis noftra memoria fapientiffimus, quum ad eum exponendum compel-

ἐξηγεῖσθαι, μετελάμβανεν, ἀμυδρὸς ἔσται καὶ (35) βραδὺς καὶ ἀραιός. εἰ δὲ τὸν τοιοῦτον σφυγμὸν ἐνδείκνυσθαι φαῖεν ὑπὸ πλήθους βαρύνεσθαι τὴν φύσιν, καὶ διὰ τοῦτο καλεῖσθαι δεῖν βαρὺν σφυγμὸν, ὥρα καλεῖν αὐτοὺς οὐ βαρὺν μόνον, ἀλλὰ καὶ ὠμὸν αὐτὸν καὶ ψυχρὸν, ὃς οὐδὲν ἧττον πλήθους ὠμότητα χυμῶν καὶ κατάψυξιν ἐνδείκνυσθαι δύναιτ᾽ ἄν. οὕτω δ᾽, οἶμαι, καὶ χολώδη τινὰ καὶ φλεγματώδη σφυγμὸν ὀνομάζειν οὐκ ὀκνήσομεν, ἂν ἅπαξ τῶν ποιούντων αὐτοὺς αἰτίων τὰς προσηγορίας αὐτοῖς τοῖς σφυγμοῖς ἐπιφέρειν ἐθίσωμεν. ὅπερ οὖν ἀεὶ λέγεται, τὸ μὴ διωρίσθαι παρ᾽ αὐτοῖς ἰδίᾳ μὲν τὴν περὶ διαφορᾶς σφυγμῶν πραγματείαν, ἰδίᾳ δὲ τὴν περὶ διαγνώσεως, ἰδίᾳ δὲ τὴν περὶ τῶν ἐν αὐτοῖς αἰτίων, ἰδίᾳ δὲ τὴν περὶ προγνώσεως, εἰς τὰς τοιαύτας ἀδολεσχίας ἐμβάλλει. ὅ γ᾽ οὖν Ἀρχιγένης περὶ πρώτου πάντων γράφων τοῦ κατὰ τὸ μέγεθος γένους τῶν σφυγμῶν, οὔτε τῶν ποιούντων αὐτοὺς αἰτίων οὔτε τῆς ἐξ αὐτῶν προγνώσεως ἐμνημόνευσεν, ἀλλὰ τὰς διαφορὰς τῶν κατὰ τὸ γένος τοῦτο συνισταμένων σφυγμῶν καὶ τοὔνομα ἑκάστης αὐτῶν ἐδίδαξε, βραχέα μέν που παρεμβάλλων αὐτοῖς τῆς διαγνώσεως, ἀλλ᾽ οὐδὲ αὐτὸ τοῦτο

leretur, fumebat, languidus erit et tardus et rarus; ac fi hunc pulfum oftendere dicant a repletione naturam onerari; atque eo effe appellandum gravem pulfum, eadem opera non gravem modo, fed et crudum vocent et frigidum, ut qui non fecus, atque repletionem, cruditatum humorum poffit et frigiditatem arguere. Itidem certe biliofum quoque et pituitofum pulfum non dubitabimus appellare, fi femel apud nos fit receptum caufarum illos efficientium ad eos effe nomina transferenda. Quare quod femper teftor, quia apud illos non diftinctum eft peculiariter de differentiis pulfuum opus, feparatim de dignofcendis iis, privatim etiam de praefagitione, eo in has ineptias impelluntur. Ac Archigenes quidem in primo omnium genere pulfuum, quod in magnitudine confiftit, de caufis eos efficientibus, vel praefagitione per eos verbum nullum fecit: fed differentias docuit hujus generis pulfuum, nomenque earum cujusque tradidit, pauca quidem nonnullis locis de dignofcendo inferens, fed ne

γινώσκων, ὡς ἐν τοῖς ἑξῆς ἀποδειχθή[69]σεται. δευτέρου δὲ τοῦ κατὰ τὴν σφοδρότητα γένους μνημονεύων, τὰς τρεῖς ὁμοῦ διδασκαλίας συνέχεεν, οὐ περὶ διαφορᾶς μόνον καὶ διαγνώσεως, ἀλλὰ καὶ περὶ τῶν ποιούντων αὐτῶν αἰτίων διαλεχθείς. κἀν τῇ περὶ πληρότητος ἔτι μᾶλλον ταραχθεὶς, ἑξῆς ἐν τῇ περὶ ῥυθμῶν ὀλίγα μὲν προσήψατο τῆς διαγνωστικῆς θεωρίας, τὰ πλεῖστα δὲ ἐν τῇ πρώτῃ κατέμεινεν· ἐν μόνῃ δὲ τῇ περὶ τάξεώς τε καὶ ἀταξίας ὁμαλότητός τε καὶ ἀνωμαλίας τὸ πρῶτον μέρος τῆς περὶ τοὺς σφυγμοὺς θεωρίας ἠδυνήθη φυλάξαι καθαρὸν, μήτε περὶ διαγνώσεως καὶ προγνώσεως τῆς ἐξ αὐτῶν, ἀλλ᾽ οὐδὲ περὶ τῶν αἰτίων οὐδὲν εἰπὼν ἐνταυθοῖ. ἐν δὲ τῷ περὶ τοῦ βαρέος τε καὶ ἀβαροῦς, ὡς αὐτὸς ὀνομάζει, λόγῳ, πρὸς τοῖς ἄλλοις ἔτι καὶ τοῦτο θαυμαστῶς οὕτως ἔγραψεν· ὃν ἀμαυρὸν σφυγμὸν ἤδη τινὲς ἐκάλεσαν. τίνες, ὦ οὗτος, ἐχρῆν εἰπεῖν· ἐκ ποίας Σκυθίας ἥκοντες; ἵνα γνῶσιν ὡς οὐδὲν πλέον δηλοῖ τὸ ἀμαυρὸν ὄνομα τοῦ ἀμυδροῦ, ἄμφω γὰρ κατὰ τοῦ αὐτοῦ λέγουσιν οἱ Ἕλληνες, ἀλλὰ συνηθέστερον αὐτοῖς τὸ ἀμυδρόν.

id quidem ſciens, ut inferius demonſtrabimus. At vero de ſecundo genere, quod in vehementia conſiſtit, ubi agit, tres ſimul tractatus confundit, non tantum de differentia et dignoſcendo, ſed et de cauſis eorum efficientibus differens: ubi de plenitudine, confuſior eſt etiam. Deinde, quando de rhythmo tractat, pauca de dignoſtica ſpeculatione adjecit, ut plurimum vero in prima fere perſtitit. In ſolo vero tractatu de ordine et perturbatione ordinis, aequalitate et inaequalitate, primam partem de pulſibus commentationis ſervare ſinceram potuit, nec dignoſcendi rationem hic, nec praeſagitionem ex iis, imo nec cauſas attigit. At quo loco de gravi et levi, ut vocat, narrat, inter alia etiam id mirifice ſcripſit ad hunc modum: *Quem obſcurum pulſum nunc nonnulli vocitarunt.* Quinam, bone vir, erat dicendum; in quanam illi nati Scythia: ut cognoſcant nomen obſcurum ultra languidum nihil ſignificare. Ambo enim eidem rei tribuunt Graeci; ſed apud eos τὸ ἀμυδρὸν eſt fre-

Ed. Chart. VIII. [69.] Ed. Baf. III. (35.)

οὗτοι μὲν δὴ δύο σφυγμοὶ, βαρύς τε καὶ ἀβαρὴς, Ἀρχιγένεια δῶρα, μέχρι τοῦ λαληθῆναι προελθόντες, οὐδεμίαν ἔχουσι διάγνωσιν· οἱ δ᾽ ἐφεξῆς αὐτῶν ἔτ᾽ ἀλλοκοτώτερον σύγκεινται. τίς γάρ ἐστιν ἡ ἔσω ῥέπον τὸ βάρος ἔχουσα διαφορὰ σφυγμῶν, ἐγὼ μὲν οὐκ οἶδα. καὶ διὰ τοῦτο πάλιν ἠναγκάσθην ἐρωτᾷν τοὺς ἀπ᾽ αὐτοῦ, τί ποτε εἴη τὸ αἴνιγμα. τῶν δ᾽ αἰνιγματωδέστερόν τε καὶ ἀλλοκοτώτερον ἔτ᾽ αὐτοῦ τοῦ συγγράψαντος ἀποκριναμένων, ἔγνων βεβαίως, ὡς εἰσὶν ἄρα τινὲς ἄνθρωποι θαυμάζοντες ἃ μὴ νοοῦσι. καί μοι δοκεῖ τοῦτ᾽ αὐτὸ κατανοήσας ὁ Ἀρχιγένης ἑκὼν εἶναι πολλαχόθι γράφων ἀσαφῶς. ἐγὼ μὲν οὖν οὐδὲ χωρὶς τοῦ γελᾷν δύναμαι μνημονεῦσαί ποτε τοῦ ῥέποντος ἔσω βάρους. δῆλον γὰρ ὡς ἕτερόν τι βάρος ἔξω ῥέπον ἐστί. καὶ τοῦτο μὲν, ὡς οἶμαι, τῷ δέρματι τοῦ ἀνθρώπου βαρὺ, τὸ δ᾽ ἕτερον τοῖς ὀστοῖς ἐστι· πῶς γὰρ ἂν ἄλλως τὸ μὲν ἔξω, τὸ δ᾽ εἴσω ῥέπειν λέγοιτο; τὸ δὲ παραπεποδισμένην καὶ πεπιεσμένην καὶ δεδυκυῖαν ὀνομάζειν τινὰ διαφορὰν σφυγμοῦ, ἆρ᾽ οὐ καὶ αὐτὰ τῶν ἐξηγησομένων δεῖται; τίς γάρ ἐστιν ἡ παραπεποδισμένη;

quentius. Ita duobus his pulfibus, gravi et levi, Archigenis muneribus tantum eft profectum, ut prolati temere fint et nullum habeant, quo dignofcantur, veftigium. Qui confequuntur, longe adhuc abfurdius conflati funt. Nam quae fit differentia pulfuum, quae gravitatem obtineat intro vergentem, me fane praeterit. Quae me res de integro coëgit ex illius difcipulis quaerere, quodnam fit aenigma. Qui quum intricatius et abfurdius refponderent ipfo auctore, animadverti plane effe homines, qui quae non intelligunt fufpiciant; quo Archigenes cognito, mihi videtur de induftria fcripta fua obfcurare multis in locis. Equidem, quoties vergentis intro gravitatis mihi in mentem venit, non poffum me a rifu abftinere. Apertum eft enim aliam, quae foras vergit, gravitatem effe; atque haec cuti fcilicet hominis gravis eft, altera offibus; alioqui quomodo una foras, altera diceretur intro vergere? Quid jam? impeditam et repreffam et fubmerfam appellare pulfuum aliquam differentiam, nonne interpretes etiam defiderat? Quaenam impe-

καὶ γὰρ ἡ βραδύτερα ἢ χρὴν κινουμένη παραπεπόδισται, καὶ ἡ ἀραιοτέρα ἢ προσήκει καὶ ἡ διαλείπουσα καὶ ἡ ἐκλείπουσα καὶ ἡ ἀνώμαλος πᾶσα καὶ ἡ ἄτακτος καὶ ἡ ἄρυθμος, ἀλλὰ καὶ ἡ μικροτέρα τοῦ δέοντος καὶ ἡ ἀμυδροτέρα, πάντως δή που καὶ αὗται τῶν παραπεποδισμένων εἰσίν. ὅλως γὰρ τὸ παραπεποδίσθαι μᾶλλον αἰτίας ἐστὶν ἢ διαφορᾶς σφυγμοῦ δηλωτικόν. ἡ δ' αὖ πεπιεσμένη, καὶ αὕτη πότερον ἀμυδρά τίς ἐστιν ἢ σμικρά; ἢ τί μέντοι βούλεται κἀπὶ τῆς δεδυκυίας διαφέρειν; δόξειε γὰρ ἂν ἡ δεδυκυῖα μικρά τις ὑπάρχειν. ἀλλ' ἴσως μὲν ἡμεῖς σκαιοὶ παντάπασίν ἐσμεν, Ἀρχιγένης δὲ μονονοὺ αὐτὸς ὁ Ἑρμῆς, ἕνεκα συνέσεως· ἐχρῆν οὖν αὐτὸν ὡς θεὸν ἀνθρώπους διδάσκειν ἐπιχειροῦντα, μὴ μόνον ὀνόματα γράφειν, ἀλλὰ καὶ διαγνώσεις, ὡς ἐπὶ τῶν σαφεστέρων ἐποίησεν. ἀλλ' εἴπερ ὅλως ἐπεχείρησεν αἰσθητοῖς γνωρίσμασι διακρίνειν αὐτοὺς, οὐκ ἂν οὕτως μάταια λέγων ἐλάνθανεν, ὥσπερ οὖν καὶ ἡμῶν ἑτέρους πλείονας ἄχρι λόγου συνθεῖναι δυναμένων. καὶ δὴ λέγω πρῶτον μὲν τὸν ἀναπεπτάμενον σφυγμόν. οὐ γὰρ δήπου δεδυκότα μὲν ἐκείνῳ

dita eſt? Sane quae tardius ac par eſt movetur, impedita eſt; et quae rarior juſto eſt, tum quae intermittit et quae deficit; praeterea omnis inaequalis et inordinata, arhythma etiam adhaec juſto minor atque languidior; omnino haec ſcilicet in impeditis ſunt; nam impediri quidem cauſam potius quam differentiam pulſus, denunciat. Repreſſa verum utrum ipſa quoque languida eſt, an parva? aut quid tandem a demerſa vult differre? ſiquidem demerſam dixeris parvam aliquam eſſe. At enim tardi prorſus nos fortaſſe ſumus; Archigenes vero ſolus ipſe Mercurius eſt, propter prudentiam. Ergo cum par erat, quaſi deus ſit, homines ut doceret operam dare; non ut nomina tantum conſcriberet: ſed quod in clarioribus fecit et indicia quibus dignoſcamus, adſcriberet, Verum ſi omnino ſtuduiſſet apertis indiciis eos diſcernere, non tam inania verba fudiſſet imprudens, quaſi vero non poſſimus nos item alios verbo tenus plures fingere. Ac jam dico primum volantem pulſum. Nam qui illi magis demerſum licebit dicere quam volantem

λέγειν ἔξεστιν, ἀναπεπτάμενον δ' ἡμῖν οὔ; καὶ νὴ Δί' ἄλλον νηχόμενον. ἤδη δὲ καὶ γλίσχρον καὶ κραῦρον ἐρῶ καὶ μέλανα καὶ λαμπρὸν καὶ καθαρὸν καὶ θολερὸν καὶ δεινὸν καὶ ἱλαρόν. καί που καὶ βλιτυριζόμενον ἐρῶ σφυγμὸν καὶ σκινδαψιζόμενον, εἰ χρὴ λέγειν ὀνόματα μόνον. [70] ἀλλὰ καὶ τὸ βλίτυρι, φασὶ, καὶ τὸ σκινδαψὸς ἄσημα παντελῶς ἐστι, τὰ δ' Ἀρχιγένους δῆλα. τί ληρεῖς ἄνθρωπε ἑκὼν, καὶ γὰρ τὸ βλίτυρι κροῦμά τι δηλοῖ καὶ τὸ σκινδαψὸς οὐκ οἰκέτου μόνον, ἀλλὰ καὶ ὀργάνου τινός ἐστιν ὄνομα. τί δὴ τοῦτο φήσει τις, οἶμαι, πρὸς τοὺς σφυγμούς; τί δὲ ἃ σὺ λέγεις ὀνόματα πρὸς αὐτοὺς ἐστὶ, τά τε μικρῷ πρόσθεν εἰρημένα καὶ ὁ ἀποκεκρημνισμένος καὶ ὁ τρύζων καὶ ὁ ὑγροφανὴς καὶ ὁ καρώδης καὶ βομβῶν καὶ ὁ ἐκτεθαμβημένος καὶ ὁ ἀναλυθεὶς καὶ ὁ ἀτενὴς καὶ ὁ ἀδρανὴς καὶ ὁ ἀποπεπηγὼς καὶ ὁ διαπεφυσημένος καὶ ὁ διηγκωνισμένος καὶ ὁ ἐγκαλυπτόμενος καὶ ὁ ἐξώστης καὶ ὁ ἐμβριθὴς καὶ ὁ ἐγκρέκων καὶ ὁ νότυλος καὶ ὁ κατανεναγμένος καὶ ὁ διανεναγμένος καὶ ὁ λαγαρίζων καὶ ὁ ὑποκλεπτόμενος καὶ ὁ ῥακώδης καὶ ὁ σεσοβημένος καὶ ὁ σκυθρωπῶς ἀποχωρῶν, ὅ τε τῆς ἀρτηρίας ὁλκίμου προσ-

nobis? et hercle nutantem alium. Jam glutinosum etiam quendam et friabilem dicam; praeterea nigrum, splendidum, purum, turbidum, difficilem, hilarem. Quinetiam *βλιτυριζόμενον* pulsum dixero et *σκινδαψιζόμενον*, si nomina tantum requirunt. Sed enim *τὸ βλίτυρι*, ajunt, et *τὸ σκινδαψὸς* plane nihil significant, Archigenis clara sunt nomina. Quid tu bone vir dedita opera nugaris? Etenim *τὸ βλίτυρι* pulsationem quandam significat et *τὸ σκινδαψὸς* non tantum servi, sed etiam instrumenti cujusdam est nomen. Sed quid (dices, ni fallor) haec ad pulsus? Quid vero quae tu profers nomen ad illos faciunt, quum illa, quae paulo ante recensui, tum praecipitatus, stridens, humidus apparens, soporosus, bombans, stupefactus, resolutus, intentus, inefficax, congelatus, difflatus, cubitis propellens, occultatus, expulsor, gravis, crepens, madidus, congregatus, disgregatus, languescens, subfuratus, lancinosus, exagitatus, tetrice recedens, et qui est cum arteria tractili occurrente, atque id

πιπτούσης, ἄλλων τε τοιούτων ὀνομάτων πάμπολυ πλῆθος, ἅπερ ἰδίᾳ μέν τι καὶ καθ᾽ αὑτὰ δηλοῖ, κοινὸν δὲ αὐτοῖς πρὸς τοὺς σφυγμοὺς οὐδέν ἐστιν, ὥσπερ οὐδὲ τὸ ὑγρότερον ἐξωθεῖν λέγεσθαί τινα σφυγμόν; ἐνταῦθα γὰρ πάλιν ἀποπλανᾶται τῆς τῶν σφυγμῶν διδασκαλίας ὁ Ἀρχιγένης, ὑγρότητος μνημονεύων, εἰς μὲν τὰς προγνώσεις χρησίμου πράγματος, ἀλλ᾽ οὐκ ἐκ τῆς περὶ σφυγμῶν θεωρίας. μίξας οὖν αὐτῇ τῇ ἐξεριστικῇ πρὸς αὐτοῦ κληθείσῃ πληγῇ μηδὲν διαφερούσῃ τοῦ σφοδροῦ σφυγμοῦ, διαφοράν τινα προσποιεῖται ἑτέραν ταύτην διδάσκειν, οὖσαν οὐχ ἑτέραν, ἀλλὰ σφοδρὸν σφυγμὸν μεθ᾽ ὑγρότητος. εἶτα ἐξαπατᾷ τὸν ἰδιώτην τῆς θεωρίας, ὡς μέγα τι προσγράψας, τὸ οἷα ἀπὸ τροφῆς μάλιστα νεαρᾶς ἐγγίνεται· ἡ γὰρ ἐξεριστικὴ πληγὴ, φησὶν, αὐτὴ μεθ᾽ ὑγρότητος ἀπὸ τροφῆς μάλιστα νεαρᾶς γίγνεται. τίς λόγος καί φησιν, ὦ Ἀρχίγενες, ἀληθὲς τοῦτο λέγεις, ἀλλὰ ἀδιαρθρώτως τε καὶ συγκεχυμένως, καὶ διὰ τοῦτο ἀσαφῶς. ἐχρῆν γὰρ οὕτως εἰπεῖν, ἐπὶ τροφαῖς προσφάτοις σφοδρὸς γίνεται σφυγμὸς μεθ᾽ ὑγρότητος. τοῦτον δ᾽ οὐκ

genus nominum immenfus numerus, quae feparatim et fola aliquid fignificant, fed cum pulfibus nihil ipfis convenit, ficut nec quod dicitur humidius impellere quendam pulfum. Nam hoc rurfus loco Archigenes a pulfuum doctrina deflectit, quum humiditatis meminit, rei illius quidem ad praefagiendum conducentis, at non ex pulfuum commentatione. Mifcuit ergo eam cum connitente, quem ille vocat, ictu, qui a vehemente pulfu nihil diftat; ac differentiam quandam fe hanc fingit aliam docere, quum non alia fit; caeterum vehemens pulfus cum humiditate. Deinde ignaro fpeculationis hujus imponit, quafi mirificum quid fit, quod adfcripfit, qui a cibo potiffimum recente efficitur; nam connitens ictus, inquit, cum humiditate ab humidiore cibo potiffimum recente fit. Hic fubeft aliqua, Archigenes, ratio, dicisque verum: indiftincte tamen et confufe, itaque obfcure. Nam fic erat dicendum: ex cibis recenter mactatis vehemens generatur pulfus cum humiditate: atqui hoc non eft alium pulfum a

ἔστιν ἄλλον τινὰ παρὰ τὸν σφοδρὸν σφυγμὸν εἰπεῖν, ἀλλὰ σφοδρὸν σφυγμὸν, καὶ ἄλλο τι, ὃ οὐκ ἔστιν ὅλως (36) σφυγμὸς, πρὸς τῷ καὶ ἀκαίρως ἅπτεσθαι κοινῆς θεωρίας, τοῦ τε περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων τόπου καὶ τοῦ περὶ τῆς δι᾽ αὐτῶν προγνώσεως. ἐν ἐκείνοις γὰρ ἄμεινον ἦν εἰπεῖν, ἐπὶ τροφῇ ποῖός τις σφυγμὸς γίνεται. καὶ ἡμεῖς λέγομεν, ὦ Ἀρχίγενες, οὐχ οὕτως ῥαθύμως, ὡς σὺ νῦν, ἀλλὰ μετὰ τῶν οἰκείων διορισμῶν. οὐ γὰρ ἁπλῶς ἐπὶ τροφῇ πάσῃ σφοδρὸς μεθ᾽ ὑγρότητος γίνεται σφυγμὸς, ἀλλὰ καὶ ἐπὶ τῇ συμμέτρῳ μὲν κατὰ ποσὸν, ὑγρᾷ δὲ κατὰ τὸ ποιόν. οὔτε γὰρ ἡ πλείων τροφὴ σφοδρὸν τὸν σφυγμὸν, ἀλλ᾽ ἀνώμαλον ἐξ ἀμυδρῶν καὶ σφοδρῶν καὶ μέσων, οὔτε ἡ ξηρὰ τὸν ὑγρὸν ἐργάζεται. ὥστε τῇ μὲν ὑγρότητι τῆς τροφῆς, ὑγροτέρου ποτὲ γενομένου τοῦ δέρματος, οὐδὲ γὰρ διὰ τοῦτο διαπαντὸς, ἀλλὰ δεῖταί τινος διορισμοῦ· τῇ συμμέτρῳ δ᾽ αὖ κατὰ τὸ ποσὸν τροφῇ πάντως ἑπομένης σφοδρότητος, ἄμεινόν ἐστιν, ὑγρότητος μὲν μηδόλως μνημονεύειν, ἥ γε οὐδὲ τρέπει ποτὲ κατὰ τὸν ἑαυτῆς λόγον τοὺς σφυγμοὺς, τροφῆς δὲ συμμέτρου μνημονεύσοντας σφοδρὸν ὑπ᾽ αὐτῆς λέγειν

vehementi dicere, fed ufum vehementem vel aliud quiddam, quod omnino pulfus non eft. Jam etiam importune hoc loco tractat de commentatione, quae tractatui communis eft De pulfuum caufis et De praefagitione per eos. Sane praeftabat illic retuliffe, a cibo qui fiat pulfus: nosque, Archigenes, dicimus, ut hic, ut nunc tu, negligenter, fed adhibitis propriis diftinctionibus. Neque enim omnino fit a cibo quidem omni vehemens cum humiditate pulfus, fed modico quantitate et qualitate humido; nam copiofior cibus non vehementem pulfum, fed inaequalem ex languidis et vehementibus mediisque. Neque humidum efficit ficcus, proinde humiditate alimenti, quum humidior aliquando evaferit cutis. Neque enim ideo femper, fed ineft aliqua difcretio. Etiam moderatum quantitate quum cibum excipiat vehementia, humiditatem praeftat nequaquam appellare, quae per fe quidem pulfus nunquam immutat, fed mentione cibi mode-

γίνεσθαι τὸν σφυγμόν. ἀλλὰ τοῦτο, κἂν ἀληθὲς ᾖ, πρώτης μὲν τῆς τῶν ἐν σφυγμοῖς αἰτίων ἐστὶ διδασκαλίας, ἐφεξῆς δὲ τῆς προγνωστικῆς. οὐ μὴν προὔκειτό σοι περὶ τούτων λέγειν. εἰ δ᾽ ἀδιορίστως ἅμα καὶ οὐκ ἐν καιρῷ γράφειν συγχωρεῖται, μὴ μόνον ἐπὶ νέᾳ τροφῇ τὸν τοιοῦτον ἴσθι γινόμενον σφυγμὸν, ἀλλὰ κἂν τοῖς βαλανείοις ποτὲ, κἂν τοῖς γυμνασίοις, καὶ τοῖς θυμοῖς. γίνεται γὰρ κἂν τούτοις ἔσθ᾽ ὅτε. καὶ πῶς καὶ τίνι τρόπῳ [71] γίνεται, εἰ μὲν μόνον εἰπόντες ἀρκεσθείημεν, οὐδὲν δήπου πλέον ἐδιδάξαμεν, εἰ δὲ διοριζόμεθα, τῆς προκειμένης ἀποστησόμεθα πραγματείας. μὴ τοίνυν παραφλυαρῶμεν, ἀλλ᾽ εἴ τινα ἔχεις ἡμᾶς διδάξαι διαφορὰν σφυγμῶν ἑτέραν ὧν ἴσμεν, δίδασκε, μὴ μόνον ὀνόματα λέγων, ἀλλὰ καὶ τὸ σημαινόμενον αὐτῶν καὶ τὴν διάγνωσιν ὅλου τοῦ πράγματος. ἐπεί τοι πάλιν, ἵνα ταῦτά τις παραλίπῃ, συνάπτεις αὐτοῖς ἑξῆς τὸν διηγκωνισμένον σφυγμὸν, παραλιπὼν τὸν διεζωσμένον τε καὶ ἀποπεπλεγμένον καὶ προβεβηκότα καὶ ἀποβεβηκότα καὶ λακτίζοντα καὶ γονατίζοντα καὶ γαστρίζοντα.

rati facta, vehementem dicere ex eo pulfum oriri. At hoc, etfi verum fit, tamen praecipue ad commentationem pertinet pulfuum caufarum, deinde ad praefagia. Sed de his non inftitueras agere. Quod fi confufe datur facultas fimul et intempeftive fcribendi, non tantum a recente cibo fcito eum pulfum, fed et a balneis interdum et ab exercitationibus, iraque generari; eft enim, quum ex his generetur. Atque quomodo generatur et qua ratione, fi expofuiffe tantum habeamus fatis, nihil ad docendum nobis profectum eft: fi diftincte explicemus, receffferimus ab inftituta tractatione. Quare inanes iftas nugas mittamus. At fi quam nobis aliam potes differentiam pulfuum, ac fcimus, tradere, trade; neque tantum nomina profer, fed fignificationem etiam eorum et totius modum dignoscendae rei. Caeterum rurfus, ut haec omittamus, iis mox adjungit cubitis pulfantem pulfum discinctum, relinquens et applicatum et progreffum et regreffum et calcitrantem et geniculantem et ventriculantem.

Ed. Chart. VIII. [71.] Ed. Baſ. III. (36.)

τίς γὰρ ἡ νομοθεσία διηγκωνισμένον μέν τινα καλεῖν, τοὺς δ᾽ ἄλλους παραλιπεῖν; ἀλλὰ διηγκωνισμένον μὲν, φησὶ, λέγομεν τὸν οἷον τεθυμωμένον. οὐκοῦν πάλιν κακῶς παραλείπεις τὸν οἷον λυπούμενον καὶ ὀργιζόμενον καὶ μηνιῶντα. μὴ παῖζε, φησὶ, τὸν γὰρ ἰσχυρὸν οὕτως καλοῦμεν. οὐ παίζω, βέλτιστε. σὺ δ᾽ ἐπιτρέπεις ἡμᾶς, ἐνὸν ἰσχυρὸν εἰπεῖν, διηγκωνισμένον λέγειν. εἰ γὰρ ἰσχυρὸν εἰρήκεις, ἐπυθόμην ἄν σου, τίς ποτέ ἐστιν οὗτος ὁ ἰσχυρὸς, καὶ πῶς αὐτὸν διαγνωσόμεθα. τὸν μὲν γὰρ σφοδρὸν, ὅταν ἐν τῷ θλίβειν ἡμᾶς τὴν ἀρτηρίαν ἀντιβαίνῃ, καὶ τὸν ἐναντίον αὐτῷ τὸν ἀμυδρὸν, ὅταν ἀφανίζηται, θλιβόντων διαγιγνώσκομεν, τὸν δ᾽ ἰσχυρὸν ἐὰν εἴπῃς, καὶ τοῦτον ὅπως διαγνωσόμεθα, διδάξεις τι πλέον. εἰ δὲ μὴ, κἀνταῦθα ὄνομα μόνον, οὐ πρᾶγμα προσθήσεις. ὅταν βιαίως, φησὶν, ἀνατρέπῃ, καὶ ὠθῇ τὴν ἁφήν. ἀλλὰ καὶ ὁ σφοδρὸς ἀνέτρεπεν, ἀλλ᾽ ἧττον, φησὶ, τούτου βιαίως, οὐκοῦν ἐπιτεταγμένον σφοδρότητι λέγεις τὸν ἰσχυρὸν δὴ τοῦτον καὶ διηγκωνισμένον σφυγμόν; ναὶ, φησὶν, οὕτω λέγομεν. ὥρα τοίνυν ἡμῖν καὶ τὸν ἐπιτεταμένον τῷ

Nam quae eſt iſta nominum lex, quendam vocare cubitis pulſantem et praeterire caeteros? Quin cubitis pulſantem, inquit, quaſi indignantem pulſum vocamus. Jam male praeteris quaſi triſtantem, irascentem et ſuccenſentem. Extra jocum, inquit, nam validum ſic appellamus. Serio ago, bone vir, tu vero, quum validus dicendus ſit, cubitis pulſantem vis nos dicere. Nam validum ſi diceres, qui ſit hic validus, te rogem et qua illum ratione dignoscamus; nempe vehementem quidem, ubi quum premimus arteriam, renititur; et contrarium illi languidum, quum obscuratur prementibus nobis, dignoscimus. Validi vero, ſi etiam explices rationem dignoscendi, fructum tulerit aliquem tua doctrina; ſi minus, etiam nomen hic modo, rem tradideris nullam. Ubi magna vi, inquit, ſubvertat tactum et impellat. Atqui ſubvertebat et vehemens. At minus, inquit, quam hic, violenter. Ergo intenſe vehementem appellas validum hunc et cubitis pulſantem pulſum? Scilicet, inquit, hoc ipſum. Igitur jam etiam magnopere velocem ſa-

τάχει μὴ τάχιστον, ἀλλ᾽ ἄλλο τι καλεῖν, καὶ τὸν ἐπιτεταμένον μεγέθει μὴ μέγιστον, ἀλλ᾽ ἕτερόν τι, καὶ τοὺς ἄλλους ὡσαύτως. εἰ δ᾽ ἐκείνοις ἀρκεῖ τάχιστον εἰπεῖν καὶ μέγιστον καὶ βραδύτατον καὶ ἀραιότατον καὶ πυκνότατον, ἀρκεῖ κἀνταῦθα σφοδρότατον εἰπεῖν, καὶ μὴ νομίζειν, παρακειμένης τινὸς τῇ σφοδρότητι μνημονεύειν ἑτέρας διαφορᾶς. αἱ γὰρ ἐν ἑκάστῳ τῶν γενῶν ἐπιτάσεις οὐκ εἰσὶν ἔξω τοῦ γένους. οὔτε γὰρ τὸ λίαν λευκὸν ἄλλό τι καὶ οὐ λευκόν ἐστι οὔτε τὸ λίαν μέλαν ἄλλό τι καὶ οὐ μέλαν. οὐκοῦν οὐδὲ τὸ λίαν σφοδρὸν ἄλλό τι καὶ οὐ σφοδρόν. ἅπαντ᾽ οὖν τὰ τοιαῦτα λῆρός ἐστι μακρὸς, ἐξ ἀνάγκης ἑπόμενα τῷ μὴ διηρθρῶσθαι καλῶς ἀπ᾽ αὐτῶν μήτε τὴν ἔννοιαν ἑκάστου τῶν σφυγμῶν μήτε τὴν οὐσίαν μήτε τὴν διάγνωσιν μήτε τὰς αἰτίας ὑφ᾽ ὧν γίγνονται. χρὴ γὰρ, ὡς ἤδη πολλάκις εἴρηταί μοι, τὸν ἀληθείας ἐφιέμενον ἀπὸ τῶν πραγμάτων αὐτῶν ἀρξάμενον ὁπόσα τε ταῦτά ἐστι καὶ ὁποῖα διορίσασθαι, κἄπειθ᾽ ἑξῆς αὐτοῖς ὀνόματα θέσθαι, καὶ μετὰ ταῦτα περὶ τῆς διαγνώσεως εἰπεῖν, εἶτ᾽ ἐπὶ τοῖσδε τῆς αἰτίας, εἶτα τῆς προγνώ-

ciendum eſt nobis, ut non velociſſimum, ſed aliud quid appellemus et magnopere magnum, non maximum, ſed alio nomine, itaque reliquos. Quod ſi illis hoc ſatis eſt, ſi velociſſimum dicant et maximum, tardiſſimum, rariſſimum, creberrimumque, quin hic quoque ſufficiat vehementiſſimum dicere? Neque eſt ducendum, finitimam aliquam vehementiae memorari aliam differentiam; nam quae in unoquoque genere fiunt intenſiones, non ſunt extra genus: neque enim admodum album aliud ac album eſt neque admodum nigrum quicquam eſt praeter nigrum: itaque nec admodum vehemens aliud eſt atque vehemens. Quare ſunt haec omnia mera deliramenta, quae neceſſario conſequuntur, quod iſti ordine non diſtinguant ac digerant, nec notionem ſingulorum pulſuum, nec cauſas quae eos efficiunt. Namque quod ſaepe jam diximus, qui veritatem ſpectat, debet ab ipſis rebus ingreſſus, quot hae ſint et quae explicare, deinde nomina ipſis ponere, mox de iis dignoſcendis agere,

σεως, ὅπερ ἡμεῖς πεποιήκαμεν, ἐν μὲν τῇδε τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ τὰς διαφορὰς ἁπάσας ἐπελθόντες τῶν σφυγμῶν, ἐν δὲ τῇ περὶ διαγνώσεως, ὅπως χρὴ τοὺς δακτύλους ἐπιβάλλοντα, καθ' ἑκάστην αὐτῶν ἀκριβῶς αἰσθάνεσθαι, καὶ μετὰ ταῦτα τὴν περὶ τῶν αἰτίων πραγματείαν συνθέντες, εἶτα τὴν προγνωστικήν. ἀλλὰ νῦν γε περὶ μὲν τῆς πρώτης ὁ λόγος ἡμῖν ἐστι, ἧς τὸ χρήσιμον αὐτὸ πρὸς τὰ τῆς τέχνης ἔργα διὰ τοῦ πρώτου βιβλίου δεδήλωται, κεφαλὴν ἐπιθῶμεν ἤδη τῷ περὶ σφοδρότητος λόγῳ.

Κεφ. ε΄. [72] Ἔστι δέ τις σφυγμὸς ὁ ἀνατρέπων τὴν ἀφὴν, τουτέστιν ἰσχυρῶς τε καὶ ἀντιβατικῶς πλήττων. τοῦτον εἴτε σφοδρὸν εἴτ' εὔτονον εἴθ' ὅ τι βούλεται καλεῖν τις, οὕτω θέμενος ἴστω διαγιγνωσκόμενον αὐτὸν, ἐρειδόντων ἐπὶ πλεῖον τοὺς δακτύλους, οὐκ ἐπιπολῆς ψαυόντων. αἰτία δ' αὐτοῦ ῥώμη τῆς τοὺς σφυγμοὺς ἐπιτελούσης δυνάμεως. εἰ μὲν οὖν ἡμεῖς πρῶτοι τὴν ὅλην ἐξουσίαν εἴχομεν τῆς θέσεως τῶν κατὰ τὴν ἰατρικὴν ὀνομάτων, εὔτονον ἂν, οὐ σφοδρὸν ἐκαλέσαμεν τὸν τοιοῦτον σφυγμόν. ἐπεὶ δ' ἔφθασεν ὑπὸ τῶν

ab his de caufis, poftea de praefagitione; id quod nos fecimus. Atque in hoc opere, pulfuum differentias perfequuti omnes fumus. In opere de pulfibus dignoscendis, quo pacto in quaque harum applicatis digitis, exacte debeant fentiri. Inde lucubrationem de caufis compofuimus. Secundum hanc de praefagitione. Sed hoc loco, quandoquidem agimus de prima, quae quid referat ad artem colendam, primo in libro explicavimus, fummam jam faciamus difputationis de vehementia.

Cap. V. Pulfus eft quidam qui tactum fubvertit, id eft valde et cum renifu quodam pulfat. Hunc five vehementem, five contentum, five quicquid vifum eft vocare, hoc conftituto, dignosci fcito eum, ubi plurimum digitos infigimus, non leniter palpamus. Caufa ejus facultatis robur pulfus efficientis. Proinde fi de medicis vocabulis primo omnis noftra poteftas fit inftituendis, contentum eum pulfum, non vehementem appellemus; nunc quia a pluri-

πλείστων ὀνομάζεσθαι σφοδρὸς, οὐ μετατίθεμεν τοὔνομα, καί τοι γινώσκοντες παρὰ τοῖς Ἕλλησι τὸ τῆς σφοδρότητος ὄνομα κατ᾽ ἐνεργείας ἀεὶ λεγόμενον ἰσχυρᾶς τε ἅμα καὶ ταχείας· παλαίσματά τε γὰρ ὀνομάζεται σφοδρὰ τὰ μετὰ συντονίας τε ἅμα καὶ τάχους γινόμενα καὶ ἄνθρωποι κατὰ τὸν αὐτὸν τρόπον, ὅταν εὐτόνως τε ἅμα καὶ ταχέως ἐνεργῶσι, σφοδροὶ προσαγορεύονται. καὶ δὴ καὶ τὸ τῶν λεόντων γένος ἅπαντες ὀνομάζουσι σφοδρὸν, ὅτι καὶ τοῦτο μετὰ συντονίας τε ἅμα καὶ τάχους ἐνεργοῦν ὁρῶσιν, ὥστ᾽ εἴπερ ἦν ἐπ᾽ ἐμοὶ θέσθαι τοὔνομα, τὴν μὲν ἁπλῆν ποιότητα τῶν ἀντιβατικῶν τε καὶ ἀνατρεπτικῶν τῆς ἁφῆς τῶν σφυγμῶν ἰσχὺν ἂν, ἢ ῥώμην, ἢ εὐτονίαν, ἤ τι τοιοῦτον ἕτερον ὠνόμασα, τὴν δ᾽ ἐκ ταύτης ἅμα καὶ τάχους σύνθετον οὐκ ἐκάλεσα σφοδρότητα. νυνὶ δ᾽ ἐπειδὴ τὸ τῆς σφοδρότητος ὄνομα δι᾽ ἔθους ἐγένετο τοῖς πλείστοις τῶν ἰατρῶν ἐπὶ μιᾶς τῶν πρώτων λέγεσθαι διαφορῶν, ἔγνων χρῆναι μὴ φεύγειν αὐτό· καὶ διὰ τοῦτο τὸν μὲν εὐρώστως πλήττοντα σφυγμὸν ὠνόμασα σφοδρ᾽ν, τὸν δ᾽ ἀῤῥώστως ἀμυδρὸν, οὐδὲν διαφέρον,

mis jam pridem vehemens eſt vocitatus, nomen nihil mutamus; tametſi non ſimus neſcii apud Graecos vehementiae nomen actioni ſemper tribui validae ſimul et citatae; ſiquidem luctae vocantur vehemens quae cum contentione et celeritate fiunt. Ac eodem modo homines vehementes appellantur, qui cum contentione et celeritate operantur. Et hercle genus leonum appellant omnes vehemens, quoniam hujus quoque contentam actionem atque citatam conſpiciunt. Quamobrem ſi mihi nomen ſit inſtituere liberum, ſimplicem pulſuum qualitatem renitentiam et evertentium tactum vim, vel robur, vel contentionem appellem, vel quid tale aliud; quae vero ex hac eſt et celeritate conflata, non vocem vehementiam. Nunc vero, quandoquidem vehementiae nomen maxima pars medicorum uſurpavit, pro una de primis differentiis eſſe, illud ſtatui non vitandum; atque ea re pulſantem valide pulſum nominavi vehementem, remiſſe languidum; neque quicquam intereſt, ro-

Ed. Chart. VIII. [72.] Ed. Baf. III. (36. 37.)

ἢ εὐρώστως, ἢ ἰσχυρῶς, ἢ βιαίως, ἢ εὐτόνως εἰπεῖν. αἰτίαν δ᾽ αὐτοῦ ῥώμην τῆς κινούσης τὰς ἀρτηρίας δυνάμεως εἶναί φησι, διάγνωσιν δὲ τῶν δακτύλων εἰς βάθος ἐρειδομένων. ἐν γὰρ τῷ τοιούτῳ τρόπῳ τῆς ἐπαφῆς ὁ μὲν ἰσχυρὸς σφυγμὸς (37) ἰσχυρότερος φαίνεται, βιαιότερον ἀνθιστάμενος τοῖς θλίβουσι δακτύλοις, ὁ δ᾽ ἀσθενὴς οὗτος ἐνίοτε καταπίπτει τε καὶ νικᾶται πρὸς αὐτῶν, ὡς ἄσφυκτον δοκεῖν εἶναι τὸν ἄνθρωπον. ἀλλὰ περὶ μὲν τούτων ἐν ταῖς ἐχομέναις πραγματείαις ἐροῦμεν· ὁ δὲ νῦν ἐνεστηκὼς λόγος ἤδη μοι πέρας ἐχέτω.

Κεφ. στ΄. Βούλομαι γὰρ ἑξῆς ἐπὶ τὴν πολυθρύλλητον ἀφικέσθαι πληρότητα, πολλὰ πράγματα παρεσχηκυῖαν ἅπασι τοῖς ἰατροῖς τοῖς νεωτέροις, μέλλουσάν γε δή που καὶ ἡμῖν οὐκ ὀλίγα παρέξειν, οὐκ ἐν τῇδε τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ μόνον, ἀνεκτὸν γὰρ ἂν ἦν, ἀλλὰ πολὺ δὴ μᾶλλον ἐν τῇ διαγνωστικῇ. τὴν μὲν γὰρ ἔννοιαν αὐτῆς ὁμολογοῦμεν ὑπάρχειν ἐναργῆ, διάγνωσιν δὲ οὐδεμίαν αἰσθητὴν εἶναί φαμεν. ἀλλὰ περὶ μὲν τῆς διαγνώσεως αὖθις εἰρήσεται, περὶ δὲ τῆς ἐννοίας, ἐπειδὴ καὶ ταύτην ἔνιοι συγχέουσιν,

bufte dicas, an valenter, an violenter, an contente. Hujus caufam moventis arterias robur dico facultatis effe: dignosci, fi digitos alte infigas. Nam quum ita attrectes, validus pulfus videtur validior, quod acrius digitis prementibus refiftat; at imbecillus adeo nonnunquam concidit et dejicitur ab illis, ut privatum pulfu hominem dicas. Verum in fequentibus lucubrationibus de his tractabimus. Hic mihi finis efto hujus disputationis.

Cap. VI. Nam ad decantatam illam volo jam me conferre plenitudinem, in qua omnes fudarunt medici juniores, nec minus nobis certe negotii exhibituram, non in hoc quidem folum opere, nam hoc quidem feras, fed multo plus, ubi de dignoscendo differemus; cujus fatemur quidem effe evidentem notionem, fed notitiam ejus repraefentari negamus fenfui ullam; verum de ea dignoscenda pofthac dicemus. De notione nunc, quandoquidem et funt qui hanc

ἤδη λέγωμεν. ἀπὸ μὲν οὖν τῶν πραγμάτων ἀρχομένοις, ἤτοι τοῦ τῆς ἀρτηρίας σώματος ἔσται τις ποιότης ἡ πληρότης, ἢ τῆς ἐγκεχυμένης οὐσίας· [73] ἀπὸ δὲ τῶν ὀνομάτων, ἐνθένδ᾽ ἂν μάλιστά τις ὑπάρξαιτο. πλῆρές φαμεν εἶναι τὸ κεράμιον οἴνου, καὶ πλήρη τὸν θύλακα ἀλφίτων. οὕτω δὲ καὶ τὸ θέατρον, ἢ τὸ στάδιον, ἢ τὸ βουλευτήριον, ἀνθρώπων πλήρη λέγομεν ὑπάρχειν, ὥσπερ αὖ καὶ κενά. οὕτω δὲ καὶ τὴν γαστέρα καὶ τὸ στόμα ποτὲ μέν φαμεν πλήρη εἶναι, ποτὲ δὲ κενά.

Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα Θύρσι γένοιτο,
Πλῆρές τοι σχαδόνων, καὶ ἀπ᾽ Αἰγίλω ἰσχάδα τρώγοις.

καὶ ὅλως ἅπαν ἀγγεῖον ἐντὸς αὐτοῦ περιέχων εὐρυχωρίαν ἤτοι πλῆρες, ἢ κενὸν εἶναί φαμεν· ἐπειδὰν μὲν ὑφ᾽ ἑτέρου τινὸς σώματος, εἴθ᾽ ἑνὸς, ἢ καὶ πλειόνων, ἡ εὐρύτης αὐτοῦ καταλαμβάνηται, πλῆρες· ἐπειδὰν δὲ μόνον ἀέρα περιέχῃ, κενόν. οὕτω μὲν ἅπαντες ἄνθρωποι κυρίως τε καὶ πρώτως ὀνομάζουσι. μεταφέροντες δ᾽ ἐντεῦθεν ἤδη τινὲς ἐπὶ τὰς ἑαυτῶν τέχνας, οὐκέτι δηλονότι κυρίως, οὐδὲ πρώτως,

conturbent, verba faciamus. Itaque a rebus ipfis exordiamur. Aut arteriae corporis erit quaedam qualitas plenitudo, aut infufae fubftantiae. A nominibus hinc maxime incipias. Plenum dicimus dolium vini effe et plenum farinae culeum; fic etiam theatrum, fic curriculum, vel curiam effe plenam hominum dicimus, et contra vacuam. Haud aliter ventrem et os interdum dicimus plena effe, interdum vacua.

Os tibi fit plenum, Thyrfis mea, mella decorum,
Atque favis plenum, Aegiali tibi carica cibus.

In fumma quodvis vas, quod quidem internam habet ullam capacitatem, vel plenum, vel vacuum dicimus effe; quum ejus ab alio corpore uno, vel pluribus capacitas occupetur, plenum; vacuum, fi praeter aërem contineat nihil. Ita proprie omnes mortales et praecipue vocant. Hic jam quidam ad fuas artes, qui traducunt, non jam proprie utique

ἀλλὰ δευτέρως τε καὶ τροπικῶς ὁ μὲν ἔριον ὠνόμασε πλῆρες, ὁ δὲ οἶνον, ὁ δὲ ἄλλο τι τῇ χρείᾳ κρίνων ἕκαστος τὸ πρᾶγμα. τὸ μὲν γὰρ διαρκῆ τε καὶ μόνιμον ἔχον αὐτὴν ὀνομάζουσι πλῆρες, ὥσπερ τὸν οἶνον οἱ γευσάμενοι μέχρι πλείστου παραμενούσης αἰσθάνονται τῆς ποιότητος, εἰ δ᾽ ἂν ἐν τάχει παύηταί τε καὶ ἀπολύηται ἢ ποιότης, ἢ δύναμις, ἢ χρεία, κενὸν ἐκεῖνον προσαγορεύουσι. οὕτως οὖν καὶ τοὺς λόγους ἐνίοτε ψευδεῖς ὀνομάζουσι κενοὺς, οὐ μήν γε ὅταν κενὸν εἶναί τινα λέγουσιν νοῦ μεταφορᾷ χρῶνται τηνικαῦτα, καθάπερ οὐδ᾽ ὅταν τοὺς μὲν ἰσχνοὺς ἀνθρώπους κενὸν ἔχειν τὸ σῶμα σαρκῶν φάσκωσι, τοὺς δὲ παχεῖς πλῆρες. ἀλλ᾽ ἐν τούτοις φυλάττουσι τὴν ἀγγείου τε καὶ περιεχομένου νόησιν. ἐφ᾽ ὧν, ὡς ἐῤῥέθη, κυρίως τε καὶ πρώτως εἴθισται λέγεσθαι τὸ πλῆρές τε καὶ τὸ κενόν. ἕτερα δ᾽ αὖ σώματα διάκενα λέγουσιν, οὐ κενὰ, καθάπερ σπόγγον τε καὶ κίσσηριν. οὐδὲ γὰρ σῶμα νομίζουσι εἶναι τὸν ἀέρα, χώραν δέ τινα καὶ τόπον κενὸν, ἐπιτήδειον ὑποδέχεσθαι σώματα. οὐ μὴν οἱ τῷ λόγῳ διασκεψάμενοί τι περὶ τοῦ ἀέρος, ἰατροί τε καὶ φιλόσοφοι, κενὸν

neque prima ratione, fed fecunda et tropice, hic lanam appellavit plenam, vinum ille, alius aliud, ufu quisque rem aeftimans; nam illa quae perfeverantem eum et conftantem habet, hanc plenam vocant. Ut qui vinum guftarunt, quum diutiffime fentiant qualitatem perdurare, cujus fi abeat extemplo et pereat vel qualitas, vel vis, vel ufus, vacuum illud vocant. Et vero fic fermonem quoque aliquando falfum vacuum appellant. Non tamen quum quempiam mente vacuum effe dicant, metaphora jam utuntur; nec item, quum graciles homines corpus habere vacuum carne dicant et craffos plenum; fed intelligentiam in his vafis fervant et contenti, in quibus, ut expofuimus, proprie et praecipue plenum et vacuum recepta funt. Jam alia corpora fiftulis inanibus cavernofa dicunt, non vacua, ut fpongiam et pumicem; namque aërem non numerant corpus, fed regionem quandam et locum vacuum ad excipienda corpora appofitum. At non qui ratione quicquam funt de aëre commentati medici juxta ac philofophi, vacuum eum prorfus effe

εἶναι παντάπασιν ὑπολαμβάνουσιν αὐτὸν, ἀλλ᾽ οἱ μέν τινες, ὧν τῆς δόξης καὶ ἡμεῖς μετέχομεν, ἓν ὑπάρχειν σῶμα συνεχὲς ἑαυτῷ πάντῃ, μηδαμόθι κενοῦ παραπλοκὴν ἔχον· οἱ δέ τινες ἐν κενῷ πολλὰ σώματα, τὰ σμικρὰ, τὰ πρῶτα προσφερόμενα, προσκρούοντά τε καὶ ἀποπαλλόμενα, μὴ μέντοι περιπλεκόμενά τε καὶ συγκρινόμενα. καὶ τοίνυν καὶ τὸν κενὸν σφυγμὸν οὕτω μὲν ἡμῖν ἀδύνατον ὀνομάζειν, ὡς οἱ πολλοὶ λέγουσι τὸν ὄντως κενὸν, οὐδὲν γάρ ἐστιν ἐν κόσμῳ τοιοῦτον, ἀλλ᾽ οὐδὲ κατ᾽ ἐπικράτειαν. οὐδενὸς γὰρ ὑπάχοντος ὅλως ἐν κόσμῳ κενοῦ, πῶς ἂν εἴη τι κατ᾽ ἐπικράτειαν κενόν; ὑπόλοιπον δὴ, κενὸν ἡμᾶς λέγειν σφυγμὸν ὥσπερ θύλακον, ἢ ἀσκὸν, ἢ τάλαρον, ἢ σάκκον, ἢ ὅλως ἀγγεῖον ὁτιοῦν. ἀλλ᾽ εἴπερ οὕτω λέγοιτο, διχῶς ἐπινοηθήσεται τοιοῦτος γινόμενος, ἕνα μὲν τρόπον ὥσπερ ὁ πίθος, ὅταν ἀέρα μόνον ἐν αὐτῷ ἔχῃ, ἕτρον δὲ καθάπερ ἀσκὸς, ἢ θύλακος, ἤ τι τοιοῦτον ἕτερον, οὗ δυνατόν ἐστι συμπίπτειν ἐπ᾽ ἀλλήλους τοὺς χιτῶνας, ὥσπερ τὸν πεφυσημένον ἀσκὸν οἴνου μένειν ἀεὶ κενὸν, ἀέρος δὲ μεστόν· εἰ δὲ καὶ τοῦτον ἐκκενώσεις, ὡς συμπεσεῖν πανταχόθεν ἀκριβῶς, τηνικαῦτα ἀκριβῶς γίνεσθαι κενόν. καὶ

putant, ſed quidam, in quorum etiam nos ſententia ſumus, unum eſſe corpus undique ſibi continuum, quod nusquam habet quicquam intextum vacui; alii multa corpora in vacuo parva et prima committi, concurrere et repelli, non connecti tamen nec confundi. Sed enim vacuum pulſum ita non queas appellare ac vulgus dicit vere vacuum; quippe tale non ſit quicquam in orbe, ne per excellentiam quidem; nam quum nullum exiſtat omnino vacuum in mundo, qui ſit per excellentiam quicquam vacuum? Quare vacuum relinquitur, ut vocemus, quomodo culeum, vel utrem, vel calathum, vel ſaccum, vel omnino quodlibet vas. Quod ſi ita accipiamus, bifariam talem pulſum interpretabimur; uno modo, ut dolium, ubi aërem contineat tantum; altero, ut utrem, vel culeum, vel aliud tale, cujus poſſunt tunicae conſidere, quemadmodum inflatus uter vino manet perpetuo vacuus, ſed aëris plenus: quem ſi tamen evacues, ut undique conſidat plane, ibi ſit vacuus. Itaque arteriam eſſe

τοίνυν καὶ τὴν ἀρτηρίαν ἢ οὕτως ἐροῦμεν ὑπάρχειν κενὴν, ὡς ἀέρα περιέχουσαν, ὥστε κἂν ἐπιπλεῖστον ᾖ διαπεφυσημένη τε καὶ διεστῶσα, κενὴν ὀνομάζεσθαι, ἢ οὐχ οὕτως, ἀλλ᾽ ὥσπερ ἐλέγομεν ἐπὶ τῶν ἀσκῶν, ἐπειδὰν καὶ τὸν ἀέρα τις ἐξ αὐτῶν ἐκκενώσῃ. κατὰ μὲν δὴ τὸ πρότερον τῶν σημαινομένων ὁ κενὸς σφυγμὸς ἔσται τοιοῦτος, οἷόν περ Ἐρασίστρατος ἀεὶ βούλεται κατὰ φύσιν ὑπάρχειν αὐτόν· κατὰ δὲ τὸ δεύτερον οὐδὲν διοίσει τοῦ μικροῦ. τὸ γὰρ δὴ τρίτον τῶν σημαινομένων οὔτε Ἀρχιγένης οὔτε Ἀγαθῖνος οὔτε Μάγνος οὔτ᾽ Ἀθήναιος [74] οὔτε ἄλλος οὐδεὶς τῶν πνευματικῶν ἰατρῶν ἀληθὲς ὁμολογήσει. λέγω δὲ ὅταν ὀλίγα μὲν σώματα περιέχῃ ἐν αὐτῇ ἡ ἀρτηρία, πλείστην δὲ τὴν κενὴν χώραν. οὐ γὰρ εἶναι τοιαύτην οὐδεμίαν ἐν κόσμῳ νομίζουσιν, ἀλλ᾽ ἡνῶσθαι τὴν ὅλην οὐσίαν ἑαυτῇ. λοιπὸν οὖν, ὡς ἔφαμεν, ἤτοι τὸν μικρὸν σφυγμὸν, ἢ τὸν ἀερώδη κενὸν ὀνομάσομεν. οὕτω δὲ καὶ τοὺς ἐναντίους αὐτοὺς πλήρεις, τόν τε μέγαν καὶ τὸν οἷον ὑγροφανῆ. ἀλλὰ τούτους μὲν κατὰ τὴν ἐγκεχυμένην οὐσίαν, καθ᾽ ἣν δὴ καὶ μάλιστ᾽ ἄν τις ὀνομάσειε κυρίως ἢ πλῆρες ἢ κενὸν ἀγγεῖον· ἑτέρως δὲ καθ᾽

aut eo modo vacuam dicemus, ut quae aërem contineat, ut quanquam fit plurimum inflata et diftenta, vacua fit tamen appellanda, aut non fic, verum ut de utribus retulimus, quando et aërem iis exhaurias. Prima quidem fignificatione vacuus pulfus erit talis, qualem Erafiftratus natura femper afferit ipfum effe; altera nihil a parvo differet; nam tertiam fignificationem nec Archigenes, nec Agathinus, nec Magnus, nec Athenaeus, nec alius ex Pneumaticis medicis agnoscet ullus, quum pauca, inquam, corpora arteria contineat, regionem autem vacuam plurimam, nullam enim in mundo repiriri exiftimant talem; unitam vero fibi totam fubftantiam. Reftat ergo, ficuti diximus, ut aut parvum pulfum, aut aëreum vocemus vacuum; itemque contrarios iis plenos, magnum et eum qui humidam fpeciem habet. Sed hos fcilicet infufae fubftantiae ratione, cujus quidem maxime ratione appelles proprie vel plenum vel vacuum vas; at aliter arteriae corporis ratione, id eft ejus tunica-

αὐτὸ τῆς ἀρτηρίας τὸ σῶμα, τουτέστι τοὺς χιτῶνας αὐτῆς, οὓς ἄμεινον ἦν, οἶμαι, σκληροὺς καὶ μαλακοὺς, οὐ πλήρεις ἢ κενοὺς ὀνομάζειν. οὐδὲν γὰρ ὁμοιομερὲς σῶμα κενὸν ἢ πλῆρες καλεῖται, πλὴν εἰ μὴ κατὰ μεταφορὰν, ἧς οὐ χρὴ προσάπτεσθαι κατὰ τὰς ἐπιστημονικὰς διδασκαλίας. ἀλλ᾽ εἰ μὲν ἔχοιμεν ὀνόματα κύρια, τούτοις χρῆσθαι προσῆκεν· εἰ δὲ μὴ, λόγῳ μᾶλλον ἑρμηνεύειν ἕκαστον τῶν πραγμάτων, οὐκ ἐκ μεταφορᾶς ὀνομάζειν, ὅταν γε διδάσκειν τις βούληται καὶ μὴ περιλαλεῖν, ἐπεὶ τῷ γε μεμαθηκότι τὸ πρᾶγμα συντόμου δηλώσεως ἕνεκεν ἐγχωρεῖ καὶ διὰ τῶν ἐκ μεταφορᾶς ὀνομάτων καὶ διὰ τῶν ἐκ καταχρήσεως ἐνδείκνυσθαι τὸ λεγόμενον. ἡ πρώτη μέντοι διδασκαλία τῶν τεχνικῶν ἁπάντων πραγμάτων ὑπὲρ τοῦ σαφής τε εἶναι καὶ διηρθρωμένη κυρίων ὀνομάτων δεῖται. τὸ τοίνυν σῶμα τῆς ἀρτηρίας, τουτέστιν ὁ χιτὼν αὐτοῦ, ἤτοι σκληρότερός ἐστι τοῦ δέοντος, ἢ μαλακώτερος, ἢ δηλονότι σύμμετρός τε καὶ κατὰ φύσιν ἔχων. οὐ γὰρ δὴ κατ᾽ αὐτό γε τοῦτο πάλιν ἢ ἀερώδη τινὰ φήσομεν περιέχεσθαι οὐσίαν, ἢ ὑγράν. ἓν γάρ ἐστι τὸ συνεχὲς ἑαυτῷ πανταχόθι, πλὴν εἴ που τρήματά τινα πάνυ

rum, quas rectius fane duras et molles et non plenas voces vel vacuas, quod fimilare corpus (nifi per metaphoram, quae in difciplina quae fcientia eft locum non habet) quod vacuum vocetur, vel plenum, fit nullum. At fi nomina propria fuppetant, his uti nos par fit; fi non, definitione praeftet fingulas res explicare quam a metaphora nomina mutari, fi quidem docere inftituas, non obtundere. Tamen apud eum quidem, qui jam rem didicit, quo compendiofius explices, nominibus a metaphora fumptis et abufu nihil eft caufae quin rem exprimas; verum omnium doctrina prima rerum artificialium, quo aperta fit et diftincta, propria nomina quaerit. Ergo arteriae corpus, hoc eft ejus tunica, aut jufto durior eft, aut mollior, aut moderata certe et in nativo ftatu. Nec vero in hoc ipfo jam vel aëraem quandam dicemus, vel humidam contineri fubftantiam; unum eft enim quod undequaque fibi cohaeret, nifi foraminibus quibusdam

σμικρὰ κέκτηται. ἀλλὰ καὶ ταῦτα ἢ ἀερώδη τινὰ περιέχειν οὐσίαν, ἢ ὑγρὰν, ἢ ἀτμώδη πάντως ἀναγκαῖόν ἐστιν, ἢ συμπεπτωκέναι παντάπασιν. ἀλλὰ συμπεπτωκότα μὲν εἰς ἴσον τοῖς οὐδ᾽ ὅλως ἔχουσι καθίσταται· περιέχοντα δὲ ὑγρὸν ἢ ἀτμὸν, ἢ ἀέρα, μαλακώτερον ἐργάσεται τὸ τῆς ἀρτηρίας σῶμα ὥστε ἐκ (38) περιόδου πάλιν εἰς τοῦθ᾽ ἥκειν ἡμᾶς, ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν, ὡς ἤτοι σκληρός ἐστιν ἢ μαλακὸς ὁ τῆς ἀρτηρίας χιτὼν, ὁ γὰρ ἐν τῷ μεταξὺ λόγος οὐκ ἄλλην τινὰ τρίτην ἐδήλωσε φύσιν, ἀλλὰ τῶν εἰρημένων δυοῖν διαφόρους τῆς γενέσεως αἰτίας. ἦν δὲ οὐ τοῦτο τὸ προκείμενον, οὐδὲ χρήσιμον ὅλως εἰς τὰ παρόντα, ὡς ἔγωγε καὶ πάσας εἰπεῖν ἕτοιμός εἰμι τὰς τῶν σκληρῶν τε καὶ μαλακῶν γενέσεις, εἰ μέλλοιμί τινος ἐντεῦθεν ἀπολαύειν εἰς τὰ παρόντα χρηστοῦ. πειράσομαι δ᾽ ὡς ἔνι μάλιστα διὰ βραχυτάτων αὐτὸ πρᾶξαι. πάντων τῶν σωμάτων ἐκ γῆς καὶ ὕδατος καὶ ἀέρος καὶ πυρὸς συνεστώτων, ἐν οἷς μὲν ἂν ὑπάρχῃ πλεῖστον, ἤτοι τὸ γεῶδες στοιχεῖον, ἢ τὸ ὑδατῶδες ὑπὸ ψύξεως πεπηγὸς, ἀναγκαῖον εἶναι τὰ τοιαῦτα σκληρά· ἐν οἷς δ᾽ ἂν ἢ τὸ πυρῶδες,

praeditum fit valde minutis; quae tamen omnino complectantur etiam neceffe eft vel aëream fubftantiam, vel humidam, vel halituofam, vel confidant undique. Verum quae confiderunt, inftar funt nulla plane obtinentium foramina; quae humorem vero, vel vaporem, vel aërem continent, mollius reddunt corpus arteriae. Itaque eodem revolvimur, quod dicebamus a principio aut duram effe arteriae tunicam aut mollem; nam qui intercurrit fermo, nullam demonftrat tertiam naturam aliam, fed duarum commemoratarum diverfas generationis caufas. Sed haec res quam dico nihil ad inftitutum pertinet. Equidem vel omnes libenter expofuerim durorum et mollium generationes, fi id mihi ullum fructum poffet ad praefens inftitutum ferre, idque dabo operam, ut quantum facere poffim, breviffime explicem. Quandoquidem omnia corpora ex terra, aqua, aëre et igne conflata funt, in quibus exuperat vel terreftre elementum, vel aquofum, fi gelu concreverit, non poffunt ea non dura effe; in quibus igneum, vel aëreum, vel humidum

ἢ τὸ ἀερῶδες, ἢ τὸ ὑγρὸν στοιχεῖον ἀπαγὲς ἐπικρατῇ, μαλακὰ ταῦτ᾽ εἶναι πάντα. οὕτω δὲ καὶ εἰ τρήματά τινα καὶ πόρους ἔχοιεν, εἰ μὲν ἤτοι γεώδους οὐσίας ἢ ὑδατώδους πεπηγυίας ἐπικρατούσης ἐν αὐτοῖς, ἀναγκαῖον εἰς σκληρότητα τοῦ παντὸς σώματος συντελεῖν· εἰ δ᾽ ἤτοι λεπτομεροῦς τινος ἢ ὑγρᾶς ἀπαγοῦς, εἰς μαλακότητα. τούτων οὕτως ἐχόντων, ἤδη δίκαιον ἐρέσθαι τοὺς ἄνδρας, ἐπὶ τί μάλιστα φέρουσιν ὑποκείμενον πρᾶγμα τὸ τῆς πληρότητος ὄνομα. πάντως γὰρ ἢ τὴν σκληρότητα καλοῦσιν πληρότητα ἁπλῶς, ἤ τινα τῶν εἰρημένων αὐτῆς διαφορῶν. αἱ διαφοραὶ δ᾽ ἦσαν, ὅταν ἤτοι ξηρότης ἐπικρατῇ γεώδης, ἢ πῆξις ὑδατώδης. εἴτ᾽ οὖν ἔχει πόρους τινὰς τὸ ὑποκείμενον ἐν ἑαυτῷ εἴτε μή. κατὰ ταῦτα δὲ καὶ τὴν κενότητα πότερον τὴν μαλακότητα λέγουσιν, ἤ τινα τῶν διαφορῶν αὐτῆς. [75] ἦσαν δ᾽, οἶμαι, καὶ αἱ ταύτης διαφοραὶ κατ᾽ ἐπικράτειαν ἤτοι λεπτομεροῦς οὐσίας ἢ ὑδατώδους ἀπαγοῦς. ἀλλ᾽ οὐδεμίαν ἀποκρίνασθαι τούτων τολμῶσιν. εἶεν γὰρ ἂν οὕτως δήπου μήτε τῆς σκληρότητος ἕτερόν τι τὴν πληρότητα μήτε τῆς μαλακότητος τὴν κενότητα τιθέμενοι. φεύγουσι δ᾽ ἀπὸ τοῦ λόγου πάντα

elementum inconcretum excellat, mollia haec omnia effe. Et item fi foraminibus fint praedita, vel meatibus: fi fuperior ibi fit terreftris fubftantia, vel aquofa concreta, facit neceffario ad totius corporis duritiem; fin fubtilis vel humida, fed non concreta, ad mollitiem. Quae quum fic habeant, jure jam de illis quaefierimus, cuinam potiffimum rei fubjectae affignent nomen plenitudinis. Sane enim aut duritiem vocant plenitudinem abfolute, aut aliquam de commemoratis ejus differentiis; differentiae erant, quum vel ficcitas excellit terreftris, vel concretio humida. Aut ergo meatus quosdam haec res habet, aut non habet. Similiter vacuitatem, utrum mollitiem vocent, an quam ejus differentiam; cujus quidem erant etiam differentiae in excellentia aut tenuis fubftantiae, aut aquofae inconcretae. Verum nullam harum committent, ut refpondeant; nam ita nihil profecto effe plenitudinem aliud ac duritiem ftatuerint, et vacuitatem nihil aliud ac mollitiem. Recedunt vero a ratione omnibus

τρόπον, ἔνιοι μὲν αὐτῶν ἀναισχυντότερον, εἰσὶ δ' οἳ καὶ μετ' αἰδοῦς τινος. ἡ δ' ἀπόδρασις ἡ γοῦν εὐσχήμων εἰς τὴν τοῦ πνεύματος καταφεύγει δύναμιν. ὡς γὰρ οἴνου, φασὶ, ποιότης λέγεται πληρότης, οὕτω καὶ τοῦ πνεύματός ἐστί τις πληρότης. ἀλλ' ἐνταῦθα πάλιν ἡμῶν ἀξιούντων, οἴνου τίνα πληρότητα καλοῦσιν, ἀποσαφεῖν αὐτοὺς, ἄῤῥητον εἶναί φασι τὸ πρᾶγμα. πῶς οὖν, ὦ πρὸς Διὸς, ἢ ὀνομάζειν ἐπιχειρεῖτε τὸ ἄῤῥητον, ἢ διδάξειν ἡμᾶς ἐλπίζετε; εἰ γὰρ μήτε διδάξαι δύνασθε τὸ πρᾶγμα μήθ' ἑρμηνεῦσαι λόγῳ, πῶς ἂν ἢ μάθοιμέν τι τῶν γραφομένων ὑφ' ὑμῶν, ἢ κρίναιμεν; καὶ μὴν ἰδοὺ, φασὶν, ἐπ' αὐτῶν τῶν νοσούντων δείκνυμί σοι τὸν πλήρη σφυγμόν. καλῶς τοίνυν ποιήσεις, ὦ οὗτος, εἴπερ ἐστὶν ἄῤῥητος μὲν, δεικτὸς δὲ, μηδὲν μὲν γράφων ὑπὲρ αὐτοῦ, δεικνὺς δὲ μόνον ἡμῖν τὸ πρᾶγμα. καὶ μὴν καὶ γράφεις, ὡς ἑρμηνεῦσαι δυνάμενος, καὶ δεικνύειν ἀδυνατεῖς. οὐδὲ γὰρ συστῆναι δύναται κατὰ δεῖξιν οὐδεμία διδασκαλία χωρὶς ἐξηγήσεως. ἐπιβάλλειν οὖν με κελεύεις τοὺς δακτύλους, ὡς οἶμαι, ἐπὶ τὴν ἀρτηρίαν, εἶτ' ἐρεῖς, ἰδοὺ πλήρης ὁ σφυγμὸς ὁ τοιοῦτός ἐστιν, οὗ νῦν αἰσθάνῃ. τοῦτο δὲ εἰ μὲν ἁπλῆ τις

modis quidam impudentius, nonnulli fane verecunde; fuga honefta quidem illa ad fpiritus recipit fe facultatem, nam quemadmodum vini, ajunt, qualitas dicitur plenitudo, si spiritus quaedam est plenitudo. Atqui quum jam hic petimus, vini quam plenitudinem appellent, ut declarent, non poffe dicunt rem explicari. Quomodo igitur cedo audetis nominare quod explicari non valet, aut discere de vobis nos fperatis? Nam fi nec docere rem valetis, nec explicare oratione, qui tandem aliquid discamus de fcriptis veftris, aut judicemus? Enimvero en vobis, inquiunt, in aegrotis oftendo plenum pulfum. Recte igitur feceris, mihi crede, fi quidem exprimi oratione nequeat, fed monftrari, fi nihil de eo confcripferis, rem autem nudam oftenderis nobis. At et fcribis ut fi explicare poffis, et oftendere non vales, fi quidem doctrina conftare citra interpretationem in oftendendo nulla poteft. Admovere igitur me digitos jubes; fcilicet arteriae inde fubjicis. En tibi plenus hic pulfus eft, quem nunc fentis. At hoc, fi

ὑπῆρχε καὶ μία ποιότης τοῖς σφυγμοῖς, ἀληθῶς ἂν ἐλέγετο. νυνὶ δὲ ἐπειδὴ πολλαὶ μὲν αὗται καὶ καθ᾽ ὑμᾶς εἰσιν, ἅπασαι δ᾽ ὑποπίπτουσιν ἀθρόως, οὐκ ἔθ᾽ οἷόν τε χωρὶς ἐξηγήσεως οὐδεμίαν αὐτῶν ἐκμαθεῖν. ἰδοὺ γοῦν ἅπτομαι τῆς ἀρτηρίας, ὡς κελεύεις, ἀλλ᾽ οὐκ εἰδὼς ὅ τί ποτε τῶν συμβεβηκότων αὐτῇ πληρότητα καλεῖς, οὐδὲ μᾶλλον ἐπὶ τῇ δείξει σου συνίημι τοῦ πράγματος ἢ πρόσθεν, ὅτ᾽ οὐκ ἐδείκνυες. ἔστω γὰρ, ὁπότ᾽ ἐπιβάλλω τοὺς δακτύλους τῷ σφυγμῷ, διαίρεσθαι μὲν ἐπὶ πλεῖστον αὐτὸν εἰς μῆκός τε καὶ κύκλον· εἰ δὲ καὶ θλίψαιμι καὶ πιέσαιμι, βιαιότερον ἐμπίπτειν τῇ ἁφῇ, φαίνεσθαι δὲ καὶ σκληρὸν ταχύν. εἶτά με τὴν βίαιον αὐτοῦ προσβολὴν ὑπονοῆσαι λέγεσθαι πληρότητα, πῶς οὐκ ἄτοπόν τι συμβαίη κατὰ τὴν δεῖξιν; ὃν γὰρ ἐν τοῖς ἔμπροσθεν ἐμάθομεν ὀνομάζειν σφοδρὸν σφυγμὸν, τοῦτον νῦν μεταδιδασκόμεθα πλήρη καλεῖν. ἢ τοίνυν ἕτερόν τι σύμπτωμα τῆς διαστελλομένης ἀρτηρίας εἰπὲ, καθ᾽ οὗ κελεύεις με τὸ τοῦ πλήρους ὄνομα φέρειν, ἢ εἴπερ παρὰ ταῦτα οὐδὲν ἄλλο ἐστὶν, ὄνομα μὲν ἐπεισάγεις τοῖς σφυγμοῖς, πρᾶγμα δ᾽ οὐδὲν διδάσκεις.

fimplex accidat et una pulfibus qualitas, recte dicatur: nunc quando variae hae vel veftra fententia fint, occurrant vero repente omnes: absque interpretatione non poteft fieri ut jam ullam ex illis intelligamus. Atqui jam tango, ut vis, arteriam, fed quia quid tu ex accidentibus ejus voces plenitudinem, me latet, nihilo ego ex tua oftenfione intelligo clarius rem ac nuper quum oftenderes nihil. Diftendatur fane quum admoveam pulfui digitos, plurimum in longitudinem et circulatim: fi ftringam etiam et premam, violentius in tactum incurrat: videatur praeterea durus et velox. Et fi violentum ejus occurfum putem plenitudinem appellari, quid an non res oftenfioni accidat abfurda? nam quem ante didicimus vehementem pulfum vocare, hunc jam obliviscimur, ac discimus appellare plenum. Quare aut aliud fymptoma diftentionis arteriae adducas, cui plenitudinis me jubes vocabulum tribuere; aut fi nullum praeterea fit aliud, nomen invehis pulfibus, rem doces nullam. Nam fi tibi

εἰ δ᾽ ἀρκεῖ σοι λέγειν ἄῤῥητον εἶναι τὸ πρᾶγμα, συγχωρήσεις δήπου κἀμοὶ λέγειν ἄλλας ἐπὶ ταῖς εἰρημέναις ὑφ᾽ ἡμῶν ποιότητας ἐν τοῖς σφυγμοῖς ὑπάρχειν, κατὰ τὴν διαστολὴν τῆς ἀρτηρίας φαινομένας, τρεῖς τὸν ἀριθμὸν, οὐκ ὀρθῶς ὑφ᾽ ἡμῶν παραλελειμμένας. εἰ δ᾽ ἐρωτήσετέ με, τίνας ταύτας, ἀῤῥήτους εἶναι φήσω κυρίοις ὀνόμασιν. ἐκ μεταφορᾶς δ᾽ εἰ βούλοισθε, διδάξειν ὑφέξομαι. καθάπερ γὰρ φωνὴν τὴν μὲν λευκὴν εἶναι, τὴν δὲ μέλαινάν φαμεν, οὕτω καὶ τῶν σφυγμῶν τὸν μέν τινα λευκὸν ὑπάρχειν ἐρῶ, τὸν δὲ μέλανα, καὶ ταύτην πρώτην εὐθέως τὴν ποιότητα παραλελεῖφθαι πρὸς ὑμῶν, ἑτέραν δὲ δευτέραν, καθ᾽ ἣν ἤτοι γλυκύτης τις, ἢ πικρότης αὐτῶν ὁρᾶται, χρῆναι δὲ καὶ τούτων τῶν ὀνομάτων ἀκούειν ἐκ μεταφορᾶς, ἄῤῥητον γὰρ εἶναι τὸ πρᾶγμα, δειχθῆναι μέντοι δυνάμενον. ἰδού γέ τοι δείκνυμί σοι τὸν σφυγμὸν τοῦτον τὸν πικρόν. ἀλλὰ καὶ ἡ τρίτη ποιότης ἄῤῥητος μέν ἐστι, δειχθῆναι μέντοι δυναμένη. καλῶ δ᾽ αὐτὴν ὑπογραφῆς ἕνεκα στρυφνότητα. καθάπερ γὰρ ἐν τῇ γεύσει τὸν στρυφνὸν χυμὸν διαγινώσκομεν, οὕτω κἀν τῇ ἁφῇ τὴν

hoc ſatisfaciat, ſi rem dicas non eſſe explicari oratione, dabis certe mihi quoque ut dicam alias eſſe praeter illas, quas vos recenſuiſtis, qualitates pulſuum, quae in diſtentione arteriae advertantur, numero tres, male a vobis neglectas. Si me rogatis quasnam has? nominibus propriis exprimi dicam non poſſe, ſed metaphora, ſi vultis, audebo docere. Nam ut vocem quandam albam, eſſe aliquam nigram dicimus, ſic pulſum etiam quendam album dixero eſſe, quendam nigrum: atque hanc primam ſtatim qualitatem a vobis eſſe praetermiſſam: alteram porro ſecundam, ex qua vel dulcedo aliqua eorum, vel amaritudo conſpicitur: eſſe autem per metaphoram accipienda etiam haec nomina, quod exprimi oratione res non poſſit, demonſtrari poſſit tamen. Ecce tibi pulſum oſtendo hunc amarum. Jam tertia qualitas eſt, non illa quidem verbis expreſſa, ſed quae tamen poſſit monſtrari. Voco eam, ut eam deſcribam, acerbitatem: nam in guſtu ut animadvertimus acerbum ſuccum, ita in tactu

Ed. Chart. VIII. [75. 76.] Ed. Baſ. III. (38.)

οἷον στρυφνὴν τῆς ἀρτηρίας προσβολήν. [76] τούτῳ τῷ τρόπῳ τις χρώμενος οὐ τρεῖς μόνον, ἀλλὰ καὶ τριάκοντα φήσει παραλελεῖφθαι διαφορὰς σφυγμῶν. καὶ πρὸ πάντων ἐκείνῳ μοι πρόσεχε τὸν νοῦν, ὅτι στρυφνὸς μέν τις χυμὸς κυρίως ὀνομάζεται, πλήρης δ' οἶνος οὐδεὶς κυρίως· ἀλλ' εἴ τις οὕτω προσαγορεύει, μεταφορᾷ χρῆται καθ' ὃν ὀλίγον ἔμπροσθεν ἐξηγησάμεθα τρόπον. ἀπὸ μὲν δὴ τῶν κυρίως ὠνομασμένων ἅπασιν ἀνθρώποις ἐγχωρεῖ μεταφέρειν, οὐ μὴν ἀπὸ τῶν μετενηνεγμένων αὖθις ἑτέρας ποιεῖσθαι μεταφοράς. οὐδὲ γὰρ ποιηταῖς τοῦτό γε συγχωρητέον ἐστὶν, μή τί γε τοῖς ἐπιστημονικόν τι καὶ τεχνικὸν ἐπαγγελλομένοις διδάξειν. ὥσθ' ὁ μὲν ἀπὸ τῶν χυμῶν ἐπὶ τὴν ἁφὴν μεταφέρων τὸ στρυφνὸν ὄνομα συγγνωστὸς ἀπὸ τῶν χυμῶν κυρίως ἀρχόμενος, ὁ δ' ἀπὸ τοῦ κατὰ γεῦσιν πλήρους ἐπὶ τὸ κατὰ τὴν ἁφὴν πλῆρες ἀξιῶν μεταβαίνειν, οὐδὲ κατὰ νόμον οὗτός γε ποιεῖται τὴν μετάβασιν, ἀλλὰ καὶ τῆς τῶν ποιητῶν ἐξουσίας ἐπέκεινα πρόεισιν, ἀπὸ τῆς προτέρας μεταφορᾶς ἑτέραν ποιῶν δευτέραν μεταφοράν. εἰ γὰρ ἅπαξ τοῦτο συγχωρηθείη, καὶ τρίτην ἀπὸ τῆς δευτέρας, οἶμαι, τολμήσει καὶ τετάρτην

arteriae occurſum quaſi acerbum. Qua ſi quis via inſiſtat, non ſolum tres, verum etiam triginta dicet praetermiſſas eſſe pulſuum differentias. Et hoc mihi praeter caetera fac attendas, eſſe humorem qui proprie acerbus appelletur: plenum vinum proprie nullum, quod ſi ſic quis appellet, metaphora utitur, quemadmodum ſuperius expoſuimus. Sane omnibus hominibus a propriis nominibus poteſtas eſt transferendi: a translatitiis autem alias ducendi metaphoras, non item: neque enim hoc eſt permittendum ne poëtis quidem, nedum his, qui ſcientiam aliquam et diſciplinam profitentur. Quare ab humoribus transferenti ad tactum nomen acerbum, quod ab humoribus proprie incepit, ignoscendum eſt. At ſi a plenitudine, quae in guſtu eſt, ad plenitudinem velis traducere, quae percipiatur tactu, parum legitime ſane facies tranſitum. Quin etiam, qui ducit alteram a prima metaphora, licentiam is ſuperat poëtarum. Nam hoc ſi ſemel conceſſum ſit, hercle etiam tertiam a ſecunda audebit et

Ed. Chart. VIII. [76.] Ed. Baf. III. (38. 39.)

ἀπὸ τῆς τρίτης καὶ πέμπτην ἀπὸ τῆς τετάρτης ποιήσασθαι μεταφορὰν, ὥστε εἰς ἐκφορὰν ὄντως ἐμβάλλειν τοὺς ἐπιτριβομένους ὑπ᾽ αὐτῶν. καίτοι γε οὐδ᾽ ἀπὸ τῶν κυρίων ὡς ἔτυχε μεταφέρειν ἔξεστιν οὐδὲ τοῖς ποιηταῖς, ἀλλὰ κἂν Πίνδαρος εἴη τις, ἢ Ὠκεανοῦ τὰ πέταλα τὰς κρήνας λέγων, οὐκ ἐπαινεῖται, καὶ πολὺ μᾶλλον ἐπει(39)δὰν ἀψευδῆ πρὸς ἄκμονι χαλκεύειν γλῶσσαν, ἤ τι τοιοῦτον ἕτερον εἴπῃ. ἀλλὰ γὰρ, ὡς ἔοικεν, οὐδὲν οὕτω πολυλογίας ἐστὶ ποιητικὸν ὡς ἐπιτολμῶν ἀνὴρ οἷς ἀγνοεῖ. διαφορὰς γοῦν ἑκάστου τῶν πραγμάτων ἐξευρεῖν, ὅσαι τ᾽ εἰσὶ τὸν ἀριθμὸν καὶ ὁποῖαι τὸ εἶδος, ἀνδρὸς ἔργων ἐστὶ θεωρίαν λογικὴν ἠκριβωκότος· ἐφεξῆς δ᾽ ὀνόματα κατ᾽ αὐτῶν θέσθαι, ῥητορικοῦ τινος, ἢ τἀληθέστερον φάναι, διαλεκτικοῦ. ὅταν οὖν ἄνθρωποι μήτε λογικὴν θεωρίαν ἠκριβωκότες μήθ᾽ ἑρμηνεύειν ἱκανοὶ τολμῶσιν ἅπτεσθαι πολὺ μειζόνων ἢ καθ᾽ ἑαυτοὺς πραγμάτων, αὐτοί τε πολυλογοῦσι καὶ τοὺς ἐξελέγχοντας ἀναγκάζουσι, κἂν ὅτι μάλιστα βραχυλογίαν ἀσκοῦσιν, εἰς τὴν αὐτὴν ἐκείνοις ἐμπίπτειν μακρολογίαν, ὅπερ, οἶμαι, κἀγὼ νῦν πάσχω. διὰ γάρ τοι τὸ πλῆθος ὧν ἡμαρτήκασιν ἐξίσταμαι τῆς συνήθους

quartam a tertia atque quintam a quarta facere metaphoram, ut plane enecentur quos obtundunt. Tametſi nec a propriis licet quibuslibet nec poëtis transferre; imo ſi quis vel Pindarus ſit et Oceani folia dicat fontes, non collaudetur; ac multo magis, quum Veracem ſuper incudem fabricare linguam, aut aliud quid tale dicat. Sed enim nihil ita loquacitatem efficit ut qui deſignat quicquam et temerarius eſt in illis qnae ignorat. Nam differentias cujusque rei, quot ſint numero qualesque ſpecie, viri eſt invenire logicam naviter meditati; deinde nomina eis inſtituere, rhetoris partes, aut verius dialectici ſunt. Ubi ergo homines, qui nec logicam ſpeculationem exacte tenent, nec interpretari valent, ad res aſpirare quae ſuperant ipſorum facultatem audeant, quum ipſi verba funditant, tum reprehenſores impellunt, licet maxime ſtudeant brevitati, in eandem orationis prolixitatem; id ſcilicet quod mihi nunc uſu venit. Siquidem a mea perpetua brevitate divellit ipſorum me numerus erratorum;

ἐμαυτῷ βραχυλογίας. ἀλλὰ κἀνταῦθα καθ' ὅσον οἷόν τε συντέμνειν πειράσομαι. γένοιτο δ' ἂν τοῦτο τὰ μὲν καθόλου καὶ κοινὰ πάντων ἁμαρτήματα διελέγχοντός μου, τὰ δὲ κατὰ μέρος ἑκάστου παραλείποντος. ἔστι δὲ κοινὰ καὶ καθόλου ταυτὶ, πότερα ποιότητά τινα τοῦ τῆς ἀρτηρίας χιτῶνος ὁ πλήρης σημαίνει σφυγμὸς, ἢ τῆς ἐγκεχυμένης οὐσίας τὸ ποσὸν, ἢ τὸ ποιὸν, ἢ τοῦ συμφύτου πνεύματος· ὡς καὶ τοῦτό τινες ἐτόλμησαν εἰπεῖν, ἤτοι δύναμίν τινα, ἢ ποιότητα. τοῦ μὲν γὰρ σώματος αὐτοῦ τῆς ἀρτηρίας αἱ ποιότητες, ὡς ὀλίγον ἔμπροσθεν ἐδείκνυμεν, οὐ πληρότης ἂν οὐδὲ κενότης, ἀλλὰ σκληρότης τε καὶ μαλακότης ὠνομάζοντο δικαιότερον· τῆς δ' ἐγκεχυμένης οὐσίας αὐτῆς τὸ ποσὸν ὀρθῶς μὲν ἄν τις ὀνομάσειε πληρότητα καὶ κενότητα. διαφέρουσι δ' οὐδὲν αὗται μεγέθους τε καὶ σμικρότητος. εἰ δὲ μὴ τὸ ποσὸν, ἀλλὰ τὸ ποιὸν τῆς περιεχομένης ἐν αὐτοῖς οὐσίας ὑπὸ τῶν ὀνομάτων φάσκοιεν δηλοῦσθαι, κυρίως μὲν οὐκ ἂν ὀνομάζοιεν, ὑπάρχουσαν μέντοι τινὰ ἐροῦσι διαφορὰν, οὐ μὴν αἰσθήσει γε διαγνωστὴν, ὡς ἐν τοῖς περὶ διαγνώσεως

tamen faciam etiam hic ut fim quantum poffum brevis: quod quidem affequar, fi generalia peccata atque communia omnium reprehendam et fingulorum privata praetermittam. Communia et generalia haec funt: utrum certam qualitatem arteriae tunicae denunciet plenus pulfus, an infufae fubftantiae quantitatem, vel qualitatem, an innati fpiritus (nam et hoc funt aufi quidam dicere) aut facultatem quandam, aut qualitatem. Ipfius enim corporis arteriae qualitates, quod paulo ante demonftravi, neque plenitudo vocari, neque vacuitas, fed durities et mollities juftius debuerunt: ipfius vero infufae quantitatem fubftantiae recte quidem plenitudinem voces et vacuitatem, at inter has nihil intereft et magnitudinem parvitatemque. Quod fi non quantitatem, fed qualitatem fubftantiae contentae in illis denotari a nominibus iftis dixerint, haudquaquam appellaverint proprie: effe tamen confirmaverint quandam differentiam, fed eam fenfui incognitam, ut in libris De dignoscendis pulfibus oftende-

Ed. Chart. VIII. [76. 77.] Ed. Baf. III. (39.)

ἐπιδείξομεν. ἡ δὲ τοῦ πνεύματος πληρότης τε καὶ κενότης ἔτι δὴ καὶ μᾶλλον ἀναίσθητός ἐστιν αὐτὴ καθ᾽ αὐτήν, εἰ δ᾽ ὡς αἴτιόν τις αὐτὴν ἐνδείξει λαμβάνοι, τῆς μὲν ῥώμης αὐτοῦ τὸν σφοδρὸν σφυγμὸν θήσεται σημεῖον, τῆς δ᾽ ἀῤῥωστίας τὸν ἀμυδρόν. εἴη δ᾽ ἂν ὁ ταῦτα τιθέμενος ἐκ τῆς πνευματικῆς αἱρέσεως. ὥστε κἂν νῦν δῆλον, ὡς οὐ κοινὴν ἔν-[77]νοιαν, οὐδ᾽ αἰσθήσεως πάθος εἰς διάγνωσιν ἧκον ἐρεῖ τις, ἀλλ᾽ ἑαυτοῦ δόγμα πρεσβεύσει. χρὴ δὲ οὔτ᾽ ἐν ταῖς τῆς ἐννοίας τοῦ πράγματος ἀποδώσεσιν οὔτε ἐν ταῖς διαγνώσεσι περιέχεσθαι δόγμα, κοινὰ γὰρ ἁπάντων ἐστὶν, ἀλλ᾽ ἐν μόναις ταῖς αἰτίαις λέγεσθαι, καθάπερ ἡμεῖς ποιήσομεν ἐν τοῖς περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ὑπομνήμασιν. ἐν ἐκείνοις μὲν γὰρ ἁπάσας διεξιόντες τὰς ἀλλοιούσας τοὺς σφυγμοὺς αἰτίας, ἀναγκασθησόμεθα δογμάτων ἐφάπτεσθαι· κατὰ μέντοι τὴν νῦν ἐνεστῶσαν αὐτὸ τοὐναντίον, οὐδενὸς χρὴ ψαῦσαι τὸν λόγον, οὐδ᾽ ἐπ᾽ ἐλάχιστον δόγματος. ἀρκεῖν ἡγοῦμαι ταῦτα καὶ περὶ πληρότητός τε καὶ κενότητος εἴς γε τὰ παρόντα. λεχθήσεται γὰρ ἐπὶ πλέον ὑπὲρ αὐτῶν ἐν τοῖς περὶ διαγνώσεως. καὶ μὲν δὴ καὶ ὅσα περὶ αὐτῶν ἐπὶ πλεῖστον

mus. Spiritus vero plenitudo et vacuitas sola longe etiam minus percipi potest. Nam si quis, ut causam, eam in ostendendo sumat, roboris ejus vehementem pulsum statuet signum et imbecillitatis languidum: qui autem haec posuerit, de secta erit Pneumatica. Quare vel hic, quod liquet, nec communem notionem, nec sensus affectum ad cognitionem pervenientem proferet, sed suum placitum colet. Atqui non est in explicanda rei notione, neque in dignoscenda ea admittendum placitum, sunt enim communia omnium: sed in solis causis praedicandum: quod nos faciemus in commentariis De causis pulsuum: in quibus ut causas, quae pulsus variant, omnes referamus, placita attingere cogemur: hoc loco contra nullum debet oratio vel levissime attingere decretum. Haec duco hic de plenitudine et vacuitate sufficere, quarum in libris de dignoscendis pulsibus ampliorem mentionem faciemus. Et etiam quae longissime nugatur de

Ἀρχιγένης περιλαλεῖ, καὶ ταῦτ᾽ ἐν τῷ κρίνειν αὐτοῦ τὸ περὶ τῶν σφυγμῶν βιβλίον εἰρήσεται. διεγνώκειν μὲν γὰρ ἐγὼ τό τε κατ᾽ ἀρχὰς ἀρκεσθῆναι ταῖς τέτρασι ταύταις πραγματείαις, ὑπὲρ ὧν ἤδη πολλάκις ἐμνημόνευσα, πρώτης μὲν τῆς ἐνεστώσης, δευτέρας δὲ τῆς διαγνωστικῆς, καὶ τρίτης τῆς αἰτιολογικῆς, καὶ τετάρτης τῆς προγνωστικῆς, ἀλλ᾽ ἕτεροι πολλοὶ βιαζόμενοί τε καὶ καταναγκάζοντες ὑπὲρ τοῦ περὶ σφυγμῶν Ἀρχιγένους βιβλίου γράψαι με, καὶ δεικνύντες, τίνα μὲν ὀρθῶς αὐτῷ, τίνα δὲ οὐκ ὀρθῶς εἴρηται, συντομωτέραν εἰργάσαντο τὴν νῦν ἐνεστῶσαν ἡμῖν διέξοδον. ἀποχωρήσας γὰρ ἐν αὐτῇ τῶν κατὰ μέρος ἁπάντων, αὐτὰ τὰ καθόλου δίειμι κατὰ τὸν ἑξῆς λόγον, οὐχ ὥσπερ ἔν τε τῷ δευτέρῳ τῷ πρὸ τοῦδε. καὶ κατ᾽ αὐτὸ δὲ τοῦτο τὸ βιβλίον ἐν τῷ περὶ τῆς σφοδρότητος λόγῳ τὰς ῥήσεις παρέγραψα τοῦ Ἀρχιγένους, ὑπὲρ τοῦ δεῖξαι τὰ κακῶς εἰρημένα.

Κεφ. ζ. Μεταβὰς οὖν ἤδη πρὸς τὸν περὶ τῆς σκληρότητός τε καὶ μαλακότητος λόγον, ἐπιδεῖξαι πειράσομαι κἀνταῦθα τὴν περὶ τὰ ὀνόματα πλημμέλειαν τῶν ἀνδρῶν, δι᾽ ἣν ἀναγκαίως καὶ περὶ τὴν διαγνωσίν τε καὶ

eis Archigenes, in examinando ejus libro De pulfibus explicabimus. Nam ita a primo ftatueram, ut quatuor his lucubrationibus effem contentus, quarum jam mentionem frequenter feci, primae hujus, quam nunc in manibus habemus, alterius de dignoscendis pulfibus, tertiae de caufis, quartae de praefagitione. Verum quia alii me multi induxerunt et impulerunt, ut in librum Archigenis De pulfibus fcriberem, atque demonftraverunt modo bene illum dixiffe, alicnbi etiam offendiffe, reddiderunt hanc nobis compendiofiorem narrationem. Nam hic a fingulis feparatim discedemus, ac ipfa generalia pofthac perfequemur, non perinde ut in fecundo ante hunc. Etiam hoc ipfo in libro, quo loci de vehementia dixi, ut errata declararem, ipfa verba citavi Archigenis.

Cap. VII. Quare ad disputationem jam de duritie et mollitie digreffus faciam ut hic quoque iftos oftendam in nominibus effe lapfos: quamobrem in dignoscendo etiam

πρόγνωσιν ἐσφάλησαν. ἓν γὰρ κυρίως σημαίνοντος ἑκατέρου τῶν ὀνομάτων, οὐκ οἶδ᾽ ὅπως ἐκ μεταφορῶν οὗτοι μεταφορὰς ποιοῦσι. τίς γοῦν οὐκ οἶδεν ὡς τὸν μὲν σίδηρον καὶ τὸν λίθον καὶ τὸ ξύλον σκληρὰ σώματα εἶναί φαμεν, ἔλαιον δὲ καὶ μέλι καὶ γάλα καὶ ὕδωρ μαλακά; κριτήριον γὰρ, οἶμαι, πάντες ἄνθρωποι σκληροῦ καὶ μαλακοῦ σώματος ἔχομεν τὴν ἁφήν. ταύτην οὖν ἐπιβάλλοντες τοῖς ἐντὸς ὑποκειμένοις, ὅσα μὲν ἂν αὐτὴν εὑρίσκωμεν ὑποδεχόμενα καὶ οἷον ἐγκαταβαινούσῃ πως ὑπείκοντα, μαλακὰ προσαγορεύομεν· ὅσα δ᾽ ἔμπαλιν αὐτὰ τὸ ἡμέτερον δέρμα βιάζηταί τε καὶ ὠθῇ, τὸ δ᾽ ὑπεῖκον εἰς ἑαυτὸ δέχηται τὰ βιαζόμενα, σκληρὰ ταῦτα προσαγορεύομεν. εἰ μὲν γὰρ ἁπλῶς εἴκοι τε καὶ ἀνατρέποιτο πρὸς τοῦ βιαζομένου, τὸ μὲν ἀνατρεπόμενον ἀσθενέστερον ἅπαντες ὀνομάζουσι, τὸ δ᾽ ἀνατρέπον ἰσχυρότερον· οὕτω γὰρ καὶ ἄνεμος ἰσχυρὸς οὐχ ἡμᾶς μόνον ἀνατρέπειν τε καὶ καταβάλλειν πέφυκεν, ἀλλὰ καὶ δένδρα μέγιστα καὶ πλοῖα. καὶ ἡμεῖς δ᾽ αὐτοὶ καὶ χαλκὸν καὶ σίδηρον καὶ λίθους καὶ ξύλα, καὶ εἴ τι τούτων ἔτι ᾖ σκληρότερον ἀνατρέπομεν, ἐπειδὰν τοῖς ὄγκοις ᾖ μέτρια. καὶ ταύτῃ διήνεγκε τὸ

praefagiendoque hallucinati. Nam quum una fignificatio fit propria utriusque nominis, miror e metaphoris hos metaphoras ducere. Nam quem fugit, ferrum, lapidem, lignum dura nos corpora vocare, oleum vero et lac et aquam mollia? Arbitrum enim omnes nos homines habemus duri corporis et mollis tactum. Hunc quum extrinfecus objectis applicamus, quae illum offendimus recipere et quafi fubeunti cedere, mollia appellamus: contra quae vim afferunt cuti noftrae et protrudunt, fi haec cedens urgentia intus excipiat, dura illa vocamus. Nam omnino fi cedat et dejiciatur ab urgente, quod concidit, imbecillius omnes, quod dejicit validius vocant: nam hoc modo validus ventus non nos tantum profternere et deturbare folet, verum etiam arbores maximas atque naves. Et etiam nos ipfi aes, ferrum, lapides, ligna et fi quid his fit durius, fi modica fint mole, facile diruimus. Atque hactenus diftat a duro validum:

ἰσχυρὸν τοῦ σκληροῦ· τὸ μὲν γὰρ, ὡς εἴρηται νῦν ἤδη, τῆς ἀρχαίας ἕδρας ἐξίστησί τε καὶ ἀνατρέπει τὸ πλησιάζον, τὸ δὲ σκληρὸν μὲν, οὐ μὴν καὶ ἰσχυρὸν, οὐκ ἐξίστησι μὲν, ἐγκαταβαίνει δὲ τῷ μαλακωτέρῳ, κοιλαῖνόν τε καὶ βοθροῦν καὶ πιλοῦν αὐτό. ταῦτά τοι καὶ ὁ Πλάτων ἔλεγε, σκληρὰ μὲν οἷς ἂν ἡμῶν ἡ σὰρξ ὑπείκοι, μαλακὰ δὲ ὅσα ἂν τῇ σαρκί. πολὺ δ' ἀκριβέστερον ὁ Ἀριστοτέλης, οὐ τὸ ὑποκείμενον ὀνομάζων μαλακὸν, ἀλλὰ προστιθεὶς αὐτῷ ποτὲ μὲν τὸ εἰς ἑαυτὸ, ποτὲ δὲ τὸ μὴ μεθιστάμενον. ἄν τε [78] γὰρ οὕτως εἴπωμεν, μαλακόν ἐστι τὸ ὑπεῖκον εἰς ἑαυτό· ἄν θ' οὕτω, μαλακόν ἐστι τὸ ὑπεῖκον ἄνευ τοῦ μεθίστασθαι, καλῶς ὁριούμεθα. καὶ μέντοι καὶ εἰ τὸ συναμφότερον ἅμα προσθέντες, ὡς ἐν τῷ δευτέρῳ περὶ γενέσεώς τε καὶ φθορᾶς ὁ Ἀριστοτέλης ἐποίησε, μαλακὸν εἶναι φαίημεν τὸ ὑπεῖκον εἰς ἑαυτὸ καὶ μὴ μεθιστάμενον, ἔτι σαφέστερον ὁριούμεθα, διὰ δυοῖν οἰκείων συμπτωμάτων ἐνδειξάμενοι τὸ μαλακόν. εἰς ἑαυτό τε γὰρ ὑπείκει καὶ οὐ μεθίσταται. ἑκάτερον δ' ἐστὶν αὐτῷ μόνῳ συμβεβηκός· ὡς τό γε ὑπείκειν κοινὸν ὑπάρχει σύμπτωμα μαλακοῦ

hoc enim, ut modo diximus, exturbat priſtina ſede et evertit, ſi quid attingat: durum, ſed non validum, non exturbat quidem, ſed ſubit rem molliorem, excavans, ſuffodiens cogensque eam. Atque haec Plato etiam dixit dura eſſe, quibus cedit noſtra caro: mollia quae carni. At multo haec Ariſtoteles elimatius, qui non quod cedit vocat molle, ſed ei addit modo, quod in ſeipſum, modo, quod loco non movetur. Sive enim ſic dicamus, Molle eſt quod in ſe ipſum cedit: ſive hoc modo, Molle eſt quod cedit, nec de loco migrat: bene deſinierimus. Jam ſi etiam ſimul utrumque addamus, ut in ſecundo libro Ariſtoteles De generatione et interitu fecit, ac molle dicamus eſſe quod cedit in se ipſum, nec migrat: adhuc deſiniemus apertius: quod duobus propriis ſymptomatibus ob oculos ponamus: molle etenim tum in ſe ipſum cedit tum loco non movetur. Utrumque autem ſoli accidit illi: nam cedere quidem commune ſymptoma

Ed. Chart. VIII. [78.] Ed. Baf. III. (39. 40.)
τε καὶ ἀσθενοῦς, τὸ δὲ εἰς ἑαυτὸ, μόνου τοῦ μαλακοῦ, καθάπερ τὸ μὴ εἰς ἑαυτὸ, μόνου τοῦ ἀσθενοῦς. καὶ μὲν δὴ καὶ ὥσπερ εἰς τὸ περιέχον μεθίστασθαι τοῦ ἀσθενοῦς ἴδιον, οὕτω τὸ μὴ μεθίστασθαι μόνου τοῦ μαλακοῦ. τὸ μὲν οὖν ὑπεῖκον εἰς ἑαυτὸ καὶ μὴ μεθιστάμενον ἅπαντες Ἕλληνες ὀνομάζουσι μαλακὸν, τὸ δ᾽ οὕτως αὐτὸ διατιθὲν σκληρόν. οὐδὲ ἔστιν ὥσπερ ἄλλων τινῶν ὀνομάτων πλείω τὰ σημαινόμενα κυρίως ὀνομάζοντι καὶ μὴ τροπικῶς, οὕτως καὶ μαλα-(40)κοῦ καὶ σκληροῦ. ἦ γὰρ ἂν αὐτὰ καὶ ὁ πάντων δεινότατος εἰς σημαινομένου διαίρεσιν εἶπεν Ἀριστοτέλης, ὥσπερ ἀμέλει τούτων ἐφεξῆς ἐν ταὐτῷ βιβλίῳ τῷ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς ὑπὲρ ὑγροῦ τε καὶ ξηροῦ διαλεγόμενος, ἑκάτερον αὐτῶν ἐδίδαξε πλεοναχῶς λεγόμενον, ἀλλ᾽ οὐ σκληρόν τε καὶ μαλακὸν οὐδ᾽ ἐν ἐκείνῳ τῷ συγγράμματι πολλαχῶς ὀνομάζεσθαί φησιν, ὥσπερ οὐδὲ ἐν ἄλλῳ τινὶ, καθάπερ οὐδὲ ὁ Πλάτων. ἀλλ᾽ ἓν ἑκατέρου τῶν ὀνομάτων ἄμφω τὼ ἄνδρε εὑρίσκετον σημαινόμενον, ὅταν γ᾽, ὡς εἴρηται, κυρίως τις ὀνομάζῃ καὶ μὴ τροπικῶς, ἐπεὶ κατά γε

eſt mollis et imbecilli: at in ſe ipſum, ſolius eſt mollis: et non in ſeipſum, imbecilli tantum. Itemque ut in vicinum locum migratio proprium infirmi eſt, ita non demigrare unius mollis. Proinde quod cedit in ſeipſum, nec migrat tamen, omnes Graeci vocant molle, et id quod eo illud adigit, durum. Neque ſunt ut aliorum quorundam nominum diverſae ſignificationes, ſi proprie appelles, non tropice, mollis et duri. Omnino enim ea peritiſſimus omnium in diſtinguendis ſignificationibus exponeret Ariſtoteles, quomodo inferius hoc in ipſo ſecundo libro De generatione et interitu differens, de humido et ſicco utrumque docuit hoc varias ſignificationes habere: at non durum et molle nec illo in libro multis dixit attribui, neque vero alio in ullo: nec etiam Plato. Caeterum nominis unam utriusque ambo illi viri repererunt ſignificationem, ſiquidem proprie, ut diximus, utaris, non tropice. Metaphora enim immenſum ſigni-

τὰς μεταφορὰς ἀναρίθμητον ἔσται τι πλῆθος σημαινομένων, οὐ τούτων μόνον τῶν ὀνομάτων, ἀλλὰ καὶ τῶν ἄλλων σημαινομένων ἁπάντων. αὐτίκα γέ τοι Πλάτων αὐτός φησιν ἐν Σοφιστῇ, σκληροὺς λέγεις καὶ ἀντιτύπους ἀνθρώπους, οὐ κατὰ τοῦ σώματος δή που φέρων ἑκάτερον τῶν ὀνομάτων, οὔτ᾽ οὖν τὸ σκληρὸν οὔτε τὸ ἀντίτυπον, ἀλλὰ καὶ τὸ τῆς ψυχῆς, καὶ ταύτης μάλιστα τοῦ ἤθους τε καὶ τοῦ τρόπου. οὕτω δὲ καὶ οἶνον ἔφη σκληρόν τις ἐκ μεταφορᾶς ὀνομάζων, καὶ φωνὴν σκληρὰν, ἐπιτήδευμά τε καὶ βίον, ἔθος τ᾽ αὖ καὶ νόμον, ἄνεμόν τε καὶ ὕδωρ, ἤτοι τὸ ἀπηνὲς, ἢ τὸ δύσμικτον, ἢ τὸ δυσξύμβολον, ἢ τὸ ἀηδὲς, ἢ τὸ δυσκατέργαστον, ἢ τὸ δυσκαταγώνιστον, ἤ τι τοιοῦτον ἕτερον ἐκ μεταφορᾶς ὀνομάζων. τὸ δὲ σκληρὸν σῶμα τὸ κυρίως τε καὶ πρώτως λεγόμενον ἀντίτυπόν τέ ἐστι καὶ κατ᾽ οὐδὲν εἴκει τῷ πλησιάζοντι. τὸν αὐτὸν, οἶμαι, τρόπον ἄνθρωπον μὲν σκληρὸν λέγουσι τὸν μονότροπον καὶ δυσπειθῆ καὶ πρὸς ἅπαν ἀντιτείνοντα· νόμον τε σκληρὸν καὶ δικαστὴν οἷς μηδὲν μέτεστι συγγνώμης· οἶνον μέντοι σκληρὸν, ὅταν ἰσχυρὸς ᾖ τῇ ποιότητι καὶ

ficationum numerum fuppeditabit, non horum tantum nominum, fed et fignificationum aliarum omnium. Adeoque Plato ipfe ait in Sophifta: Duros mihi narras et renitentes homines, neutrum corpori quidem vocabulum tribuens, nec durum, nec renitens, verum animo, ejusque praefertim moribus. Ad eundem modum vinum dixeris durum, per metaphoram quidem: et vocem duram, ftudium etiam et vitam: praeterea inftitutum, legem, ventum, aquam, fi aut faevum, aut folitarium, aut morofum, aut trifte, aut concoctu aut fuperatu difficile, aut ejuscemodi quid aliud, ex metaphora voces. At durum corpus, quod proprie et primarie appellatur, renititur et nihil tangenti cedit. Eodem vero modo hominem durum vocant, qui eft folitarius et diffsicilis atque ubique repugnat; legem etiam duram et judicem, qui a venia danda funt omnino alieni; at vinum durum, quum forti fit qualitate et violenter pungat vel ca-

Ed. Chart. VIII. [78. 79.] Ed. Baf. III. (40.)

πλήττων βιαίως ἤτοι τὴν κεφαλὴν ἢ τὴν αἴσθησιν τὴν γευστικὴν, ὕδωρ δ' αὖ σκληρὸν τὸ δυσκατέργαστόν τε καὶ βραδύπορον, ὡς ἐπιπλεῖστον ἐν τοῖς ὑποχονδρίοις μένον, ἕκαστόν τε τῶν ἄλλων ὅσα σκληρὰ λέγομεν οὐ κυρίως οὐδὲ πρώτως, ἀλλὰ κατὰ συμβεβηκός τε καὶ μεταφέροντες ἀπό τινος ὁμοιότητος οὕτως ὀνομάζομεν. ἐπειδὴ δὲ πολλὰ συμβέβηκε τῷ σκληρῷ σώματι, καθ' ἕκαστον αὐτῶν αἱ μεταφοραὶ γίγνονται· οὐ μὴν τούτου γε ἕνεκεν ἐπιλαθέσθαι προσήκει τοῦ πρώτου τε καὶ κυρίου τῶν σημαινομένων. ἁπτὸν γάρ τοι τὸ σκληρόν ἐστι καὶ ἡ σκληρότης ἁπτὴ ποιότης. ὅταν οὖν ἐπὶ γεῦσιν, ἢ ὄσφρησιν, ἢ ὄψιν, ἢ ἀκοὴν, ὁ λέγων μεταφέρῃ τοὔνομα, τηνικαῦτα χρὴ τὸν ἀκούοντα τῆς πρὸς τὸ κύριον ὁμοιότητος ἀναμιμνήσκεσθαι. καὶ γὰρ καὶ ἡ κρίσις αὕτη τῶν μεταφορῶν ἐστιν εἴτε ὀρθῶς εἴτε οὐκ ὀρθῶς εἰσιν εἰρημέναι. τὰς μὲν γὰρ ἐναργῆ τὴν ὁμοιότητα καὶ πρόδηλον ἐχούσας ἐπαινοῦμεν, ὅσαι δὲ ἀμυδραί τέ εἰσι καὶ ἄδηλοι, ἀπολείπομεν ἅπαντες. ἀλλ' οὔτ' ἄλλο τι τοῖς νεω[79]τέροις ἰατροῖς

put, vel fenfum guftatorium. Jam aquam duram, quae non facile concoquitur tardeque in corpus permeat et diutiffime in praecordiis fubfiftit, et quicquid aliud, quod durum vocamus, non quidem proprie vel praecipue, fed per accidens et a quadam traducentes fimilitudine, eo pacto appellamus. Quia vero multa corpori duro accidunt, unumquodque eorum metaphoras fuppeditat; nihilo magis iccirco tamen prima eft negligenda fignificatio propria. Tangibile eft etenim durum ac durities qualitas tangibilis. Quum ad guftum jam, vel olfactum, vel vifum, vel auditum derives in oratione nomen, ibi auditorem oportet fimilitudinis cum proprio recordari. Etenim examen hoc eft metaphorarum, recte fint, an fecus fumptae: nam apertam quae fimilitudinem illuftremque habeant probamus: obscuras et tectas repudiamus omnes. At neque quicquam norunt aliud recentiores medici probatae interpretationis, quo illis fit, ut nihil

ἀγαθὸν ἑρμηνείας ἔγνωσται, διόπερ ἀσαφεῖς ἐσχάτως εἰσὶν, οὔθ᾽ ὡς ἐν καιρῷ χρηστέον ἐστὶ ταῖς μεταφοραῖς. εἰ μὲν οὖν ἀσαφῆ μόνον ἦν αὐτῶν τὰ συγγράμματα, τάχ᾽ ἄν τις ἧττον ἐμέμψατο· νυνὶ δ᾽ ἐπεὶ καὶ τὴν ἀλήθειαν αὐτὴν τῶν πραγμάτων ὧν διδάσκειν ἐπιχειροῦσι διαφθείρουσι ταῖς ἀκαίροις μεταφοραῖς, δίκαιον ἤδη μέμψασθαι μειζόνως αὐτοῖς. ὅταν δ᾽ ἔτι πρὸς τούτῳ τις εἰς τοσοῦτον ἐμπληξίας ἥκῃ, ὥστε αὐτὰ τὰ πρῶτά τε καὶ κυριώτατα τῶν ὀνομάτων ἐπιφέρων τοῖς οἰκείοις πράγμασιν ἐκ μεταφορῶν λαμβάνει τὰ σημαινόμενα, πῶς ἄν τις ἀνάσχοιτο; φωνὴν μὲν γὰρ λευκὴν ἐκ μεταφορᾶς νοήσειεν ἄν τις, οὐ μὴν χρῶμά γε λευκὸν ἔθ᾽ ὁμοίως ἐκ μεταφορᾶς ἀκούειν ἐγχωρεῖ· εἰ μὴ γὰρ τοῦτο λέγεται κυρίως λευκὸν, οὐδ᾽ ἄλλο τῶν κυρίως οὐδέν. οὕτω καὶ ἄνθρωπον μὲν στρυφνὸν ἐκ μεταφορᾶς, οἶνον δὲ στρυφνὸν οὐκέτ᾽ ἐκ μεταφορᾶς, ἀλλὰ δηλονότι πρώτως τε καὶ κυρίως. ὥσπερ οὖν εἴ τις τὸν Θηραῖον οἶνον ὀνομάσας στρυφνὸν, εἶτ᾽ ἐξελεγχόμενος ὡς ψευδῶς δοξάζει, γλυκὺν οἶνον, ᾧ μηδὲ βραχὺ μέτεστι στρυφνότητος, οὕτω προσαγορεύων, ἀπίθανος ἂν εἶναι δόξειεν, εἰ

ſit obscurius: neque quod metaphorae, niſi in tempore, non ſunt uſurpandae. Sed enim ſi obscura ſint duntaxat ſcripta iſtorum, minus fortaſſe culpes; nunc quandoquidem ipſam veritatem rerum, quas aggrediuntur docere, ineptis iſtis metaphoris labeſactant, acerbius eos jure reprehendas. Quum vero eo inſuper quis deveniat ſtuporis, ut quum prima et peculiariſſima nomina ſuis aſſignet rebus, accipiat per metaphoram ſignificationes, qui feras? Nam vocem albam ex metaphora intelliges, caeterum colorem album etiam aeque ex metaphora non accipere potes: nam hic niſi proprie albus dicatur, quid jam aliud ex illis, quae proprie dicuntur? Sic etiam hominem acerbum vocamus per metaphoram: vinum vero acerbum non item per metaphoram, ſed praecipue et proprie. Nam ut ſi quis vinum Theraeum acerbum vocet, mox reprehensus ſit perperam cenſere, qui vinum dulce, quod prorſus abeſt ab omni acerbitate, ſic vo-

κατ᾽ ἐκεῖνο τὸ σημαινόμενον φαίη εἰρῆσθαί οἱ στρυφνὸν τὸν οἶνον, ὥσπερ καὶ ἀνθρώπους ἐνίοτε λέγομεν εἶναι στρυφνοὺς, ἐν ἴσῳ τῷ ἀηδεῖς, οὕτω καὶ ὅστις ἁπτὸν ὁτιοῦν σῶμα σκληρὸν εἰπὼν οὕτω κελεύσειεν ἀκούειν τῆς προσηγορίας, ὡς οἶνος λέγεται σκληρὸς, οὐκ ἂν, οἶμαι, δόξειε σώφρων εἶναι. πασῶν γὰρ τῶν ἁπτῶν ποιοτήτων ἐχουσῶν ὀνόματα, λῆρος μακρός ἐστιν ἐκ μεταφορῶν αὐταῖς ἕτερα ἐπεισάγειν. κατὰ μὲν τὰς ὀσμὰς ὄντως οὐκ ἔστιν ἁπασῶν τῶν ποιοτήτων ὀνόματα, καὶ συγχωρήσειεν ἄν τις ἀλλοτρίοις χρήσασθαι μεταφέροντα. κατὰ μέντοι τὴν ἁφὴν ἅπαντα ὠνόμασται, καθάπερ που καὶ τοῦτ᾽ Ἀριστοτέλης ἐδίδαξεν, ἁπάσας ἐκθέμενος ἐφεξῆς αὐτῶν τὰς προσηγορίας, ἃς κἀγὼ νῦν ἐρῶ· θερμότης, ψυχρότης, ξηρότης, ὑγρότης, βαρύτης, κουφότης, σκληρότης, μαλακότης, γλισχρότης, κραυρότης, τραχύτης, λειότης, παχύτης, λεπτότης. οὕτω μὲν οὖν αἱ ἁπταὶ ποιότητες ἅπασαι ῥηταί. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὰ μετέχοντα αὐτῶν σώματα. καὶ γὰρ καὶ τούτων ἑπτὰ μὲν αἱ κατ᾽ ἐναντίωσίν εἰσι συζυγίαι, τεσσαρεσκαίδεκα δὲ τὰ ὀνόματα. πρώτη μὲν οὖν ἐναντίωσις

cet, ineptus videatur, ſi ea ſe ſignificatione dicat uſurpaſſe acerbum vinum, qua homines interim eſſe dicimus acerbos, perinde ac injucundos, ita ſi quis tangibile aliquod corpus appellaverit durum, ac eo modo vocabulum velit interpretari, quomodo vinum dicitur durum, hic ſane parum mihi ſapere videatur. Nam poſteaquam omnes qualitates tangibiles ſortitae nomina ſunt, ex metaphora ſtultum eſt alia illis accommodare. In olfactu vero omnium qualitatum ſunt nomina, ubi translatitiis nominibus permittas uti. In tactu omnibus ſua nomina ſunt: id quod quodam loco Ariſtoteles docuit, atque nomina eorum ordine omnia expoſuit: quae ipſe quoque narrabo: Calor, frigus, ſiccitas, humiditas, gravitas, levitas, durities, mollities, lentor, friabilitas, asperitas, laevor, craſſities, tenuitas. Itaque exprimi tangibiles omnes qualitates poſſunt et corpora non ſecus iis praedita; quippe horum pariter ſeptem ſunt oppoſitae conjugationes et nomina XIV. Prima eſt oppoſitio calidi et frigi-

θερμοῦ καὶ ψυχροῦ, δευτέρα δὲ ξηροῦ καὶ ὑγροῦ, τρίτη δὲ βαρέος τε καὶ κούφου, τέταρτη σκληροῦ τε καὶ μαλακοῦ, πέμπτη γλίσχρου καὶ κραύρου, ἕκτη τραχέος καὶ λείου, ἑβδόμη παχέος καὶ λεπτοῦ. μὴ τοίνυν, ὦ οὗτος, ἔμπληκτα λήρει μηδ᾽ ὀνόμασιν Ἑλληνικοῖς τε καὶ κοινοῖς ἁπάντων οἴκοθεν ἐπίφερε καὶ παρὰ σαυτοῦ τὰ σημαινόμενα, ἀλλὰ τὸ μὲν σῶμα τῆς ἀρτηρίας ἢ σκληρὸν, ἢ μαλακὸν εἰπὲ πρώτως καὶ μάλιστα· τὸν δ᾽ ὅπως ἔχει τοῦτο δεικνύντα σφυγμὸν οὐ κυρίως μὲν, οὐδὲ πρώτως ἔτι, κατὰ συμβεβηκὸς δ᾽ ἐξέσται σοι καλεῖν σκληρὸν, ἢ μαλακόν. εἴτε γὰρ ἡ κίνησις αὐτὴ τῶν ἀρτηριῶν ὁ σφυγμός ἐστιν, οὐκ ἄν τις εἴποι κυρίως ὀνομάζων σκληρὰν κίνησιν, εἴθ᾽ ἡ ἀπ᾽ αὐτῆς πληγὴ κατὰ τὴν ἡμετέραν ἁφὴν, εἴτε ἡ τῆς πληγῆς αἴσθησις, οὐδὲν οὐδὲ τοῦτο λέγεται κυρίως οὐδὲ πρώτως σκληρὸν, ἀλλὰ παρονομάζεται δηλονότι τοῦ σκληροῦ σώματος ὁ σκληρὸς σφυγμός· ἐκεῖνο δὲ μόνον, οὐκ ἄλλῳ τινὶ παρονομάζοντες, οὔτε κατὰ συμβεβηκὸς οὔτε μεταφέροντες, ἢ καταχρώμενοι, προσαγορεύομεν σκληρὸν, ἀλλὰ κυρίως τε καὶ πρώτως. ὅταν οὖν τις σκληρὸν σφυγμὸν ἢ κατὰ τὴν τοῦ πνεύματος λέγῃ

di, altera ficci et humidi, tertia gravis et levis, quarta duri et mollis, quinta lenti et friabilis, fexta asperi et laevis, feptima craffi atque tenuis. Quare infulfi nihil, obfecro, nugeris, nec vocabulis latinis et omnium Graecorum communibus privatim abs te imponas fignificationes, fed corpus arteriae vel durum, vel molle primum et praecipue, at pulfum ejus ftatum denunciantem non proprie nec primo, fed per accidens durum vel mollem voces licet. Sive enim ipfe arteriarum motus pulfus eft, non proprie dixeris, fi motum appelles durum, five is quem tactui noftro infligit ictus, five fenfus ictus, nihilo magis hic proprie et praecipue durus dicitur: fed denominatur fcilicet duri corporis durus pulfus; illud vero folum non aliunde denominantes, neque per accidens, aut per metaphoram, aut abufum, appellamus durum, fed proprie et praecipue. Proinde ubi quis pulfum durum, aut ex qualitate fpiritus dicat reprae-

Ed. Chart. VIII. [79.] Ed. Baf. III. (40.)
ποιότητα φαίνεσθαι τοιοῦτον, ἢ καὶ κατὰ τὴν ἰδιότητα τῆς θερμότητος, ἢ κατὰ ἄλλο τι τῶν λαληθῆναι μὲν δυναμένων, διδαχθῆναι δὲ ἀδυνάτων, οὐκ ἀνεξόμεθα τοῦ τὰ τοιαῦτα δηλονότι ληροῦντός τε καὶ περιλαλοῦντος, ὥσπερ οὐδ' Ἀρχιγένης ἔν τε τῷ περὶ σφυγμῶν αὐτοῦ γράμματι κᾀν τῷ δευτέρῳ τῆς τοῦ πυρετοῦ σημειώσεως.

ſentari talem, aut ex proprietate caloris, aut alia de re, quae enunciari verbis valet, non doceri tamen, rejiciemus eum, qui iſta nugetur et garriat: quod etiam facit Archigenes in ſuo de pulſibus libro et in ſecundo de ſignis febris.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Δ.

Ed. Chart. VIII. [80.] Ed. Baſ. III. (41.)

Κεφ. α΄. Εἴρηταί μοι καὶ κατὰ τὴν ἀρχὴν εὐθέως τοῦ δευτέρου γράμματος, ὅσον εἰς τὰ τῆς τέχνης ἔργα χρήσιμον ἐν τῷ πρώτῳ πεπλήρωται βιβλίῳ· καὶ γὰρ ὁπόσον ἐστὶ τὸ πᾶν πλῆθος τῶν σφυγμῶν, ἐδείχθη, καὶ τὰς προσηγορίας, ὅσον γέ εἰσι προσηγορίαι, διήλθομεν, ἠξίωσά τε τὸν βουλόμενον τοῦ ἐπὶ τὸ χρήσιμον ἰέναι τῆς θεωρίας τὴν περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν πραγματείαν, ἐφεξῆς τῇδε γεγραμμένην ἐν τέτταρσι βιβλίοις, ἀναλεξάμενον, εἶτ᾽ ἐπ᾽ ἐκείνῃ τὴν περὶ τῶν αἰτίων ἐν

GALENI DE PVLSVVM DIFFERENTIIS LIBER IV.

Cap. I. Quantum ad artis opera complexus ſit utilitatis primus liber, diximus initio ſtatim ſecundi libri. Etenim quantus ſit univerſus numerus pulſuum, declaravimus, atque appellationes, quatenus quidem appellationes ſunt, recenſuimus; juſſique illi, qui ad commentationis hujus voluerit commoditatem aspirare, opus revolvere de pulſibus dignoscendis, quod ſecundum hoc quatuor libris eſt explicatum: ab illo de cauſis lucubrationem quatuor libris:

τέτταρσιν ἄλλοις, οὕτως ἐπὶ τὴν ἐξ αὐτῶν ἡμῖν γινομένην ἀφικνεῖσθαι πρόγνωσιν, γεγραμμένην καὶ αὐτὴν ἐν τέτταρσιν ἄλλοις βιβλίοις. τὰ δὲ μετὰ τὸ πρῶτον ἐν τῆδε τῇ πραγματείᾳ τῇ περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν εἰρημένα, καθάπερ καὶ ταυτὶ τὰ νῦν γραφησόμενα, διὰ τὴν περίεργον φλυαρίαν τῶν νεωτέρων ἰατρῶν εἴρηται, δεηθέντων τινῶν ἑταίρων, καίτοι γ' ἀντιτείνοντος αὐτοῖς ἐμοῦ μέχρι πολλοῦ. βέλτιον γὰρ ἐνόμιζον εἶναι μηδόλως ἄχρηστα γράφειν καὶ περιττὰ, μήθ' ἑκόντα μήτ' ἄκοντα τοῖς φλυαροῦσιν ἀντιφλυαρεῖν. ἀλλὰ γὰρ ὄντως ἀφόρητόν ἐστιν ἐνίων τὸ θράσος, ἀγνοούντων μὲν ὁπόσας ἀπορίας ἔχει τὰ κατὰ τοὺς ὁρισμοὺς, προχείρως δ' ὁριζομένων οὐ τοὺς σφυγμοὺς μόνον, ἀλλὰ καὶ τἄλλα ξύμπαντα. καίτοι γε οὐδεμιᾶς χρείας οὔσης τῶν ὅρων, ὅταν καὶ πρὸ ἐκείνων σαφῶς νοῆται τὰ πράγματα, καθάπερ ἐπὶ τῆς τοῦ σφυγμοῦ προσηγορίας, ἣν οὐ μόνον ἰατροὶ νοοῦσιν, ἀλλὰ καὶ πάντες ἄνθρωποι. ὅταν γοῦν ἐκτείνοντες τὴν χεῖρα παρέχωσιν αὐτοῖς τὸν καρπὸν, ἅψασθαι κελεύοντες τοῦ σφυγμοῦ τὸν ἰατρὸν, ἆρ' οὕτως αὐτοὺς οἰηθῆναι χρὴ λέγειν [81] τοῦ σφυγμοῦ τὴν προσηγορίαν, ὡς εἰ καὶ σκινδαψὸν

denique ad praefagitionem ex iis inflitutam pergere, quae quatuor etiam libris continetur. Nam quae in hoc opere de differentiis pulfuum a primo libro disputavi, et hercle quae nunc inftitui fcribere, propter recentiorum medicorum inanem loquacitatem differui, amicorum, quibus equidem multum reluctatus fum, precibus adductus. Satius enim ftatuebam effe nequaquam inania et fupervacanea attingere, nec volentem nolentem cum nugatoribus pugnare nugis. Sed enim quidam audacia funt intoleranda: qui nefcii quum fint, quantum in definiendo infit difficultatis, temere tamen definiunt non pulfus tantum, fed alia cuncta, tametfi definitionum fit nullus ufus, ubi res ipfae et ante definitiones intelliguntur, ut in pulfus nomine, quod intelligunt etiam omnes mortales, nedum medici. Nam ubi manum protendentes iis porrigunt carpum, medicosque jubent pulfum tangere, eft vero tum arbitrandum pulfus eos nomen ufurpare, ut fi *σκινδαψὸν*

εἶπον, ἢ πρᾶγμά τι σημαίνοντες ἐφθέγξαντο τὴν φωνὴν τήνδε; δοκεῖ μοι βέλτιον εἶναι φάναι, νοοῦντάς τι πρᾶγμα, κατ' ἐκείνου τίθεσθαι τοὔνομα τοῦ σφυγμοῦ. πότερον οὖν οὕτω λέγουσι τὸν σφυγμὸν, ὡς τὸν Ἱπποκένταυρον καὶ τὰς Σειρῆνας, ἢ τὴν Σκύλλαν, ἢ κατά τινος πράγματος ὑπάρχοντος ἐπιφέρουσι τοὔνομα; ἐμοὶ μὲν κἀνταῦθα βέλτιον εἶναι δοκεῖ φάναι, κατά τινος ὑπάρχοντος πράγματος ὑπ' αὐτῶν λέγεσθαι τὸ τοῦ σφυγμοῦ ὄνομα, καὶ τοῦτ' εἶναι τὸ πρᾶγμα τὴν κίνησιν τῶν ἀρτηριῶν, ἣν ὁρῶνται κινουμένην δι' ὅλου τοῦ βίου πᾶσιν ἀνθρώποις, ἐν ἅπαντι μορίῳ τοῦ σώματος, ἔνθα περ ἂν οὖσαι τύχωσι. καὶ μέντοι καὶ κατὰ τὰ φλεγμαίνοντα μόρια σφυγμοῦ τινος αἰσθάνεσθαί φασι καὶ κροτάφων σφυζόντων, ἔν τε πυρετοῖς διαπύροις καὶ πλέονος ἀκράτου πόσει καὶ κεφαλαλγίαις τισὶ καὶ μάλιστα ταῖς ἐξ ἐγκαύσεως ἡλίου. καὶ ταῦτα ἀλλήλοις ἑρμηνεύοντες, οὐ δέονται μακρῶν λόγων, ὧν ἐπλήρωσαν οἱ νεώτεροι τῶν ἰατρῶν τὰ βιβλία, μετὰ τῶν θαυμαστῶν ἀντιλογιῶν ὧν πρὸς ἀλλήλους ποιοῦνται περί τε τοῦ κατ' αὐτὸν τὸν σφυγμὸν ὅρου καὶ τῶν ἐν μέρει διαφορῶν αὐτοῦ πασῶν, οἷον τοῦ σφοδροῦ

dicerent, aut rem aliquam defignantes, eam vocem proferrent? Equidem rectius dixerim, rem eos certam intelligere, illique affignare nomen pulfus. Utrum jam ita proferunt pulfum, ut Hippocentaurum et Sirenas, vel Scyllam, an rei certae, quae extat, nomen tribuunt? Rectius eft hic quoque dicendum, fi quid fentio, certae rei, quae reperiatur, eos attribuere nomen pulfus, atque hanc rem effe arteriarum motum, quas quidem moveri omnibus hominibus, dum vivunt, confpiciunt omni in parte corporis, ubi certe infunt. Jam in partibus etiam inflammatis pulfum quendam fe ajunt animadvertere: ad haec tempora pulfare per febres urentes et a potu meri largiore, praeterea in quibusdam doloribus capitis, maxime a folis ardore profectis. Quae quum fibi invicem declarant, non requirunt multa verba, quibus fcatent juniorum medicorum libri cum praeclaris iftis confutationibus, quas invicem inftituunt de definitione pulfus et de fingulis ejus differentiis, ut vehe-

καὶ μεγάλου καὶ πλήρους, ὁμαλοῦ τε καὶ τεταγμένου τῶν ἄλλων, ὑπὲρ ὧν ἐπὶ πλέον εἴρηται δι᾽ ἐκείνων καὶ τῶν ὑπομνημάτων, ἐν οἷς ἐξηγοῦμαί τε ἅμα καὶ κρίνω τὸ περὶ σφυγμῶν Ἀρχιγένους βιβλίον, ἐπεὶ καὶ τοῦτον τὸν ἄνδρα σὺν τοῖς ἄλλοις ἰατροῖς τοῖς νεωτέροις τὸ τῆς φιλοριστίας ἐπενείματο νόσημα· καινὴν γὰρ ἐγὼ τήνδε τὴν προσηγορίαν ἐπὶ τῷ καινῷ πράγματι τέθειμαι· καίτοι γε οὐκ ἦν ἄξιος Ἀρχιγένης παθεῖν τοῦτο τὸ κακὸν, οὐκ ἀμελῶς ἐσχηκὼς ἀνὴρ περὶ τὰ τῆς τέχνης ἔργα. ἀλλ᾽ ὥσπερ ψώρας καὶ ὀφθαλμίας ἀπολαύουσιν ἔνιοι τῶν πλησιαζόντων ἄκοντες, οὕτω καὶ ὁ ἀνὴρ οὗτος εἰς τὴν περὶ τῶν ὁρίσεων φλυαρίαν ὑπεσύρη, καίτοι μᾶλλον τῶν ἄλλων ἀντιποιούμενος τῶν ἔργων τῆς τέχνης. ὅτι τοίνυν ὧν μάλιστα ἀγνοοῦσι, τούτων ἐφίενται, δείκνυμι διὰ συντόμων αὐτοῖς, ἀξιῶν ὧν βούλονται προβάλλειν ὄνομα, ἐπειδὰν δὲ τοῦτο πράξωσι, κελεύων αὖθις ἀριθμὸν ἐπῶν εἰπεῖν, ἐν ὁπόσῳ βούλονται μέτρῳ ἐλθεῖν ὑπὲρ τοῦ κατὰ τὸ προβληθὲν ὁρισμοῦ. τιτρώσκονται γὰρ ἐκ τῆς τοιαύτης ἐπιδείξεως, καίτοι γε ἀναισθησίας ἐπὶ πλεῖστον ἥκοντες. ὡς γὰρ ἐγχωρεῖ μὲν ὑπὲρ ἑκάστου τῶν ὀνομάτων ἓν ὅλον ποιεῖσθαι

mente, magno, pleno, aequali, ordinato et reliquis: de quibus amplius in illis disputavi commentariis, quibus enarro pariter et examino Archigenis de pulfibus librum, quando etiam cum aliis medicis junioribus hunc virum amoris definitionum morbus eft depaftus, ut novam in re nova vocem ufurpem. Etfi ifto malo Archigenes effet indignus, in colenda arte vir non ignavus. Sed ut psora et lippitudine, qui propius accedunt quidam corripiuntur inviti, fic ad iftas definitionum nugas vir ille illectus eft, tametfi ad artem colendam praeter caeteros ille contenderet. Quod ergo quae maxime ignorant, haec affectant, brevi illis oftendo, jubeoque, ut nomen quorumlibet ponant Deinde ubi haec egerint, verficulorum ab iis numerum requiro, quanto velint intervallo percurrere definitionem ejus, qua de re agitur. Sane quanquam mire ftupidi funt, pungit hoc tamen illos fpecimen. Nam haec fi de omnibus perinde dicamus, fingulis de nominibus finguli libri confcribi pos-

βιβλίον, ἔσται δὲ ἔπη πλείω τῶν χιλίων. ταῦτα περὶ πάντων ἡμῶν ὁμοίως διερχομένων, ἀλλὰ νῦν γε δεινὸν ἔοικα πείθεσθαι, προβάλλειν ἀναγκαζόμενος ἐμαυτῷ τι τῶν κατὰ τοὺς σφυγμοὺς, εἰς ἐπίδειξιν αὐτῶν τῆς ματαίας φλυαρίας.

Κεφ. β΄. Ἔστω δὴ τοῦτ' αὐτὸ τὸ πρῶτον καὶ σαφέστατον ὁ σφυγμός. εἰ γὰρ ἐπὶ τούτου δείξαιμι, πόσην ἐποιήσαντο ματαιολογίαν, οὐδὲ περὶ τῶν ἄλλων ἔτ' ἄδηλος ὁ λόγος μενεῖ. τὸν γοῦν σφυγμὸν κίνησιν ἀρτηριῶν ὡρίσαντό τινες, οἷς ἀντιλέγοντες ἔνιοι πρῶτον μὲν ἡμαρτῆσθαι τὸν ὅρον ἔφασαν, ἐπειδὴ παραλέλειπται τὸ, καὶ τῆς καρδίας. ἐχρῆν γὰρ οὕτως ὁρίσασθαι· σφυγμός ἐστιν ἀρτηριῶν καὶ καρδίας κίνησις. ἔνιοι δὲ οὐ καρδίας φασὶ δεῖν, ἀλλὰ τοῦ τῆς καρδίας ἀρτηριώδους μέρους προστιθέναι, ὡς γίνεσθαι τὸν ὅρον τοιοῦτον, σφυγμός ἐστι κίνησις ἀρτηριῶν καὶ τῆς κατὰ τὴν καρδίαν ἀρτηριώδους κοιλίας, ἢ νὴ Δί' οὕτως· [82] σφυγμός ἐστι κίνησις ἀρτηριῶν καὶ τῆς ἀρτηριώδους κοιλίας τῆς καρδίας. οἷς αὖθις ἕτεροι μεμφόμενοι κακῶς εἰρῆσθαί φασι τὸν σφυγμὸν κίνησιν ἁπλῶς· εἶναι γὰρ καὶ ἄλλας κινήσεις ἀρτηριῶν καὶ καρδίας, οἷον τήν τε πεπτικὴν τοῦ

fint; fint porro verficuli amplius mille. At nunc indignam rem videar fubiiffe, qui inducar, quo illorum inanes nugas detegam, de pulfibus mihi aliquid proponere.

Cap. II. Sit ergo hoc ipfum primum atque clariffimum pulfus: in quo fi demonftrem, in quam inciderunt loquacitatem, fimul de aliis apertus erit fermo. Pulfum igitur motum definiverunt arteriarum effe. In quos disputantes aliqui, primum peccatum effe in definitione contendunt, quod praeteritum fit et cordis; nam in hunc modum definire oportebat: Pulfus eft arteriarum et cordis motus. Alii non cordis ajunt, fed arteriofae cordis partis addendum effe, ut haec fit definitio: Pulfus eft arteriarum motus et ventriculi in corde arteriofi. Aut hercle fic: Pulfus eft arteriarum motus et arteriofi ventriculi cordis. Quos rurfus infimulant alii, qui volunt male dictum effe, pulfum effe motum abfolute, effe fcilicet praeterea arteriarum alios

περιεχομένου κατ' αὐτὰς αἵματος, ἑλκτικήν τε τούτου καὶ προσθετικὴν, ἀποκριτικήν τε τῶν περιττωμάτων. ἐχρῆν οὖν, φασὶ, προσκεῖσθαι τῷ ὅρῳ τὸ τῆς τῶν σφυγμῶν κινήσεως εἶδος, ἵν' ἴδιος αὐτῶν ᾖ καὶ μὴ πολλῶν κινήσεων κοινός. καὶ τοίνυν αὐτοὶ τὸν ὅρον ἐποιήσαντο τοιόνδε· σφυγμός ἐστιν ἀρτηριῶν καὶ καρδίας διαστολή τε καὶ συστολὴ, καὶ δηλονότι καὶ τούτου πάλιν αὐτοῦ τοῦ ὅρου τοσαῦται γεγόνασιν ἐπανορθώσεις, ὅσαι τοῦ πρόσθεν, ἐνίων μὲν αὐτῷ προστιθέντων καὶ τὸ τῆς καρδίας, ἐνίων δ' οὐχ ἁπλῶς καρδίας, ἀλλὰ τοῦ κατ' αὐτὴν ἀρτηριώδους γένους, ἐνίων δὲ τῆς ἀρτηριώδους κοιλίας τῆς ἀριστερᾶς. εἰσὶ γὰρ οἳ καὶ τοῦτο προσέθεσαν, ὡς γίνεσθαι τοὺς ὅρους τοσούτους· σφυγμός ἐστιν ἀρτηριῶν καὶ καρδίας διαστολή τε καὶ συστολή. σφυγμός ἐστιν ἀρτηριῶν, καὶ τοῦ τῆς καρδίας ἀρτηριώδους μέρους διαστολή τε καὶ συστολή. σφυγμός ἐστιν ἀρτηριῶν καὶ τῆς ἀρτηριώδους κοιλίας τῆς καρδίας διαστολή τε καὶ συστολή. πολεμοῦσι δὲ τούτοις ἅπασιν ἕτερος χορὸς ἀνδρῶν, οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰς μήνιγγας (42) σφύζειν λέγοντες· ἔνιοι δὲ καὶ τὸν ἐγκέφαλον·

motus et cordis; ut qui concoquit fanguinem in illis contentum et attrahit eum apponitque, praeterea qui excernit recrementa; quare definitioni adjiciendum fuiffe fpeciem arteriarum motus, ut propria illorum et non multorum motuum fit communis. Itaque hanc ipfi definitionem inftituerunt: Pulfus eft arteriarum et cordis diftentio atque contractio. Cujus quidem etiam definitionis tot fuerunt correctiones, quot fuperioris; quum ei quidam adjungerent cordis; alii non fimpliciter cordis, fed arteriofae partis cordis; nonnulli arteriofi ventriculi; alii finiftri ventriculi; funt enim qui et hoc annectant ut tot exiftant definitiones. Pulfus eft arteriarum et cordis diftentio contractioque. Pulfus eft arteriarum et cordis arteriofae partis diftentio ac contractio. Pulfus eft arteriarum arteriofique ventriculi cordis diftentio et contractio. Pulfus eft arteriarum et finiftri ventriculi cordis diftentio contractioque. Jam cum omnibus his bellum eft alii virorum catervae, qui non tantum haec, fed et membranas cerebri confirmant pulfare; funt qui etiam ce-

ἄλλοι δὲ ἀμφότερον· τινὲς δὲ πρώτως μὲν τὸν ἐγκέφαλον, κατὰ συμβεβηκὸς δὲ τὰς μήνιγγας· ἄλλοι δὲ αὖ πάλιν οὔτε τὰς μήνιγγας οὔτε τὸν ἐγκέφαλον ἡγοῦνται σφύζειν πρώτως, ἀλλὰ ταῖς μὲν ἀρτηρίαις ὑπάρχειν τοῦτο, κατὰ συμβεβηκὸς δ' ἐκείνοις. συνεξαίρεσθαι γὰρ αὐτὰ ταῖς ἐν αὐτοῖς ἀρτηρίαις φασὶ, παμπόλλαις οὔσαις. εἰ μὲν οὖν συνεξαίρεται μόνον, οὐδεμίαν αὐτὰ δύναμιν ἔχοντα τῆς προειρημένης τοιαύτης κινήσεως, οὐδὲν ἔτι δεήσει προστιθέναι τοῖς προειρημένοις ὅροις· εἰ δ' ἔχει τινὰ δύναμιν οἰκείαν ὁμοίαν ταῖς ἀρτηρίαις, ἀναγκαῖον ἔσται μνημονεύειν κατὰ τὸν ὅρον ἐγκεφάλου καὶ μηνίγγων, ὡς γενέσθαι τὸν ὅλον ὁρισμὸν τοιόνδε, σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ καρδίας καὶ ἀρτηριῶν ἐγκεφάλου τε καὶ μηνίγγων. εἰ δὲ τὸ ἕτερον αὐτῶν μόνον ἔχει τὴν τοιαύτην δύναμιν, ἐκείνου μόνου μνημονεύσομεν, ἤτοι γ' οὕτω ποιοῦντες τὸν ὅρον· σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ καρδίας καὶ ἀρτηριῶν καὶ μηνίγγων, ἢ οὕτω· σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ καρδίας καὶ ἀρτηριῶν καὶ ἐγκεφάλου, καὶ καθ' ἕκαστον γένος τῶν ἔμπροσθεν

rebrum; alii utraque; aliqui praecipue cerebrum, membranas per accidens. Contra alii nec membranas cenfent, nec cerebrum pulfare praecipue, caeterum ad arterias hoc pertinere, atque per accidens ad illa; nam attolli illa una cum arteriis ajunt, quas habent plurimas. Quamobrem fi cum illis tantum attolluntur, nullam ipfa obtinentia facultatem ejus quem commemoravimus motus, nihil fuperiores definitiones amplius acceffionis defiderant. Quod fi quam ut arteriae obtinent facultatem peculiarem, cerebri et ejus membranarum in definitione erit neceffaria mentio, atque tota definitio haec erit: Pulfus eft diftentio et contractio cordis et arteriarum atque cerebri et ejus membranarum. Sin autem alterum modo illorum ea eft facultate, ejus faciemus unius mentionem atque vel hunc in modum definiemus, Pulfus eft diftentio et contractio cordis et arteriarum atque membranarum; vel fic: Pulfus eft diftentio et contractio cordis arteriarum cerebrique, ac fimilis unoquoque

Ed. Chart. VIII. [82.] Ed. Baf. III. (42.)

εἰρημένων ὅρων ὁμοία προσθήκη γενήσεται. τινὲς μὲν γὰρ, ὡς ἔφην, ἠρκέσθησαν εἰπεῖν· σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ καρδίας καὶ ἀρτηριῶν· ἔνιοι δὲ οὐχ ἁπλῶς οὕτως, ἀλλ᾽ ἤτοι τῆς ἀρτηριώδους ἐν τῇ καρδίᾳ κοιλίας, ἢ τῆς ἀριστερᾶς, ἢ τοῦ μέρους αὐτῆς τοῦ ἀρτηριώδους προσέθεσαν. ἑκάστου δὴ τούτων τῶν ὅρων οἱ μὲν ἐγκέφαλον, οἱ δὲ μήνιγγας, οἱ δ᾽ ἀμφότερα προσθήσουσι· καὶ γενήσεται πλῆθος ὅρων οὐκ ὀλίγων. ἠμφισβήτηται δὲ οὐδὲν ἧττον αὐτοῖς καὶ περὶ τῶν τῆς καρδίας κοιλιῶν· ἔνιοι γὰρ ἡγοῦνται μὴ σφύζειν τὴν δεξιάν· εἰσὶ δὲ οἳ σφύζειν μὲν, οὐ μὴν πρώτως οὐδὲ δι᾽ αὐτὴν, ἀλλὰ τῇ πνευματικῇ καλουμένῃ συγκινουμένην· ὥσθ᾽ ὅσοι τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας, ἢ τῆς ἀρτηριώδους, ἢ ὁπωσοῦν ἄλλως ὀνομάζοντες μνημονεύουσι, διενεχθήσονται τοῖς κατὰ τὴν δεξιὰν ἡγουμένοις σφύζειν. ἔτι δὲ μείζων ἄλλη διαφορὰ τοῖς ἰατροῖς ἐκ παλαιοῦ περὶ τῶν ἀρτηριῶν ἐγένετο, τινῶν μὲν ἡγουμένων αὐτὰς ἐξ ἑαυτῶν σφύζειν, σύμφυτον ἐχούσας ὁμοίως τῇ καρδίᾳ τὴν τοιαύτην δύναμιν, ὧν ἐστι καὶ ὁ Πραξαγόρας, ἐνίων δὲ σφύζειν μὲν αὐτοῦ,

in genere commemoratarum definitionum acceffio fiet; nam quibusdam fatis, ut dixi, fuit dixiffe: Pulfus eft diftentio et contractio cordis et arteriarum; quidam non ita abfolute, fed vel arteriofi cordis ventriculi, vel finiftri, vel partis arteriofae ejus adjecerunt. Jam cuilibet harum definitionum hi cerebrum, illi meningas, alii utrunque adjungent, exiftentque definitionum numerus non paucarum. At vero de cordis ventriculis eft non minor illis disceptatio, quia aliqui dextrum non arbitrantur pulfare, alii pulfare quidem, at non primo et fua fponte, fed una cum illo, qui fpiritualis vocatur, moveri. Proinde qui finiftri ventriculi cordis, aut arteriofi, aut quoquo modo aliter appellent, fecerint mentionem, ab illis hi diffidebunt, qui etiam putant dextrum pulfare. Alia praeterea major diffenfio medicis jam olim de arteriis fuit; nam eas quidam fua fponte dicebant pulfare, ingenita praeditas, perinde ac cor, ea vi: de quorum numero eft Praxagoras: alii pulfare quidem, nam ipfam dis-

τοῦ χιτῶνος αὐτῶν διαστελλομένου τε καὶ συστελλομένου, καθάπερ ἡ καρδία, τὴν δύναμιν δὲ οὐκ ἐχουσῶν σύμφυτον ᾗ τοῦτο δρῶσιν, ἀλλὰ παρὰ καρδίαν λαμβανουσῶν. ἧς γνώμης ἔχεται καὶ Ἡρόφιλος. Ἐρασι[83]στράτῳ δὲ οὐδέτερον ἀρέσκει· βούλεται γὰρ ἔμπαλιν τῇ καρδίᾳ τὰς ἀρτηρίας σφύζειν, ἐκείνης μὲν, ὅτε διαστέλλεται πληρουμένης τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ, τῶν δὲ ἀρτηριῶν, ὅτε πληροῦνται διαστελλομένων, πληροῦσθαι δὲ αὐτὰς τοῦ παρὰ καρδίας ἐπιπεμπομένου πνεύματός φησιν. ἅμα μὲν οὖν ἀναγκαῖόν ἐστιν ἀμφότερα γίνεσθαι, τήν τε διαστολὴν καὶ τὴν πλήρωσιν αὐτῶν, ἡγεῖσθαι δὲ τὸ ἕτερον θατέρου λόγον αἰτίας ἔχον ἐν μὲν τῇ καρδίᾳ τὴν διαστολὴν, ἐν δὲ ταῖς ἀρτηρίαις τὴν πλήρωσιν, ὥσπερ ὁρᾶται κἀπὶ τῶν ἐκτός. αἱ μὲν γὰρ τῶν χαλκέων φῦσαι διότι διαστέλλονται, διὰ τοῦτο πληροῦνται, οἱ σάκκοι δὲ καὶ οἱ θύλακοι καὶ οἱ ἀσκοὶ διότι πληροῦνται, διὰ τοῦτο διαστέλλονται. τὸν ὁρισμὸν οὖν εἴπερ ὅλην τὴν οὐσίαν ἀκριβῶς τοῦ πράγματος μέλλει δηλώσειν, οὐδὲν αὐτῆς τῶν κυριωτάτων παραλείπειν προσήκει· τῆς δ᾽ οὐσίας ἀμφισβητουμένης, ἀναγκαῖον ἔσται καθ᾽ ἑκάστην αἵρεσιν ἴδιον

tendi tunicam earum, contrahique non fecus ac cor; fed facultatem non habere, qua hoc agunt, innatam, fed cordi referre acceptam; in qua opinione Herophilus eft. Erafiftratus neutrum probat: contendit enim pulfare contra ac cor arterias, illud quum diftenditur, repleri eo quod confequitur ad vacuatum; arterias, quum replentur, diftendi; repleri autem immiffo a corde dicunt fpiritu. Simul itaque fieri utramque eft neceffe, diftentionem et repletionem earum, verum alteram antecedere alteri rationem caufae obtinentem, in corde diftentionem, repletionem in arteriis, ut cernitur et in externis rebus. Folles fabrorum, quia diftenduntur, proinde replentur; facci, culei, utres, quod impleantur, idcirco diftenduntur. Quare definitio, quae totam rei effentiam eft ob oculos pofitura, nihil debet eorum quae illi praecipua funt et propria maxime omittere. Sed quandoquidem controverfia de effentia eft, neceffario fua

ὁρισμὸν γίνεσθαι· ὥστε τοῖς Ἐρασιστρατείοις οὕτως ὁριστέον ἐστὶν, ὡς ἐνδείκνυσθαι τὸ ἴδιον ἐξ Ἐρασιστράτου δόγμα περὶ τῆς τῶν σφυγμῶν οὐσίας, τοῖς δ' Ἡροφιλείοις, ὡς τὸ ἴδιον Ἡροφίλῳ, καὶ τοῖς ἄλλοις ἅπασιν ὡσαύτως οἰκεῖον ἑκάστοις ἐστὶν ὅρον ποιητέον τῷ σφετέρῳ δόγματι. τοῦτο δὲ εὐθέως αὐτὸ οὐδεὶς σχεδὸν αὐτῶν ἐπίσταται, καὶ τούτου γ' ἔτι μᾶλλον ἀναγκαῖον ἐγνῶσθαι δύο γένη τὰ πρῶτα τῶν ὁρισμῶν εἶναι, τὸ μὲν ἕτερον ἐξηγούμενον σαφῶς τὴν τοῦ πράγματος ἔννοιαν, ἣν ἔχουσιν οἱ ὀνομάζοντες αὐτὸ, τὸ δ' ἕτερον, ὡς εἴρηται, τὸ τὴν οὐσίαν διδάσκον. ἀρετὴ δ' ἑκατέρου τῶν ὅρων ἰδία τοῦ μὲν τὴν ἔννοιαν ἑρμηνεύοντος ὁμολογεῖσθαί τε πᾶσι τοῖς ὁμοφώνοις καὶ μὴ προσάπτεσθαι τῆς οὐσίας τοῦ πράγματος, τοῦ δὲ τὴν οὐσίαν διδάσκοντος ὁμολογεῖν μὲν τῷ κατὰ τὴν ἔννοιαν, ἕτερον δὲ ὑπάρχειν αὐτῷ. πρῶτον οὖν τοῦτό σοι γιγνέσθω γνώρισμα τῶν εἰκῆ φλυαρούντων, ὅταν ἕνα τοῦ προκειμένου πράγματος ἀκούσῃς αὐτῶν λεγόντων ὅρον. ἐπὶ τινῶν μὲν γὰρ οὐ δύο μόνον, ἀλλὰ καὶ τρεῖς καὶ τέτταρας ἄμεινόν ἐστι ποιεῖσθαι· πρῶτον μὲν

erit cuique fectae definitio; proinde eft Erafiftrati discipulis ita definiendum, ut Erafiftrati peculiare placitum ac dogma in pulfuum effentia fimul appareat; Herophili affeclis, ut peculiare Herophili; aliisque fimiliter omnibus definitio figillatim efficienda eft fuo placito conftans; ac vero jam hoc ipfum qui fciat, eft illorum prope nemo. Atque eft operae pretium magis fcire definitionum effe genera duo prima; alterum quod plane rei notionem explicat; quam qui ponunt rei nomen habent; alterum, ut dictum eft, quod docet effentiam. Virtus eft fua utrique definitioni; illi quae notionem explicat, ut omnibus probetur, qui eadem utuntur lingua, nec ad rei effentiam afpiret; huic quae effentiam docet, ut ei quae notionem fubjicit, confentiat, non fit tamen eadem cum ea. Itaque hoc tibi primum fit indicium hominum inanium et vanorum, ubi eos rei propofitae afferre unam definitionem audias. Nam funt in quibus non jam duas, fed tres praeftat vel quatuor facere; primam quae

τὸ ὁμολογούμενον ἅπασι τοῖς ὁμοφώνοις, ὅστις οὐδὲν ἀποφαίνεται περὶ τῆς τοῦ πράγματος οὐσίας, ἐπὶ ψιλῆς καταμένων τῆς ἐννοίας· ἕτερον δ᾽ ἐπ᾽ αὐτῷ, βραχὺ μέν τι τῆς ἐννοίας ἀποχωροῦντα, βραχὺ δέ τι καὶ τῆς οὐσίας ἐφαπτόμενον· καὶ τρίτον ἐπὶ τῷδε, πλέον μὲν ἤδη τῆς ἐννοίας, πλέον δὲ καὶ τῆς οὐσίας ἑρμηνεύοντα· καὶ τέταρτον ἐπ᾽ αὐτοῖς τὸν τὴν οὐσίαν ὅλην διδάσκοντα. τοῦτον μὲν οὖν δείκνυσθαι δεῖ τὴν ἀναφορὰν ἐπὶ τὸν τρίτον ἔχοντα, τοῦτον δ᾽ αὖ πάλιν ἐπὶ τὸν δεύτερον, κἀκεῖνον αὖθις ἐπὶ τὸν πρῶτον, αὐτὸν δὲ τὸν πρῶτον ἐξ αὐτοῦ πιστεύεσθαι, φαινομένων ἐναργῶς πραγμάτων ἑρμηνείαν ἔχοντα. διὸ καὶ λόγον αὐτὸν ὀνοματώδη κέκληκεν ὁ Ἀριστοτέλης, ὡς εἰ καὶ λόγον ὀνόματος ἑρμηνευτικὸν εἰρήκει. τὸν δ᾽ ἕτερον ὅρον, οὐσιώδη τινὲς ἐκάλεσαν, λόγον εἶναί φησιν τὸν τί εἶναι δηλοῦντα. τί μὲν γάρ ἐστιν ἑκάστῳ τῶν ὁριζομένων τὸ εἶναι τοῦτον ἑρμηνεύειν φησὶ, τὰ συμβεβηκότα δὲ ἰδίως αὐτῷ συνδιέρχεσθαι τὸν ἐννοηματικόν. ὑπολαμβάνει δὲ καὶ ἄλλον ὁρισμὸν εἶναι τὸν καὶ τὴν οὐσίαν τοῦ πράγματος διδάσκοντα. καὶ τί με δεῖ λέγειν μακρότερον ἔτι περὶ τηλικούτων πραγμάτων, ἃ δυοῖν

ejusdem linguae omnibus hominibus probetur, quae quidem de rei essentia nihil statuit, sed in nuda quiescit notione; alteram jam, quae aliquantum recedat a notione, atque nonnihil accedat ad essentiam; ad haec tertiam, quae amplius cum de notione tum de essentia ostendat ac aperiat; postremo quartam, quae doceat totam essentiam. Atque hanc quidem ostendendum est ad tertiam referri, quam rursus ad secundam, atque illam quoque ad primam, prima vero debet ex se ipsa habere fidem, res perspicuas explicans manifestasque. Unde definitionem eam Aristoteles nominis appellavit, ut si definitionem diceret nomen interpretantem; alteram definitionem (quidam essentialem vocaverunt) definitionem dicit esse, quae quid sit explanat: nam quae sit cujusque definiti essentia, hac dicit docere; propria vero accidentia ejus una complecti definitionem notionis. Putat aliam praeterea esse definitionem, quae essentiam rei do-

ἐδεήθη βιβλίων, τοῦ τρίτου καὶ τετάρτου τῶν ὑπομνημάτων ὧν ἐποιησάμην εἰς τὸ δεύτερον Ἀριστοτέλους τῶν δευτέρων ἀναλυτικῶν. ἐπ᾿ αὐτοῦ δέ σοι τοῦ σφυγμοῦ πειράσομαι δεῖξαι τούτων ἕκαστον ὅσον οἷόν τέ μοι διὰ βραχυτάτων· ὅστις δὲ οἷς εἶπον ὑπομνήμασι πρότερον ὡμίλησεν, οὗτος ῥᾷον ἀκολουθήσει τοῖς λεχθησομένοις. αἰσθανόμεθα κατ᾿ ἔνια μόρια τοῦ δέρματος κινήσεώς τινος, οὐ μόνον ἐπιβάλλοντες αὐτῷ τὴν ἁφὴν, ἀλλὰ καὶ τοῖς ὀφθαλμοῖς ἐνίοτε. καὶ ἥδ᾿ ἡ κίνησις ἐπὶ πάντων [84] φαίνεται τῶν ὑγιαινόντων ἐν πολλοῖς μέρεσι τοῦ σώματος, ὧν ἕν ἐστι καὶ τὸ κατὰ τὸν καρπὸν τῆς χειρός. ἐναργῶς μὲν οὖν ἀνιόντος τινὸς ἐκ βάθους ἐπὶ τὸ δέρμα καὶ πλήττοντος ἡμᾶς αἰσθανόμεθα, μετὰ δὲ τὴν πληγὴν ἐνίοτε μὲν ἀποχωροῦντος αὐτοῦ σαφῶς, εἶθ᾿ ἡσυχάζοντος, ἐνίοτε δ᾿ εὐθέως ἀπ᾿ ἀρχῆς ἡσυχάζοντος ἔμφασις γίγνεται, καὶ μετὰ ταῦτα πάλιν ἀνιόντος τε καὶ πλήττοντος, εἶτ᾿ αὖθις ἀπιόντος τε καὶ ἡσυχάζοντος, καὶ τοῦτο διὰ παντὸς ποιοῦντος, ἀφ᾿ ἧς ἂν ἡμέρας γεννηθῇ τις, ἕως θανάτου. τὴν τοιαύτην κίνησιν οἱ ἄνθρωποι πάντες ὀνομάζουσι σφυγμόν.

ceat. Sed quid orationem produco tantis de rebus, quae commentaria flagitaverunt duo, quae in Ariftotelis librum fecundum confcripfi pofteriorum analyticorum? In ipfo tibi pulfu haec faciam, ut figillatim quam potero breviffime ob oculos ponam; qui vero verfatus exercitatusque prius eft in illis commentariis, facilius quae paro dicere affequetur. Quibusdam in partibus cutis percipimus motum quendam, non modo fi attingamus, fed interim oculis etiam. Hic in omnibus valentibus motus multis corporis partibus cernitur, de quibus eft carpus manus. Atque palam quidem animadvertimus quiddam de profundo ascendere et nos ferire, ab ictu interdum aperte id recedere, inde requiescere. Interdum a primo ftatim fpecies repraefentatur requiescentis, ac deinde ascendentis iterum ferientisque atque mox recipientis fe rurfus atque quiescentis, idque jam inde a nativitate hominis ad obitum usque facientis. Eum motum omnes homines pulfum appellant. Hunc qui brevibus

καὶ ὅστις ἂν αὐτὴν διὰ ταχέως ἑρμηνεῦσαι δυνηθῇ, κάλλιστα τὸν ἐννοηματικὸν ὅρον ὁ τοιοῦτος ἐργάσεται, μήτε παραλιπὼν δηλονότι μήτε προστιθεὶς ἐκ περιττοῦ παρ᾽ ἃ διῆλθον ἀρτίως. εἰ δέ γέ τι προσθείη, κἂν ᾖ (43) σμικρὸν, εἰ μὲν ἄχρηστον εἴη τὸ προστιθέμενον, ἀδολεσχήσει μάτην, εἰ δὲ χρήσιμον, ἀποχωρήσει κατ᾽ ἐκεῖνο τῆς ἐννοίας ἐπὶ τὴν οὐσίαν τοῦ πράγματος· οἷον εἰ φαίη τὴν τῶν ἀρτηριῶν τοιάνδε κίνησιν εἶναι σφυγμόν. ὁ γὰρ τοιοῦτος ὅρος οὐ τὴν κίνησιν μόνον, ἀλλὰ καὶ τίνων ἐστὶν ἑρμηνεύει, καίτοι τῶν ἰδιωτῶν ὅτι μέν ἐστί τις ἐν τῷ σώματι τοιάδε κίνησις ἐναργῶς αἰσθανομένων, ἀγνοούντων δ᾽ αὐτὸ τὸ κινούμενον σῶμα. εἰ δέ τις οὐ μόνον εἶδε τὴν ἀρτηρίαν γυμνώσας τοῦ δέρματος ἁπλῶς οὑτωσὶ κατὰ τὴν ἔξωθεν αὐτῆς περιγραφὴν, ἀλλὰ καὶ τοὺς χιτῶνας, ὁπόσοι τέ εἰσι καὶ ὁποῖοι, κατεσκέψατο, περαιτέρω προὐχώρησεν οὗτος ἢ κατὰ τὴν ἔννοιαν, ἔτι καὶ μᾶλλον ἐκείνου τοῦ πρόσθεν, ὃς ἔξωθεν αὐτὴν ἑώρα μόνον. εἰ δὲ δὴ καὶ τὴν δύναμιν εὕροι, καθ᾽ ἣν αἱ ἀρτηρίαι σφύζουσι, καὶ πότερον ἐξ ἑαυτῶν ἔχουσι τὴν ἀρχὴν τῆς κινήσεως, ἢ παρὰ τῆς καρδίας, καὶ εἰ παρὰ ταύτης, ὅπως ἆρά γε πνευματικὴν

poterit interpretari, optime definitionem ille notionis effecerit, modo ut praetereat nihil, nec quicquam addat fuperflui ultra quae commemoravi modo. Nam fi quid etiam pufillum addiderit, fi quidem additio fit inutilis, inaniter garriat; fi vero fit utilis, discedat ea re a notione ad rei effentiam; ut fi dicat, talem motum arteriarum effe pulfum. Ea enim definitio non motum tantum, fed et quorum eft, declarat; quum aperte fentiat quidem vulgus effe talem in corpore motum, fed non corpus ipfum cognoscat, quod movetur. Quod fi quis non folum fic leviter arteriae viderit detracta cute externam figuram, fed tunicas etiam quot fint et quales perfpexerit, hic praetergreffus notionem eft et longe vero etiam illo priore magis, qui foris eam tantum viderat. At vero fi facultatem quoque repererit, qua pulfant arteriae, atque motus utrum principium a fe ipfis habeant, an a corde, ac fi ab hoc, qui tandem fpiritualemne

ὕλην ἐπιπεμπούσης κατὰ τὴν ἐντὸς κοιλότητα τῶν ἀγγείων, ἢ δύναμίν τινα διὰ τῶν χιτώνων αὐτῶν, ἔτι τε πρὸς τούτοις, ἥ τίς ποτέ ἐστιν ἡ χρεία τῆς κινήσεως αὐτῶν, οὗτος ἀκριβῶς εἴσεται τὴν οὐσίαν ὅλην τῆς τῶν σφυγμῶν γενέσεως. οὐ μὴν ἅπαντά γε ταῦτα δυνατὸν ὅρῳ περιλαβεῖν· οὐ γὰρ βούλονται μακροὺς εἰς τοσοῦτον γίνεσθαι τοὺς ὅρους οἱ χαίροντες αὐτοῖς· ὥστε οὐδέ ἐστι πᾶς ὅρος σφυγμῶν οὐσιώδης ἀκριβῶς, ἢ πάνυ μακρὸς ἔσται. πρόσκειται δὲ τῷ λόγῳ τὸ ἀκριβῶς, ὅτι τῶν κατὰ τὴν οὐσίαν ἄλλος ἄλλο προσθέντες ἔνιοι τῶν νεωτέρων ἰατρῶν οὐσιώδη νομίζουσιν ὅρον εἰρηκέναι τοῦ σφυγμοῦ, πρὸς τῷ κἀκεῖνο μέγιστον ἡμαρτηκέναι, τὸν μόνον εἰρηκέναι τὸ ὁριζόμενον ὑπ᾽ αὐτῶν οὐσιώδη, μὴ προειρημένου τοῦ κατὰ τὴν ἔννοιαν, ὃς ἐν τοῖς περὶ τούτων λογισμοῖς ἡμῖν ἐπιδέδεικται κριτήριον γενόμενος τοῦ κατὰ τὴν οὐσίαν. ἀλλ᾽ οὐδὲ τοῦτ᾽ αὐτὸ γινώσκοντες, εἰκότως ἀποφαίνονται τὸ δόξαν ἀλόγως ἑαυτοῖς. ἀρξώμεθα οὖν αὖθις ἀπὸ τῶν ἐννοηματικῶν ὅρων, οὓς οὐδὲν ἔφαμεν ἑρμηνεύειν πλέον ὧν ἅπαντες ἄν-

materiam immittente in vaſorum internam cavitatem, an facultatem quandam per tunicas illarum, ad haec qui uſus demum ſit earum motus, is plane tenebit univerſam eſſentiam pulſuum generationis. Veruntamen iſta quidem nequeas definitione univerſa complecti; neque enim volunt definitiones quibus illae ſunt cordi adeo eſſe immenſas; unde fit ut nulla pulſuum ſit definitio prorſus eſſentialis, aut praelonga erit. Addidi prorſus, quod quum illorum quae ad eſſentiam pertinent, quidam ex junioribus medicis, aliis aliud adjecerunt, eſſentialem arbitrantur ſe definitionem pulſus explicaviſſe. Ubi praeterea in eo maxime peccant, quod ſolam definitionem protulerunt, quam vocant ipſi eſſentialem, nec ante dederunt definitionem quae explicet notionem, quam, ubi de his egimus, arbitram nos definitionis eſſentialis oſtendimus. Ad hujus etiam ignorationem merito pronuntiant quod ſtulte in mentem ipſis venit. Quare de integro exordiamur a notionis definitionibus, quas praeter quod perſpectum eſt omnibus hominibus nihil de-

θρωποι γινώσκουσιν. ἔοικε δ᾽ οὐδεὶς εἰρῆσθαι τοιοῦτος οὐδ᾽ ὑπὸ τῶν ἐμπειρικῶν, οἷς ἔπρεπε μάλιστα πάντων ὅροις χρῆσθαι τοιούτοις, οὓς οἱ δεινοὶ περὶ τὰς προσηγορίας οὐδ᾽ ὅρους ἀξιοῦσιν, ἀλλ᾽ ὑπογραφάς τε καὶ ὑποτυπώσεις ὀνομάζειν. ἐγένοντο δ᾽ ἂν αἱ ὑπογραφαὶ τοιαίδε τινές. κίνησις ἀπροαίρετος ἔν τισι μορίοις ὑπάρχουσα τῶν ἐναίμων ζώων ἡσυχίᾳ διακοπτομένη. καὶ μὲν δὴ καὶ εἰ φυσικὴν εἴποι τις τὴν κίνησιν, ἢ οὐχ ἑκουσίαν, ἢ οὐ καθ᾽ ὁρμὴν, οὐ διοίσει. εἰ δὲ καὶ ὅτι κατὰ τὰ σμικρὰ μόρια γίνεται τοῦ δέρματος, ἢ ὅτι βραχυχρόνιος, ἐν τῷ τῆς ὑπογραφῆς λόγῳ περιλάβοι, τελεώτερον ἀποδώσει τὴν ἔννοιαν. εἰ οὐδὲ καὶ τὰς τῶν σοφιστῶν ἐπηρείας φυλάττοιτο, [85] προσθήσει τῷ τῆς κινήσεως ὀνόματι τὸ αἰσθητή· καίτοι γε αἱ τοιαῦται προσθῆκαι δειλίας ἀλόγου μᾶλλόν εἰσιν ἢ ἀσφαλείας εὐλόγου σημεῖον. τὸ γὰρ τῆς κινήσεως ὄνομα πάντες ἄνθρωποι κατὰ τῆς ἐναργῶς φαινομένης αἰσθήσει λέγειν εἰώθασιν, ἐπεί τοι τὰς λόγῳ θεωρητὰς ἔστι τις λόγος πιθανὸς ἐπιδεικνὺς ὑπάρχειν ἀεὶ τοῖς σώμασιν

monftravimus explicare. Talem autem invenio nullam proditam, ne ab empiricis quidem, quorum erat praeter caeteros hisce uti definitionibus, quas artifices ifti graves in appellationibus ne quidem definitiones dignantur, fed defcriptiones et illustrationes vocare. Ac fiant quidem defcriptiones tales: motus involutarius, qui in partibus eft quibusdam animalium fanguine praeditorum quiete interpellatus. Quinetiam fi naturalem dixeris eum motum, vel non voluntarium, vel citra appetitionem, nihil refert. Si item ad parvas partes cutis fieri, aut non diuturnum effe, in defcriptione colligas, perfectiorem notionem reddas. Jam fi nondum declinaveris fophiftarum calumnias, appones motus nomini, fenfibilis; quanquam hercle ftultum potius timorem iftae additiones quam probatam fiduciam arguunt. Nam motus nomen omnes homines illi folent tribuere, quem aperte fenfus animadvertit, quandoquidem illos quos ratione perfpicimus, argumentum eft quoddam probabile, quod femper

ἅπασιν, κἂν μὴ φαίνηται κινούμενα. καὶ αὐτὸ δὲ τοῦτο τὸ αἰσθητὸν ὄνομα δύο σημαίνει, τό θ' ὑποπίπτειν αἰσθήσει πρᾶγμα νῦν ἤδη, καθ' ὃν ἂν λέγοιτο χρόνον, ἕτερόν τε πρὸς τούτῳ τὸ δυνάμενον αἰσθητὸν γενέσθαι, κἂν νῦν ᾖ μηδέπω· καθ' ὃ καὶ τὸν ἐν τῷ βυθῷ λίθον αἰσθητὸν εἶναι λέγομεν ὅσον ἑαυτῷ, διὰ τὸ τῆς φύσεως εἶναι δηλονότι τῶν αἰσθητῶν. ἡ τοίνυν αἰσθητὴ κίνησις, ἔν τισι μέρεσι τοῦ σώματος ἕως ἂν ζῶμεν ἡμῖν φαινομένη, σφυγμὸς ὀνομάζεται· διακόπτεται δὲ, ὡς ἔφην, ἡσυχίᾳ. τοῦτο γὰρ ἀσφαλὲς εἶναι νομίζουσι λέγειν μᾶλλον ἔνιοι τῶν ἰατρῶν ἤπερ ἐκ διαστολῆς τε καὶ συστολῆς συγκεῖσθαι τὴν ὅλην κίνησιν, καίτοι γε οὕτως ἔχει τὸ φαινόμενον ἐναργῶς, εἰς ὕψος τε καὶ πλάτος καὶ μῆκος ἐκτεινομένης τῆς κινήσεως ἐπὶ τῶν ἰσχνῶν τε καὶ μεγαλοσφύκτων. ἕτεροι δὲ τούτων ἀτολμότεροι τῶν ἰδίων παθῶν τῆς ἁφῆς αἴσθησιν αὐτοῖς εἶναί φασι, δεδιότες ἀποφήνασθαι περί τινος τῶν ἐκτὸς ὡς ὑπάρχοντος, ἐκ τῆς τῶν σκεπτικῶν καὶ ἀπορητικῶν ὀνομαζομένων ἀγωγῆς ἐπὶ τοῦτό γε ἠγμένοι. τούτους μὲν οὖν ἀπολειπτέον ἡμῖν ἐστιν. ἴσως γὰρ οὐδ' ὅτι φαίνεταί τις αὐτοῖς κίνησις ἀποφήνασθαι τολμήσουσιν, εἰ τὰ

adesse omnibus corporibus, licet non videantur moveri, demonstrat. Jam ipsum nomen hoc, sensibile, duo denotat, rem sensui repraesentari jam nunc, quo tempore dicatur; alteramque etiam, quae licet non sentiatur in praesenti, possit tamen: quomodo lapidem in alto dicimus sensibilem sua sponte esse, nimirum quod de natura sit sensibilium. Sensibilis ergo motus, quem quibusdam in partibus corporis per totam vitam animadvertimus, pulsus appellatur. Hic quiete, ut diximus, interpellatur; quod cautius quidam medici putant dici quam distentione et contractione constare totum motum. Et quidem nihil est apertius quam motum in altum, latum et longum extendi in gracilibus magnisque pulsibus Porro alii his timidiores peculiares affectus sentire se tactus ajunt, pronunciare veriti rem externam ullam esse: quo illos scepticorum et haesitantium, qui vocantur, induxit institutio. Quare ab his discedamus: fortassis enim ne ullum se percipere motum dicere sustinebunt, si istis

πάντα πείθοιντο τοῖς ἀπορητικοῖς. ἐκείνων γοῦν ἔνιοι φασὶν οὐδὲ τὰ σφῶν αὐτῶν πάθη βεβαίως γινώσκειν, οὓς καλοῦσιν εἰκότως ἀγροικοπυῤῥωνείους. ἐπὶ δὲ τοὺς ὁμολογοῦντας πεπεῖσθαι κίνησιν ὁρᾷν ἐναργῶς ὑπὸ τῷ δέρματι σώματός τινος εἰς μῆκος καὶ πλάτος καὶ βάθος ἐκτεινομένου μεταβάντες, ἐπειδὴ μετριώτεροι τῶν ἄλλων εἰσὶ, παρακαλέσομεν αὐτοὺς διαιρεθέντος τοῦ δέρματος, ἢ κατὰ τὴν ἡμετέραν προαίρεσιν, ἢ κατὰ τύχην ποτὲ, σκέψασθαι, τί ποτ᾽ ἐστὶ τὸ φαινόμενον ὑπ᾽ αὐτῷ κινεῖσθαι. δῆλον γὰρ ὅτι παραπλήσιον ἀγγεῖον ὄψονται τῇ φλεβὶ, πλὴν ὅσῳ τὸν χιτῶνα διττόν τε καὶ πολὺ ῥωμαλεώτερον ἔχον, ὃ καλοῦμεν ἀρτηρίαν. ὄψονται δὲ ἐναργῶς καὶ τὸ πρόσθεν αὐτοῖς ἀμυδρῶς ὁρώμενον, ὡς κατὰ κύκλον τοῦτο τὸ ἀγγεῖον διαστέλλεται. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἥ τε καρδία γυμνωθεῖσα φανεῖται κινουμένη καὶ ὁ ἐγκέφαλος, ὥστε τολμῆσαί ποτε λέγειν αὐτοὺς, τὴν ὁρωμένην κίνησιν ἐν τῇ τῶν σφυγμῶν γενέσει περὶ σώματα γίνεσθαι τὰ προειρημένα. πότερα δὲ πρώτως τε καὶ καθ᾽ αὑτὸ ἡ δεξιὰ κοιλία τῆς καρδίας, ἢ συγκινουμένη τῇ ἀριστερᾷ,

haeſitatoribus credunt undequaque. Sunt quidem certe nonnulli in his, qui ne ſuos quidem ipſorum affectus probe fatentur ſe agnoscere, quos vocant jure agreſtes Pyrrhonios. Ad illos vero nos conferamus, qui non diſſimulanter motum videre ſe putant cujusdam ſubter cutem corporis in longum, latum profundumque extenſi, quando aliis ſunt moderatiores, atque admoneamus eos disciſſa cute, vel de induſtria noſtra, vel caſu aliquando, ut attendant quid ſit ſub ea quod moveri videtur. Sane enim vas aperte cernent aſſimile venae, niſi quatenus duplicem tunicam et longe robuſtiorem habet, quod arteriam vocamus. Clare etiam quod obscurius videbant antea perſpicient, hoc vas in omnes partes diſtendi. Haud aliter denudatum moveri cor conſpicietur, ac cerebrum etiam, ut audeant dicere tandem motum, quem in pulſuum generatione animadvertunt, in corporibus fieri quae commemoravimus; ſed an primo et per ſe cordis dexter ventriculus, an una ſimul cum ſiniſtro

κατὰ τὸν αὐτὸν ἐκείνῃ ῥυθμὸν φαίνεται σφύζουσα, παραιτήσεται ζητεῖν ὁ κατὰ τὴν πρώτην μετάβασιν ἀπὸ τῆς ἰδιωτικῆς ἐννοίας ἐπὶ τὴν οὐσίαν προερχόμενος. ὡσαύτως δὲ κἀπὶ τοῦ κατὰ τὸν ἐγκέφαλον φαινομένου σφυγμοῦ παραιτήσεται ζητεῖν, εἴτε πρώτως τε καὶ ἐξ ἑαυτοῦ τὴν ἐνέργειαν ἔχει ταύτην εἴτε συνεξαιρόμενος ταῖς κατ᾽ αὐτὸν ἀρτηρίαις, πολλαῖς καὶ μεγάλαις οὔσαις. ὁ δ᾽ ἐπὶ μᾶλλον τοῦδε τολμῶν ἀποφήνασθαι περὶ τῆς τῶν σφυγμῶν οὐσίας καὶ τοῦτο προσθήσει. τέλεον δ᾽ ἄν τις ὁρισμὸν ποιοῖτο τοῦ σφυγμοῦ προσθεὶς τοῖς εἰρημένοις τὴν χρείαν τῆς γενέσεως αὐτῶν, ἣν ἡμεῖς ἐν τῷ περὶ χρείας σφυγμῶν ὑπομνήματι φυλακήν τε τῆς ἐμφύτου θερμασίας ἔφαμεν εἶναι, γινώσκοντος δηλονότι τοῦ τὸν τοιοῦτον ὅρον ποιουμένου, κατὰ τίνα τρόπον γίνεται τὸ φυλάττεσθαι τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας, ἆρά γε τῷ ῥιπίζεσθαι κατὰ τὴν κίνησιν, ἢ διὰ τὴν πρόσπτωσιν τοῦ ψύχοντος ἀέρος συναγομένης, ὡς μὴ διαφορεῖσθαι ῥᾳδίως, ἢ καθαιρομένης τὸ καπνῶδές τε καὶ λιγνυῶδες περίττωμα. [86] χρεία δ᾽ ἐδείχθη τῆς κατὰ τὰς ἀρτηρίας πνευματικῆς οὐσίας καὶ πρὸς τὴν τοῦ ψυχροῦ πνεύματος γένεσιν. τῆς δ᾽ οὐσίας

motus, iisdem atque ille modulis pulfare videatur, nolet inquirere qui primo tranfitu a notione vulgari progreffus eft ad effentiam. Nec fecus in pulfu, qui in cerebro animadvertitur, indagare deprecabitur, utrum primo id et per fe agat, an una cum fuis arteriis attollatur, multis illis ac ingentibus. Qui autem hoc eft audacior in decernendo de pulfibus, iftud addet etiam. Integram definitionem pulfus facias, fi fuperioribus conjungas ufum eorum generationis: quem in commentario nos de usu pulfuum innati caloris effe diximus tutelam; fi quidem fciat qui eam definitionem facit, quo fiat pacto, ut nativi caloris mediocritas fervetur; utrum quod motu ventiletur, an quod frigidi aëris cogatur occurfu, ut diffolvatur difficilius, an quod fumofis purgetur atque fuliginofis excrementis. Facere praeterea ad animalem procreandum fpiritum oftendimus fubftantiam, quam fpiritualem habent arteriae. Jam et ad effentiam pulfuum

τῶν σφυγμῶν ἐστι καὶ πότερον, ὅταν αἱ ἀρτηρίαι διαστέλλωνται, τηνικαῦθ᾽ ἕλκεσθαι συμβαίνει τὰς ὕλας αὐτὰς, ἢ ὅταν συστέλλωνται. καὶ πάλιν περὶ τοῦ ἐκκρίνεσθαί τι τῶν ἀρτηριῶν ὁ αὐτὸς λόγος. ἡμεῖς γὰρ ἐδείξαμεν, ἕλκεσθαι μὲν διαστελλομένων, ἐκκρίνεσθαι δὲ συστελλομένων. οἱ δ᾽ ἀπὸ τῆς πνευματικῆς καλουμένης αἱρέσεως συστελλομένων μὲν ἕλκεσθαι νομίζουσι, διαστελλομένων (44) δ᾽ ἐκκρίνεσθαι. προσθήσει δ᾽ ἄλλος τούτοις ὁριζόμενος τὸν σφυγμὸν καὶ τὴν ποιητικὴν αἰτίαν αὐτοῦ. περὶ ἧς αὐτῆς ἐζήτηται, πότερον ζωτική τίς ἐστιν, ἢ ψυχικὴ δύναμις, ἢ ὅλως οὐδὲ δύναμις, ὡς Ἀσκληπιάδης κατασκευάζει. δῆλον οὖν ἐστιν, ὡς ὁ οὐσιώδης ὀνομαζόμενος ὅρος, ὅσπερ ἐστὶ λόγος διδασκαλικὸς τῆς τοῦ πράγματος οὐσίας, τό τε γένος ἐρεῖ τοῦ σφυγμοῦ καὶ τὰς διαφορὰς, τήν τε χρείαν τῆς γενέσεως καὶ τὴν ποιητικὴν αἰτίαν, ἔτι τε πρὸς τούτοις ὑλικὴν, ἢ ὀργανικὴν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλη· οἷον τὸ μὲν γένος ἤτοι κίνησιν, ἢ ἐνέργειαν, ἢ πάθος ἀρτηριῶν, τὰς δὲ διαφορὰς, ὅτι κατὰ διαστολὴν καὶ συστολὴν καὶ ὅτι χωρὶς προαιρέσεως, τὴν δὲ χρείαν, ὅτι τῆς ἐμφύτου θερμασίας ἕνεκεν, ἢ πνεύματος

pertinet, utrum quum arteriae diftenduntur, tum accidat in ipfas materias allici, an ubi confidant. Atque de excretione alicujus ex arteriis, eadem eft ratio, fiquidem attrahi demonftravimus quum diftenduntur, et quum contrahuntur excerni. Qui vero de fecta funt, quam pneumaticam vocant, in contractione putant attrahi, in diftentione excerni. Alius porro his in definiendo pulfu caufam ejus efficientem addet, de qua in quaeftionem venit, vitalisne fit, an animalis facultas, an omnino ne facultas quidem, ut afferit Asclepiades. Quare definitionem, quam vocat, effentialem, quae eft oratio effentiam rei docens, planum eft genus explicaturam effe et differentias et ufum generationis, caufam item efficientem, ad haec materialem aut inftrumentalem, aut quoquo modo velis appellare, ut genus, aut motum, aut actionem, aut paffionem arteriarum; differentias, quod per diftentionem et contractionem quodque fponte; ufum, quod innati caloris nomine, vel fpiritus vitalis generandi, aut

ζωτικοῦ γενέσεως, ἢ καὶ νὴ Δία ψυχικοῦ, τὴν ποιητικὴν δ᾽ αἰτίαν, ὅτι δύναμίς τίς ἐστι διαστέλλουσα τήν τε καρδίαν καὶ τὰς ἀρτηρίας, ἤτοι ζωτική τις, ἢ ψυχικὴ, ἢ ἀμφότερα, τὴν ὑλικὴν δὲ καὶ ὀργανικὴν, τὴν κατασκευὴν τῶν ἀρτηριῶν, εἰς ἣν εἶπον ἐνέργειαν ἐπιτηδείαν δεῖξαι. καὶ γενήσεται δηλονότι καθ᾽ ἑκάστην αἵρεσιν λογικὴν ἴδιος ὅρος. ὁ μὲν γὰρ Ἐρασίστρατος ἐρεῖ τὸν σφυγμὸν εἶναι κίνησιν ἀρτηριῶν κατὰ διαστολὴν καὶ συστολὴν ὑπὸ ζωτικῆς τε καὶ ψυχικῆς δυνάμεως γινομένην, ἐπιπληρώσεως ἕνεκεν ἀρτηριῶν, ἐχουσῶν ἐν αὑταῖς πνεῦμα ζωτικόν· ὁ δ᾽ Ἀσκληπιάδης κίνησιν ἀρτηριῶν κατὰ διαστολὴν καὶ συστολὴν, πληρουμένων μὲν πνεύματος τῇ πρὸς τὸ λεπτομερὲς φορᾷ, κενουμένων δὲ τῇ καταπτώσει τοῦ χιτῶνος αὐτῶν. ἡμεῖς δὲ φήσομεν, ἐνέργειαν εἶναι τὸν σφυγμὸν ἰδίαν, πρώτως μὲν τῆς καρδίας, δευτέρως δὲ τῶν ἀρτηριῶν κατὰ διαστολὴν καὶ συστολὴν κινουμένων ὑπὸ ζωτικῆς δυνάμεως, ἕνεκα τοῦ φυλάττεσθαι μὲν τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας, γεννᾶσθαι δὲ ἐν ἐγκεφάλῳ πνεῦμα ψυχικόν. ἀνάλογον δὲ τοῖς ὅροις τοῖσδε καὶ οἱ ἀπὸ

hercle etiam animalis; cauſam efficientem, quod vis ſit quaedam cor diſtendens et arterias, aut vitalis, aut animalis, aut utraque; materialem et inſtrumentalem, conformationem arteriarum ad actionem, quam dixi appoſitam. Ita ſuam quaeque ſecta rationalis ſortietur definitionem. Namque pulſum dicet Eraſiſtratus motum eſſe arteriarum per diſtentionem et contractionem, quem facultas efficit vitalis et animalis, ad implendas arterias ſpiritum continentes vitalem; Asclepiades, motum eſſe arteriarum per diſtentionem et contractionem, quae ſpiritu implentur, quum extenuantur, quum conſidunt earum tunicae, evacuantur. Nos vero dicemus actionem eſſe pulſum peculiarem, praecipue cordis, deinde arteriarum, quae diſtentione et contractione moventur a facultate vitali, quo caloris nativi mediocritas retineatur, generetur autem in cerebro ſpiritus animalis. Atque ad modum harum definitionum, qui de aliis ſectis

τῶν ἄλλων αἱρέσεων ὁριοῦνται τὸν σφυγμὸν, ἕκαστος δηλονότι κατὰ τὰς οἰκείας ὑποθέσεις. ἐὰν μὲν οὖν τελέως ὁρίζωνται, συμφωνήσουσιν ἀλλήλοις· ἐὰν δὲ ἐλλιπῶς, ἢ περιττῶς, ἢ κατά τι μοχθηρῶς, διενεχθήσονται. τούτου δέ σοι πίστις μεγίστη τὸ τοὺς Ἡροφιλείους, οἵπερ δὴ καὶ πρῶτοι τὸν σφυγμὸν ἐπεχείρησαν ὁρίζεσθαι, διενεχθῆναι πρὸς ἀλλήλους, ἀντιπαρεξάγοντας δὲ αὐτοῖς καὶ τοὺς Ἐρασιστρατείους, ἤκμασε γὰρ ἄμφω ταῦτα τὰ διδασκαλεῖα μετὰ τὸν Ἡροφίλου θάνατον, ἑτέρως πάλιν καὶ αὐτοὺς ποιεῖσθαι τὸν ὅρον τοῦ σφυγμοῦ, διαφωνοῦντας ἀλλήλοις τε καὶ τοῖς Ἡροφιλείοις. αὐτοὶ μὲν γὰρ οἱ παλαιοὶ χωρὶς ὅρων ἐποιοῦντο τὰς διδασκαλίας, ἐνδεικνύμενοι τὰ σημαινόμενα τῶν ὀνομάτων ὧν ἔλεγον αὐτῇ τῇ κατὰ τὴν ἑρμηνείαν ἰδέᾳ, καθ᾽ ἣν δηλονότι καὶ τὰς παρ᾽ Ὁμήρῳ λέξεις ἅπασί τε τοῖς ἄλλοις παλαιοῖς οἱ γραμματικοὶ σαφηνίζουσι. τὸ γὰρ τῇδε τῇ ἑρμηνείᾳ μήπω σαφὲς ἐξ ἑτέρας εὔδηλον γίνεται, καθάπερ ἐπὶ τοῦ πίσυρες. ἐν μὲν γὰρ τῷ,

— — Πίσυρες ἐριαύχενες ἵπποι,

funt, definient pulfum, ubique pro fuis quisque fuppofitionibus. Proinde fi perfecte definiant, confenferint mutuo; fin anguftius, vel latius, vel aliqua ex parte minus bene, non convenerint. Hujus habes argumentum maximum, quod Herophili discipuli, qui quidem pulfum aggreffi primi funt definire, inter fe disceptarunt; tum vero etiam quod cum his Erafiftrati discipuli digladiantes (nam floruerunt ambae hae fcholae ab Herophili obitu) aliam etiam pulfus definitionem inftituunt, diffidentes et inter fe mutuo et a discipulis Herophili. Nam veteres quidem relictis definitionibus docebant, fignificationes declarantes nominum, quibus utebantur, ea interpretandi forma, qua Homeri dictiones grammatici aliorumque antiquorum omnium explicant. Nam in hac interpretatione, quod haud dum liquet, ex altera declaratur; ut in dictione πίσυρες, nam hoc in verfu,

— — Πίσυρες ἐριαύχενες ἵπποι,

σαφὲς οὐδέπω τὸ σημαινόμενόν ἐστιν, ἐν μέντοι τῷ,

Ἔνθεν τέσσαρα μὲν σακέ' εἷλον, δούρατα δ' ὀκτὼ,
— — καὶ πίσυρας κυνέας,

εὔδηλον ἐγένετο. τεττάρων γὰρ ὄντων τῶν καθοπλιζομένων, ὥσπερ σάκη τέσσαρα λαβεῖν αὐτούς φησιν, οὕτω καὶ περικεφαλαίας τέσ[87]σαρας. ὡσαύτως οὖν ὅταν ἀναγνῶμεν ἔν τινι τῶν παλαιῶν ἰατρῶν βιβλίῳ, σφύζειν τὸ φλεγμαῖνον μόνον μόριον, ἢ τὴν ἐπὶ φλεγμονῇ κίνησιν τῶν ἀρτηριῶν σφυγμὸν ὀνομάζοντας μόνην, ἐπὶ δὲ τοῦ κατὰ φύσιν ἔχοντος τοῦ σώματος οὐδέποτε χρωμένους τῇ προσηγορίᾳ, λογιζόμεθα μὴ πᾶσαν ἀρτηριῶν κίνησιν, ἀλλ' ἤτοι τὴν μεγάλην καὶ σφοδρὰν, ἢ τὴν αἰσθητικὴν αὐτῷ τῷ κάμνοντι, προσαγορεύεσθαι σφυγμόν. οὕτω δὲ δοκεῖ τῇ προσηγορίᾳ τοῦ σφυγμοῦ κεχρῆσθαι καὶ ὁ Ἐρασίστρατος. ὅταν δ' αὖ πάλιν ἀναγνῶμεν Αἰγιμίου τὸ περὶ παλμῶν βιβλίον, εὑρίσκομεν, ὃ νῦν ἡμεῖς καλοῦμεν σφυγμὸν, ὑπ' ἐκείνου παλμὸν ὀνομαζόμενον. ἐναντίως δ' αὐτῷ τὸν Ἡρόφιλον εὕροις ἂν εὐθὺς ἐν ἀρχῇ τῆς περὶ σφυγμῶν πραγματείας διορίζοντα σφυγμὸν παλμοῦ.

nondum quid significet constat. Sed ibi:

Ἔνθεν τέσσαρα μὲν σακέ' εἷλον, δούρατα δ' ὀκτὼ,
— — καὶ πίσυρας κυνέας,

explicatum est. Dum enim essent quatuor, qui armarentur, tum scuta illos quatuor accepisse dicit tum galeas etiam quatuor. Hoc modo, quando legimus apud veterem aliquem medicum, solam pulsare inflammatam partem, aut motum tantum in inflammatione arteriarum appellare eos pulsum, in corpore autem sano hoc vocabulo uti nunquam, non omnem motum arteriarum colligimus, sed aut magnum et vehementem, aut quem ipse potest aegrotus animadvertere, pulsum vocari. In hunc modum videtur et Erasistratus pulsus nomen usurpavisse. Sed enim ubi legimus rursus Aegimii De palpitationibus librum, quem hic pulsum nos vocamus, palpitationem ab illo invenimus appellari. At vero Herophilum contra videas statim a principio libri de pulsibus a palpitatione pulsum separare; videtur enim om-

φαίνεται γὰρ ὁ ἀνὴρ οὗτος ἅπασαν ἀρτηριῶν κίνησιν, ἣν ὁρῶμεν ἐξ ἀρχῆς ἡμῖν ἕως τέλους ὑπάρχουσαν, ὀνομάζων σφυγμὸν, ἐξ οὗ καὶ τὰς διαγνώσεις τῶν παρόντων καὶ τὰς προγνώσεις τῶν ἐσομένων ποιούμεθα, μηδὲν τοῦ κατὰ τὴν καρδίαν, ἢ τὸν ἐγκέφαλον, ἢ τὰς μήνιγγας δεόμενοι σφυγμοῦ. κυριωτάτη μὲν οὖν ἔννοια τοῦ σφυγμοῦ πᾶσι τοῖς νῦν ἰατροῖς ἐστιν ἡ εἰρημένη· καὶ γὰρ δέονται ταύτης, ὡς εἶπον ἄρτι. τὸ δ᾽ ἐπὶ τῇδε πᾶν ἤδη σοφιστικόν. ὅθεν οὐδὲ ὁρίζεσθαι προσήκει τὰ τοιαῦτα τῶν πραγμάτων, οὐδ᾽ αὑτὸν ἐμβάλλειν εἰς λόγους καὶ παρ᾽ αὐτοῖς τοῖς διαλεκτικοῖς διαπεφωνημένους ἕξεώς τε μεγάλης δεομένους, ἵν᾽ ἀκριβῶς τις αὐτοὺς κατορθώσῃ, πρὸς τῷ μηδ᾽ ἀναγκαῖον εἶναι δι᾽ ὅρων οὐσιωδῶν ποιεῖσθαι τὰς διδασκαλίας. οἱ δ᾽ ἐννοηματικοὶ καλούμενοι τῶν ὅρων τοῖς μὲν ἤδη γινώσκουσι τὸ πρᾶγμα περιττοὶ, τοῖς δ᾽ ἀγνοοῦσιν οὐκ ἀναγκαῖοι, δυναμένης γε δὴ τῆς διδασκαλίας διὰ μακροτέρου λόγου γενέσθαι σαφέστερον. εἰ μὲν γάρ τις δύναται διὰ βραχέος θ᾽ ἅμα καὶ σαφοῦς λόγου περιλαβεῖν ἀκριβῶς τὴν ἔννοιαν τοῦ δηλουμένου πράγματος ὑπὸ τῆς

nem vir ille motum arteriarum, quem habere nos a primis vitae temporibus ad mortem usque perſpicimus, pulſum appellare: ex quo praeſentem ſtatum cognoscimus futurumque providemus, nec pulſum, qui in corde eſt, vel in cerebro, vel in membranis ejus, requirimus. Sic praecipua pulſus eſt omnibus hujus aetatis medicis notio, quam nunc explicavimus: nempe hanc, ut modo dixi, deſiderant; quod hanc ſequitur, omne jam cavillationibus plenum eſt. Quo minus ejuscemodi res definiendae ſunt: nec ſe ipſum debet quisquam conjicere in definitiones, de quibus nec inter ipſos convenit dialecticos et quae ut omnibus numeris abſolvas uſum magnum poſtulant, ne dicam nihil opus eſſe ad tradendas disciplinas definitione eſſentiali. Definitiones, quas vocant, notionis, his, qui jam rem cognoscunt, ſunt ſupervacaneae; ignorantibus non neceſſariae, quod doceri certe pluribus verbis poſſunt apertius. Nam notionem qui rei ſignificatae a vocabulo brevi poteſt et aperta oratione accurate complecti, doctor ſit hic quidem praeſtantiſſimus,

προσηγορίας, ἄριστος ἂν εἴη διδάσκαλος, οὐ μὴν ὅ γ᾽ ἀπολειπόμενος τῆς τοιαύτης ἕξεως ἄχρηστος, ὥσπερ οὐδ᾽ ὁ μὴ καλῶς ἑρμηνεύων. ἄριστον μὲν γὰρ οὕτω σαφῶς ἑρμηνεύειν, ὡς οἱ περὶ Λυσίαν τε καὶ Δημοσθένη ῥήτορες· οὐκ ἄχρηστοι δέ εἰσι καὶ οἱ νῦν ἐν τοῖς δικαστηρίοις λέγοντες· οὐκ οὖν κωλύω τοὺς δυναμένους τὰ σημαινόμενα πράγματα πρὸς ἑκάστου τῶν ὀνομάτων ἐναργῶς τε ἅμα καὶ ταχέως ἑρμηνεύειν τοῖς ἀγνοοῦσιν, ὥς γε καὶ αὐτὸς ἔργῳ φαίνομαι τοῦτο σπουδάζων, ἀλλ᾽ ὅτι περιττόν ἐστι πράττειν οὕτως, ἐν οἷς ἤδη γινώσκουσι τὸ ἑρμηνευθησόμενον ἅπαντες, οὐδ᾽ ὅλως τε χρὴ τοὺς οὐσιώδεις ὅρους λέγεσθαι τοῖς ἀρχομένοις ἡστινοσοῦν μαθήσεως, ἀλλ᾽ ὅταν ἀπὸ τῆς ἐννοίας ἀρξάμενοι προσάγωμεν αὐτοὺς ἐπὶ τὴν τῆς οὐσίας γνῶσιν, εἴη ἂν ἤδη χρήσιμον ἐν βραχεῖ λόγῳ περιλαβεῖν τὸ σύμπαν, ἕνεκα προχείρου μνήμης. ὅσοι τοίνυν ἰατροὶ καὶ φιλόσοφοι τοῖς ἀρχομένοις ὁτιοῦν μανθάνειν ἀπὸ τῶν οὐσιωδῶν ὅρων τὴν ἀρχὴν τῆς διδασκαλίας ποιοῦνται, κἂν ὅτι μάλιστα δυνατοὶ λέγειν ὦσι, κἂν σαφῶς ἑρμηνεύσωσιν, ὅμως ἀσαφεῖς γίνονται, μὴ δυνα-

non tamen qui abeſt ab illa perfectione malus eſt, nec vero qui minus probe interpretatur. Nam ita aperte rem ob oculos ponere, ut Lyſias et Demoſthenes oratores fecerunt, optimum ſit; non contemnendi ſunt tamen qui nunc in judiciis cauſas agunt. Equidem nihil obſiſto illa facultate praeditis, quin clare ſimul et compendiose quae ſingulis nominibus denotantur declarent ignorantibus, quippe qui hoc videor ipſe agere: ſed quod inanem ibi laborem ſubeas, ubi omnes jam cognoscunt, quod inſtituis declarare. Omnino vero apud tirones cujusvis disciplinae ne proferendae quidem definitiones eſſentiales ſunt, verum ubi a notione exorſi ad eſſentiae eos notitiam deducamus, hic jam promptae memoriae gratiae rem univerſam limitata complecti oratione fuerit commodum. Quare quicunque medici et philoſophi initiatis primum cujuspiam disciplinae initium faciunt docendi ab eſſentialibus definitionibus, ut eloquentiſſimi ſint, ut clare interpretentur, obscuri evadunt tamen, quod aſſequi auditores, quae amplam explanatio-

μένων νοεῖν τῶν ἀκουόντων ἐν ὅροις βραχέσι λεγόμενα πράγματα, μακρᾶς ἑρμηνείας εἰς νόησιν δεόμενα. προαποδειχθῆναι γὰρ χρὴ διὰ λόγων πολλῶν τὴν οὐσίαν τοῦ ζητουμένου πράγματος, ἵνα γνωσθεῖσά τε καὶ πιστευθεῖσα νοηθῇ ποθ᾽ ὕστερον ἐν βραχείᾳ λέξει. ταῦτα οὖν εἰκότως μεμφόμενος ἀεὶ τοῖς ἐπιχειροῦσιν ἅπαντα δι᾽ ὅρων διδάσκειν εἵνεκα παραδείγματος ἐπὶ τόνδε τὸν λόγον ἧκον, ἔργῳ πολλάκις ἐπιδειξάμενος, ὡς ὅ τι περ ἂν προβάλλῃ τις ὄνομα, βιβλίον ὅλον ποιεῖν ἐπιδεικνύντα πῶς ὁριστέον ἐστὶ τὸ δηλούμενον ὑπ᾽ αὐτοῦ πρᾶγμα. λέγωμεν οὖν αὖθις ἀναλαβόντες ὑπὲρ τοῦ κατὰ τὸν σφυγμὸν ὅρου, μνημονεύοντες ὀνομαστὶ τῶν δοξάντων αὐτὸν ὡρίσθαι καλῶς. [88] (45) ἤρξαντο μὲν οὖν, ὡς ἔφην, τῆς τοιαύτης περιεργίας οἱ Ἡροφίλειοι· διεδέξαντο δ᾽ αὐτοὺς ἔνιοι τῶν Ἐρασιστρατείων· εἶθ᾽ οἵ τε πνευματικοὶ καλούμενοι καί τινες τῶν μεθοδικῶν. εἰ μὲν οὖν ἁπάντων μνημονεύω, δυοῖν, οὐχ ἑνὸς, ἔσται χρεία βιβλίων. βουλομένῳ δέ μοι τὴν οὐκ ἀναγκαίαν ταύτην πολυλογίαν ἐν ἑνὶ καταπαῦσαι γράμματι, τοσούτους αὐταρκές ἐστι διελθεῖν ὅρους, ἅμα τοῖς εἰποῦσιν ἀνδράσιν αὐτοὺς, ὅσους ἂν ὑπο-

nem, quo intelligantur, quaerunt, quum brevibus haec definitionibus referuntur, nequeant. Longa enim oratione prius rei, qua de agitur, aperienda eſſentia eſt, ut cognita jam et perſpecta brevibus tandem verbis accipiatur. Haec ergo quia jure exprobro illis ſemper, qui definitionibus omnia docere conantur, huc exempli gratia veni: qui re ipſa declaravi multis locis, quodcunque quis ponat nomen, ſolidum librum eſſe faciendum, ut declaret, quomodo ſit res, quae ab illo ſignificatur, definienda. Itaque de pulſus definitione agamus de integro, ac, qui recte definire niſi ſunt eum, hos nominatim appellemus. Ergo hujus curioſitatis discipuli Herophili, ut dixi, principes fuerunt: quibus ſucceſſerunt de Eraſiſtrati familia nonnulli: ſecuti ſunt qui pneumatici vocantur et ex methodicis quidam: quos omnes ſi appellem, duobus erit, non uno libro opus. Quia vero certum eſt mihi hanc verboſam inanemque disputationem uno volumine limitare, tot ſufficiet definitiones recenſuiſſe,

δέξασθαι δύνηται τὸ βιβλίον. ἐκ τούτων γὰρ οὖν ἐνέσται καὶ τοὺς ἄλλους ἅπαντας κρίνειν.

Κεφ. γ΄. Ὁ μὲν Ταραντῖνος Ἡρακλείδης ἐμπειρικῷ πρέπουσαν ὑπογραφὴν ποιούμενος τὸν σφυγμὸν εἶναί φησι κίνησιν ἀρτηριῶν καὶ καρδίας. ἴσμεν δ᾽ ὅτι τὴν ἀρχὴν οὐδ᾽ ὁρίζεσθαι σπουδάζουσιν οἱ ἀπὸ τῆς ἐμπειρικῆς αἱρέσεως, ἀλλ᾽ ὑποτυπώσεσί τε καὶ ὑπογραφαῖς χρῶνται. καλοῦσι δ᾽ οὕτως αὐτοὶ τοὺς λόγους, ὅσοι διὰ βραχέων ἑρμηνεύουσι τὴν ἔννοιαν τοῦ πράγματος, οὗ τὴν προσηγορίαν φθεγγόμεθα. ταύτην οὖν ἡγεῖται τοὺς ἀνθρώπους ἔχειν ἔννοιαν περὶ τὴν τοῦ σφυγμοῦ προσηγορίαν, αὐτούς τε προτείνοντας ἐνίοτε τὴν χεῖρα καὶ τῶν σφυγμῶν ἀξιοῦντας ἅψασθαι τὸν ἰατρόν. ὅταν δέ τινα λέγωμεν ἄσφυκτον, ἐκ τῆς φωνῆς ταύτης ἡγούμεθα σημαίνεσθαι τὸν οὕτω διακείμενον ἄνθρωπον, ὡς μηδεμίαν ὑποπίπτειν κίνησιν ἐν μηδενὶ μέρει τοῦ σώματος ἀρτηρίας μηδεμιᾶς. εἰ δ᾽ ἔστι τις ἄλλη κίνησις ἐν ταῖς ἀρτηρίαις αὐξανομέναις τε καὶ τρεφομέναις καὶ πληρουμέναις καὶ κενουμέναις, οὐδὲν αὐτῷ μέλει, διότι μηδ᾽ ὑποπίπτει μηδεμιᾷ τῶν

una cum earum auctoribus, quot liber ſit capiundis: nam ex his judicium etiam de aliis facias licet.

Cap. III. Nam Tarentinus quidem Heraclides empirico deſcriptionem dignam faciens pulſum inquit motum arteriarum eſſe et cordis. Atqui non latet nos, qui ſunt in empirica ſecta, neqaaquam de definitione laborare, ſed delineationibus et deſcriptionibus uti. Ita enim orationes illi eas appellant, quae breviter notionem ſubjiciunt rei, cujus appellationem proferimus. Atque hanc ille homines putat notionem de pulſus nomine habere, eosque protendere manum interdum ac tangendam praebere medico. Quum vero quem privatum pulſu dicamus, hoc nomen deſignare illum arbitramur, qui ita eſt affectus, ut nullus motus ſub noſtrum ſenſum cadat in ulla corporis parte cujuscunque arteriae. Si quis alius eſt motus in arteriis augendis, nutriendis, implendis et vacuandis, hoc non laborat, quod fugiat

ἡμετέρων αἰσθήσεων τὸ γένος τοῦτο τῶν κινήσεων, ἀλλ' ἔστι λόγῳ θεωρητόν. ᾧ λόγῳ καὶ τὰ φυτὰ πάντα φασὶν οἱ φυσιολογοῦντες ἀεὶ κινεῖσθαι, καὶ τό γε τούτου μεῖζον, ὅτι καὶ τἄλλα πάντα μέχρι τῶν σκληροτάτων λίθων, καὶ γὰρ καὶ τούτων ἀποῤῥεῖ τι διαπαντός. ἔνιοι δὲ καὶ προσκρίνεσθαί φασιν αὐτοῖς ἐκ τοῦ περιέχοντος. τὴν μὲν οὖν τοιαύτην κίνησιν οὐ μόνον ἔτι ζῶντος, ἀλλὰ καὶ τεθνεῶτος ἤδη τἀνθρώπου, κατὰ τοὺς ταῦτα φυσιολογοῦντας, ἀναγκαῖον ὑπάρχειν, ὥστε οὐκ ὀρθῶς ἐροῦμεν ἀκινήτους ὑπάρχειν τὰς ἀρτηρίας ἐπὶ τῶν τεθνεώτων, οὐδ' ἀσφύκτους ἐνίοις φαίνεσθαι τῶν ἔτι ζώντων. εἰ δὲ λέγοιντο πρὸς ἁπάντων οὕτως, εὔδηλον εἶναι κίνησιν ἡμᾶς νοεῖν τε καὶ ὀνομάζειν, οὐ τὴν λόγῳ θεωρητὴν, ἀλλ' ἥ τις ἂν εἰς ἐναργῆ γνῶσιν ἥκῃ διαθέσεως. ἐκ τοιούτων μὲν οὖν λογισμῶν ὅ τε Ταραντῖνος Ἡρακλείδης καὶ ἄλλοι τινὲς τῶν ἐμπειρικῶν ἑαυτοὺς πείσαντες ὑπεγράψαντο τὸν σφυγμὸν εἶναι κίνησιν ἀρτηριῶν καὶ καρδίας, ἐπειδὴ καὶ ταύτην ἑώρων αἰσθητῶς κινουμένην ὡσαύτως ταῖς ἀρτηρίαις. ἀντεῖπον δ' αὐτοῖς ἔνιοι τῶν δογματικῶν, οὐκ ἀξιοῦντες αἰσθήσει μόνῃ κρίνεσθαι τὴν κίνησιν, ἀλλ' ἐνίοτε

id genus motuum omnes noftros fenfus, quod quidem affequimur ratione. Quo adducti ftirpes omnes qui de natura commentantur perpetuo confirmant moveri, atque adeo cuncta alia, vel duriffimos lapides; etenim et ab his defluit perpetuo aliquid. Quidam haec etiam ex aëre autumant iis attribui. Quare hunc motum non modo adhuc viventi, fed demortuo etiam homini, ut placet phyficis, qui de horum natura tractant, oportet adeffe. Itaque non moveri arterias male dicemus demortuis et non pulfare in quibusdam videri adhuc fuperftitibus. Quod fi omnes fic loquantur, motum conftet nos eum et appellare et intelligere, non ratione perfpectum, caeterum qui apertam notitiam praebet ftatus. His adducti rationibus quum Tarentinus Heraclides tum empirici nonnulli alii pulfum defcripferunt effe motum arteriarum et cordis, quando hoc plane videbant non fecus ac arterias moveri. Cum his pugnant quidam dogmatici, qui nolunt aeftimari folo fenfu motum, fed interim

καὶ τῷ λόγῳ· τὸν γοῦν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας ἅπαντας ὁμολογεῖσθαι μὲν ἅπασιν ἀνθρώποις κινεῖσθαι, μὴ γὰρ ἂν ἀπ᾽ ἀνατολῆς εἰς δύσιν ἀφικνεῖσθαι τοσαύτην φορὰν ἄνευ κινήσεως, οὐ φαίνεσθαι δὲ κινουμένους. ἐχρῆν οὖν, φασὶν, εἰ καὶ μηδὲν ἄλλο, τοῦτο γοῦν προσκεῖσθαι τῷ λόγῳ τῶν ἐμπειρικῶν, τὸ τὴν κίνησιν τῶν ἀρτηριῶν καὶ τῆς καρδίας αἰσθητὴν εἶναι, καὶ λέγειν αὐτοὺς, τὸν σφυγμὸν εἶναι κίνησιν τῶν ἀρτηριῶν καὶ καρδίας αἰσθητήν. ἔνιοι δ᾽ ἀντιλέγοντες αὐτοῖς κινήσεις αἰσθητάς φασι κατά τε τὴν καρδίαν καὶ τὰς ἀρτηρίας οὐ τὰς σφυγμώδεις μόνον, ἀλλὰ καὶ τὰς παλμώδεις φαίνεσθαι, καὶ ταύτας οὖν ἐχρῆν περιλαμβάνεσθαι κατὰ τὴν ὑπογραφὴν τῶν σφυγμῶν, ἐάν θ᾽ ἁπλῶς εἴπωσιν ἀρτηριῶν καὶ καρδίας εἶναι τὸν σφυγμὸν κίνησιν ἐάν τε προσθῶσι τὴν αἰσθητήν. [89] ἔνιοι δὲ καὶ σπασμῶν καὶ τρόμων μνημονεύουσιν, ὡς καὶ τοιούτων τινῶν κινήσεων ἔστιν ὅτε γινομένων ἐν ἀρτηρίαις τε καὶ καρδίᾳ, παρὰ φύσιν δηλονότι. καὶ διὰ τοῦτο ἀξιοῦσι προσκεῖσθαι τῷ ὅρῳ τὸ φυσικὴ, τοιοῦτον ὅλον αὐτὸν ἐργαζόμενοι·

et ratione; nam soli, lunae, stellis omnibus motum ab omnibus mortalibus tribui; neque enim tantum fpatium videri citra motum ab oriente ad occidentem obire; tamen motus eorum non apparere. Quare, inquiunt, fi nihil aliud, hoc certe empiricorum definitioni oportebat adjectum, motum arteriarum cordisque fenfibilem effe, debebantque dicere, pulfum effe motum arteriarum et cordis fenfibilem. Huic definitioni quidam contradicentes, motus fenfibiles in corde et arteriis confirmant non tantum qui pulfent animadverti, fed et qui palpitent. Itaque comprehendendi etiam hi erant in pulfuum defcriptione, five abfolute dicant arteriarum et cordis effe pulfum motum, five adjiciant fenfibilem. Sunt qui convulfiones tremoresque narrent: quippe hos quoque interdum motus in arteriis fieri et in corde, praeter naturam quidem. Quamobrem addi definitioni volunt naturalis, atque totam eam

σφυγμός ἐστιν ἀρτηριῶν τε καὶ καρδίας κίνησις φυσική. τούτοις ἀντιλέγοντες οἱ συναγορεύοντες τῷ τοῦ Ταραντίνου ὅρῳ, φασὶ, μηδέποτ' ἐν ἀρτηρίαις, ἢ καρδίᾳ τὰς τοιαύτας γίνεσθαι κινήσεις, μόνον τῶν νευρωδῶν σωμάτων οὔσας. ἀλλ' ὅτι μὲν ὅ τε σπασμὸς καὶ ὁ τρόμος ἐν νεύροις μόνον γίνονται, κἀγὼ σύμφημι. παλμὸς δὲ προφανῶς ὁρᾶται καὶ περὶ τὸ δέρμα συνιστάμενος. ἐναργῶς δὲ κἀν τοῖς σαρκώδεσι μορίοις, ἅπερ ἐστὶ μυῶν μέρη, καὶ κατά γε τοὺς φόβους καὶ τὰς ἀγωνίας ἐναργῶς ἡ καρδία φαίνεται παλλομένη. οὐ σμικρὰ δ' ἀντιλογία περὶ τῶν παθῶν τούτων γέγονεν Ἡροφίλῳ πρὸς τὸν διδάσκαλον Πραξαγόραν, οὐκ ὀρθῶς ἀποφηνάμενον ἀρτηριῶν πάθος εἶναι καὶ παλμὸν καὶ τρόμον καὶ σπασμὸν, οὐ γένει διαφέροντα τῆς σφυγμώδους ἐν αὐτοῖς κινήσεως, ἀλλὰ μεγέθει. κατὰ φύσιν μὲν γὰρ ἐχόντων ἄνευ πάσης περιστάσεως γίνεσθαι τοὺς σφυγμοὺς, αὐξηθείσης δὲ τῆς κινήσεως αὐτῶν εἰς τὸ παρὰ φύσιν πρῶτον μὲν σπασμὸν ἀποτελεῖσθαι, δεύτερον δ' ἐπ' αὐτῷ τρόμον, καὶ τρίτον τὸν παλμὸν, ἀλλήλων διαφέροντα μεγέθει πάντα ταῦτα τὰ πάθη. διὰ τοῦτ' οὖν

efficiunt ejuscemodi: Pulfus eft arteriarum et cordis motus naturalis. Ab his diffident qui pro definitione Tarentini propugnant, qui in arteriis negant et corde tales unquam motus exiftere, ad nervofa autem corpora pertinere. At convulfionem tremoremque in folis fieri nervis equidem comprobo; palpitationem vero infidere perfpicue etiam in cute cernas; clare autem etiam in carnofis partibus, quae partes funt musculorum; etiam in timore et angore plane cor videtur palpitare. Jam contentio de affectibus his non parva Herophilo adverfus praeceptorem fuum extitit Praxagoram, qui non recte pronunciavit affectus arteriarum effe palpitationem, tremorem et convulfionem; ac non genere a motu earum pulfante differre, caeterum magnitudine. Nam quum fecundum naturam fe habent extra omnem cafum, fieri pulfum; aucto vero praeter naturam motu, primum effici convulfionem, deinde tremorem, mox palpitationem; magnitudine inter fe omnes hos affectus differentes. Quam-

Ἡρόφιλος εὐθέως ἐν ἀρχῇ τῆς περὶ σφυγμῶν πραγματείας ἀνατρέπειν πειρᾶται τὴν τοῦ διδασκάλου δόξαν, ἀλλ' ὡς ἔθος Ἡροφίλῳ, δι' ἑρμηνείας ἀσαφοῦς, ἣν ἐπὶ τὸ σαφὲς οἱ ἀπ' αὐτοῦ μεταλαμβάνοντες ἔγραψαν ἐν αἷς ἐποιήσαντο πραγματείαις περὶ τῆς Ἡροφίλου αἱρέσεως. ὥστε εἰ μνημονεύω νῦν αὐτῆς Ἡροφίλου ῥήσεως, ἣν ἐν ἀρχῇ τοῦ πρώτου περὶ σφυγμῶν ἔγραψεν, ἢ τῶν εἰρημένων τοῖς ἀπ' αὐτοῦ, μέγεθος ἑνὸς βιβλίου γενήσεται, περὶ μόνων τούτων ἐπιμελῶς διερχομένου, ὅπου καὶ χωρὶς τοῦ μνημονεῦσαι τούτων ἓν ὅλον ἐμόν ἐστιν ὑπόμνημα περὶ τρόμου καὶ παλμοῦ καὶ σπασμοῦ καὶ ῥίγους. ἀρκεῖ δέ μοι κἀνταῦθα τὸ πλῆθος ἐνδεδειγμένῳ τῶν ἐπεισαχθησομένων λόγων εἰς τὸ προκείμενον ζήτημα καταλιπεῖν αὐτὸ, τοσοῦτον μόνον εἰπόντι, κατὰ φύσιν μὲν ἐχόντων ἡμῶν, αἱ κατὰ τὴν καρδίαν τε καὶ τὰς ἀρτηρίας κινήσεις, διαστελλομένων τε κατὰ κύκλον αὐτῶν καὶ αὖθις εἰς ἑαυτὰς συναγομένων, γίνονται, παρὰ φύσιν δὲ ἐχόντων, κἂν παλμώδης, ἢ κλονώδης, ἢ σπασμώδης, ἢ τρομώδης ἡ κίνησις φαίνοιτο τῶν ἀρτηριῶν, οὐδὲν ἄτοπον εἶναι τὸν σφυγμὸν ὀνομάζεσθαι ποτὲ

obrem Herophilus ftatim initio operis de pulfibus magiftri fui evertere fententiam molitur, verum quod folenne Herophilo est, obfcura oratione; quam ipfius discipuli mutantes, apertius fcripferunt iis in lucubrationibus, quas de Herophili fecta confcripferunt. Quod fi referre hic ipfa verba Herophili velim, quae in principio libri primi de pulfibus fecit, aut quae attulerunt ejus discipuli, requirant integrum librum qui haec accurate perfequatur; quum vel nulla de his facta mentione integer meus liber extet, De tremore, palpitatione, convulfione et rigore. Mihi vero hoc quoque loco fatis fit, numero definitionum explicato, quae in praesentem quaeftionem convehi poffunt, illa praeterire. Tantum dicam, quum valemus, cordis et arteriarum motus, quando illa diftenduntur undequaque rurfusque in fe confidunt, obeuntur: fin autem aegrotemus, ut palpitans, ut concutiens, vel convulfibus, vel tremulus motus arteriarum appareat, quid novi eft, fi pulfum vocemus modo convulfi-

μὲν σπασμώδη, ποτὲ δὲ κλονώδη, ποτὲ δὲ παλμώδη, ποτὲ δὲ τρομώδη. καὶ γὰρ οὖν καὶ καλεῖν ἔθος ἡμῖν ἐστί τινα κλονώδη σφυγμὸν, οὐκ ὀλιγάκις φαινόμενον ἐναργῶς, οὗ τὴν φύσιν ἡρμήνευσα κατὰ τὸ πρῶτον γράμμα τῆσδε τῆς πραγματείας, ὥστε καὶ κατὰ τοῦτον τὸν λόγον οὐκ ὀρθῶς ἄν τις προσθείη τῷ ὅρῳ τοῦ σφυγμοῦ τὸ φυσική. περὶ δὲ τῆς αἰσθητῆς, ἐπειδὴ καὶ ταύτην ἔνιοι τὴν προσθήκην ἀξιοῦσι ποιεῖσθαι, τὸ πολλάκις εἰρημένον ὑπ᾽ Ἀριστοτέλους ἄξιον εἰπεῖν. ἐκεῖνος γὰρ ὁ ἀνὴρ αὐτάρκως ἐνίοτε διελθὼν, τὶ προστιθέναι φησὶ δεῖν αὐτῷ διὰ τὰς σοφιστικὰς ἐνοχλήσεις ἔξωθεν ἄλλο τὸ δοκοῦν ἑκάστοτε συμφέρειν τῷ λόγῳ, καὶ διὰ τοῦτο κἀγὼ τοὐπίπαν ὑπογράφομαι τὸν σφυγμὸν ἀρτηριῶν καὶ καρδίας κίνησιν αἰσθητὴν, καὶ μάλισθ᾽ ὅτι καλοῦμεν ἀσφύκτους οἷς οὐκ ἔστιν ἡ κίνησις αἰσθητὴ, καίτοι σωζομένης αὐτῆς πολλάκις, ὡς πρὸς τὴν οἰκείαν ὕπαρξιν. οὐ γὰρ ἂν ἔζησαν εἰ παν(46)τάπασιν ἡ κίνησις ἀπωλώλει τῆς καρδίας καὶ τῶν ἀρτηριῶν.

Κεφ. δ΄. [90] Ὅ γε μὴν Ἡροφίλειος Ἀλέξανδρος, ὁ

vum, modo vibratum, interdum palpitantem, interdum tremulum? Quinimo vocare quendam folemus vibratum pulfum, qui aperte identidem confpicitur: cujus in libro primo hujus operis declaravi naturam. Sic vel hac ratione appofueris parum recte definitioni pulfus naturalis. De fenfibili vero, pofteaquam hoc quoque additum nonnulli volunt, quod faepe apud Ariftotelem refertur, operae pretium eft meminiffe. Nam rem ille vir cumulate nonnunquam perfecutus, addendum ei dicit aliud quiddam ob fophifticas cavillationes externi, quod videatur femper ad definitionem facere. Atque ob id ego fere pulfum defcribo arteriarum effe et cordis fenfibilem motum, maxime quod appellemus pulfu privatos quibus motus non fentitur; tametfi ille faepe fervetur, quod ad fuam pertinet effentiam; neque enim viverent, fi omnis periiffet motus cordis et arteriarum.

Cap. IV. At Herophilius tamen Alexander, Philale-

Φιλαλήθης ἐπικληθεὶς, διττὸν ἐποιήσατο διὰ τὰς τοιαύτας ἐπηρείας τὸν ὁρισμὸν τοῦ σφυγμοῦ, τὸν μὲν ἕτερον ἐξ αὐτοῦ τοῦ πράγματος ἐξ οἰκείας φύσεως, ὃν ὡς ἐν ὑποκειμένοις ὀνομάζει, τὸν δὲ ἕτερον ὡς ἐν ἐπισκέψει. τὸν μὲν οὖν ὡς ἐν ὑποκειμένοις σφυγμὸν εἶναί φησι καρδίας καὶ ἀρτηριῶν συστολὴν καὶ διάστασιν ἀπροαιρέτως, οἵαν τε φαίνεσθαι· τὸν δὲ ὡς ἐν ἐπισκέψει τὴν ἐκ τῆς τῶν ἀρτηριῶν διαπαντὸς ἀπροαιρέτου κινήσεως πρὸς τὴν ἁφὴν πληγὴν καὶ τὸ μετὰ τὴν πληγὴν γινόμενον διάλειμμα. καὶ λέγει γέ τινας λογισμοὺς ἐπ᾽ αὐτοῖς, ὡς οἴεται, πιθανοὺς ἐν τῷ ε΄ τῶν ἀρεσκόντων, ὥσπερ καὶ ὁ Ταραντῖνος Ἡρακλείδης ἐν οἷς ἀντιλέγει πρὸς τὸ περὶ σφυγμῶν Ἡροφίλου. ἀντιλογίαι δ᾽ οὐχ ἥκιστα πρὸς τοὺς τοῦ Φιλαλήθους ὅρους ἐγένοντο τοῖς μετ᾽ αὐτὸν, ἔνιαι μὲν ἀπίθανοι πάνυ καὶ προφανῶς ἐριστικαὶ, τινὲς δὲ ἧττόν τε καὶ μᾶλλον πιθαναὶ, πρὸς ἃς ἀπήντησάν τινες τῶν ἀπ᾽ αὐτοῦ, καὶ μακρός γε λόγος ἑκατέροις περαίνεται. διὰ κεφαλαίων δὲ κἀγὼ περὶ αὐτῶν ἴσως ὀλίγον ὕστερον ὅλως ἐρῶ, πρότερόν γε παραγράψας τοὺς

thes cognomine, quo iſtas calumnias declinaret, definitionem duplicem pulſus fecit, alteram ex ipſius rei propria natura, quam ut in ſubjectis appellat, alteram ut in conſideratione. Ac pulſum ut in ſubjectis eſſe cordis ait et arteriarum contractionem atque dilatationem ſpontaneam, quae animadverti poſſit, pulſum vero ut in conſideratione ictum ex arteriarum perpetuo ſpontaneo motu ad tactum et intervallum, quod ictum excipit. Porro confirmat haec rationibus, ut putat, probabilibus quinto in libro Placitorum. Quod etiam fecit Heraclides Tarentinus, ubi librum confutat Herophili De pulſibus. Multis autem argumentis Philalethis definitionem, qui ejus memoriam ſecuti ſunt, oppugnaverunt, quibusdam illis mire levibus ac plane contentioſis, aliquibus plus et minus probabilibus, quae quidam de illius familia confutaverunt, multaque verba ultro citroque facta ſunt. De his ego ſummatim paulo inferius fortaſſe pertractabo. Aſcribam tamen prius definitio-

τοῦ Δημοσθένους ὅρους, ὡσαύτως τῷ διδασκάλῳ Φιλαλήθους ἐπικληθέντος,

Κεφ. ε΄. οὗ καὶ τὰ τρία περὶ σφυγμῶν ἐστι συγγράμματα, παρὰ πολλοῖς εὐδοκιμοῦντα. διαιρεῖται δ᾽ οὖν καὶ οὗτος τὸν σφυγμὸν ὁμοίως τῷ Ἀλεξάνδρῳ, καί φησιν εἶναι τὸν μὲν κατὰ τὸ ὑποκείμενον καρδίας καὶ ἀρτηριῶν διαστολὴν, ἢ συστολὴν φυσικὴν, φαίνεσθαι δυναμένην· τὸν δὲ ἐξ οὗ ποιούμεθα τὰς ἐπισκέψεις, καρδίας ἢ ἀρτηριῶν πρὸς τὴν ἁφὴν πλῆξιν φυσικὴν καὶ τὸ μετὰ τὴν πληγὴν γενόμενον διάλειμμα. χρῆται δὲ κατὰ τοὺς ὅρους τῷ ἤ συνδέσμῳ παραδιαζευκτικῷ, νομίζων τὸν καί συμπλεκτικὸν ὄντα τὸ μὲν συγκείμενον ἐξ ἀμφοῖν ὁρίζεσθαι μόνον, ἰδίᾳ δ᾽ ἑκάτερον οὐχ ὁρίζεσθαι. βούλεται δ᾽ αὐτὸς τὴν τῶν ἀρτηριῶν κίνησιν εἶναι σφυγμὸν αὐτὸν καθ᾽ ἑαυτὸν μόνον, εἶναι δὲ δηλονότι καὶ τὴν τῆς καρδίας, αὐτὴν καθ᾽ ἑαυτὴν μόνην καὶ ταύτην, εἶναι δὲ καὶ τὸ συναμφότερον σφυγμόν· ὡσαύτως δὲ καὶ τὴν διαστολὴν μόνην σφυγμὸν ὀνομάζεσθαι καὶ τὴν συστολὴν καὶ τὸ συναμφότερον. ἐπείσθη δ᾽ οὕτως ὀνομάζεσθαι τὸν σφυγμὸν, ἐπειδὴ κατὰ τὴν διαστολὴν μέγας τε

nes Demofthenis, qui et ipfe non fecus, ac ejus doctor, Philalethes cognominabatur.

Cap. V. Hic tres reliquit de pulfibus libros apud multos commendatos. Qui quidem etiam pulfum juxta ac Alexander dividit, dicitque illum quidem pro fubjecto effe cordis et arteriarum diftentionem, vel contractionem naturalem, quae valeat animadverti; alterum vero ex quo confiderationes inftituimus, cordis vel arteriarum ad tactum, ictum naturalem, intervallumque, quod ictum excipit. Hic in definitionibus conjunctione utitur disjunctiva *vel,* arbitratus copulativam *et,* quod ex ambobus conftituitur, tantum definire, utrumque vero feparatim non definire. Eft autem ejus fententia, arteriarum motum per fe folum effe pulfum, et cordis item per fe folum; effe etiam utrumque fimul pulfum; ita folam diftentionem vocari pulfum et contractionem, et utramque fimul. Inductus eft fic pulfum appellari, quod ex diftentio-

καλεῖται καὶ μικρὸς καὶ σφοδρὸς καὶ ἀμυδρὸς καὶ ταχὺς καὶ βραδὺς, κατὰ δὲ τὴν συστολὴν ἀραιὸς καὶ πυκνός. ὅταν μὲν οὖν κατὰ τὸ ὑποκείμενον τὰ μέρη λέγη τοῦ σφυγμοῦ, διαστολὴν ὀνομάζει καὶ συστολήν· ὅταν δ' ὡς ἐν ἐπισκέψει, πληγὴν καὶ διάλειμμα, νομίζων ἀδιάγνωστον αἰσθήσει τὴν συστολὴν εἶναι. μεγάλη δὲ πάλιν ἐνταῦθα γέγονεν ἐναντιολογία τοῖς ἰατροῖς, οὐ περὶ ὀνόματος μόνον ἔτι, καθάπερ ἔνιαι τῶν εἰρημένων, οὐ μὴν οὐδὲ περίεργός τε καὶ περιττὴ ταῖς πολλαῖς αὐτῶν ὁμοίως, ἀλλὰ τὸ μέγιστον αὐτὸ καὶ κυριώτατον ἐπισκεπτομένη τῆς θεωρίας. καὶ κρῖναι ἀδεκάστως ἐγὼ, καθάπερ καὶ τἄλλα περὶ ὧν διεφώνησαν οἱ ἰατροὶ, προελόμενος, οὕτως καὶ τοῦτο παμπόλλοις ἔτεσιν ἀπορῶν διετέλεσα· χρόνῳ δ' ὕστερον οὐκ ὀλίγῳ τήν τ' αἰτίαν τῆς διαφωνίας αὐτῶν εὗρον, ἕν τε περὶ τούτου μόνου βιβλίον ἔγραψα, τὸ πρῶτον περὶ τῆς τῶν σφυγμῶν διαγνώ[91]σεως. ἐν ᾧ διώρισται, τίνες μὲν σφυγμοὶ τὴν συστολὴν αἰσθητὴν ἔχουσι, τίνες δ' οὔ. φαίνεται δ' οὖν ὁ κατ' ἐκεῖνο τὸ βιβλίον ἅπας λόγος ἐπεισαγόμενος τοῖς οἰομένοις αὐτὸν ἐκ πληγῆς τε καὶ

ne magnus vocatur et parvus, vehemensque et languidus, celer et tardus, ex contractione rarus atque creber. Proinde ubi pro fubjecto partes pulfus exponit, diftentionem et contractionem vocat, quum vero pro confideratione, ictum et intervallum, fenfu putans contractionem non poffe percipi. At vero magna hic denuo contentio medicis fuit non jam de nomine tantum, uti multae fuperius, nec vero anxia et inanis, ut pleraeque illarum, verum quae ad caput ipfum et fummam pertinet commentationis. Equidem quum meo inftituto expenderem, citra pronunciationem tamen, ut alia, quae apud medicos funt controverfa, fic hoc quoque per multos annos haefitatio mea non potuit explicari; tandem aliquando reperi caufam eorum diffenfionis: unumque de hoc folo librum fcripfi, primum De dignoscendis pulfibus, ubi explicatum eft, qui contractionem pulfus fenfibilem obtineant et qui non. Unde univerfa disputatio illius libri ad eos plane dirigitur, qui ex ictu pulfum

διαλείμματος συγκεῖσθαι. τινὲς γὰρ καὶ χωρὶς τοῦ διελέσθαι τὸν ὡς ἐν ὑποκειμένῳ τοῦ κατὰ τὰς ἐπισκέψεις ἁπλῶς ἀπεφήναντο τὸν σφυγμὸν ἐκ πληγῆς καὶ διαλείμματος συγκεῖσθαι. καίτοι κἂν ἐκ διαστολῆς τε καὶ συστολῆς λέγηται συγκεῖσθαι, ζήτημά τι γίνεται περὶ τῶν ἠρεμιῶν, ἥν τ᾽ ἐπὶ τῇ διαστολῇ πρὸ τῆς συστολῆς καὶ ἣν ἐπὶ τῇ συστολῇ πρὸ τῆς διαστολῆς ἥ τε καρδία καὶ αἱ ἀρτηρίαι ποιοῦνται. κἂν παραλίπωμεν δέ ποτε τὸ τῆς καρδίας ὄνομα, μόνον τῶν ἀρτηριῶν μνημονεύσαντες, ὑπακούειν χρὴ κατ᾽ ἐκείνης εἰρῆσθαι τὰ αὐτά· καθάπερ κἂν ἐπὶ τῆς καρδίας εἴπωμέν τι παραλιπόντες τὰς ἀρτηρίας, ἡγεῖσθαι χρὴ καὶ ἐπ᾽ ἐκείνων λελέχθαι τὸ αὐτό. τὴν δ᾽ αὐτὴν ἀπορίαν ἔσχηκε καὶ ἡ κατὰ τὴν ἀναπνοὴν ἠρεμία διττὴ τῶν ἀναπνευστικῶν ὀργάνων. ἡσυχάζει γὰρ ὅ τε θώραξ ὅ τε πνεύμων ἐν τῷ μεταξὺ χρόνῳ τῆς εἴσω τε καὶ ἔξω φορᾶς τοῦ πνεύματος, καὶ κατά γε τὸν χρόνον τῶν ἡσυχιῶν τούτων ἀραιὰν, ἢ πυκνὴν ὀνομάζουσι τὴν ἀναπνοήν. ἥ γε μὴν διάγνωσις οὐχ ὁμοία τούτων ἐστὶ τῶν ἡσυχιῶν καὶ τῶν ἐν τοῖς σφυγμοῖς. ἐναργῶς μὲν γὰρ ἀεὶ ἐπὶ τῆς ἀναπνοῆς

et intervallo putant conftare: nam funt qui etiam absque diftinctione definitionis pro fubjecto, a definitione pro confiderationibus, abfolute dixerunt pulfum ex ictu et intervallo conflatum effe. Atqui ut dicatur ex diftentione et contractione conftare, quaeftio exiftit quaedam de quietibus, et quam a diftentione ante contractionem et quam ante distentionem a contractione cor molitur et arteriae. Quod fi quando etiam cordis nomen praetereamus, folas autem commemoremus arterias, interpretandum eft de illo dici eadem, quemadmodum, fi de corde quid referamus, omiffis arteriis, accipere oportet dictum de illis idem. Idem habet dubium in refpiratione quies duplex refpiratoriorum inftrumentorum: quiescunt enim et thorax et pulmo id temporis, quod intercedit inter ingreffum fpiritus et exitum: atque pro tempore quidem harum quietum raram appellant vel crebram refpirationem. Veruntamen non fimiliter hae quietes dignoscuntur atque pulfuum: perfpicuae enim fem-

φαίνονται, τῶν δ᾽ ἐν τοῖς σφυγμοῖς ἠρεμιῶν ἐνίοις μὲν ἔδοξεν οὐδ᾽ ὅλως εἶναι διάγνωσιν, ἐνίοις δὲ τοῖς ἐκτὸς μόνοις. ἥν περ δὴ αἰσθητὴν καὶ ἡμεῖς εἶναί φαμεν, οὐ μὴν ἐπὶ πάντων γε τῶν σφυγμῶν. ὅτι μὲν οὖν, ὥσπερ ἀναπνοὴ πυκνὴ καὶ ἀραιὰ τῶν ἐπικαίρων ἐστὶ σημείων, οὕτω καὶ σφυγμὸς πυκνὸς καὶ ἀραιὸς, ὡς ἐν τῇ δι᾽ αὐτῶν προγνώσει μαθήσῃ. τὸ δὲ μέρη τὰς ἡσυχίας εἶναι τῆς ὅλης ἀναπνοῆς τε καὶ τῶν σφυγμῶν, ἀμφισβητεῖται. καὶ γὰρ οἱ δοξάζοντες οὕτως οὐ πρώτως, ἀλλὰ κατὰ συμβεβηκὸς εἶναι μέρη φασὶν ἐν ταῖς ἐνεργείαις ταύταις τὰς ἡσυχίας. ἐν μὲν γὰρ ταῖς εἰσπνοαῖς τε καὶ ἐκπνοαῖς ἐνεργεῖ προφανῶς τὰ τῆς ἀναπνοῆς ὄργανα, κατὰ δὲ τοὺς σφυγμοὺς διαστελλομένης τε καὶ συστελλομένης τῆς καρδίας, τὰς μεταξὺ τῶν ἐνεργειῶν τούτων ἡσυχίας παραπλήσιόν τι πρᾶγμα εἶναι τῇ κἀπὶ τῶν τεθνεώτων αὐτοῖς ὑπαρχούσῃ· ὥσπερ καὶ οἱ λέγοντες ἐνέργειαν εἶναι ἀρτηριῶν τε καὶ καρδίας τὸν σφυγμὸν, ἢ κίνησιν ἀρτηριῶν τε καὶ καρδίας, ἢ διαστολὴν καὶ συστολὴν ἀρτηριῶν τε καὶ καρδίας, δόξουσι παραλιπεῖν τὰς ἡσυχίας, οὐ μικρὰν μοῖραν ἐχούσας

per in refpiratione funt: at quietes in pulfibus quidam dixerunt nullo poffe modo dignosci: quidam folam externam, quam quidem et nos vocamus fenfibilem, at non in omnibus tamen pulfibus. Itaque ut refpiratio crebra et rara in fignis eft magnis, ita etiam pulfus creber atque rarus, ut disces in praefagitione ex iis: quietes autem partesne totius refpirationis fint et pulfuum, in controverfia eft. Etenim non primo, fed per accidens, qui in ea opinione funt, in partibus numerant harum functionum quietes: nam in infpirationibus quidem expirationibusque perfpicuo operari inftrumenta refpirationis; in pulfibus, diftento et contracto corde: quietes autem interpellantes has actiones inftar effe quietis, quae illis etiam inftrumentis defunctis ineft. Quemadmodum etiam, qui pulfum afferunt actionem effe arteriarum et cordis, vel motum arteriarum et cordis, vel diftentionem et contractionem arteriarum atque cordis, omittere quietes videbuntur, quae non parvum ad praefagiendum

εἰς πρόγνωσιν. οἱ γοῦν ἀραιὸς καὶ πυκνὸς σφυγμὸς κατὰ τοῦτο τὸ γένος εἰσὶ, μετὰ τῆς ἐν αὐτοῖς ὁμαλότητός τε καὶ ἀνωμαλίας, ἀταξίας τε καὶ τάξεως, οὐ σμικρὰ δηλοῦντες, ὥσπερ καὶ ὁ διαλείπων καὶ ὁ παρεμπίπτων, κατ᾽ αὐτὸ τὸ γένος τοῦτο συνιστάμενοι, σημεῖον οὐ σμικρὸν οὐδ᾽ αὐτοὶ τῶν ἐσομένων ὄντες. ἐὰν οὖν τις ἐθέλῃ τὸν σφυγμὸν ὁριζόμενος ἐπεισάγειν αὐτῷ τὸν περὶ τῶν ἡσυχιῶν λόγον, εἴτε μέρη τίθεσθαι χρὴ τῶν σφυγμῶν αὐτὰς, εἴτε μὴ, καὶ εἰ μέρη, πότερον πρῶτα καὶ κατὰ τὸν ἴδιον αὐτῶν λόγον, ἢ κατὰ συμβεβηκὸς, οὐκ ὀλίγον ἀναλώσει χρόνον. ἀλλ᾽ ἡμεῖς ὥσπερ ἐπὶ τῶν ἄλλων ἄχρι τοῦ δεῖξαι τὴν καθ᾽ ἕκαστα μακρολογίαν ἀφικόμενοι μετέβημεν ἐφ᾽ ἕτερόν τι, καὶ νῦν οὕτω πράξομεν, ἐπανελθόντες ἐπὶ τοὺς Ἀλεξάνδρου καὶ Δημοσθένους ὅρους, οὓς ἐποιήσαντο τοῦ σφυγμοῦ. φαίνεται γὰρ, εἰ καὶ μὴ τῇ λέξει, τῇ γε δυνάμει ταὐτὰ τῷ διδασκάλῳ βουλόμενος ὁ Δημοσθένης. ὁ μὲν γὰρ Ἀλέξανδρος ἀπροαίρετον ἔφη τὴν τῶν σφυγμῶν ἐνέργειαν ὑπάρχειν, ὁ δὲ φυσικήν· καὶ ὁ μὲν οἵαν τε φαίνεσθαι, ὁ δὲ φαίνεσθαι δυναμένην. οὕτως μὲν οὖν ἐν τῷ κατὰ τὸ ὑποκείμενον ὅρῳ τοῦ σφυγμοῦ φαίνεται τῷ δι-

momentum habent. Rarus itaque et creber pulſus cum aequalitate ſua et inaequalitate, cum perturbatione ordinis et ordine, ſunt hujus generis, qui non parva nunciant. Itidem intermittens pulſus et intercurrens, ex eodem hoc genere, futurorum ſunt non parva ſigna. Ergo ſi definiendo pulſui voles orationem de quietibus inſerere, partesne habendae illae ſint pulſuum, an ſecus, quod ſi partes ſint utrum primae et per ſe, an per accidens: multum profecto temporis in eo pones. Verum quod in aliis fecimus, ut quum progreſſi usque ad cognitam ac detectam ubique loquacitatem eſſemus, ad aliud tranſiremus, idem nunc faciemus, reverſi ad Alexandri et Demoſthenis quas de pulſibus fecerunt definitiones. Sane videtur, ſi non verbis, at ſententia, cum doctore ſuo Demoſthenes conſentire. Namque functionem Alexander pulſuum ſpontaneam eſſe dixit, hic naturalem: et ille quae poſſit animadverti, hic quae animadverti valeat. Nec vero aliter in definitione pulſus pro ſubjecto cum magiſtro

Ed. Chart. VIII. [91. 92.] Ed. Baf. III. (46. 47.)

δασκάλῳ συμφερόμενος ὁ (47) Δημοσθένης, ὡσαύτως δὲ κἂν τῷ κατὰ τὰς ἐπισκέψεις. [92] εὔδηλον γὰρ ὡς οὐδὲν διαφέρει πληγὴν ἢ πλῆξιν εἰπεῖν, ὥσπερ οὐδ᾽ ἀπροαίρετον ἢ φυσικήν. ὅτι δὲ μόνῳ τῷ τὸν ἢ σύνδεσμον εἰς τὸν ὅρον παραλαβεῖν ἀπέστη τοῦ διδασκάλου, πρόσθεν εἴρηται, καὶ καθ᾽ ὅν τινα λογισμὸν οὕτως ἔπραξεν. ἑξῆς οὖν ἐπισκεψώμεθα τοὺς ὑπὸ τῶν ἄλλων Ἡροφιλείων εἰρημένους ὅρους.

Κεφ. στ΄. Ὁ μὲν οὖν Βακχεῖος ἐν ταῖς ἄλλαις ἀκροάσεσι τὸν σφυγμὸν εἶναί φησι συστολὴν καὶ διαστολὴν ἅμα ἐν ἁπάσαις ταῖς ἀρτηρίαις γιγνομένην. πρὸς ὃν ὅρον ἐπηρεαστικῶς μὲν ἀντεῖπον οἱ Ἐρασιστράτειοι, τὸ σφέτερον ἁμάρτημα κατηγορίας ἀρχὴν ποιησάμενοι. δοκεῖ γὰρ αὐτοῖς ἡ μὲν καρδία πρώτη διαστέλλεσθαί τε καὶ συστέλλεσθαι τῶν ἀρτηριῶν ἁπασῶν, ἐπιπεμπομένου δὲ τοῦ πνεύματος ἀπ᾽ αὐτῆς εἰς τὰς ἀρτηρίας, κατὰ τὴν ἐπιπλήρωσιν αὐτῶν γίνεσθαι τὴν διαστολὴν, πρῶτον μὲν τῶν πλησίον αὐτῆς τῆς καρδίας, δεύτερον δὲ τῶν ἐφεξῆς ταύταις, εἶθ᾽ ἑξῆς τῶν ἐπὶ ταῖσδε, καὶ οὕτω κατὰ τὸ συνεχὲς ἐπὶ τὰς ἐσχάτας ἁπασῶν ἀρτηριῶν

videas Demofthenem fentire: eodem modo in definitione pro confiderationibus. Conftat enim, ictum dicas an percuffum, nil intereffe: nec etiam, fpontaneam dicas, an naturalem. Nam eo tantum, quod conjunctionem *vel* in definitionem intulit, ante diximus a praeceptore eum diffidere, quaque id ratione fecit. Deinceps jam quas attulerunt alii Herophilii attendamus definitiones.

Cap. VI. Bacchius quidem aliis in auscultationibus pulfum dicit diftentionem et contractionem effe, quae fimul fiat in omnibus arteriis. In hanc definitionem disputarunt cum contumelia Eraliftratii, a fuo errore criminationis ducentes exordium. Siquidem illorum eft opinio, cor primum prae omnibus arteriis diftendi atque contrahi, immiffo autem in arterias fpiritu ab illo, fimul atque impleantur, diftendi primum ipfi cordi vicinas, deinde quae has confequuntur, mox his proximas, atque ita continenter ad extremas omnium arterias motum penetrare, omni ipfis

διϊκνεῖσθαι τὴν κίνησιν, οὐδεμίαν αὐτῶν τῶν ἀρτηριῶν ἐχουσῶν δύναμιν οὔτε ἰδίαν οὔτε παρὰ καρδίας ἐπιπεμπομένην αὐταῖς, ᾗ χρώμεναι διαστέλλουσί τε καὶ συστέλλουσιν ἑαυτὰς, ὥσπερ ἡ καρδία. τοῖς δὲ περὶ τὸν Ἡρόφιλον ἀρέσκει τὰς ἀρτηρίας συνεχεῖς οὔσας τῇ καρδίᾳ διὰ τῶν χιτώνων ἐπιῤῥέουσαν ἔχειν τὴν παρ᾽ αὐτοῖς δύναμιν, ᾗ χρώμεναι παραπλησίως αὐτῇ τῇ καρδίᾳ διαστελλόμεναι μὲν ἕλκουσι πανταχόθεν, ὅθεν ἂν δύνωνται, τὸ πληρῶσον αὐτῶν τὴν διαστολὴν, συστελλόμεναι δὲ ἐκθλίβουσι, καὶ διὰ τοῦτο φαίνεσθαι καθ᾽ ἕνα χρόνον ἅμα πάσας αὐτὰς διαστελλομένας τε καὶ συστελλομένας, τὴν αὐτὴν προθεσμίαν τῇ καρδίᾳ τῶν κινήσεων ἀμφοτέρων φυλαττούσας. Ἐρασιστράτῳ δὲ ἀκολουθεῖ μὲν, οὐχ ἅμα φαίνεσθαι τήν τε καρδίαν καὶ τὰς ἀρτηρίας διαστελλομένας τε καὶ συστελλομένας. ἔχει δ᾽ οὐχ οὕτως τὸ φαινόμενον· ὥστ᾽ οὐκ ὀρθῶς ἐνεκάλεσαν οἱ Ἐρασιστράτειοι τῷ Βακχείῳ τὸ φαινόμενον εἰπόντι. βέλτιον δ᾽ ἀντεῖπον ὅσοι φασὶ μόνων τῶν κατὰ φύσιν σφυγμῶν ὑπ᾽ αὐτοῦ γεγονέναι τὸν ὁρισμόν· ἐν γὰρ τῷ παρὰ φύσιν ἔχειν τὸ ζῶον ἐνίοτε φαίνεσθαι μὴ πάσας ἅμα διαστελλομένας τὰς ἀρτηρίας.

arteriis facultate vacantibus, tum peculiari, tum a corde ipsis suppeditata, cujus se ipsas ope distendant, ut cor, contrahantque. At Herophiliis in arterias placet, quia sunt cum corde continuae, per tunicas influere ab illo vim, cujus ope perinde atque cor, dum distenduntur, ex omnibus partibus, unde possint, attrahunt, quod impleturum sit suam capedinem; dum contrahuntur, excernunt: itaque eas simul uno tempore omnes videri distendi et contrahi, idemque praescriptum ac cor utriusque motus servare. Erasistrato autem consentaneum est, non una videri cor et arterias distendi contrahique, quod res ipsa aperte negat. Quo minus Erasistratii probe Bacchium accusarunt, id asserentem, quod res ipsa monstrat. Illi contradicerent melius qui solorum naturalium pulsuum contendunt institutam ab eo definitionem: nam quum aegrotat animal, attendi interim non simul pulsare omnes arterias.

Ed. Chart. VIII. [92.] Ed. Baf. III. (47.)

Κεφ. ζ΄. Ἀριστόξενος δὲ ὁ Ἡροφίλειος οὐ τοῦτο μόνον ἐνεκάλεσεν, ἀλλὰ καὶ τὸ παραλελεῖφθαι μὲν τὸ γένος τῶν σφυγμῶν κατὰ τὸν ὅρον, ἐκ διαιρέσεως δ᾽ αὐτοῦ λελέχθαι τι περὶ διαστολῆς καὶ συστολῆς· αὐτὸς γὰρ ἀξιοῖ τὸν σφυγμὸν λέγειν ἐνέργειαν ἀρτηριῶν. τοῦτο γὰρ εἶναι τὸ πρῶτον γένος. εἶτ᾽ ἐπεὶ καὶ ἄλλαι τινὲς ἐνέργειαί εἰσι τῶν ἀρτηριῶν, αὐξανομένων τε καὶ τρεφομένων, προστίθησι τὴν ἰδίαν, ὡς εἶναι τὸν ὅλον ὅρον τοιόνδε· σφυγμός ἐστιν ἐνέργεια καρδίας καὶ ἀρτηριῶν ἴδιος. ὅτι μὲν οὖν τὸ γένος τοῦ πράγματος, οὗ περ ἂν ὁριζόμενοι τύχωμεν, ἁπάντων πρῶτον λέγεσθαι χρὴ κατὰ τὸν ὅρον, ὀρθῶς εἶπεν ὁ Ἀριστόξενος· ἐπεὶ δ᾽ ἐστὶ τὸ μέν τι προσεχὲς αὐτοῦ γένος, οὕτω γὰρ ὀνομάζουσι τὸ διὰ μηδενὸς ἑτέρου μέσου, τὸ δέ τι δι᾽ ἑνὸς, ἢ δυοῖν μέσων, ἢ καὶ τὸ πάντων ἀνωτάτω, ζήτησις οὐ μικρὰ γέγονε, ποῖον χρὴ γένος λέγεσθαι πρῶτον ἁπάντων κατὰ τὸν ὅρον, ἆρά γε τὸ ἀνωτάτω, μεθ᾽ ὃ μηδέν ἐστιν ἔτι γενικώτερον, ἢ τὸ προσεχὲς, ἢ καί τι τῶν μεταξὺ τούτων, ὅταν ἀμφοτέρων τῶν εἰρημένων ᾖ σαφέστερον. εἰκότως οὖν ἐνίοις ἤρκεσε τὸ

Cap. VII. Quod Ariftoxenus Herophilius non folum reprehendit, verum etiam genus pulfuum in definitione defiderari, ex ejus vero divifione aliquid dictum de diftentione et contractione effe. Nam pulfum ille dicere vult functionem arteriarum effe; fcilicet primum hoc genus effe. Deinde quia functiones arteriis praeterea aliae funt (crescunt enim et nutriuntur) addit peculiarem. Ita haec eft tota definitio: Pulfus eft functio cordis et arteriarum peculiaris. Sane genus rei, quamcunque definiamus, exprimendum in definitione effe ante alia, recte Ariftoxenus dixit. At quia quoddam ejus eft genus continuum, ita enim vocant, ante quod nullum aliud intercedit: quoddam autem uno, vel altero intercedente, aut etiam omnium fupremum: quodnam genus non parum quaefitum eft caeteris in definitione fit praeponendum, fupremmune genus, a quo amplius nullum eft generalius, an continuum, an aliquod etiam, quod inter haec intercedat, ubi fit utroque manifeftius. Quamobrem merito quidam contenti fuerunt continuum et

προσεχὲς γένος τῶν σφυγμῶν κίνησιν εἰπεῖν. [93] οὐσῶν δὲ κινήσεων πολλῶν, ἥ τε γὰρ φορὰ καὶ ἡ ἀλλοίωσις, ἥ τε αὔξησίς τε καὶ φθίσις, ἔτι τε πρὸς τούτοις γένεσίς τε καὶ φθορὰ, κινήσεις εἶναι δοκοῦσιν, ἀκόλουθον ἦν εἰπεῖν ἥν τινα κίνησιν εἶναι βούλοιντο τὸν σφυγμόν. εἶπον γὰρ ἂν δηλονότι φοράν. εἶτα τῆς φορᾶς πολλὰς ἐχούσης διαφορὰς, ἐχρῆν ἐφεξῆς εἰπεῖν ἥν τινα φορὰν εἶναι βούλονται τῶν τοὺς σφυγμοὺς ἀποτελούντων ὀργάνων. ἄνωθεν δέ τις ἀρξάμενος ἀπὸ τοῦ πρώτου γένους, εἰ τοῖς διαλεκτικοῖς ἕπεσθαι βούλοιτο, τὸν σφυγμὸν ἂν ὡρίσατο καρδίας καὶ ἀρτηριῶν ἐνέργειαν εἶναι κατὰ κίνησιν τὴν κατὰ φορὰν γινομένην ἐν τῷ διαστέλλεσθαι καὶ συστέλλεσθαι. τάχα δὲ ἀξιώσει τις τούτοις προσθεῖναι καὶ τὰς ἠρεμίας, ὥσπερ οὖν καὶ ἠξίωσαν ἔνιοι· τινὲς δ᾽ ἀφαιροῦσιν, ὡς κατὰ συμβεβηκὸς, οὐ πρώτως αὐτῶν γινομένων. ἀλλὰ πρὸς Ἀριστόξενον ἱκανὰ καὶ ταῦτα, διαλεκτικῶς μὲν ὁρίζεσθαι βουλόμενον, οὐ φυλάττοντα δὲ τοὺς διαλεκτικοὺς νόμους οὐδ᾽ αὐτόν. ἀξιοῦσι γὰρ οἱ δεινοὶ περὶ τοὺς ὁρισμοὺς ἀπὸ τοῦ πρώτου γένους ἀρξαμένους ἡμᾶς, εἶτα διὰ τῶν μεταξὺ προϊόντας ποιεῖσθαι τὸν ὅλον ὅρον. ἔγραψα δ᾽ ἂν ἴσως τὸ

proximum genus pulfuum motum dixiffe. Sed enim quod motus varii funt (nam latio et alteratio, auctio, tabes, adhaec generatio interitusque, videntur motus effe) quemnam velint motum effe pulfum, par erat aperire. Dicent fane lationem. Deinde quia multas habet latio differentias, addendum erat, quam lationem velint effe efficientium pulfus inftrumentorum. Superne aliquis a primo genere exorfus, fi dialecticos fequi volet, definiat pulfum cordis et arteriarum functionem effe, quae motu lationis obitur diftentis illis contractisque. Erit fortaffe, qui his quietes cenfebit addendas, ut certe voluerunt quidam: alii contra detrahunt, quafi quae per accidens, non primo fiant. Verum in Ariftoxenum haec fufficiunt, qui quum dialectice voluit definire, leges praeteriit ipfe dialecticas. Volunt enim qui definiendi periti funt a primo nos genere exordiri, deinde per media progredi et ita facere definitionem. Equidem exem-

Ed. Chart. VIII. [93.] Ed. Baf. III. (47.)

παράδειγμα τοῦ τοιούτου τρόπου τῶν ὅρων, εἰ μὴ τὰ Πλάτωνος ἦν δύο βιβλία πᾶσι γνώριμα, καθ᾽ ἃ διδάσκει τε καὶ γυμνάζει τῇ διαιρετικῇ μεθόδῳ χρωμένους ποιεῖσθαι τοὺς ὁρισμούς. ἐπιγράφει δὲ τῷ βιβλίῳ τούτῳ, τῷ μὲν ἑτέρῳ Σοφιστὴς, τὸ δ᾽ ἑτέρῳ Πολιτικός.

Κεφ. η΄. Ἐπὶ δὲ τὸν ὑπὸ τοῦ Ζήνωνος εἰρημένον ὅρον ἔλθωμεν, ἀνδρὸς οὐδενὸς δευτέρου τῶν Ἡροφιλείων. οὗτος δὴ τὸν σφυγμόν φησιν εἶναι τῶν ἀρτηριωδῶν μερῶν μικτὴν ἐνέργειαν ἐκ συστολῆς καὶ διαστάσεως, καθ᾽ ἣν ἐν ἅπασι τοῖς μέρεσι τὴν αὐτὴν ὑπάρχειν τάξιν ἠκολούθησεν, ἐάν τε ἐν τοῖς ἴσοις ἐάν τε ἐν τοῖς ἀνίσοις ἐκείνη συντελῆται χρόνοις. καὶ οὕτως οὖν ἐνέργειαν μὲν εἰπὼν εἶναι μικτὴν, οὐ μόνον τὸ γένος ἀπεφήνατο τῶν σφυγμῶν, ἀλλὰ καὶ τὴν, ὡς οἴεται, προσεχῆ διαφορὰν, ὑπερβὰς μὲν, ὅτι κατὰ κίνησιν ἡ ἐνέργεια γίγνοιτο, καὶ τῆς κινήσεως κατὰ φορὰν, τῶν δὲ τῆς φορᾶς εἰδῶν ἢ διαφορῶν μνημονεύσας, συστολῆς τε καὶ διαστολῆς. εὔδηλον γὰρ ὅτι τὴν διάστασιν ἀντὶ τῆς διαστολῆς εἴρηκεν. οὐ κακῶς δ᾽ εἶπε μικτὴν εἶναι τὴν κίνησιν, οὐχ ἁπλῆν,

plum fortaffis adducerem iftiusmodi definitionum, nifi Platonis extarent duo libri, quos habent omnes in manibus, in quibus docet nos atque exercet, ut ex dividendi via et ratione faciamus definitiones. Titulum dedit horum librorum alteri Sophifta, alteri Politicus.

Cap. VIII. Sed ad Zenonis nos definitionem, viri Herophiliorum nemini fecundi, conferamus. Hic pulfum dicit effe partium arteriofarum mixtam ex contractione et dilatatione functionem: ex qua eundem omnibus in partibus ordinem confonum fuit effe, five aequalibus illa, five inaequalibus temporibus abfolvatur. Itaque functionem ille dicendo mixtam effe, non genus modo dixit pulfuum, fed et proximam, ut credit, differentiam; ubi praeteriit quod motu functio obeatur, eoque lationis; meminit autem lationis fpecierum vel differentiarum, diftentionis et contractionis, neque enim obscurum eft dilatationem pro diftentione eum accepiffe. At non male mixtum dixit effe motum, non fim-

οὐδὲ μονοειδῆ, σύνθετος γάρ ἐστιν ἐξ ἐναντίων μορίων, ὡσαύτως τῇ κατὰ τὴν ἀναπνοήν. εὔδηλον δὲ καὶ ὅτι τὸ ἕτερον μέρος μόνον τῆς συνθέτου ταύτης κινήσεως οὐ βούλεται σφυγμὸν ὀνομάζειν, ἀλλὰ μέρος σφυγμοῦ. τὸ γὰρ οἴεσθαι διὰ τοῦτο καὶ τὴν διαστολὴν ὅλην ὀνομάζεσθαι σφυγμὸν, ὅτι μέγας σφυγμὸς λέγεται κατ᾽ αὐτὴν, οὐκ ἐννενοηκότων ἐστὶν, ὡς ἀπὸ τῶν ἐν τοῖς μέρεσι συμβεβηκότων ἐνίοτε τὴν ἐπωνυμίαν ἴσχει τὸ σύμπαν. ἐν γοῦν τᾷ σιμὸς ἄνθρωπος καὶ γρυπὸς καὶ γλαυκὸς καὶ χαροπὸς καὶ φαλακρὸς ἑτέροις τε παμπόλλοις ἀπὸ τῆς κατὰ τὰ μόρια διαθέσεως ἐπωνυμία τῷ ὅλῳ γίγνεται. τῶν δ᾽ ἄλλων σχεδὸν ἁπάντων Ἡροφιλείων ἢ ἀρτηριῶν, ἢ καρδίας, ἢ ἀμφοτέρων τούτων τὴν διαστολὴν καὶ συστολὴν σφυγμὸν ὀνομαζόντων, οὗτος οὐ καρδίας καὶ ἀρτηριῶν, ἀλλὰ τῶν ἀρτηριωδῶν μερῶν ἔφη, διὰ τὴν περὶ τῆς καρδίας ζήτησιν, ἣν ἔμπροσθεν εἶπον. ἐκπέφυκε γὰρ ἡ μεγίστη τῶν κατὰ τὸ ζῶον ἀρτηριῶν ἐκ τῆς ἀριστερᾶς κοιλίας αὐτῆς. αὐτὸ δὲ τὸ σῶμα τῆς κοιλίας ταύτης ὅτι μὴ ταὐτόν ἐστι τῷ τῶν ἀρτηριῶν, ὁμολογεῖται καὶ αὐτοῖς τοῖς ἀρτηριώδη (48) καλοῦσιν αὐτήν.

plicem, neque unius formae, ſiquidem ex contrariis partibus conſtat, ut motus in reſpiratione. Etiam illud liquet, alteram partem illum nolle compoſiti hujus motus appellare pulſum, caeterum pulſus partem. Nam qui putant quia magnus pulſus ex diſtentione denominatur, continuo diſtentionem etiam totum appellari pulſum, hi non animadvertunt interdum ex his quae accidunt partibus totum invenire cognomen; ut hic, ſimus homo, aquilus, caeſius, flavis oculis, calvus, in aliisque permultis, a partium affectu cognomen totum mutuatur. Jam quum alii Herophilii prope omnes vel arteriarum, vel cordis, vel horum amborum diſtentionem et contractionem appellent pulſum, hic non cordis et arteriarum, ſed partium dixit arterioſarum, quaeſtione quam dixi ſuperius, quae de corde eſt, adductus. Exoritur enim animantis maxima arteria ex cordis ſiniſtro ſinu. Ipſum autem corpus hujus ventriculi non eſſe idem cum eo arteriarum, vel illi fatentur, qui arterioſum eum vocant.

[94] ὡς γὰρ νευρῶδές τι σῶμα λέγομεν ἕτερον ὂν νεύρου, οὕτω καὶ ἀρτηριώδη τὴν κοιλίαν ταύτην ἐκάλεσαν ἑτέραν προφανῶς ἔχουσαν οὐσίαν τῶν ἀρτηριῶν. οὐ συγχωρεῖται δ᾽ αὐτοῖς ὑπὸ τῶν ἀντιλεγόντων οὐδ᾽ ἀρτηριώδης ὀρθῶς ὀνομάζεσθαι. τὴν αὐτὴν γὰρ ἔχει φύσιν τῇ δεξιᾷ, σαρκοειδεῖ τὴν οὐσίαν οὔσῃ. διὸ κἀν τοῖς μυσὶν ἔνιοι τὴν καρδίαν ἐνηρίθμησαν. ἀλλ᾽ οὗτοι μὲν ὅπως σφάλλονται, δι᾽ ἑτέρων δέδεικται· λέγειν δ᾽ οὕτως ἐτόλμησαν διὰ τὴν ὁμοιότητα τῆς σωματικῆς οὐσίας αὐτῶν. ὁμοιότατον γάρ ἐστι τὸ τῆς καρδίας σῶμα τῷ τῶν σκληρῶν μυῶν. καὶ μέντοι καὶ φαίνεται σαφῶς ἀμφοτέραις ταῖς κοιλίαις σφύζουσα, καὶ καθ᾽ ὃν ἔγκειται καιρὸν ἔτι τῷ ζώῳ καὶ μετὰ τὴν ἐξαίρεσιν ἄχρι χρόνου τινός. ἀλλὰ καὶ ὅτι τὸν κατὰ φύσιν μόνον ὥρισται σφυγμὸν ὁ Ζήνων, καὶ κατὰ τοῦτο εἰκότως ἐγκέκληται· τὸ γὰρ ἐν ἅπασι τοῖς μέρεσι τὴν αὐτὴν ὑπάρχειν τάξιν τῆς κινήσεως τῶν ἀρτηριῶν, ἐπὶ μὲν τῶν κατὰ φύσιν ἐχόντων ἀληθὲς, ἐπὶ δὲ τῶν παρὰ φύσιν ἐνίοτε ψεῦδος. ἐγκαλεῖ δ᾽ Ἀριστόξενος εἰκότως τῷ Ζήνωνι, καθάπερ καὶ ἄλλοις πολλοῖς, τῆς περιττῆς προσθήκης ἐν τῷ φάναι, ἐάν τε ἐν τοῖς ἴσοις ἐάν τε ἐν τοῖς

Nam ut nervofum appellamus aliquod corpus, quod tamen diftat a nervo, fic arteriofum hunc finum vocaverunt, fubftantia plane diverfa praeditum ab arteriis. Verum non obtinent ab adverfariis ut recte vel arteriofus vocetur, quod eadem natura fit ac dexter, qui eft carneus; quocirca cor quidam in musculis pofuerunt, quorum errorem alio loco deteximus. Id autem ut dicere auderent, fimilitudo eos corporeae fubftantiae induxit, quae illis eft; fimillimum enim eft cordis corpus durorum musculorum corpori. Ac verum etiam manifefte utroque finu videtur pulfare, et dum in corpore adhuc eft et quum exemptum eft, aliquantisper. Quinetiam quod pulfum naturalem tantum Zeno definivit, merito et in eo eft culpatus. Nam eundem in omnibus partibus effe ordinem motus arteriarum, in valentibus quidem verum eft, in affectis fit quum falfum fit. Infimulat porro Ariftoxenus Zenonem, ut multos alios, de additione fupervacua hac, quum dicat, five aequalibus illa, five inaequali-

ἀνίσοις ἐκείνη συντελῆται χρόνοις. κατὰ γὰρ τὴν κοινὴν καὶ γενικὴν ἔννοιαν τῶν σφυγμῶν μὴ περιέχεσθαι μήτε τοῦτο μήθ᾽ ὅλως ἄλλο τι τῶν κατὰ τὴν διαίρεσιν τοῦ προκειμένου πράγματος εἰς τὸν ὁρισμόν. ὁ γοῦν εἰπὼν τὸν ἄνθρωπον εἶναι ζῶον, εἶτα προσθεὶς αὐτῷ διαφορὰν τὸ πεζὸν, εἶθ᾽ ἑξῆς τὸ δίπουν, οὐκέτι δεῖται τὰς ἐν αὐτοῖς τοῖς ἀνθρώποις προσθεῖναι διαφορὰς, ὡς γενέσθαι τὸν ὅρον τοιοῦτον· ἄνθρωπός ἐστι ζῶον πεζὸν δίπουν, καθ᾽ ὃ τεχνῖται καὶ ἄτεχνοι καὶ σοφοὶ καὶ ἀμαθεῖς γίνονται. μόνων μὲν γὰρ ἀνθρώπων ὄντως εἰσὶν αἱ τοιαῦται διαφοραὶ, περιτταὶ δὲ ὡς πρὸς τὸν οἰκεῖον ὁρισμόν. ἀρκεῖ γὰρ ἤτοι ζῶον πεζὸν δίπουν εἰπεῖν, ἢ ζῶον λογικὸν θνητόν. οὐ γὰρ τὸ προκείμενον εἰς τὸν ὁρισμὸν πρᾶγμα τέμνεσθαι χρὴ, καθάπερ ἔφην, ἀλλὰ τὸ γένος αὐτοῦ, καὶ μέχρι τοσούτου τέμνεσθαι, μέχρις ἂν ἐπὶ τὸ προκείμενον ἀφικώμεθα πρᾶγμα. συμπληρωθείσης δ᾽ ἀκριβῶς αὐτοῦ τῆς ἐννοίας καὶ τοῦ λόγου τὴν οὐσίαν αὐτάρκως δηλοῦντος, ἄχρηστος ἡ μετὰ ταῦτα προσθήκη πᾶσα, καὶ μάλισθ᾽ ἡ κατὰ τὴν διαίρεσιν αὐτοῦ τοῦ μέλλοντος ὁρίζεσθαι πράγματος

bus abfolvatur temporibus, fiquidem communem notionem et generalem pulfuum non complecti nec hoc nec aliud prorfus quicquam eorum quae ex divifione rei quae definienda eft proficifcitur. Nam hominem qui animal effe dixit, inde ei addidit differentiam pedeftre, poftea bipes, non opus habet etiam differentias ipforum hominum ut adaddat, ut haec fit definitio: Homo eft animal pedeftre bipes, in quo artifices et inertes, fapientes et indocti continentur. Solorum enim hae hominum quidem funt differentiae, inutiles illae tamen, quod ad propriam definitionem attinet, quod fufficiat vel animal pedeftre bipes dicere, vel animal rationale mortale. Neque enim definienda quae res proponitur eft, ut dixi, partienda, fed genus ejus, atque hactenus dividendum, dum quod intendimus affequamur. Cujus fi exacte notio completa fit, definitioque abunde effentiam declaret, inutile eft quicquid deinde addatur, maxime fi ex divifione ejus rei adjiciatur, quae definienda eft.

γιγνομένη. τὸ γὰρ κοινὸν ἁπάντων σφυγμῶν προσήκει δηλοῦσθαι κατὰ τὸν ὅρον, ὅπερ ἐστὶ καθ᾽ ὃ σφυγμοὶ νοοῦνταί τε καὶ λέγονται, οὐ καθ᾽ ὃ τοιοίδε τινὲς σφυγμοί. ὡς ἐάν γέ τινος ἐφάψηται διαφορᾶς ὁ κατὰ τὸν ὅρον λόγος, ὑποκάτω τοῦ προκειμένου πράγματος οὔσης, ἀφορμὴν παρέξει τοῖς ἐγκαλεῖν βουλομένοις ὡς κακῶς τῶν ἄλλων παραλελειμμένων. ὡς γὰρ ὁ Ζήνων προσέθηκεν, ἐάν τε ἐν τοῖς ἴσοις ἐάν τ᾽ ἐν τοῖς ἀνίσοις χρόνοις συντελῆται, τὴν κατὰ χρόνον ἔν γε τοῖς σφυγμοῖς διαφορὰν ἐνδεικνύμενος, οὕτως ἄλλος προσθήσει τὴν κατὰ μέγεθος, εἶτ᾽ ἄλλος τὴν κατὰ σφοδρότητα, καὶ ἄλλος μέν γε τὴν κατὰ πυκνότητα, τὴν κατ᾽ ἀριθμὸν δ᾽ ἄλλος, ἁπάσας δὲ τὰς ὑπολοίπους διαφορὰς ἄλλος τις καὶ ἄλλος. ταῦτα μὲν οὖν εἰκότως ἐμέμψαντο τῷ τοῦ Ζήνωνος ὅρῳ, πλεονασθέντι περιττῶς. εἶχον δ᾽ ἐγκαλεῖν, εἴπερ ἐβούλοντο, καὶ τὰ παρὰ τοῖς διαλεκτικοῖς εἰρημένα περὶ τῶν πλεοναζόντων ὅρων κατὰ τὴν λέξιν. ἐπιδεικνύουσι γὰρ οἱ ἄνδρες ἐκεῖνοι τὴν τῆς λέξεως αὔξησιν, μείωσιν ἐργαζομένην τοῦ κατὰ τὸν ὁρισμὸν πράγματος, καθάπερ εἰ καὶ τὸν ἄνθρωπόν τις εἴποι πεζὸν δίπουν ζῶον γεωμετροῦν. οἱ γὰρ μὴ γεωμετροῦντες οὐκ ἔσονται

Namque quod commune eſt omnibus pulſibus, id debet in definitione proferri, quae eſt res, per quam pulſus concipiuntur et dicuntur, non per quam certi quidam pulſus. Nam ſi quam attingat differentiam definitio ſubjectam propoſitae rei, reprehendendi cuivis anſam praebebit, non recte praetermiſſas caeteras eſſe. Nam ſicut Zeno adjecit, ſive in aequalibus, ſive in inaequalibus temporibus abſolvatur, temporis pulſuum ſcilicet ſubjiciens differentiam, ita alius addet magnitudinis, alius vehementiae, erit qui crebritatis, alius numeri, denique omnes differentias reliquas alius atque alius. Quamobrem jure illi definitionem Zenonis nimium exuberantem et ſuperfluam criminati ſunt. Habuiſſent etiam, ſi libuiſſet, illa objicere, quae dialectici prodiderunt de definitione, in qua dictio abundat. Demonſtrant enim viri illi dictionis acceſſionem, de re quae definitur, detrahere, ut hominem ſi dicas eſſe animal pedeſtre bipes geometriae peritum, nam geometrae qui non ſunt, non erunt

ἄνθρωποι. προδήλου γεγονυίας ἤδη καὶ τῆς κατὰ τοῦτον τὸν ὅρον ἀντιλογίας αὐτῶν, εἰς ὅσον ἐκτείνεσθαι δύναται, μεταβῶμεν ἀπὸ τοῦ Ζήνωνος ἐπὶ τὸν Χρύσερμον, ὁριζόμενον οὑτωσὶ τὸν σφυγμόν·

Κεφ. θ'. [95] Σφυγμός ἐστι διάστασις καὶ συστολὴ ἀρτηριῶν, πάντοθεν τοῦ χιτῶνος ἐπανισταμένου καὶ πάλιν εἰς ἑαυτὸν συντρέχοντος ὑπὸ ψυχικῆς καὶ ζωτικῆς δυνάμεως, παρεπομένη διαπαντὸς ἐν τῷ ὑγιαίνειν καὶ νοσεῖν, πρὸς αἴσθησιν ληπτή. φαίνεται δὲ καὶ οὗτος ὁ ἀνὴρ παραλελοιπὼς μὲν τὴν καρδίαν, τὴν δὲ τοῦ χιτῶνος τῶν ἀρτηριῶν κατὰ κύκλον ἐπανάστασίν τε καὶ συνίζησιν ὀνομάζων σφυγμὸν, ὥσπερ οἱ πλεῖστοι συστολήν τε καὶ διαστολὴν ἐκάλεσαν. ὃ δ' ἄλλοι τινὲς ἐκ τῶν Ἡροφιλείων παρέλιπον, αὐτὸς προσέθηκεν· ὑπὸ γὰρ ψυχικῆς καὶ ζωτικῆς δυνάμεως ἔφη γίνεσθαι τὴν εἰρημένην τῶν ἀρτηριῶν κίνησιν, ἐκ περιττοῦ μὲν προστιθέμενον, εἰ τὸν ἐννοηματικὸν ὀνομαζόμενον ὅρον ἀποδιδοίη τις, οὐκ ἐκ περιττοῦ δὲ τοῖς ἀξιοῦσι τοὺς ὅρους οὐσιώδεις λέγεσθαι. τῶν γὰρ ἐν γενέσει πραγμάτων ὁ περιέχων τὸ ποιοῦν

homines. Nunc quando confutationem hujus definitionis, quam porro poſſit produci, aperuimus, tranſeamus a Zenone ad Chryſermum, cujus haec eſt definitio pulſus:

Cap. IX. Pulſus eſt dilatatio et contractio arteriarum, exurgente undique tunica et in ſe ipſam rurſus conſidente, ab animali facultate atque vitali, comitans perpetuo tam ſanitatem quam morbum, ad ſenſum perceptibilis. Videtur enim hic etiam vir praeteriiſſe cor et tunicae arteriarum circularem elevationem et concidentiam pulſum appellare, quas plerique diſtentionem et contractionem vocaverunt. Quod vero praetermiſerunt quidam de familia Herophili, hic addidit, ab animali enim et vitali, inquit, facultate hunc arteriarum motum proficisci; ſuperflue illud additum quidem, ſi definitioni, quam vocant, notionis aſſignes, quod tamen non abundat his, qui definitiones eſſentiales poſtulant. Nam rerum quae poſitae in generatione ſunt definitio cauſam complectens efficientem optima habetur;

Ed. Chart. VIII. [95.] Ed. Baf. III. (48.)

αἴτιον ὅρος ἄριστος εἶναι δοκεῖ. τῶν τοιούτων δ᾽ ἐστὶ καὶ ὁ σφυγμὸς, ἐν τῷ γίνεσθαι τὴν ὕπαρξιν ἔχων, ὥσπερ καὶ πᾶσα κίνησις. εἰ δ᾽ ἀληθῶς, ἢ οὐκ ἀληθῶς ὑπὸ ψυχικῆς καὶ ζωτικῆς δυνάμεως ἔφη γίνεσθαι τὸν σφυγμὸν, οὐ μικρὰ ζήτησις ἐκδέχεται τὸν λόγον, ἣν ὁ πάντ᾽ ἐν πᾶσι λέγειν βουλόμενος ἐπεισάξει τῇ προκειμένῃ σκέψει, καίτοι γ᾽ οὐκ οὔσης ἀνάγκης· οἱ γὰρ τὴν οὐσίαν τοῦ πράγματος ἑρμηνεύοντες ὅροι κατὰ τὰ δόγματα τῶν ὁριζομένων γίγνονται, πρὸς ἃ τὴν μὲν ἀντιλογίαν ἰδίᾳ χρὴ ποιεῖσθαι, δι᾽ αὐτὰ δὲ τὸν ὅρον, ὡς οὐ νομίμως γεγονότα μὴ συκοφαντεῖν. ἐν δὲ τῇ περὶ τῆς ἀληθείας σκέψει τῶν εἰρημένων, ἐν αὐτῇ περιέχεται καὶ ἡ τοιαύτη πᾶσα μακρολογία εἰ δ᾽ ἐγκαλεῖν τις ἐθέλοι διότι συνέχεεν εἰς ἕνα λόγον ἀμφοτέρους τοὺς ὅρους, τόν τε ἐννοηματικὸν ὀνομαζόμενον, ὃς κατὰ τὴν κοινὴν ἔννοιαν προέρχεται, καὶ τὸν οὐσιώδη καλούμενον, ὃς τὴν οὐσίαν ἑρμηνεύει τοῦ πράγματος, ὀρθῶς τ᾽ ἐγκαλέσει καὶ πολλοὺς τῶν εἰρημένων ὅρων ὑπευθύνους ἀποδείξει τῇ τοιαύτῃ κατηγορίᾳ. τὴν ἀρχὴν μὲν γὰρ ἁπάσης τῆς διδασκαλίας ἀπό τινος κατὰ τὴν ἔννοιαν ὁρισμῶν γίγνεσθαι προσῆκεν, ἀπ᾽ ἐκείνης δ᾽ ἤτοι

de quibus eſt pulſus, qui ut caeteri motus, dum ſit eſt. At rectene an ſecus, ab animali et vitali facultate effici dixerit pulſum, non parvam ea oratio quaeſtionem habet; quam quidem qui omnia vult ubique dicere, praeſenti lucubrationi infereret, etſi non ſit neceſſarium. Nam quae rei exponunt eſſentiam definitiones, placita conſequuntur definientium; quae confutari privatim debent, nec ob illa definitionem quaſi haud legitime factam improbare: at ubi veritas illorum quae dicta ſunt inveſtigatur, tum maxime longior omnis disputatio locum habet. Quod ſi quis vitio vertendum ducat, quod in unam ambas definitiones confuderit, et notionis, ut vocant, quae poſita eſt in communi intelligentia, et eſſentialem, quam vocant, quae eſſentiam rei aperit, recte ſane accuſabit, et vero etiam complures definitiones, quas retulimus, recte criminabitur. Nam omnis disciplina ab aliqua notionis definitione ducere initium debebat; ab

κατὰ βραχὺ μεταβαίνειν ἐπὶ τοὺς οὐσιώδεις, ἢ ἀθρόως ἐπὶ τὸν ἀκριβῶς ἑρμηνεύοντα τὴν οὐσίαν τοῦ προκειμένου πράγματος. εἴρηται δέ μοι κατὰ τὴν ἀρχὴν εὐθέως τοῦδε τοῦ πράγματος, ὁποῖον μέν τινα τὸν ἀκριβῶς τὸν ἐννοηματικὸν ὅρον προσῆκεν εἶναι, ὁποίους δὲ τοὺς ἀποχωροῦντας αὐτοῦ κατὰ βραχύ. διόπερ οὐδὲ χρονίζειν ἔτι κατὰ τὸν λόγον ἀναγκαῖον. ὥσπερ γὰρ τοῦτο λέλεκται πρόσθεν, οὕτω καὶ περὶ τῶν ἄλλων ὅλων, ὅσα κατὰ τὸν ὅρον ὁ Χρύσερμος εἶπεν.

Κεφ. ί. Ὅ γε μὴν Ἐρυθραῖος Ἡρακλείδης, ἐνδοξότατος τῶν μαθητῶν αὐτοῦ γενόμενος, οὐ πάνυ φαίνεται προσιέμενος τοῦ διδασκάλου τὸν ὅρον. συστολὴν γὰρ ἔφη καὶ διαστολὴν ἀρτηριῶν καὶ καρδίας εἶναι τὸν σφυγμὸν ὑπὸ ζωτικῆς καὶ ψυχικῆς δυνάμεως πλειστοδυναμούσης ἀποτελούμενον. τὸ μὲν οὖν διαστολὴν ἀντὶ διαστάσεως εἰπεῖν ἐν φωνῇ μόνον, οὐκ ἐν πράγματι διαφωνοῦντός ἐστι, τὸ δ᾽ ἀφελεῖν ἐξ αὐτοῦ τὸ παρεπομένην διαπαντὸς ἐν τῷ ὑγιαίνειν καὶ νοσεῖν ἐν πράγματι. παραλείπει γὰρ ὡς περιττὸν τοῦτο, καθάπερ γε καὶ τὸ πρὸς αἴσθησιν ληπτὴν εἶναι τὴν εἰρημένην κίνησιν τῶν ἀρτηριῶν καὶ τῆς καρδίας, καίτοι τὸ

illa vel paulatim ad eſſentiales progredi, aut repente ad eam quae adamuſſim explicet rei propoſitae eſſentiam. Equidem initio ſtatim dixi hujus libri, qualis eſſe notionis definitio debeat, quales autem quae pedetentim ab illa recedunt: quo eſt hic minus nobis inhaerendum, quod quum hoc declaratum ante ſit, tum alia etiam omnia, quae in definitione Chryſermus poſuit.

Cap. X. At Erythraeus Heraclides, clariſſimus ejus discipulorum, parum videtur magiſtri definitionem probare; diſtentionem enim dixit et contractionem arteriarum atque cordis pulſum eſſe, a vitali et animali facultate plurimum valente effectum. Nam quod diſtentionem dixit pro dilatatione, verbo tantum diſſidet ab illo, non re; quod vero de illa detraxit, comitans perpetuo tam ſanitatem quam morbum, in re diſſentit. Omittit hoc enim pro ſupervacaneo, ſicut illud, ſenſu perceptibilem eſſe illum motum arteriarum

μὲν διαπαντὸς ἐν τῷ ὑγιαίνειν φαίνεσθαι τὸν σφυγμὸν κατὰ τὴν ἔννοιάν ἐστιν αὐτοῦ μάλιστα, καὶ μέντοι (49) καὶ κατὰ τὰς πλείστας τῶν νόσων, οὐ γὰρ δὴ πάσας γε. [96] τὸ δὲ πρὸς αἴσθησιν ληπτὴν εἶναι τὴν κίνησιν αὐτῶν εἴρηταί μοι πρόσθεν, ὁποίου χρήζει διορισμοῦ κατὰ τὸν λόγον ἐκεῖνον, ἐν ᾧ περὶ τῶν ὑπ᾽ Ἀλεξάνδρου τε καὶ Δημοσθένους εἰρημένων ὅρων ἐσκοπούμην. ἀφεῖλε δὲ καὶ τὸ πάντοθεν τοῦ χιτῶνος ἐπανισταμένου καὶ πάλιν εἰς ἑαυτὸν συντρέχοντος, ὡς ἐν τῷ διαστέλλεσθαί τε καὶ συστέλλεσθαι δεδηλωμένων αὐτῷ. τῷ δ᾽ ὑπὸ ζωτικῆς καὶ ψυχικῆς δυνάμεως γίνεσθαι τὸν σφυγμὸν ὑπὸ Χρυσέρμου λελεγμένῳ προσέθηκεν ὁ Ἡρακλείδης τὸ πλειστοδυναμούσης, ἐπειδὴ καὶ ἄλλα τινα συντελεῖν εἰς τὴν τῶν σφυγμῶν γένεσιν ὁ Ἡρόφιλος αὐτός φησι καὶ πάντες οἱ ἀπ᾽ αὐτοῦ κληθέντες Ἡροφίλειοι. μέμφεταί γε μὴν ὁ Ἀριστόξενος καὶ τούτῳ καὶ Ἀπολλωνίῳ τῷ Μυῒ, προσθέντι καὶ αὐτῷ τὸ πλειστοδυναμούσης. οὐ γὰρ ἐχρῆν, φησὶ, τὸ κοινὸν ἁπάσης ἐνεργείας φυσικῆς ὡς ἴδιον τῶν σφυγμῶν λέγεσθαι. μέμφεται δὲ καὶ τῷ πάντῃ τὸν χιτῶνα τῆς ἀρτηρίας κυκλο-

et cordis, tametfi perpetuo in fanitate animadverti pulfum ad ejus pertinet notionem, nec non in aliis plerisque aegritudinibus, at non in omnibus. Illud vero, a fenfu perceptibilem effe motum eorum, declaravimus anteaquam requirat discretionem, eo loco, ubi definitiones Alexandri et Demofthenis examinaremus. Demit praeterea, infurgente undique tunica et in fe ipfam rurfus confidente; quod illa fcilicet per diftentionem et contractionem fignificentur. Ad illud vero quod dixit Chryfermus, a vitali et animali facultate effici pulfum, adjungit Heraclides, plurimum valente; quatenus alia etiam quaedam facere ad generandum pulfum, cum ipfe confirmat Herophilus tum omnes qui ab eo funt Herophilii nominati, tametfi reprehendat Ariftoxenus et hunc et Apollonium Murem, qui etiam addit, plurimum valente. Neque enim inquit, quod erat commune cujuslibet naturalis functionis, par erat ut proprium pulfibus attribuere. Reprehendit etiam undique tunicam arteriae circu-

τερῶς διΐστασθαι λελέχθαι κατὰ τὸν ὅρον, οὐ μόνον, ὥσπερ ὁ Ἡρακλείδης, ὡς περιττῷ, ἀλλ' ὅτι καὶ τῶν παρὰ φύσιν σφυγμῶν ἔνιοι τὴν διαστολὴν τῆς ἀρτηρίας οὐχ ὁμαλὴν ποιοῦνται, καθάπερ ἑαυτῶν μέρος. ἐπηρεάζει δὲ τῷδε προδήλως· εἰ γὰρ αὐτὸς ὁ Χρύσερμος ἐνεγεγράφει τῷ ὅρῳ τὸ ὁμαλῶς, εἰκότως ἂν ἤλεγχεν αὐτὸν ἀναμιμνήσκων τῶν ἀνώμαλον ἐχόντων τὴν κίνησιν σφυγμῶν, ἐπεὶ δ' ἁπλῶς ἔφη, πάντοθεν τοῦ χιτῶνος ἐπανισταμένου καὶ πάλιν εἰς ἑαυτὸν συντρέχοντος, οὐκέτ' εὐλόγως ἐγκαλεῖ. βέλτιον δ' ἦν, εἴπερ ὅλως ἐφιλοτιμεῖτο διελέγχειν τὸν Χρύσερμον, ἐπὶ τοὺς τοιούτους τῷ λόγῳ ἀφικέσθαι σφυγμοὺς, ἐν οἷς ὁ χιτὼν τῆς ἀρτηρίας ὥσπερ χορδὴ φαίνεται τεταμένος, ἄνω μὲν καὶ κάτω τῆς ἀρτηρίας ὅλης φερομένης, οὐ μὴν διαστελλομένης γε. τοῦτο γὰρ εἴρηταί τισιν εἰς μὲν ἐξήγησιν τοῦ τοιούτου σφυγμοῦ χρησίμως, οὐ μὴν εἰς ἀκριβῆ γε ἐπιστήμην. ἀδύνατον γοῦν ἐστι μηδ' ὅλως διαστέλλεσθαί τε καὶ συστέλλεσθαι τὰς ἀρτηρίας ἔτι ζῶντος τοῦ ζώου. δυνατὸν δὲ μὴ φαίνεσθαι τοῦτο πασχούσας ἐναργῶς διά τε τὴν βραχύτητα τῆς διαστο-

latim dilatari, in definitione dictum esse, non modo, ut Heraclides, tanquam supervacaneum, sed quod etiam pulsus quidam non naturales arteriae distentionem non aequalem moliuntur, veluti sui partem. Sed vero calumniatur hunc planissime. Nam si ipse in definitione Chrysermus poneret, aequaliter, justa sit ejus objectio subjicientis praeditos pulsus motibus inaequalibus, verum quando simpliciter dixit, insurgente undique tunica et in se ipsam rursus considente, nullus crimini relictus est locus. Omnino si id agebat, ut Chrysermum reprehenderet, praestiterat orationem ad illos pulsus deflectere, in quibus in modum fidis videtur tensa arteriae tunica, ubi fertur sursum deorsum arteria, non distenditur tamen, nam hoc dixerunt quidam ad declarandum eum pulsum, non abs re illi quidem, parum tamen ad absolutam scientiam. Atqui ut prorsus non distendantur nec contrahantur vivo adhuc animali arteriae, plane fieri non potest; quo minus autem animadvertatur hoc arterias

Ed. Chart. VIII. [96.] Ed. Baf. III. (49.)

λῆς καὶ τὸν ἐξευγμένον κλόνον ταῖς τοιαύταις ἀρτηρίαις. ἐλέγομεν γοῦν τηνικαῦτα ταῖς τεταμέναις χορδαῖς ὁμοίως φαίνεσθαι τὰς ἀρτηρίας ἀνιούσας τε καὶ κατιούσας, οὐ μὴν διαστελλομένας τε καὶ συστελλομένας σαφῶς. ὥστε οὐδὲ κατὰ τοῦτον τὸν λόγον εἰκότως ἄν τις ἐγκαλέσειεν ὡς ψευσαμένῳ τῷ Χρυσέρμῳ περὶ τῆς κατὰ κύκλον διαστολῆς τε καὶ συστολῆς τῶν ἀρτηριῶν, οὐ περὶ τῆς αἰσθητῆς κινήσεως αὐτῶν ποιησαμένῳ τὸν ὅρον, ἀλλὰ περὶ τῆς οὐσιώδους ὑπάρξεως τοῦ σφυγμοῦ. ἀλλὰ γὰρ εἴ τις βούλοιτο καὶ περὶ τούτων ἢ αὐτὸς γνῶναι τὰ λελεγμένα τοῖς ἀνδράσιν, ἢ μεταστρέφειν εἰς ὑπομνήματα, τοῦ μὲν Ἐρυθραίου τὸ ἕβδομον ἀναγνώτω περὶ τῆς Ἡροφίλου αἱρέσεως, τοῦ Ἀπολλωνίου δὲ τὸ εἰκοστὸν ἔννατον, Ἀριστοξένου δὲ τὸ τρισκαιδέκατον. ἐμοὶ δ' ἀρκεῖ καθ' ἑκάστην ἀντιλογίαν ἐνδεικνυμένῳ τὰ κεφάλαια τῶν λόγων ἐφ' ἕτερόν τι μετέρχεσθαι· καὶ γὰρ καὶ οὕτω πράττοντι τὸ βιβλίον ὅλον ὑποπληρώσεται. κάλλιον δὲ ἴσως μηδὲ τοῦτο παραλιπεῖν, ὡς αὐτὸς ὁ Ἀριστόξενος, Ἀλεξάνδρου τοῦ Φιλαλήθους γεγονὼς μαθητὴς, ἐλέγξας τε τοὺς τῶν πρεσβυτέρων ἑαυτοῦ πάντας ὅρους, ὡς οἴεται, κάλλιστα δ'

habere, fieri poteſt et brevitate diſtentionis et adjuncta iis arteriis vibratione. Diximus itaque tum contentarum fidium arterias ſpeciem habere, attollique atque demitti, non diſtendi tamen et contrahi aperte. Sic ne hac quidem ratione mendacii poſtulet Chryſermum de circulari diſtentione et contractione arteriarum, qui non de ſenſibili eorum motu definitionem, ſed de eſſentiali ſubſtantia pulſus fecerit. At cui etiam haec cordi eſt, vel ipſi legere quae illi viri ſcripta reliquerunt, vel in commentarios referre, Erythraei ſeptimum librum legat de Herophili ſecta, Apollonii vigeſimum nonum, Ariſtoxeni tertium decimum. Mihi quidem ſatis eſt ſi in ſingulis diſſenſionibus capita orationum prodam, itaque alio me conferam, ſic enim fiet tandem ut totum librum conficiam. Sed fuerit non incongruum, ſi hoc apponam. Ipſe Ariſtoxenus, qui Alexandri Philalethis fuerit discipulus, et priorum ſe omnes, ut putabat, definitiones coarguiſſet, atque hanc confirmaſſet eſſe optimam:

ἔχειν εἰπὼν τόνδε· σφυγμός ἐστι καρδίας καὶ ἀρτηριῶν ἐνέργεια ἴδιος, ὅμως αὐτὸς ἐφεξῆς, οὐδὲν κωλύει, φησὶ, καὶ τοιοῦτον ὅρον ποιήσασθαι· σφυγμός ἐστι καρδίας καὶ ἀρτηριῶν ἐνέργεια ἴδιος, μικτὴ, ἀπροαίρετος. ἐπαινεῖ δὲ τοῦτον τὸν ὅρον ὡς σαφέστερον τοῦ πρόσθεν, ἐκείνῳ μαρτυρῶν τὸ σύντομόν τε καὶ τεχνικόν. [97] οἴεται γὰρ ἀπροαιρέτους κινήσεις πολλάκις ὅμως ἔχειν τι καὶ προαιρετικόν· ὅπερ εὔδηλόν ἐστιν ὁπόσας ἀντιλογίας ἔχει καὶ ζητήσεις. ἀλλὰ τὰ μὲν τοιαῦτα πρὸς τοὺς ἀφ᾽ ἑτέρων αἱρέσεων ἀμφισβητεῖται καὶ τούτῳ καὶ τοῖς ἄλλοις Ἡροφιλείοις, αὐτῷ δὲ τῷ Ἡροφίλῳ φαίνοιτ᾽ ἂν διαφερόμενος ἐν τῷ τὸν σφυγμὸν ἐνέργειαν μὲν εἶναι νομίζειν ἀρτηριῶν καὶ καρδίας, μέρη δ᾽ αὐτῷ τίθεσθαι τὴν διαστολήν τε καὶ συστολὴν καί ποτε καὶ τὰς ἠρεμίας. ἐὰν γὰρ ἀκριβῶς ἕπηται τοῖς Ἡροφίλου δόγμασιν, ἡ συστολὴ μὲν ἐνέργεια τῶν ἀρτηριῶν ἐστιν, ἡ διαστολὴ δὲ εἰς τὴν οἰκείαν τε καὶ φυσικὴν κατάστασιν τοῦ σώματος αὐτῶν ἐπάνοδος. βούλεται γὰρ, ὥσπερ ἐπὶ τῶν τεθνεώτων ὁρᾶται διεστὼς ὁ χιτὼν τῆς ἀρτηρίας, οὕτω κἀπὶ τῶν ζώντων

Pulfus eft functio cordis et arteriarum peculiaris: idem poftea tamen, nihil caufae eft, inquit, quin etiam talem definitionem faciamus: Pulfus eft cordis et arteriarum functio peculiaris, mixta et involuntaria. Hanc etiam extollit definitionem ut priore clariorem, illi compendium tribuit et artificium. Ducit enim faepe involuntarios motus habere tamen aliquid voluntarii; quod quidem non obscurum eft quam multis implicatum fit controverfiis et quaeftionibus. Sed de iftis cum aliis fectis disceptat hic et reliqui Herophilii, ab ipfo autem Herophilo diffidere in eo videatur, quod pulfum effe exiftimet functionem arteriarum et cordis, et partes ejus ftatuat diftentionem et contractionem, nonnunquam etiam quietes. Nam fi undequaque Herophili placita tueatur, contractio fit functio arteriarum, dilatatio in proprium ftatum et naturalem earum corporis reditus, nam ejus haec eft fententia, quemadmodum diftenta in demortuis cernitur tunica arteriae et in vivis item, quantum ex fe

Ed. Chart. VIII. [97.] Ed. Baſ. III. (49.)

ὅσον ἐφ᾽ ἑαυτῷ διεστάναι, τοὐναντίον Ἀσκληπιάδου δοξάζοντος· οἴεται γὰρ ὁ ἀνὴρ οὗτος καὶ τὴν καρδίαν καὶ τὰς ἀρτηρίας διαστέλλεσθαι πληρουμένας πνεύματος, εἰσρέοντος αὐταῖς διὰ λεπτομέρειαν, ἣν ἐντὸς ἑαυτῶν ἔχουσιν, ὅταν δὲ πληρωθεισῶν εἰς τὸ ἔμπροσθεν οὐκέτι ῥέῃ, καταπίπτειν αὖθις εἰς τὴν ἔμπροσθεν ὑπάρχουσαν ἑαυταῖς κατάστασιν φύσει τὸν χιτῶνα. καὶ τοῦτο ἐν παρέργῳ τὸ ζήτημα παρεισέρχεσθαι δύναται τοῖς ἀπέραντα μακρολογεῖν ἐθέλουσι σοφισταῖς. ὥσπερ δ᾽ ἐνταῦθα πολλῶν λόγων ὑπόθεσιν ἑαυτῷ τις πορίσασθαι δύναται, κατὰ τὸν αὐτὸν τρόπον, ἐὰν τὰ γεγραμμένα Φιλωνίδῃ τῷ Σικελῷ κατὰ τὸ περὶ τῆς ἰατρικῆς ὀκτωκαιδέκατον προχειρίζηταί τις, ὧν ἐπὶ βραχὺ καὶ Ἀγαθῖνος ἐμνημόνευσε μεμφόμενος αὐτῷ πρῶτον μὲν ὡς μοχθηρῶς ἀποφηναμένῳ τὸν σφυγμὸν ἐν ἀρτηρίαις μόναις γίγνεσθαι, δεύτερον δὲ ὡς καὶ τὸν Βακχεῖον οὐκ ὀρθῶς ἑαυτῷ συνεπισπωμένῳ, τὴν πολυλογίαν αὐξήσεις δηλονότι κἀκ τοῦ τοιούτου τρόπου τῷ λόγῳ. πρῶτον μὲν γὰρ δεήσει τὰ ἐπιχειρήματα λέγειν οἷς πεισθεὶς ὁ Φιλωνίδης ἀρτηριῶν μόνων τὸν σφυγμὸν οἴεται εἶναι, δεύτερον δ᾽ ἐξελέγχειν αὐτὰ, καὶ τρίτον ἐπι-

ipſa eſt, diſtentam eſſe. In contraria opinione eſt Asclepiades. Hic vir cor et arterias arbitratur diſtendi, quum ſpiritu implentur in ea influente per ſubtilem contextum, quo praedita intus ſunt; ubi jam in eorum os repletorum nihil influat amplius, ibi recidere tunicam in priorem ſuum ſtatum illum naturalem. Atque haec obiter ſubire quaeſtio ſophiſtis poteſt, qui ſermonem in immenſum volunt producere. Et ut verboſam materiam tibi hic paratam habes, ita ſi quae Philonides Siculus ſcripta reliquit in libro de medicina decimo octavo, in manus accipias (quorum etiam Agathinus brevibus meminit, ei objiciens, primum quod male pulſum aſſeruit in ſolis arteriis fieri, deinde quod Bacchium parum recte ſecum conjungat) magnum certe cumulum loquacitatis hac ratione addideris orationi. Primum enim epicheremata ſunt commemoranda, quibus adductus arteriarum ſolarum Philonides pulſum arbitratur, deinde illa refellenda, tertio Bacchium demonſtrabimus in hunc

δεικνύναι τὸν Βακχεῖον ἐν μὲν ταῖς ἀκροάσεσιν οὕτως εἰρηκέναι τὸν σφυγμὸν εἶναι συστολὴν καὶ διαστολὴν ἐν ἁπάσαις ταῖς ἀρτηρίαις γινομένην. ἐν δὲ τῇ τῶν σφυγμῶν ἐπιτομῇ κατὰ λέξιν οὕτως γράφει· σφυγμὸς δὲ καὶ πᾶν πάθος σφυγμοῦ μόνον ἐν ἀρτηρίαις καὶ καρδίᾳ συμβαίνει. καὶ μετ' ὀλίγα πάλιν· ὁ μὲν γὰρ σφυγμὸς, καθάπερ ἐῤῥέθη, διάστασίς τέ ἐστι τῆς ἀρτηρίας, ἢ τοῦ ἀρτηριώδους μέρους τῆς καρδίας. καὶ πρὸ πάντων ἐκείνου μέμνησο τοῦ μέχρι δεῦρο μόνων σχεδὸν τῶν Ἡροφιλείων ἡμᾶς τοὺς ὅρους προκεχειρίσθαι, πολλῶν καὶ τοῖς Ἐρασιστρατείοις καὶ τοῖς Ἀσκληπιαδείοις γεγονότων· ὥσπερ γε καὶ τοῖς ἀπ' Ἀθηναίου τοῦ Ἀτταλέως, οὓς πνευματικοὺς ὀνομάζουσιν, εἰ καὶ μὴ τοσούτων ὅρων, ὅμως γοῦν οὐ τοσούτων εἰρημένων. ὁ γοῦν Ἀγαθῖνος, οὗ σμικρὸν ἔμπροσθεν ἐμνημόνευσα, καίτοι τοῖς δι' ὅρων ἐπιχειροῦσιν ἅπαντα διδάσκειν ἐπιτιμῶν, ὅμως καὶ αὐτὸς ἓν ἔγραψεν ὅλον βιβλίον τὸ πρῶτον περὶ σφυγμῶν, ἐξηγούμενος ἕκαστον τῶν ἐν τοῖς σφυγμοῖς ὀνομάτων ἅμα τοῖς οἰκείοις ὅροις τῶν πραγμάτων. ἀλλὰ περὶ μὲν τῶν ἄλλων σιωπῶ· πρόκειται γὰρ ἐν τῷδε τῷ γράμματι τοῦ κατὰ τὸν σφυγμὸν

modum locutum in auscultationibus, pulfum eſſe contractionem et diſtentionem omnium arteriarum. In compendio vero pulſuum ſic ad verbum ſcribit: *Pulſus et omnis pulſus affectus arteriis duntaxat et cordi accidit.* Rurſus paulo poſt: *Nam pulſus quod dictum eſt, dilatatio eſt arteriae, vel arterioſae partis cordis. In primis hoc tibi fac haereat, hactenus ſolorum fere Herophiliorum nos commemoraſſe deſinitiones, quum etiam Eraſiſtratii multas et Asclepiadii fecerint.* Etiam hercle Athenaei Attalenſis aſſeclae, quos pneumaticos vocant, etſi non ita multas definitiones, tamen non quantas diximus fecerunt. Agathinus quidem certe, de quo paulo ante feci mentionem, quanquam improbet iſtos, qui omnia definitionibus ſtudent docere, ipſe tamen librum primum conſcripſit de pulſibus, ubi ſingula quae ad pulſum pertinent, nomina cum propriis definitionibus rerum interpretatur. Caeternm alias quidem praetereo, nam hoc in libro ſolius pulſus ſtatui deſinitionem

ὅρου μόνου μνημονεύειν, ἐπιδεδει(50)χότος μου πολλάκις, οὐδὲν ἧττον τοῦδε καθ' ἑκάστην διαφορὰν σφυγμῶν ὁμοίως δύνασθαι πληρωθῆναι βιβλίον, ἐάν τέ τις ὁρίζηται τὸν μέγαν σφυγμὸν, ἅμα τοῖς παρακειμένοις αὐτῷ, κατὰ τὸ πηλίκον τῆς διαστολῆς, ἐάν τε τὸν μικρὸν, ἅμα τοῖς κατὰ τοῦτο παρακειμένοις. οὕτω δὲ καὶ τοὺς ἄλλους ἅπαντας· καὶ νῦν, ὡς ἔφην, ὑπὲρ αὐτοῦ μόνου τοῦ σφυγμοῦ πρόκειται διελθεῖν ἐπὶ κεφαλαίων.

Κεφ. ια'. [98] Ὁ τοίνυν Ἀγαθῖνος ἐπιτιμῶν τοῖς πάντως ὁρίζεσθαι τὸν σφυγμὸν βουλομένοις, ὅμως καὶ αὐτὸς εἰς μακρολογίαν οὐκ ἀναγκαίαν ἐνέπεσε μετὰ τοῦ καὶ σφάλλεσθαι φανερῶς, οἰόμενος ὁμωνύμως λέγεσθαι τὸν σφυγμόν. ἄλλως μὲν γὰρ, φησὶ, τὴν τῆς καρδίας καὶ τῶν ἀρτηριῶν κίνησιν λέγομεν σφυγμὸν, ἄλλως δὲ τὴν ἐν ταῖς φλεγμοναῖς γινομένην αὐτῷ τῷ κάμνοντι συναίσθησιν. καὶ γὰρ καὶ ταύτην ὁμωνύμως φησὶ καλεῖσθαι σφυγμόν· ἀλλὰ καὶ τὴν διαστολὴν τῆς ἀρτηρίας μόνην, καὶ ταύτην ὀνομάζεσθαι σφυγμὸν, ἐπειδὰν ἤτοι μέγαν, ἢ σφοδρὸν εἶναι λέγωμεν αὐτὸν, οὐ γινομένων τούτων ἐν τῇ συστολῇ. καὶ μέντοι καὶ τὸν Ἀθήναιόν

memorare. Certe quidem demonftravi ego multis in locis, librum de fingulis differentiis pulfuum poffe non fecus ac hunc confici, fi magnum pulfum definias una cum his, quae ei ex quantitate diftentionis funt conjuncta, et fi parvum una cum adjunctis ex hac, atque hoc modo omnes alios. Sed in praefenti, ut dixi, de folo pulfu ftatui fummatim verba facere.

Cap. XI. Hic ergo Agathinus qui eos accufat, pulfum qui volunt omnino definire, tamen in loquacitatem et ipfe incidit inanem, atque etiam liquido in eo lapfus eft quod homonymum pulfum putarit effe. Alio enim loco ait: *Cordis et arteriarum motum dicimus pulfum effe.* Alias: *fenfum illum quem in inflammationibus aegrotus percipit, nam et hunc ait pulfum per homonymiam vocari, quinetiam folam arteriae diftentionem nominari pulfum, quando vel magnum, vel vehementem eum dicimus effe, qui in contractione non fiunt.* Et vero etiam Athenaeum ait cen-

φησιν οἴεσθαι καὶ τὴν συστολὴν ὀνομάζεσθαι σφυγμὸν, ᾧ σημαινομένῳ κελεύει τὸν Ἡρόδοτον ἐπιστῆναι. τούτῳ γὰρ ἀνδρὶ προσεφώνησε τὸ βιβλίον, ἑαυτοῦ μὲν ὄντι μαθητῇ, πάνυ δ' ἐπιφανῶς ἰατρεύσαντι κατὰ τὴν τῶν Ῥωμαίων πόλιν. ἀλλὰ τὸν σύνθετον ἐκ πλειόνων διαστολῶν ὀνομάζεσθαί φησι σφυγμὸν, ἔτι τε πρὸς τούτοις οὐ μόνον τὸν ἐκ τῶν διαστολῶν, ἀλλὰ καὶ τῶν συστολῶν. ὅρα δὲ, φησὶ, μή τις καὶ ὁ κατὰ τὸν καρπὸν ἴδιος ὀνομάζεται σφυγμός. δοκεῖ δέ μοι, φησὶ, σφυγμὸς λέγεσθαι καὶ ἡ τῶν ἐν προχείρῳ τεταμένων ἀρτηριῶν κίνησις. ἐπὶ τούτοις ἅπασι καὶ τοῦ κατὰ τὰ ὑποχόνδρια γινομένου παλμοῦ μνημονεύει ζητῶν, εἰ καὶ τοῦτον ἄμεινόν ἐστιν ὀνομάζειν σφυγμόν. γίνεσθαι μὲν γὰρ αὐτὸν ἐνίοις τῶν παρακοπτικῶν, εἶναι δὲ τῆς κατὰ τὴν ῥάχιν ἀρτηρίας τῆς παχείας. καὶ εἴπερ καὶ ταύτην, φησὶ, τὴν κίνησιν ὀνομάζομεν οὐ σφυγμὸν, ἀλλὰ παλμὸν, ἔσται τις ἀρτηριῶν κίνησις, οὐ σφυγμὸς, ἀλλὰ παλμὸς ὀνομαζομένη. καθ' ὃ σημαινόμενον καὶ ὁ Ἠλεῖος Αἰγίμιος ἐπέγραψε τὸ περὶ παλμῶν βιβλίον, ἐν ᾧ περὶ τῶν σφυγμῶν διαλέγεται. παρεισέρχεται δὲ κἀνταῦθα πάλιν λόγος ἕτερος τοῖς μακρολογεῖν

fere contractionem quoque pulfum appellari; quam fignificationem jubet Herodotum attendere; huic enim viro fuum librum nuncupavit, fuo quidem discipulo, apud Romanos tamen in medicina exercenda claro. Sed conflatum ex compluribus diftentionibus appellari pulfum dicit; ad haec non folum ex diftentionibus conftitutum, fed et ex contractionibus. Quid, inquit, fi etiam qui proprius eft carpi, vocetur pulfus? Equidem exiftimo, inquit, pulfum dici etiam evidentium arteriarum motum. Ab his omnibus palpitationis fecundum praecordia meminit, ecquid hanc quoque par fit appellare pulfum; quam quidem habeant nonnulli deliri; effe autem craffae dorfi arteriae. Quem in motu, inquit, vocamus non pulfum, verum palpitationem, erit jam quidam arteriarum motus, qui non pulfus, fed palpitatio appelletur; qua etiam fignificatione Aegimius Helienfis infcripfit librum de palpitationibus, in quo tractat de pulfibus. Sed hoc rurfus loco obrepit aliud argumentum

ἐθέλουσι, σκοπουμένοις εἰ γνήσιον ὄντως ἐστὶν Αἰγιμίου τὸ βιβλίον, ἢ εἰ πρῶτος Αἰγίμιος ἁπάντων ἔγραψε περὶ σφυγμῶν βιβλίον, ἢ καί τις ἄλλος πρὸ αὐτοῦ. τοῦτο μὲν ὄντως περιττὸν, οὐ περιττὸν δ᾽ ἴσως δόξει εἶναι, καίτοι περιττὸν ὂν, ἐπισκέψασθαι πότερον ἕν τι σημαίνεται πρὸς τοῦ σφυγμοῦ ὀνόματος, ἢ πολλά. φαίνεται γὰρ καὶ ὁ Ἀρχιγένης ἠκολουθηκέναι κατὰ τοῦτο τῷ διδασκάλῳ, πολλαχῶς οἰόμενος λέγεσθαι τὸν σφυγμόν. ἵνα δέ τις ἐπικρίνῃ τοὺς τοιούτους λόγους, ἀναγκαῖόν ἐστιν αὐτὸν ἐν τῇ τῶν γενῶν εἰς εἴδη τε καὶ διαφορὰς τομῇ γεγυμνάσθαι. μόνως γὰρ οὕτως τὰ ἴδια καὶ τὰ κοινὰ σημαινόμενα τῶν ὀνομάτων ἑκάστου δυνατὸν εὑρίσκειν ἐστί. πολλαχόθι γ᾽ οὖν μοι δοκοῦσι καὶ οἱ δόξαν ἐπὶ διαλεκτικῇ μεγάλην ἔχοντες ἡμαρτηκέναι, τοσαῦτα σημαινόμενα τῶν γενικῶν προσηγοριῶν οἰηθέντες ὑπάρχειν, ὅσαι πέρ εἰσιν αἱ καθ᾽ ἑκάστην αὐτῶν οἰκεῖαι διαφοραί. λέγω δὲ, εἴ τις οἰηθείη τὴν, ζῶον, φωνὴν, οὐχ ἕν τι σημαίνειν· ἄλλως μὲν γὰρ λέγεσθαι ζῶον ἀθάνατον, ἄλλως δὲ θνητὸν, καὶ λογικὸν μὲν ἄλλως, ἄλογον δὲ ἄλλως, καὶ δὴ καὶ ἄγριόν τε καὶ

his qui fermones ftudent ducere, fi disceptent, an Aegimii ille germanus liber fit, aut utrum caeterorum Aegimius fcripferit de pulfibus primus, an alius ante illum. Hoc vero omnino eft frivolum, illud fortaffe non inane cenfebitur, tametfi eft inane, indagare unumne pulfus nomen, an multa fignificet; videtur enim etiam Archigenes in eo cum praeceptore fentire, multis modis putans pulfum dici. De quibus fermonibus quo aliquis cognoscat, ad genera eum in fpecies et differentias partienda neceffarium eft exercitatum effe; nam propriarum et communium fignificationum nominum haec una eft via inveniendi. Itaque multis mihi locis videntur etiam qui illuftres in dialectica funt lapfi effe, qui totidem effe generalium nominum fignificationes funt arbitrati, quot in iis fingulis contineantur propriae fpecies. Dico autem, fi quis putaverit nomen animal non rem unam fignificare; aliter enim dici animal immortale, aliter mortale, et rationis particeps aliter, expers rationis aliter, et

ἥμερον, ἀγελαῖόν τε καὶ μονότροπον, ὅσα τ᾽ ἄλλα τοιαῦτα, ὥστε ἐάν τις ἐπέξεισι τῷ λόγῳ τῷδε καὶ γυμνάζῃ τὸν μαθητὴν ἐπὶ παραδειγμάτων πλειόνων ἑτοίμως ὁρᾷν τό τε κοινὸν ἐν πολλοῖς καὶ τὸ καθ᾽ ἕκαστον ἴδιον, οὐκ ὀλίγον τριβήσεσθαι χρόνον. καὶ μὴν οὐχ οἷόν τε χωρὶς τοιαύτης διδασκαλίας ἐπιδεῖξαι τὴν τοῦ σφυγμοῦ προσηγορίαν ἕν τι σημαίνειν, ὥσπερ τὴν τοῦ ζώου, [99] κἂν ὅτι μάλιστα κατὰ τὴν ἑκατέρου τομὴν εὑρίσκωνται διαφοραὶ πολλαί. πρόδηλον οὖν ἤδη κἀνταῦθα τὸ μῆκος τῶν λόγων καί τινος ἑνὸς ὅλου καὶ αὐτὸ δεόμενον βιβλίου τῷ βουλομένῳ διελθεῖν, ἀφ᾽ ὧν ὁρμηθέντες οἵ ἄνδρες οἵδε νομίζουσι πολλαχῶς λέγεσθαι τὸν σφυγμὸν, ὅ τι τε τὸ παρακρουσάμενον αὐτούς ἐστιν. εἴρηται μὲν οὖν μοι περὶ τούτων ἐπ᾽ ὀλίγον κἂν τῷ πρώτῳ τῶν ἐξηγητικῶν ὧν εἰς τὸ περὶ σφυγμῶν Ἀρχιγένους πεποίημαι, τὸν ἀριθμὸν ὄντων ὀκτώ. καὶ νῦν δὲ ἀρκέσει, καθάπερ ἐπὶ τῶν ἔμπροσθεν, ἓν δεδεῖχθαι τὸ μῆκος τῶν ἐσομένων λόγων, ἐὰν ἅπαντά τις ἐπεξέρχηται τὰ τοιαῦτα. φαίνεται δ᾽ οὖν καὶ ὁ Ἀγαθῖνος, εἰ καὶ ὅτι μάλιστα τοῖς ἐπιχειροῦσιν ὁρίζεσθαι τὸν σφυγμὸν ἐπιτιμᾷ, δι᾽ αὐτῶν τῶν λεγομένων ὑπ᾽ αὐτοῦ

ferum etiam manfuetumque, ad haec gregale et folitarium, et id genus reliqua. Proinde fi hanc disputationem perfequare, discipulumque exercites ad multa exempla, ut ftatim quod multis commune eft cernat et quod unicuique proprium, non parum impendes temporis. Atqui fine tali inftitutione oftendi non poteft, pulfus vocabulum unam rem fignificare, ut animalis, etfi ex utriusque divifione quam plurimae prodeant differentiae. Itaque hic jam perfpicias etiam longitudinem fermonis, qui integrum item librum requiret, fi exponere velis, unde inducti illi pulfum multis modis putent dici, et quid fit quod iis impofuit. De quibus ego nonnihil etiam in primo commentariorum, quae in librum Archigenis de pulfibus confcripfi, numero octo, dixi; hic fatis erit, ficut antea, fi unam fermonis prolixitatem demonftrem, qui ei habebitur, fi quis talia perfequi omnia velit. Nam videtur Agathinus, etfi incufet illos quam vehementiffime, qui pulfum conantur definire, ex fuis ipfius

Ed. Chart. VIII. [99.] Ed. Baſ. III. (50.)

ποτὲ μὲν ἐνέργειαν ἀρτηριῶν τε καὶ καρδίας αὐτὸν εἶναι νομίζων, ποτὲ δὲ κίνησιν ἀρτηριῶν τε καὶ καρδίας, ἔστι δ' ὅτε καὶ διαστολὴν καὶ συστολὴν ἀρτηριῶν καὶ καρδίας, οὐ μαχομένων ἀλλήλοις τῶν εἰρημένων λόγων, ἀλλὰ τοῦ μὲν, ὡς ἂν εἴποι τις, ὄντος γενικωτέρου, τῶν δ' εἰδικωτέρων.

Κεφ. ιβ'. Ὁ γοῦν Ἀρχιγένης ἐξειργάσθαι δοκῶν τὸν περὶ τῶν σφυγμῶν λόγον ἐν ἑνὶ μεγάλῳ βιβλίῳ κατὰ τὴν ἀρχὴν αὐτοῦ τόνδε τὸν ὅρον ἔγραψε· σφυγμός ἐστι καρδίας καὶ ἀρτηριῶν διαστολὴ φυσική τε καὶ συστολὴ φυσικὴ, προσθεὶς δηλονότι τὸ φυσικὴ τῷ τοῦ Ἀγαθίνου λόγῳ δι' ἣν ἔμπροσθεν αἰτίαν εἶπον. ἐκ διαστολῆς τε καὶ συστολῆς ὡς μερῶν συγκεῖσθαι νομίζουσι τὸν σφυγμὸν οἱ πνευματικοὶ πάντες, ἐνεργείας ἡγούμενοι τὰς κινήσεις ἀμφοτέρας εἶναι, τῶν περὶ τὸν Ἡρόφιλόν τε καὶ Ἀσκληπιάδην οὐχ ὁμοίως δοκούντων φέρεσθαι. τὸν μὲν οὖν Ἡρόφιλον περὶ διαστολῆς τε καὶ συστολῆς ἀρτηριῶν ζήτησιν ἰδίαν ἔχειν μακροτέραν· ἐνίοτε μὲν γάρ σοι δόξει καὶ τὴν διαστολὴν καὶ τὴν συστολὴν ἐνέργειαν νομίζειν, ὡς τὸ πολὺ δὲ μόνην τὴν συστολήν·

verbis, nunc functionem arteriarum et cordis eum putare eſſe, nunc motum arteriarum et cordis, non quod inter ſe hae definitiones pugnent, ſed quod una eſt, ut ita dicam, generalior, aliae ſpecialiores.

Cap. XII. Et jam Archigenes, qui commentationem de pulſibus in uno praegrandi libro confeciſſe exiſtimatur, in ejusdem initio definitionem hanc ſcripſit: Pulſus eſt cordis et arteriarum diſtentio atque contractio naturalis. Addidit hanc dictionem, naturalis, ad definitionem Agathini, ob cauſam quam ante explicavi. Ex diſtentione atque contractione ut partibus arbitrantur conſtare pulſum pneumatici omnes, actionem putantes utrumque motum eſſe, quum Herophilus et Asclepiades haud aeque ſentire videantur. Ac Herophilus quidem de diſtentione et contractione arteriarum peculiarem quaeſtionem inſtituere videtur prolixiorem; nam ſubinde putabis eum et diſtentionem et contractionem cenſere actionem eſſe, fere tamen unam contra-

ὁ δὲ Ἀσκληπιάδης, οὐδεμίαν ὑπολαμβάνων δύναμιν ὑφ᾽ ἧς ἥ τε καρδία καὶ αἱ ἀρτηρίαι κινοῦνται, ποικίλος ἐστὶ κατὰ τὴν λέξιν ὥσπερ ἐν ταῖς ἄλλαις ἁπάσαις ἐνεργείαις φυσικαῖς τε καὶ ψυχικαῖς, οὕτω κἀν τῇδε. ποτὲ μὲν γάρ σοι δόξει μὴ ἐνεργείας αὐτὰς τίθεσθαι, καίτοι γε ἀκόλουθον αὐτοῦ ταῖς ὑποθέσεσι τοῦτ᾽ ἔστι, ἐνίοτε δὲ ἐνεργείας αὐτὰς τίθεσθαι, ὡς καταχρώμενος, ἢ τῷ ἔθει συγχωρῶν. οἱ δ᾽ ἀπ᾽ Ἀθηναίου πάντες, ὡς εἴρηται, τὰς κινήσεις ἀμφοτέρας ἐνεργείας ἡγοῦνται, τήν τε ἐν τῷ διαστέλλεσθαι γιγνομένην καὶ τὴν ἐν τῷ συστέλλεσθαι, οὕτω τε καὶ ἡμεῖς ὑπολαμβάνομεν, οὐκ ἐπὶ μόνων τῶν ἀρτηριῶν τε καὶ τῆς καρδίας, ἀλλὰ καὶ τοῦ θώρακος. καὶ γὰρ καὶ τοῦτον ἐνεργεῖν ἐδείξαμεν ἔν τε τῷ διαστέλλεσθαι καὶ συστέλλεσθαι. διορίζομαι δὲ ὡς ἐπὶ τοῦ θώρακος, οὕτω κἀπὶ τῶν ἀρτηριῶν τὰς ἐπὶ τὴν μέσην κατάστασιν ἀπὸ τῶν ἄκρων φορὰς, ἐνίοτε μὲν ἐνεργείας χωρὶς, ἐνίοτε δὲ σὺν ταύτῃ γινομένας. ἐὰν οὖν καὶ τὰς περὶ τούτων ἀποδείξεις ἐπεισάγῃ τις τῷ λόγῳ, καὶ κατὰ τοῦτ᾽ αὐτὸν εἰς μῆκος προάξει μακρότερον. ἐὰν δὲ καὶ τῆς τῶν ὀνομάτων ὑπαλλαγῆς,

ctionem. Asclepiadis vero qui nullam ducit facultatem esse, abs qua cor et arteriae moveantur, varia est oratio, quum in aliis functionibus naturalibus animalibusque omnibus tum in hac. Dicas enim interim statuere eas illum ne actiones quidem esse, quanquam hoc consequens est suppositionibus ipsius; interim vero functiones esse ponere, veluti abutens nomine, aut consuetudini concedens. At vero familia Athenaei, ut dixi, omnis utrumque motum in functionibus habet et distentionis et contractionis. In qua etiam nos sententia sumus, neque tantum de arteriis et corde, sed etiam de thorace, quippe quem etiam demonstravimus agere distendendo se et contrahendo. Distinguo autem tum in thorace, tum in arteriis lationes in medium statum ab extremis, quae nunc citra actionem, nunc cum illa fiunt. Horum si jam demonstrationes in hunc sermonem conjicias, hac re ad longitudinem tibi multum proficietur. Ad haec, si nominum varietatem, qua in definien-

ἣν ἐποιήσατο κατὰ τοὺς ὅρους, ἃς αὖθις προσέθεσαν αἰτίας εὐλόγους διέρχηταί τις, εἶθ᾽ ἑξῆς ὅπως ἐμέμψαντό τινες αὐτὰς, εἶθ᾽ ὅπως ἀπελογήσαντο περὶ τῶν εἰπόν(51)των, ἕτερον μῆκος ἔτι κἀκ τοῦδε περιττὸν τῷ λόγῳ προστεθήσεται.

Κεφ. ιγ´. [100] Μάγνος οὖν οὐ διαστολὴν καὶ συστολὴν, ἀλλὰ καὶ διόγκωσιν καὶ συνίζησιν αἰσθητὴν καρδίας καὶ τῶν ὁμοιοπαθούντων αὐτῇ τὸν σφυγμὸν εἶναί φησιν.

Κεφ. ιδ´. Αὐτὸς δὲ ὁ τῆς αἱρέσεως αὐτῶν ἡγεμὼν Ἀθήναιος τὸν σφυγμὸν ὁρίζεται κίνησιν κατὰ διαστολὴν φυσικὴν καὶ ἀπροαίρετον τοῦ ἐν ἀρτηρίαις καὶ καρδίᾳ θερμοῦ, ἐξ ἑαυτοῦ τε καὶ εἰς ἑαυτὸ κινουμένου, καὶ συγκινοῦντος καρδίαν καὶ ἀρτηρίας, οὐ μόνον οὐσιώδη τὸν ὁρισμὸν ποιησάμενος, ἀλλὰ καὶ μετὰ τοῦ τῆς αἰτίας λογισμοῦ, καθ᾽ ὃν τρόπον ὁρίζεσθαι κελεύουσιν οἱ διαλεκτικοὶ τὰ ἐν τῷ γίγνεσθαι τὸ εἶναι κτώμενα. καὶ συντομώτερον δὲ τὸν σφυγμὸν εἶναί φησι διαπνοὴν φανερὰν πρὸς αἴσθησιν ληπτὴν ὅσον ἐφ᾽ ἑαυτῇ καρδίας καὶ ἀρτηριῶν. ἔστι δὲ καὶ ὅδε ὁ ὅρος Ἀθηναίου·

do ſunt uſi, et hercle quas adduxerunt probabiles cauſas recenſueris, deinde quemadmodum eas quidem reprehenderunt, poſtea quomodo dicta ſua alii defenderunt, hinc orationi accedet frivolae prolixitatis cumulus.

Cap. XIII. Magnus itaque non diſtentionem et contractionem, ſed etiam inflationem et concidentiam ſenſibilem cordis, eorumque quae illi afficiuntur ſimiliter, dixit pulſum eſſe.

Cap. XIV. At ipſe ſectae illorum princeps Athenaeus pulſum definivit motum per diſtentionem naturalem et involuntariam caloris, qui in arteriis eſt et in corde, quique ex ſe ipſo et in ſe ipſum movetur, unaque cor movet et arterias. Ubi non eſſentialem modo definitionem fecit, ſed addidit et cauſam, quemadmodum definiri dialectici volunt ea quae dum fiunt ſunt. Et compendioſius etiam pulſum dicit eſſe manifeſtum perſpiratum, a ſenſu per ſe quidem perceptibilem, cordis et arteriarum. Jam Athenaei

σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ κατὰ διάπνοιαν καρδίας καὶ ἀρτηριῶν. ἔξεστι δὲ τῷ βουλομένῳ καὶ τὸν περὶ τούτων τῶν ὅρων λόγον ἐκτείνειν ἐπὶ πλεῖστον ἀνασκευάζοντί τε καὶ κατασκευάζοντι. καὶ ἄλλοι δέ τινες τῶν ἀπὸ τῆς πνευματικῆς αἱρέσεως ὅρους ἐποιήσαντο τοῦ σφυγμοῦ βραχὺ τῶν προειρημένων παραλλάττοντας, ὡς εἶπον, ὥστ᾽ οὐ χρὴ μνημονεύειν αὐτῶν ἐπειγομένους καθ᾽ ὅσον οἷόν τε διαδραμεῖν τὸν λόγον.

Κεφ. ιε'. Ὡσαύτως δὲ καὶ τοῖς ἀπ᾽ Ἀσκληπιάδου διαφωνία ἐγένετο πρὸς ἀλλήλους, τοῖς μὲν προστιθεῖσί τι τοῖς εἰρημένοις ὑπ᾽ Ἀσκληπιάδου, τοῖς δ᾽ ἀφαιροῦσι, τοῖς δ᾽ ὑπαλλάττουσιν. αὐτὸς μὲν γὰρ ὁ Ἀσκληπιάδης τὸν μὲν σφυγμὸν εἶναι συστολὴν καὶ διαστολὴν καρδίας τε καὶ ἀρτηριῶν, οὐκ ὀλίγοι δὲ τῶν ἀπ᾽ αὐτοῦ γινομένων προστιθέασιν, οὐχ ἅπαξ, ἀλλὰ πολλάκις γιγνομένην κατὰ μίαν εἰσπνοὴν, ὡς εἶναι τὸν ὅλον ὅρον τοιόνδε· σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ καρδίας τε καὶ ἀρτηριῶν οὐχ ἅπαξ, ἀλλὰ πολλάκις γινομένη κατὰ μίαν εἰσπνοήν. ἐξηπατήθησαν δὲ ὑπὸ

etiam haec eſt definitio: Pulſus eſt diſtentio et contractio cum perſpiratu cordis et arteriarum. Si cui autem cordi eſt, hisce definitionibus confutandis confirmandisque longiſſime orationem extendat licet. Jam vero alii quidam de pneumatica ſecta definitiones pulſus ſecerunt aliquantum ab antedictis, ut dixi, variantes; quo minus eas commemorare ſtatui, quod perſtringere quam breviſſime orationem ſtudeam.

Cap. XV. Asclepiadis etiam discipuli fuerunt inter ſe discordes, quod definitionibus quidam Asclepiadis aliquid adjicerent, alii detraherent, alii immutarent. Nam ipſe Asclepiades quidem pulſum dicit eſſe diſtentionem et contractionem cordis et arteriarum. Hic multi ejus discipuli addunt, quae non ſemel, ſed identidem in una inſpiratione fiat, ut tota definitio haec ſit: Pulſus eſt diſtentio et contractio cordis et arteriarum, quae non ſemel, ſed identidem in una inſpiratione fiat. Sed decepti quidam ſunt ab

τοῦ γεγράφθαι κατὰ τὸ περὶ τῆς ἀναπνοῆς καὶ τῶν σφυγμῶν αὐτοῦ βιβλίον οὕτως τὴν λέξιν, ἐπιλαθόμενοι τοῦ λόγου ἐν ᾧ τοῦτ᾽ ἔγραψε. πρόκειται γὰρ αὐτῷ δεῖξαι, τίνα μὲν ὁμοίως γίγνεται κατά τε τὰς ἀναπνοὰς καὶ τοὺς σφυγμοὺς, τίνα δὲ ἑτέρως τε καὶ διαφερόντως. ἐν ᾧ τοίνυν ἐπιδείκνυσι τὰ διαφέροντα, καὶ ἡ προκειμένη γέγραπται λέξις, εἰς διορισμὸν ἀναπνοῆς τε καὶ σφυγμῶν ἔχουσα προσκείμενον, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις γιγνομένη κατὰ μίαν εἰσπνοήν.

Κεφ. ιστ΄. Ἔνιοι δὲ καὶ αὐτοῖς τούτοις προσέθεσάν τινα, καθάπερ καὶ Μοσχίων ὁ διορθωτὴς ἐπικληθεὶς, ἐπειδή τινα τῶν ὑπ᾽ Ἀσκληπιάδου λελεγμένων ἐπηνωρθοῦτο, μὴ πάντη πειθόμενος τἀνδρὶ, καθάπερ οὐδ᾽ ὁ Ἀλέξανδρος Ἡροφίλῳ. τίς οὖν ὁ τοῦ Μοσχίωνος [101] ὅρος εἰπόντες ἀπαλλαγῶμεν ἤδη καὶ τῶν Ἀσκληπιάδου· σφυγμός ἐστι κίνησις ἴδιος καρδίας καὶ ἀρτηριῶν καὶ φλεβῶν καὶ ἐγκεφάλου καὶ τῆς περὶ αὐτὸν μήνιγγος κατὰ μίαν εἰσπνοὴν, οὐχ ἅπαξ δὲ, ἀλλὰ πολλάκις γιγνομένη. καί σοι καὶ τῆς

eo, quod in libro fuo de refpiratione et pulfibus fcripferit in eum modum ifta verba, obliti orationis ubi hoc fcripfit. Nam demonftrare inftituit, quae fimili modo fiunt in refpirationibus et pulfibus et quae alio diverfoque, ac ubi diverfitatem declarat, ifta commemorata verba funt fcripta, quo refpirationem fepararet a pulfibus, quibus hoc eft adfcriptum: quae non femel, fed identidem in una infpiratione fiat.

Cap. XVI. Alii porro quaedam adjecerunt praeterea, de quibus Mofchion eft, cognomine corrector, quod Asclepiadis fcripta quaedam corrigeret, non ubique cum eo fentiens, ficut nec cum Herophilo Alexander. Ego vero fimul ut Mofchionis definitionem narravero, recedam a fchola Asclepiadis: Pulfus eft motus peculiaris cordis, arteriarum, venarum, cerebri, ambientisque hoc membranae, qui in una infpiratione non femel, fed identidem fiat. Atqui

ἐξηγήσεως ἑκάστου τῶν κατὰ τὸν ὅρον εἰρημένων οὐκ οἶμαι δεήσειν, εἰ μέμνησαι τῶν ἄχρι δεῦρο λελεγμένων.

Κεφ. ιζ. Ἄξιον οὖν ἴσως ἐστὶ καὶ τῶν περὶ τὸν Ἐρασίστρατον μνημονεῦσαι, διενεχθέντων καὶ αὐτῶν πρὸς ἀλλήλους οὐχ ἧττον ἢ οἱ ἄλλοι. τὸ γάρ τοι θαυμάσιον τοῦτ᾽ ἔστιν, ὅτι μὴ μόνον ἀπὸ διαφερουσῶν αἱρέσεων, ἀλλὰ καὶ αὐτῶν τῶν ἀφ᾽ ἑνὸς ἀνδρὸς ἀναγομένων οἱ πλεῖστοι διεφάνησαν, ἔνιοι δὲ καὶ δύο καὶ τρεῖς ὅρους ἔγραψαν, ὥσπερ Ἀπολλώνιος ὁ ἀπὸ Στράτωνος ἕνα μὲν τόνδε· σφυγμός ἐστι κατὰ τὴν ἐπιπλήρωσιν τοῦ ἀπὸ καρδίας πνεύματος ἐκπεμπομένου περὶ τὴν ἀρτηρίαν διάστασις γινομένη. δεύτερον δὲ τόνδε· σφυγμός ἐστιν ἡ ἀπὸ τῆς ἀρτηρίας διάστασις καὶ συστολὴ ἀπὸ τῆς ἐν αὐταῖς παρακειμένης καὶ ἀνάλογον δυνάμεως. τρίτον δ᾽ ἄλλον· σφυγμός ἐστι διάστασις, καθ᾽ ἣν πρὸς τὴν ἁφὴν ἡ ἀρτηρία προσπίπτει. οὗτος μὲν οὖν ὁ τρίτος ὅρος ὅτι τὴν αὐτὴν ἔχει δύναμιν τῷ κατὰ τὸν ἐν ἐπισκέψει σφυγμὸν ὁρισμῷ πρόσθεν ὑπὸ τῶν περὶ τὸν Ἀλέξανδρον εἰρημένῳ, παντὶ δῆλον· ὁ δὲ πρῶτος ὑπ᾽ αὐτοῦ γεγραμμένος οὐσιώδης ἐστὶ κατὰ τὴν Ἐρασιστράτου

non puto defiderare te interpretem horum quae definitio habet, fi quid memores hactenus dictorum.

Cap. XVII. Quare fit operae pretium fortasse transire ad Erafiftrati discipulos, qui inter fe non minus ac alii diffenferunt. Siquidem hoc quidem mireris, non tantum diverfarum fectarum medicos, fed illos etiam qui unum virum fectarentur, diffenfiffe plerosque; quosdam etiam duas et tres definitiones confcripfiffe, ut Apollonius Stratonis filius unam hanc: Pulfus eft dilatatio arteriae, quae completione fit fpiritus a corde emiffi. Alteram hanc: Pulfus eft arteriae dilatatio et contractio, a facultate quae illi conjuncta eft ac proportione respondet. Ac tertiam aliam: Pulfus eft dilatatio quae facit ut tactum arteria feriat. Atque hanc definitionem tertiam aequipollere definitioni pulfus in confideratione pofiti, nuper ab Alexandro allatae, nemo eft qui nefciat. Prima autem quam fcripfit effentialis eft, confentiens Erafiftrati fententiae, quandoquidem pu-

δόξαν συγκείμενος, ἐπειδὴ καὶ τὰς ἀρτηρίας, ὡς καὶ πρόσθεν ἔφην, οἴεται διαστέλλεσθαι κατὰ τὴν ἐπιπλήρωσιν τοῦ παρὰ τῆς καρδίας ἐπιπεμπομένου πνεύματος. ἀξιοῦσι γὰρ ἡμᾶς ἐπιπλήρωσιν, οὐ πλήρωσιν λέγειν, ἵνα μή τις ὑπονοήσῃ πᾶν ἐκκενοῦσθαι τὸ πνεῦμα τῶν ἀρτηριῶν ἐν ταῖς συστολαῖς. ὁ δὲ δεύτερος ὅρος ἐφάπτεται καὶ τοῦ τῶν δυνάμεων λόγου, βέλτιον ὑπ᾽ ἄλλων Ἐρασιστρατείων συντεθεὶς, ὅσοι τὸν σφυγμὸν ἔφασαν εἶναι διαστολὴν καὶ συστολὴν ἀρτηριῶν τε καὶ καρδίας, ὑπὸ ζωτικῆς τε ψυχικῆς δυνάμεως ἐπιτελουμένην. αὐτὸς γὰρ ὁ Ἐρασίστρατος ἐν τοῖς περὶ πυρετῶν ἀπεφήνατο σαφῶς, οὐ μόνον ζωτικὴν δύναμιν εἶναι κατὰ τὴν καρδίαν, ἀλλὰ καὶ ψυχικήν. ἐνίοις δ᾽ αὐτῶν ἤρκεσε τὸν σφυγμὸν εἰπεῖν κοινὴν ἐνέργειαν καρδίας τε καὶ ἀρτηριῶν. ἔνιοι δὲ περιεργότερον ἀντιδιαστολὴν ἀρτηριῶν πρὸς καρδίαν ἔφασαν εἶναι τὸν σφυγμὸν, ἐν ᾧ μὲν χρόνῳ διαστέλλεσθαι συμβαίνει τὴν καρδίαν, ἐν τούτῳ συστέλλεσθαι τὰς ἀρτηρίας οἰόμενοι, καθ᾽ ὃν δ᾽ ἐκείνη συστέλλεται, τὰς ἀρτηρίας διαστέλλεσθαι. ὅ γε μὴν πρῶτος τῶν ἀπὸ τοῦ Ἀπολλωνίου ῥηθέντων τὴν διαστολὴν μόνην σημαίνει σφυγμὸν εἶναι, ἣν αὐτὸς ὠνόμασε διάστασιν,

tat arterias, ut fuperius etiam memini, ideo diftendi, quod compleantur fpiritu a corde fuppeditato. Nam completionem volunt nos, non impletionem dicere, ne quis omnem in contractionibus exiftimet fpiritum evacuari. Secunda definitio facultatum etiam fermonem tangit, quam alii rectius Erafiftratii fecerunt, qui pulfum effe dixerunt diftentionem et contractionem arteriarum et cordis, quam vitalis facultas et animalis efficit. Nam ipfe Erafiftratus in commentariis de febribus aperte affirmavit etiam animalem effe in corde, nedum vitalem facultatem. Nonnullis illorum fatis fuit dixiffe, pulfum communem actionem effe cordis atque arteriarum. Quidam anxie magis diftentionem arteriarum, cordi contrariam, effe pulfum affirmaverunt, quando attollitur cor, eodem tempore contrahi arterias exiftimantes et quum illud contrahitur, tum diftendi arterias. At vero Apollonii prima definitio folam declarat diftentionem effe pulfum, quam dilatationem appellavit, hisce verbis:

ὧδέ πως γράψας· σφυγμός ἐστι κατὰ τὴν ἐπιπλήρωσιν τοῦ ἀπὸ καρδίας πνεύματος ἐκπεμπομένου περὶ τὴν ἀρτηρίαν διάστασις γιγνομένη. ὅ γε μὴν Ἐρασίστρατος ἔοικεν οὐ τὴν κατὰ φύσιν ἐν ἀρτηρίαις κίνησιν ὀνομάζειν σφυγμὸν, ἀλλὰ μόνην τὴν ἐπὶ φλεγμονῇ. δῆλον δὲ ἐκ τῶν ῥήσεων αὐτοῦ τῶν ἐν τῷ πρώτῳ περὶ πυρετῶν, ἐν αἷς κίνησιν μὲν ἀρτηριῶν ὀνομάζει τὸν κατὰ φύσιν ὑφ᾽ ἡμῶν καλούμενον σφυγμὸν, ὃν δ᾽ αὐτὸς ἐπὶ φλεγμονῇ τὴν μεταβολὴν ἔχειν φησὶ, σφυγμὸν φαίνεται καλῶν, ὡς οὐ κατὰ πάσης κινήσεως ἀρτηριῶν ἐπιφέρειν ἡγούμενος χρῆναι τὴν τοῦ σφυγμοῦ προσηγορίαν, ἀλλ᾽ ἐπ᾽ ἐκείνης μόνης, ᾗ τις ἐξίσταται τοῦ κατὰ φύσιν ὑπὸ τῆς κατὰ τὴν φλεγμονὴν διαθέσεως. εὔδηλον οὖν ἤδη τὸ πλῆθος τῶν ἐσομένων λόγων, ἐάν τις ἐπεξέρχηται ταῦτα πάντα καὶ μνημονεύῃ τῶν τε πρὸς ἀλλήλους εἰρημένων τοῖς Ἐρασιστρατείοις καὶ τῶν πρὸς τοὺς ἄλλους, ὅσα τε πάλιν ἐκεῖνοι πρὸς αὐτοὺς ἀντεῖπον. ὁπότ᾽ οὖν τὰ κεφάλαια μόνον αὐτὰ λέγων ἐγὼ νῦν ἐπλήρωσα ὅλον [102] βιβλίον, οὐδ᾽ οὖν οὐδὲ πάντας ἐπελθὼν τοὺς εἰρημένους ὅρους, ἆρ᾽ οὐ πρόδηλον, ὡς τῷ πάντ᾽ ἐπεξέρχεσθαι βουλομένῳ καὶ τρία καὶ τέτταρα

Pulfus eft dilatatio arteriae, quae completione fit fpiritus a corde emiffi. Erafiftratus vero videtur non naturalem arteriarum motum appellare pulfum, verum motum duntaxat in inflammatione, id quod ejus verba arguunt in primo commentario de febribus, ubi vocat motum arteriarum, quem naturalem nos pulfum appellamus; quem vero in inflammatione ille immutationem dicit habere, pulfum videtur vocare, non cenfens fcilicet cuivis arteriarum motui effe pulfus nomen attribuendum, fed foli ei qui ab affectu in inflammatione a naturali ftatu deducitur. Cernis igitur verborum copiam, qua abundabis, fi cuncta haec perfequare et quae in fe Erafiftratii mutuo ac quae in alios disputarunt, commemores, et quae item illi responderunt his. Quum igitur in capitibus ego tantum recenfendis librum jam totum confecerim, idque multis etiam praeteritis illorum definitionibus, quid qui exequi omnia velit, nonne tres libros,

πληρωθήσεται βιβλία; καὶ τοίνυν νόμιζε πεπληρῶσθαι τὰ τοιαῦτα, καί τι μειράκιον εἰς φλύαρον ἐμπεσὸν σοφιστὴν ἅπαντα λέγειν ἐσπουδακότα καὶ μηδὲν ὅλως παραλιπεῖν τῶν εἰρημένων τοῖς ἰατροῖς ἐν πολλῷ χρόνῳ φιλοπόνως ἐκμαθεῖν αὐτὰ, κἄπειτα συντυχεῖν ἐπ᾽ ἀῤῥώστου τινὸς ἑτέρῳ μειρακίῳ παρ᾽ ἑτέρου διδασκάλου, πῶς τε χρὴ διαγιγνώσκειν ἕκαστον τῶν σφυγμῶν καὶ τί δηλοῦν πεφύκασι μεμαθηκότι, πότερόν σοι δοκεῖ χρήσιμόν τι πρὸς τὴν τέχνην εἰς πρόγνωσιν ἐπὶ τοῦ νοσοῦντος εὑρήσειν; ἢ πότερον εὐδοκιμήσειν παρ᾽ αὐτῷ τε τῷ κάμνοντι καὶ τοῖς παροῦσι; τὸ μὲν γὰρ ἕτερον μειράκιον ὅπως ὁρίζεσθαι χρὴ τὸν σφυγμὸν διήξει λόγους μακροὺς, εἴτε δ᾽ ἀκινδύνως, εἴτε κινδυνωδῶς ὁ (52) κάμνων ἔχει, καὶ πότερον εἰς χρόνου μῆκος αὐτῷ προελθεῖν, ἢ διὰ ταχέων κριθῆναι συμβήσεται, παντάπασιν ἀγνοήσει· τὸ δ᾽ ἕτερον μειράκιον ἀκριβῶς μὲν ταῦτα προγνώσεταί τε καὶ προερεῖ τοῖς παροῦσιν, ἀγνοήσει δὲ πῶς ὁρίζεσθαι χρὴ τὸν σφυγμόν. ἐκ παραβολῆς δ᾽ οὕτως ἐναργῶς διαγνωσθήσεται ποῖον μέν τι τὸ ἄχρηστόν ἐστι τῆς διδασκαλίας εἶδος, ὁποῖον

atque adeo quatuor habebit conficiendos? Fac vero confectos esse, et adolescentem quempiam qui in nugatorem incurrisset praeceptorem, qui omnia dicere velit, nihilque praeterire eorum quicquam quae tradiderunt medici, longo tempore illa et summo studio edidicisse, postea congressum apud aegrotum aliquem esse cum alio adolescente, qui ab alio praeceptore didicerit rationem cujusque pulsus dignoscendi et quid denuntiare soleant, uter tibi videatur commodi aliquid inventurus ad praesagiendum de aegroto? aut uter nomen assecuturus apud aegrotum et praesentes? Nam alter adolescens, qui pulsus sit definiendus, multis verbis aget; at morbus periculone vacet, an cum periculo sit, et diuturnusne sit futurus, an brevi judicatio sit expectanda, plane nesciet: alter adolescens exacte haec praesentiet, praedicetque praesentibus, sed cum ratio definiendi pulsus fugit. Hoc autem aperte declarabit comparatio, quae ratio docendi utilis, quae inutilis sit. Verum ut est in proverbio, Dulce

δὲ τὸ χρήσιμον· ἀλλ' ὡς ἡ παροιμία φησὶ, γλυκὺς πόλεμος ἀπείρῳ, οὕτω μοι δοκοῦσι καὶ οἱ πάνθ' ὁρίζεσθαι προαιρούμενοι μηδόλως ἐγνωκέναι τὰς γεγονυίας ζητήσεις τοῖς διαλεκτικοῖς περὶ τοῦ πῶς ὁρίζεσθαι προσήκει. τὸ μὲν οὖν ἑρμηνεύειν λόγῳ τὸ δηλούμενον ἐκ τοῦ ῥηθέντος ὀνόματος, ὅταν γε μὴ πάνυ τι τοῦ προκειμένου πράγματος ἐναργῆ πάντες ἔχωσι τὴν νόησιν, οὐ μόνον χρήσιμον, ἀλλὰ καὶ ἀναγκαῖόν ἐστιν· ἀναγκαῖον δὲ κἀπειδὰν ἤτοι γ' ἑκών τις αὐτὰ ὑπὸ πανουργίας, ἢ ἄκων ὑπὸ ἠλιθιότητος ἐναλλάττῃ τὰ σημαινόμενα πρὸς τῶν ὀνομάτων, ἐπιφέρων αὐτὰ καθ' ἑτέρων πραγμάτων ἢ πάντες ἄνθρωποι. μηδετέρου δὲ τούτων ὄντος, οὐδὲ λόγῳ χρὴ δηλοῦσθαι τὸ πρᾶγμα, τῆς ἰδίας προσηγορίας αὐτάρκως αὐτὸ σημαινούσης. τὸ δὲ ὁρίζεσθαι πάντως ἐθέλειν ἅπαν πρᾶγμα σοφιστικῆς διδασκαλίας ἔργον ἐστί. καὶ ταῦτα ἔξεστι λέγειν ἐμοὶ μάλιστα πεῖραν ἱκανὴν ἐν αὐτοσχεδίοις προβλήμασι δεδωκότι. περὶ παντὸς γὰρ ἀεὶ τοῦ προβληθέντος εἰς ὁρισμὸν ἔδειξα δι' ὅλης ἡμέρας δύνασθαί τινα λέγειν. οὐκ οὖν ἀπορίᾳ λόγων εἰς ὅρους ἐπιτηδείων ἐγκαλῶ τοῖς εὐποροῦσιν, ἀλλ' ἐπιδείξας ἐμαυτὸν ἁπάντων

bellum inexperto, ſic iſti videntur mihi, qui omnia volunt definire, prorſus quaeſtiones ignorare quas dialectici de ratione definiendi inſtituerunt. Nam definitione quidem ſignificationem explicare propoſiti nominis, ſi quidem propoſitam rem non omnes plane aſſequantur, non dico conducit, ſed neceſſarium eſt. Neceſſarium etiam ubi quis vel verſutia de induſtria, vel imprudens prae ſtupiditate, ſignificationes commutet nominum, tribuens aliis rebus ea ac omnes homines. Si absque utroque horum ſit, omnino res definitione non eſt aperienda, quod ſuum ipſa nomen abunde declaret, nam definire plane omnia velle ad ſophiſticam disciplinam pertinet. Mihi quidem haec licet dicere, qui frequentiſſime in quaeſtionibus improviſis feci periculum; nam de quavis re ad definiendum propoſita dici demonſtravi poſſe totum diem. Quare non quo verbis deficiar ad definiendum accommodatis, in abundantes queror, ſed quum probavi omnium me ad eam loquacitatem eſſe inſtructiſſimum, hu-

Ed. Chart. VIII. [102.] Ed. Baf. III. (52.)

εὐπορώτατον εἰς τὴν τοιαύτην ἀδολεσχίαν, φιλάνθρωπον ἡγησάμην εἶναι, τῶν μανθανόντων ἕνεκα τῆς ὠφελείας τὰς τέχνας, ἐπιδεῖξαι τὴν ἀλήθειαν, οὐχ ὥσπερ οἱ πολλοὶ τῶν ὁτιοῦν ἐπισταμένων ἐπιχειροῦσιν αὐτὸ σεμνύνειν, ἀλλ᾽ ἐκεῖνοι καὶ σφᾶς αὐτοὺς ἡγούμενοι φανεῖσθαι σεμνοτέρους, ἀλλ᾽ ἀεὶ τῶν ἐγνωσμένων ἐμαυτῷ, διακρίνειν ἀπὸ τῶν ἀχρήστων τὰ χρήσιμα. πλὴν γὰρ ὀλίγων ἅπαντες οἱ διδάσκοντες τὰς τέχνας ἐν τοῖς ἀχρήστοις πλεονάζουσιν, ὧν ἓν καὶ τοῦτ᾽ ἔστιν, ὃ νῦν ἐν ἅπαντι τῷ διηνυσμένῳ λόγῳ προεχειρισάμην, ἐπινειμαμένου τοῦ τῆς φιλοριστίας νοσήματος οὐ μόνον τοὺς ἰατροὺς καὶ φιλοσόφους, ἀλλὰ καὶ ῥήτορας καὶ μουσικοὺς καὶ γραμματικούς. ἅπασιν οὖν, ἐὰν σωφρονῶσιν, ἐφ᾽ ἑνὸς παραδείγματος τοῦ κατὰ τὸν σφυγμὸν ὠφέλιμον ἡγοῦμαι πεποιῆσθαι βοήθειαν. ἐὰν δ᾽ αὖθίς ποτε δόξῃ κατὰ πολλὴν σχολὴν ἅπαντα τὰ περὶ τῶν ὅρων ἀμφισβητούμενα διελθεῖν τε καὶ κρῖναι, καὶ τοῦτ᾽ ἀόκνως πράξω. τινὲς μὲν γὰρ αὐτοὺς ἀχρήστους εἶναί φασι, τινὲς δὲ χρησίμους μὲν εἶναι λέγουσιν, ὅπως δ᾽ ὁρίζεσθαι χρὴ διαφέρονται. καὶ νῦν δὴ ἤδη δύο βιβλία περὶ αὐτῶν ἐστί

manitatis duxi eſſe, ſi artibus inſudantium haberem rationem, veritatemque aperirem, non quod plerique faciunt ſcioli, qui ſuſpici, quod ſciant, quaerunt, ſed et ipſi ſe ipſos venerandos magis apud alios putant fore, ſed quae cognoviſſem ſemper, diſtinguerem utilia ab inutilibus. Omnes enim, quum a paucis disceſſum eſt, qui artes tradunt, nugis omnia refarſerunt: de quibus hoc eſt, quod hactenus tractavimus. Nam pervaſit amoris definiendi morbus non medicos tantum ac philoſophos, ſed oratores etiam et muſicos grammaticosque. Quibus ego, ſi ſapiant, omnibus uno de pulſibus exemplo medicinam ſane praeſentem feci. Quod ſi quando per otium multum ſit viſum omnes perſequi et dijudicare controverſias de definitionibus, ne id quidem facere dubitabo, ſiquidem inutiles quidam dictitant illas eſſe, alii utiles illas quidem, ſed de ratione disceptant definiendi. Sed jam libros etiam de his duos conſcripſi, tertium et quar-

Ed. Chart. VIII. [102.] Ed. Baſ. III. (52.)

μοι γεγραμμένα, τῶν εἰς τὰ περὶ ἀποδείξεως Ἀριστοτέλους ὑπομνημάτων τοῦ δευτέρου τὸ τρίτον καὶ τέταρτον. ἐπιγράφεται δ᾽ ὑπὸ τῶν πλείστων ἀναλυτικῶν δεύτερον ἡ τοιαύτη πραγματεία, καθάπερ ἡ περὶ συλλογισμοῦ προτέρων ἀναλυτικῶν.

tum commentarium in ſecundum librum Ariſtotelis De demonſtratione. Cui libro titulum multi indiderunt Analyticorum poſteriorum, ſicut et libro De ſyllogismo priorum Analyticorum.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Α.

Ed. Chart. VIII. [103.] Ed. Baf. III. (52.)

Κεφ. α΄. Τῆς περὶ τοὺς σφυγμοὺς θεωρίας εἰς τέτταρα μέρη νενεμημένης τὸ μὲν πρῶτον ἐξαριθμεῖται τὰς κατ᾽ εἴδη τε καὶ γένη διαφορὰς αὐτῶν, τὸ δὲ δεύτερον αὐτὸ δὴ τοῦτο, ὃ νῦν ἐστιν ἡμῖν προκείμενον, τὸ περὶ τῆς διαγνώσεως αὐτῶν, τὸ δὲ τρίτον τὰς αἰτίας τῆς γενέσεως ἑκάστου διδάσκει, τὸ δὲ τέταρτόν τε καὶ ἔσχατον, οἷόν τι δηλοῦν πέφυκεν ἰατροῖς μὲν ἁπάντων τὸ τιμιώτατον, ὥστε καὶ τἄλλα διὰ τοῦτο μεταχειρίζονται, φιλοσόφοις δ᾽, ὅσοι τὴν περὶ φύσεως ἐπιστήμην ἐζήτησαν, οὐ παντελῶς ἄτιμον·

GALENI DE DIGNOSCENDIS PVLSIBVS LIBER I.

Cap. I. De pulfibus commentationem in quatuor partes fumus partiti. Prima fpecierum et generum illorum differentias recenfet. Altera, quae eft haec ipfa, quam nunc in manibus habemus, agit de iis dignoscendis. Tertia caufas aperit a quibus quisque generatur. Quarta et poftrema, quid denunciare folent, medicis fane prae caeteris honoratiffima, quo fit ut reliquas partes hujus nomine tractent, et a philofophis, qui fcientiam naturalem inveftigarunt, non

ὅθεν εἰκότως τὸ μὲν πρῶτον ἁπάντων μόριον κοινὸν ἐξ ἴσου ἰατροῖς τε καὶ φιλοσόφοις, τὸ δὲ δεύτερόν τε καὶ τέταρτον ἰατρῶν μᾶλλον ἴδιον, ὥσπερ τὸ τρίτον φιλοσόφων. ταῦτ' ἄρα τὸ μὲν τρίτον ἱκανῶς ἀμφοτέροις ἐσπούδασται, τοῖς μὲν αὐτὸ δὴ τὸ τιμιώτατον ὑπάρχον, τοῖς δ' ἐγγύτατα τοῦ τιμιωτάτου, τὸ δὲ τέταρτον ἧττον μὲν τούτου, μόνων ἰατρῶν ὑπὲρ αὐτοῦ γραψάντων, μᾶλλον δὲ τῶν ἄλλων. τὸ δὲ πρῶτον ὑπὸ μὲν τῶν σοφιστῶν ἀμετρότερον, ἰατροῖς δὲ, ὅσοις τῶν ἔργων τῆς τέχνης πλείων φροντὶς ἢ τοῦ ληρεῖν ἐν διατριβαῖς, αὐτάρκως ἐσπούδασται. λοιπὸν δὲ τὸ δεύτερον, οὔτε φιλοσόφων τις ἔγραψεν, οὐ γὰρ δὴ τῷ τρίτῳ γε, ἀλλὰ τῷ τετάρτῳ χρήσιμον ἦν, οὔτε ἰατρῶν, πλὴν ἐπὶ βραχὺ παντελῶς οἱ περὶ τὸν Ἀρχιγένην. [104] δεῖται δὲ λόγου μὲν ἥκιστα συχνοῦ τοῦτο, χρόνου δ' ὁμοῦ τῶν ἄλλων ἁπάντων μακροτέρου. πρὸς γὰρ τὸ χρῆναι τὴν ἁφὴν ἀσκῆσαι, ὥστε τῆς παρὰ μικρὸν ἀκριβῶς αἰσθάνεσθαι διαφορᾶς, οὐδ' ἐφ' ἡμῖν ἐστιν ἡ ἄσκησις αὐτῆς. τὴν μὲν γὰρ τῶν ἁρμένων τε καὶ ὀργάνων χρῆσιν, ἔτι τε τὰς ἀνατομὰς, καὶ τὴν περὶ τοὺς

plane neglecta. Quamobrem merito omnium prima pars ad medicos juxta et ad philofophus pertinet, fed fecunda et quarta medicis eft propria magis, ut tertia philofophis. Quocirca magnopere utrique in tertia elaborarunt, quod hi honoratiffimam partem effe cenferent, illi proximam ftatuerent honoratiffimae. In quarta non perinde quidem ac in hac, eo quod foli de ea medici fcripferunt, plus tamen quam in reliquis laboratum eft. At in prima fophiftis plus fatis, medicis qui magis artis opera fpectant quam nugas, fatis inter disputandum laboris fuit. Reliquam fecundam partem nec philofophorum, neque enim ad tertiam, fed ad quartam faciebat, nec medicorum praeter Archigenem, idque plane leviter, attigit quisquam. Flagitat autem haec non prolixam quidem orationem, fed tempus aliis fimul omnibus longius. Nam quum tactu nobis opus eft exercitato, ut parvam etiam exacte differentiam fentiamus, tum non eft in manu noftra ejus exercitatio. Nam compaginum ufum et inftrumentorum, et vero diffectiones, ufum-

ἐπιδέσμους τε καὶ βρόχους ἐμπειρίαν, ὅσαι τ᾽ ἄλλαι χειρουργίαι τοῖς ἰατροῖς ἀναγκαῖαι, τάχ᾽ ἄν τις καὶ χωρὶς τῶν ἔργων ἐκμάθοι. καὶ τά γε πολλὰ οὕτω δρῶμεν, μιμήματα τῶν ἀληθινῶν μηχανώμενοι, δι᾽ ὧν εἰς μὲν τὸ τέλειον ἐλθεῖν οὐχ οἷόν τε, πλεῖστον δ᾽ οὖν προελθεῖν καὶ πλησίον τοῦ τέλους ἀφικέσθαι δυνατόν. ἐν δὲ τῇ περὶ τοὺς σφυγμοὺς τριβῇ, τί ἄν τις ἐξεύροι μίμημα δορκαδίζοντος, ἢ σκωληκίζοντος, ἤ τινος τῶν σπανίως μὲν γινομένων, μέγα δέ τι δηλούντων; οὐδὲν οὐδ᾽ ἐγγύς· ἀλλὰ λόγῳ μὲν αὐτῶν τὴν φύσιν ἑρμηνεῦσαι δυνατώτερος ἕτερος ἑτέρου. ὥστε δ᾽ ἀσκῆσαι γνωρίζειν ἐντυχόντα ῥᾷστα καὶ ἀκριβέστατα, χωρὶς τῆς ἐπ᾽ αὐτῶν τῶν ἔργων τριβῆς, οὐδὲν ἂν εὕροις τοιοῦτο μηχάνημα τοῖς ἰατροῖς ἐπινενοημένον, οἷα περὶ τὰς ἄλλας χειρουργίας. διά τε οὖν τοῦτο χρόνου δεῖται μακροῦ καὶ προσέτι διὰ τὴν τῆς φύσεως τῶν πραγμάτων ἀκρίβειαν. εἰ γὰρ οἱ πλαστικοὶ μὲν καὶ γραφικοὶ τὴν ὄψιν, οἰνοτροπικοὶ δὲ καὶ μαγειρικοὶ τὴν γεῦσιν, τὴν ὄσφρησιν δὲ οἱ περὶ τὴν τῶν μύρων σκευασίαν, καὶ τὴν ἀκοὴν οἱ μουσικοὶ, καίτοι τὴν ὕλην τῆς τέχνης ἄφθονον ἔχοντες,

que fasciarum et laqueorum, praeterea reliquas chirurgias medico necessarias, citra tuam operam fortasse discas. Et sane multa ipsi hoc pacto obimus, imitamenta molientes, per quae etsi ad summam pervenire non possumus, at plurimum tamen progredi ac prope finem pervenire possumus. In meditando vero ad pulsus, quid invenias, quod caprizantem, vel vermiculantem, vel omnino quenquam imitetur minus frequentium, non vulgarem tamen rem indicantium? nihil hercle, nec quod accedat quidem. Sed ad naturam eorum alius alio praestat oratione declarandam: ut exerceas autem te ad quempiam facillime simul et exacte dignoscendum, nisi ipse tuam operam naves, nihil reperias machinae a medicis ita commentum, ut in caeteris fecerunt operibus manu obeundis. Itaque quum ob id tempus requirit longum, tum ob absolutam naturae rerum scientiam. Nam si figuli pictoresque visum, si caupones et coci gustum, olfactum unguentarii, auditum musici, tametsi artis habent ubique promptam materiam, multos non dies dico, aut men-

οὐχ ἡμέραις, οὐδὲ μησὶν, ἀλλ' ἔτεσι συχνοῖς εἰς ἀκρίβειαν ἀσκοῦσιν, πόσου χρὴ δοκεῖν δεῖσθαι χρόνου τὸν ἰατρὸν εἰς τὴν τῆς ἁφῆς ἄσκησιν; ὃν καθ' ἕνα χρόνον πάμπολλα χρὴ γνωρίσαι παθήματα τῆς ἀρτηρίας, οὐχ ὡς οἱ πλαστικοὶ τὰ σχήματα μόνον, ἢ οἱ γραφικοὶ τὰς χρόας, ἀλλὰ πρῶτον μὲν τὸ ποσὸν τῆς διαστάσεως, εἶτα τήν τε ποιότητα καὶ τὸν χρόνον τῆς κινήσεως, κἄπειθ' (53) οὕτω τὸν τόνον τῆς κινούσης αὐτὰ δυνάμεως, εἶτ' αὐτὸν τὸν χιτῶνα τῆς ἀρτηρίας, ὅπως ἔχει. ταῦτα γὰρ πάνθ' ἅμα γνωρίζειν χρὴ, διαστελλομένης αὐτῆς. καὶ μὲν δὴ καὶ τὴν τῆς θερμασίας ποιότητα σαφέστερον ἡ διὰ τῆς κινήσεως προσβολὴ τῆς ἀρτηρίας γνωρίζει, καὶ εἰ ὁμαλῶς, ἢ ἀνωμάλως ἅπαντα τὰ εἰρημένα γίγνεται καθ' ἕν τι μόριον καὶ κατὰ διαφέροντα. ταῦτα μὲν ἐν τῷ διαστέλλεσθαι χρὴ γνωρίσαι, παραπλήσια δ' αὐτοῖς ἐν τῷ συστέλλεσθαι καὶ τὸν μεταξὺ χρόνον ἀμφοῖν ὃν ἠρεμεῖ διττὸν ὄντα, τὸν μὲν ἐπὶ τῷ διασταλῆναι πρὸ τοῦ συστέλλεσθαι, τὸν δ' ἐπὶ τῷ συσταλῆναι πρὸ τοῦ διαστέλλεσθαι, καὶ τὸν τούτων πρὸς ἀλλήλους λόγον, τοῦ τε τῆς κινήσεως χρόνου πρὸς τὸν τῆς κινήσεως καὶ τοῦ τῆς ἡσυχίας πρὸς

ſes, ſed annos, ut accurate artem calleant, exercent, ad tactum exercendum quantum ſcilicet cenſeas temporis medicum quaerere? cui plurimi uno tempore affectus arteriae ſunt attendendi, non ut figulis ſolae figurae, aut ut pictoribus colores, ſed primum diſtentionis quantitas, deinde qualitas et tempus motus, tum moventis eam contentio facultatis, poſtea ipſius tunicae arteriae ſtatus. Haec ſimul atque illa attollitur, omnia ſunt cognoscenda. Quinetiam caloris qualitatem occurſus arteriae motu excitatus apertius indicat, et etiam aequaliter an inaequaliter illa quae memoravimus omnia una in parte et in diverſis fiant. Atque in diſtentione haec conſideranda ſunt. In contractione ſane ſimilia illis, praeterea tempus inter utramque medium, quo quiescit, duplex illud, unum a diſtentione ante contractionem, alterum a contractione ante diſtentionem, et horum mutuam proportionem, temporis motus ad tempus motus,

τὸν τῆς ἡσυχίας καὶ συναμφοτέρου πρὸς συναμφότερον, ἃ σύμπαντα πρὸ τοῦ δεύτερον πλήττειν τὴν ἀρτηρίαν ἐγνῶσθαι χρὴ τοῦ πρώτου συμπληρουμένου σφυγμοῦ. τοῦ γὰρ δὴ δευτέρου ὑπαρξαμένου ταῦτά τε χρὴ σκοπεῖσθαι περὶ ὧν ἐπὶ τοῦ πρώτου δεδήλωται καὶ παραβάλλειν τὰ κατ᾽ ἐκεῖνον ῥηθέντα τοῖς κατὰ τοῦτον, ἵν᾽ ὁμαλότητα καὶ ἀνωμαλίαν αὐτῶν γνωρίσῃς καὶ ἁπάσας τὰς διαφορὰς, εἶτα καὶ τρεῖς καὶ τέτταρας καὶ πέμπτους καὶ πολλοὺς ἑξῆς ἰδεῖν σφυγμοὺς, ἵνα σοι τάξις τε καὶ ἀταξία γνωρισθῇ. ταῦτ᾽ οὖν ἅπαντα πόσης οἴει δεῖσθαι τριβῆς; ἐμοὶ μὲν γὰρ, εἰ χρὴ μὴ ψευσάμενον εἰπεῖν, ἅπαντος τοῦ ἀνθρωπίνου βίου δεῖσθαι δοκεῖ πρός γε τὴν τελειοτάτην ἐπιστήμην, εἰς δὲ τοσαύτην ὅση καὶ ἡμῖν ἤδη ἐστὶν οὐχ ἓξ μηνῶν μόνον, ἐν ὅσοις οἱ σοφώτατοι μεθοδικοὶ τὴν ἰατρικὴν ὅλην ἐπαγγέλλονται διδάξειν, ἀλλ᾽ ἐτῶν πάνυ πολλῶν. ἐγὼ μέν γε ἀφ᾽ οὗ τὸ πρῶτον εἰς ἰατροὺς φοιτᾶν ἠρξάμην παῖς ἔτι ὢν, θαυμαστήν τινα ἐπιθυμίαν ἔσχον τῆς περὶ τοὺς σφυγμοὺς τέχνης· [105] εἶτ᾽ ἐξ ἐκείνου μέχρι καὶ

temporis quietis ad tempus quietis et utriusque fimul ad utrumque: quae funt univerfa ante alterum arteriae ictum cognoscenda confecto primo pulfu. Nam quum jam alter inceperit, quum haec ipfa funt attendenda, quae declarata jam primo funt, tum vero, quo aequalitatem eorum et inaequalitatem perfpicias, omnesque differentias, quae in illo funt expofita cum iis quae in hoc conferenda funt. Inde tres, quatuor, quinque atque adeo multi deinceps pulfus funt videndi, ut ordo tibi atque confufio fit explorata. Quid haec quantae cenfes effe omnia exercitationis? Equidem ut verum dicam, ad exactiffimam quidem et abfolutiffimam cognitionem requiri totam humanam vitam putem: ut autem tantam affequaris, quantam nunc paravimus nobis, non fex menfes tantum, quibus univerfam medicinam profitentur fapientiffimi fe ifti methodici traditturos, fed annos permultos. Mihi quidem certe, ut primum medicis coepi operam dare, primis adhuc aetatis temporibus mirifica cupiditas inceffit artis de pulfibus cognoscendae: atque inde us-

εἰς τόδε μελετῶν οὐδέπω μοι δοκῶ πᾶσαν αὐτὴν ἐκμεμαθηκέναι. πολλοῖς μὲν γὰρ ἔτεσιν οὐδ᾽ εἰ σαφῶς ἐστι τῇ ἀφῇ διαγνῶναι τὴν συστολὴν τῆς ἀρτηρίας ἠπιστάμην, ἀλλ᾽ ἦν ἄπορόν μοι πότερον οἱ περὶ τὸν Ἀρχιγένην καὶ Ἡρόφιλον, ἢ οἱ περὶ τὸν Ἀγαθῖνον καὶ σχεδὸν ἅπαντας τοὺς ἐμπειρικοὺς ἀληθεύουσι, τοσοῦτον ἀπελειπόμην τοῦ πότερον ὅλης αὐτῆς αἰσθάνεσθαι δυνατόν ἐστιν, ἢ μορίου τινὸς, καὶ πόσου τούτου, σαφές τι γινώσκειν. ἀλλὰ καὶ περὶ τῶν τῆς διαστολῆς οὐδὲν ἧττον ἠπόρουν παραπλήσια. καίτοι ταῦτά γε τὰ πρῶτα καὶ οἷον στοιχεῖα τῆς ἐν τοῖς σφυγμοῖς τέχνης ἐστὶν, ὧν ἀγνοουμένων οὐδὲ τῶν ἄλλων οὐδὲν οἷόν τ᾽ ἦν γνῶναι βεβαίως. τοσοῦτον δὲ μόνον ἠπιστάμην αἰσθήσει διαγινώσκειν, ὅτι διαστέλλεται ἡ ἀρτηρία καὶ οὐκ ἀνέρχεται καὶ κατέρχεται, καθάπερ οἱ ἐμπειρικοὶ καλούμενοι λέγουσιν ἐνδέχεσθαι, καὶ τοῦτ᾽ ἀληθὲς εἶναι. μὴ γὰρ διαστολῆς, ἀλλὰ πληγῆς μόνον αἰσθάνεσθαι τὴν ἀφήν· εἴτε δ᾽ ἀνιόντος τινὸς, εἴτε διαστελλομένου, μηκέτι φαίνεσθαι. μόνον δὲ σχεδὸν τοῦθ᾽ ἡμῖν ἐν πολλοῖς ἔτεσιν ἔγνωστο, κἀπὶ τῶν ἐφεξῆς ἓν, ἡ τοῦ

que in hanc diem, eam commentatus, haud dum mihi omnem artem videor affecutus. Siquidem multos annos etiam dignoscerene effet tactu clare arteriae contractionem, incertus eram. Quin incertum mihi erat, an Archigenes, Herophilus et qui Agathini temporibus erant, omnesque prope empirici vera dicerent; tantum aberat ut plane fcirem, poffetne tota fentiri, an pars aliqua, eaque quanta. Jam in diftentione de fimilibus perinde implicatus tenebar, quum tamen haec fundamenta fint et veluti elementa totius de pulfibus artis: quibus incognitis nihil effet praeterea quicquam, quod cognosci certo poffit. Tantum fenfu noveram dignoscere diftendi arteriam, non ascendere et descendere, quod confirmant ifti, qui empirici vocantur, probari, atque id effe verum. Neque enim diftentionem, fed ictum tantum percipere tactum: ascendentisne cujuspiam, an distenti, non item animadverti. Hoc quidem multis annis prope folum affecutus fum, poftea unum etiam, vehemen-

σφοδροῦ σφυγμοῦ διάγνωσις, τῶν δ᾽ ἄλλων οὐδὲν οὐδέπω γνώριμον ἦν, ἀλλ᾽ ἐν βαθείᾳ τινὶ κυλινδουμένοις ἀπορίᾳ συχνῶν ἐτῶν, οὐ μὴν ἀφισταμένοις γε τῆς ζητήσεως, ἀλλ᾽ ἀεὶ καὶ μᾶλλον λιπαρῶς ἐγκειμένοις ἐφαντάσθη ποτὲ συστολὴ σαφὴς τῇ ἁφῇ. τοὐντεῦθεν ἀσκοῦσιν ἐπὶ πλέον οὐ φάντασμα ἔτι ἀμυδρὸν, ἀλλ᾽ ἐναργὴς ἡ διάγνωσις αὐτῆς οὐδὲν ἧττον τῆς διαστολῆς ἐγίνετο. ἐπὶ ταύτῃ δ᾽ εἰπεῖν οὔτ᾽ ἔχω τὸ τάχος τῆς τῶν ἄλλων διαγνώσεως, ἐπιῤῥεῖ γὰρ ἅπαντα, καὶ σαφῶς λοιπὸν ἐφαίνετο καθάπερ ἐν σκότῳ λαμπροῦ φωτὸς ἀθρόως ἐκλάμψαντος. εἴ τις δὲ τοῦτον τὸν λόγον ὡς ἀληθῆ λόγον καὶ μὴ μῦθον δέξαιτο, κερδανεῖ μεγάλα μὴ προαπογινώσκων τῆς τῶν ζητουμένων εὑρέσεως, μηδὲ προαφιστάμενος, κἂν ὅτι μάλιστα παμπόλλῳ χρόνῳ ζητῶν ἔτ᾽ ἀγνοῇ. λεληθυῖα γάρ τις ἐν αὐτῷ τῷ ζητεῖν ἕξις ὑποτρέφεται κατὰ βραχὺ προϊοῦσα, πρὸ μὲν τοῦ τελειωθῆναι μηδ᾽ εἰ ἄρχεταί πω δήλη τυγχάνουσα, τελειωθεῖσα δ᾽ ἀθρόως ἐκφαίνεται πάντων τῶν προπονηθέντων τὸν καρπὸν ἀποδιδοῦσα διὰ

tem pulfum: alia me omnia adhuc fugiebant. Itaque in profunda haefitatione multos annos volutatus, nihilo magis indagare deftiti: fed quum acrius etiam, atque etiam in id incubui, tandem aliquando fpecies contractionis tactui aperte repraefentata eft. Deinde quum in ea meditatione diutius immorarer, non fpeciem adhuc obscuram, fed clariffimam notitiam ejus non concedentem diftentionis notitiae confecutus fum. Poftea quid commemorem, quam alia fim cito affecutus? Omnia enim ultro fe offerebant et plane pofthac perfpicua erant, ut quum in fummis tenebris lux fubito fplendida eluxit. Quod fi quis haec accipiat ut vera et non ut fabulam, magnum fructum capit, ne eum defperatio fubeat inveniendi quae indagat: neque eo deterreatur, quod multis etiam annis inquirendo nihil dum profecerit. Nam quidam in quaerendo clam obducitur callus, ufusque comparatur, qui progreditur pedetentim, neque prius quam abfolutus fit unquam coepiffe apparet. Simul atque completus eft, cumulate fert omnium exhauftorum la-

ταχέων, καὶ εἰ ἀγροικότερον φάναι, σὺν αὐτοῖς τοῖς τόκοις. προσγεγενημένης δὲ τοῖς μεθ' ἡμᾶς ἀνθρώποις οὐ σμικρᾶς μοίρας τῆς ἐμῆς εἰς ταῦτα προθυμίας ἄχρι τοῦ καὶ λόγῳ πάντα τὰ τῆς αἰσθήσεως ἐπιχειρεῖν ἑρμηνεῦσαι πάθη, ἐν ἐλάττονι ἂν χρόνῳ καὶ ἀταλαιπωρότερον ἡ περὶ τοὺς σφυγμοὺς ἀσκοῖτο τέχνη. ἐγὼ γάρ τά τ' ἄλλα καὶ τὰς ὁδοὺς πειράσομαι ἐνδεῖξαι δι' ὧν ἄν τις μάλιστα τοῦ σκοποῦ τυγχάνοι, μόνον εἴη τῆς ἀπλήστου περὶ πλοῦτόν τε καὶ δόξαν σπουδῆς τῆς νῦν κατεχούσης χαλάσαι τοὺς ἀνθρώπους. καὶ οὐδὲν οὐδὲ τῆσδε τῆς πραγματείας πλέον, ἔστ' ἂν ἀπορῇ τῶν σπουδαζόντων ἀλήθειαν. ἀπορήσει δὲ μέχρις ἂν ἡδονὴ μὲν κρατῇ καὶ βασιλεύῃ, τὸ καλὸν δ' ἀπεῤῥιμμένον τε καὶ ἄτιμον ᾖ. οὐ γὰρ τρυφώντων ὅδε ὁ λόγος, ἀλλ' ἱκανῶς συντεταμένων τε καὶ προθύμων δεῖται. τοιοῦτοι δ' εἰσὶ παντελῶς ὀλίγοι τῶν νῦν. ἀλλὰ κατὰ τὸν Ἡράκλειτον εἷς ἐμοὶ μύριοι, καὶ ἥδιον ἂν τοὺς λόγους πρὸς τοῦτον τὸν ἕνα ποιησαίμην ἢ πρὸς τοὺς μυρίους τοὺς ἑνὸς ἢ οὐδενὸς ἀξίους. οὐ γὰρ δὴ πλήθει τὸ ἀληθὲς, ἀλλὰ φρονήσει κρίνεται. λέγωμεν

borum quam citiffime fructum, adeoque ut rudius dicam cum ipfa ufura. Jam quum pofteris noftris non mediocre momentum acceſſerit promptitudo noftra atque induftria in hisce rebus, qui non dubitaverim vel ipfos affectus tactus aperire oratione, breviore tempore ad artem fe exerceant pulfuum et minore cum labore. Faciam enim ut praeter aliam viam muniam qua votum affequaris potiffimum: liceat tantum ab immenfa divitiarum atque gloriae fiti, quae nunc dominatur, mortales abducere. Neque fane quicquam erit profectum hac lucubratione, fi veritatis ftudiofos defiderabit: quos fcilicet hactenus defiderabit, dum voluptas fuperior fit et regnet, honeftas autem nulli curae, nullo numero fit; neque enim voluptarios haec commentatio, fed egregie gnavos induftriosque quaerit. At talis quotusquisque eft? Sed enim, ut dixit Heraclitus, Unus mihi inftar eft mille. Profecto libentius cum uno illo egero ac cum iftis mille, qui unum vel etiam nullum valent: nam non numero veritas, fed fapientia aeftimatur. Ergo ad unum

ουν ἤδη πρὸς τοῦτον τὸν ἕνα τὸν τῆς ἀληθείας ἐραστὴν, ὅστις ποτ᾽ ἂν ἢ νῦν ᾖ τοιοῦτος ἢ αὖθις γενήσεται, πρῶτον μὲν, ὡς οὐδ᾽ ἀδύνατόν ἐστι λόγῳ πολλὰ τῶν τῆς αἰσθήσεως ἑρμηνεῦσαι παθῶν, ἔπειτα δ᾽, ὅτι κἂν ἀδύνατον ᾖ, οὐ χρὴ τούτου γ᾽ ἕνεκα τῆς ἡμετέρας σπουδῆς καταγινώσκειν. [106] εἰ γὰρ καὶ μὴ κατὰ πᾶν ἀκριβῶς, ἀλλ᾽ ἐγγυτέρω γε τοῦ μηδόλως ἀφίκοιτ᾽ ἄν τις διὰ τοῦ λόγου πρὸς τὴν ἐπίγνωσιν αὐτῶν. τίς γοῦν ἀκριβῶς τὴν ἰδέαν ἑκάστου τῶν ἀνθρώπων διδάξαι λόγῳ δύναται; οὐδ᾽ εἷς δήπουθεν· ἀλλ᾽ ὅμως καὶ τοὺς ἀποδιδράσκοντας οἰκέτας κηρύττουσιν ὁσημέραι κατὰ τὰ τῆς ἰδέας γνωρίσματα· καί τινι καὶ τοῦτο μόνον ἤρκεσεν ἀκοῦσαι,

Γυρὸς ἔην ὤμοισι, μελάγχροος, οὐλοκάρηνος.

κἀγὼ μηδέποτε τοῦ γλυκέος Φαλερίνου πρὶν εἰς τὴν Ῥώμην ἀφικέσθαι γευόμενος, ἡνίκα πρῶτον ἐνέτυχον οὐκ ἠγνόησα δι᾽ ὧν ἀνεγνώκειν αὐτοῦ γνωρισμάτων ἐξευρών. ἡμέτερος δέ τις ἑταῖρος τὸν ἐν τῇ Λυδίᾳ γεννώμενον οἶνον γλυκὺν, τὸν Καρύϊνον ὑπὸ τῶν ἐπιχωρίων καλούμενον, ἐγνώρισε ῥᾳδίως

hunc verba nunc facimus cupidum veritatis, quisquis ille sive nunc sit sive posthac existet. Primum multa ad sensum pertinentia fieri non posse ut verbis explanentur: deinde tametsi non possit fieri, nihil eo tamen causae esse, quamobrem nostrae te diligentiae poeniteat. Nam si minus undequaque accurate sermone ad eorum notitiam, propius tamen quam nihil aspiraveris. Nam quis tandem faciem cujusque hominis depingere oratione exacte possit? haud sane quisquam: tamen servos fugitivos quotidie ex notis faciei proclamant, adeoque fuit, cui hoc esset satis tantum exaudisse:

Crassus erat, nigris humeris, crispisque capillis.

Atque ego quum prius quam Romam profectus essem dulce Falernum nunquam gustassem, tamen me, quum est primum oblatum mihi, non fefellit, quod signis deprehenderem ea quae legeram. Quidam etiam meus familiaris vinum, quod crescit in Lydia (dulce Caryinum vocatur ab incolis) facile

τοσοῦτον μόνον παρ᾽ ἡμῶν προακηκοὼς, ὡς ἔοικε τῷ τε γλυκεῖ τῷ Κρητικῷ καὶ τῷ Σκυβελλίτῃ καλουμένῳ κατά τε τὴν χρόαν καὶ γλυκύτητα καὶ πάχος, στύψιν δέ τινα θαυμαστὴν καὶ ἡδίστην παρ᾽ ἐκείνους εἰσφέρεται. τοιαῦτ᾽ οὖν καὶ ἡμεῖς ἐρεῖν ἐπαγγελλόμεθα τῆς τῶν σφυγμῶν διαγνώσεως σημεῖα· καὶ προσέτι, πῶς ἄν τις ἐπιβάλλοι τὴν χεῖρα καθ᾽ ἕκαστον· ἐπὶ τινῶν μὲν γὰρ χρὴ βιαίως ἐρείδειν, ἐπὶ τινῶν δὲ μαλακῶς ἅπτεσθαι, καθάπερ ἐπὶ τοῦ σφοδροῦ τε καὶ ἀμυδροῦ, τὸν μὲν γὰρ οὐκ ἂν γνωρίσαις, εἰ μὴ θλίβοις τὴν ἀρτηρίαν, τὸν δ᾽ οὐχ ὅπως ἂν γνοίης θλίβων, ἀλλὰ καὶ παντάπασιν ἀκίνητος εἶναί σοι δόξει τοῦτο δρῶντι. καὶ μὲν δὴ καὶ ὅσοι μεγάλοι θ᾽ ἅμα καὶ ἀμυδροὶ σφυγμοὶ, καθάπερ ἐπὶ τῶν ληθαργικῶν, καὶ τούτων τὸ μέγεθος οὐκ ἂν γνοίης, εἰ μὴ πάνυ μαλακῶς ἅπτοιο. ὅτι δὲ καὶ τοὺς ὑψηλοὺς τῶν ἁδρῶν καὶ (54) μεγάλων καὶ σκληρῶν καὶ σφοδρῶν ἱκανὸς ὁ λόγος διδάξαι διακρίνειν, εἰ μέγαν εἴποιμί σοι τοῦτον ὑπάρχειν, ὃς ἂν εἰς τὰς τρεῖς διαστάσεις ἀνάλογον ηὐξημένος ᾖ, εἰς μῆκος καὶ πλάτος καὶ βάθος, ἁδρὸν δὲ τὸν εἰς τὰς δύο μόνας,

cognovit, hoc duntaxat a me admonitus, dulce vinum Creticum et quod Scybellite appellant, colore repraefentare et dulcedine craffitieque, praeterea mirificam quandam jucundiffimamque adftringendi vim praeter illa habere. Hujuscemodi nos quoque figna recipimus pulfuum dignoscendorum tradituros: ad haec manus quanam ratione erit cuique pulfui admovenda, fiquidem hic firmius infigenda eft, illic lenius applicanda, ut in vehementi et languido pulfu. Nam illum nifi premas arteriam, non dignoscas: hunc tantum abeft ut cognoscas premendo, ut femel etiam, fi ita facias, videatur immotus. Nec vero magnorum fimul et languidorum pulfuum, quos lethargici habent, cognoveris magnitudinem, nifi admodum attingas molliter. Quod autem a turgidis et magnis et duris vehementibusque altos discernere oratio poffit docere, fi magnum dicam tibi hunc effe qui increvit ex aequo in tres dimenfiones, in longitudinem, latitudinem profunditatemque, turgidum autem qui in duas tantum, latitudinem et profunditatem, altum qui in

Ed. Chart. VIII. [106.] Ed. Baf. III. (54.)

πλάτος τε καὶ βάθος, ὑψηλὸν δὲ τὸν εἰς μίαν μόνην τὴν ἄνω, καὶ τὸν μὲν σκληρὸν βίαιον ποιεῖσθαι τὴν πληγὴν τῇ τοῦ χιτῶνος τῆς ἀρτηρίας ποιότητι, τὸν δὲ σφοδρὸν τῇ ῥώμῃ τοῦ ζωτικοῦ τόνου, οὐκ ἂν εἴποις ὡς οὐκ ἀρκεῖ τινι συνετῷ καὶ μὴ ῥαθύμῳ παντάπασιν ἀπὸ τούτων ὁρμωμένῳ κτήσασθαί ποτε βεβαίαν ἐπιστήμην τῆς διαγνώσεως αὐτῶν, εἰ μόνον περὶ τὰ πρῶτα καὶ οἱονεὶ στοιχεῖα τῆς τέχνης ἱκανῶς εἴη τετριμμένος, ὑπὲρ ὧν καὶ ἡμεῖς πρῶτον εἰπόντες οὕτως ἐπὶ τὰ λοιπὰ κατὰ τὴν προσήκουσαν τάξιν μεταβησόμεθα.

Κεφ. β'. Ἔστι δὲ τέτταρα ταῦτα. τὸ μὲν πρῶτον ἁπάντων, ὅπερ ἔφαμεν ἐρίζοντας μᾶλλον ἢ ἀληθεύοντας λέγειν τοὺς ἐμπειρικοὺς, ὡς πληγῆς μόνης αἰσθάνονται, διαστολὴν δ' ἀρτηρίας οὐ γνωρίζουσι. καὶ διὰ τοῦτο τινὲς ἐξ αὐτῶν τὸν σφυγμὸν ὁρίζονται μνήμην παθῶν ἁφῆς ἐκ κινήσεως ἀρτηριῶν· οὐ γὰρ ἐκ διαστολῆς ἀρτηριῶν, ἀλλ' ἐκ κινήσεως ἔφασαν δι' οὐδὲν ἄλλο ἢ ὅτι τὰ τῆς διαστολῆς οὐχ ὁμολογοῦσιν αἰσθάνεσθαι. ἀλλὰ λόγῳ μὲν, φασὶν, ἴσως ἄν τις πιστώσαιτο αὐτὴν, οὐ μὴν τῇ γ' ἁφῇ κατάδηλον

unam tantum, altam, et durum violentum ictum efficere qualitate arteriae tunicae, vehementem vitalis robore contentionis, haud dixeris prudentem virum atque gnavum omnino ab his initiis ingreffum non poffe dignoscendorum illorum confirmatam fcientiam parare, modo ad principia et veluti elementa artis hujus probe exercitatus fit. De quibus nos primo loco dicemus, deinde congruo ordine ad reliqua progrediemur.

Cap. II. Sunt haec quatuor. Omnium primum, quod empiricos diximus contentiofe potius quam vere affeerere, ictum fe tantum fentire, diftentionem autem ignorare arteriae. Quocirca pulfum quidam ex illis definiunt, memoriam affectuum tactus ex arteriarum motu. Nam non ex diftentione arteriae, fed ex motu dixerunt, nulla de re alia quam quod diftentionem fe negant fentire. Verum ratione, inquiunt, conftituas eam licet, non percipit tamen eam

γίγνεσθαι. τοὐναντίον δ' ἅπαν ἐχρῆν αὐτοὺς λέγειν, εἴπερ ὅλως φιλονεικεῖν ἐσπουδάκασιν, ὡς ἡ μὲν ἁφὴ διαστελλομένης αἰσθάνεται τῆς ἀρτηρίας, εἰ δὲ καὶ κατ' ἀλήθειαν διαστέλλεται, τοῦτ' οὐκέτι γινώσκειν ἀκριβῶς. τὸ δ' ὅτι μὴ φαίνεται φάσκειν καταψευδομένων ἐστὶ τῆς αἰσθήσεως. εἰ γάρ τις αὐτοὺς ἔροιτο, ποῖός τις ὁ σπασμώδης σφυγμὸς φαίνεται, τί ἂν ἄλλο ἔχοιεν εἰπεῖν ἢ ὅτι τεταμένης ἐφ' ἑκάτερα [107] τῆς ἀρτηρίας οἷον χορδῆς προσβολή τις ὑπ' αὐτῆς γίνεται τῇ ἁφῇ, μηδὲ φυλαττούσης ἀκριβῶς τὴν ἀρχαίαν ἕδραν, ἀλλ' ἠρέμα πως ἄνω καὶ κάτω φερομένης. εἰ δὲ δὴ καὶ περὶ τοῦ κλονώδους ἐροίμεθα, καὶ τοῦτον ὁμολογήσουσιν, εἴπερ ὅλως παρεφύλαξαν τὰ πάθη τῆς ἁφῆς, ἀπολιπούσης τῆς ἀρτηρίας τὴν ἰδίαν χώραν φαίνεσθαι γινόμενον. ἐναργῶς γὰρ ἄνω τε καὶ κάτω φερομένης αὐτῆς αἰσθανόμεθα κατὰ τοὺς τοιούτους σφυγμούς. καὶ μὲν δὴ καὶ τὴν καθ' ἕνα σφυγμὸν ἀνωμαλίαν, τὴν παρὰ τὰ μὲν ὑψηλότερα φαίνεσθαι κείμενα τῆς ἀρτηρίας μόρια, τὰ δὲ ταπεινότερα, εἰ μὴ ὁμολογοῖεν γνωρίζειν, ἀμαθεῖς ἐξελεγχθήσονται τῆς ἐμπειρίας ἣν ἀεὶ πρεσβεύουσιν. οὐ γὰρ δὴ τῶν ἐκ λόγου δεικνυμένων ἐστὶ τὸ τοιοῦτον,

tactus. Contra vero debebant omnino dicere, fi id tantum agebant ut contenderent, tactum arteriae diftentionem fentire, fed verene diftendatur, hoc fe non plane fcire; nam confirmare non percipi mentientium eft de fenfu. Etenim fi iftos roges, quis tandem convulfivus pulfus videatur, quid aliud respondeant ac intentae utroque arteriae quafi fidis quendam occurfum illum efficere tactui, quae ne priftinam quidem fedem plane retineat, fed fenfim furfum deorfumque jactetur? Jam etiam fi de vibrato requiramus, fatebuntur hunc quoque, fi quidem illis certe tactus affectus non exciderunt, fieri quum deferuit arteria fuam fedem. Nam in iis pulfibus furfum ferri arteriam atque deorfum fentimus plane. Quinimo pulfus inaequalitatem eam, in qua arteriae quaedam partes editiore loco appareant, quaedam humiliore, fi nefcire fe dicant, experientiae deprehendentur inanes, quam femper venditant. Neque enim de illis hoc eft, quae ratione oftenduntur; caeterum tactus id

ἀλλὰ φαίνεται μὲν σαφῶς τῇ ἁφῇ, τὴν δὲ αἰτίαν αὐτοῦ ζητοῦντες οἱ δογματικοὶ κληθέντες ἰατροὶ διαφέρονται πρὸς ἀλλήλους, διενεχθέντες ἂν καὶ περὶ τοῦ φαίνεσθαι, εἰ μὴ πάνυ ἐναργὲς ἦν. ἀλλὰ καὶ κατὰ μέγεθος ἀνώμαλός ποτε γίνεται σφυγμὸς ἐν τῇ μιᾷ διαστολῇ, τῶν μὲν ἐπὶ πλέον, τῶν δ᾽ ἐπ᾽ ἔλαττον αὐτοῦ μορίων διϊσταμένων, οὐκ ἂν γενόμενος, εἰ μὴ τὸ φαίνεσθαι διαστελλομένην τὴν ἀρτηρίαν ἀληθὲς ἦν. μακρολογῶν δ᾽ ἴσως σοφώτερον αὐτοῖς ἢ ἐναργέστερον διαλεγόμενος συνίημι. ἀρκεῖ γὰρ εἰπεῖν ὡς μακρὸς ἢ βραχὺς, καὶ ὑψηλὸς ἢ ταπεινὸς, καὶ πλατὺς ἢ στενὸς, καὶ μέγας ἢ μικρὸς, καὶ ἁδρὸς ἢ ἰσχνὸς, καὶ δηλονότι ὅτι οἱ μέσοι αὐτῶν οὐκ ἂν ἐγένοντο σφυγμοὶ μὴ κατὰ πᾶν μέρος φαινομένης διαστέλλεσθαι τῆς ἀρτηρίας, καθ᾽ ὃ δοξάζουσι μόνην κίνησιν γίνεσθαι, ἀλλὰ μόνον ἂν ἢ ὑψηλὸς, ἢ ταπεινὸς, ἢ ὁ μέσος αὐτῶν ἐγίγνετο, τῶν δ᾽ ἄλλων οὐδείς. οἷος οὖν ὁ σπασμώδης σφυγμός ἐστι σπανίως γιγνόμενος, τοιούτους ἀξιοῦσιν ἀεὶ φαίνεσθαι πάντας οἱ μὴ συγχωροῦντες αἰσθητὴν εἶναι τὴν διαστολήν. ὄντως γὰρ ἐπὶ τοῦ σπασμώδους ἢ οὐδόλως αἴσθησις γίγνεται τῆς διαστολῆς, ἢ ἐπὶ βραχὺ καὶ ἀμυδρῶς,

percipit dilucide, in cujus quaerenda caufa medici qui vocantur dogmatici diffentiunt mutuo, diffenfuri etiam in eo, an percipiatur, nifi ea fit rei evidentia. Quinetiam eft quum magnitudine inaequalis pulfus fiat in una diftentione, quum ejus partes quaedam plus, quaedam minus diftendantur, qui non fieret, nifi diftendi arteriam revera videremus. At intelligo producere illis me ingeniofius fortaffe fermonem, quam aperte agere; nam fatis hoc fit dixiffe, longum vel brevem, altum vel humilem, latum vel anguftum, magnum vel parvum, craffum vel gracilem, et praeterea horum medios fieri non poffe, quum non omni ex parte diftendi arteria confpiciatur, quoniam folum fieri motum arbitrantur; tantum vel altus, vel humilis fieret, vel eorum medius, alius nullus. Igitur qualis convulfivus pulfus eft qui raro contingit, tales contendunt qui negant fenfibilem distentionem effe, femper omnes videri, revera enim in convulfivo aut nequaquam fentitur diftentio, aut parum et

οἷον χορδῆς τῆς ἀρτηρίας ἄνω τε καὶ αὖθις κάτω φερομένης. τὸ δ᾽ ὑπὸ τοῦ Ἀρχιγένους λεγόμενον, ὅτι καὶ τῶν ἰσχνῶν ἀνθρώπων αἱ ἐν τοῖς ἀσάρκοις μέρεσιν ἀρτηρίαι φαίνονται τῇ ὄψει διαστελλόμεναι καὶ συστελλόμεναι, πρὸς μὲν αἰδήμονας ἀνθρώπους ὀρθῶς λέγεται, πρὸς δὲ τοὺς, ὅταν αὐτοῖς δόξῃ, μηδὲ τῶν φαινομένων πεφροντικότας οὐκ ὀρθῶς. ἢ γὰρ οὐδὲ τοῦτο φαίνεσθαι φήσουσι, τῶν αὐτῶν γάρ ἐστιν ἐκείνων καὶ τοῦτ᾽ ἀρνεῖσθαι, ἢ εἰ καὶ ὁμολογήσαιεν, ὄψει μὲν φαίνεσθαι διαστελλομένην ἐροῦσι τὴν ἀρτηρίαν, ἁφῇ δ᾽ οὐκ ἔτι, περὶ ταύτης δ᾽ εἶναι τὴν ζήτησιν. ὅθεν ἡμεῖς οὐκ ἐπὶ τὴν ὄψιν τὸν λόγον ἄγομεν, ἀλλ᾽ ἐξ αὐτῶν τῶν κατὰ τὴν ἁφὴν φαινομένων ὑπομιμνήσκοντες αὐτοὺς πειρώμεθα δυσωπεῖν. εἰ δὲ χρὴ τἀληθὲς εἰπεῖν, οὐ τοσοῦτον ἐκείνων ἕνεκεν, ὅσον τοῦ διωρθωμένην ποιεῖσθαι τοῖς εἰς τὴν θεωρίαν ταύτην εἰσαγομένοις τὴν διάγνωσιν τῶν αἰσθητῶν παθῶν ὑπεμνήσαμεν, τῶν τε φανερὰν ἐχόντων τὴν διαστολὴν τῆς ἀρτηρίας σφυγμῶν καὶ τῶν ἀφανῆ, καθάπερ οἱ σπασμώδεις. ἔτι δὲ καὶ ὅπως τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνισταμένων σφυγμῶν μὴ συγκεχυμένην ποιῶνται τὴν ἐπί-

obscure arteria in fidis modum furfum deorfumque jactata. At vero quod tradit Archigenes, hominum gracilium in partibus non carnofis oculis cerni arterias diftendi et contrahi, apud homines quidem verecundos recte dicitur, apud eos vero qui de rebus confpicuis, quando fibi ipfis libuerit, non laborant fecus. Etenim vel confpici negabunt hoc, quod quidem eorumdem fit illorum hoc quoque inficias ire, aut fi etiam annuant, oculis videri dicent arteriam diftendi, tactu non item; atqui de hoc quaeftionem effe. Quare non ad vifum fermonem derivemus, verum propofitis his quae tactu percipiuntur, placare homines conemur. Atque ut verum dicam, non tam iftorum nomine, quam ut veram traderem rationem dignoscendi tironibus hujus meditationis affectus fenfibiles, memini pulfuum manifeftam diftentionem arteriae obtinentium et obfcuram, de quibus convulfivi funt; praeterea ut pulfuum qui in quantitate pofiti diftentionis funt ne confundant confiderationem, fed femper in me-

σκεψιν, ἀλλ' ἀεὶ μεμνημένοι τῶν τριῶν διαστάσεων ἔχωσι παραβάλλειν τὸν νῦν γινόμενον σφυγμὸν τῷ πρόσθεν ὑπάρξαντι πότερον κατὰ τὰς τρεῖς διαστάσεις ὁ αὐτός ἐστι, ἢ κατά τινας αὐτῶν, ἤ τινα. τοὺς γὰρ ἑπτὰ καὶ εἴκοσι σφυγμοὺς, οὓς κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνισταμένους ἐν τῷ πρώτῳ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς ἐπὶ διαγράμματος ἐξεθέμεθα, κατὰ τοῦτον ἄν τις μάλιστα γνωρίζοι τὸν τρόπον, εἰ μεμνημένος εἴη τῶν διαστάσεων ἑκάστης ἰδίᾳ τὸ ποσόν. ὅτι δ' αὐτῶν τούτων τῶν εἰρημένων καὶ τῶν ἄλλων ἁπάντων τῶν ἑξῆς μελλόντων λέγεσθαι προηγεῖσθαι χρὴ ἐκεῖνο τὸ βιβλίον, καὶ κατ' [108] ἀρχὰς εὐθὺς τοῦδε τοῦ λόγου προειρήκαμεν, ὥσθ' ὅστις πρὶν ἐκεῖνα ἐκμαθεῖν ἐπὶ τάδε ἥκει τοῦ παντὸς ἁμαρτάνει. τοῦτο μὲν δὴ καὶ ἡμῖν παρὰ πάντα τὸν λόγον ὑπαρχέτω· νυνὶ δὲ τὸ προκείμενον περαινέσθω, τὸ σαφῶς ὑποπίπτειν τῇ ἁφῇ τὴν διαστολὴν τῆς ἀρτηρίας, οὐ πληγὴν μόνην, ὡς οἱ πρὸς ἅπαντας φιλονεικοῦντες ἐμπειρικοὶ φασίν. ὥστε πεισθέντες ἐμοὶ, τἀναντία τοῖς ἔμπροσθεν λέγοντες, εἰ μή που σοφισταί τινες, καὶ πιθανοὶ εἶναι δοκεῖν γλίχονται, τὴν μὲν διαστολὴν τῆς ἀρτηρίας φαίνεσθαι πρός γε

moria habitis tribus dimenfionibus contendere praefentem pulfum cum fuperiori valeant in tribusne dimenfionibus illi, an in eorum aliquibus, vel aliqua refpondeat. Nam qui ex diftentionis quantitate viginti feptem pulfus conftant, quos in tabella libro primo De pulfuum differentiis propofui, hac maxime ratione cognoscas, fi dimenfionum quantitatem fingularum teneas memoria. Porro autem tum haec ipfa quae nunc commemoravimus, tum reliqua quae pofthac dicenda funt, omnia praecedere ille liber debet, ut initio ftatim hujus libri admonuimus. Itaque prius huc qui fe conferat quam illa edidicerit, errat planiffime; atque hoc fit in toto fermone conftitutum. Nunc quod inftituimus, exigamus: aperte diftentionem arteriae a tactu, non ictum modo (quod qui cum omnibus disceptant, affirmant empirici) animadverti. Quare adducti rationibus meis contra ac prius dicentes, fateantur (ni fophiftae certe et arguti geftiant haberi) arteriae animadverti quidem a tactu diftentio-

τὴν ἁφὴν, οὐ μὴν εἴ γε καὶ πρὸς τὴν φύσιν οὕτως ἔχει γιγνώσκειν. ἢ γὰρ ἂν οἰκειότερα ταῦτ᾽ εἴη τῇ αἱρέσει τῶν ἀνδρῶν, ἢ τί παθόντες ἐν μὲν τοῖς ἄλλοις ἅπασι λόγοις τὸ φαίνεσθαι τιθέντες ἀποροῦσι τὸ πρὸς τὴν φύσιν, ἐνταυθοῖ δὲ οὐκέτι ποιήσουσιν αὐτό; καὶ μὴν εἰ τοῦτο δράσουσιν, οὐκ ἐγχωρήσει λέγειν, ἴσως μὲν διαστέλλεται ἡ ἀρτηρία, οὐ μὴν καὶ φαίνεται, ἀλλ᾽ ἔμπαλιν, ἴσως μὲν οὐ διαστέλλεται, φαίνεται μέντοι. τοῦτο γὰρ ἀκόλουθόν ἐστι τοῖς τὸ φαινόμενον μόνον, καὶ μὴ, αὐτὸ τὸ πρὸς, τὸ δοξαζόμενον αὐτῶν τιθεῖσιν, εἴ γε τὸ φαινόμενον πάντῃ σθένει οὗ περ ἂν ἔλθῃ, κατὰ τὸν Τίμωνα. τί ποτ᾽ οὖν νῦν πλασθὲν οὐ σθένει; καὶ μὴν ἐχρῆν γε, εἴπερ πάντῃ σθένει. κοινὴν οὖν ἀρχὴν λαβόντες τὸ φαίνεσθαι διαστελλομένην τὴν ἀρτηρίαν, ὅταν γὰρ μὴ σπασμωδῶς κινῆται, μετὰ τοῦτ᾽ ἂν ἴσως διαφεροί(55)μεθα πρὸς ἀλλήλους, εἰ ἡμεῖς μὲν ἐκείνῳ πιστεύοιμεν, ἐκείνῳ δ᾽ ἀπιστοῖεν. ἴσως δὲ κἀνταῦθα πάλιν αὐτοὺς ὑπομνήσαντες τῶν σφετέρων λόγων, εἰς ὁμολογίαν κοινὴν παρακαλέσομεν. τί γὰρ δὴ καὶ βούλονται; μὴ ἄλλο τι ἢ φαίνεσθαι μὲν ἕκαστον

nem, tamen itane revera habeat, fe haefitare; fane enim haec confentanea magis fint cum eorum fecta. Aut quamobrem cum omnibus aliis in disputationibus, quod cernunt, conftituunt, de natura vero haerent, hic non faciunt idem? Atqui fi hoc faciant, non eft quod dicant, diftenditur fortaffis arteria, fed non eft confpicuum. Verum e diverfo, fortaffis non diftenditur illa, tamen percipitur; fiquidem confentit hoc cum illis qui quod cernunt tantum et non quod cohaeret, cum placito fuo ponunt. *Siquidem quod confpicimus, ubique locorum,* ut dixit Timon, *valet,* qui fit igitur, quo minus nunc quod cernitur valeat? Atqui fiquidem valet ubique, pro communi igitur principio aperte dilatari arteriam fumpto, quum fcilicet non convulfione moveatur, inde diffentiamus fortaffe inter nos, an fidem illi nos habebimus, illi non habebunt. Fortaffis hic quoque, fi fuam illis auctoritatem fubjiciamus, ad concordiam in communi ineundam auctores fuerimus. Quidnam igitur volunt? nihil aliud, quam fingula evidentia confpici et fcru-

τῶν φαινομένων, ἀπιστεῖσθαι δὲ μάλιστα μὲν εἰ οἷον φαίνεται καὶ ἔστιν, ἔπειτα δ᾽, εἰ καὶ τὴν ἀρχὴν ὅλως ἔστι. λαβέτωσαν οὖν καὶ παρ᾽ ἡμῶν ὁμολογούμενον τοῦτο· πάντα γὰρ αὐτοῖς βούλομαι χαρίζεσθαι· καὶ μήτ᾽ εἰ ἔστιν ὅλως ἥλιος, ἡ σελήνη, ἡ γῆ, μήτ᾽ εἰ θάλαττα, μήτ᾽ εἰ ἐγρηγόραμεν, ἀλλ᾽ εἰ μηδὲ φρονοῦμεν, ἢ ζῶμεν, μηδ᾽ ὅλως μηδὲν ἁπάντων ὡς ἔχει φύσει γινώσκειν ἡμᾶς. οὐκ οἶδα εἰ ταύτης ἔτι μείζονος ἀπορίας ἐπιθυμοῦσιν, ἐχέτωσαν αὐτὴν παρ᾽ ἡμῶν ἑκόντων, μὴ καμνέτωσαν τῷ λόγῳ δεικνύναι, δαψιλῶς εὐωχείσθωσαν τῆς περὶ φύσιν ἀγνοίας, μόνον ἡμῖν ἀποκρινάσθωσαν βραχύ τι, πότερον καὶ πρὸς τὴν χρῆσιν τῶν πραγμάτων τὴν κατὰ τὸν βίον ἀπορεῖν ἀξιοῦσι, καὶ μήθ᾽ ὅταν ἀνατέλλων ὁ ἥλιος ἐναργῶς φαίνηται, πράττειν ἡμᾶς ἃ πράττομεν ὡς ἐν ἡμέραις, ἀλλ᾽ ἡσυχάζειν ἐπὶ τοῦ σκίμποδος κατακειμένους, ἀποροῦντας εἴτε νύξ ἐστιν ἔτι εἴθ᾽ ἡμέρα, μήθ᾽ ὅταν ἐν πλοίῳ καὶ πελάγει τυγχάνωμεν ὄντες, οὕτω καὶ πράττειν, ἀλλ᾽ ἀπιστοῦντας ἐκπηδᾷν τολμᾷν εἰς τὴν θάλατταν, ὡς ἴσως μὲν οὖσαν θάλατταν, ἴσως δ᾽ οὔ,

pulum habere maximum, an, qualia videntur, etiam ſint, deinde an ulla etiam ratione ſint. Sumpſerint ſane et id a nobis confeſſum, nihil enim illis denegatum volumus. Quin nec ecquid omnino ſit ſol, luna, terra, nec an mare, neque an vigilemus, ſed ne an ſapiamus quidem, vel vivamus, nec quicquam nobis prorſus qua ſit natura conſtare. Equidem haud ſciam, hac quam deſiderent majorem haeſitationem. Obtinuerunt hanc a nobis libentibus, ſuperſedeant hoc labore orationis, ut demonſtrent, habeant ſuam naturae ignorationem, ac abunde fruantur licet, tantum reſpondeant nobis rem non ſane prolixam, an ſimul de uſu nos rerum ad vitam pertinentium haeſitare velint, neque ubi ſolem perſpicue oriri cernamus, obire ſolita nos negotia, quae quum dies eſt, an in grabato conquiescere, dubitantes noxne etiam an dies, nec quum navem conſcenderimus ac ſimus in alto hoc agere, ſed nihil credentes audere in mare proſilire, quaſi id fortaſſis mare, fortaſſis non

μηδ᾽ ὅταν ἤδη καταγώμεθα καὶ ἡ ναῦς ἐν τῷ λιμένι πλησίον τῆς γῆς καταφέρηται καὶ πάντας περὶ τὴν γῆν ἐξιόντας ὁρῶμεν, πιστεύειν ταῖς αἰσθήσεσι καὶ μέχρι τῆς χρείας, ἀλλ᾽ ἔνδον καθέζεσθαι σκεπτομένους καὶ ἀποροῦντας καὶ λέγοντας, ἴσως γε φαίνεται μὲν ἡμῖν γῆ, οὐκ ἔστι δὲ γῆ. καὶ κατ᾽ αὐτοὺς ἐκείνους ἅπαντα τὰ τοιαῦτα μέχρι μὲν τῆς χρείας πιστὰ, πρὸς δὲ τὴν φύσιν ἀπορεῖται. καὶ ἡμεῖς δ᾽ αὐτοὶ τοῦτο δήπου βουλόμεθα, χρῆσθαι δ᾽ αὐτοῖς ὡς πιστοῖς. τὸ δ᾽ ἐπέκεινα τῆς χρήσεως περιττὸν εἶναί φαμεν. εἰ οὖν ὃ βουλόμεθα συγχωροῦσιν ἡμῖν, οὐκ οἶδα περὶ τίνος ἔτι διαφερόμεθα. περὶ τοῦ πρὸς τὴν φύσιν, φασί. παῦσαι ἄνθρωπε. οὐδὲ φθεγξόμεθά ποτε τοῦτο, εἰ καὶ κελεύεις. ἀλλά σε καὶ εἰς συνθήκας ἕτοιμός εἰμι προσκαλέσασθαι. καὶ τοῦ λοιποῦ προΐτω καθάπερ τοῖς ἄλλοις ἀνθρώποις, [109] οὕτω καὶ ἡμῖν, εἰ βούλεσθε, τά τε τῶν πράξεων καὶ τὰ τῶν λόγων, ἐπειδὴ καὶ ἡμᾶς αὐτοὺς ὁρῶ περὶ πολλοῦ ποιουμένους, μηδὲν τῶν κατὰ τὸν βίον ὡμολογημένων τοῖς ἀνθρώποις ἅπασιν ἀνατρέπειν. ὡς οὖν ἐκείνοις περαίνεται

ſit, neque ubi in portum ex alto invehamur appellaturque navis ad terram omnesque videamus in terram exire, fidem dare ſenſibus usque ad ipſum uſum, caeterum intus nos continere haeſitantes et dubitantes dicentesque, Forte quidem videtur nobis terra, non eſt tamen. Atque omnia illa ipſis illis auctoribus ad experientiam usque fidem habent, at de natura in dubitationem adducuntur. Quin hoc nos ſcilicet ipſi volumus, ut eis pro certis utamur: quod vero excedit uſum, ſuperfluum dicimus eſſe. Quamobrem ſi quod cupimus nobis dant, de quo amplius diffideamus invenio nihil. Quod ad naturam pertinet, de eo ſcilicet inquiunt. Deſine quaeſo, nec de eo verbum unquam faciemus, ſi voles. Imo vel ad foedus feriendum te adhortemur et procedant poſthac, ſi vultis, non minus nobis quam aliis mortalibus, qua res, qua verba, quando vos etiam ipſos animadverto laborare, ne quid de illis, quae omnibus hominibus teſtata in vita ſunt, evertatis. Proinde ſicut illi negocia obeunt, et item nos obeamus, nec

Ed. Chart. VIII. [109.] Ed. Baf. III. (55.)

τὰ κατὰ τὰς πράξεις, οὕτω καὶ ἡμῖν περαινέσθω, μὴ πολυπραγμονοῦσι περὶ τὸ φαινόμενον ἐναργῶς μηδὲν, ἀλλ᾽ ἐκ προχείρου πιστεύουσί τε καὶ ἑπομένοις, ὡς εἴ γέ τινος ἀπαγγέλλοντος ὑετοῦ γενομένου τὸν ποταμὸν αὐξηθέντα τὴν γέφυραν ἀνατρέψαι, παρών τις ὑμῶν κωλύει οὕτως ἁπλῶς, ὑετοῦ γενομένου, λέγειν, ἀλλὰ τοῦ φαινομένου γεγονέναι, μηδὲ ποταμὸν, ἀλλὰ τὸν φαινόμενον καὶ δοκοῦντα, μηδ᾽ αὐξηθέντα, ἀλλὰ ηὐξῆσθαι δόξαντα, μηδὲ τὴν γέφυραν καταβαλεῖν, ἀλλὰ φαίνεσθαι καταβεβληκότα, πῶς οὐκ ἂν δόξειε μαίνεσθαι; τί ποτ᾽ οὖν τοῖς ἄλλοις ἀνθρώποις ἅπασιν ἑτέρως διαλεγόμενοι μόνοις ἡμῖν πράγματα παρέχετε, καίτοι ταῖς αἰσθήσεσι χρωμένοις ἐπί τε τῶν κατὰ τὴν ἰατρικὴν κἂν τῷ λοιπῷ βίῳ; εἶτα τὸν μὲν ἀσκὸν, εἰ οὕτως ἔτυχε, καὶ τὴν κύστιν καὶ τὸν θύλακον καὶ τὰς τῶν χαλκέων φύσας τί διαστέλλεσθαι λέγοντες καὶ συστέλλεσθαι τὸ φαίνεσθαι παρελείψατε, τῇ δ᾽ ἀρτηρίᾳ μόνῃ, τῇ τί ποθ᾽ ὑμᾶς κακὸν ἐργασαμένῃ, πράγματα παρέξετε, καὶ τὴν ἀπιστίαν τῶν φαινομένων κατ᾽ αὐτῆς κινήσετε, καὶ οὐχ ἁπλῶς ἐρεῖτε, διέσταλται καὶ διαστέλλεται, καὶ συνέσταλται καὶ συστέλλεται, ἀλλὰ φαίνεται

curiofi fimus ulla in re, quae aperte confpicitur, fed ftatim credamus et affentiamur, ut fi quis annunciet ab imbribus qui deciderunt fluvium auctum evertiffe pontem, hic quispiam de vobis praefto ita vetet abfolute ab imbribus qui deciderunt dicere, fed qui vifi funt decidere: neque fluvium, fed qui videtur et apparet: neque auctum, verum, qui videbatur auctus effe, neque diruiffe pontem, fed videri diruiffe, quis hunc fanum dicat? Quid igitur, quando cum caeteris omnibus mortalibus alio modo disputetis, negotia folis nobis faceffitis, quum iisdem utamur fenfibus tam in arte medica quam reliqua in vita? Et utrem verbi gratia et veficam, culeum, atque fabrorum folles quid distendi dicitis ac contrahi, videri praetermittitis, arteriae vero foli innocenti eftis molefti, atque in ea de apparentibus fcrupulum injicitis, quominus abfolute pronuncietis, diftenta eft et diftenditur, contracta eft et contrahitur, fed videtur

διαστελλομένη, εἰ δὲ καὶ ὄντως διαστέλλεται, οὐκ οἶδα; παύσασθε πρὸς τοῦ Διὸς ἤδη ποτὲ μηδὲν προσήκουσι λήροις ἐπιφορτίζοντες τὴν τέχνην, ὡς οὖσαν καθ᾽ ἑαυτὴν μακράν. εἰ σχολὴν ἄγετε, καὶ τὸν βίον οὐκ ἀνατρέπειν, ἀλλ᾽ ὠφελεῖν προήρησθε, καὶ τὴν τέχνην οὐ κωλύειν, ἀλλ᾽ αὔξειν ἐσπουδάσατε, τὴν φιλοτιμίαν ταύτην εἰς τὰ χρηστότερα τρέψατε. πολλὰ τῆς ἰατρικῆς εὑρήσετε ζητήσεως οὐ σμικρᾶς δεόμενα, περὶ ταῦτα δεινοὶ γίγνεσθε, τὴν σύνεσιν ἐν τούτοις ἐπιδείκνυσθε, τὴν δὲ τῶν ἐναργῶς φαινομένων ἀπιστίαν ἤδη ποτὲ μισήσατε, πλέον οὐδὲν ἕξειν ἀπ᾽ αὐτῆς μέλλοντες, ἀναγκασθήσεσθε γὰρ ἑκόντες τε καὶ ἄκοντες ὡς πιστοῖς χρῆσθαι τοῖς ἐναργέσιν, ἢ οὐδὲ φθέγξασθαι ὑμῖν οὐδὲ τὸ βραχύτατον ἔσται. ὅταν οὖν ζητήσαντάς γε καὶ μὴ ζητήσαντας ἡ αὐτὴ χρῆσις ἐκδέχηται, περιττὸν τὸ ζητεῖν. εἰσὶ δ᾽ ἕτεραι πολλαὶ τοῖς ἀνθρώποις αἱ μὲν τῶν αἰσθήσεων ἀσκήσεις, αἱ δὲ καὶ τοῦ λογισμοῦ, περὶ ταύτας σπεύσατε, τὴν σχολὴν περὶ ταῦτα διάθεσθε, τοῖς δ᾽ ἐναργέσι χωρὶς ζητήσεως ὡς τοιούτοις οὖσι οἷα φαίνεται πιστεύετε. συγχωρήσαντες οὖν μοι λέγειν τὴν ἀρτηρίαν εἰς μῆκος καὶ πλάτος καὶ βάθος διαστέλλεσθαι,

diſtendi, verene diſtendatur me latet? Deſiſtite per deos tandem aliquando inanibus nugis artem onerare, vel ſua ſponte longam. Si otiamini et vitam non labefactare, ſed eſſe uſui inſtituiſtis, artemque non interpellare, ſed augere conamini, rebus hanc commodioribus contentionem reſervate. Multa offendetis in medicina, quae magnae ſint quaeſtionis, huc conferte vim veſtram, hic ingenium oſtendite et dubitationem de rebus evidentibus tandem abjicite, quando nihil ea re profectus ſitis facturi. Compellemini enim, velitis nolitis, evidentia pro certis habere, aut ne hiscere quidem vobis poteſtas erit: nam quum, ſive quaeramus, ſive non quaeramus, idem conſequitur uſus, ne quicquam inquiramus. Sunt vero permultae aliae hominibus tum ſenſus, tum rationis exercitationes, hic laborate, in his tempus ponite, res autem evidentes citra ſcrupulum pro iis, quae eſſe illae videantur, numerate. Facite itaque ut mihi arteriam concedatis in lon-

Ed. Chart. VIII. [109. 110.] Ed. Baf. III. (55.)

τὸ ἐπὶ τῷδε διασκέψασθε, πότερον αἰσθήσεσθαι δυνατόν ἐστι τῆς συστολῆς, ἢ οὔ. ἀλλ' ὑμεῖς, ἵνα μηδὲ τοῦτο, μηδ' ἄλλο ζητήσητε, τὴν περὶ τῆς ὑπάρξεως τῶν ἐναργῶν ἀπορίαν ἐκινήσατε, συχνὸν μέν τινα λόγων ἑσμὸν ἔχουσαν, οὐ μὴν καταβαλεῖν γε δυναμένην οὐδ' ἀνατρέψαι τὴν χρείαν τῶν ἐναργῶν. ἡμεῖς οὖν ἔμπαλιν ὑμῖν πράξομεν· ἅπασι μὲν τοῖς φαινομένοις ἐναργῶς χωρὶς ζητήσεως χρησόμεθά τε καὶ πιστεύσομεν ὡς τοιούτοις οὖσιν οἷα καὶ φαίνεται, τὰ δ' ἀμυδρότερα διασκεψόμεθα, τὰ μὲν τῷ λόγῳ, τὰ δὲ ταῖς αἰσθήσεσι, τὰ δ' ἀμφοτέροις ἐπιχειροῦντες ἑλεῖν. ἥτις μὲν οὖν ἡ ὁδὸς τῆς εὑρέσεως αὐτῶν, ἐπὶ πλέον ἑτέρωθι λέγομεν, ἐν δὲ τῷ παρόντι τὸ χρήσιμον εἰς τὰ προκείμενα λεχθήσεται μόνον.

Κεφ. γ'. Ἀγαθίνου τοίνυν λέγοντος ἀναίσθητον εἶναι τὴν συστολὴν τῆς ἀρτηρίας, Ἡροφίλου δὲ διὰ παντὸς ὡς ὑπὲρ αἰσθητῆς διαλεγομένου, χαλεπὸν ὄντως ἦν καὶ ἄπορον ἑτέρῳ πρὸ θατέρου πιστεῦσαι, τοσαύτην μὲν ἀμφοτέρων σπουδὴν εἰσενηνεγμένων εἴς τε τἄλλα [110] τῆς ἰατρικῆς καὶ

gum, latum et profundum diftendi: poftea jam dispicite, an fentire contractionem, necne poffitis. Vos vero, ut nec hoc, nec aliud inquireretis quicquam, fintne omnino res evidentes, in dubium vocaftis: unde vobis fuppeditat magnus quidem verborum acervus, fed qui non poffit labefactare tamen neque convellere ufum evidentium. Nos igitur contra faciemus ac vos. Omnibus quae clare cernuntur, utemur citra ullam haefitantiam et credemus talia effe qualia videntur, quae obscurius, haec in quaeftionem vocabimus, atque partim ratione, partim fenfibus, partim etiam amborum ope aggrediemur eruere. Verum horum viam inveniendi alio loco amplius tradimus: hic tantum quod ad inftitutum noftrum intereft referemus.

Cap. III. Nam quum Agathinus dicat arteriae non poffe contractionem fentiri, Herophilus autem conftantisfime ut de re fenfibili differat, res hercle plena erat difficultatis uni magis quam alteri accedere, praefertim quorum tantum uterque ftudii quum ad alias partes medicinae

τὴν περὶ τοὺς σφυγμοὺς τέχνην αὐξῆσαι, μακρῷ τε χρόνῳ τόν τε λογισμὸν καὶ τὴν αἴσθησιν ἱκανῶς γεγυμνασμένων. ἐδόκει δή μοι δίκαιον εἶναι πρῶτον μὲν ἀσκῆσαι τὴν ἁφὴν τῆς παρὰ μικρὸν αἰσθάνεσθαι διαφορᾶς, ἵν᾽ εἴπερ ἡμῖν αὐτοῖς ποτε καταφανὴς ἐναργῶς γένοιτο ἡ συστολὴ, μηκέτ᾽ ἄλλου δεοίμεθα μάρτυρος· δεύτερον δὲ καὶ τὴν τῶν πρεσβυτέρων ἱστορίαν ἀναλέξασθαι. τῶν πλείστων μὲν γὰρ καὶ τῶν ἀξιοπίστων αἰσθητὴν λεγόντων, μηδ᾽ ἂν ὅτι μάλιστα πολλῷ χρόνῳ τριβομένοις ἡμῖν ἔτ᾽ ἀναίσθητος φαίνηται, προαφίστασθαί τε καὶ ἀπογινώσκειν τῆς εὑρέσεως, εἰ δὲ μηδεὶς ἄλλος ἢ ὀλίγοι παντελῶς καὶ ἄπιστοι τοῦτο λέγοιεν, ἡμῖν τε περὶ αὐτὸ ἔχουσιν ἀδιάγνωστον φαίνεται, τηνικαῦτ᾽ ἤδη καὶ ἀπογινώσκειν τῆς εὑρέσεως αὐτοῦ καὶ ἀναίσθητον ὁμολογεῖν ὑπάρχειν. εὑρίσκοντες οὖν τοὺς μὲν Ἡροφιλείους σχεδὸν ἅπαντας αἰσθητὴν εἶναι λέγοντας, τοῦ δὲ περὶ τὸν Ἐρασίστρατον χοροῦ τοὺς μὲν ὁμολογοῦντας, τοὺς δ᾽ ἀρνουμένους, καὶ τρίτους τοὺς ἀπ᾽ Ἀθηναίου τοῦ Ἀτταλέως, ὧν εἷς ἦν καὶ Ἀγαθῖνος, ὡσαύτως πρὸς ἀλλήλους

contuliſſet tum ad artem de pulſibus augendam, ac etiam rationem multis annis ſenſumque mire exercitaſſet. Itaque operae pretium eſſe duxi, primum quidem ita tactum exercere, ut parum abeſſet quin *pulſuum* differentias ſentiret, ut ſi quando nobis ipſis manifeſte contractio appareret, alium ne teſtem deſideraremus; deinde ut veterum ſcripta revolveremus. Nam ſi plurimi hanc atque probatiſſimi ſentiri confirmarent, ſi ne quam diutiſſime quidem commentantibus haud dum videretur tamen nobis ſentiri, deſiſteremus et deponeremus ſpem inveniendi. Sin autem nullus alius, aut plane pauci ac leves hoc aſſererent, nobisque in hoc incumbentibus non dignosc ivideretur poſſe, abjiceremus jam tum ejus ſpem inveniendae, atque non ſentiri poſſe fateremur. Ergo quum familiam inveniremus Herophili prope omnem ſentiri affirmantem, ſcholam autem Eraſiſtratiorum partim annuentem, partim euntem inficias, ac tertios illos ab Athenaeo Attalenſi, de quibus Agathinus erat,

διαφερομένους, ὅσον μὲν ἐπὶ τῇ τῶν πρεσβυτέρων ἱστορίᾳ πλέον οὐδὲν (56) ἡμῖν ἔγνωμεν ἐσόμενον, ἴσων σχεδὸν ἀριθμῷ τε καὶ ἀξιώματι τῶν ὁμολογούντων τοῖς ἀρνουμένοις ὑπαρχόντων· ἐφ᾽ ἡμῶν δ᾽ αὐτῶν ἅμα τοῖς διδασκάλοις διεσκοπούμεθα, μηδ᾽ αὐτοῖς ὁμολογοῦσι σαφῆ διάγνωσιν ἐσχηκέναι ποτὲ τῆς συστολῆς. ἐν τούτῳ δ᾽, οἷα εἰκὸς, καὶ λόγῳ τινὲς ἐκινοῦντο, καὶ πᾶσι μὲν αὐτοῖς ἐδόκει πιθανὸν εἶναι μὴ δύνασθαι τῆς ἀποχωρούσης ἀρτηρίας αἰσθάνεσθαι τὴν ἁφήν· ἤτοι γὰρ τῆς κινήσεως αὐτῆς, ἢ τῆς ἅμ᾽ αὐτῆς πληγῆς αἴσθησιν ἡμῖν γίγνεσθαι κατὰ τὴν διαστολὴν, ἀποχωρούσης δὲ καὶ συστελλομένης οὔτε πληγῆς ἐφ᾽ ἡμᾶς οὔτε κινήσεως αἰσθάνεσθαι· τῶν γὰρ ὁμιλούντων αὐτῇ καὶ προσιόντων καὶ ψαυόντων, οὐ τῶν ἀφισταμένων εἶναι διαγνωστικὴν, ἐπεὶ οὕτως ἂν καὶ τῶν ἐκ μακροῦ διαστήματος εἰς ἐπίγνωσιν ἐλθεῖν, εἴπερ ἅπαξ αὐτῇ συγχωρηθείη τῶν οὐχ ἁπτομένων αἰσθάνεσθαι. ταῦτα καὶ τοιαῦτα λέγοντες, ἀνέπειθόν με ῥᾳδίως, ὡς ἂν καὶ αὐτὴν τὴν ἁφὴν μάρτυρα ὧν ἔφασκον ἔχοντες. οὐ γὰρ ᾐσθανόμην τῆς συστελ-

inter fe eodem modo diffidentes, nihil nos fane ex veterum fcriptis quidem confequuti opis fumus, quod numero et dignitate qui affirmarent et negarent propemodum aequarent. Itaque apud me adhibitis praeceptoribus confiderabam, qui etiam fe negabant ipfos in apertam cognitionem veniffe unquam contractionis. Jam haec etiam nonnullos ratio, ut fit, movebat, ac iis probabatur omnibus, ut recedentem tactus arteriam fentiat fieri non poffe: quippe aut motum ipfum in diftentione, aut conjunctum cum eo ictum, nos fentire; atqui neque ictum jam nos, ubi recipiat fe illa contrahiturque, neque fentire motum: fcilicet ea illum, quae confuetudinem habent fecum, adeuntque ac contingunt, non quae discedant, dignoscere: alioqui ad remotorum afpirare notitiam poffe, fi hoc fit ei femel conceffum, quae non tangantur, fentire. His et talibus me verbis facile in fuam fententiam adduxerunt, ut qui teftem a fe, ut jactabant, tactu haberent; neque enim contractionem fen-

λομένης τῆς ἀρτηρίας καὶ ὀλίγου δεῖν ἀπέστην ὡς οὐκ αἰσθητῆς αὐτῆς, εἰ μή μοί ποτε καθάπερ ἐκ παρατρίψεως πυκνῆς πῦρ ἐξαφθὲν καὶ λάμψαν ἐναργῶς ἔδειξε τὸ ἀληθὲς, ὥστε μηκέτι ἑτέρων δεῖσθαι μαρτύρων καὶ κριτῶν, ἀλλ᾽ αὐτὸν ἱκανὸν ἐμαυτῷ γενέσθαι. δηλώσω δὲ τὸ σύμπαν, ἐντεῦθεν ἀρξάμενος, ὅθεν περ καὶ αὐτὸν ἐμὲ ὁ λόγος ἐποδήγησεν. ἐπειδὴ τῶν ἁπτομένων σωμάτων τὰ μὲν ἐπιπολῆς ἀλλήλων ἅπτεται ψαύοντα μόνον, ἕτερά τε βιάζεται καὶ ὠθεῖ καὶ ἀνατρέπει, κἀνταῦθα τὸ μὲν ἰσχυρότερόν τε καὶ σκληρότερον οἷον ἐγκαταβαίνει τῷ ἀσθενεστέρῳ τε καὶ μαλακωτέρῳ, θάτερον δ᾽ εἴκει τε καὶ ἀνατρέπεται καὶ οἷον περισχίζεται τῷ βιαζομένῳ τὴν διάλυσιν αὐτῶν ἀπ᾽ ἀλλήλων, οὐ τὸν αὐτὸν ἐνδέχεται γίγνεσθαι τρόπον, ἀλλὰ τὰ μὲν ἐπιπολῆς ἁπτόμενα καὶ ἀποχωρεῖ ἀθρόως, ὅσα δ᾽ εἴκοντος τοῦ μαλακωτέρου προσωτέρω ἰόντα οἷον ἐγκαταβαίνει αὐτῷ, ταῦτα οὐκ ἔτ᾽ ἀθρόως ἀφίσταται, ἀλλ᾽ ὅσον ἀπὸ τῆς πρώτης προσβολῆς ἐσωτέρω χωροῦντα ἐβιάσατο, τοσοῦτον ἀποχωριζομένοις αὐτοῖς αἰσθητὸν φυλάττεται. χρόνος γάρ τις ἐν τῷ μεταξὺ

tiebam arteriae. Sic nihil factum eſt propius, quam ut ab illa me removerem, ut ea, quae ſentiri non poſſet, niſi mihi tandem veluti ex aſſidua colliſione ignis incenſus et elucens clare veritatem monſtraſſet, ut alios jam teſtes non quaererem, nec arbitros, ſed mihi ipſe ſatisfacerem. Sed rem omnem explicabo, hinc adeo exorſus, unde me ipſum ratio duxit. Quando corpora tangentia partim leniter ſeſe mutuo tangunt, palpantia tantum, partim vero urgent, impellunt, evertuntque, itaque quod fortius eſt et durius, veluti ſubit imbecillius et mollius, alterum autem cedit evertiturque ac veluti amplectitur id, quod urget, diſceſſus eorum mutuus non poteſt eodem modo effici. Caeterum, quae in ſuperficie tangunt, diſcedunt ſubito; at quae cedente molliore longius progreſſa illud veluti intrant, non revertuntur item ſubito, ſed quanto a primo occurſu progreſſa penitius urgebant, tantum illis diſcedentibus ſenſibile ſupereſt. Tempus namque intercedet inter primum

γενήσεται τῆς τε πρώτης ὁρμῆς τοῦ ἀφίστασθαι καὶ τῆς ἐσχάτης τελευτῆς, μεθ᾽ ἣν οὐκέτ᾽ ἀφίστασθαι, ἀλλ᾽ ἐφεστάναι ἤδη λεχθήσεται, ἐν ᾧ χρόνῳ παντὶ κατὰ βραχὺ μὲν ἀποχωροῦντος τοῦ ἑτέρου, κατὰ βραχὺ δὲ τῆς θατέρου θλίψεως ἐκλυομένης, ἑκατέρων ἡ κίνησις αἰσθητὴ γενήσεται. εἰ δὲ δὴ καὶ τοῦτο προσείη, ὥστε τὸ μὲν κινούμενον κάτωθεν ἄνω φέρεσθαι, τὸ δ᾽ ἁπτόμενον ἄνωθεν ἐπικεῖσθαι, πρὸς τῷ τῆς θλίψεως ἀφαιρεῖσθαι τὸ ἐπικείμενον ἔτι καὶ οἷον καταπίπτειν αὐτῷ συμβήσεται, τοῦ πρότερον ἀντερείδοντός τε καὶ ὠθοῦντος ἄνω νῦν κάτω φερομένου.

Κεφ. δ΄. [111] Ταῦτα διά τε κύστεων καὶ ἀσκῶν καὶ φυσῶν καὶ τῶν τοιούτων ἁπάντων ὀργάνων ἔνεστι πείρᾳ μαθεῖν, ὅτῳ μὴ πάνυ ἐναργὴς ἡ διὰ τοῦ λόγου ἔνδειξις. εὑρεθήσεται γὰρ ἐπὶ πάντων ἔνθα μὲν ἀβίαστος ἡ τῶν ἁπτομένων ὁμιλία καὶ ἡ ἀποχώρησις ἄνευ χρόνου γιγνομένη, θατέρου δ᾽ ὑπάρχοντος ἰσχυροτέρου, εἰς ὅσον ἂν ὠθούμενον εἴη τὸ ἀσθενέστερον, εἰς τοσοῦτο καὶ τὸ κινούμενον, ὅταν ἀφίστηται τὸ βιασάμενον. εἰ δὲ δὴ καὶ κάτωθεν ἄνω τὸ θλῖβον ἔρχοιτο, πολὺ δήπου ῥᾷόν τε καὶ θᾶττον τηνικαῦτα

impetum discedendi et extremum finem fecundum quem non discedere amplius, fed discessisse jam dicentur. Quo tempore toto, paulatim discedente altero, paulatim etiam alterius remisso pressu, utriusque sentietur motus. Jam si hoc accedat, ut quod ab imo movetur, feratur sursum, et quod tangit, superne incumbat; praeter quod compressio ei quod incumbit detrahetur, etiam accidet ei ut veluti subsidat, quia quod prius excipiebat et sursum impellebat nunc defertur.

Cap. IV. Haec ex vesicis, utribus, follibus et id genus instrumentis experientia ducta ei licet ediscere, cui non satis perspicua est ex oratione declaratio. Nam in omnibus invenies, ubi languidus est tangentium concursus, ibi momento temporis fieri discessionem: at alterum si validius sit, quanto spatio impellebatur infirmius, tanto movebitur, scilicet ubi se, quod urgeret, recipiat: at vero, si ex inferiore loco etiam premens ascendat, longe tunc proclivius

τὸ ἀσθενέστερον ἀκολουθήσει τῷ ἰσχυροτέρῳ, σύμμαχον τῆς ἀκολουθήσεως προσλαβὸν τὴν εἰς τὸ κάτω ῥοπήν. δυνήσει δὲ πληρώσας ἢ ἀσκὸν ἢ κύστιν ἤ τι τοιοῦτον ἄλλο ὑγρᾶς οὐσίας ἢ ἀέρος ἐπιπολῆς μὲν ψαύειν αἴρων τε καὶ αὖθις προσφέρων μὲν δακτύλους, ἔπειτα δ᾽ ἤδη καὶ ὠθεῖν τε καὶ βιάζεσθαι πρόσω, κἀνταῦθα πάλιν ἐναλλὰξ αἴρων τε καὶ προσφέρων. ὄψει γὰρ ἐναργῶς τὴν μὲν ἑτέραν τῶν ἀποχωρήσεων τὴν ἐπὶ τῇ ψαύσει χωρὶς αἰσθητοῦ χρόνου, τὴν δ᾽ ἑτέραν τὴν ἐπὶ τῇ θλίψει μετά τινος ἀεὶ χρόνου γιγνομένην. καὶ κατὰ μὲν τὴν προτέραν ἀκίνητον ὄψει τὸ ἀγγεῖον, εἴτε προσάγοις εἴτ᾽ ἀπάγοις τὸν δάκτυλον, ἐν δὲ τῇ δευτέρᾳ κινούμενον οὐ προσβάλλοντος μόνον, ἀλλὰ καὶ ἀφαιροῦντος. ἀνάλογον δή μοι τίθει τῷ μὲν δακτύλῳ ἀρτηρίαν, τῷ δ᾽ ἀγγείῳ τὸ ἐφαπτόμενον αὐτῆς σῶμα, καὶ μένοντος δηλονότι τοῦ ἁπτομένου καθ᾽ ἕνα καὶ τὸν αὐτὸν τρόπον, ἡ ἀρτηρία κινουμένη προσίτω τε καὶ ἀποχωρείτω. γιγνέσθω δὲ ἡ μέν τις προσβολὴ τῆς ἀρτηρίας τῷ ἔξωθεν ἁπτομένῳ σώματι οἷον ψαῦσίς τε καὶ ἐπαφὴ, καθάπερ ἐπὶ τῶν ἀμυδρῶν

ſane et citius tunc imbecillius ſequetur, id quod validius, ſocio ad perſequendum adjuncto momento ad inferna. Poteris autem, ſi humida materia, vel aëre utrem, vel veſicam, vel ſimile vas impleveris, leniter attingere, auferendis ac rurſum admovendis digitis; deinde etiam trudere et impellere prorſum, admovendis hic quoque viciſſim applicandisque digitis. Profecto alterum disceſſum, quum tantum palpaveris, clariſſime animadvertes momento temporis fieri, alterum a compreſſione, nunquam citra aliquod ſpatium. Praeterea in priore nihil moveri conſpexeris, ſive admoveas digitum, ſive removeas, at vero in altero moveri, non modo ſi imprimas digitum, ſed et ſi retrahas. Age jam compares arteriam digito et vaſi corpus, quod arteriam contingit, ac eo, quod arteriam contingit, de loco ſuo nihil moto, arteria mota accedat et recedat. Ac nunc occurrat arteria corpori, quod foris eam tangit, quaſi palpet con-

ἔχει σφυγμῶν, ἡ δέ τις οὐ ψαῦσις μόνον, ἀλλὰ καὶ εἰς τὸ βάθος ὦσις, ὡς ἐπὶ τῶν σφοδρῶν. ἀνάγκη τοίνυν ἐπὶ μὲν τῆς προτέρας, ὅταν ἡ ἀρτηρία συστέλληται, τὸ μὲν, ὅτι ἀπεχώρησε τοῦ ἔξωθεν ἁπτομένου δύνασθαι λέγειν, τὸ δ', ὅτι νῦν ἀποχωρεῖ μὴ δύνασθαι. χρόνου γὰρ ἡ τοιαύτη χρήζει διάγνωσις, ἀθρόως δὲ καὶ χωρὶς αἰσθητοῦ χρόνου τῶν ἐπιπολῆς ἁπτομένων σωμάτων αἱ ἀποστάσεις γίγνονται. κατὰ δὲ τὴν ἑτέραν προσβολὴν τῆς ἀρτηρίας τὴν ἐπὶ τῶν σφοδρῶν σφυγμῶν, ὑφ' ἧς ἀπωθεῖσθαι τὴν ἁφὴν ἡμῶν συμβέβηκε, πρότερον μὲν τοῦ χωρίζεσθαι ἡ αἴσθησις, ἐφεξῆς δ' αὐτοῦ τοῦ κεχωρίσθαι ἡ διάγνωσις, οὐκέτι τῆς αἰσθήσεως τοῦτο γνωριζούσης, ἀλλὰ τῷ παύεσθαι τὸ ταύτης πάθος τοῦ νοῦ τότε ὡς χωριζόμενον νῦν κεχωρίσθαι συλλογισαμένου, τοῦ δ' ἐπιπολῆς ἁπτομένου τὸ μὲν χωρίζεσθαι παντάπασιν ἀδιάγνωστον, τὸ κεχωρίσθαι δὲ κἀπὶ τούτων συλλογισμῷ ληπτέον.

Κεφ. ε΄. Ὅτι δ' οὐ προσιόντος, ἢ ἀπιόντος, ἢ θλίβοντος, ἢ ἁπτομένου, ἢ ἀπωθουμένου πρώτην αἴσθησιν ἔχομεν, ἄνευ τῶν κατὰ τὸ ἡμέτερον σῶμα παθημάτων, οὐδ'

trectetque, quod in languidis pulfibus ufu venit, nunc non palpet tantum, fed et in altum impellat, ut in vehementibus. Hic in priore occurfu neceffe eft, ubi arteria contrahitur, hoc poffis dicere, receffiffe illam ab eo, quod eam foris tangebat: hoc non poffis, nunc recedere: tempus enim ea cognitio postulat: discedunt autem fubito quae leviter fefe corpora tangunt, momentoque temporis, quod nequeas attendere: fed in altero arteriae occurfu in vehementibus pulfibus, a quo fit ut tactus noster repellatur, prius recedere fentimus, deinde receffiffe jam dignoscimus: id quod non fenfus etiam animadvertit, fed mens ibi ex eo, quod affectus abiit ipfius fenfus, colligit quod tum recederet nunc receffiffe. At leviter attingentis animadvertere disceffum non poffis, disceffiffe etiam ibi conjicias.

Cap. V. Porro autem non accedentis, vel prementis, vel tangentis, vel repulfi primum nos fenfum habere, fed affe-

αὐτὸ οἴομαι λανθάνειν. αἰσθανόμεθα μὲν γὰρ ἀνατρεπομένης ἡμῶν τῆς σαρκὸς ἅμα τῷ περικειμένῳ δέρματι κατὰ τὴν προσβολὴν τῶν σφοδρῶν σφυγμῶν, συνεισέρχεται δὲ αὐτῷ κινουμένου τε καὶ βιαζομένου ἡ γνῶσις. καὶ μὲν δὴ καὶ ἀποχωρούσης τῆς ἀρτηρίας, ἡ μὲν αἴσθησίς ἐστι τῆς ἐν αὐτῷ τῷ ἡμετέρῳ σώματι κινήσεως. ἕπεται γὰρ τὸ εἴσω θλιβὲν ἢ τοῦ δέρματος ἡμῶν ἢ τῆς σαρκὸς μόριον ἀφισταμένῃ τῇ ἀρτηρίᾳ, τὴν ἐξ ἀρχῆς χώραν, ὅθεν ἀπεώσθη, καταλαμβανομένῃ, ἡ δὲ τοῦ χωρίζεσθαι γνῶσις συνεπινοεῖται. πρῶτα γάρ ἐστιν αἰσθητὰ ἐν τοῖς ἡμετέροις [112] σώμασι τὰ παθήματα, δεύτερα δὲ τὰ τούτων ποιητικὰ, ἐκτὸς ὑποκείμενα. τῆς τε οὖν μετὰ τὴν θλίψιν ἀποχωρούσης τῆς ἀρτηρίας γινομένης ἡμῖν ἐν τοῖς ἁπτομένοις μορίοις κινήσεως αἰσθανόμενοι πρό τῆς ἐπὶ τῶν σφοδρῶν σφυγμῶν, κατὰ τοῦτο καὶ τὴν συστολὴν τῆς ἀρτηρίας ὑποπίπτειν αἰσθήσει φαμὲν, ὡς τῶν ποιούντων δηλονότι τὰ ἐν ἡμῖν πάθη συγκεχωρημένων αἰσθητῶν καλεῖσθαι· τό τε τῆς θλίψεως ἄνισον ἐνδείκνυται τὴν τοῦ θλίβοντος ἐπάνοδον. οὐδὲ γὰρ οὐδὲ τὴν ῥώμην οὐδὲ τὴν κίνησιν αὐτοῦ δι' ἄλλου τινὸς ἐγνωρίσαμεν ἢ διὰ τοῦ τῆς

ctuum corporis noſtri, neminem etiam eſſe puto, quem fugiat. Sentimus enim ab impreſſione vehementium pulſuum carnem noſtram una cum ambiente illam cute impelli; huic autem eſt adjuncta moti et prementis cognitio. Quinetiam recedente arteria ſentimus in ipſo corpore noſtro motum, ſiquidem intro compreſſa, ſive ea cutis eſt, ſive carnis pars, arteriam discedentem comitatur, priſtinam ſedem, qua dejecta erat, occupans, ſimulque fit ut in receſſus cognitionem veniamus. Nam ſentimus primos omnium affectus corporum noſtrorum, deinde quae hos induxerunt foris objecta. Quare quum recedit a premendo arteria, quia ſecundum partes noſtras attingentes eam motam ſentimus primum in vehementibus pulſibus, ea dicimus ratione contractionem etiam occurrere ſenſui, conceſſo ſcilicet ut, quae affectus nobis creant, ſenſibilia appellemus, atque compreſſionis inaequalitas prementis annunciat reditum; neque enim vel robur, vel motum ejus quicquam erat quo cognosceremus, niſi

θλίψεως ἀνίσου. ἐπιβαλλόντων γὰρ ἡμῶν τοὺς δακτύλους τοῖς σφοδροῖς σφυγμοῖς, ἡ μὲν πρώτη προσβολὴ βραχὺ παντελῶς ὠθεῖ τὴν ἁφὴν, ἀπὸ ταύτης δ᾽ ἀεὶ καὶ μᾶλλον ἄχρι τῆς τελευτῆς ἐπιτείνεται ἡ θλίψις, ἥτις ἐνδείκνυται δηλονότι τήν τε κίνησιν καὶ τὴν ῥώμην τοῦ ἀπωθουμένου. θαυμαστὸν γὰρ δὴ, ὅπως οἱ ἀμυδροὶ σφυγμοὶ, κἂν μέγιστοι τυγχάνωσιν ὄντες, οὐχ ὅπως μικροὶ παν(57)τελῶς φαίνονται θλιβόντων, ἀλλὰ καὶ παντάπασιν ἀφανίζονται. καί τις ἴσως ἀγνοῶν, ὡς χρὴ τῶν τοιούτων ἐπιπολῆς ψαύειν, ἄσφυκτον εἶναι φήσει τὸν ἄνθρωπον, ἐξ ὧν αὐτὸς κακῶς ἥψατο ψευδῶς ἀποφηνάμενος. οἱ σφοδροὶ δ᾽ ἅπαν τοὐναντίον ἐρειδόντων ἰσχυρῶς δέονται τῶν ἁπτομένων εἰς τὴν τῆς ῥώμης αὐτῶν διάγνωσιν. ἀπωθεῖσθαι γὰρ τηνικαῦτά σοι μᾶλλον δόξουσιν, ὅταν ἐπὶ πλεῖον αὐτοὺς βιάζῃ. καὶ γοῦν καὶ τὴν συστολὴν αἰσθητὴν οἱ σφοδροὶ μὲν ἅπαντες ἔχουσι, τῶν ἀμυδρῶν δ᾽ οὐδεὶς, αὐτῶν δὲ τῶν σφοδρῶν ἄλλος ἄλλου μᾶλλον, ἢ παρ᾽ αὐτὸ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τῇ σφοδρότητι, ἢ διὰ μέγεθος καὶ μικρότητα, ἢ διὰ σκληρότητα καὶ μαλακότητα,

compreſſio inaequalis. Nam vehementibus pulſibus, ubi digitos injicimus, primus occurſus admodum impellit parum tactum, ab hoc etiam atque etiam ad finem usque comprimit magis, unde ſane motus arguitur et robur ejus, quod repellitur. Mira enim res eſt, quonam modo languidi pulſus, ut ſint maximi, non parvi tantum, ſi premas, videantur, verum etiam omnino ſenſum fugiant. Quod ſi quis leniter eſſe illos tangendos ignoret, fortaſſe abolitum homini pulſum dicat eſſe, qui quidem mentiatur inde, quod non recte eos tetigerit. Contra plane vehementes, quo ipſorum deprehendatur robur, requirunt ut qui tangunt digitos valide infigant; repelli enim hoc tibi tum magis videbuntur, quo eos urgeas magis. Unde etiam contractionem omnes vehementes pulſus ſenſibilem habent, languidorum vero nullus; atque inter vehementes alius alio magis, prout major, vel minor ſit vehementia, aut pro magnitudine et parvitate, aut pro duritie et mollitie, aut pro celeritate et tar-

ἢ διὰ βραδύτητα καὶ τάχος. ὅστις γὰρ ἂν μέγιστός θ᾽ ἅμα καὶ σφοδρότατος καὶ σκληρὸς, καθ᾽ ὅσον οἷόν τε μεγέθει μιχθῆναι σκληρότητα, καὶ μὴ ταχὺς, σαφεστάτην οὗτος ἔχει τὴν συστολήν. οἱ δ᾽ ἄλλοι πάντες καθ᾽ ὅσον ἂν τούτων τινὸς ἔλαττον ἢ πλέον μετέχωσι, κατὰ τοσοῦτον ῥᾷον ἢ χαλεπώτερον γνωσθήσονται. προσεθήκαμεν δ᾽ ἐπὶ τῆς κατὰ τὴν σκληρότητα καὶ τὸ μέγεθος μίξεως τὸ, καθ᾽ ὅσον ἐνδέχεται, τοῦδε χάριν, ἵνα μή τις ὑπονοήσῃ δύνασθαί ποτε γενέσθαι τὸν αὐτὸν ἅμα σφυγμὸν ὥσπερ μέγιστόν τε καὶ σφοδρότατον, οὕτω καὶ σκληρότατον. οὐ γὰρ οἷόν τε συνελθεῖν ὥσπερ σφοδρότητι τὸ μέγεθος, οὕτω καὶ σκληρότητι, μεγίστους μὲν γὰρ καὶ σφοδροτάτους σφυγμοὺς πολλάκις ἂν εὕροις, σκληροτάτους δ᾽ ἅμα καὶ μεγίστους τοὺς αὐτοὺς οὐκ ἂν εὕροις, οὐ μὴν οὐδὲ σκληροὺς ἅμα καὶ μεγίστους, ἀλλ᾽ ὁ μέσος σκληροῦ καὶ μαλακοῦ σφυγμὸς, ὁ σύμμετρός τε κατὰ φύσιν, ἅμα τῷ μεγίστῳ πολλάκις εὑρίσκεται. καὶ μὲν δὴ καὶ σκληρόν θ᾽ ἅμα καὶ σφοδρὸν τὸν αὐτὸν εὑρήσεις πολλάκις, καὶ σκληρός θ᾽ ἅμα καὶ σφοδρότατος ἔστιν ὅτε φαίνεται,

ditate. Nam qui maximus ſimul et vehementiſſimus durusque ſit, quatenus conjungi cum magnitudine durities valeat, atque non velox, hic apertiſſimam habet contractionem. Omnes alii, quatenus plus vel minus de illorum aliquo habeant adjunctum, hactenus facilius percipientur vel aegrius. Addidimus autem eo in commiscenda duritie et magnitudine, quatenus valeat, ne adducatur quis poſſe unquam fieri, ut idem ſimul pulſus tum maximus et vehementiſſimus tum evadat duriſſimus; neque enim conjungatur ſicut cum vehementia magnitudo, ita cum duritie. Maximos enim et vehementiſſimos pulſus ſubinde invenias, at duriſſimos eosdemque maximos nunquam reperias, ac ne duros quidem pariter et maximos: caeterum, qui inter durum et mollem medius eſt pulſus, qui et moderatus eſt ſecundum naturam, cum maximo connexus frequenter invenitur. Etiam durum ſimul ac vehementem non raro eundem cernas, adeoque durus idemque vehementiſſimus non-

σφοδρότατον δὲ καὶ σκληρότατον οὐκέτ᾽ ἂν εὕροις τὸν αὐτὸν, ὥσπερ οὐδὲ μέγιστόν τε ἅμα καὶ σφοδρότατον καὶ ταχύτατον, ἀλλ᾽ οἱ μέγιστοι καὶ σφοδρότατοι τοὐπίπαν μὲν καὶ ταχεῖς εἰσιν, εἰ δὲ μὴ, ἀλλ᾽ οὐδὲ βραδεῖς γε. εἰ μὲν οὖν ἐνεδέχετο τὸν αὐτὸν ἅμα γενέσθαι σφυγμὸν σφοδρότατόν τε καὶ μέγιστον καὶ σκληρότατον καὶ βραδύτατον, ἡ πασῶν σαφεστάτη τῶν συστολῶν ἐπὶ τῶν τοιούτων ἐφαίνετ᾽ ἄν. ἐπεὶ δ᾽ ἀδύνατος ἡ μίξις, ὁ σφοδρότατος ἔτι καὶ μέγιστος καὶ μὴ μαλακὸς καὶ μὴ ταχὺς ἐναργεστάτην ἕξει τὴν συστολήν. σαφῆ δὲ καὶ ὁ σφοδρότατός γε καὶ μέγας καὶ σκληρός· καὶ μὲν δὴ καὶ ὅσοι σφοδροί θ᾽ ἅμα καὶ μεγάλοι καὶ σκληροὶ, καὶ τούτων ἧττον μὲν ἢ τῶν πρόσθεν, ὅμως δ᾽ ἔτι σαφὴς ἱκανῶς ἡ συστολή. τούτων δ᾽ ἧττον, ἀλλὰ καὶ αὕτη σαφὴς ἡ τοῦ σφοδροῦ καὶ μεγάλου καὶ μαλακοῦ. σαφὴς δ᾽ ἔτι καὶ ἡ τοῦ σφοδροῦ τε ἅμα καὶ συμμέτρου κατὰ μέγεθος καὶ σκληρότητα· τούτου δ᾽ ἀσαφεστέραν ἔχει τὴν συστολὴν, [113] οὐ μὴν ἀδιάγνωστόν γ᾽ ὁ μέγας μὲν, σύμμετρος δ᾽ ἐν ταῖς λοιπαῖς δύο διαφοραῖς. καὶ ὅστις δὲ κατὰ τὰς τρεῖς διαφορὰς συμμέτρως ἔχει, δήλη

nunquam exiftit, at vehementiffimum et duriffimum nunquam eundem invenias; neque etiam qui maximus et idem vehementiffimus tardiffimusque fit, fed maximi et vehementiffimi plurimum etiam celeres funt; fin minus, at non tardi. Atqui fi idem poffet pulfus vehementiffimus fieri et maximus et duriffimus et tardiffimus, appareret in talibus pulfibus omnium apertiffima contractio. Quae quando non poteft mixtio fieri, vehementiffimus adhuc et maximus, qui neque mollis, neque velox fit, clariffimam adducet contractionem. Claram etiam vehementiffimus certe et magnus et durus; et etiam vehementes fimul et magni et duri, quorum minus quidem quam fuperiorum, manifefta adhuc fatis tamen contractio eft: praeterea his minus, fed evidens tamen contractio vehementis, magni et mollis: manifefta adhuc vehementis fimul et moderati magnitudine et duritie; fed hoc obscuriorem habet contractionem, non tamen quin poffit dignosci magnus et moderatus in reliquis duabus differentiis. Imo vero qui tribus differentiis eft moderatus,

καὶ ἡ τοῦδε συστολή. δυσγνώριστος δ᾽ ἥ τε τοῦ σφοδροῦ τε καὶ μικροῦ. πάντως δ᾽ ὁ τοιοῦτος καὶ σκληρός ἐστι, καὶ ἡ τοῦ μικροῦ μὲν καὶ σκληροῦ, συμμέτρου δὲ κατὰ τὸν τόνον, ἔτι μᾶλλον ἀσαφής. εἰ δὲ μικρὸς καὶ μὴ σκληρὸς εἴη, καὶ σύμμετρος κατὰ τὸν τόνον, ἱκανῶς γεγυμνασμένης αἰσθήσεως ὁ τοιοῦτος δεῖται πρὸς τὴν γνῶσιν, ἔτι δὲ μᾶλλον εἰ μικρὸς καὶ μαλακὸς ὢν, μετρίως ἔχοι τοῦ τόνου. ἀμυδρὸς δὲ σφυγμὸς, εἴτε μεγάλῳ μιγνύμενος, εἴτε μικρῷ, δήλην ἔχει τὴν συστολήν. τῷ μὲν οὖν μεγίστῳ τὴν ἀρχὴν οὐδὲ μίγνυταί ποτε, καθάπερ οὐδὲ τῷ σκληροτάτῳ, μεγάλῳ δὲ μίγνυται μέν ποτε, ἀλλὰ πάντως ὁ τοιοῦτος ἐσχάτως μαλακός ἐστιν. εἰ δὲ τῷ σκληρῷ μιχθείη, μικρότατος ὁ τοιοῦτος ἐξ ἀνάγκης ἔσται. χρὴ τοίνυν τὸν βουλόμενον ἀσκῆσαι τὴν ἁφὴν, αἰσθάνεσθαι τῆς συστολῆς ἐναργῶς, αὐτό τε τοῦτο πρῶτον ἐπίστασθαι τὸ παραλειφθὲν ὑπὸ τῶν πρεσβυτέρων, ὡς οὔτε παντὸς σφυγμοῦ δυνατὸν αἰσθάνεσθαι τῆς συστολῆς, οὔθ᾽ ὧν αἰσθάνεσθαι δυνατὸν ὁμοίως ἐστὶν ἁπάντων σαφὴς, ἔπειτα δὲ καὶ τοὺς διορισμοὺς μεμνῆσθαι τοὺς ὑφ᾽ ἡμῶν ἄρτι

perſpicuam adhuc contractionem habet. Verum non facile vehementis et parvi contractio cognoscitur, qui omnino etiam durus eſt. Ac parvi durique, ſed contentione moderata, etiam eſt obscurior. Jam ſi parvus, nec durus ſit et moderato robore, ut deprehendatur is, ſenſum flagitat probe exercitatum, atque adhuc magis, qui parvus et mollis contentusque moderate ſit. At languidus pulſus, neque cum magno conjunctus, neque cum parvo, apertam obtinet contractionem. Omnino is cum maximo unquam commiscetur, nec vero cum duriſſimo: cum magno fit ut commisceatur, ſed prorſus eum mollem oportet eſſe: quod, ſi cum duro conjungatur, is neceſſe eſt ſit minimus. Quare qui exercitare tactum volet ad manifeſte ſentiendam contractionem, hoc in primis ſcire debet, quod praeteritum ab antiquis eſt, non cujusvis pulſus poſſe contractionem ſentiri, nec quorum poſſit perinde omnium eſſe claram. Ad haec diſtinctiones quas tradidi modo memoria ſunt tenen-

γεγραμμένους, ἵνα μήτ᾽ ἐφ᾽ ὧν ἀδύνατον αὐτῆς αἰσθέσθαι, γλιχόμενος ἐξευρίσκειν, εἶτ᾽ ἀπορῶν ἀποστῇ τελευτῶν ἁπάσης ὡς ἀναισθήτου, μήτ᾽ ἐφ᾽ ὧν δυνατὸν μὲν αἰσθέσθαι, μὴ σαφῶς δὲ, πρώτοις αὐτοῖς ἐγχειρεῖν, αὐτῶν τε τούτων ἀπογνῷ τῆς εὑρέσεως, καὶ πρὸς τὴν τῶν ἄλλων ζήτησιν ἀποκνέοι παντάπασιν. ἀλλ᾽ ἐφ᾽ ὧν ἐναργεστάτην συστολὴν φαίνεσθαι συμβέβηκεν, ἀπὸ τούτων ἄρξασθαι, τήν τε τῆς χειρὸς ἐπιβολὴν, ὡς εἴρηται, ποιούμενος καὶ μεμνημένος ὧν εἴρηται σκοπῶν, ὡς χρὴ πάντως ἢ σφοδρὸν, ἢ οὐκ ἀμυδρόν γε τὸν σφυγμὸν εἶναι τὸν μέλλοντα ποιήσειν αἰσθητὴν τοῖς ἁπτομένοις τὴν συστολήν. καὶ τοῦτο μὲν ἀχώριστον ὑπάρχειν αὐτῷ δεῖ, πρὸς δὲ τὴν σαφεστέραν διάγνωσιν οὐ σμικρὰ συντελεῖ τὸ μεγεθος, εἶναι δέ τινα καὶ παρὰ τῆς σκληρότητος ὠφέλειαν καὶ τῆς βραδύτητος. ὥστε μήτ᾽ ἐν ἀμυδρῷ ποτε σφυγμῷ συστολὴν αἰσθητὴν δύνασθαι γενέσθαι μήτ᾽ ἀναίσθητον ἐν σφοδρῷ, μᾶλλόν τε καὶ ἧττον ἐναργῆ παρὰ ταὐτὸν τὸν ζωτικὸν καλούμενον τόνον, ἧττόν τε καὶ μᾶλλον ἐνταθέντα καὶ παρὰ τὸ ποσὸν τῆς διαστολῆς καὶ παρὰ τὸ ποιὸν τοῦ τε χιτῶνος τῆς ἀρτηρίας καὶ τῆς κινήσεως.

dae, ut ne, ubi fentiri nequeat, invenire avens, deinde depofita fpe, omnem tandem, ut non fenfibilem, relinquat, neque ubi poffit fentiri, non aperte tamen, hos primo aggrediens, quum horum defperet inventionem, tum alios eum plane pigeat inveftigare. Verum in quibus apertiffima cerni contractio folet, ab his initium fumat, atque manum, ut praefcripfimus, applicet, cum memoria propofitorum, quae tradidimus, plane vel vehementem, vel non languidum certe oportere effe, qui fenfibilem tangentibus fit repreafentaturus contractionem, atque hoc habere fixum debet et certum: ad clariorem autem notitiam non parum magnitudinem referre, accidere item a duritie nonnullam opem et hercle a tarditate etiam. Proinde nec in languido unquam pulfu fentiri contractionem, nec in vehementi non fentiri, idque magis et minus clare, prout ipfa vitalis, ut vocant, contentio major fit vel minor et pro diftentionis quantitate ac pro qualitate arteriae tunicae et motus.

Κεφ. στ'. Ἵν' οὖν ὁλόκληρον ἔχωσιν οἱ φιλομαθεῖς τὴν ὁδὸν τῆς ἀσκήσεως, μὴ τὸ καθόλου μόνον ἀρκεσθῶμεν αὐτῆς εἰρηκότες, ἀπὸ τίνων ἄρχεσθαι σφυγμῶν προσήκει γυμνάζειν τὴν ἁφὴν ἐν τῷ ζητεῖν τὴν συστολὴν, ἀλλὰ καὶ οἵστισιν ὑπάρχουσιν οὗτοι νοσοῦσί τε καὶ ὑγιαίνουσιν, ἐφεξῆς εἴπωμεν. εἰ γὰρ ἔτι τοῦτο μάθοιεν, ῥᾷον, οἶμαι, τοῦ προκειμένου τύχοιεν. ἐπὶ μὲν οὖν τῶν ὑγιαινόντων ὅσοι σύμμετροί τε τὴν ἕξιν εἰσὶ καὶ τὴν φύσιν εὔκρατοι, καὶ τῆς ἡλικίας ἐν ἀκμῇ μάλιστα, καὶ τῶν ὡρῶν τοῦ ἔτους ἐν τῷ ἦρι καὶ γῆν ἐποικοῦσιν εὔκρατον, εὐρωστοῦσί τε καὶ λύπης καὶ δέους καὶ πλησμονῆς καὶ κινήσεως ἐκτός εἰσιν, οὗτοι πάντες σφοδρὸν καὶ μέγαν ἔχουσι τὸν σφυγμόν. εἰ δὲ καὶ γυμνάσαιντο σύμμετρα καὶ λουτροῖς μετρίοις θαλφθεῖεν, ἢ οἶνον μὴ πολὺν πάνυ προσενηνεγμένοι τύχοιεν, ἢ θυμοῖντο, ἢ ἀνδρίζοιντο, οὐ μεγάλους ἔτι καὶ σφοδροὺς ἁπλῶς, ἀλλ' εἰς ἄκρον μεγίστους τε καὶ σφοδροτάτους ἕξουσι τοὺς σφυγμούς. [114] οἱ αὐτοὶ δὲ νοσοῦντες οὗτοι τὸν ἀκριβῆ τριταῖον, ἢ καῦσον τὸν ἐπιεικῆ καὶ ἁπλοῦν, ἤ τινα ἄλλον θερμὸν ἰσχυρῶς

Cap. VI. Quare ut ſtudioſi abſolutam exercitandi viam habeant, non ſolum generale praeceptum explicaviſſe contenti ſimus, a quibusnam initium ordiendum ſit tactus in contractione indaganda exercendi, ſed etiam quibus hi inſint in aegrotis et valentibus, deinceps aperiamus. Nam hoc ſi etiam didicerint, minori negotio votum, arbitror, aſſequentur. Ac de ſanis quidem qui moderato ſunt habitu et natura temperata, in vigore aetatis, maxime vero ex anni temporibus, regionemque incolunt temperatam, robuſtique ſunt et omni moerore, metu, ſaturitate, motu vacui, hi pulſum vehementem et magnum omnes habent. Qui ſe moderate ſi exercitaverint, fotique ſint modicis balneis, vel vini non permultum hauſerint, vel irati ſint, vel operam ſtrenuam aliquam naverint, non magnos jam et vehementes tantum, ſed quam maximos vehementiſſimosque pulſus habebunt. Itidem, ſi laborent ſincera tertiana, vel ardente miti et ſimplici, aut qua alia magnopere calida et veluti

καὶ οἷον ζέοντα πυρετὸν, καὶ τῶν ἐφημέρων τινὰ τῶν ἐπὶ βουβῶσι καὶ ἐγκαύσεσι καὶ κόποις μετρίοις συνισταμένων, μεγίστους καὶ τόθ᾽ ἕξουσιν καὶ σφοδροτάτους σφυγμούς. εἰ δὲ τινὰ μὲν ὧν εἶπον παρείη αὐτοῖς, τινὰ δὲ μὴ, σφοδροὺς μὲν καὶ μεγάλους ἔτι ἔχοιεν ἂν, ἀλλ᾽ ἧττον, εἰ οὕτως ἔτυχεν, εἴ τινος ἀκμάζοντος καὶ ὑγιαίνοντος, οὐ μὴν συμμέτρου τὴν ἕξιν, ἀλλ᾽ ἤτοι πίονος, ἢ ἰσχνοῦ, χωρίον οἰκοῦντος ψυχρὸν, ἅπτοιο τῶν σφυγμῶν, σφοδροὺς μὲν εὑρήσεις αὐτοὺς καὶ μεγάλους, ἀλλ᾽ οὐχ ὁμοίους τοῖς προειρημένοις. οὐ μὴν ἀλλὰ κἀπὶ τῶν τοιούτων ἁπάντων, ἐφ᾽ ὧν ὁ σφυγμὸς ἔτι μένει σφοδρὸς καὶ μέγας, εἰ καθ᾽ ὃν εἴπομεν τρόπον ἅπτοιο τῆς ἀρτηρίας, αἰσθήσῃ τῆς συστολῆς, ἐναργέστατα δ᾽ ἐφ᾽ ὧν εἴρηται μέγιστός τε καὶ σφοδρότατος. ὅτι μὲν οὖν εἰ σφοδρότατος (58) εἴη, μᾶλλον ἐμπίπτει τῇ ἁφῇ, καὶ διὰ τοῦτο ἡ ἔφοδος αὐτοῦ σαφεστέρα γίγνεται, πρόσθεν ἐλέχθη· ὅτι δὲ καὶ εἰ μέγιστος, ᾧδ᾽ ἂν μάλιστα μάθοις, εἰ νοήσεις, ὅτι τοσοῦτον ἐν ταῖς συστολαῖς ἡ ἀρτηρία κάτω πέφυκε φέρεσθαι,

fervente febre, praeterea diariarum aliqua, quae ex bubone proficiscuntur et ex aduftionibus, modicisque laffitudinibus, maximos etiam tum et vehementiffimos pulfus habebunt. Porro fi quaedam horum quae retuli, eos teneant, quaedam non, vehementes quidem et magnos vel tum obtinebunt, non perinde tamen. Exempli gratia, fi cujus juvenis, qui fanus fit, non tamen habitu moderato, fed vel pinguis, vel gracilis, loci incolae frigidi pulfus tangas, vehementes eos et magnos invenies, at non fimiles tamen prioribus. Verum enimvero in iis omnibus, in quibus pulfus adhuc manet vehemens et magnus, fi quo diximus modo tangas arterias, fenties contractionem clariffime autem in illis, quibus maximum effe et vehementiffimum diximus. Atque fi fit vehementiffimus, facere majorem eum fic in tactu impreffionem, itaque manifeftiorem effe ejus impetum, fuperius explicavimus. Quin etiam fi maximus fit, hac facillime via cognoscas, fi intelligas tantum in contractionibus folere arteriam descendere, quantum in diftentionibus

ὅσον ἐν ταῖς διαστολαῖς ἄνω φέρεται. εἰ δὲ τοῦτο, μετὰ μεγίστης διαστάσεως ἑκατέραν ἀνάγκη φέρεσθαι τὴν κίνησιν, ἄνω μὲν ἐν τῷ διαστέλλεσθαι, κάτω δ᾽ ἐν τῷ συστέλλεσθαι, ὥστε τὴν μὲν ἄνω θεῖν ἐπὶ πλεῖστον, τὴν δ᾽ ἀφίστασθαι. τοῦ δ᾽ ἀφίστασθαι τὴν αἴσθησιν ἐλέγομεν, οὐ τοῦ ἀφεστάναι γίγνεσθαι· ἐφ᾽ ὅσον οὖν αὐξηθῇ τὸ ἀφίστασθαι τῷ τε τῆς διαστάσεως καὶ τῷ τοῦ χρόνου μεγέθει, καὶ ἡ διάγνωσις ἐπὶ τοσοῦτον αὐτοῦ σαφεστέρα γενήσεται. διὰ τοῦτο ἔφαμεν εἶναι τὴν πρώτην ἄσκησιν τῆς ἁφῆς οὐκ ἐπὶ τῶν σφοδροτάτων μόνον, ἀλλὰ καὶ μεγίστων ἅμα ποιεῖσθαι σφυγμῶν, καὶ μηδ᾽ ὠκέως πάνυ κινουμένων. ἐλέχθη δ᾽ ὅτι καὶ ἡ σκληρότης συντελεῖ τι πρὸς τὴν τῆς συστολῆς διάγνωσιν, οὐ μὴν τὴν αἰτίαν εἴπομεν ἐκεῖ. νῦν δ᾽ οὐδὲν κωλύει καὶ ταύτην ἤδη προσθεῖναι. τῷ γὰρ πληγῆς βιαίῳ μέγα συμβάλλεται καὶ ἡ τοῦ χιτῶνος τῆς ἀρτηρίας σκληρότης. εἴσῃ δ᾽ αὐτὸ κἀπὶ τῶν ἐκτὸς σαφῶς, εἰ τῇ ἴσῃ ῥώμῃ χρώμενος, ἢ λίθον σκληρότατον ἐπερείδοις ὁτῳοῦν, ἢ ξύλον, ἤ τι τῶν μαλακῶν. ἀνάγκη γὰρ, οἶμαι, πολὺ θᾶττόν τε καὶ μᾶλλον ὑπὸ τοῦ

ascenderit. Quod ſi eſt, non poteſt maximis intervallis non ferri uterque motus, ſurſum, dum diſtenditur, dum contrahitur, deorſum, ita ut ille quam longiſſime ſurſum currat, hic recedat. Diximus autem nos ſentire recedere arteriam, non receſſiſſe, itaque ut maximum receſſus ſpatium et tempus erit, ita ejus erit apertiſſima cognitio. Quod fuit in cauſa cur dicerem eſſe primam tactus exercitationem, non in vehementiſſimis tantum, ſed et in maximis ſimul pulſibus ſubeundam, qui non perinde moveantur velociter. Diximus etiam nonnihil ad contractionem percipiendam facere duritiem: cujus tamen illic cauſam praeterivimus, quam hoc loco nihil cauſae eſt quin adſcribamus; nam ad vim ictus magnopere refert durities quoque arteriae tunicae. Id etiam in rebus extra corpus poſitis aperte perſpexeris, ſi aequis viribus vel lapidem cuipiam duriſſimum impegeris, vel lignum, vel aliud, quod molle ſit. Sane multo citius et magis prematur neceſſe eſt a lapide et ever-

λίθου θλιφθῆναί τε καὶ ἀνατραπῆναι τὸ ἐπερεῖδον ἢ πρὸς τοῦ ξύλου. τῷ δ' ἀνάλογον ἔχειν ἀεὶ τῇ κατὰ τὸ διαστέλλεσθαι βίᾳ τὴν αἴσθησιν τοῦ συστέλλεσθαι σαφέστεραι γενήσονται τῶν συστολῶν αἱ διαγνώσεις, ὁπόσαι βιαιοτέραις ἕπονται διαστολαῖς. μέγας δὲ σφυγμὸς οὔτε ῥαδίως μίγνυται τῷ σκληρῷ, καὶ τὰς διαθέσεις ἐν αἷς εἰς ταὐτὸν ἥκουσιν ἔν τε τῇ περὶ τῶν κατὰ τοὺς σφυγμοὺς αἰτίων πραγματείᾳ καὶ τῇ περὶ τῆς δι' αὐτῶν προγνώσεως ἐροῦμεν. ἐν δὲ τῷ παρόντι τοσοῦτον ἀρκέσει τοῖς εἰσαγομένοις, παραδείγματος ἕνεκα, μαθεῖν, ὡς τοῖς ἰσχυροῖς μὲν τὴν ζωτικὴν δύναμιν, ἣν καὶ ζωτικὸν τόνον ἔνιοι τῶν ἰατρῶν καλοῦσι, πλημμελήσουσι δὲ κατὰ τὴν δίαιταν ἄλλα τέ τινα, οὐχ ἥκιστα δὲ καὶ περὶ τὰς τῶν οἴνων οὐκ ἐν καιρῷ πόσεις οἱ τοιοῦτοι συμπίπτουσι σφυγμοί. καὶ γὰρ οὖν καὶ ἐπὶ τούτων ὥσπερ κἀπὶ τῶν ἔμπροσθεν εἰρημένων ἡ συστολὴ τῆς ἀρτηρίας ἐναργής. ὅτι δὲ καὶ ἡ βραδύτης ἐφ' ὅσον αὔξει τὸν χρόνον τῆς ἀποχωρήσεως, ἐπὶ τοσοῦτον ἐναργεστέραν ἐνδείξεται τὴν κίνησιν, οὐδ' αὐτὸ χαλεπὸν συλλογίσασθαι. καὶ διὰ τοῦτο καὶ αὕτη συντελεῖ τι πρὸς τὴν διάγνωσιν. οἷον μὲν οὖν εἶναι χρὴ σφυγμὸν τὸν αἰσθητὴν μέλλοντα ποιήσειν τὴν συστολὴν, αὐτάρκως εἴρηται.

tatur quod impetum fuftinet quam a ligno. Jam quod violentiae diftentionis femper refpondeat contractionis fenfus, hoc contractiones clarius dignoscentur, quo violentioribus fuccedant diftentionibus. At non facile magnus pulfus commiscetur cum duro, et affectus, in quibus congrediuntur, in opere de caufis pulfuum et in opere de praefagitione per eos explicabimus: hoc loco tantum fatis fit tironibus exempli gratia didiciffe: quibus valida facultas vitalis eft, quam eandem quidam medici vitalem contentionem appellant, fed in victu offendunt et nonnullis in aliis, in primis in vini intempeftivo potu, his tales pulfus accidunt. Itaque in his, ita ut in prioribus, aperta eft arteriae contractio. Jam etiam tarditatem, quantum tempus auget receffus, tanto oftenfuram effe manifeftiorem motum, ne id quidem collectu eft difficile; quam ob rem et haec ufum ad cognitionem aliquem praeftat. At qui debeat pulfus effe qui fenfibilem contractionem eft redditurus, abunde declaravimus.

Κεφ. ζ. [115] Ποίῳ δέ τινι τρόπῳ τὴν ἐπιβολὴν τῆς χειρὸς προσήκει ποιεῖσθαι, μετὰ τοῦτο ἡμῖν ζητητέον ἐστὶν, ἆρά γε διὰ παντὸς ἄνωθεν τῆς ἀρτηρίας, ἢ κάτωθεν, ἢ ποτὲ μὲν οὕτως, ποτὲ δ' ἐκείνως, καὶ πότερα θλίβοντας, ἢ ψαύοντας, ἢ ἐπιτιθέντας ἁπλῶς, ἢ ποτὲ μὲν οὕτως, ποτὲ δ' ἐκείνως, ὡς ἂν ἡ τοῦ σφυγμοῦ δέηται φύσις. οὐδὲ γὰρ οὐδὲ περὶ τούτων οὐδὲν διώρισται τοῖς πρὸ ἡμῶν. ἡμεῖς δὲ καὶ ταῦτα ζητήσαντες, ὅσα τῷ τε λογισμῷ καὶ τῇ πείρᾳ περὶ αὐτῶν ἐξεύρομεν, εἰς τὸ κοινὸν φέροντες καταθήσομεν, ἵν', εἰ μὲν αὐτάρκη φαίνοιτο, πᾶν ἤδη τὸ δέον ἔχοι παρ' ἡμῶν ὁ λόγος, εἰ δὲ μὴ, ἀλλ' ἐπὶ πλέοσί γε τοῖς χρηστοῖς εὑρημένοις ἄλλός τις καὶ ἄλλος ῥᾷον ἐξευρίσκοι τὸ λεῖπον. εἰ μὲν δὴ μετὰ τοῦ θλίβειν ἐπιβάλλοιμεν τὴν ἁφὴν, οὐδεμίαν εὑρίσκοιμεν αἰσθητὴν διαφορὰν ἐκ τοῦ κάτωθεν, ἢ ἄνωθεν τῆς ἀρτηρίας ἐπιφέρειν τὴν χεῖρα. καὶ εἰ ψαύοντες δὲ μόνον, οἷον αἰωροῦντες τοὺς δακτύλους, οὐδ' οὕτως οὐδεμιᾶς αἰσθανόμεθα διαφορᾶς. ὁ δὲ τρίτος τρόπος τῆς ἐπιβολῆς, ὁ μεταξὺ τοῦ θλίβειν τε καὶ ψαύειν ἐπιπολῆς, οὐδὲ συστῆναι δύναται

Cap. VII. Deinceps quo modo fit applicanda manus, nobis inquirendum eft, an perpetuo fuper arteriam, an fubter, aliquando hoc modo, aliquando illo, et utrum comprimendo, an palpando, an applicando tantum, an interdum hoc modo, interdum illo, ut natura pulfus ferat; nam nec de his quicquam majores noftri explicarunt. Nos autem his inquirendis, quae ratione et ufu confecuti fumus, in medium proferemus; quo, fi fufficere quidem videantur, omnibus fuis partibus et numeris doctrina a nobis fit abfoluta: fin minus, complurium quidem et utilium inventorum certe ope alius atque alius quod reliquum eft invenerit. Itaque fi comprimendo applicemus tactum nulla differentia fenfibilis ex manus fuper arteriam vel fubter applicatione inveniatur: vel, fi palpando tantum, veluti fuspenfis digitis, ne tum quidem ullam animadvertamus differentiam. Ac tertius applicandi modus, qui medius eft inter compreffionem et palpitationem levem, ne obiri quidem

Ed. Chart. VIII. [115.] Ed. Baf. III. (58.)

κάτωθεν ἁπτομένοις τῆς ἀρτηρίας. ἐκλῦσαι γὰρ ἁπασῶν τηνικαῦτα χρὴ τὴν χεῖρα τῶν κατὰ προαίρεσιν κινήσεων οἷον πάρετον ἐπιθέντα. τοῦτο δ᾽ εἰ δράσαιμεν, ὑπὸ τοῦ βάρους καταφερομένης τῆς κατὰ τὴν ἀρτηρίαν ἐπαφῆς, ἀποῤῥυήσεται. κατὰ τοῦτον οὖν τὸν τρόπον τῆς ἐπιβολῆς μόνον ἄνωθεν ἔστιν ἅψασθαι, κάτωθεν δ᾽ οὐδέποτε. γίνεται δ᾽ ἐν αὐτῷ πολλάκις μὲν καὶ πάνυ σαφὴς ἡ συστολὴ, πολλάκις δ᾽ ἀμαυρὰ μὲν, οὐ μὴν ἄδηλός γε τοῖς ἠσκημένοις, ἐπὶ μὲν τῶν σφοδρῶν καὶ μεγάλων καὶ μὴ ταχέων ἐναργὴς, ἐπὶ δὲ τῶν συμμέτρων ἐν ἅπασι τοῖς εἰρημένοις γένεσιν ἀμαυρά. τὸ δ᾽ ὅτι θλιβόντων τοὺς σφοδροὺς καὶ μεγάλους καὶ μὴ ταχεῖς σφυγμοὺς ἐναργεστάτη πασῶν ἔσται συστολὴ, πρόσθεν εἴρηται, τὰς δ᾽ αἰτίας τούτων οὐ χαλεπὸν ἐξ ὧν ἐν ἐκείνοις εἶπον ἐξευρίσκειν. εἰς ὅσον γὰρ ὑπὸ τῆς ἀρτηρίας διαστελλομένης ἀνατρέπεσθαι συμβαίνει τὴν ἁφὴν, εἰς τοσοῦτον ἀποχωρούσης αὐτῆς αἰσθητὴν ἀνάγκη γίνεσθαι τὴν συστολήν. ἀνατρέπεται δ᾽ ἐν μὲν ταῖς θλίψεσιν ἐπὶ πλέον γ᾽ ἐν τοῖς προειρημένοις σφυγμοῖς, ἐν δὲ ταῖς ψαύσεσιν εἰς ἶσον τῷ μηδόλως. κατὰ δὲ τὰς μεταξὺ τούτων ἐπιβολὰς, ἃς οἷον

poteft, fi inferne tangas arteriam, fiquidem liberare oportet tum manum omnibus voluntariis motibus et veluti languidam admovere: quod fi fecerimus, ne arteriam contrectet, a gravitate depreffa delabetur. Proinde hoc modo attingendi fuperne tantum licebit, inferne nunquam tangere. In eo autem frequenter contractio multum aperte patet, faepe etiam obscura exiftit, non tamen quin exercitatis animadverti poffit. In vehementibus et magnis, nec velocibus manifefta eft. In moderatis per omnia haec dicta genera obfcura. Nam fi vehementes et magnos vel veloces pulfus comprimamus, fore manifeftiffimam omnium contractionem nuper diximus. Quorum caufas ex iis quae de illis narravimus facile invenies. Nam quatenus tactum ab arteriae diftentione accidit repelli, hactenus recedente ea fenfibilis contractio fiat neceffe eft: qui repellitur, fi compreffuris majorem in modum, in pulfibus quidem commemoratis: fin palpaveris tantum, perinde ac nihil: at in manus applica-

παρειμένης τῆς χειρὸς ἔλεγον γίγνεσθαι, συμμέτρως ἀνατρέπεται. ὥστε καὶ τῆς συστολῆς μᾶλλον ἐπὶ ταῖς θλίψεσι ἤπερ ἐν ταῖς ἁπλαῖς ἐπιβολαῖς αἰσθήσεται, καὶ οὐδὲν ἧττον κάτωθεν ἁπτομένων ἢ ἄνωθεν. ὁμοίως γὰρ ἀκολουθεῖ καθ' ἑκάτερον ἡ ἁφὴ συστελλομένῃ τῇ ἀρτηρίᾳ. χρὴ δὲ καὶ αὐτὴν εἶναι τὴν ἁπτομένην χεῖρα μὴ μόνον εὐαίσθητον, ἀλλὰ καὶ μαλακήν. οὕτω γὰρ ὑπάρξει ῥᾳδίως αὐτῇ καὶ τῶν ἐλαχίστων αἰσθάνεσθαι κινήσεων. ὅτι μὲν οὖν ὥσπερ ὁρῶμέν τε καὶ ἀκούομεν ἑτέρων ἕτεροι φύσει βέλτιόν τε καὶ χεῖρον, οὕτω καὶ διὰ τῆς ἁφῆς αἰσθανόμεθα, πρόδηλον, οἶμαι, παντὶ τοῦτό γε ὑπάρχει· ὅτι δ', εἰ πρὸς τούτῳ καὶ μαλακή τις ἡ σύστασις εἴη τῆς ἐν τοῖς δακτύλοις σαρκώδους φύσεως, ἑτοιμότερόν τε καὶ μᾶλλον ἐν τῷ προσπίπτειν τὴν ἀρτηρίαν ἀνατρεπομένην κατὰ μείζονος ἐν τῷ συστέλλεσθαι διαστάσεως ἐνεχθήσεται, οὐδ' αὐτὸ νομίζω τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων ἀσαφὲς εἶναι. οὐ μὴν οὐδ' ὅτι κατὰ μείζονος φερομένη διαστάσεως ἐναργέστερον αἰσθήσεται τῆς συστολῆς, οὐδὲ τοῦτ' ἄδηλον. ὥστ' εὔλογον τὴν μαλακωτέραν

tionibus mediis inter illas, quas fieri quafi remiffa manu diximus, moderate repellitur. Quo magis contractionem comprimendo quam tantum attingendo fenties, nec minus, fi inferne tangamus, quam fi fuperne; quod perinde utrobique arteriae contractionem tactus fequatur. At enim manus, quae tangat, non modo prompte fentiat oportet, verum etiam mollis fit: nam fic demum facile confequatur ut motus vel minimos animadvertat. Nam hoc fane quemadmodum natura eft comparatum, ut alio alius videatur melius deteriusque et audiamus, ita etiam tangere nos, equidem fugere neminem puto. Huc jam fi ftatus quidam mollis accedat carnofae digitorum naturae, promptius et magis in occurfu arteriae everfae, intervallo majore, dum contrahitur illa, fore ut ablegetur, nec hoc puto ante dictorum memori obscurum effe. Nec vero etiam quum per longius fertur intervallum, clarius fenfuram effe contractionem, hoc fugit quenquam. Quare molliorem manum

χεῖρα τῆς σκληροτέρας τῶν ἄλλων ἐπίσης ἐχόντων ἀκριβέστερον αἰσθάνεσθαι τῆς [116] συστολῆς. κεφαλὴν οὖν ἤδη ἐπιθέντες τῷ λόγῳ μεταβαίνωμεν ἐφ' ἕτερον. ζητήσεως οὔσης τοῖς ἰατροῖς περὶ τῆς κατὰ τὰς ἀρτηρίας συστολῆς καὶ τῶν μὲν λεγόντων αἰσθητὴν, τῶν δ' ἀναίσθητον ὑπάρχειν αὐτὴν, ἐδείξαμεν ἡμεῖς μήτε διαπαντὸς αἰσθητὴν μήτ' ἀναίσθητον εἶναι διαπαντός. καὶ πρῶτον μὲν τοὺς σφυγμοὺς εἴπομεν ἀφ' ὧν ἐστιν αἰσθητὴ, δεύτερον δὲ τὰς διαθέσεις ἐν αἷς τοὺς τοιούτους ἐξευρήσομεν σφυγμοὺς, μετὰ ταῦτα δὲ πῶς μὲν ἅπτεσθαι προσήκει τὸν βουλόμενον ἀκριβῶς αἰσθάνεσθαι τῆς συστολῆς, ὁποίαν δ' εἶναι χρὴ τὴν ἐπιβαλλομένην χεῖρα.

Κεφ. η'. Τούτων δ' οὕτως ἐχόντων ἑξῆς ἂν εἴη σκοπεῖσθαι, πότερον ὅλης αἰσθανόμεθα τῆς τε διαστολῆς καὶ τῆς συστολῆς, ἢ μόριον ἡμᾶς ἑκατέρας διαλανθάνει, καὶ εἰ διαλανθάνει, τί τοῦτό ἐστι καὶ πόσον. ἀρχὴν δὲ καὶ τούτῳ τῷ λόγῳ τὴν περὶ τῆς διαστολῆς κίνησιν ποιησόμεθα καὶ πρῶτον μὲν ἀναμνήσομεν ἡμᾶς αὐτοὺς, ὡς πολλάκις ἐπὶ (59) πολλῶν ἀῤῥώστων μικροὺς καὶ ἀμυδροὺς ἐχόντων τοὺς σφυγμοὺς, οἷοι μάλιστα τοῖς τε συγκοπτομένοις γίνονται

duriore, fi reliquorum aequa fors fit, ratio dictat exactius contractionem fentire. Itaque fi fummam orationis fecerimus, alio tranfibimus. Quandoquidem inter medicos controverfia eft de arteriae contractione, quorum pars eam fentiri confirmat, pars non fentiri, oftendimus nos neque perpetuo fenfibilem, neque perpetuo infenfibilem effe; ubi primum pulfus, in quibus fentitur, aperuimus, deinde ftatus, in quibus illos indagabimue pulfus: denique, qui fentire plane contractionem cupiat, quomodo tangere ille debeat, qualemque effe manum conveniat applicandam.

Cap. VIII. His conftitutis, deinceps erit explicandum, totamne fentiamus diftentionem atque contractionem, an pars nos utriusque fugiat, et fi fugiat, quae haec fit et quanta. Atque hujus etiam inftituemus orationis initium a motu diftentionis. Ac primum nobiscum repetemus faepenumero in multis aegrotis, quibus pulfus parvi funt languidique (quales habent prae caeteris ii, qui fyncope corri-

σχεδὸν ἅπασι τοῖς ἀποθνήσκουσι, τινὲς μὲν τῶν ἰατρῶν ἐπὶ βραχὺ τῆς κινήσεως αἰσθάνονται, τινὲς δ᾽ οὐδ᾽ ὅλως· δεύτερον δ᾽, ὅτι καὶ ὁ αὐτὸς ἰατρὸς πολλάκις παρὰ τὸ προσηκόντως τε καὶ ἀκριβῶς, ἢ ῥαθύμως τε καὶ ἀμελῶς ἅπτεσθαι, ποτὲ μὲν αἰσθάνεται τῆς κινήσεως, ποτὲ δ᾽ οὔ. ὅταν οὖν τὴν αὐτὴν ἀρτηρίαν ὁ μέν τις τῶν ἰατρῶν ἄσφυκτον ὑπάρχειν, ὁ δέ τις σφύζειν ἔτι λέγει, καὶ πολλάκις ὁ αὐτὸς ἰατρὸς ἐν ἑνὶ καιρῷ παρὰ τὰς διαφόρους ἐπιβολὰς τῆς χειρὸς ἐν μέρει τἀναντία φησὶ, δῆλον ὡς διαφεύγει μόριόν τι τῆς κινήσεως τὴν ἁφήν. ἴσως τις ἐρεῖ τὸν ἄριστα μὲν πεφυκότα, κάλλιστα δ᾽ ἐπιβάλλοντα τὴν χεῖρα, τετριμμένον δ᾽ ἀκριβῶς, ἁπάσης αἰσθάνεσθαι τῆς διαστολῆς. καὶ πῶς τοῦτον εὑρήσομεν; τίς ἡμῖν ἐγγυήσεται φύσιν ἀνθρωπίνην εἰς τοσαύτην ἀκρίβειαν αἰσθήσεως ἥκειν, ὡς μηδὲν αὐτὴν μηδὲ τοὐλάχιστον παρελθεῖν; ἐγὼ μὲν γὰρ οὐδ᾽ ἐπὶ τῶν ἐκτὸς τούτων σωμάτων, ὧν ἔστιν αὐτῶν ἅψασθαι μηδενὸς ἐπίπροσθεν ὄντος ἑτέρου, δυναίμην ἂν ἀλαζονεύσασθαι βεβαίαν διάγνωσιν, οὐχ ὅπως ἐπὶ σώματος, οὗ πιμελὴ καὶ ὑμένες καὶ δέρμα πρόκειται

piuntur et qui de vita decedunt prope omnes) quosdam medicos motum aliquantisper ſentire, alios haudquaquam: secundo loco, prout accurate et ſedulo, vel ſegniter atque negligenter tangit, eundem medicum interdum motum ſentire, interdum non ſentire. Proinde, quum eandem arteriam quidam medicus non pulſare, alius pulſare etiamnum dicat, atque idem frequenter medicus eodem tempore pro diverſis manus applicationibus viciſſim contraria dicat, partem motus fugere conſtat tactum. Dices, praeclariſſima natura praeditum et manum rectiſſime applicantem experienque totam ſentire diſtentionem. At hunc quomodo inveniemus? Quis nobis humanam naturam ſpondebit eam integritatem ſenſus aſſecutam, ut nihil illam ne ſubtiliſſimum quidem praetereat? Ego quidem certe nec exteriorum corporum horum, quae licet praeter ullum impedimentum ipſa tangas, jactem conſummatam notitiam eſſe, nedum corporis, quod adeps, membranae, cutis munit craſſior

Ed. Chart. VIII. [116.] Ed. Baf. III. (59.)

παχύτερον αὐτοῦ πολλάκις τοῦ τῆς ἀρτηρίας σώματος. εἰ δέ τις οὕτως ἐστὶ θρασὺς, ὡς ἀπαυθαδίσασθαί τε καὶ φάναι τὴν πρώτην ὁρμὴν τῆς κινήσεως γνωρίζειν ἐν ταῖς διαστολαῖς τῆς ἀρτηρίας, ἡδέως ἂν αὐτοῦ πυθοίμην, κατὰ ποίαν ἐπιβολὴν τῆς χειρὸς τοῦτο διαγιγνώσκει, πότερον ἐπιπολῆς ψαύων, ἢ θλίβων, ἢ ἀβιάστως ἐπιβάλλων. ἴσως μὲν οὖν, ἐάν τις τῶν μεγάλων ᾖ σοφιστῶν, ὅσοι τὰ μὲν ἔργα τῆς τέχνης μέχρι τοσούτου τρίβοντές εἰσιν, ὥστε μηδ᾽ εἰ πυρέττει τὴν ἀρχὴν ὁ ἄνθρωπος εἰδέναι, τῷ λόγῳ δ᾽ ὑπερφθέγγονται τὴν ἀλήθειαν, οὐδὲ εἰ πλείους εἰσὶν ἐπιβολαὶ τῆς χειρὸς, οὐδ᾽ εἰ καθ᾽ ἑκάστην αὐτῶν διαφοράν τινα λαβεῖν ἔστιν, ὁ τοιοῦτος ἐπίσταται. καὶ λῆρος αὐτῷ μακρὸς εἶναι δόξει τὰ ἡμέτερα καὶ οὐδ᾽ ὑπομενεῖ τὴν ἀρχὴν ὑπακοῦσαι τῶν λόγων. ἀλλ᾽ ἡμεῖς ὥσπερ καὶ τἄλλα τὰ πρόσθεν, οὕτω καὶ ταῦτα πρὸς τὸν τῆς ἀληθείας ἐραστὴν, κἂν εἷς ᾖ, λέγωμεν, ὡς ἡ μὲν μέση τῶν ἐπιβολῶν, ἡ ἀβίαστος, τοσοῦτον αἰσθητὸν ἕξει τῆς κινήσεως, ἔν γε τοῖς οὐκ ἀμυδροῖς σφυγμοῖς, ὅσον καὶ ἡ ὄψις· ἐν γὰρ τοῖς ἀμυδροῖς καὶ τῆς ὄψεως αὐτῆς ἔλαττον αἰσθήσεται. ἡ δευτέρα δὲ, καθ᾽ ἣν θλίβομεν, ἐν μὲν

ipfo fubinde corpore arteriae Quod fi quis tam fit audax et arrogans, ut dictitet in diftentionibus arteriae primum fe motus cognoscere impetum, libenter de ifto quaefierim, quanam ipfe hunc manus applicatione deprehendat, utrum leviter palpando, an premendo, an nulla vi admovendo. Sane fi de magnis ille fophiftis forte fit, qui in operibus artis hactenus verfati funt, ut omnino an homo febricitet ignorent, verborumqne jactatione ipfam veritatem fuperent, haud ifte fcilicet, nec an plures fint applicandae manus rationes, nec an inter fe illae mutuo diftent, noverit, noftraque ftomachum illi fecerint, nec ullo modo me fuftinuerit audire. Verum enimvero uti alia, quae ante tradidimus, ita haec veritatis ftudiofo, etiam fi folus fit, dictemus. Nempe media applicatio quae citra ullam vim fit, hactenus motum fentiet in pulfibus certe non languidis, quatenus vifus: in languidis vero fentiendis etiam vifui concedet. Al-

τοῖς ἀμυδροῖς ἔτι καὶ μᾶλλον τῆς προτέρας ἀφανῆ τὴν κίνησιν ἐργάσεται τῆς ἀρτηρίας, ἐν δὲ τοῖς σφοδροῖς προτέρα διαγνώσεται. ἡ δὲ τρίτη, καθ' ἣν οἷον αἰωροῦμεν τὴν χεῖρα, παντελῶς ὀλιγοχρονίου τῆς κινήσεως αἰσθήσεται. [117] τούτων δὲ καὶ τὰς ἀποδείξεις πειραθῶμεν εἰπεῖν, ἀπ' αὐτῶν τῶν ἐναργῶν λαμβάνοντες τὰς ἀρχάς. τί δ' ἂν ἐναργέστερον εἴη τοῦ πάσας τὰς ἀρτηρίας μήτ' ὄψει μήθ' ἁφῇ φαίνεσθαι κινουμένας, ἀλλὰ μόνας ὅσας τὸ δέρμα καλύπτει, καὶ τοῦτο μὴ πάνυ παχὺ, τὰς δ' ὑπὸ σαρκὸς κρυπτομένας, ἢ καί τινων ἄλλων σωμάτων, ἀφανῆ τὴν κίνησιν ἔχειν, πλὴν εἴ ποτε τῶν ἐπικειμένων ἐκτακέντων ἰσχυρῶς αἰσθητὴ γένοιτο; καὶ αὐτῶν δὲ τῶν αἰσθητὴν ἀεὶ τὴν κίνησιν ἐχουσῶν ἀρτηριῶν ὅσα γυμνότερα μόρια καὶ ὑπ' αὐτῷ τῷ δέρματι, σαφεστέραν ὄψει τε καὶ ἁφῇ τὴν κίνησιν ἐνδείκνυται. καὶ ἡ μεγίστη τῶν ἀρτηριῶν ἡ κατὰ τὴν ῥάχιν ἀφανῆ τέως ἔχουσα τὴν κίνησιν, ἐκτακέντος τοῦ ζώου διασημαίνει κατὰ τὸ ἐπιγάστριον· ᾧ δῆλον ὅτι τὰ μὲν κουφότερα σώματα ῥᾳδίως συνεξαίρουσιν αἱ ἀρτηρίαι διαστελλόμεναι, τὰ δὲ βαρύτερα δυσχερέστερον.

tera, quum premimus, in languidis fupra primam motum arteriae obscurabit: in vehementibus prae caeteris percipiet. At tertia, qua veluti fuspendimus manum, motum fane quam breviffimum fentiet. Sed haec faciamus quoque ut demonftrationibus confirmemus, ab rebus evidentibus exorfi. Quid vero clarius hoc fit, quam omnium arteriarum nec vifu nec tactu motum videri, fed earum duntaxat, quas cutis contegit, neque ea craffior, at fub carne abditas, aut fub aliis corporibus, occultum habere motum, nifi quando magnopere intabuerint quibus funt illae fubjectae corpora, itaque fentiantur? Imo vero quarum fentitur motus, quo funt arteriarum nudiores partes ipfi fubjectae cuti, hoc vifui clariorem motum tactuique repraefentant. At maxima quidem arteria, quae fecundum dorfum fita eft, cujus fugit pridem motus, fimul atque contabuit animal, ad abdomen motus apparet. Unde liquet leviora corpora arterias facile, ubi diftenduntur, una fecum attollere, gra-

ὅσα δ᾽ ἱκανῶς βαρέα, ταῦτ᾽ οὐδόλως κινοῦσιν. ἔτι δ᾽ ἂν μᾶλλον ὃ λέγω μάθοις σαφῶς, εἰ ἐν ταῖς ἐπιφανῆ τὴν κίνησιν ἐχούσαις ἀρτηρίαις ἔξωθεν ἐπιβάλλοις τι κατὰ τοῦ δέρματος ἕτερον σῶμα λεπτὸν, οἷον φύλλον, ἢ ὑμένα, ἢ ὀθόνιον, ἢ ῥάκος, ἤ τι τοιοῦτον ἄλλο. φανεῖται γάρ σοι κινούμενον αὐτῇ διαστελλομένῃ. δεύτερον δ᾽ αὖθις ἴσον ἐπιβάλλοντι τῷ προτέρῳ, πολλῷ νῦν ἧττον ἄμφω φανεῖται κινούμενα, καὶ εἰ τρίτον ἐπιβάλλοις, ἧττον ἔτι μακρῷ, καὶ εἰ τέταρτόν γε καὶ πέμπτον, ὥστε καὶ εἰ παντάπασιν ἀκίνητα εἶναί σοι δόξει τὰ ἐπικείμενα γεγονέναι. καὶ εἰ μὲν ἔτι μᾶλλον σφοδρὸς ὁ σφυγμὸς εἴη, πλειόνων ἐπίθεσιν ἀνέξεται σωμάτων, εἰ δ᾽ ἧττον, ἐλαττόνων, εἰ δὲ μηδόλως εἴη σφοδρὸς, ἴσως ἂν οὐδὲ τὴν ἑνὸς ἀνάσχοιτο σώματος ἐπιβολήν. εἰ δὲ καὶ ἀμυδρὸν αὐτὸν ἐπινοήσαις γινόμενον, οὐχ ὅπως τι τῶν ἔξωθεν ἐπικειμένων τῷ δέρματι οὐ κινήσει σωμάτων, ἀλλ᾽ οὐδ᾽ αὐτὸ πολλάκις τὸ δέρμα. καὶ γὰρ οὖν καὶ φαίνεται τοῦθ᾽ οὕτως γιγνόμενον, εἰς ὅσον γὰρ ἂν εὐρωστότερος ὁ τόνος ᾖ τῆς ἀρτηρίας, εἰς τοσοῦτον ὄψει τὸ δέρμα κινούμενον. ἐκλυθέντος δ᾽ ἱκανῶς

viora aegrius, praegravia vero non movere prorfus. Quod dico multo animadvertes manifeftius, fi arteriis praeditis illuftri motu foris corpus aliud fubtile ad cutem imponas, ut folium, membranam, linteum, panniculum, aut aliud tale quid: fcilicet una cum arteria diftenta moveri cernes: si iterum priori tantundem apponas, jam multo amborum obscurior motus erit: si vero tertium addas, adhuc longe obscurior: itidem fi quartum et quintum, tandem impofitorum motum omnino abolitum putabis. Jam fi vehementior pulfus fit, plurium onus corporum feret: fin minus vehemens, pauciorum: quod fi nequaquam fit vehemens, fieri poteft ut nullo onerari corpore fuftineat. At vero fi praeterea languidum effe finxeris, non modo foris cuti corpus impofitum non movebit, fed nec ipfam interdum cutem. Id quod fic conftat habere: nam arteria quam fuerit contentiffima, tam maxime cutem confpicies moveri: contra quum exoluta multum contentio fit, plane non mo-

τοῦ τόνου, παντάπασιν ἀκίνητον φαίνεται. ὡς οὖν ἡ μὲν ἰσχυροτέρα κίνησις τῆς ἀρτηρίας οὐ τὸ δέρμα μόνον, ἀλλὰ καὶ πολλὰ τῶν ἔξωθεν ἐπιτιθεμένων σωμάτων ἠδύνατο συγκινεῖν, ἡ δ' ἀσθενεστέρα τὸ δέρμα μόνον, ἡ δ' ἔτι μᾶλλον ταύτης ἀῤῥωστοτέρα οὐδὲ τὸ δέρμα, τί θαυμαστὸν, εἶναι ταύτης ἑτέραν πάλιν ἀσθενεστέραν, ἣ μηδὲ τοὺς ὑποκειμένας ὑμένας ταῖς ἀρτηρίαις, μηδὲ τὴν πιμελὴν ἐξαίρειν δυνήσεται; τίς οὖν ἁφὴ τῆς τοιαύτης αἰσθήσεται κινήσεως; οὐδεμία δηλονότι. πρὸς γὰρ αὖ τοῖς εἰρημένοις οὐδὲ τοῦτ' ἔστιν εἰπεῖν, ὡς θλῖψαι προσήκει τὸ κατὰ τῆς ἀρτηρίας δέρμα πιέσαντα τοῖς δακτύλοις, ἵν' ἀπαντήσωμεν ἐλλιπῶς ἀναφερομένῳ τῷ σφυγμῷ. καὶ γὰρ ἐπὶ τῶν ἐχόντων αἰσθητὴν κίνησιν, ἀμυδρῶν δὲ, θλιψάντων ἡμῶν τὸ δέρμα παντελὴς ἀσφυξία γίνεται. τί ποτ' οὖν οἴει πείσεσθαι τὴν μηδὲ τὸ δέρμα κινεῖν δυναμένην ἀρτηρίαν, εἰ προσέτι βαρύνοιμεν αὐτὴν τοῖς δακτύλοις; ἢ δῆλον ὅτι καὶ τὸ σωζόμενον τῆς κινήσεως προσαπολέσθαι; τὸ δ' ὅλον ἀγνοεῖν μοι δοκοῦσι τὴν ἐκ τῆς ἀνατομῆς θέσιν τῶν ἀρτηριῶν οἱ διστάζοντες ὡς τὸ πρῶτον μέρος τῆς διαστολῆς αἰσθητόν ἐστιν. οὐδεμία γὰρ αὐτῶν τοῦ δέρματος ἅπτε-

veri videbis. Quum igitur arteriae validior motus etiam multa corpora extrinfecus impofita, nedum cutem, fecum movere valuit, languidior autem tantum cutem, et qui fit multo hoc imbecillior, ne cutem quidem, quid habet admirationis, fi alius etiam hoc infirmior exiftat, qui neque membranas, quae arterias contegunt, neque adipem fubvehere poffit? At quis tanget hunc motum tactus? nempe nullus. Neque vero ad haec illud respondeant, comprimendam digitis cutem effe quae arteriam tegit, ut pulfui non fatis ascendenti occurramus; quum in his, quorum fentitur motus, fed languidis tamen, fi cutem comprimas, omnino pulfus confiftat: quid jam illa, cedo, arteria fiet, quae ne cutem quidem poteft movere, fi digitis eam infuper premas? an non reliquam partem motus etiam amittet? Omnem ignorare mihi videntur ifti arteriarum fedem, quae ex diffectione perfpicitur, qui primam diftentionis partem fenfibilem putant effe, quum cutem nulla ex illis attingat. Imo fi quae

ται, ἀλλ᾽ εἰ καὶ τὰς πάνυ δοκούσας προφανεῖς εἶναι καὶ πλησίον αὐτοῦ παραδείρας ἑκατέρωθεν ἐθέλοις ἐπισκοπεῖσθαι, πολὺ τοὺν μέσῳ φανεῖταί σοι τοῦ τε δέρματος καὶ τοῦ χιτῶνος τῶν ἀρτηριῶν. καὶ γὰρ ἂν καὶ ἀτόπως ἐπέπρακτο μόνον τοῦτο τῇ φύσει, καίτοι μηδὲν εἰκῇ δημιουργούσῃ, κατασκευάσαι μὲν ὄργανον πάντῃ διαστέλλεσθαι δυνάμενον, χώραν δ᾽ αὐτῷ μηδεμίαν παρασχεῖν ἐν ᾗ κινήσεται. ἀλλ᾽ οὐκ ἔχει ταῦθ᾽ οὕτως, πολλοῦ γε καὶ δεῖ· φαίνεται γὰρ ἐν ταῖς ἀνατομαῖς εὐρυχωρία τις ἱκανὴ περὶ τὴν ἀρτηρίαν, εἰς ἣν ἐν ταῖς ἀμετροτέραις σαρκώσεσιν [118] ἡ σὰρξ ἀποχεομένη κωλύει διαστέλλεσθαι τὸ ἀγγεῖον εἰς ὅσον ἐπεφύκει. καὶ διὰ τοῦτο μικρός ἐστιν ὁ τῶν παχέων σφυγμός. τὸ μὲν γὰρ μῆκος αὐτοῦ βραχύτερον γίνεται, καὶ τὸ πλάτος στενότερον, τῷ πλήθει τῆς σαρκὸς θλιβόμενον· ἡ δ᾽ εἰς ὕψος ἄνοδος κωλύεται τῇ τῶν ἐπικειμένων σωμάτων εὐτροφίᾳ βαρυνθεῖσα. τῶν δ᾽ ἰσχνῶν μὲν τὴν ἕξιν, τἄλλα δ᾽ εὐρώστων, ἱκανὸν μὲν τό γε πλάτος καὶ τὸ μῆκος ὁ σφυγμὸς ἔχει, ἀξιόλογον δὲ καὶ τὴν εἰς ὕψος ἀνάβασιν. ἔτι δὲ μᾶλλον ἐφ᾽ ὧν χαλαρόν ἐστι τὸ δέρμα κατάδηλον γίνεται τὸ τοῦ δια(60)στήματος αὐτοῦ τε

admodum videntur conſpicuae eſſe, eique propinquae, has velis excoriatas utrinque inſpicere, multum cernes ſpatii inter cutem et tunicam arteriarum interpoſitum. Etenim temere hoc natura unum condidiſſet, quae tamen citra rationem molita nihil eſt, ſi inſtrumentum creaſſet quod in omnem partem poſſet diſtendi, neque locum ei ubi moveretur deſtinaſſet ullum. Atqui aliter res ſe habet, et longe quidem. Siquidem monſtrant diſſectiones circum arteriam ſpatium eſſe ſatis amplum, quod caro, dum ejus moles augetur immodice quum ſubeat, ne diſtendatur vas, quantum ſolet, interpellat. Unde ſit, ut craſſis parvus pulſus ſit, quod longitudo ejus imminuatur et latitudo ſiat anguſtior, quum a multa carne conſtringatur; aſcenſus item ubertate corporum incumbentium depreſſus inhibetur. Illorum vero qui gracili corpore ſunt, alioqui robuſti, inſignem latitudinem et longitudinem pulſus habet, inſignem etiam aſcenſum. Ac magis etiam in his, quibus cutis laxa eſt, perſpicuum inter-

καὶ τοῦ τῆς ἀρτηρίας χιτῶνος. εἰ γὰρ οὕτως ἔχοντος σφοδρὸς ὁ σφυγμὸς, ἢ μὴ ἀμυδρός γ' εἴη, δυνήσῃ τὸ κῶλον ὑπαλλάττων καὶ ποτὲ μὲν ὕπτιον, ποτὲ δὲ πρηνὲς ποιούμενος τὰς διαφορὰς τῶν τῆς ἀρτηρίας διαστάσεων, ἃς ἐγὼ νῦν εἶπον, φωρᾶσαι σαφῶς τῇ θλίψει. τῷ μὲν γὰρ πλάτει καὶ τῷ μήκει τὸ πρανὲς σχῆμα πλεονεκτεῖν σοι φανεῖται, τῷ δ' ὕψει καὶ τῷ χρόνῳ τὸ ὕπτιον. αἴτιον δ' ἀμφοῖν τὸ χαλαρὸν τοῦ δέρματος, ἐν μὲν τοῖς ὑπτίοις σχήμασι τῆς χειρὸς ὡς ἂν ἄνωθεν ἐπικείμενον καὶ καταπῖπτον ἐπὶ τὴν ἀρτηρίαν, ἐν δὲ τοῖς πρηνέσιν ὡς ἂν κάτω ῥέπον ἐκκρεμαννύμενόν τε καὶ πλεῖστον ἀφιστάμενον. διὰ τοῦτο ἐν μὲν τοῖς ὑπτίοις σχήμασιν ἐν τῷ διΐστασθαι τὴν ἀρτηρίαν ἀπὸ τῶν ὑψηλοτέρων ἐπὶ τὰ πλάγια περιῤῥέον, διπλοῦταί τε καὶ οἷον ῥυτιδοῦται, καὶ πλεῖστον ἀθροιζόμενον ἐνταῦθα κωλύει κατὰ ταῦτα μάλιστα τὰ μέρη, τὸ μέγεθος τοῦ σφυγμοῦ. ἐν δὲ τοῖς πρανέσιν οὐδαμοῦ βαρῦνον, οὐδὲ διακωλύον τὴν κίνησιν τῆς ἀρτηρίας, οὐδὲ τοῦ μεγέθους τοῦ κατὰ τὸν σφυγμὸν ἀφαιρεῖται. πῶς οὖν οὐ καὶ κατὰ τὸ βάθος ἐπὶ πλέον ἐνταῦθα φαίνεται διαστελλόμενος ὁ σφυγμὸς, ἢ εἰ μὴ πλέον,

vallum eft inter eam et arteriae tunicam. Nam ejus, qui in ftatu illo eft, fi vehemens pulfus, aut non languidus certe fit, poteris membro convertendo, atque interim fupino, interim prono figurando, differentias, quas nunc retuli arteriae dimenfionum, manifefte premendo affequi; nam longitudine et latitudine pronam figuram attendes praeftare, altitudine et tempore fupinam. Caufa utriusque cutis eft laxitas, ut quae in fupinis manus figuris fuperne incumbat et decidat in arteriam, in pronis deorfum vergat et dependeat plurimumque diftet. Quamobrem in fupinis figuris, quum diftenditur arteria, in obliquum ex altioribus circumfluens complicatur et quafi rugas agit, atque hic in magnum acervum collecta, magnitudini pulfus in his maxime partibus obfiftit, in pronis vero, quia minime deprimit, nec interpellat arteriae motum, nihil quoque de pulfus detrahit magnitudine. Quomodo ergo non et hic plus in profunditate item diftendi pulfus videtur, aut fi non amplius, at aeque

Ed. Chart. VIII. [118.] Ed. Bas. III. (60.)

ἀλλὰ τό γ' ἴσον τῇ κατὰ τὸ ὕπτιον; ὅτι τῇ τοῦ πλάτους τε καὶ τῇ τοῦ μήκους αὐξήσει κατακρύπτεται τὸ βάθος. καὶ ἄλλως, οὗπερ ἕνεκα πάντα ταῦτα λέγεται, χρόνῳ πλέονι φαινομένης ὡς πρὸς τὴν ὄψιν κινεῖσθαι τῆς ἐν τοῖς ἄνω μέρεσι τοῦ κώλου τεταμένης τῆς ἀρτηρίας, συμφαντάζεται καὶ ἡ εἰς ὕψος ἄνοδος μείζων γίνεσθαι. τὸ γὰρ ἐν χρόνῳ πλέονι φαινόμενον ἄνω φέρεσθαι ῥαδίως ἀναπείθει τὴν ὄψιν, ὡς κατὰ μείζονος διαστάσεως ἐνηνεγμένον, τὸ δὲ φέρεται μὲν κατὰ τῆς ἴσης, πρός γε τὴν ἀλήθειαν, ὅπως ἂν ἔχῃ θέσεως ἡ ἀρτηρία, τῷ δὲ προτέραν εἰς τὸ δέρμα διαδίδοσθαι τὴν ἐν τοῖς ὑπτίοις σχήμασι κίνησιν ὁ χρόνος αὐξανόμενος, ὡς πρὸς τὴν ὄψιν, ὁ τῆς διαστολῆς τὴν τοῦ βάθους οὕτως συναύξει φαντασίαν. ταῦτά τε οὖν τὰ φαινόμενα καὶ ἄλλα τινὰ παραπλήσια τὰ πρῶτα μέρη τῆς διαστολῆς ἐκφεύγειν ἐνδείκνυται τὴν ὄψιν. ὅσον δέ ἐστι ταύτης τῆς κινήσεως τὸ τῇ ὄψει αἰσθητὸν, τοσοῦτον καὶ τῇ ἀβιάστῳ ἁφῇ κατά γε τοὺς σφοδροὺς σφυγμοὺς, ἐπὶ τῶν γε ἀμυδρῶν, ἔλαττον πολλάκις. φανερὸν μὲν γὰρ, ὡς οὐκ ἐνδέχεται κατὰ τὸν τοιοῦτον

ut in ſupina figura? quod ſcilicet ſub latitudinis longitudinisque incremento latet profunditas. Et alioqui, quum (cujus haec omnia nomine commemorantur) longiori tempore videatur, quantum ad conſpectum, arteria moveri, quae in ſuperioribus artus regionibus locata eſt, ſimul intelligitur major in altum etiam ascenſus fieri. Quod enim in ascendendo longius tempus videtur ponere, hoc facile viſum inducit longiore ſe ſpatio profectum eſſe. Atqui hoc vehitur per aequale ſpatium, ut vult quidem veritas, quomodocunque locata arteria ſit: ſed quia prior nimirum in ſupinis figuris motus ſub cutem fuit diſſipatus, tempus auctum diſtentionis, quantum viſus judicat, ſpeciem ſimul auget profunditatis. Atque haec quidem evidentia exempla aliaque id genus declarant diſtentionis primas partes effugere aciem. Quantum autem hoc in motu a viſu ſentitur, tantundem etiam in non violenta tactione in vehementibus certe pulſibus: nam in languidis quidem ſubinde minus. Siquidem in conſpicuo eſt

τρόπον τῆς ἐπαφῆς αἰσθέσθαι τῶν πρώτων τῆς διαστολῆς, ἀλλ᾽ οὐδ᾽ εἰ ψαύοις ἐπιπολῆς, οἷον αἰωρῶν τὴν χεῖρα. λοιπὸν οὖν, εἴπερ ἄρα, ἐν ταῖς θλιβούσαις ἐπιβολαῖς τῆς χειρὸς αἰσθέσθαι δυνατὸν τῶν πρώτων τῆς διαστολῆς. ἀλλ᾽ ὅτι γε μὴ κατὰ πάντας τοὺς σφυγμοὺς, ἀλλ᾽ εἴπερ οἷόν τε, κατὰ μόνους τοὺς σφοδροὺς, ἄντικρυς δῆλον, εἴ τι μεμνήμεθα τῶν εἰρημένων. τοῦτο μὲν δὴ ἡμῖν μέχρι τοσούτου προελήλυθε, τὸ μηκέτ᾽ ἄλλην τινὰ ἐπιβολὴν μήτ᾽ ἄλλον σφυγμὸν ὡμολογῆσθαι τὴν ἀρχὴν τῆς διαστολῆς αἰσθητὴν ἐγχωρεῖν ἐργάζεσθαι, πλὴν τῆς μετὰ θλίψεως ἐν τοῖς σφοδροῖς γινομένης, ἑξῆς δ᾽ ἴδωμεν, εἰ τοῦτ᾽ αὐτὸ τὸ ἐνδεχόμενον ὄντως ἀληθές ἐστιν, ἢ μόνον πιθανόν. ἐμοὶ μὲν γὰρ δοκεῖ κᾀν τούτοις διαφεύγειν ἔτι τὰ πρῶτα τῆς διαστολῆς, οὐ μὴν ὁμοίως γ᾽ ὥσπερ ἐπὶ τῶν ἄλλων σφυγμῶν, ἀλλὰ [119] παντελῶς ἐλάχιστον εἶναι τὸ λανθάνον. μάθοις δ᾽ ἂν, εἰ νοήσαις, ὡς ἀναγκαῖόν ἐστι τὴν ἐκ τῆς ἀρτηρίας ἀρχομένην κίνησιν διαδοθῆναι, πρώτοις μὲν τοῖς περικειμένοις σώμασιν, εἶτα τῷ δέρματι παντὶ, καὶ τότ᾽ ἤδη τοῖς ἡμετέροις δακτύλοις.

non esse eo attingendi modo primas distentionis partes sentiendas, ac ne si palpes quidem leniter, velut suspensa manu. Restat igitur, si modo possit, ut manibus cum compressione applicatis sentiri primae partes distentionis possint. Atqui non in omnibus pulsibus posse, sed, siquidem possint, tum in solis vehementibus, si quam memoriam habemus superiorum, plane testatum est. Ac hoc quidem hactenus ductum est, eo quod aliam manus applicationem nullam in confesso sit, nec alium pulsum (si a manus applicatione, quae compressione in vehementibus pulsibus obitur, discessum sit) distentionis initium offerre sensibus posse. Deinceps vero videamus, an id, quod praestari videtur posse, plane sit verum, an verisimile tantum. Equidem vel in his latere nos censeo distentionis principium, sed non perinde tamen atque aliis in pulsibus: verum esse quod fugiat quam minimum. Id intelliges, si cum animo tuo cogitaveris motum quem arteria orditur, impertiri necessario primum corporibus, quae illam cingunt, deinde universae cuti, tum digitis

Ed. Chart. VIII. [119.] Ed. Baf. III. (60.)

οὔκουν ἐνδέχεται παντάπασιν ἄχρονον εἶναι τὴν οὕτω γινομένην τῆς κινήσεως μετάληψιν. εἰ δὲ τοῦτ' ἀληθὲς εἴρηται, λανθάνειν ἀναγκαῖόν ἐστι τὴν ἀρχὴν τῆς κινήσεως. ἀλλὰ κἀκ τοῦ πολὺ μακροτέρας αἰσθάνεσθαι τὴν ἁφὴν τῆς μετὰ τὸ συνιζῆσαι τὴν ἀρτηρίαν πρὸ τοῦ διαστέλλεσθαι γιγνομένης ἡσυχίας ἤπερ τῆς μετὰ τὸ διασταλῆναι πρὸ τοῦ συνιζάνειν οὐκ ἀλόγως ἄν τις ὑπονοήσειεν, ἐκφευγόντων ἡμᾶς μορίων τινῶν τῆς ἐντὸς κινήσεως τοῦτο γίνεσθαι. δῆλον γὰρ, ὡς εἴπερ ἄληπτον τὸ πρῶτον τῆς διαστολῆς, εἴη ἂν καὶ τὸ τῆς συστολῆς ἔσχατον ἀδιάγνωστον. οὐ γὰρ ἄν ποτε πλείονος, ἢ μείζονος αἴσθοιτο κινήσεως κατὰ τὴν συστολὴν ἡ ἁφὴ, εἴ γε ἀσμενιστέον ἐστὶ κἂν τῆς ἴσης αἰσθέσθαι τῆς διαστολῆς. δηλοῦσι δὲ τοῦτο οἱ μηδόλως αὐτὴν αἰσθητὴν εἶναι λέγοντες, οὐκ ὀλίγοι τὸν ἀριθμὸν ὄντες, οὔτ' εὐκαταφρόνητοι κατὰ τὴν ἐν τῇ τέχνῃ τριβήν. ἡμεῖς δ', ὅτι μὲν αἰσθητὴ, καὶ πότε, μάλιστα φθάνομεν ἤδη δεδιδαχότες, συναπεδείξαμεν δὲ καὶ ὡς οὐκ ἐνδέχεται πλείονος αἰσθάνεσθαι κινήσεως τὴν ἁφὴν ἐν

nostris denique. Quamobrem non poteft in illa diftributione motus nihil poni temporis. Et fi hoc vere dictum eft, neceffe eft motus initium lateat. Imo etiam (quia tactus quietem percipit, quae poftquam confederit arteria, ante distentionem fit, multo illa quiete longiorem, quae a diftentione prius, quam confideat, fit) recte putes hoc eo confequi, quod interni motus nos aliquae praetereant partes. Neque enim hoc obscurum eft, fi initium deprehendi diftentionis non poteft, quin contractionis quoque incognitus finis fit. Etenim ampliorem nunquam, aut majorem motum in contractione fentiat arteria, praeclare enim agitur fcilicet, fi parem liceat ac in diftentione fentire. Teftes huic rei illi funt, qui plane illam negant percipi poffe fenfu: quorum numerus late patet, virorum fane in artis commentatione non contemnendorum. Nos vero fentiri illam et quando potiffimum, jamdudum docuimus, fimulque demonftravimus ampliori motui non effe tactum fentiendo in contractionibus, quam in diftentionibus, nifi fiat ut quantitas

ταῖς συστολαῖς ἤπερ ἐν ταῖς διαστολαῖς, πλὴν εἰ μεταβολή ποτε κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἢ τῆς συστολῆς γίγνοιτο. τοῦτο δ᾽ ἐν ταῖς συστηματικαῖς ἀνωμαλίαις συμβαίνει. κείσθω τοίνυν καὶ διὰ τὸ τῆς ἐντὸς ἠρεμίας μέγεθος ἐκφεύγειν τὴν αἴσθησίν ποτε τό τε τῆς συστολῆς πέρας καὶ τὴν τῆς διαστολῆς ἀρχὴν, καὶ ἡμῖν ἤδη καὶ τὸ ἕτερον τῶν ζητημάτων τὴν προσήκουσαν ἐχέτω τελευτήν. ἑξῆς γὰρ ἦν τῷ περὶ τῆς διαστολῆς, εἰ ἔστιν αἰσθητὴ πᾶσα, τὸ περὶ τῆς συστολῆς ὁμοίως ἐπισκέψασθαι. φαινόμεθα δ᾽ ἐξ ὧν περὶ τῆς διαστολῆς εἴπομεν ἤδη καὶ τὸν περὶ τῆς συστολῆς πεπληρωκέναι λόγον. εἰ γὰρ οὐκ ἐνδέχεται πλείονος αἰσθέσθαι κινήσεως ἐν ταῖς συστολαῖς, ἀλλ᾽ ἤτοι τῆς ἴσης τῇ κατὰ τὰς διαστολὰς, ἢ ὅπερ ἀληθὲς, ἐλάττονος, πάσης δ᾽ οὐκ αἰσθανόμεθα τῆς ἐν ταῖς διαστολαῖς, δῆλον ὡς οὐδὲ πάσης αἰσθανόμεθα τῆς ἐν ταῖς συστολαῖς.

Κεφ. θ΄. Λοιπῶν δ᾽ ὄντων δυοῖν προβλημάτων, τοῦ τε πόσον ἀναίσθητόν ἐστι τῆς διαστολῆς εἰπεῖν καὶ τοῦ πόσον τῆς συστολῆς, ἐοίκαμεν καὶ περὶ τούτων ἐξ ὧν εἰρη-

diſtentionis, vel contractionis incidat in mutationem, quod quidem in collectivis inaequalitatibus uſu venit. Age jam hoc conſtitutum etiam eſto, ſenſum aliquando ob internae quietis magnitudinem tum finem ſugere contractionis tum diſtentionis initium, ſicque jam altera nobis quaeſtio recte atque ordine eſto confecta. Nam quaeſtioni quam de diſtentione, an tota ſentiatur, habuimus proximum erat de contractione ſimiliter quaerere; ſed quum tractaverim de diſtentione, videor mihi etiam quod de contractione erat dicendum aſſecutus eſſe. Nam majorem motum ſi in contractionibus non ſentimus, ſed vel parem ac in diſtentionibus, vel quod verum eſt, minorem, omnem autem in diſtentionibus non percipimus, planum eſt nec totum nos in contractionibus ſenſuros.

Cap. X. Porro de duabus quaeſtionibus, quae etiam reſtabant, ut quanta diſtentionis pars non ſentiatur explicaremus et quanta contractionis, videmur ex antedictis ſum-

καμεν ἔχειν ἤδη τὸ καθόλου. τοσοῦτο γὰρ ἀναίσθητον τῆς διαστολῆς ὁ λόγος ἀπέδειξεν, ὅσον ἐν τῷ μεταξὺ γίγνεται τῆς τε πρώτης ὁρμῆς τοῦ κινεῖσθαι τὴν ἀρτηρίαν καὶ τοῦ διαδοθῆναι τὴν πληγὴν ἄχρι τῆς ἡμετέρας ἁφῆς. κατ' εἴδη [δὲ τέμνοντες αὐτὸ, πλεῖστον μὲν ἐν τοῖς ἀμυδροῖς τε ἅμα καὶ μεγάλοις εὑρήσομεν, ὧν ἐπιπολῆς ἐψαύομεν, ἐλάχιστον δ' ἐν τοῖς σφοδροῖς, οὓς θλίβοντες διεγινώσκομεν, μέσον δ' ἀμφοῖν ἐν ταῖς μέσαις ἐπιβολαῖς τῆς χειρὸς, κἀν ταύταις δὲ παρα τὸ σφοδρὸν ἢ οὐ σφοδρὸν εἶναι τὸν σφυγμὸν ἄνισον. ἐπειδή τοι ἴσον αἰσθανόμεθα τῆς συστολῆς, ὅσον περ καὶ τῆς διαστολῆς, ἢ βραχεῖ τινι μεῖον, εἴη ἂν καὶ τὸ τῆς συστολῆς ἀναίσθητον ἤτοι τοσοῦτον, ὅσον καὶ τὸ τῆς διαστολῆς, ἢ βραχεῖ τινι πλέον. τὰ μὲν οὖν πρῶτα ζητήματα καὶ οἱονεὶ στοιχεῖα τοῦ λόγου.

(Κεφ. ι'.) τὰ περὶ τῶν κυριωτάτων μερῶν τοῦ σφυγμοῦ σχεδὸν ἤδη τέλος ἔχει. τὰ γὰρ ὑπόλοιπα δύο κατά τι συμ[120]βεβηκὸς μᾶλλον, οὐ κυρίως οὐδὲ πρώτως ἐστὶ μόρια τοῦ σφυγμοῦ, ἥ τ' ἐντὸς καὶ ἡ ἐκτὸς ἡσυχία τῆς ἀρτηρίας.

mam jam confecuti. Tantam fcilicet partem oftendit oratio non fentiri diftentionis, quanta inter arteriae primum impetum motus et ictus usque ad noftrum tactum diftributionem intercedit. Quam fi fpeciatim diffecemus, plurimam in languidis fimul et magnis, quos tangimus leviter, reperiemus, minimam in vehementibus, quos comprimendo dignoscimus, mediam inter utramque in manus mediis applicationibus, in hisque prout vehemens erit, vel non vehemens pulfus, imparem. Jam quando tantam fentimus contractionis partem, quantam diftentionis, aut paulo minorem, erit etiam contractionis pars illa, quae non fentitur, par distentionis parti, aut aliquanto major. Habes de primis quaeftionibus et veluti elementis disputationis.

Cap. XI. Quae de pulfus principibus partibus dicenda erant, pene jam percurrimus, nam duae quae reliquae funt per accidens potius, non proprie, nec per fe partes pulfus funt, arteriae externa et interna quies; fed

ἐπεὶ δὲ καὶ διὰ τούτων προγινώσκεταί τινα, περὶ τῆς διαγνώσεως αὐτῶν ἀναγκαῖον εἰπεῖν. τὴν μὲν οὖν ἐκτὸς ἡσυχίαν ἁπλῶς ἐπιβάλλων τὴν χεῖρα μάλιστ᾽ ἂν γνωρίσαις πηλίκη τίς ἐστιν, ἢ εἰ καὶ θλίβειν ἐθέλοις ἐν τοῖς σφοδροῖς δηλονότι σφυγμοῖς, εἰς τοσοῦτον βιαζόμενος, εἰς ὅσον οὐδὲν κωλῦσαι τῆς κινήσεως· τὴν δὲ ἐντὸς εἰ θλίβοις εἰς ὅσον ἡ παροῦσα σφοδρότης ἐγχωρεῖ, μάλιστ᾽ ἂν οὕτως διαγνοίης. καὶ τὴν μὲν ἐκτὸς ἠρεμίαν ὅλην ἀκριβῶς διαγνώσῃ δεόντως ἁπτό(61)μενος, τὴν δ᾽ ἐντὸς, ὡς καὶ πρόσθεν εἴρηται, σὺν τοῖς ἀναισθήτοις μορίοις ἑκατέρας τῶν κινήσεων, τοῦ τε τῆς συστολῆς πέρατος καὶ τῆς ἀρχῆς τοῦ διαστέλλεσθαι. τὰς δ᾽ αἰτίας τούτων οὐ χαλεπὸν μὲν οὐδ᾽ αὐτῷ τινι τῶν ἐντυγχανόντων ἐξευρίσκειν, εἰ μὴ μάτην τῶν ἔμπροσθεν ἤκουσεν, εἰρήσονται δὲ καὶ πρὸς ἡμῶν οὐδὲν ἧττον διὰ βραχέων. ἐπεὶ τοίνυν οὐκ ἐνδέχεται γνῶναι, εἰ τοιαύτην τινὰ τὴν ἐκτὸς ἠρεμίαν ὁ σφυγμὸς ποιεῖται, μὴ συγχωρήσαντες κινηθῆναι τὴν ἀρτηρίαν ὡς ὅσον οἷόν τε, κωλύομεν δ᾽, ὅταν ἀμετρότερον ἐπιθλίβωμεν, δῆλον ὡς οὐκ ἄν ποτε σαφῶς αἰσθησόμεθα τοῦ ποσοῦ τῆς ἐκτὸς

quoniam quaedam denunciant, de iis dignoscendis operae pretium eſt ut verba faciamus. Ac externam quidem quietem, ſimpliciter manum admovens, maxime quanta ſit percipias, aut ſi premere etiam libeat, in vehementibus quidem pulſibus hactenus urgendo, ut ne motui obſis, internam autem ſi premas quoad tibi per praeſentem vehementiam liceat, ita maxime dignosces. Externam certe totam quietem, ſi ordine attingas, plane animadvertes, internam, quod etiam ante dictum eſt, una cum partibus, quae non poſſint ſentiri, utriusque motus, fine contractionis et initio diſtentionis. Quorum cauſas non magno negotio etiam quilibet inveniat, ſi attente auscultavit ſuperiora, faciam tamen ut ſummatim ipſe quoque explicem. Nam poſtea quam fieri non poſſit, ut cognoscamus, quantam pulſus externam quietem effecturus ſit, ſi moveri arteriam, quatenus poteſt, prohibeamus (prohibemus porro, ubi nimium comprimamus) profecto, quam magna ſit externa quies ſi praeterquam concedit nobis praeſens vehementia premamus,

ἠρεμίας, εἰ θλίβοιμεν ὑπὲρ τὴν παροῦσαν σφοδρότητα. ἀλλὰ ἴσως τις ἐρεῖ τὸ μὲν τῆς διαστολῆς μέγεθος θλιβόντων κωλύεσθαι, τὴν δὲ κίνησιν ἐμφαίνεσθαι μέχρι παντὸς, ἀπωθεῖσθαι γὰρ ὑπὸ τῆς ἀρτηρίας ἀνιούσης τὴν ἁφὴν, καὶ τότε παύεσθαι πρῶτον ὠθουμένην τε καὶ κινουμένην ὑπ᾽ αὐτῆς, ὅταν κἀκείνη παύσηται. τοῦτο δ᾽ ὅτι ψεῦδός ἐστιν ἐν τῷ καθόλου καὶ διορισμοῦ δεῖται, γνωσόμεθα ῥαδίως, ἂν τῶν ἔμπροσθεν ἀναμνησθῶμεν, ἡνίκ᾽ ἐλέγομεν, ὡς κινουμένην τὴν ἀρτηρίαν ἐνίοτε συμβαίνει μὴ συγκινεῖν ἑαυτῇ τὰ ἐπικείμενα, νικηθεῖσαν ὑπὸ τοῦ βάρους αὐτῶν. οὐκ οὖν οὐδ᾽ ὁπόταν πιέζωμεν, εὔλογόν ἐστιν ἄχρι τοσούτου χρόνου προϊέναι τὴν κίνησιν αὐτῆς αἰσθητὴν ἐν ἅπασι τοῖς σφυγμοῖς, εἰς ὅσον ἄθλιπτός τε καὶ ἀβίαστος οὖσα προΐῃ. ὥστε κινουμένης κατὰ τὸν ἑαυτῆς λόγον τῆς ἀρτηρίας ἡσυχάζειν πολλάκις ἡμῖν ἤδη δόξουσιν οἱ σφυγμοὶ, καὶ τοσούτῳ θᾶττον ἄρχεσθαι τῆς ἠρεμίας, ὅσῳ τῆς αἰσθητῆς κινήσεως ἠκολούθησαν. ἐπεὶ δ᾽ ὅσον ὠθεῖ τὴν ἁφὴν ὁ σφυγμὸς ἐν τῷ διαστέλλεσθαι τὴν ἀρτηρίαν, τοσοῦτον κἀν τῷ συστέλλεσθαι γίγνεται τὸ αἰσθητὸν, ἀνάγκη πᾶσα μηδὲ τῶν πρώτων μορίων τῆς συστολῆς

non percipiemus perfpicue unquam. At fortaffe dices distentionis magnitudinem compreffione prohiberi, motum tamen perpetuo apparere, rejici enim ab ascendente arteria tactum, ibique defiftere primum impelli ab ea moverique, ubi illa fimul quieverit. Sed hoc falfum effe, fi univerfe dicatur, ac requirere diftinctionem facile perfpiciemus, fi quid priorum meminimus, quum diceremus, arteria dum movetur, fieri interim ut fecum incumbentia fibi corpora non moveat, eorum oppreffa pondere. Quare nec quum premamus ratio dictat tam diu fenfum durare ejus motus in omnibus pulfibus, quamdiu, quum non premeretur, vel urgeretur, progrediebatur. Proinde quum arteria fua ipfius ratione movetur, quiescere jam nos fubinde arbitrabimur pulfus, atque eo quietem ocyus ingredi, quo fenfibili motu prohibiti fuerunt. Quum vero quantum pulfus tactum in diftentione arteriae impellit, tantum, dum contrahitur, fentiatur, omnino neceffe eft, quum finis non fentiatur diften-

αἰσθάνεσθαι, ἀναισθήτων γενομένων τῶν ἐσχάτων τῆς διαστολῆς. πῶς οὖν δυνατὸν ἀκριβῶς διαγνῶναι τὴν ἐκτὸς ἠρεμίαν τὸν οὕτως ἁπτόμενον ὡς οὐκ ἐνδέχεται; μετρεῖν γὰρ δεῖ τὸ ποσὸν τῆς θλίψεως πρὸς τὴν ῥώμην τῆς ἀρτηρίας, εἰς τοσοῦτον θλίβοντας, εἰς ὅσον μηδὲν τῶν ἐσχάτων τῆς κινήσεως μορίων ἀναίσθητον ἔσται. δῆλον οὖν ὡς οὐκ ἐνδέχεται θλίβειν ἐν ἅπασιν, ἀλλ' ἐν τοῖς σφοδροῖς μόνοις, οὐδ' ἐν τούτοις εἰς τοσοῦτον, ὡς κινῆσαι τῷ βιαίῳ τῆς ἐπιβολῆς τὴν ῥώμην τῆς ἀρτηρίας. ἀσφαλέστατον οὖν, ὅταν τὴν ἐκτὸς ἡσυχίαν διαγινώσκειν ἐθέλῃς, ἀβιάστως ἐπιβάλλειν τὴν ἁφήν· τὴν δ' ἐντὸς ἐκ τῶν ἐναντίων, εἰ μὴ βιάζοιο καὶ θλίβοις, οὐκ ἂν γνωρίσαις. ἀκολουθῆσαι γὰρ δεῖ τὴν ἁφὴν μέχρι παντὸς συστελλομένῃ τῇ ἀρτηρίᾳ, θλίβειν δ' ἐν τοῖς σφοδροῖς μόνοις ἐγχωρεῖ. δῆλον οὖν ὡς καὶ ἐν τούτοις μόνοις διαγνωρίσει τὴν ἐντὸς ἡσυχίαν, οὐ μὴν οὐδ' ἐν τούτοις ἀκριβῶς, ἀλλὰ πολλάκις μὲν συχνῷ μείζονος ἤπερ ὄντως ἐστὶ, πολλάκις δ' ὀλίγῳ μὲν, ὅμως δ' οὖν ἔτι μείζονος αὐτῆς ἐπαισθήσει. προσέρχονται γὰρ ἐξ ἀνάγκης δύο χρόνοι τῶν ἀναισθήτων μορίων ἑκατέρας τῶν κινήσεων, ὁ μὲν ἐπὶ πέρατι τῆς

tionis, nec contractionis initium fentiri. Qui ergo non convenienter tangit, quomodo dignoscere plane externam quietem poffit? Nam quantitas compreffionis ad robur metienda arteriae eft, ut eatenus comprimamus, quatenus extrema motus pars nulla fenfum effugiat. Unde conftat non effe in quibusvis premendum, fed folis in vehementibus: neque hic tamen adeo, ut vi applicatae manus arteriae fuperetur robur. Quare cautiffimum erit, ubi dignoscere externam quietem voles, citra ullam vim applicare tactum, contra internam, ni urgeas comprimasque, non cognoscas, nam contractioni arteriae conftantiffime tactus adhaerere debet, premere vero nifi in vehementibus non licet. Ita liquet in his etiam folis dignosci poffe internam quietem, imo ne hic quidem exacte, fed nunc multo majorem quam re vera eft, nunc paulo attamen adhuc eam majorem animadvertes. Neceffario enim duo ei tempora accedunt partium infenfibilium utriusque motus, et quod ad finem contractio-

συστολῆς, ὁ δ᾽ ἐν ἀρχῇ τῆς διαστολῆς, ὧν ἄλλοτ᾽ ἄλλο μῆκος ἐχόντων, ὡς ἔμπροσθεν ἐδείξαμεν, οὔτ᾽ ἴσον ἀεὶ τὸ προσιὸν ἔσται τῷ χρόνῳ τῆς ἐντὸς ἡσυχίας οὔτ᾽ ἀκριβὴς ποθ᾽ ἡ διάγνωσις.

nis eſt et quod in principio diſtentionis: quae quum aliam alias longitudinem habeant, ut ante explicavimus, neque parem ſemper acceſſionem tempus internae quietis habebit, neque exacte unquam dignoscetur.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Β.

Ed. Chart. VIII. [121.] Ed. Baf. III. (61.)

Κεφ. α'. Ὅπως μὲν οὖν χρὴ τὰ μέρη τοῦ σφυγμοῦ διαγινώσκειν ἐν τῷ πρὸ τοῦδε λόγῳ δεδήλωται· ὡς δ' ἄν τις καὶ τὰ τοῖς μέρεσιν αὐτοῖς ὑπάρχοντα γνωρίζειν ἱκανὸς εἴη, νῦν ἐροῦμεν, ἀπὸ τοῦ τῆς διαστολῆς ἀρξάμενοι λόγου. καὶ γὰρ κυριώτατον τοῦτο τῶν τοῦ σφυγμοῦ μερῶν καὶ πλείστην μὲν ἔχον τὴν ποικιλίαν τῆς διαγνώσεως, πλείστην δὲ τῆς δι' ἑαυτοῦ προγνώσεως τὴν χρείαν. ὄντων δὲ πλειόνων τῶν ὑπαρχόντων ταῖς διαστολαῖς, κυριώτατον ἁπάντων καὶ κατὰ τὸν

GALENI DE DIGNOSCENDIS PVLSIBVS LIBER II.

Cap. I. Superiore commentario de partibus pulſuum dignoscendis egimus: nunc explicabimus rationem, qua in partibus ipſis, quae inſunt, poſſis perſpicere, adeoque initio ducto orationis a diſtentione, quod maxime princeps haec pulſus partium ſit et plurimam habeat cognitionis varietatem, plurimum etiam ad praeſagiendum ex ſe praeſtet uſum. Nam quando complura ſunt, quae diſtentionibus inſunt, praeter caetera eſt peculiaris proprieque ad

τῆς οὐσίας τῶν σφυγμῶν μάλιστα λόγον ἡ κίνησίς ἐστιν. ἁπάσῃ δὲ κινήσει χρόνος τέ τις ἐν ᾧ γίνεται συμβέβηκε καὶ τάχος, ἢ βραδύτης, ἢ ὁμαλότης, ἢ ἀνωμαλία, καὶ πρὸς τούτοις ἔτι διάστημα καθ' οὗ φέρεται. περὶ τούτων οὖν πρῶτον λεγέσθω. καὶ γὰρ οὐδὲ δοκεῖ τοῖς πλείστοις τῶν ἰατρῶν ἑτέρα μὲν ἡ τοῦ χρόνου τῆς κινήσεως εἶναι διάγνωσις, ἑτέρα δ' ἡ τοῦ τάχους τε καὶ τῆς βραδύτητος. εἰ γὰρ γνωσθείη πόσος τίς ἐστιν ὁ χρόνος, εὐθὺς καὶ πότερα ὠκέως, ἢ βραδέως, ἢ συμμέτρως κεκίνηται, δῆλον ὑπάρχειν φασίν. ἐμοὶ δ' ἑτέρα μὲν ἡ τοῦ χρόνου φαίνεται διάγνωσις, ἄλλη δὲ ἡ κατὰ βραδύτητα καὶ τάχος. οὐ γὰρ εἰ βραχύτερος ὁ τῆς κινήσεως εἴη χρόνος, ἤδη καὶ τὸν σφυγμὸν ὠκύτερον εἶναί φημι. τὴν δ' ἀπάτην τοῖς οὕτως ὑπολαμβάνουσιν ἐκ τοῦ κατὰ τὸν ταχὺν καὶ βραδὺν σφυγμὸν ὅρου νομίζω γεγονέναι, ὃς, ἐὰν μὲν τοῦθ' ὃ νοοῦσιν οὗτοι δηλοῖ, μοχθηρός ἐστιν, εἰ δ' ὡς ἡμεῖς ἀκούομεν, ὁ μὲν ὅρος ὀρθὸς, οὗτοι δ' οὐ συνιᾶσιν αὐτοῦ. λέγει μὲν γὰρ ὁ ὅρος, ταχὺν εἶναι σφυγμον τὸν ἐν ὀλίγῳ χρόνῳ τὴν κίνησιν περιγράφοντα καὶ βραδὺν τὸν ἐν πολλῷ. τοῦ δ' ὀλίγου καὶ τοῦ πολλοῦ πρός τι λεγο-

eas ex ratione fubftantiae pulfuum motus pertinet. Omnis porro motus tempus habet quo fit, et celeritatem, vel tarditatem et aequalitatem, vel inaequalitatem, ad haec ubi feratur fpatium. Quare de his dicamus primum. Neque enim putavit medicorum maxima pars, diftinctam rationem effe tempus motus dignoscendi et celeritatis tarditatisque; nam fi quantum tempus eft, perfpectum fit, ftatim etiam cemerne, an tardus, an moderatus motus fit, planum ajunt effe. Mihi vero aliter tempus videtur dignosci, aliter tarditas et celeritas: neque enim fi motus fit brevius tempus, continuo pulfum dixero celeriorem effe. Sane quod illis impofuit, qui in illa opinione funt, ego definitionem effe celeris et tardi pulfus duco: quae fi ut illi accipiunt, ita fignificat, non valet; fin ut eam nos intelligimus, haec conftat, illi parum bene affequuntur. Definitio haec eft: celer pulfus eft qui pauco tempore motum finit, tardus qui multo. Nam quum paucum et multum ad aliquid refe-

μένων, οὗτοι μὲν οἴονται τοὺς τῶν σφυγμῶν χρόνους ἀλλήλοις παραβάλλεσθαι. [122] τὸ δ' ἀληθὲς οὐκ οὕτως ἔχει. πολλάκις γὰρ ἡ τοῦ μακρότερον τὸν χρόνον ἔχοντος σφυγμοῦ κίνησις ὠκυτέρα τῆς τὸν βραχύτερον ἐχούσης ἐστίν. καὶ τοῦτ' εἰ μή τις ἀκριβῶς διαγνοίη, πολλὰ καὶ μεγάλα τῶν ἐκ τῆς διὰ σφυγμῶν προγνώσεως εὑρισκομένων ἀγνοήσει. τοῖς μὲν οὖν ἡμῶν πεπειραμένοις ἐπ' αὐτῶν τῶν ἀῤῥώστων καὶ τόπους πεπονθότας πολλάκις εἰρηκότων, πρὶν γυμνῶσαι τὰ μέρη, καὶ τῶν ἐπιγινομένων τε καὶ προγεγονότων αἰτίων καὶ συμπτωμάτων ἕκαστον οἶδ' ὅτι τῶν νῦν λεχθησομένων οὐδὲν ἄπιστον εἶναι δόξει. τὴν γὰρ ἀκριβεστάτην ἁπασῶν πίστεων ἐσχήκασιν οὗτοι διὰ τῆς τῶν προῤῥηθέντων ἀληθείας, τοῖς δ' ἄλλοις ἄπιστος τήν γε πρώτην ὁ λόγος φαίνεται καὶ θρασὺς, εἰ τοσούτους τε καὶ τοιούτους ἰατροὺς σφάλλεσθαι λέγοιμεν ἐν ταῖς τοῦ τάχους τε καὶ τῆς βραδύτητος διαγνώσεσιν. εἰ δ' ἀνάσχοιτό τις καὶ προσοῖτο τῶν νῦν λεγομένων ἐπακοῦσαι λόγων, οἶδ' ὅτι κἂν μὴ τελέως αὐτὸν πείσω πιστεύειν, ἀλλ' ἀποστήσω τοῦ παντάπασιν ἀπιστεῖν τοῖς λε-

rantur, hi pulfuum tempora inter fe mutuo arbitrantur conferri. At res fe ita non habet, quia motus longiore tempore praediti pulfus eft non raro velocior eo qui brevius obtinet. Sane multas res et praeclaras, quae ex praefagitione per pulfus aperiuntur, nifi hoc probe dignoscas, ignorabis. At qui quidem noftri fecerunt periculum, quum in ipfis aegrotis faepe locos affectos prius declararemus quam partes infpexiffemus, praeterea unamquamque caufam et fymptomata, quae confequebantur antecefferantque, his nihil, fat fcio, eorum quae nunc narrabo novum videbitur, nam hi habuerint fidem omnium certiffimam, adducti praedictorum veritate, aliis autem primo fuspecta erit oratio et temeraria videbitur, fi tot talesque medicos in pulfu celeri et tardo dignoscendo lapfos dicemus Quod fi quis fuftineat et animum inducat, quae dicam audire, profecto fi non omnino fidem faciam illi, eum dimovebo certe ne omnibus quae a me dicentur fidem deneget, neque enim quae apud

γομένοις. οὐ γὰρ οἷόν τε μεταπεῖσαι ῥαδίως περὶ τῶν ἐκ μακροῦ χρόνου παμπόλλοις ὡμολογημένων, καὶ μάλισθ᾽, ὅταν οὕτω παμπόλλης τε καὶ ἀκριβοῦς δέηται θεωρίας. καὶ εἰ τῇ θεωρίᾳ δέ τις αὐτῶν παρακολουθή(62)σειεν, ἀλλ᾽ ἵνα καὶ τῇ πείρᾳ γε κρίνῃ, παμπόλλης γε δεῖται κατὰ τὴν ἁφὴν τριβῆς. ὁ γοῦν μυρμηκίζων καλούμενος σφυγμὸς, ἀκριβοῦς αἰσθήσεως δεόμενος εἰς διάγνωσιν, ὡς ἂν εἰς ἐσχάτην ἀμυδρότητά τε καὶ μικρότητα καταπεπτωκὼς, τὴν ἀρχὴν ὅλως ἐστὶ λανθάνων τοὺς ἀγυμνάστους τὴν ἁφήν. ὥστε πολλάκις ἀσφύκτους εἶναι λέγουσι τοὺς ἀνθρώπους ἐφ᾽ ὧν ὁ τοιοῦτος εὑρίσκεται σφυγμός. εἰ τοίνυν τοῖς ταχὺν εἰποῦσιν αὐτὸν ἀντιλέγοιμι, καὶ πόθεν ἐσφάλην δεικνύοιμι, τίς ἄν μοι κριτὴς γένοιτο; τοὺς γὰρ μηδ᾽ εἰ τὴν ἀρχὴν ὁ σφυγμὸς οὗτος ὑπάρχει τῷ νοσοῦντι διαγνῶναι δυναμένους πῶς ἂν ποῖός τίς ἐστι διδάξαιμι; ταῦτ᾽ ἄρα καὶ λέγειν ὀκνῶ περὶ τῆς τοιαύτης θεωρίας. ἀρκεῖ γὰρ ἐπὶ τῶν ἔργων δεικνύναι τὴν ὕπαρξιν αὐτῆς. ἐπεὶ δ᾽, ὅπερ ἐλέχθη καὶ καταρχὰς, οὐ πρὸς τοὺς πολλοὺς ταῦτα τὰ γράμματα σύγκειται, ἀλλὰ τὸν ἕνα τῶν μυρίων

multos confeffa jamdiu et certa habita funt, de his facile eft quempiam abducere, idque maxime, quum adeo multam fpeculationem accuratamque poftulent. Quin fi fpeculatione etiam ea affequaris, ut experientia tamen aeftimes, omnino multum defideres tactum exercitatum. Nam pulfus, qui formicans appellatur, quum fenfum, quo dignoscatur, exactum quaerat, quippe qui in extremam recidat imbecillitatem parvitatemque, femel lateat in tangendo rudes adeo, ut homines frequenter confirment, in quibus talem pulfum animadvertunt, pulfum non habere. Itaque fi hos qui celerem eum defendunt effe refutem et unde factum fit declarem ut errarint, quemnam feram judicem? Nam eos qui ne hoc quidem dignoscere valent, adfitne omnino hic pulfus aegroto, qua ratione qualis fit docebo? Quamobrem non faciam, ut de iftiusmodi fpeculatione narrem, fatis eft enim, fi operibus comprobem effe eum. At vero quod initio teftati fumus, quia hosce libros vulgo non paramus, fed unum qui inftar fit mille expectant, commentationem ejus

ἄξιον ἀναμένει, δι᾽ ἐκεῖνον γραπτέον τοὺς λόγους, οἳ μυριάκις πρότερον ὡς ἀδύνατοί τε καὶ ἀλαζόνες προπηλακισθήσονται, πρὶν εἰς τὸν ἄξιον ἀφικέσθαι. δέομαι γὰρ ἐγὼ νῦν ἀκροατοῦ τινὸς, οἷος ἦν Ἀρχιγένης, ἵν᾽ εἴπω πρὸς αὐτὸν οὑτωσί· τί δή ποτ᾽, ὦ γενναιότατε, ταῦτα γράφεις ἐν τῷ περὶ σφυγμῶν σου γράμματι, περὶ τοῦ μυρμηκίζοντος σφυγμοῦ διαλεγόμενος ὡδί πως κατὰ λέξιν; σύνθετος δέ μοι δοκεῖ εἶναι ἐκ μικρότητος, ἀμυδρότητος, πυκνότητος, ἀναγκαίως δὲ καὶ ταχύτητος. οὐ γὰρ οἶδα τί σοι βούλεται τὸ πάντων ἔσχατον εἰρημένον. ὥστε τά γε πρὸ τούτου συνίημί τε καὶ ἀποδέχομαι παντὸς μᾶλλον ἀληθῆ τε ὄντα καί σοι πρέποντα. τὸ δ᾽ ἀναγκαίως ἐζεῦχθαι ταχύτητα τῷ μυρμηκίζοντι πῶς εἴρηται ζητῶ. πλέον γάρ ἐστι τοῦ ψιλῶς ῥηθέντος ἄν, χωρὶς τοῦ προσκεῖσθαι τὸ ἀναγκαίως. καὶ ἦν μὲν ἂν καὶ τοῦτο ψεῦδος. ἀλλ᾽ ἄνευ προσθήκης εἰρημένον ἐν μόνῃ τῇ τῆς ἁφῆς ἁμαρτίᾳ ἐφαίνετ᾽ ἂν ἔχειν τὴν ἀπάτην, τὸ δ᾽ ἀναγκαίως προσκείμενον λογικήν τιν᾽ ὑπόληψιν ἐμφαίνει. τίς οὖν ἐστιν αὕτη μαθεῖν ἐδεόμην. ἐγὼ μὲν γὰρ οὐδὲ μίαν ἀνάγκην ὁρῶ, δι᾽ ἣν ἄῤῥωστόν τε καὶ πυκνὴν

nomine fcriptis mandabimus, quae prius ut abfurda et infolentia fexcentis convitiis confcindentur quam incident in dignum. Talem vero ego in praefentia, qualis Archigenes erat, defiderem auditorem, ut ita hominem appellem: Quid tu haec tandem vir egregie in libro tuo de pulfibus fcribis, quum de pulfu formicante his verbis differis? Conftare mihi ex parvitate, imbecillitate, crebritate videtur et vero neceffario ex celeritate. Non enim extremum illud omnium fatis quid velit capio, nam priora affequor proboque veriffima effe et perfonam tuam decere: hoc vero, cum formicante conjunctam neceffario celeritatem effe, quomodo interpreteris quaero. Nam plus valet ac fi abfolute dictum fit, non addito neceffario: tamen fit mendacium nihilominus: fed fi nihil effet adjectum, error manaffe ex tactus offenfione videatur; nunc quando additum, neceffario, eft, rationalem prae fe fert aliquam fufpicionem. Quae autem haec fit difcere optarem. Equidem nullam video neceffitatem, qua adductus imbecillum, crebrum et parvum

καὶ μικρὰν κίνησιν εὐθὺς καὶ ταχεῖαν εἶναι νομιῶ. οὐδὲ γὰρ αὐτὸς ὁ μύρμηξ, ᾧ παρώνυμος ὁ σφυγμὸς, τῶν ὠκέως κινουμένων ἐστὶν, ἀλλὰ βραχείας μὲν αὐτοῦ καὶ ἀμυδρὰς καὶ πυκνὰς τὰς κινήσεις ὁρῶμεν, ὠκείας δὲ οὐδαμῶς. [123] τίνι γὰρ τούτων ἐξ ἀνάγκης ὠκύτης ἕπεται; πότερον τῇ ἀμυδρότητι; ἀλλὰ θαυμάζοιμ᾽ ἂν, εἴ τις τῶν ἄλλων ἁπάντων ἐπίσης ἐχόντων, διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως ὠκέως κινήσεται, τοὐναντίον γὰρ ἅπαν ἐπὶ τοῖς ἄλλοις ὡσαύτως ἔχουσιν ἡ ῥώμη τῆς δυνάμεως προσιοῦσα ταχεῖαν τὴν κίνησιν ἐργάζεται, ὡς κἀν τοῖς περὶ σφυγμῶν αἰτίοις ἀποδείκνυμεν. ἀλλ᾽ οὐδ᾽ ἡ πυκνότης αἰτία τοῦ τάχους. τίς γὰρ ἀνάγκη τὸν πυκνῶς Ἀθήνηθεν εἰς τὸν Πειραιᾶ πορευόμενον εὐθὺς καὶ τρέχειν; ἄλλαι μὲν γὰρ αἰτίαι τοῦ πυκνῶς τι πράττειν, ἄλλαι δὲ τοῦ ταχέως. ἀλλ᾽ ἴσως διὰ τὴν μικρότητά φησιν ἐξ ἀνάγκης εἶναι τὸν μυρμηκίζοντα σφυγμὸν ταχύν. τί γὰρ ἄλλο τις ἐπινοήσει; εὔλογον μὲν οὖν τό γε τοιοῦτον, εἰ δὲ καὶ ἀληθὲς ἤδη σκοποῦμεν. ἀναγκαῖον μὲν γάρ ἐστι τὴν ἀρτηρίαν κατὰ βραχυτάτης διαστάσεως φερομένην ἐλάττονα χρόνον ἀναλοῦν

motum ſtatim putem celerem eſſe. Neque vero ipſa, de qua nomen pulſus invenit, formica celeriter movetur: ſed breves ejus eſſe et languidos motus crebrosque conſpicimus: celeres autem nequaquam. Quam autem harum celeritas neceſſario comitatur? imbecillitatemne? imo vero mirabor, ſi quicquam, quum caetera omnino pari momento ſint, ob virium imbecillitatem movebitur velociter, quum plane contra aliis ſimili in ſorte poſitis robur facultatis conjunctum motum celerem reddat, quod in cauſis pulſuum oſtendimus. Quin nec crebritas cauſa celeritatis eſt, nam quis Athenis iter Piraeum crebro faciens continuo etiam currat neceſſario? etenim crebrae actionis aliae ſunt cauſae, aliae celeris. Sed parvitatem fortaſſe dicet eſſe in cauſa, cur neceſſario formicans pulſus celer ſit, nam quid aliud excogites? Habet ſane hoc certam quandam rationem, ſed verumne etiam ſit, hic quaerimus, nam ſieri non poteſt, quin arteria quae breviſſimo vehatur intervallo, minus conſumat

ἤπερ ὅτε κατὰ μεγίστης ἐφέρετο, οὐ μὴν ἥτις ἐν ὀλίγῳ χρόνῳ περιγράφεται κίνησις, ἀναγκαῖόν ἐστι ταύτην ὠκεῖαν εἶναι. τὴν οὖν ἐν πολλῷ χρόνῳ γινομένην ὠκεῖαν εἶναι λέγεις; ἴσως ἄν τις ἐπανέροιτο. ἐγὼ δ᾽ οὐ ταύτην φημί. καθόλου γὰρ οὐκ ἀξιῶ τοῦ χρόνου τὸ ποσὸν ἐπισκοπεῖσθαι μόνον, ἀλλὰ καὶ τῆς διαστάσεως. ὅταν οὖν ἐθέλῃς πυθέσθαι μου τὴν ἐν ὀλίγῳ χρόνῳ γινομένην κίνησιν, ὁποίαν τινὰ εἶναί φημι, πρόσθες εὐθέως τὸ ποσὸν τῆς διαστάσεως, ἵν᾽ ἀποκρίνω καί σοι. εἰ δὲ μὴ, ἀλλ᾽ ἐγὼ προσθήσω καὶ διωρισμένως ἐρῶ, τὰς ἐν ἐλάττονι χρόνῳ γινομένας κινήσεις οὐκ ἐξ ἅπαντος εἶναι τῶν ἐν πλέονι συντελουμένων ὠκυτέρας. ἀλλ᾽ εἰ μὲν ὁ αὐτὸς ὑπάρχει λόγος τῷ τε χρόνῳ πρὸς τὸν χρόνον καὶ τῇ διαστάσει πρὸς τὴν διάστασιν, ἰσοδρομοῦσιν· εἰ δ᾽ ἤτοι τοῦ χρόνου πρὸς τὸν χρόνον, ἢ τῆς διαστάσεως πρὸς τὴν διάστασιν ὁ λόγος μείζων γένοιτο, τὴν μὲν ὠκυτέραν οὕτως, τὴν δὲ βραδυτέραν ἔσεσθαί φημι κίνησιν. ἐμοὶ μὲν εἴρηται τὸ πᾶν· σὺ δ᾽ εἰ μὲν ἐνόησας, ἔχοι τάχ᾽ ἂν ἤδη τὴν προσήκουσαν ὁ λόγος τελευτήν· εἰ δ᾽ οὐκ ἐνόησας, ἐξηγήσομαί σοι διὰ

temporis quam quum feratur maximo, nihilo magis tamen qui pauco tempore motus circumfcribitur, fimul celer is necelfario erit. Quid tu, quaeres, num ergo, qui multo tempore fiat, elfe dicis celerem? Ego vero neque hunc dico, omnino enim non modo dico rationem habendam quantitatis temporis, fed et fpatii. Quum jam motum, qui pauco obitur tempore, de me quaeras, qualem dicam elfe, quo responfum tibi dem, continuo quantitatem fac fpatii addas. Si fupprimes, addam ego, atque diftincte dicam, cauteque motus, qui brevi tempore obeuntur, non elfe prorfus his citatiores, qui majore efficiuntur. At fi proportioni temporum fpatiorum respondeat proportio, neuter alterum antevertit; fi vero aut temporis ad tempus, aut intervalli ad intervallum major proportio fit, tum unum celeriorem fore, alterum tardiorem motum dico. Habes rem univerfam: quam tu fi es alfecutus, recte forfitan hic finem faciam orationis, fi non intellexifti, accipe prolixius quod paucis

μακροτέρων τὸ ταχέως εἰρημένον. ὅσαι μὲν ἐν ἴσοις χρόνοις ἴσα μήκη διέρχονται, κινήσεις ταύτας ἰσοχρόνους τε καὶ ἰσοδρόμους ὀνομάζομεν· ὅσαι δ᾽ ἐν ἴσῳ μὲν χρόνῳ, μείζονα δ᾽ ἀνύουσι διαστήματα, ταύτας ὠκυτέρας. ὁμοίως δὲ καὶ ὅσαι διάστημα μὲν ἴσον, ἐλάττονι δὲ χρόνῳ. παραδείγματος δ᾽ ἕνεκα δύο τινὲς ἄνθρωποι σταδίους πεντήκοντα διερχέσθωσαν ὥρᾳ μιᾷ, ἰσοδρόμους ἂν εἴποις τοὺς τοιούτους· εἰ δ᾽ ὁ μὲν ἕτερος ὥρᾳ μιᾷ διανύσειεν, ὁ δ᾽ ἕτερος τριάκοντα, δῆλον ὡς θᾶττον ἂν εἴη κινούμενος ὁ πρότερος ὁ τὴν μείζονα διάστασιν ἐν ἴσῳ χρόνῳ διελθών. εἰ δὲ τοὺς πεντήκοντα σταδίους ὁ μὲν ὥρᾳ μιᾷ, ὁ δὲ τρισὶν εἰ οὕτως ἔτυχε διέλθοι, δῆλον ὡς ὁ πρότερος ὠκύτερος, εἴ γε τὸ ἴσον διάστημα θᾶττον ἤνυσεν. ἐν μὲν δὴ τούτοις οὐδὲν ἀσαφές. ἴσως δ᾽ ἐν τοῖς ἐφεξῆς, ἄν γε μὴ προσέχωσι τὸν νοῦν· προσέχουσι δὲ κἀκεῖνα παραπλησίως τούτοις ἔσται σαφῆ. ποιήσωμεν γὰρ δυοῖν τινων κινήσεων τὴν μὲν ἐν ὥρᾳ μιᾷ πεντήκοντα, τὴν δ᾽ ἐν τρισὶν ἑκατὸν πεντήκοντα διανύουσαν σταδίους. ἆρα οὖν καὶ ταύτας ἂν εἴποιμεν ἰσοδρόμους; πάνυ μὲν οὖν. εἰ γὰρ ἡ τοὺς πεντήκοντα κινηθεῖσα σταδίους ἐν ὥρᾳ μιᾷ

perſtrinxi. Qui pari tempore par ſpatium conficiunt, motus hos appellamus aeque diuturnos et celeres, qui vero pari tempore majora intervalla emetiuntur, hos celeriores: haud aliter qui par ſpatium, ſed minore tempore. Atque exempli gratia, duo quidam homines ſtadia quinquaginta una hora percurrant, aeque veloces hos dixeris. Sin alter una hora haec confecerit, alter triginta horis, liquet celerius ſe priorem moviſſe, qui majus pari tempore ſpatium percurrerit. At vero ſi quinquaginta ſtadia hic una hora, alter tribus perficiat, plane prior celerior eſt, ſi quidem par ſpatium confecit citius. Nihil ſic difficultatis ineſt, ſed poſthac erit fortaſſe, niſi animum intendas: nam nihilo ſecius attendentibus illa non ſecus atque haec aperta erunt. Ergo faciamus in duobus motibus alterum una hora quinquaginta conficere ſtadia, quid hos, nonne aeque celeres eſſe dicemus? Verum. Nam ſi ille, qui confecerat una hora,

ταῖς τρισὶν ἔτυχε κινουμένη, πάντως ἂν που καὶ αὕτη πρὸς τοὺς πεντήκοντα τοὺς ἑκατὸν ἐκινήθη. καὶ εἰ τούτους ἐν τρισὶν ὥραις κινουμένη μιᾷ μόνον ὥρᾳ κινηθεῖσα ἔτυχε, πάντως ἂν καὶ ἥδε τοὺς πεντήκοντα μόνους ἐκινήθη. ὥστ᾽ εἶεν ἂν ἰσόδρομοι αἱ ἐν ἴσοις χρόνοις ἴσα διαστήματα περαίνουσαι. προσέχειν οὖν δεῖ τοῖς τε τῶν διαστάσεων μήκεσι καὶ τοῖς τῶν χρόνων, ἵν᾽ εἰ μὲν ὃν ἔχει λόγον ἡ διάστασις πρὸς τὴν διάστασιν, τὸν αὐτὸν ὁ χρόνος ἔχοι πρὸς τὸν χρόνον, ἰσοδρόμους εἶναι λέγωμεν τὰς κινήσεις. [124] εἰ δ᾽ ἤτοι μεῖζον ἔχοι τὸ διάστημα πρὸς τὸ διάστημα ἤπερ ὁ χρόνος πρὸς τὸν χρόνον, ἢ ὁ χρόνος πρὸς τὸν χρόνον ἤπερ ἡ διάστασις πρὸς τὴν διάστασιν, μηκέτι ἰσοδρόμους αὐτὰς εἶναι νομίζωμεν. ἔστω γὰρ ἡ μὲν διάστασις τῆς διαστάσεως τετραπλάσιος, ὁ δὲ χρόνος τοῦ χρόνου διπλάσιος· δῆλον ὡς μείζονα λόγον ἡ διάστασις ἕξει πρὸς τὴν διάστασιν ἤπερ χρόνος πρὸς τὸν χρόνον, καὶ οὕτως γένοιτ᾽ ἂν ἡ ἑτέρα τῶν κινήσεων ὠκυτέρα. φέρε γὰρ εἶναι τῆς μὲν τὴν διάστασιν τετρακοσίων πηχέων, τῆς δὲ ἑκατὸν, τὸν δὲ χρό-

ſtadia quinquaginta, tres ſit horas motus, omnino etiam ſupra quinquaginta confeciſſet centum. Si item qui tribus horis haec percurreret, unam tantum horam fuiſſet motus, hic ſcilicet quoque quinquaginta ſola progreſſus esset. Sic aeque erunt celeres qui paria ſpatia paribus temporibus obeunt. Quare advertendae ſpatiorum ſunt longitudines et temporum, ut ſi quomodo ſpatium ſpatio, ita tempori respondeat tempus, aeque celeres eſſe dicamus motus. Si vero majorem proportionem habet ſpatium ad ſpatium quam tempus ad tempus, vel tempus ad tempus quam ſpatium ad ſpatium, non amplius aeque celeres hos motus eſſe exiſtimamus. Nam ſit ſpatium ſpatii quadruplum, tempus vero temporis duplum, certum eſt ſpatii proportionem ad ſpatium majorem eſſe quam temporis ad tempus. Itaque alter motus velocior erit. Jam illius eſto ſpatium cubitorum quadringentorum, hujus centum, ac tempus

νον τῆς προτέρας μὲν δυοῖν, τῆς δ᾽ ἑτέρας μιᾶς ὥρας, εἰ τοίνυν ἡ μὲν ἑτέρα τῶν κινήσεων ἐν δυοῖν ὥραις τετρακοσίους διῆλθε πήχεις, ἡ δ᾽ ἑτέρα ἐν μιᾷ τοὺς ἑκατὸν, δῆλον ὡς, ἐὰν μὲν τὴν προτέραν τοὺς ἑκατὸν μόνους κινουμένην νοήσωμεν, ἐν ὥρας ἡμίσει μέρει κινηθήσεται. καὶ οὕτως ὠκυτέρα τῆς δευτέρας γενήσεται, τὴν ἴσην διάστασιν ἐν ἐλάττονι χρόνῳ κινηθεῖσα. ἐὰν δὲ τὴν δευτέραν τοὺς τετρακοσίους νοήσωμεν κινουμένην, τεττάρων ὡρῶν αὕτη δεήσει, καὶ (63) οὕτως ἔσται βραδυτέρα τῆς προτέρας, εἴ γε τὸ ἴσον διάστημα πλέονι χρόνῳ κινήσεται. φανερὸν οὖν ὡς, ὅταν ἡ διάστασις τῇ διαστάσει παραβαλλομένη μείζονα λόγον ἔχῃ, τῷ χρόνῳ τοῦ χρόνου παραμετρουμένου τὴν τοιαύτην κίνησιν ὠκυτέραν ἀναγκαῖον ὑπάρχειν· εἰ δ᾽ ἔμπαλιν ἡ τῆς προτέρας κινήσεως διάστασις πρὸς τὴν τῆς δευτέρας ἐλάττονα λόγον εἶχεν ἤπερ ὁ χρόνος πρὸς τὸν χρόνον, ἀναγκαῖον ἂν ἦν τὴν προτέραν εἶναι βραδυτέραν. εἰρήσεται δὲ καὶ αὐτοῦ τούτου παράδειγμα. νόησον γάρ μοι τῆς προτέρας κινήσεως τὸ μὲν διάστημα τοῦ τῆς δευτέρας διαστήματος εἶναι διπλάσιον, τὸν δὲ χρόνον τοῦ χρόνου

prioris duarum, alterius unius horae, fi jam duabus horis alter motus cubita quadringenta confecerit, alter centum una, conftat, fi priorem centum tantum cubita moveri fingamus, hora dimidia confecturum: itaque altero erit celerior, quod par fpatium breviori tempore emenfus fit. Si vero fecundum quadraginta faciamus progredi, quatuor hic horas requiret, quo nomine erit priore tardior, quippe par fpatium percurret longiore tempore. In confpicuo igitur eft, ubi fpatii cum fpatio collati major fit proportio quam temporis comparati cum tempore, eum motum neceffario celeriorem effe. Contra fi prioris motus fpatium minorem habeat proportionem ad fpatium alterius quam tempus ad tempus, priorem neceffe fit tardiorem effe. Atque hujus etiam exemplum proponam. Fac mihi prioris motus fpatium fpatii fecundi motus duplum effe, tempus autem temporis quadruplum. Si jam prior quatuor cubita progrediatur quatuor horis, alter una hora duo, planum eft, fi duo

τετραπλάσιον, ὥστ᾽ εἰ τύχοι τὴν μὲν προτέραν τέτταρας πήχεις τέτταρσιν ὥραις κινεῖσθαι, τὴν λοιπὴν δὲ δύο πήχεις ὥρᾳ μιᾷ, δῆλον ὡς, ἐὰν τὴν προτέραν τοὺς δύο μόνους πήχεις νοήσωμεν κινουμένην, δυοῖν ὥραιν κινήσετ᾽ ἄν, καὶ οὕτως ἔσται τῆς δευτέρας τῆς τοὺς αὐτοὺς δύο πήχεις ὥρᾳ μιᾷ κινουμένης βραδυτέρα. ἂν θ᾽ ἡ δευτέρα τοὺς τέτταρας πήχεις κινηθῇ, δυοῖν ὥραιν κινηθήσεται, καὶ οὕτως ἔσται τῆς τοὺς τέσσαρας τέσσαρσι κινουμένης ὠκυτέρα. τὸ γὰρ ἴσον διάστημα θᾶττον ἀνύσει. τούτου τοίνυν ὑποκειμένου, δύο τινὰς ἐννοήσωμεν ἤδη σφυγμοὺς ἀνίσους τῆς εἰς ὕψος ἀνόδου. ταύτης γὰρ μάλιστα τῆς διαστάσεως εἰς τὸν λόγον δεόμεθα, καὶ ποιήσωμεν εἰ βούλει παραδείγματος ἕνεκα τὸ μὲν βάθος τοῦ βάθους δεκαπλάσιον, τὸν δὲ χρόνον τοῦ χρόνου διπλάσιον· ἆρ᾽ οὐ φανερῶς ἡμῖν, εἴ τι μεμνήμεθα τῶν προειρημένων, ὁ σφυγμὸς ὁ δεκαπλάσιον ἔχων τὸ ὕψος ὠκύτερος ἔσται πολὺ θατέρου; εἰ γὰρ τὴν αὐτὴν κίνησιν διαφυλάττων ὁ ταπεινὸς δεκάκις αὐξηθείη κατὰ τὴν τοῦ βάθους διάστασιν, ὁμοίως μὲν ὑψηλὸς γενήσεται θατέρῳ, χρόνῳ δὲ πολλῷ πλέονι ἢ κατ᾽ ἐκεῖνον. εὑρέθη τοίνυν ταπεινός τις σφυγμὸς βραχυχρόνιος ὑψηλοῦ πολυχρονίου βραδύτερος, καὶ τοῦτ᾽ ἦν τὸ

tantum cubita priorem fingamus progredi, duabus ea horis confecturum, quo tardior altero erit, qui eadem duo cubita percurreret una hora: et alterum, fi quatuor cubita emetiatur, duabus id horis facturum, unde illo, qui quatuor cubita quatuor progreffus horis eft, velocior erit, fi quidem par fpatium ocyus confecerit. Quo quidem conftituto, duos jam fingamus afcenfu impares pulfus, nam hanc in primis dimenfionem in hac difputatione quaerimus, ac faciamus, fi lubet, exempli gratia, effe profunditatem profunditatis decuplam et tempus temporis duplum, nonne aperte perfpicies, modo fuperiorum memineris, pulfum cujus decupla eft altitudo multo fore altero celeriorem? Nam humilis, fi in eodem conftans motu, decuplo in profunditatis dimenfione increverit, fiet ille quidem aeque ac alter altus, fed tempore longe majore quam ille. Inventus igitur quidam eft humilis pulfus brevi tempore durans, qui alto diu-

Ed. Chart. VIII. [124. 125.] Ed. Baf. III. (63.)

λεγόμενον ἐξ ἀρχῆς, ὡς ἑτέρα μὲν ἡ τοῦ χρόνου τῆς κινήσεως, ἑτέρα δ' ἡ τοῦ χρόνου τοῦ τάχους ἐστὶ διάγνωσις. ἀλλ' ἴσως μέχρι μὲν λόγου ἐπινοεῖται ταῦτα, ταῖς δ' ἀληθείαις οὐ φαίνεται. καὶ μὴν εἰ παραβάλλοις ἀκμάζοντος ὑγιαίνοντος σφυγμὸν παιδὸς σφυγμῷ μυρμηκίζοντι, δεκαπλασίαν τὴν εἰς ὕψος εὑρήσεις ἄνοδον. εἰ δέ γε τὸν αὐτὸν τοῦτον ἀκμάζοντα διαθερμήνας μετρίως, ἢ λουτροῖς, ἢ τρίψεσιν, ἢ γυμνασίοις εἰς θυμόν τινα καὶ ἀγανάκτησιν ἐμβάλλοις, οὐ δεκαπλάσιον, ἀλλὰ πέντε καὶ δεκαπλάσιον εὑρήσεις αὐτοῦ τὸ ὕψος τῆς κατὰ τὸν ἐν τῷ παιδὶ μυρμηκίζοντα σφυγμὸν ταπεινῆς διαστάσεως. ἀλλ' ὁ μὲν ἐν τῷ παιδὶ μυρμηκίζων ὑπὸ τῆς ἡλικίας ἐπιβοηθεῖται πρὸς τὸ μὴ παντελῶς βραδὺς εἶναι, τὸν δ' ἐν τῷ γέροντι μυρμηκίζοντα τίς ἂν εἰδὼς ἅπτεσθαι σφυγμοῦ [125] ταχὺν εἶναι λέγοι οὐ μᾶλλον ἢ τὸν σκωληκίζοντα; τούτου μέν γε βραδύτερος οὐκ οἶδ' εἴ τις ἄλλος ἐναργῶς φαίνεται σφυγμός. ὁ μὲν γὰρ μυρμηκίζων διὰ βραχύτητα τὴν ἐναργῆ διάγνωσιν ἐκπέφευγε, ὁ δὲ σκωληκίζων οὐδ' ἀσαφῶς ἐστι βραδὺς, ἀλλ' εἴπερ τις ἄλλος ἱκανῶς σαφής. τί δή ποτ' οὖν καὶ τοῦτον ἐν τοῖς ταχέσιν οἱ πλεῖστοι καταριθμοῦνται, εἰ μή τι

turno fit tardior, id quod eft, de quo initio agebatur, aliam rationem dignofcendi temporis effe motus, aliam temporis celeritatis. At enim haec verbotenus fortaffis finguntur, a vero autem abfunt. Imo fi juvenis valentis compares pulfum cum pueri formicante, decuplum afcenfum offendes. Quod fi hunc ipfum juvenem excalfacias moderate, vel balneis, vel frictionibus, exercitationibusve, ac tum bilem moveas illi, et ftomachum facias, non decuplam, fed quindecuplam ejus profunditatem inveneris humilis dimenfionis pulfus in puero formicantis. Verum in puero formicans, ne fit femel tardus, fubfidium ab aetate habet, at in fene formicantem, fi pulfum nofti tangere, celerem non magis dicas quam vermiculantem. Nam hoc haud fcio, an tardior clare ullus pulfus videatur. Formicans enim qua eft brevitate, apertam cognitionem fugit, vermiculans non obfcure quidem eft tardus, fed fi quis alius, abunde perfpicuus. Quid igitur inter celeres hunc qnoque plerique re-

Ed. Chart. VIII. [125.] Ed. Baf. III. (63.)
πρὸς τὸν μυρμηκίζοντα διασώζειν ὁμολογίαν βουληθέντες ὡς ὑπὲρ ἀναισθήτων ἑαυτῶν ἀποφαίνονται; μεταπιπτόντων γὰρ εἰς ἀλλήλους τῶν σφυγμῶν τούτων ῥᾳδίως καὶ τῆς μὲν τοῦ σκωληκίζοντος ῥᾳδίως ἐσχάτης καταπτώσεως τὸν μυρμηκίζοντα γεννώσης, τῆς δὲ τοῦ μυρμηκίζοντος πρώτης αὐξήσεως τὸν σκωληκίζοντα, φανερῶς ἄτοπον αὐτοῖς ἐδόκει ταχὺν μὲν εἰπεῖν τὸν ἕτερον αὐτῶν, βραδὺν δὲ τὸν ἕτερον. ἐπεὶ τοίνυν ἐτύγχανον οὐκ ὀρθῶς ταχὺν εἰρηκότες τὸν μυρμηκίζοντα, διὰ τοῦτ᾽ ἐξ ἀκολουθίας ὑπέμειναν οὕτω ψευδῶς τε καὶ φανερῶς ἐναργῆ μαχόμενον ὁμολογῆσαι τὸ καὶ τὸν σκωληκίζοντα ταχὺν εἶναι, καίτοι σκώληκος εἰκάζουσιν αὐτὸν πορείᾳ, καθάπερ τὸν μυρμηκίζοντα μύρμηκος, ὅρα πᾶς ὠκέων ζώων, εἶθ᾽ ἅμα μὲν οὕτως εἰκάζουσιν, ἅμα δὲ ταχεῖς εἶναί φασιν οὐκ αἰσθανόμενοι τῆς πρὸς ἑαυτοὺς μάχης. ἐπεὶ δ᾽ ἅπαξ εἰς τηλικαῦτ᾽ ἐνέπεσον ἁμαρτήματα καὶ τοὺς ἐπὶ ταῖς στομαχικαῖς διαθέσεσι σφυγμοὺς ἅπαντας ταχεῖς εἶναι λέγουσιν, οὐδ᾽ αὐτοὺς ἅπαντας ὄντας ταχεῖς, καὶ ἄλλους μυρίους, οὓς ἑτέρωθι μᾶλλον εἰπεῖν οἰκειότερόν ἐστιν.

ferunt, nifi confenfionem cum formicante ftudentes fervare eos non fentiri ftatuunt? Nam quando in fe facile hi pulfus mutuo convertuntur et vermiculantis facile extremus delapfus formicantem gignit, fimiliter primum formicantis incrementum vermiculantem, plane illi novum putaverunt, fi eorum alterum dicerent celerem, tardum alterum. Ac quia femel non probe celerem appellarunt formicantem, idcirco rem ex confequenti tam falfam, tam etiam plane diffonam fuftinuerunt admittere, vermiculantem etiam celerem effe. Et quidem vermis eum greffui comparant et formicantem item formicae, animantium vide quam velocium, et qui fimul ita comparant, fimul effe celeres contendunt, nec animadvertunt, quam fecum pugnent. Poftquam vero in tantos fe errores femel demiferunt, non dubitant etiam in ftomachicis affectibus confirmare omnes effe pulfus celeres, quum ne hi quidem fint celeres omnes, ac vero alios etiam fexcentos, de quibus alio loco dicere magis convenit.

ἅπαντα δ᾽ αὐτοῖς ἠκολούθησε τὰ τοιαῦτα σφάλματα διὰ τὸ τῆς ἐννοίας τοῦ τάχους ἀδιάρθρωτόν τε καὶ πάντη συγκεχυμένον. μόνῃ γὰρ τῇ βραχύτητι τοῦ χρόνου κρίνοντες τὸν ταχὺν σφυγμὸν, μὴ προσδιορίζοντες δὲ πῶς ἔχει μεγέθους, ἀφ᾽ ὧν ψευδῶς ἐδόξασαν, ἀπὸ τούτων ἐν τῇ διαγνώσει σφάλλονται. ἀλλ᾽ ἡμεῖς ἐπεδείξαμεν, οἶμαι, σαφῶς ἕτερον μὲν εἶναι τὸν ὀλιγοχρόνιον, ὡς ἄν τις οὕτω καλέσειε, σφυγμὸν, ἕτερον δὲ τὸν ταχύν. ὡσαύτως δὲ καὶ τῶν ἐναντίων αὐτοῖς ἕτερον μὲν τὸν πολυχρόνιον, ἕτερον δὲ τὸν βραδύν. ἴσως οὖν οἴει τὸ πᾶν ἤδη πεπληρῶσθαι τοῦ λόγου, καὶ γινώσκειν σαφῶς ὅτι ταχὺς σφυγμὸς βραδέος διενήνοχεν. ἐγὼ δ᾽ ηὐξάμην μὲν ἀποχωρῆσαι τῷ σκέμματι τοσοῦτον λόγον, οὐ μήν γ᾽ οὕτως ἔχει τἀληθὲς, ἀλλ᾽ ἔστι τὰ νῦν εἰρημένα προοίμιόν τι τῆς τοῦ ταχέος τε καὶ βραδέος σφυγμοῦ διαγνώσεως. ἐν ἅπαντι γὰρ τούτῳ τῷ προειρημένῳ λόγῳ παραβάλλοντες ἀλλήλαις δύο κινήσεις, τὴν μὲν βραδυτέραν, τὴν δ᾽ ὠκυτέραν ἀπεδείξαμεν, οὐ μὴν περί τε βραδείας καὶ ταχείας εἴπομέν τι. πάμπολυ δ᾽

Qui errores mutuo confecuti illos funt ob notionem non distributam, nec diftinctam celeritatis, prorfusque confufam. Nam quum illi de celeri pulfu ex fola temporis exiftimarent brevitate, neque etiam de ejus magnitudine ftatuerent, quae falfo illis in mentem venerant, haec in errorem ipfos in dignoscendo impulerunt. Sed nos clare, ni fallor, alium oftendimus brevi tempore durantem effe, ut fic appellem pulfum, alium celerem, fimiliter contrarios his alium diuturnum, alium tardum effe. Hic tu putas fortaffe abfolutam omnibus partibus effe disputationem, teque manifefto cognoscere, celerem pulfum differre a tardo. Ego vero nihil magis in votis habeam, quam ut de commentatione tanta disputatio detrahatur. At re vera ita non habet, fed eft habita oratio ad celerem pulfum et tardum dignoscendum, veluti quoddam praeludium. Nam per totam hanc quidem habitam orationem duobus inter fe motibus conferendis unum tardiorem effe, alterum celeriorem oftendimus: nusquam verba fecimus tamen de tardo et celeri. Sane quam-

ὅσον διενήνοχεν ἢ βραδυτέραν λέγειν κίνησιν, ἢ βραδεῖαν, καὶ αὖθις ὠκυτέραν, ἢ ὠκεῖαν. αὐτίκα τὸν μὲν εἰπόντα βραδυτέραν εἶναι τήνδε τὴν κίνησιν ἐπανερωτῶμεν ἥστινός φησιν αὐτὴν εἶναι βραδυτέραν· ἀεὶ γὰρ ἑτέρας ἡ βραδυτέρα λέγεται βραδυτέρα. τὸν δ' εἰπόντα βραδεῖαν εἶναι τήνδε τινὰ κίνησιν οὐκ ἔτ' ἐπανερωτῶμεν ἥστινος, ἢ γελοῖοι δόξομεν εἶναι. καὶ σφυγμὸν δ' εἰ φαίημεν εἶναι βραδύτερον, ἢ θάττονα, πάντως τις ἡμᾶς ἐρήσεται, τίνος βραδύτερον λέγομεν, ἢ τίνος θάττονα. βραδὺν δ' εἰπόντων, ἢ ταχὺν, οὐκέτ' οὐδεὶς ἐπανερωτᾷ τίνος. ἆρ' οὖν ὁ μὲν ταχὺς καὶ βραδὺς τῶν ἁπλῶς λεγομένων εἰσὶν, ὁ δὲ θάττων τε καὶ βραδύτερος τῶν ἕτερον; ἴσως μέν τις ἐκ προχείρου θήσει τοὖθ' ὡς ἀληθὲς, ἐμοὶ δ' οὐχ οὕτως ἔχειν δοκεῖ, ἀλλὰ παμπόλλης δεῖται σκέψεως τά τ' ἄλλα καὶ ὅτι κοινὴ πλειόνων πραγμάτων ἐστὶν ἡ τοιαύτη θεωρία. οὐ γὰρ δὴ περὶ ταχέος τε καὶ βραδέος, ἢ θάττονος καὶ βραδυτέρου διορίσασθαι χρὴ, [126] περὶ μεγάλου δὲ καὶ μικροῦ καὶ μείζονος καὶ μικροτέρου καὶ τῶν

plurimum intereft, tardiorem dicas motum an tardum, nec non celeriorem an celerem. Exempli gratia, fi quis aliquem dicat motum tardiorem effe, quaerimus, quonam dicat effe tardiorem eum, femper enim qui tardior eft, alio dicitur tardior: fin tardum dicat aliquem motum effe, haudquaquam interrogamus quonam, nam ridiculi habeamur. Sic fi pulfum tardiorem effe dicamus aut celeriorem, erit omnino qui de nobis, quonam tardiorem dicamus, vel celeriorem, requiret; fed tardum quum dicimus, vel celerem, nullus jam rogat quonam. Nunquid igitur celer et tardus abfoluto fermone proferuntur, at celerior vero tardiorque referuntur ad alterum? Sane hoc fortaffe quis prompte pro vero probabit. Mea vero longe alia ratio eft. Adeo multae eft res cogitationis deliberationisque, quum aliis de caufis, tum quod ad plures res pertinet ea fpeculatio, neque enim de celeri et tardo, vel celeriore et tardiore, diftincto et definito eft opus, de magno autem parvoque et majore atque minore aliisque quorum idem ufus eft negli-

ἄλλων τῶν οὕτω λεγομένων παραλιπεῖν, ἀλλ᾿ ἐπισκέψασθαι πότερα ταὐτόν ἐστι μείζονα φάναι καὶ μέγαν σφυγμὸν, καὶ μικρότερον αὖ καὶ μικρὸν, ἢ διαφέροντα πράγματα ὑπόκειν-ται τούτοις τοῖς ὀνόμασι. καὶ τὸν μὲν μείζονα νοοῦμεν ἀεὶ τοῦ μικροτέρου μείζονα, καὶ τὸν μικρότερον τοῦ μείζονος μικρότερον, τὸν μέγαν δ᾿ οὐδενὸς μέγαν, ἀλλ᾿ ἁπλῶς, ὥσπερ οὐδὲ τὸν μικρὸν οὐδενὸς μικρὸν, ἀλλ᾿ ἁπλῶς. τὰ δ᾿ αὐτὰ καὶ περὶ βραχυτέρου καὶ βραχέος καὶ μακροτέρου καὶ μακροῦ καὶ πλατυτέρου καὶ πλατέος καὶ στενοτέρου καὶ στε(64)νοῦ καὶ νὴ Δία μαλακωτέρου καὶ μαλακοῦ καὶ σκληροτέρου καὶ σκληροῦ καὶ τῶν ἄλλων ἁπάντων οὕτω λεγομένων ἄξιον διορίσασθαι. σχεδὸν γὰρ εἰς ὅλην τὴν ἰατρικὴν καὶ τὰς ἄλλας δὲ τέχνας ἁπάσας ἐκτείνεται τὸ σκέμμα. καὶ γὰρ θερμότερον λέγομεν καὶ θερμὸν καὶ ψυχρότερον καὶ ψυχρὸν καὶ ξηρότερον καὶ ξηρὸν καὶ ὑγρότερον καὶ ὑγρὸν, καὶ τό γ᾿ ἐπὶ πᾶσι τούτοις πλέον γε καὶ πολὺ, καὶ πάλιν ἔλαττόν γε καὶ ὀλίγον. ἐφ᾿ ἑνὸς οὖν τινος τὸν λόγον ὡς ἐπὶ παραδείγματος βασανίσαντες, εἰ μὲν τύχοιμεν εὑρόντες τι πλέον, οὕτως ἤδη κἀπὶ

gere par eſt. Imo attendendum eſt, perindene ſit, ſi majorem dicas ac magnum pulſum, et item minorem ac parvum, an diverſae res ſub his nominibus lateant. Majorem quidem ſemper accipimus minore majorem, atque minorem majore minorem, magnum vero nullo magnum, ſed abſolute, itemque parvum nullo parvum, caeterum abſolute. Eodem modo de breviore et brevi, longiore et longo, latiore atque lato, anguſtiore anguſtoque et hercle etiam de molliore et molli, duriore et duro, denique de omnibus aliis, quae in eum uſurpantur modum, diſtinctione eſt opus. Quippe haec conſideratio pene pertinet quum ad totam medicinam, tum vero ad alias artes omnes: etenim calidius dicimus et calidum, frigidius et frigidum, ſiccius et ſiccum, humidius et humidum, denique plus et multum, ſimiliterque minus et parum. Una igitur in re ſermonem pro exemplo explorabimus, ubi ſi indagando nobis quid profectum ſit, ad alia tum omnia viam et rationem hanc faciemus, ut traduca-

τἄλλα πάντα μεταφέρειν πειρασόμεθα τὴν μέθοδον, εἰ δ᾽ ἀπορήσομεν, αὐτὴν γοῦν τὴν ἀπορίαν ἐπὶ πάντα μετοίσομεν, καὶ δυοῖν θάτερον, ἢ χρησιμωτάτην εἰς πολλὰ μέθοδον ἐξευρήσομεν, ἢ τὴν οἴησιν τοῦ δοκεῖν γιγνώσκειν ἃ μὴ γινώσκομεν ἀποθησόμεθα. φέρε δὴ προκεχειρίσθω γὰρ ἡμῖν εἰς τὴν σκέψιν τό τε μέγα καὶ τὸ μικρὸν, ὅπῃ διαφέρει τοῦ μείζονός τε καὶ μικροτέρου. καὶ πρῶτον μὲν ἁπάντων τῶν κατὰ τὸν βίον λεγομένων, ἐν οἷσπερ εἰθίσμεθά τε καὶ τεθράμμεθα, τί νοοῦμεν τὸ μέγα καὶ τί τὸ μικρὸν, ἀναμνήσομεν αὑτούς. ἆρά γε περὶ τὸ μεῖζόν τε καὶ μικρῶν· ἢ μεῖζον μὲν οὐκ ἀνασχόμεθα τοῦ λέγοντος ἁπλῶς, εἰ μὴ προσθείη τὸ τίνος λέγει μεῖζον, μέγα δ᾽ ἁπλῶς αὐτοί τε λέγομεν καὶ τῶν ἄλλων ἀκούομεν ἄνευ προσθήκης; ἆρ᾽ οὖν τῶν καθ᾽ ἑαυτὰ λεγομένων ἐστὶ τὸ μέγα καὶ τὸ μικρόν; ἀλλ᾽ εἰ τοῦτο, πάντως δήπουθεν ἢ οὐσίας ἐστὶ δηλωτικὰ, ἢ ποιότητος, ἤ τινος τῶν κατὰ τὰς ἄλλας κατηγορίας λεγομένων. οὐσίας μὲν οὖν οὐκ ἔστι δηλωτικὰ, καθάπερ Σωκράτης ἢ Πλάτων ἢ ἵππος ἢ ἄνθρωπος, οὐ μὴν οὐδὲ ποιοῦ τινος, οὔτ᾽ οὖν σχήματος,

mus, ſin haereamus, ipſam etiam hanc haeſitationem transferemus ad omnia. Alterutrum quidem certe, aut viam rationemque invenerimus ad multa accommodiſſimam, aut inanem ſcientiae eorum perſuaſionem, quae ignoramus, depoſuerimus. Age jam ſumamus in manus magnum et parvum, ut expendamus, quatenus a majore et minore diſtent. Et primum de rebus omnibus mundi, in quibus quidem verſati ſumus et educati, quid intelligamus magnum et quid parvum, nobis ipſis ſubjiciamus: ſimili modo, quid majus et minus. Nonne majus, ut quisquam abſolute dicat, non ferimus, niſi addat, quo dicat majus, magnum autem abſoluto ſermone et ipſi proferimus et alios citra additionem audimus? Nunquid igitur per ſe dicuntur et abſoluto ſermone magnum et parvum? At ſi eſt, nimirum vel ſubſtantiam ſcilicet denotabunt, vel qualitatem, vel aliquod aliud praedicamentum? Atqui ſubſtantiam non ſignificant, ut Socrates, Plato, equus, homo. Nec vero etiam quali-

οὐδὲ χρώματος, οὐδὲ θέσεως, οὔτε διαπλάσεως, οὐδόλως οὐδενὸς τῶν οὕτω λεγομένων. ἀλλ' οὐδὲ τὸ ποῦ δηλοῦν πέφυκεν, ἢ τὸ πότε, οὐ μὴν οὐδὲ τὸ κεῖσθαι, ἢ ἔχειν, ἢ ποιεῖν, ἢ πάσχειν, ἀλλ' ἐν μόνοις αὐτὰ δεῖ ζητεῖν τοῖς κατὰ τὸ ποσὸν, ἢ πρός τι λεγομένοις. ἐὰν οὖν, ὥσπερ ὀλίγῳ πρόσθεν ἐφαίνετο, μὴ δοκῇ τῆς πρός τι κατηγορίας ἔχεσθαι, κατὰ τὴν τοῦ ποσοῦ ζητητέον αὐτά. καὶ μὴν ἀπορώτατόν ἐστιν ὁρίσαι πηλίκον χρὴ νοεῖν ἑκάτερον αὐτῶν, ἆρά γε τὸ μὲν σταδιαῖον μέγα, τὸ δὲ πηχυαῖον μικρόν. καὶ μὴν τὸ μὲν ὄρος μικρὸν λέγομεν, κἂν σταδιαῖον ᾖ, τὸν δὲ μύρμηκα μέγαν, πάμπολυ δηλονότι πήχεος ἀπολειπόμενον. ἀλλ' ἴσως φησί τις, ὅπερ τῶν ἡμετέρων ἑταίρων ἤρκεσέν τινι, ποσὸν μέν τι δηλοῦσθαι πρὸς αὐτῶν, οὐ μὴν ἀφωρισμένον γε τοῦτο, καθάπερ τὸ ποδιαῖον, ἀλλ' ὡς ἐκεῖνος ἔλεγεν, ἐν πλάτει τε καὶ ἀορίστως· ἆρ' οὖν ἔχομεν ὅροις περιλαβεῖν τὸ πλάτος αὐτῶν, ὥσπερ τῶν ἄλλων τῶν οὕτως λεγομένων οἷον χοροῦ καὶ πόλεως καὶ ὄρους καὶ στρατεύματος καὶ λίμνης; ἕκαστον γὰρ τούτων

tatem ullam, neque figuram igitur, neque colorem, neque pofitionem, neque conformationem et paucis nihil iftius generis. Quin nec ubi indicare vel quando poffint, nec item fitum, nec habitum, nec actionem, nec paffionem. Sed in illis haec folis funt quaerenda, quae in praedicamento quantitatis, aut ad aliquid funt. Atque fi, quae nuper noftra fententia erat, non videantur ad praedicamentum relationis pertinere, in quantitatis erunt quaerenda. Porro plenum eft difficultatis ftatuere, quantum intelligere utrunque oporteat, anne inftar ftadii magnum, et cubitale parvum. Atqui montem, etiam fi magnitudine fit ftadii, parvum dicimus, et formicam magnam, longe quidem cubito minorem. Dices fortaffe, quod familiari cuidam meo fatisfecit, quantitatem quidem ab iis fignificari, non certam tamen illam, ut pedale, caeterum ut ille dicebat, latam et indefinitam. Nunquid igitur finibus altitudinem eorum complecti poffumus, ut alia id genus, nimirum chori, civitatis, montis, exercitus, ftagni? quippe quae cum quantitate incerta om-

μετὰ ποσότητος ἀορίστου λέγεται. δυνατὸν μὲν εἰπεῖν, ὡς οὔτε τοὺς τρεῖς, ἢ τέτταρας χορευτὰς ἤδη νοοῦμεν χορὸν, οὐ μὴν οὐδὲ τοὺς μυρίους ἔτι· [127] καθάπερ οὐδὲ πόλιν, οὔτε τὴν ἐκ τριῶν οἰκιῶν συγκειμένην οὔτε τὴν εἰς χιλίους σταδίους ἐκτεταμένην, οὐδ᾽ ὄρος οὐ τὸ πηχυαῖον μόνον, ἀλλά τι μεῖζον, οὐδ᾽ αὖ πάλιν τὸ μέχρι τῆς σελήνης ἀνατεταμένον, οὔτε λίμνην συστατικὴν ὕδατος ἀμφορῶν τριῶν, οὐ μὴν οὐδ᾽ ὥστε τὴν γῆν ὅλην ἐπικλύζειν. ἑκάστου γὰρ τούτων εἰ καὶ μὴ δυνατὸν ἀκριβῶς ἀφορίσαι τὸ ποσὸν, ἀλλ᾽ ἐξευρεῖν γε δυνατὸν πολλὰ σώματα παντελῶς ἐκπεπτωκότα τῆς νοήσεως αὐτῶν ἐφ᾽ ἑκάτερον, τὰ μὲν τῷ μηδέπω, τὰ δὲ τῷ μηκέτι εἶναι τηλικαῦτα.

Κεφ. β΄. Τίνες οὖν ὅροι τῷ μεγάλῳ τε καὶ σμικρῷ, καθάπερ ἑκάστῳ τῶν εἰρημένων, οὐκ ἔχομεν εἰπεῖν, ἀλλ᾽ εἰς τοσοῦτον ἔτι πλάτος ἡ νόησις ἐκτέταται τοῦ μεγάλου, ὥστε καὶ αὐτοῦ τοῦ κόσμου παντὸς εἰπεῖν, εἴ τι μεῖζον δύναιτό τις νοῆσαι, καὶ τοῦτο δέξεται τὴν τοῦ μεγάλου κατηγορίαν. ἀλλὰ καὶ μύρμηξ καὶ κώνωψ καὶ κέγχρος καὶ εἴ τι τούτου

nia dicantur. Poffumus dicere non tres nos, aut quatuor faltatores chorum intelligere, non tamen jam mille: nec etiam civitatem, fi qua tribus conftet domibus, nec quae mille ftadiis exporrecta eft: neque montem, qui cubitalis fit, fed qui major, neque tamen qui lunam attingat: neque ftagnum collectionem aquae trium amphorarum, non tamen ut univerfam terram inundet. Nam uniuscujusque horum quanquam adamuffim nequeas quantitatem conftituere, multa tamen invenias corpora, quae ab eorum notione utrinque deflexerunt, haec quod nondum, illa quod non amplius fint talia.

Cap. II. Qui ergo termini magno et parvo ftatuantur, ut commemoratis omnibus, non eft quid dicamus; imo vero adeo intelligentia patet late magni, ut ipfo etiam univerfo mundo, verbi gratia, fi quid excogitari majus poffit, hoc magni fit obtenturum nomen. Nihilominus formica, culex, milium, et fi quod hoc minus fit animal, vel gra-

Ed. Chart. VIII. [127.] Ed. Baf. III. (64.)

μικρότερον εἴη ζῶον, ἢ σπέρμα, δέχεται τὴν τοῦ μεγάλου κατηγορίαν. οὐ γὰρ μύρμηξ μόνον, ἀλλὰ κέγχρος τις καὶ κώνωψ μέγας λέγεται. δῆλον οὖν τό γε τοσοῦτον, ὡς ἕκαστον τοῖς ὁμογενέσι παραβαλλόμενον ἢ μικρὸν, ἢ μέγα λέγομεν, ἁπλῶς δ᾽ οὐδέν. καὶ ταύτῃ διήνεγκε τὸ μεῖζον τοῦ μεγάλου, τὸ μὲν μεῖζον παντὸς τοῦ μικροτέρου δύνασθαι μεῖζον λέγεσθαι, τὸ μέγα δ᾽ οὐ παντὸς, οὗ τινος μεῖζον, ἀλλὰ τὸ μόνον τῶν ὁμογενῶν. οὕτω δὲ καὶ περὶ μικροτέρου καὶ μικροῦ χρὴ διορίζεσθαι καὶ περὶ ταχέος καὶ θάττονος καὶ βραδέος καὶ βραδυτέρου τὸν αὐτὸν τρόπον, εἴ γε καὶ ἵππος βραδὺς λέγεταί τις καὶ μύρμηξ ταχύς. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον ὠνομασμένων εὑρήσεις ἔν τε τοῖς τῶν σφυγμῶν γένεσιν ἅπασι καὶ κατὰ τὴν ὅλην ἰατρικήν. ἤδη δὲ καὶ κατὰ τὸν σύμπαντα βίον τῶν ἀνθρώπων καὶ σκληρὸν καὶ σκληρότερον καὶ μαλακὸν καὶ μαλακώτερον καὶ πυκνὸν καὶ πυκνότερον καὶ τἄλλα πάντα παραπλήσια τὰ μὲν πρὸς ἕτερον ὅ τι δήποτε παραβάλλεται, τὰ δὲ πρὸς μόνα τὰ κατὰ τὸ ἐν αὐτοῖς γένος. ἆρ᾽ οὖν ἤδη τὸ πᾶν ἔχομεν, ἢ καὶ τούτῳ τις

num, accipiat magni nomen: neque enim formica tantum, fed et milium et culex magnus dicitur. Tantum ergo conftat, unamquanque rem cum ejusdem generis rebus collatam vel parvam vel magnam dici, abfolute nihil. Atque hoc quidem inter majus intereft et magnum, quod majus omni minore poffit majus dici, magnum vero non quolibet majus, fed tantum eis, quae funt ejusdem generis. Eadem de minore et parvo diftinctio eft, nec non de celeri et celeriore, nec fecus de tardo et tardiore, fiquidem equus quispiam tardus dicatur et formica velox. Simili ratione alia cuncta videbis appellata effe quum in pulfuum omnibus generibus tum per totam medicinam, et hercle per totam mortalium vitam, durum durius, molle mollius, crebrum crebrius, breviter alia id genus omnia partim cum altero quolibet comparata, partim cum iis tantum, cum quibus conveniunt genere. Quid jam igitur fummamne affecuti fumus, an vero hic etiam fermo poftulat diftinctionem?

τῷ λόγῳ λείπει διορισμός; οὐ γὰρ ἅπασι τοῖς ἐκ ταὐτοῦ γένος τὸ μέγα παραβάλλοντες οὕτως ὀνομάζομεν. οὐ γὰρ ἂν Ἀχιλλεύς θ' ἅμα καὶ Αἴας ἐλέγοντο μεγάλοι καὶ Πολυδάμας καὶ Μίλων, εἴ γε τοῦ μὲν Αἴαντος ὁ Ἀχιλλεὺς, τοῦ δὲ Μίλωνος Πολυδάμας ἦν μείζων, ἀλλὰ δῆλον ὅτι τῷ μέσῳ τε καὶ μετρίῳ καὶ συμμέτρῳ προσαγορευομένῳ καθ' ἕκαστον γένος ὥσπερ κανόνι καὶ κριτηρίῳ τἄλλα παραβάλλοντες, ὅσα μὲν ὑπὲρ αὐτὸ, μεγάλα πάντ' εἶναι λέγομεν, ὅσα δ' ἐναντία, σμικρά, καὶ τοῦτ' ἔστιν μὲν κᾀν τῷ βίῳ παντὶ, μάλιστα δ' οὖν ἐν ταῖς τέχναις· περὶ γὰρ τὴν τοῦ συμμέτρου θήραν ἔχουσιν ἅπασαι, καὶ τοῦτ' ἐκπορίζειν σπεύδουσι ταῖς οὐσίαις περὶ ἃς καταγίγνονται, καὶ πολὺ σιτίον ἐδηδοκέναι τόνδε τινά φησιν ὁ ἰατρὸς, ὅταν ὑπὲρ τὴν τοῦ τρεφομένου σώματος ᾖ φύσιν, καὶ ὀλίγον αὖθις, ὅταν ἀπολίπηται συμμετρίας τοῦ τρεφομένου. οὕτω γοῦν ἀθλητῇ δύο μνᾶς κρεῶν ὀλίγον εἶναι λέγοντες, τῷ νοσοῦντι πολλάκις ἀπαγορεύομεν χυλοῦ πτισάνης ἐκροφῆσαι λεκάνιον, ὡς πλέον ὂν τοῦ συμμέτρου. καὶ μέγαν οὖν σφυγμὸν καὶ μικρὸν ἐροῦμεν τὸν

neque enim fi cum omnibus, quae funt ejusdem generis, magnum comparemus, ftatim fic nominamus. Neque enim fimul Achilles et Aiax dicentur magni, nec Polydamus et Milo, fi quidem Ajace Achilles, Milone erat major Polydamas, fed plane cum medio et mediocri atque moderato, quod vocant, unoquoque in genere, veluti cum regula arbitroque caetera conferemus: tum quae illud excedunt, magna effe dicemus omnia: quae contra, parva. Id quod ufu venit in omni vita, in artibus quidem utique maxime, nam ad moderati omnes examen referuntur: atque hoc fuppeditare effentiis, in quibus verfantur, ftudent. Ac multum cibi dicit medicus fumpfiffe quempiam, ubi corporis naturam nutriendi excedat, rurfus parum, ubi infra mediocritatem ejus fit. Nam ea ratione athletae duas minas carnis parum dicimus effe, et frequenter aegroto interdicimus cremoris ptifanae pelvim exorbere, ut fupra mediocritatem. Ita magnum etiam pulfum et parvum dicimus, qui a medio-

ἐξιστάμενον τῆς συμμετρίας, καὶ τούτους μὲν πολλοὺς ἑκατέρους, ἕνα δὲ τὸν σύμμετρον, ὃν χρὴ θηρᾶσαί τε καὶ τῇ μνήμῃ παραθεμένους ἐπάγειν τοῖς ἄλλοις ἅπασιν [128] οἷον μέτρον τι δίκαιον ὑπ᾽ αὐτῆς τῆς φύσεως ὡρισμένον. ὅπως οὖν αὐτὸν ἐξεύρωμεν, ἤδη σκοπῶμεν. ἐπὶ τοῦτο γὰρ ὁ πᾶς σπεύδει λόγος καὶ τούτου χάριν εἴρηται τὰ πρόσθεν ἅπαντα. εὕροιμεν δ᾽ ἂν αὐτὸν, εἴπερ δυναίμεθα, μεθόδῳ. χρήσιμον γὰρ τοῦτο πρὸς τὸ κατὰ πάντων τῶν συμμέτρων ἕνα λόγον ἔχειν, καὶ μὴ ζητεῖν αὖθις, ὅπως μὲν εὑρίσκειν χρὴ τὸ κατὰ τὴν κίνησιν σύμμετρον, ὅπως δὲ τὸν κατὰ τὴν (65) ἡσυχίαν, ἢ τὸ τῆς ἀρτηρίας σῶμα. καὶ πρῶτον μὲν τοῦτ᾽ ἴδωμεν, εἰ χρὴ καθ᾽ ἕκαστον γένος σφυγμὸν ἕνα ζητεῖν τὸν σύμμετρον, ἢ πλείους, ἄλλον μὲν ὡς ἐν ἡλικίᾳ σύμμετρον, ἄλλον δ᾽ ὡς ἐν ἕξεσι σωμάτων, ἄλλον δ᾽ ὡς ἐν κράσεσιν, ἄλλον δ᾽ ὡς ἐν ὥραις, ἢ χώραις, ἢ καταστάσεσιν, ἢ ἐπιτηδεύμασιν, ἢ ψυχικαῖς διαθέσεσιν. ἐν ἅπασι γὰρ τούτοις τοὺς μὲν μεγάλους, τοὺς δὲ μικροὺς, τοὺς δὲ συμμέτρους λέγομεν εἶναι

critate deflectit, atque hujus utriusque magnum numerum esse, moderatum unum, qui indagandus nobis et ob memoriam ponendus, omnibusque aliis applicandus est veluti mensura quaedam aequa ab ipsa constituta natura. Quem quomodo invenire possimus reliquum est ut consideremus: nam eo tota oratio properat, cujus quidem nomine retulimus quicquid ante dictum est. Invenerimus autem illum, modo possimus, via et ratione. Quippe hoc ad illud interest, ut unam viam ad omnia moderata unamque rationem habeamus, nec denuo necesse habeamus quaerere, quo pacto inveniendus sit in motu moderatus, quo pacto in quiete, vel in contentione, vel in arteriae corpore. Ac primum hoc videamus, utrum singuli in singulis generibus quaerendi pulsus moderati sint, an plures, alius pro aetate moderatus, alius pro habitibus corporis, alius pro temperamentis, alius pro anni temporibus, alius pro locis, statibus, vitae institutis, vel animi affectibus. Pro his enim omnibus alios magnos, alios parvos, alios mo-

σφυγμοὺς, καὶ τοὺς μὲν ταχεῖς, τοὺς δὲ βραδεῖς, τοὺς δὲ συμμέτρους, καὶ κατὰ τὰς ἄλλας διαφορὰς ὡσαύτως. καὶ τάχ᾽ ἄν τινι δόξειε τοῦτ᾽ εὐλογώτερον εἶναι καὶ τῇ χρείᾳ μᾶλλον ὁμολογοῦν, τὸ καθ᾽ ἕκαστον γένος σφυγμῶν ἕνα ποιεῖν τὸν σύμμετρον. ἐπισκεψώμεθα οὖν ἀκριβέστερον αὐτὸ, καὶ προχειρισάμενοι γένος ἓν σφυγμῶν ὡς ἐν παραδείγματι τὸ τῶν μεγάλων τε καὶ μικρῶν, ὑπὲρ ὧν ὀλίγον ἔμπροσθεν ἐλέγομεν, τὸν μέσον αὐτῶν, καὶ τὸν σύμμετρον ἐξευρεῖν πειραθῶμεν, ἰδίᾳ μὲν ἐν ἡλικίαις, ἰδίᾳ δ᾽ ἐν ὥραις τε καὶ χώραις καὶ φύσεσι καὶ κράσεσι καὶ τοῖς ἄλλοις ἅπασι τοῖς τοιούτοις. ἀρκέσει γὰρ, εἰ τοῦθ᾽ εὕροιμεν, εἰς τὴν χρείαν, εἴ τε πρόκειται μὲν ἡμῖν τὸν οἰκεῖον ἑκάστου τῶν εἰρημένων σφυγμῶν εἰδέναι, καὶ τὰς εἰς τὸ παρὰ φύσιν ἐκτροπὰς αὐτοῦ διαγινώσκειν. ἡ δὲ νῦν εἰρημένη διδασκαλία φαίνεται τοῦθ᾽ ἡμῖν ἐκπορίζουσα. σκεψώμεθ᾽ οὖν ἀκριβῶς, εἰ δυνατὸν ἐξευρεῖν αὐτό. φαίνεται γὰρ ἐμοὶ μὲν χαλεπώτατον, ἴσως δὲ καὶ ἀδύνατον. ἡ χαλεπότης δ᾽ ἐν τῷ μηδὲν τῶν εἰρημένων ἰδίᾳ

deratos dicimus pulfus effe: jam hos celeres, illos tardos, quosdam moderatos, parique modo in caeteris differentiis. Forfan autem hoc probabilius alicui videbitur magisque confonum ufui, fi cuilibet generi unum affignemus moderatum. Ergo accuratius hoc disceptemus, atque unum fumamus genus pulfuum pro exemplo, fcilicet magnorum et parvorum, de quibus egimus paulo fuperius; ac medium eorum et moderatum demus operam ut inveniamus, figillatim pro aetatibus, figillatim pro anni temporibus, regionibus, naturis, temperamentis, aliisque id genus omnibus: nam hoc nihil defideremus ad ufum amplius, fi inventum fit, five proprium inftituamus cujusque memoratorum pulfum fcire, five etiam ejus a natura receffus dignoscere. Quod praefens nobis doctrina videtur fuppeditare. Quare etiam atque etiam videamus, poffitne hoc inveniri. Mihi quidem fane difficillimum videtur atque adeo non poffe fortaffe inveniri: ac difficultas quidem in eo eft, quod nihil ex his, quae commemoravimus, feparatim licet et folum

Ed. Chart. VIII. [128.] Ed. Baf. III. (65.)

καὶ καθ᾽ αὑτὸ λαβεῖν δύνασθαι. πότε γὰρ ἰδίᾳ καὶ καθ᾽ αὑτὴν ἔστιν ἰδεῖν τὴν ἐν ταῖς ὥραις διαφορὰν τῶν σφυγμῶν ἄνευ σώματος, ὃ καὶ μὴ κράσεως πὼς ἔχει καὶ ἕξεως καὶ ἡλικίας καὶ τῶν ἄλλων τῶν εἰρημένων; ὥστ᾽ οὐκ ἂν ἔχοις εἰπεῖν, ἦρι μὲν τηλικοῦτος σφυγμὸς οἰκεῖος, θέρει δ᾽ ὁ τηλικοῦτος. ἐρωτηθεὶς γὰρ ἐν τίνι καὶ λέγεις σώματι, πότερον ἐν θερμοτέρῳ τὴν κρᾶσιν, ἢ ψυχροτέρῳ καὶ ἰσχνῷ, ἢ παχεῖ· καὶ ἀκμάζοντος, ἢ γέροντος, ἢ ψυχρῷ χωρίῳ, ἢ θερμῷ, καὶ ἀνδρὸς, ἢ γυναικὸς, καὶ κατὰ τὰς ἄλλας διαφορὰς ὡσαύτως. ὥστε φαίνεται δεῖν κατὰ τὴν ὅλην τῶν ὑποκειμένων σωμάτων φύσιν ἐπισκοπεῖσθαι τὸν οἰκεῖόν τε καὶ οὐκ οἰκεῖον σφυγμὸν, ἵνα εἰδῶμεν, εἰ οὕτως ἔτυχεν, ὅτι Δίωνι μὲν ὁ σφυγμὸς τηλικοῦτός ἐστι φύσει, Θέωνι δὲ τηλικοῦτος. ἀλλὰ καὶ τοῦτ᾽ ἄτοπον, οὐ μόνον τῷ χρῆναι καθ᾽ ἕκαστον ἄνθρωπον ἰδίαν ἡμᾶς ἔχειν μνήμην τε τῶν οἰκείων σφυγμῶν καὶ μὴ δύνασθαι περὶ μηδενὸς διαγνῶναι μηδὲν ᾧ πρῶτον οὐκ ἐντυγχάνομεν, ἀλλὰ καὶ τῷ μηδ᾽ ἀπ᾽ αὐτοῦ τοῦ Δίωνος, εἰ τύχοι, τὸν ἕνα τοῦτον τὸν οἰκεῖον σφυγμὸν ἐν ἑκάστῳ γένει δυνατὸν ἰδίᾳ

ſumere. Nam quando ſeparatim et ſolam cernas pulſuum pro temporibus anni differentiam citra corpus, quod jam ſuum temperamentum habeat et habitum et aetatem et alia quae diximus? Itaque fit ut non poſſis dicere, hic pulſus peculiaris veri eſt, ille aeſtati: nam te quis roget, quo tu nam in corpore dicas, in calidiore temperatura, an frigidiore, gracili an corpulento, juvenis an ſenis, in frigida regione an calida, et viri an mulieris, nec ſecus in reliquis differentiis. Quocirca in omni natura videtur propoſitum corporum proprius eſſe animadvertendus pulſus et non proprius quo ſciamus Dionis verbi gratia pulſus talis natura eſt, Theonis talis. At hoc abſurdum ſit, non tantum quia neceſſe eſſet, qui peculiares ſingulis hominibus pulſus ſint et qui non peculiares, ſeparatim meminiſſe, et nihil nos poſſe de quoquam, niſi uſus nobis cum eo interceſſiſſet, cognoſcere; verum etiam quod ne in ipſo Dione quidem verbi gratia unum hunc proprium pulſum in unoquoque genere ſepara-

καὶ χωρὶς τῆς τῶν ἔξωθεν πραγμάτων περιστάσεως λαβεῖν. πότε γὰρ καὶ λήψει; πότερα τοῦ ἐν χειμῶνι Δίωνος, ἢ τοῦ κατὰ τὸ θέρος, καὶ πότερα τοῦ ἐν Ῥώμῃ, ἢ τοῦ ἐν Λιβύῃ, καὶ τοῦ ἰσχνοτέρου γεγονότος, ἢ τοῦ παχυτέρου, καὶ ἀργότερον, ἢ ἐπιπονώτερον διηγημένου, καὶ ἐνδεέστερον, ἢ δαψιλέστερον διῃτημένου, καὶ οἶνον, ἢ ὕδωρ πεπωκότος, ἢ διψῶντος; οὐ γάρ ἐστιν ἄνευ τούτων καὶ ἄλλων μυρίων περιστάσεων ἰδίᾳ ποτὲ καὶ ταὐτὸ λαβεῖν τὸ Δίωνος σῶμα. μένει τοίνυν καὶ νῦν ἔτι ἡ ἐξ ἀρχῆς ἀπορία. τὸν γὰρ τῇ ὅλῃ φύσει τοῦ ὑποκειμένου σώματος οἰκεῖον σφυγμὸν, ὃν δὴ καὶ σύμμετρον ἐκαλοῦμεν, ἐν ἴσῳ τῷ μέτριον εὑρεῖν ἀδυνατοῦμεν. ἄμεινον οὖν [129] ἴσως μὴ ταύτῃ μετιέναι τὴν περὶ τοῦ σφυγμοῦ διάγνωσιν, ἀλλ᾽ ὡς τοῖς εἰσαγομένοις ἐγράψαμεν, ἐφ᾽ ἑκάστου τῶν εἰρημένων αἰτίων τὴν τροπὴν ἐκμαθεῖν. ἔστι γάρ τιν᾽ εὑρεῖν τοῦ τοιούτου μέθοδον, ἣν καὶ νῦν παραγράψαντες πρότερον ἐφεξῆς ἐπισκεψώμεθα, πότερ᾽ αὐτάρκης ἐστὶν εἰς ἅπαν, ἢ καὶ αὐτὴ κατά τι ἐλλιπής. εἴη δ᾽ ἂν ἡ μέθοδος τοιάδε, προχειρισαμένων ἡμῶν ἕνεκα παραδείγματος

tim possemus et praeter rerum externas circumstantias sumere. Nam quando sumes tandem? Dionisne hieme, an Dionis aestate, et utrum Dionis Romae, an in Africa; jam gracilioris, an corpulentioris? praeterea ejus qui otiosius egerit, an laboriosius, durius an lautius vixerit? tum vinum, an aquam potaverit, an sitiverit? Neque enim est ab his aliisque circumstantiis sexcentis separatum sumere et solum corpus Dionis. Itaque nondum explicata prima dubitatio est, siquidem pulsum toti naturae propositi corporis proprium, quem quidem moderatum, hoc est mediocrem appellavimus, non valemus invenire. Praestiterit igitur non ambire hac ratione pulsuum notitiam, sed ut praescripsi tironibus, in singulis quas narravi causis ediscere variationem. Nam aliquam possis ejus viam atque rationem invenire, quam hoc loco prius adnotabimus; deinde inspiciemus utrum omnia praestare queat, an aliqua ex parte etiam claudicet. Porro via ratioque haec, ut exem-

ἕν τι τῶν τρέπειν τοὺς σφυγμοὺς πεφυκότων αἰτίων, οἷον γυμνάσιον. προτεθέντος γὰρ σκοπεῖσθαι, τίνα τρόπον τῶν σφυγμῶν ἐργάσεται γυμνάσιον τὴν τροπὴν, λαβὼν οὖν τιν᾽ ἄνθρωπον, ἁπάσας αὐτοῦ τὰς διαφορὰς τῶν σφυγμῶν ἐπίσκεψαι πρότερον, εἶτα γυμνάσας αὖθις ἐπίσκεψαι, τίς μὲν αὐτῶν ἐξετάθη, τίς δ᾽ ἐξελύθη, καὶ μέχρι πόσου, καὶ οὕτως ἐξευρήσεις, ὁπόσον πέφυκε γυμνάσιον τρέπειν τοὺς σφυγμούς. ὁμοίως δὲ καὶ περὶ λουτρῶν καὶ πομάτων καὶ ἐδεσμάτων καὶ τῶν ἄλλων ἁπάντων, ἐκ τῆς καθ᾽ ἕκαστον ἄνθρωπον πείρας ἕτοιμον εὑρεῖν τὰς τροπάς. οὕτω μὲν ἡ πεῖρα ῥάστη, τὰ δὲ τῶν ἐπὶ τῇ τοιαύτῃ πείρᾳ λογισμῶν οὐκέτι ῥᾴδια. κίνδυνος γὰρ ὥσπερ ἐν πάσῃ πείρᾳ σφαλῆναι παρὰ τὸ ἀδιόριστον, οὕτω κἀνταῦθα. διχῶς δὲ τοῦτ᾽ αὐτὸ ἀδιόριστον γίνεται, τὸ μὲν τῷ μὴ τεμεῖν τὸ κοινὸν εἰς τὰς ἐν αὐτῷ πάσας διαφορὰς, τὸ δὲ τῷ μὴ σκέψασθαι τοῖς τρέπουσιν αἰτίοις τίνα μὲν προηγουμένως, ἢ πρώτως, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, τίνα δὲ κατὰ συμβεβηκὸς ἠκολούθησε. τὸ μὲν δὴ μὴ τέμνειν τὸ κοινὸν εἰς τὰς ἐν αὐτῷ πάσας διαφορὰς τοιόνδε·

pli gratia viam fumamus de caufis quae alterandis funt pulfibus, ut exercitationem. Nam fi confiderandum venit, quemadmodum pulfus exercitatio immutet, delige hominem, cujus attendas prius omnes pulfus, inde exercites, tumque de integro attendas, qui illorum fit intenfus et quis exolutus et quantum, atque fic invenies, quantum exercitatio pulfus poffit immutare. Haud aliter in balneis, potu cibisque omnibus facto de fingulis hominibus periculo, facile alterationes inveniemus. Haec facillima experientia eft; verum quae ab experientia ineundae rationes funt, non perinde faciles. Nam quod eft in omni experientia, id hic item, ne, dum nihil diftinguimus et confufe rem tractamus, offendamus periculum eft. Quod fit bifariam, ut res non diftributa, vel diftincta fit, partim quod commune non dispartiamus in fuas omnes partes, partim quod alterantibus caufis non attendamus, quae praecipue, vel primo vel quocunque velis nomine vocare, et quae per accidens fucceſſerunt. Atque commune non fecare in omnes fuas differentias tale eft,

δεῖται γὰρ ὁ λόγος, ἵν᾽ ᾖ σαφὴς, παραδείγματος. εἴ τις ἀποφήναιτο τῶν γυμνασαμένων τοὺς σφυγμοὺς τοιούσδε γίγνεσθαι, μὴ διορισάμενος, μήθ᾽ ᾧ τινι λέγῃ τῷ γυμνασαμένῳ μήτε πῶς γεγυμνασμένῳ μήτε πότε μήθ᾽ ὁπόσα, παρὰ τὸ μὴ τέμνειν τὸ κοινὸν εἰς τὰς διαφορὰς ἐσφάλη· τίνι γὰρ καὶ λέγω τῷ γυμνασαμένῳ, πῶς ἡλικίας ἔχοντι, πῶς δὲ ἰσχύος, ἢ ἀσθενείας, πῶς δὲ χυμῶν, πῶς δὲ ἕξεως, πῶς δὲ κράσεως, πῶς δὲ τῆς τῶν μορίων τοῦ σώματος συμπηγίας, πῶς δὲ τοῦ πρὸς τὸ γυμνάσιον ἔθους. εἰς τοσαῦτα γὰρ διαιρεῖται τὸ τίνι. τὸ δὲ πῶς ἐγυμνάσατο πάλιν εἰς ἄλλας τέμνεται διαφορὰς, ἆρά γε συντόνως, ἢ οὖ, καὶ ὀξέως, ἢ οὖ, καὶ ὁμαλῶς, ἢ οὔ. καθ᾽ ἕκαστον γὰρ τούτων οὐχ ὡσαύτως τραπήσεται. ὁμοίως δὲ καὶ περὶ τὸ πότε διαφέρουσαν ἀνάγκη γενέσθαι τὴν τροπήν. οὐ γάρ ἐστι ταὐτὸν ἐδηδοκότα γυμνάζειν ἢ νῆστιν, καὶ λυπούμενον ἢ χαίροντα, καὶ πρόθυμον ἢ ῥάθυμον, καὶ ἐῤῥιγωκότα ἢ διατεθερμασμένον, καὶ πλέονα τοῦ δέοντος ἢ ἐλάττονα, ἢ σύμμετρα κεκοιμημένον. ὁμοίως δὲ καὶ περὶ τὸ ποσὸν τῶν γυμνασίων ἡ τροπὴ διάφορας γενήσεται. οὐ γὰρ ὡσαύτως τὰ σύμμετρα τοῖς πλείοσιν, ἢ ἐλάτ-

nempe requirit oratio ad claritatem exemplum. Si quis exercitatorum tales dicat esse pulsus, neque distinxerit, nec cuinam dicat exercitato, neque quando, neque quantum, hic eo quod non divisit commune in differentias lapsus est. Cuinam exercitato inquam, qua aetate, quo robore, aut infirmitate, quibus humoribus praedito, quo corpore, qua compage corporis partium, quam ad exercitationem consueto: scilicet in tot membra dividitur cuinam. Jam quomodo exercitatus est in alias etiam differentias scinditur, an valide, necne; celeriter, necne; aequaliter, necne; in quibus omnibus non eodem modo mutabitur. Jam etiam diversam esse pro tempore alterationem oportet; neque enim a cibo subire exercitationem perinde est ac jejunum; nec perinde est tristem atque hilarem, alacrem ac segnem, rigidum ac excalfactum, item eum qui plus justo ac qui intra modum vel mediocriter dormivit. Similes immutationis differentiae manabunt ex quantitate exercitationum, siquidem moderatae aliter,

τοσιν ὑπαλλάξει τοὺς σφυγμούς. τὸ δὲ κατὰ συμβεβηκὸς, ἢ πρώτως γίνεσθαι τὴν τροπὴν, ὧδε χρὴ διορίζεσθαι. μή τι ἄρα περιττωμάτων μὲν ἦν μεστὸς, ἀρξαμένῳ δ' αὐτῷ γυμνάζεσθαι ῥυέντων εἰς τὴν γαστέρα πλειόνων χυμῶν μοχθηρῶν, ἢ δάκνεσθαι τὸ στόμα συνέβη τῆς γαστρὸς τῇ κακίᾳ τῶν χυμῶν, ἢ βαρυνθῆναι τῷ πλήθει, ἢ ἀνατρέπεσθαί τε καὶ ναυτιᾷν, καὶ διὰ ταῦτα τὸν ἄνθρωπον ἢ ἀναλύειν, ἢ ἐκλύεσθαι, ἢ καταψύχεσθαι, ἢ πνίγεσθαι. τούτων γὰρ ἕκαστον ἀλλοιώσει τοὺς σφυγμοὺς καί τις ἴσως οἰήσεται κατὰ τὸν τοῦ γυμνασίου λόγον αὐτοὺς τετράφθαι. καὶ γὰρ εἰ πληθωρικὸς ὢν, καὶ τοῖς κατὰ θώρακα καὶ πνεύμονα νοσωδέστερος, ἀρξάμενος ὠκέως γυμνάζεσθαι, δύσπνους γένοιτο, (66) τραπήσονται μὲν οἱ σφυγμοὶ κατὰ τὸν τῆς δυσπνοίας λόγον, ἴσως δ' οἰήσεται καὶ τὰ γυμνάσια. πῶς οὖν χρὴ διορίζεσθαι πρὸς τὸ μηδὲν ἐν τῇ πείρᾳ σφάλλεσθαι, εἴρηται μὲν ἑτέρωθι μακρότερον, εἰρήσεται δὲ κἀνταῦθα διὰ βραχέων. [130] πάσας τὰς εἰρημένας διαφορὰς εἰς τρεῖς ταύτας ἀναγαγεῖν χρὴ τὰς καθόλου, τὸ μὲν ὑποκείμενον σῶμα παραλαμβάνοντας εἰς τὴν πεῖραν, ὑγιαῖνόν τε καὶ κατὰ μηδεμίαν τῶν

atque plures, vel pauciores, commutant pulfus. At per accidens, an per fe, mutatio fiat, ita eft diftinguendum; ecquid fuiffet excrementis plenus et quum coepit exercitari, fluente in ventrem vitioforum humorum copia, vellicari contigit os ventriculi humorum vitio, aut copia opprimi, aut everti, ac naufeare, eoque vel fatiscere hominem, vel languescere, vel refrigerari, vel fuffocari; horum enim alterat quodque pulfus, quos aliquis forfitan ab exercitatione exiftimabit profectos. Nam fi qui plethoricus fit ac thorace et pulmone affecto, fimul ut coepit velociter exercitari, in dyspnoeam inciderit, pro dyspnoea variabunt pulfus, et tu putabis fortaffis pro exercitationibus. Ergo ut in experiundo non fallaris quomodo fit diftinguendum, etfi alio loco fim longius perfecutus, fummatim hic tamen perftringam. Omnes commemoratas differentias ad tres has reducemus generales; corpus propofitam defignabimus ad experientiam, quam fanum fit ac nulli obnoxium externae

ἔξωθεν τροπὴν δυναστευόμενον, τὸ προσαγόμενον δ᾽ αὐτῷ γυμνάσιον σύμμετρον τῇ ποσότητι φυλάττοντας, ἐν δὲ τῇ τροπῇ σκοπουμένους, μή τι κατὰ συμβεβηκὸς ἀπήντησεν, καὶ οὐ κατὰ ταύτην τοῦ γυμνασίου τὴν φύσιν. ἂν γὰρ εἰς ταῦτα τὰ τρία βλέπῃς, ῥᾳδίως ἐξευρήσεις, πῶς καὶ μέχρι πόσου τρέπει τὸ προσιὸν αἴτιον. καὶ οὕτως ἐξέσται σοι καθ᾽ ἕκαστον εἶδος αἰτίου τῇ πείρᾳ τὴν τροπὴν ἐκμαθόντι χρῆσθαι πρὸς τὰς ἐν ταῖς νόσοις διαγνώσεις, ῥᾳδίως εὑρίσκοντι, πόσον μὲν ἀπὸ τῶν ἔξωθεν αἰτίων ἐτράπησαν οἱ σφυγμοὶ, πόσον δ᾽ ἀπὸ τοῦ νοσήματος. ὥστ᾽ οὐκέτι σοι δεήσει προγιγνώσκειν ποῖος ὁ φύσει σύμμετρος, ἀλλὰ τὸν ἑκάστῳ τῶν ὑποκειμένων οἰκεῖον ἐπιστάμενος, εἰς ὅσον οὕτως ὑπό τε τῶν ἄλλων αἰτίων καὶ αὐτοῦ τοῦ νοσήματος ἐτράπη, γνωρίζειν δυνήσῃ. καὶ μὴν εἰ μὴ πρὸς ταῦτα δεοίμεθα τῆς τοῦ συμμέτρου γνώσεως, ἐκ περιττοῦ ζητήσομεν αὐτόν. πῶς οὖν ἐροῦμέν τινα μέγαν, ἢ ταχὺν, πρὶν τὸν σύμμετρον ἐξευρεῖν; ἔτι γὰρ ἔοικε τὸ ἐξ ἀρχῆς φυλάττεσθαι ζήτημα. τί δὲ καὶ δεόμεθα τοῦ μέγαν, ἢ ταχὺν λέγειν; ἀποχρήσει γὰρ ἡμῖν τῶν τρόπων μόνων

alterationi, tum exercitationem, qua ad id utemur, moderatam quantitate fervabimus, atque in mutatione hoc attendimus, ecquid cafu inciderit, non ex ipfa natura exercitationis. Si enim tria haec refpicias, nullo negotio inveneris, quemadmodum et quatenus adventitia caufa immutet. Itaque fi omni in genere caufae, alterationem experiundo addidiceris, utendi tibi ad dignoscendos in morbis pulfus facultas erit, facile quantum ab externis caufis alterati pulfus funt, exploranti, quantum item a morbo. Itaque nihil erit quod labores, ut qualis fit qui natura moderatus eft, praefcias; fed fi qui fit fingulis, de quibus agitur, peculiaris, teneas, quatenus mutatus hic eft, cum ab aliis caufis, tum vero ab ipfo morbo, noffe poteris. Atqui nifi ad haec ufus nobis moderati pulfus erit, nequicquam eum quaeremus. Qua igitur ratione aliquem magnum dicemus, vel celerem incognito moderato? nam manere etiamnum videtur prima dubitatio. Quid autem magnum nobis opus eft, aut celerem dicere, cum alterationum nobis tantummodo

Ed. Chart. VIII. [130.] Ed. Baf. III. (66.)

μνημονεύειν ὧδέ πως λέγουσι· γυμνάσια σύμμετρα τοὺς σφυγμοὺς εἰς μέγεθος καὶ τάχος καὶ σφοδρότητα καὶ πυκνότητα τρέπει. καὶ τοῦτο φήσομεν καὶ τοὺς ἄλλους βουλομένους δηλοῦν ἐν γυμνασίοις φάσκειν μεγάλους καὶ ταχεῖς καὶ σφοδροὺς καὶ πυκνοὺς γίγνεσθαι τοὺς σφυγμούς. ἀλλ' ἡμεῖς πρῶτον μὲν οὐχ ἁπλῶς ἐροῦμεν ἐν γυμνασίοις, ἀλλ' ἐν τοῖς συμμέτροις προσθήσομεν. τὰ γὰρ πλείω τῆς φύσεως τοῦ γυμναζομένου σώματος εἰς ἕτερον εἶδος τροπῆς μεθίστησι τοὺς σφυγμούς. ἔπειτα δ' οὐδ' ἁπλῶς οὕτω μεγάλους καὶ ταχεῖς ἐροῦμεν, ἀλλὰ καὶ μείζονας καὶ θάττονας καὶ σφοδροτέρους καὶ πυκνοτέρους καὶ τἄλλα πάντα φήσομεν οὕτως χρῆναι λέγειν, οἷον ὅτι κατὰ μὲν τὰς ἡλικίας μέγιστοι μὲν οἱ τῶν ἀκμαζόντων, μικρότατοι δ' οἱ τῶν γερόντων, οἱ δὲ τῶν παρακμαζόντων μείζους μὲν τῶν ἐν τοῖς γέρουσιν, ἐλάττους δὲ τῶν ἐν τοῖς ἀκμάζουσιν. καὶ κατὰ τὰς ὥρας ὡσαύτως καὶ κατ' ἄλλα πάντα τὴν αὐτὴν ποιησόμεθα διδασκαλίαν, ἐν ἑκάστῳ τῶν γενῶν τοὺς σφυγμοὺς ἀλλήλοις παραβάλλοντες, οὐχ ἁπλῶς ὑπὲρ αὐτῶν ἀποφαινόμενοι. τῷ μὲν οὖν ἐμπειρικῷ τάχα ἂν ἀρκέσειεν ἡ τοιαύτη διδασκαλία. καὶ

fatis fit meminiffe, ut dicamus in hunc modum: Exercitationes moderatae pulfus in magnitudinem, celeritatem, vehementiam et crebritatem convertunt? Quod dicemus alios quoque, quum id fignificare volunt, in exercitationibus dicere, magnos, celeres, vehementes, crebrosque fieri pulfus. Nos vero primum non abfolute in exercitationibus dicemus, fed in moderatis addemus. Nam naturam quae corporis exercitati excedunt, pulfus in aliud vertunt genus mutationis. Deinde non ita dicemus abfoluto fermone magnos et celeres, fed majores, celeriores, vehementiores, crebriores, aliaque dicemus ita effe omnia ufurpanda, ut, pro aetatibus, maximos juvenum effe, fenum minimos; eorum quorum inclinat aetas majores quidem quam fenum, tamen minores quam juvenum. Pro regionibus eodem modo et pro reliquis omnibus idem praefcribemus, inter fe omni in genere pulfus conferentes, non abfolute de iis decernentes. Ac empirico forfitan fatisfaciat haec inftitutio, de qua accura-

μετ᾽ ὀλίγον ἀκριβέστερον ὑπὲρ αὐτῆς ἐπισκεψόμεθα· τῷ δὲ τὰς πρώτας καὶ συνεκτικὰς ὀνομαζομένας αἰτίας ἑκάστου τῶν σφυγμῶν ἐξευρεῖν βουλομένῳ καὶ σὺν λόγῳ τε καὶ μεθόδῳ τὴν τέχνην ἀσκοῦντι τὸ σύμμετρον ἑκάστῳ τῶν γενῶν ἀναγκαῖον ἐπίστασθαι. φέρε γὰρ ζητεῖσθαι διὰ τί μικρὸς ὁ τοῦ παιδίου σφυγμὸς, εἶτα ἀπορεῖν ἡμᾶς αἰτίας εὐλόγους. καὶ γὰρ καὶ ἀπορήσομεν, ἂν μὴ φθάνωμεν ἀκριβῶς ἐξητακότες τὰς τῶν μεγάλων τε καὶ μικρῶν σφυγμῶν τῆς γενέσεως αἰτίας. οὐ γὰρ εὑρήσομεν ἐπὶ τῶν παίδων τὰς τοὺς μικροὺς γεννώσας. καὶ μὴν εἰ καὶ καθ᾽ ἓν ὁτιοῦν ὁ τῆς αἰτίας λογισμὸς σφάλλοιτο, κἀν τοῖς ἄλλοις ἐν οἷς εὐπορεῖν δοκεῖ δικαίως ὑποπτευθήσεται. πάντη γὰρ ὁμολογεῖν αὐτὸν, εἴπερ ἀληθής ἐστιν, ἑαυτῷ προσήκει. διὰ ταῦτ᾽ οὖν ἀναγκαῖον ἐπίστασθαι τὸν σύμμετρον. ἴσως γὰρ καὶ ὁ τοῦ παιδὸς ὑπὲρ τὸν σύμμετρόν ἐστιν. Ἡρόφιλος γοῦν ποτὲ μὲν εὐμεγέθη τὸν σφυγμὸν τοῦτον ὀνομάζει. τί δή ποτ᾽ οὖν, φησί τις, ὁ Ἀρχιγένης μικρὸν αὐτὸν εἶναί φησιν; ἴσως ἂν εἴποιμί σοι τὴν αἰτίαν τῆς διαφωνίας, ἂν πρότερον γνῷς, ὅτι τὸ προκείμενον ἀποδέδεικται, τὸ δεῖν εἰς τὴν περὶ τῶν ἐν σφυγμοῖς αἰτίων

tius nos paulo poft viderimus. At qui primas ftudeat et continentes quas vocant, caufas inveftigare cujusque pulfus et ratione artem viaque tractet, huic cujusque generis moderatum operae pretium eft noffe. Quaeratur enim cur parvus pueris fit pulfus, deinde caufae nos probabiles deficiant, nempe enim nos deficient, ni fedulo prius caufas quae magnos pulfus et parvos gignunt, expenderimus; neque enim in pueris caufas reperiamus, quae parvos generent. Atqui fi vel una in re, quamvis levi, caufae ratio claudicet, fimul in reliquis, ubi videatur abundare, merito titubabit, ubique enim fibi, fi quidem vera eft, conftare illa debet. Quo magis neceffarium eft noffe moderatum, nam poteft etiam pueri pulfus moderatum fuperare. Herophilus certe infigniter magnum interdum hunc pulfum vocat. Quid tandem igitur, quaeres, parvum Archigenes illum nominat? Fortaffe caufam tibi diffenfionis aperiam, fi noveris prius inftitutum probatum effe, debere ad commentandas pulfuum caufas virum

[131] θεωρίαν ἐπίστασθαι τὸν σύμμετρον ἀνδρὶ λογικῷ τ' εἶναι βουλομένῳ καὶ σὺν τῷ τῆς αἰτίας λογισμῷ πάντ' ἐπίστασθαι προηρημένῳ. καὶ τοῦτο μὲν ἴσως ἧττον, (ἐρεῖ γάρ τις μὴ βούλεσθαι λογικὸς εἶναι,) τὸ δ' ὀλίγῳ πρόσθεν ἀναβληθὲν, ὡς ἄξιον σκέψεως, ἤδη θεασώμεθα, τὸ μηδένα τῶν ἐμπειρικῶν δύνασθαι τὴν τήρησιν ἀκριβῆ καὶ διηρθρωμένην ποιήσασθαι, πρὶν τὸν ἁπλῶς σύμμετρον ἐξευρεῖν. ἐπειδὴ γὰρ αὐτῷ πρόκειται μὴ μόνον εἰ τρέπει τοὺς σφυγμοὺς εἰς τάχος, ἢ μέγεθος, ἤ τι τῶν ἄλλων ἡ παροῦσα περίστασις, ἀλλὰ καὶ μέχρι πόσου τρέπει γιγνώσκειν, ἡ γὰρ ὅλη χρεία τῆς διὰ τῶν σφυγμῶν προγνώσεως ἐν τούτῳ μάλιστα περιέχεται, τὸ δ' ἄχρι πόσου τρέπει διαγινώσκειν ἀμήχανον ἀγνοοῦντα τὸ κατὰ φύσιν, ἀνάγκη προεπίστασθαι τὸ κατὰ φύσιν ἑκάστου τῶν νοσούντων, εἰ μέλλει τὸ ποσὸν τῆς παρούσης τροπῆς διαγνώσεσθαι. οὐ μὴν ἅπασί γε τοῖς νοσοῦσιν ὑγιαίνουσιν ἐνέτυχεν, ἵν' ἐκ τῆς πείρας μάθοι, εἶτα μεμνημένος παραβάλλοι τοῖς νοσοῦσι τὴν φύσιν. πῶς οὖν ἔτι δυνήσεται δι' ἐμπειρίας ἔχειν τὸ προκείμενον; ἢ πάλιν κἂν-

qui rationem fequatur et cum caufae confideratione omnia inftituat fcire, pulfum moderatum tenere. Sed hoc levius eft fortaffe, dices enim nolle rationalem te effe. Quod vero paulo ante rejecimus, ut rem magnae confiderationis, nunc discutiamus, nifi vere moderatum prius pulfum invenerit, neminem poffe empiricum diligenter obfervationem et accurate inftituere. Nam pofteaquam propofitum eft illi, non modo an mutet in celeritatem pulfus, vel magnitudinem, vel quid aliud, praefens circumftantia, ut cognoscat, verum etiam quatenus alteret (nam praefagiendi ex pulfibus in hoc potiffimum omnis ufus vertitur) quatenus autem alteret, nifi naturam perfpexerit, nulla ratione cognofcat, neceffe erit, cujusque aegroti naturam praefciat, modo noffe magnitudinem velit praefentis alterationis. At enim non omnium aegrotorum ufus eft confuetudine per fanitatem, quo experientia eam addisceret, et inde memor, illius cum aegrotantibus compararet naturam. Qua igitur ratione poterit etiam experientia quo intendit afpirare? an hic

ταῦθα κατὰ κοινότητάς τινας ἡ τήρησις ἔσται; πῶς καὶ τίνα τρόπον; οὐ γὰρ ἔθ᾽ ὁμοίως ἐνταυθοῖ δυνατὸν, ὡς ἐπὶ τῶν ἔξωθεν αἰτίων, τὰ μὲν ἄλλα φυλάττειν ἄτρεπτα, μόνον δ᾽ ὑπαλλάττειν καθ᾽ ὃ τὴν τήρησιν ἐποιούμεθα. καὶ γὰρ καὶ χρώματα καὶ σχήματα καὶ ὀσμαὶ καὶ μήκη καὶ πλάτη καὶ βάθη σωμάτων καὶ λεπτότητες καὶ πάχη καὶ ἡ κατὰ γένη τε καὶ ἡλικίας καὶ χώρας καὶ ὥρας καὶ τὴν παροῦσαν κατάστασιν διαφορὰ πᾶσιν ἐξ ἀνάγκης ὑπάρχει τοῖς ἀνθρώποις, ὥστ᾽ ἐπειδὴ χωρὶς μὲν τούτων οὐκ ἂν εὕροις οὐδένα, τὴν τήρησιν δὲ τὴν ἐν αὐτοῖς χαλεπὸν ἀγαγεῖν ὑπὸ τῶν ὀλίγον πρόσθεν εἰρημένων, ἐπὶ τῶν ἔξωθεν αἰτίων τροπῶν ἑτέρας τινὸς ἡμῖν δεήσει μεθόδου. ὅτι δὲ χαλεπὸν ἐπὶ τούτου τὴν τήρησιν ποιήσασθαι, μάθοις ἂν, εἰ μὴ λόγῳ μόνον, ἀλλὰ καὶ δι᾽ αὐτῶν τῶν ἔργων ἐθέλοις ἐξευρίσκειν ἀνθρώπους δύο καθ᾽ ἕν τι μόνον ἑκάστοτε διαφέροντας, ἐν δὲ τοῖς ἄλλοις ἅπασιν ὡσαύτως ἔχοντας. οὐ γὰρ εὑρήσεις ῥᾳδίως πρὸς τῷ καὶ παμπόλλας γίνεσθαι τὰς τῶν ἐπαλλάξεων συζυγίας καὶ μακροῦ μὲν χρόνου δεῖσθαι πρὸς τὴν τήρησιν, ἀμηχάνου δέ τινος καὶ

etiam ex communitatibus quibusdam erit obfervatio? At quomodo et quonam pacto? neque enim perinde hic atque in caufis externis, alia fixa ferves, unum quod obfervas immutes. Quippe colores, figurae, odores, longitudines, latitudines, profunditates corporum, gracilitates, corpulentiae, differentia generum, aetatum, regionum, temporum anni, praefentis etiam ftatus, neceffario omnibus adfunt hominibus. Quare quandoquidem quin habeat haec reperias neminem, difficulterque fub pauca illa, quae paulo ante recenfui, reducas horum obfervationem, in externarum caufarum mutationibus alia nobis opus eft via et ratione. Jam quam ardua fit horum obfervatio, cognosces, fi non ratione tantum, fed et velis experiundo inveftigare duos viros femper una aliqua in re differentes, in aliis omnibus convenientes; fane enim aegre invenias, ut omittam quam multae exiftant alterationum conjugationes et quantum obfervatio temporis requirat, quantam autem memoriam et quam prae-

Ed. Chart. VIII. [131.] Ed. Baf. III. (66. 67.)

θαυμαστῆς μνήμης. τά τε γὰρ ἄλλα καὶ τὰ μηδὲν εἰς τὴν τροπὴν τῶν σφυγμῶν διαφέροντα παραφυλάττειν ἀναγκαῖόν ἐστι μέχρι πλείστου τοῖς ἐμπειρικοῖς, ἵν᾽ αὐτό γε τοῦθ᾽, ὅτι μηδὲν διαφέρει, βεβαίως ἐπιγνῶσι. καὶ τοῦτ᾽ ἔστι τὸ μάλιστα τὴν ἄλογόν τε καὶ ἀμέθοδον κίνησιν εἰς ἀπέραντόν τι χρόνου μῆκος ἐκτοπίζον, καὶ διὰ τοῦτ᾽ ἀεί φαμεν, ὥσπερ οὖν καὶ δι᾽ ἑτέρων ἐπέδειξα, τηρήσει μόνη συστήσασθαι τὴν τέχνην, ἄνευ λογισμοῦ τῶν ἀδυνάτων ὑπάρχειν. κἂν εἰ συγχωρηθείη γε ταῦτα πάντα, τὸ γοῦν ποσὸν τῆς καθ᾽ ἕκαστον αὐτῶν τροπῆς ἀμνημόνευτον γενήσεται πρὸς μηδὲν μέτρον ὡρισμένον ἀναφέρειν ἡμῶν τάς θ᾽ ὑπερβολὰς καὶ τὰς ἐνδείας δυναμένων. πῶς γὰρ ἄν τις μνημονεύσειεν ἅπαντα ταῦτα, συμπλέξας (67) ἀλλήλοις τὰ τοῖς σώμασιν ἐξ ἀνάγκης ὑπάρχοντα μετὰ τοῦ καθ᾽ ἕκαστον αὐτῶν ποσοῦ; πάντως γὰρ ἡ συμπλοκὴ τοιάδε, τις ἔσται· τῷ λευκῷ μὲν ἐπὶ τοσοῦτον, εὐρυστέρνῳ δὲ ἐπὶ τοσοῦτον· ὁμοίως δὲ παχεῖ μέχρι τοσοῦδε καὶ πλάτους καὶ βάθους τοῦ κατὰ τὸ σῶμα μέχρι τοσοῦδε, προήκοντι, ἄῤῥενι ὄντι καὶ παιδὶ καὶ ἐν ὥρᾳ θερινῇ καὶ ἐν χωρίῳ φύσει ψυχρῷ

claram. Nam praeter alia etiam quae nihil referunt ad pulſuum mutationem, obſervare empiricos quam diutiſſime oportet, ut hoc ſaltem, intereſſe nihil, certo ſciant; atque hoc illud eſt quod in primis obſervationem iſtam a ratione et compendio remotam in immenſam prolixitatem temporis producit. Quod eſt cur ſemper clamemus, ut etiam alias docuimus, ut obſervatione tantum artem conſtituas, remota ratione, fieri minime poſſe. Et ut iſta omnia admittantur certe, quod nullum habeamus certum modum, ad quem exceſſus et defectus referamus, magnitudinem alterationis in iis ſingulis nunquam complectetur memoria. Qui enim poſſit quisquam memoria haec omnia tenere, connexis inter ſeſe his, quae corporibus neceſſario comitantur una cum quantitate ſingulorum? Omnino connexio hujuscemodi erit; albo eatenus, lato pectore eatenus, item corpulento hactenus, corporis latitudine et profunditate tanta, masculo et puero, tempore aeſtivo, in loco natura frigido, in ſtatu ſicco talis

καὶ ἐν καταστάσει ξηρᾷ τοιόσδε τις ὁ σφυγμός ἐστι. τοιαύτας γάρ τινας συμπλοκὰς ἀπεράντους τὸ πλῆθος ὑπὸ μηδενὸς ἀνθρώπων μήτε τηρηθῆναι μήτε μνημονευθῆναι δυναμένας, ἀλλ᾽ ἄχρι λόγου μόνον ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς τὸ δυνατὸν ἐχούσας, [132] ἐπ᾽ αὐτῶν δὲ τῶν ἔργων τῆς τέχνης ἀδυνάτους ἐξελεγχομένας, ἀναγκαῖον ἔσται συμπλέκειν. εἰ δὲ δὴ καὶ τῷ μᾶλλόν τε καὶ ἧττον ἅπασι τοῖς εἰρημένοις αἱ τοιαῦται συζεύξεις μέλλοιεν ἀλλήλων διαφέρειν, ὥσπερ οὖν διαφέρουσιν, εἰς ὅσην ἀμηχανίαν ἄξουσι τὸν τηρητικὸν, οἶμαι πρόδηλον ὑπάρχειν. ἄμεινον οὖν ἴσως μὴ διατρίβειν ἔτι, μηδ᾽ ἐγχρονίζειν, ἐνδεικνύμενον τὸ χαλεπὸν καὶ ἀπέραντον τῆς ἐμπειρικῆς τηρήσεως, ἀλλ᾽ αὐτὸν δεῖξαι μέθοδόν τινα λογικὴν, ᾗ χρώμενοι τὸ παρὰ τῆς ἐμπειρίας χρηστὸν ἑτοίμως ληψόμεθα. τίς δ᾽ ἂν εἴη μέθοδος; ἡ τοιάδε· μάλιστα τὴν ἀρίστην τοῦ σώματος ἡμῶν ἐξευρόντας κατασκευὴν πρῶτα μὲν ἐπισκέψασθαι χρὴ, ποῖοί τινες οἱ κατ᾽ αὐτήν εἰσι σφυγμοὶ, καὶ τοῦθ᾽ οὐχ ἁπλῶς οὐδ᾽ ὡς ἔτυχε ποιητέον, ἀλλ᾽ ἐν τοιαύτῃ καταστάσει λαβόντας τὸν ἄνθρωπον, ἐν οἵᾳ τὴν οἰκείαν κίνησιν οἱ σφυγμοὶ φυλάττουσιν ὑπὸ μηδενὸς τῶν

pulſus erit. Eas enim complicationes infinitas numero (quas nemo mortalium nec obſervaverit, nec complexus memoria fuerit, ſed in disputando tantum comparari poſſe ſophiſtae jactent, in arte vero admin ſtranda inanes deprehendantur, nec ulla poſſe facultate parari) erit contexere neceſſe. Jam ſecundum magis et minus in omnibus, quae narravimus, iſtae inter ſe conjugationes different, ut certe differunt, ad quem ſtuporem obſervationem adducent apertum eſſe cenſeo. Proinde ſatius fortaſſe ſit, ne hic longior ſim, nec immorer in demonſtranda difficultate empiricae obſervationis et immenſa longitudine, verum rationem ut aliquam et viam tradam, cujus praeſidio omnem facile, quem experientia oſtendit, fructum capiamus. Quaenam tandem eſt illa via? haec eſt. Ubi optimam conſtitutionem invenerimus corporis noſtri, primum animadvertendum eſt, qui ejus pulſus ſunt, neque obiter id vel negligenter, ſed in eo ſtatu hominem accipiemus, ubi ſuum proprium motum

Ed. Chart. VIII. [132.] Ed. Baf. III. (67.)

ἔξωθεν αἰτίων τετραμμένοι. γένοιτο δ᾽ ἂν τοῦτο μήτ᾽ ἀργίᾳ μακρᾷ κατεσχημένου μήθ᾽ ὑπόγυιον γεγυμνασμένου, ἀλλὰ μηδ᾽ ἐν ἀσιτίᾳ μακρᾷ γεγονότος, ἢ ἀρτίως ἐδηδοκότος. εἶναι δὲ χρὴ καὶ τὸ περιέχον εὔκρατον δηλονότι καὶ τὸν ἄνθρωπον ἔξω τῶν ψυχικῶν παθημάτων, ἐν γαλήνῃ καθαρᾷ τὴν ψυχὴν ἔχοντα. μετὰ δὲ ταῦτα τὰς μοχθηρὰς τοῦ σώματος κατασκευὰς εὑρόντα πρῶτον μὲν ἐξαριθμήσασθαι τὰς διαφορὰς αὐτῶν, ἔπειτα δὲ τάς τε ὑπερβολὰς, καὶ τὰς ἐνδείας τὰς ἐν αὐταῖς κατιδόντα τῇ συμμέτρῳ τε καὶ ἀρίστῃ παραβάλλειν, καὶ λογίσασθαι μὲν πρῶτον, ὅσον εἰκὸς διαλλάττειν τοὺς ἐν ταῖς τοιαύταις φύσεσι σφυγμοὺς τῶν ἐν τῇ ἀρίστῃ, ἔπειτα καὶ δι᾽ αὐτῆς τῆς πείρας βασανίσαι τὸν λόγον, εἰ ὁμολογεῖ τοῖς ἐναργέσι, καὶ τοῦτο πολλάκις ποιήσαντα καὶ δι᾽ ἀσκήσεως μακρᾶς τόν τε λογισμὸν καὶ τὴν ἁφὴν γυμνάσαντα, τότε νομίζειν ἤδη βεβαίως ἐπίστασθαι τόν τε σύμμετρον ἐν ἅπασι τοῖς γένεσιν τῶν σφυγμῶν καὶ τοὺς ὁπωσοῦν ὑπερβάλλοντας τοῦδε, ἢ ἐλλείποντας. ἐμοὶ μὲν εἴρηται τὸ πᾶν· ὅστις δὲ ἢ τὴν φύσιν τοῦ σώματος ἡμῶν, ἢ τὰς μοχθηρὰς οὐκ

pulfus a nulla externa caufa immutati retineant. Hoc fiat, fi non in longo otio fit verfatus, nec recens exercitatus, nec vero etiam diu jejunaverit, vel modo comederit, aër praeterea temperatus fit oportet, ipfeque omnibus liber animi affectibus et tranquilliffimam mentem habeat. Poftea inveftigandae funt corporum vitiofae conftitutiones, tumque primum earum recenfebis differentias, deinde quos in illis exceffus repereris atque defectus, hos ad moderatam et optimam conferes. Jamque quum animo reputabis primum, quantum oporteat iftarum naturarum pulfus diffidere ab optimae pulfu, deinde ab ipfa experientia rationem hanc, fi conftet veritati, explorabis. Quod quum fubinde feceris et longo ufu rationem exercitaveris et tactum, tum putabis demum certo te moderatum tenere in omni genere pulfuum, illosque etiam qui aliquo modo ultra hunc funt et citra. Habes fummam. Proinde quicunque aut corporis noftri optimam naturam, aut vitiofas non novit, aut ratione qui-

οἶδεν, ἢ λόγῳ μὲν αὐτὰς ἐπεσκέψατο, διαγινώσκειν δ᾽ ἐντυγχάνων οὐκ ἐμελέτησεν, οὐδὲ ἂν ἔχοι πλέον ἐκ τοῦ παρόντος λόγου. δικαίως οὖν ἐστιν ἐκεῖνα πρότερον ἐκμαθὼν οὕτως ἐπὶ τάδε ἥκειν. καὶ γὰρ οὐ τὴν τυχοῦσαν ἐν αὐταῖς εὑρήσει διαφωνίαν τοῖς τε παλαιοῖς ἰατροῖς πρὸς ἀλλήλους τοῖς τε νεωτέροις οὐ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς παλαιούς. οὔτε γὰρ τίς ἡ ἀρίστη φύσις ὡμολόγηται πᾶσιν οὔτε τῶν μοχθηρῶν ὁ ἀριθμὸς εὕρηταί πως. καὶ τὰ σημεῖα, δἰ ὧν τις ἢ τὰς ἀρίστας, ἢ τὰς μοχθηρὰς γνωρίζοι, παντάπασιν ὀλίγοι τῶν ἰατρῶν ἔγραψαν. εἰ δὲ καὶ ταῦτα πάντα τοῖς ἔμπροσθεν ὡμολόγητό τε καὶ δεόντως εὕρητο, διαγινώσκειν γοῦν ἐπ᾽ αὐτῶν τῶν ἔργων τὰς φύσεις ἐχρῆν πρότερον ἀσκήσαντας, καὶ οὕτως ἐπιχειρεῖν τῇ περὶ τοὺς σφυγμοὺς τέχνῃ. τάχα τινὲς ἀχθεσθήσονται τῷ πλήθει τῆς ἐπεισαγομένης θεωρίας, ἀλλ᾽ ἡμεῖς γ᾽ οὐκ ἀχθεσθησόμεθα προπηλακιζομένου τοῦ πράγματος. οὐδὲ γὰρ ἠλπίσαμέν ποτε πάντας ἀρέσκειν, ἢ ὠφελήσειν αὐτό. πάνυ δὲ τοῦτο σαφῶς καὶ ἀκριβῶς ἐπιστάμενοι, πλὴν ἑνὸς τοῦ τῆς ἀληθείας ἐραστοῦ, τοῖς

dem perfpexit eas, fed ufu ut dignosceret non laboravit, nihil huic fructus feret hic fermo, fiquidem illa prius funt edifcenda, poftea huc veniendum. Etenim in non parvam incidet controverfiam, quam veteres medici de his inter fe habuerunt, et juniores non folum inter fe, fed cum veteribus etiam. Nam nec optima natura, quae fit inter omnes convenit; neque dum vitiofarum eft inventus numerus, et figna quibus vel optimas, vel pravas cognoscas, admodum pauci medici literis prodiderunt. Quod fi vel haec omnia apud majores noftros confeffa fint et ordine inventa, deberent tamen naturas discere prius experiundo, itaque ad artem fe de pulfibus conferre. Erunt fortaffe quibus longitudo displicebit hujus, quam induco, contemplationis. Nos vero fi inftitutum noftrum fugillent, non offendemur; neque enim probatum unquam iri fperavimus omnibus, aut ufui futurum. Nam quum admodum liquido et certo fcirem, praeter unum veritatis amatorem, reliquos omnes

ἄλλοις ἅπασι λῆρον εἶναι μακρὸν δόξαι τοὺς τοιούτους λόγους, ἐπὶ τὴν διέξοδον αὐτῶν ἐτραπόμεθα τὸν ἕνα τῶν πολλῶν προτιμήσαντες. εἰ δὲ δὴ καὶ ἡμᾶς τις αὐτοὺς ἐθεάσατο περὶ τοῖς νοσοῦσι τά τε προγεγονότα καὶ μέλλοντα προλέγοντας, οἶμαι καὶ τοῦτον, εἰ μὴ παντάπασιν εἴη κηφὴν, ἐρασθήσεσθαι τῆς θεωρίας, εἰ καὶ μακροτέρα φαίνοιτο, χρήσιμον οὕτω καὶ καλὸν τέλος ἐπαγγελλομένης.

Κεφ. γ'. [133] Μαθὼν οὖν τις πρότερον ὡς χρὴ τὴν ἀρίστην τοῦ σώματος ἡμῶν γνωρίζειν φύσιν, ἑτέρωθι δ' αὐτῆς εἴρηται τὰ γνωρίσματα, τὸν ἐν ταύτῃ σφυγμὸν μέσον ἁπασῶν τῶν ἄλλων ἴστω καὶ οἷόν τι μέτρον καὶ κανόνα τοῦτον ἐν ἁπάσαις ταῖς περὶ σφυγμῶν πραγματείαις, τὸν σύμμετρόν τε καὶ μέτριον ὑφ' ἡμῶν μεμνήσθω λέγομενον, ᾧ παραβάλλοντες τοὺς ἄλλους ἅπαντας ταχεῖς καὶ βραδεῖς καὶ μεγάλους καὶ μικροὺς εἶναί φαμεν. ὁ δ' ἐν τῇ συμμέτρῳ τε καὶ κατὰ πᾶν ἀρίστῃ φύσει, τοῦτον οὐδὲ καλεῖσθαι δίκαιον οὔτε μέγαν οὔτε μικρὸν οὔτε ταχὺν οὔτε βραδὺν, ἀλλ' οὐδὲ σκληρὸν, ἢ μαλακὸν, ἤ τι τῶν ἄλλων τῶν τὰς ἀμετρίας δηλούντων ὀνομάτων. ἀλλ' ὥσπερ ἐν τῷ περὶ κράσεων

pro nugis meris habituros quae doceo, tamen aggreſſus ſum ad haec explicanda, ac unum illum multis praepoſui. Porro autem ſi nos ipſos quis de aegrotis vidit praeterita et futura praedicere, hunc etiam puto, niſi plane ſit fucus, etiam ſi videatur longior, quum tam utilem exitum tamque praeclarum polliceatur, hanc commentationem amplexaturum.

Cap. III. Qui ergo ante intellexit naturam corporis noſtri optimam cognoscendam eſſe (cujus nos alio loco indicia prodidimus) hujus ſciat pulſum eſſe inter omnes alios medium, et veluti menſuram quandam regulamque in omnibus lucubrationibus de pulſibus hunc moderatum et medium a nobis meminerit appellari, cum quo ubi alios omnes comparamus, celeres, tardos, magnos, parvos dicimus eſſe. At pulſum moderatae naturae et undequaque optimae non recte vocaveris magnum, parvum, celerem, tardum, nec etiam durum, vel mollem, nec quoquam alio nomine, quod immoderationem interpretetur. Imo ut in

λόγῳ τὴν ἀρίστην ἁπασῶν κρᾶσιν οὔτε θερμὴν ἔφαμεν οὔτε ψυχρὰν οὔτε ξηρὰν οὔθ᾽ ὑγρὰν οὔτε μαλακὴν οὔτε σκληρὰν ὑπάρχειν, (ἁπάσας γὰρ ταύτας ὑπερβολαῖς τέ τισι καὶ ἐλλείψεσι τῆς τε μιᾶς ἐκείνης τῆς εὐκράτου τε καὶ συμμέτρου συνίστασθαι,) οὕτω καὶ νῦν οὔτε μέγαν οὔτε μικρὸν οὔτε ταχὺν οὔτε βραδὺν οὔτ᾽ ἄλλ᾽ οὐδὲν ὅσα τῆς μετριότητος ἐξίσταται τὸν ἐν τῇ καλλίστῃ φύσει σφυγμὲν οὔτε προσαγορεύσομεν οὔτε νοήσομεν. οὐδε γὰρ αὐτὸν τὸν ἄνθρωπον, ἐν ᾧ τὸν τοιοῦτον εὑρίσκομεν σφυγμὸν, οὐδενὶ τῶν τὰς ἀμετρίας δηλούντων ὀνομάτων προσαγορεύομεν· οὔτε γὰρ παχὺν οὔτ᾽ ἰσχνὸν οὔτε θερμὸν οὔτε ψυχρὸν, ἢ ὑγρὸν, ἢ ξηρὸν, οὔτε ἄλλ᾽ οὐδὲν τοιοῦτον, ἀλλ᾽ εὔκρατόν τε καὶ σύμμετρον ἅπασι τοῖς μορίοις τοῦ σώματος ὀνομάζομεν. ἐν τούτῳ τοίνυν, ὅταν γε μάθῃς αὐτὸν διαγινώσκειν, ἁπάσας τὰς διαφορὰς τῶν σφυγμῶν ἐπισκεψάμενος, μέμνησό τε καὶ κρίνων πρὸς αὐτοὺς τοὺς ἄλλους ἅπαντας σφυγμοὺς, ἢ σκληροὺς οὕτως, ἢ μαλακοὺς, ἢ ἀραιοὺς, ἢ πυκνοὺς, ἤ τι τῶν ἄλλων ἀνάλογον κάλει. ὁπότ᾽ οὖν ἤδη ἔχειν τὸ πᾶν δοκοῦμεν, οὐ χεῖρον

opere de temperamentis omnium optimam temperaturam nec calidam esse docuimus, nec frigidam, nec siccam, nec humidam, neque mollem, neque duram, (quippe hasce omnes quibusdam excessibus defectibusque constare unius illius temperatae et moderatae) sic nunc etiam nec magnum, nec parvum, nec celerem, nec tardum, nec quicquid aliud quod a mediocritate deflectit, pulsum optimae naturae vel appellabimus vel intelligemus. Nec vero etiam ipsum hominem in quo eum pulsum reperimus, ullo nomine quod quidem moderationem non significet, nominabimus. Non enim crassum, non gracilem, non calidum, frigidum, humidum, siccum, nullo denique alio nomine, verum nominamus omnibus partibus corporis temperatum et moderatum. Ad quem quum dignoscere quidem illum didicisti, pulsuum omnes differentiae perpensae cave excidant, et ubi aestimes ad illas reliquos omnes pulsus, vel duros ita, vel molles, vel raros, vel crebros, vel alio nomine ad eundem modum voca. Nunc ergo, quando summam consecuti videmur esse,

ἂν εἴη κινῆσαί τινα ἀπορίαν ἀναγκαίαν, ἵνα δόξαντες μηδὲν εὑρῆσθαι μηδέπω, προσθεῖναί τινα τῷ λόγῳ πειραθῶμεν διορισμὸν, ὃς ἡμᾶς πείσει τε ἅμα καὶ διδάξει, πρῶτον μὲν, ὡς ἤδη τὸ πᾶν ἔχομεν, ἐφεξῆς δὲ τὴν τελεωτάτην τῶν προκειμένων ἐνδείξεται διάγνωσιν. ἀρκτέον οὖν ἤδη τῆς ἀπορίας καὶ ῥητέον, ὡς οὐκ ἐνδέχεται πάσας τὰς ἐν τῷ σώματι πεφυκυίας ἀρτηρίας οὔτ᾽ ἴσας ἀλλήλαις ὑπάρχειν οὔτ᾽ εἰς ἴσον διαστέλλεσθαι. πῶς γὰρ ἐνδέχοιτο τὴν ἐπὶ τῆς ῥάχεως ἀρτηρίαν ταῖς κατὰ τὸν τράχηλον, ἢ τὰς μασχάλας τε καὶ τοὺς βουβῶνας, ἢ αὐτὴν ἴσην ὑπάρχειν, ἢ τὴν διαστολὴν αὐτῆς ταῖς ἐκείνων διαστολαῖς; πολὺ δὲ δὴ μᾶλλον οὐδὲ ταῖς κατὰ τοὺς ἀγκῶνάς τε καὶ ἰγνύας, καὶ μᾶλλον ἔτι ταῖς κατὰ τοὺς καρπούς τε καὶ τοὺς ταρσοὺς, καὶ πολὺ δὴ μᾶλλον ἔτι ταῖς κατὰ τοὺς κροτάφους τε καὶ τοὺς δακτύλους. οὐκ οὖν ἐνδέχεται κατὰ τὸ πο(68)σὸν τῆς διαστολῆς ἕνα σφυγμὸν εἶναι τὸν σύμμετρον οὐδ᾽ ἐν αὐταῖς ταῖς ἀρίσταις φύσεσιν, ἀλλὰ τὸ μὲν ἐν τῇ κινήσει τε καὶ τῷ τόνῳ καὶ τοῖς ἄλλοις γένεσιν ἕνα τυγχάνειν εἰκὸς ὑπάρχοντα κατὰ πάσας τὰς ἀρτηρίας. οὐ γὰρ οἷόν τε κατὰ φύσιν ἔχοντος τἀνθρώπου, καὶ μάλιστα

non fane incommodum erit fi dubitationem quandam neceffariam exeitem; quo fi nihil dum inventum arbitremur, explicationem fermoni apponere conemur, quae adducat nos, fimulque doceat, primum fummam nos jam obtinuiffe; deinde abfolutiffimam eorum notitiam, de quibus agimus, commonftret. Ac exordienda quidem modo dubitatio eft, dicendumque non poffe omnes, quae in corpore funt, arterias neque effe aequales inter fe, nec aequaliter diftendi. Qui enim poffet dorfi arteria arteriis colli, aut alarum et inguinum, vel ipfa par effe, vel ejus diftentio illarum distentionibus? ac multo vero minus arteriis ulnarum atque poplitum, adhucque etiam minus arteriis carporum et tarforum, adhucque minus arteriis temporum digitorumque. Non poteft itaque pulfus unus in quantitate diftentionis moderatus effe, ne fi optima quidem fit natura, fed in motu et robore, caeterisque generibus ufus effe per omnes arterias poteft. Neque enim poffunt, dum in natura fua con-

τοῦ τὴν ἀρίστην κεκτημένου κατασκευὴν, τὰς μέν τινας τῶν ἀρτηριῶν θᾶττον, τὰς δέ τινας βραδύτερον, ἢ τὰς μὲν σφοδρότερον, τὰς δ᾽ ἀμυδρότερον, ἢ τὰς μὲν σκληρότερον, τὰς δὲ μαλακώτερον, ἢ τὰς μὲν πυκνότερον, τὰς δ᾽ ἀραιότερον σφύζειν· ἀλλὰ παραπλησίως ἀλλήλαις τε καὶ τῇ καρδίᾳ πάσας ἀναγκαῖον κινεῖσθαι, τῷ δ᾽ ὄγκῳ [134] καθάπερ τὰ σώματα αὐτῶν διήνεγκεν, οὕτω καὶ τὰς διαστολὰς εἰκὸς εἶναι διαφερούσας. ἴσως οὖν τις ἡγήσεται πρόχειρον εἶναι τῆς ἀπορίας τὴν λύσιν. οὐδὲν γὰρ κωλύει ἤτοι τῶν κατὰ τοὺς καρποὺς μόνων ἀρτηριῶν ἁπτόμενον ἀεὶ πηλίκος μὲν ἐν ταῖς ἀρίσταις φύσεσιν ὁ ἐν αὐταῖς ἐστι σφυγμὸς ἐπίστασθαι, πηλίκος δὲ τῶν ἐν ταῖς ἄλλαις ἕκαστος ὁ τούτῳ παραβαλλόμενος, ἢ καὶ νὴ Δί᾽ εἴ τις ἐθέλοι, καὶ τῶν κατὰ τοὺς ταρσοὺς, ἤ τι μέρος ἄλλο τοῦ σώματος, μεμνῆσθαι χρὴ τοῦ ποσοῦ τῆς διαστολῆς, ἐπί γε τῆς ἀρίστης φύσεως, ἵν᾽ ἔχῃ μετρεῖν τούτοις τοὺς ἐν τοῖς αὐτοῖς μέρεσιν ἐν ταῖς ἄλλαις φύσεσι γιγνομένους σφυγμοὺς, οὐδὲν ἄτοπον οὔτε χαλεπὸν οὔτε δύσγνωστον ἔσεσθαι· ἀλλ᾽ ὁ ταῦτα λέγων οὐκ οἶδεν ἐν τοῖς περὶ τῆς ἀρίστης τοῦ

ſtat homo, praeſertim ſi optimam adeptus conſtitutionem ſit, quaedam celerius arteriae, aliae tardius, vehementius, languidius, durius, mollius, crebrius, rarius pulſare; ſed ſimilem quum inter ſe mutuo, tum cum corde motum omnes neceſſe eſt habeant; magnitudine vero, ut eorum differant corpora, ita diſtentiones par eſt eſſe diverſas. Putabis igitur ad manum eſſe ſolutionem haeſitationis, quod nihil cauſae ſit, quin qui carporum tantum arterias ſemper tangat, quantus in optimis naturis ſit pulſus earum noscat, et vero etiam quantus in aliis quisque, ſi cum hoc comparetur. Et hercle ſi velis arterias etiam tarſorum pedum tangere, aut partium aliarum corporis, diſtentionis retinenda quantitas eſt in optima quidem natura, quo poſſis ad hos aeſtimare earundem partium pulſus, qui in alias naturas incidunt; neque hic quicquam conſecuturum abſurditatis aut difficultatis, neque multum laboris in cognoscendo fore. Verum haec qui dicit, in libro De optima corporis conſtitutione

σώματος κατασκευῆς ἀποδεδειγμένον, ὡς ἔν τε μεγάλοις καὶ μικροῖς σώμασιν ὁμοίως συνίστασθαι πέφυκεν ἡ τοιαύτη φύσις. εἰ γὰρ τοῦτ᾽ ἐγίνωσκεν, οὐκέτ᾽ ἂν οὔτε τῶν ἀρτηριῶν αὐτῶν τῶν καθ᾽ ἕκαστον μόριον οὔτε τῶν κατ᾽ αὐτὰς διαστολῶν τὸν ἴσον ἐνόμιζεν ὄγκον ἐν ἁπάσαις εἶναι ταῖς ἀρίσταις φύσεσιν, ἀλλ᾽ ἐξαλλάττεσθαι κατά τε τὰ μεγέθη τῶν σωμάτων καὶ τὰς μικρότητας, ὥστε μένειν τὸ ἐξ ἀρχῆς ἄπορον, οὐ δυναμένων ἡμῶν ἕνα σύμμετρον ἐξευρεῖν κατὰ τὸ ποσὸν τῆς διαστολῆς. ἆρ᾽ οὖν ἄξιον ἐπειδὴ τελέως ἠπορήκαμεν, ἁπάντων θαυμάσαι τῶν ἰατρῶν, μεγάλους μὲν ἀεὶ καὶ μικροὺς, ὡς ἔτυχεν, ὀνομαζόντων σφυγμοὺς, πηλίκος δέ τις ὁ σύμμετρος, ᾧ παραβάλλοντες αὐτοὺς εὑρήσομεν, οὐ διδασκόντων; ἐοίκασι γὰρ οὐδ᾽ εἰς ἔννοιάν τινα διηρθρωμένην ἀφῖχθαι τοῦ τοιούτου σφυγμοῦ, ἀλλὰ μᾶλλον ἐν τῷ πρός τι κατηγορεῖν μέγα, ἢ μικρὸν, ἐν ἴσῳ τῷ μείζονά τε καὶ μικρότερον. ἐγὼ γοῦν καὶ τῶν καθ᾽ ἡμᾶς ἀρίστων ἰατρῶν, ὅταν ἁψάμενοί τινος μέγαν, ἢ μικρὸν εἴπωσι τὸν σφυγμὸν, εἴωθα πολλάκις πυνθάνεσθαι, τίνος αὐτὸν μείζονα λέγουσιν,

ignorat demonftratum effe, aeque in magnis corporibus ac in parvis conftare eam naturam poffe. Quod fi fciret, nequaquam neque ipfas arterias fingularum partium putaret neque diftentiones earum parem poffidere in omnibus optimis naturis magnitudinem; caeterum prout magna fint corpora vel parva, ita variare. Unde fit ut nondum discuffa prima fit haefitatio, quia moderatum unum invenire in distentionis quantitate non valemus. Proinde operae pretium eft, quandoquidem hic prorfus haeremus, omnes medicos demirari, qui magnos temere appellant perpetuo et parvos pulfus; quantus autem moderatus fit, ex cujus comparatione alios reperiemus, non tradunt. Videantur enim parum diftincte illi ejuscemodi pulfum concepiffe, fed referentes potius ad aliquid, magnum vel parvum dicere, perinde ut majorem et minorem. Equidem etiam noftrae memoriae foleo praeftantiffimos medicos, ubi tangentes aliquem magnum vel parvum effe dicant, frequenter rogare, quonam

ἢ τίνος μικρότερον. οἱ δὲ τοῦ κατὰ φύσιν φασίν. αὖθις δ' ἂν ἐρωτήσαντος ἐμοῦ, τοῦ τίνος κατὰ φύσιν, οὐχ ὅπως ἀξίαν ζητήσεως εἶναι νομίζουσι τὴν ἐρώτησιν, ἀλλὰ καὶ θαυμάζουσιν, εἴ τινος ἄλλου νομίζοιμι λέγειν πλὴν αὐτοῦ τοῦ νοσοῦντος, οὗπερ ἂν ἐν τῷ παρόντι τυγχάνωσιν ἁπτόμενοι, ἐπεὶ τοῦτό γε καὶ τοὺς παῖδας ἤδη γιγνώσκειν φασὶν, ὡς ἄλλος ἄλλου μείζονά τε καὶ μικρότερον ἐν αὐτῷ τῷ ὑγιαίνειν ἔχει σφυγμόν. ἆρ' οὖν οὗτοι μὲν οὕτως, οἱ δὲ τούτων βελτίους, οἳ τὰ περὶ σφυγμῶν ἡμῖν συγγράμμματα καταλιπόντες ἑτέρως ὑπολαμβάνουσιν, ἢ κἀκεῖνο παραπλησίως; οἵ γε δὴ λέγουσιν ἦρος μὲν καὶ φθινοπώρου τὰ μέσα μεγίστους ἐργάζεσθαι τοὺς σφυγμοὺς, χειμῶνος δὲ καὶ θέρους ἐλαχίστους, οἱ δὲ μεταξὺ τῶν εἰρημένων καιροὶ μέσους μεγάλων τε καὶ μικρῶν. οὐδὲ γὰρ οὐδ' οὗτοι δοκοῦσί μοι λέγειν ἁπλῶς ἢ μεγάλους, ἢ μέσους, ἀλλ' ἐν τῷ πρός τί. διὰ τοῦτο γοῦν καὶ προστιθέασιν αὐτῶν τινες ἐν τῷ λόγῳ τὸ ὡς ἐν ὥραις, ὡδί πως γράφοντες· ἦρος μὲν καὶ φθινοπώρου τὰ μέσα μεγίστους ὡς ἐν ὥραις ἐργάζεται τοὺς σφυγμούς. οἱ δ' αὐτοὶ κἀν ταῖς

illum dicant majorem, aut quo minorem. Illi naturali respondent. Iterum quum quaesivi, quo illo naturali? non modo existimant non dignam investigatione quaestionem, verum etiam demirantur, cujus putem eos alius dicere ac ipsius aegroti, quem in praesenti tetigerint. Quin hoc latere ne pueros quidem autumant, alio alium per commodam valetudinem majorem et minorem pulsum habere. An sic quidem hi, qui vero his praestant, qui libros nobis de pulsibus reliquerunt conscriptos, aliane sunt in opinione, an in eadem illa? Hi quidem certe dicunt veris medium et autumni efficere maximos pulsus, hiemis et aestatis minimos, quae inter haec tempora intercedunt, medios inter magnos et parvos. Nam videntur mihi ne hi quidem absoluto sermone proferre magnos, vel parvos, sed referre ad aliquid. Itaque ex illis sunt quidam qui sermoni addant illud (pro anni temporibus) et scribant in hunc modum, Veris medium et autumni maximos, pro anni temporibus quidem, pulsus efficiunt. Iidem nec in aetatibus scribunt ab-

ἡλικίαις οὐχ ἁπλῶς γράφουσιν, ὥσπερ ἕτερος, μεγάλους μὲν εἶναι τοὺς ἀκμαζόντων, μικροὺς δὲ τοὺς τῶν παίδων καὶ τῶν γερόντων, ἀλλὰ κἀνταῦθα προσγράφουσιν, ὡς ἐν ἡλικίαις. ὥσθ᾽ οὕτως λέγουσι τοὺς μεγάλους καὶ μικροὺς, ὡς εἰ καὶ μείζονας ἔλεγον καὶ μικροτέρους, ἀλλήλοις παραβάλλοντες δηλονότι αὐτοὺς, οὐκ ἐν τῷ συμμέτρῳ. ὅτι δ᾽ ἀλλήλοις, δῆλον οἶμαι κἀξ αὐτῆς ὑπάρχειν τῶν πραγμάτων τῆς φύσεως, ὑπὲρ ὧν δια[135]λέγονται. οὐ γὰρ δὴ πάντων γε τῶν ἀνθρώπων ὡσαύτως οἱ σφυγμοὶ μέγιστοι τυγχάνουσιν ὄντες ἐν τοῖς μέσοις τοῦ ἦρος, ἀλλ᾽ ἑκάστου κατὰ τὴν ἰδίαν φύσιν. καὶ τοῦτο μέντοι καὶ αὐτὸ παχεῖ λογισμῷ παντάπασιν ἀδιάρθρωτον καὶ συγκεχυμένον. λῆρος γὰρ οὐ σμικρὸς, εἴ τις οἴοιτο τῷ χολώδει τε καὶ θερμῷ καὶ διακαεῖ τὴν φύσιν, ἢ τὸ ἐναντίον αὐτοῦ τῷ φλεγματώδει τε καὶ ψυχρῷ μεγίστους ἐν ἦρος μέσῳ γίγνεσθαι τοὺς σφυγμούς. ἐν μὲν γὰρ ταῖς διατριβαῖς καὶ μέχρι λόγου τάχ᾽ ἂν ἴσως δόξειε γίγνεσθαι, πειρωμένοις δ᾽ οὐκ ἂν εὑρεθεῖεν. τοὺς μὲν γὰρ θερμοτέρους καὶ ξηροτέρους τὴν κρᾶσιν οὐκ ἀναμένοντας ὄψει τὰ μέσα τοῦ ἦρος, ἀλλὰ πολὺ πρότερον τοὺς σφυγμοὺς μεγίστους σφῶν αὐτῶν ἴσχοντας, τοὺς δ᾽ ἐναντίους αὐτοῖς τοὺς ὑγροτέρους

ſolute, ut alii magnos eſſe juvenum, puerorum parvos et ſenum, ſed addunt hic quoque, pro aetatibus. Proinde ſic pronunciant magnos et parvos, ut ſi majores dicant et minores; nimirum eos inter ſe invicem conferentes, non cum ipſo moderato. Nam mutuo ipſam puto demonſtrare rerum, de quibus diſſerunt, naturam, nam non omnium mortalium medio vere aeque pulſus maximi ſunt, ſed cujusque pro ſua natura. Porro id ipſum quoque craſſa ratione omnino indiſtinctum eſt et confuſum, nugae enim ſint merae, ſi cenſeas illi, qui bilioſa, ſicca, calida et aduſta natura eſt, aut contra, qui pituitoſa atque frigida, maximos medio vere pulſus eſſe. In disputationibus ita utique et verbotenus forſitan videantur habere; quod ſi periculum facias, non reperiantur. Quippe calidiores et ſicciores temperamento non expectare conſpicias medium ver, ſed multo habere ante ſuos maximos pulſus, jam contrarios his humidiores et

Ed. Chart. VIII. [135.] Ed. Baf. III. (68.)

τε καὶ ψυχροτέρους ἐπέκεινα πολὺ τῶν μέσων τοῦ ἦρος, ἤδη τοῦ θέρους ἀρχομένου. μόνους δὲ τοὺς τὴν ἀρίστην κατασκευὴν τοῦ σώματος ἔχοντας ἐν τοῖς μέσοις τοῦ ἦρος ἔστιν εὑρεῖν μεγίστους σφῶν αὐτῶν τοὺς σφυγμοὺς ἴσχοντας. οὕτω δὲ καὶ κατὰ τὰς ἡλικίας ἔχει. καὶ γὰρ τούτων αἱ μὲν εὔκρατοι τοῖς μέσοις τοῦ ἦρος, αἱ δὲ δύσκρατοι πρότερον, ἢ ὕστερον, μεγίστους ἔχουσι τοὺς σφυγμούς. ἀλλ᾽ οὐδεὶς τῶν ἰατρῶν οὐδὲν ἡμῖν τούτων διωρίσατο, ἀλλ᾽ ὡς ἂν πάντων ἀνθρώπων ὁμοίως διατιθεμένων ἐν ἑκάστῃ τῶν ὡρῶν, οὕτως ἀποκρίνονται. καίτοι τά γ᾽ Ἱπποκράτους οὐκ οἶμαί τινα λανθάνειν, ὅσα τε καὶ οἷα περὶ τῶν ὡρῶν εἴρηται παρ᾽ αὐτῷ, σαφῶς ἐνδεικνυμένῳ, μήτε φύσεις μήθ᾽ ἡλικίας ἁπάσας πρὸς τῶν αὐτῶν ὡρῶν ὡσαύτως διατίθεσθαι. τοὺς μὲν γὰρ ὁ χειμὼν ἰσχυροτέρους καὶ ὑγιεινοτέρους καὶ κατὰ πάντα βελτίους, τοὺς δὲ τὸ θέρος ἐργάζεται. πῶς οὖν ἐνδέχεται τὸν ὠφελούμενον τῷ βλαπτομένῳ τὴν αὐτὴν ἔχειν τροπὴν τῶν σφυγμῶν; πῶς δ᾽ οὐκ αἰδοῦνται γράφοντες ἡμῖν ἁπλῶς οὕτως καὶ ἀδιορίστως, ἦρος τὰ μέσα μεγίστους ἐργάζεται τοὺς σφυγμούς; εἰ γὰρ μὴ προσθείη τίσι μεγίστους, οὐδὲν ἐμάθομεν. πῶς δ᾽,

frigidiores longe ultra medium ver, ineunte jam aeftate; foli vero, qui optimam funt nacti conftitutionem corporis, inveniantur medio vere maximos fuos pulfus obtinere. Eadem in aetatibus ratio eft, inter quas temperatae medio vere, intemperatae ante vel poft habent pulfus maximos. Verum nullus haec quisquam medicus diftinxit, adeo ut fi omnes homines parem ftatum in unoquoque anni tempore haberent, ita respondeant. Tametfi Hippocratis fcripta neminem puto latere, quae ille et quam multa de anni temporibus reliquerit; qui aperte oftendit, nec naturas, nec aetates ab iisdam anni temporibus perinde omnes affici, quosdam enim robuftiores fimul hiems faniores que et in omnes partes meliores, aliquos aeftas reddit. Qui fiet igitur ut quod commodat juxta atque id quod officit, mutet pulfus? Quin autem illos pudet adeo nobis nude fcribere et praeter omnem diftinctionem, medium ver pulfus creat maximos; nam ni additum fit, quibusnam maximos, nihil didicerimus. Quin porro,

ὅταν εἴπωσιν θέρους καὶ χειμῶνος μικροὺς γίγνεσθαι τοὺς σφυγμοὺς, οὐδ' ἄχρι τοῦ, ποτέρα τῶν ὡρῶν τοὺς σφυγμοὺς μικροτέρους ἐργάζεται, τολμῶσι προσπαραγράφειν; οὐ γὰρ δήπου μικράν γε φήσουσιν εἶναι τὴν διαμαρτίαν, εἴ τις τὸ θέρος τοῦ χειμῶνος οἴοιτο μικροτέρους ἐργάζεσθαι τοὺς σφυγμοὺς, τὸ δ' εἰ τύχοι μείζονας ἐργάζοιτο, ἢ εἰ τὸν χειμῶνα τοῦ θέρους, ἔμπαλιν ἔχοντος τἀληθοῦς. ὅ τι γὰρ ἄν τις εἴπῃ τῶν τριῶν τούτων, εἴτε τὸ θέρος τοῦ χειμῶνος, εἴτε τὸν χειμῶνα τοῦ θέρους, ἢ ἐπίσης ἐν ἀμφοτέροις εἶναι τοὺς σφυγμοὺς, οὐκ ἀληθεύσει, μὴ προσθεὶς τὸ τίσιν. εἰ δὲ προσθείη τε καὶ διορίσαιτο, κατά τε τὰς φύσεις τῶν σωμάτων καὶ τὰς ἡλικίας, ἕκαστον τῶν τριῶν ἀληθὲς γενήσεται, καθάπερ ἡμῖν ἐν τοῖς ἰδίοις περὶ τούτων λόγοις διορίζεται. ἀλλ' οὐθ' αὑτὸν ἕκαστος οὔτ' ἀλλήλους ἐξελέγξαι (69) περὶ τούτων ἠδυνήθησαν, ὡς πολλὰ μὲν ψευδῆ, πολλὰ δ' ἀδιόριστα λέγουσιν, οὐδὲ διὰ μίαν ἄλλην αἰτίαν τὸ τοιοῦτο παθόντες ἢ ὅτι τοῦ συμμέτρου καθ' ἕκαστον γένος σφυγμοῦ παντάπασιν ἀμαθῶς εἶχον. ἢ διὰ τί, καίτοι περὶ πάντων οὕτω πικρῶς ἀλλήλοις ἐρίζοντες, περὶ τούτων οὐδὲ ζητοῦσιν ὅλως,

quum dicant, aeftate et hieme parvos pulfus fieri, hoc certe, utrum tempus reddat minores pulfus, non fuftinent adjungere? Neque vero parvum fcilicet peccatum dicent, fi hieme putes aeftatem minores pulfus efficere, haec vero forte majores efficiat, vel fi hiemem aeftate, quum contra fe res habeat. Nam quodcunque dicas de his tribus, five aeftatem hieme, five hiemem aeftate, five pares utrobique pulfus effe, nifi addas, quibus, mentieris. Sin appofueris et diftinxeris pro naturis corporum et aetatibus, unumquodque ex tribus verum fit, quemadmodum nos, ubi de his privatim egimus, explicavimus. At neque fe ipfum quisque, neque fefe illi mutuo potuerunt hic coarguere, quod tum multa falfa, tum multa indiftincta dixerint; quod illis nulla alia re ufu venit, praeterquam quod moderatum cujusque generis pulfum ignorarent prorfus. Nam quamobrem, quum inter fe mutuo tam decertent acerbe, de hoc ne ver-

ἀλλὰ ταλαιπώρως παρατρέχουσιν; δι' οὐδὲν ἄλλο ἢ ὅτι πεφυρημένον τε καὶ ἀδιάρθρωτον ὑπὲρ αὐτῶν ἔχοντες τὸν νοῦν, ἑνί γε τῷ πρώτῳ σφαλέντι πάντες ἠκολούθησαν, εἶτα περὶ τῶν ἀξιολόγων οὐδεμίαν εἰς αὐτὰ τὰ τῆς τέχνης ἔργα βλάβην ἢ ὠφέλειαν εἰσφερομένων πικρῶς ἐριζόντων οὐκ ἀλλήλοις μόνον, ἀλλὰ καὶ Ἡροφίλῳ. καὶ ταῦτα μέντοι τῆς ἔριδος ὑπὲρ ἀδήλων πραγμάτων συνισταμένης καὶ πολλῶν καὶ μακρῶν λόγων, ἵν' ἀποδειχθῇ, δεομένων, [136] περὶ τῶν οὕτως ἐναργῶν, ὡς καὶ διὰ μόνης τῆς αἰσθήσεώς ἔνεστι λαβεῖν, οὔτ' αὐτοὶ διωρισμένως γράφουσιν οὔτε τοὺς σφαλέντας ἐλέγχουσιν, οὐδ' εἴ τις τῶν παλαιῶν ἕτερόν τι παρὰ τὸ δοκοῦν αὐτοῖς ἔγραψε, μνημονεύουσιν. ἀλλὰ μικρὸν μὲν τὸν τοῦ παιδὸς εἰρήκασι σφυγμὸν, ὡσαύτως δὲ καὶ τὸν τοῦ γέροντος μικρὸν, ὁπότερος δ' αὐτῶν μικρότερος, οὐκέτι γράφουσι, καίτοι σαφῶς Ἡροφίλου τοῖς τε μὴ παρέργως ἐντυγχάνουσιν αὐτοῦ τοῖς βιβλίοις ὑπὲρ ἀμφοτέρων γεγραφότος. ἢ καὶ γελοῖον ἴσως ποιῶ τὰ τοιαῦτα διορίζεσθαι βουλόμενος αὐτοῖς, οἷς οὐδὲ τὰ πρῶτα καὶ ἁπλούστατα καλῶς εἴρηται. μικρὸν

bum quidem faciunt, fed praetermittunt mifere? Nullam fane aliam ob caufam, nifi quia nihil eorum quum intelligerent liquido, fed confufe omnia et minime diftincte, unum fcilicet qui primo hallucinatus eft, fequuti omnes funt; et de illis quae nihil prope artis adminiftrationibus nec obfunt nec accommodant, acriter non mutuo tantum inter fe, fed cum Herophilo etiam digladiantur, idque quum contentio illis de rebus obscurius exiftat, quae longam quaerunt quo declarentur et prolixam orationem; de rebus vero tam claris, ut vel folo fenfu deprehendi poffint, neque fcribunt elimate, neque reprehendunt errantes, nec vero fi quis veterum quicquam fcripfit, quod a fua fententia abhorreat, meminerunt. Caeterum pueri effe confirmaverunt parvum pulfum et item fenis parvum, utrius autem fit eorum minor, praetereunt, tametfi de utroque Herophilus plane, fi diligenter ejus libros revolvas, confcripfit. At ridiculus fim, qui haec explicata ab illis poftulem, quum ne prima quidem, nec fimpliciffima recte atque ordine tradiderint. Ita-

γ' οὖν λέγουσι τὸν τοῦ παιδὸς σφυγμὸν, Ἡροφίλου μηδεπώποτε μικρὸν εἰρηκότος, ἀλλὰ ποτὲ μὲν ἱκανὸν τῷ μεγέθει, ποτὲ δὲ ἀξιόλογον, ἤ πως οὕτως ὀνομάζοντος. εἶτα τίς μὲν ἡ κινοῦσα τὰς ἀρτηρίας αἰτία ζητοῦσι καὶ τῶν εἰς τοῦθ' Ἡροφίλῳ γεγραμμένων οὐδὲν παραλείπουσι, τῶν δ' εἰς τὰ ἔργα τῆς τέχνης διαφερόντων θεωρημάτων, οὔτ' εἰ καλῶς οὔτ' εἰ μὴ καλῶς ἔγραψεν Ἡρόφιλος, οὐδενὸς ἔτι μέμνηνται· ὦ πρὸς τῶν θεῶν, οὐ πολὺ μέντοι βέλτιον ἦν, μὴ περὶ τοῦ τέτταρας ὑφ' Ἡροφίλου λέγεσθαι τὰς διοικούσας τὰ ζῶα δυνάμεις ζητεῖν, μηδὲ πικρῶς ἐρίζειν τε καὶ ἀντιλέγειν αὐτῷ περί γε τούτων, ἀλλ' εἴπερ ἐβούλοντο καταβάλλειν τε καὶ διεξελέγξαι αὐτὸν εἰκῆ ληροῦντα, τῶν τοιούτων αὐτοῦ μνημονεύειν, ἃ φανερῶς τοῖς ἐναργέσι μάχεται, καὶ ταῦτα μαρτύρων ἀριθμὸν οὐκ ὀλίγον ἀθροῖσαι κατ' αὐτοῦ δυνάμενοι; τούς τε γὰρ μεθ' Ἡρόφιλον τὰ περὶ σφυγμῶν πραγματευσαμένους καὶ σχεδὸν τοὺς νῦν ἅπαντας ἕξουσι μαρτυροῦντας, ὡς ὁ τῶν παίδων σφυγμὸς μικρότερός ἐστι τοῦ τῶν γερόντων, καὶ πολλῷ γέ τις μικρότερος. ὥστε τὶς ἐμοὶ πρώην

que parvum dicunt pulsum pueri, quem nunquam Herophilus parvum appellavit, sed modo satis magnum, modo insigniter, vel ejuscemodi quopiam nomine vocavit. Tum quae causa sit, inquirunt, quae arterias moveat et eorum quae de hoc scripsit Herophilus, praetermittunt nihil, de praeceptis vero quae ad artis opera intersunt, rectene Herophilus, an secus tractaverit, verbum nullum, o Dii immortales, fecerunt. Atqui nonne longe praestiterat, si quod quatuor statuit Herophilus facultates, quae animalia gubernant et moderantur, de hoc nihil quaererent, nec atrociter rixarentur, vel eum oppugnarent, sed si confutatum hominem vellent et convictum inanium suarum nugarum, ea proferrent quae refragantur his quae sunt plane evidentia, idque quum adversus illum tantum possint cogere testium numerum? Etenim quum illos, qui post Herophili aetatem de pulsibus sunt commentati, tum superstites pene omnes testes habebunt, pulsum puerorum minorem senum esse, atque adeo multo quidem minorem. Etiam quidam mihi

ἔφασκε καταγελῶν ὅλου τοῦ ἐρωτήματος, οὐδὲ ζητήματος ἄξιον εἶναι τὸ πρᾶγμα. πολὺ γὰρ μικροτέρους ὑπάρχειν τοὺς τῶν παίδων, καὶ διὰ τοῦτο καλῶς μηδὲ γεγράφθαι τι περὶ αὐτῶν. τοιούτους οὖν μυρίους ἔχοντες μάρτυρας καὶ τἄλλα φιλονεικοῦντες ἀεὶ πρὸς Ἡρόφιλον, οὐκ οἶδ᾽ ὅπως τὰ τοιαῦτα παραλελοίπασι τὴν ἀρχὴν, οὐδ᾽ εἰ γέγραφεν αὐτὰ γιγνώσκουσιν. οὐδὲ γὰρ αὐτῆς τῆς ἰατρικῆς αὐτοῖς πάνυ φροντίς ἐστιν, ἀλλὰ μόνον ἐκείνων τῶν δογμάτων, ἃ τὰς ἐν ταῖς διατριβαῖς φλυαρίας αὐξῆσαι δύναται. ταῦτ᾽ οὖν ἐκλέγουσι μόνον τῶν Ἡροφίλου βιβλίων τὰ κεφάλαια, τὰ δὲ ἄλλα παντάπασιν ὑπερβαίνουσι, καὶ διὰ τοῦτ᾽ οὐδ᾽ ὅλως ἴσασι τί γέγραφεν Ἡρόφιλος, εἰς μὲν τὰ τῆς τέχνης ἔργα μεγάλως διαφέρον, ἐναντίον δ᾽ οἷς οὗτοι λέγουσι. διὰ τοῦτο γοῦν καὶ περὶ τῶν ῥυθμῶν ὅσα μὲν ἐχρῆν αὐτοὺς ἔτι παῖδας ὄντας ἐν τοῖς τῆς μουσικῆς διδασκαλείοις ἐκμαθεῖν, ταῦτ᾽ οὐδόλως εἰς τὰ τῆς ἰατρικῆς συγγράμματα φέρουσι, τὸ τῶν ὀψιμαθῶν πάθημα πάσχοντες, οὐδὲ σιωπῆσαι δυνάμενοι, κἂν ἑτέρας ᾖ τέχνης. πῶς δ᾽ ἀπὸ ῥυθμοῦ δεῖ σημειοῦσθαι, οὐκέτ᾽ οὐδεὶς ἔγραψεν αὐτῶν. ἀλλ᾽ Ἡρόφιλός γε τὴν ἐναντίαν ὁδὸν ἰὼν αὐτοῖς

nuper ridens, univerfam quaeftionem dictitabat non dignam elfe rem, de qua disputaretur, longe fiquidem puerorum minores effe, quo rectius nihil de his proditum literis effe. Tales quum habeant fexcentos teftes et alioqui Herophilum perpetuo oppugnent, ifta miror, quid femel praeterierint, nec etiam an haec fcripferit fciant. Nimirum non multum de medicina laborant, fed de his duntaxat fententiis quae nugas cumulare in disputationibus poffunt. Quare haec tantum ex Herophili fcriptis capita decerpunt, caetera repudiant prorfus, quod in caufa eft, cur ignorent Herophili fcripta, fi quae mirifice ad artis opera faciunt, fed repugnant fuis decretis. Ideoque de rhythmis etiam quae prima aetate debebant in muficis ludis addiscere, haec temere inferunt libris medicinae. Quibus accidit quod fero discentibus folet. Nam tacere etiam fi ad aliam artem fpectet, non valent, rhythmus vero quae fuppeditet figna, nullus illorum fcripfit. At Herophilus, qui aliam viam ac illi

παραλείπει μὲν ἃ παρὰ τοῖς μουσικοῖς ἐχρῆν μεμαθηκέναι τὸν ἀξίως τῆς τέχνης πεπαιδευμένον, ὡς ἐπισταμένοις δ᾽ αὐτοῖς διαλέγεται, τὸ χρήσιμον εἰς τὴν ἰατρικὴν ἐξ αὐτῶν λαμβάνων. οἱ δ᾽ ὅταν τὴν θαυμαστὴν ταύτην, ὡς αὐτοὶ καλοῦσι, τεχνολογίαν τὴν περὶ τῶν ῥυθμῶν διεξέλθωσιν, οὐκέτ᾽ αὐτοῖς μέλει δεῖξαι, πῶς ἄν τις ἱκανὸς προγνῶναί τι δι᾽ αὐτῶν, ἢ σημειώσασθαι γένοιτο. ταῦτ᾽ ἄρα καὶ τὸν παίδων σφυγμὸν μικρὸν λέγουσιν, Ἡροφίλου τἀναντία γράφοντος, οὐδὲ μέχρι τοσούτου διασκέψασθαι σπουδάζοντες, ὡς ἐννοῆσαι δυνηθῆναι, ποία τις παρὰ τοῖς ἀνθρώποις μεγάλη καὶ μικρὰ διαστολὴ λέγεται. καὶ γὰρ ἐπὶ κύστεων καὶ φυσῶν χαλκευτικῶν καὶ ἀσκῶν καὶ γαστέρων καὶ μητρῶν [137] καὶ παντὸς ἁπλῶς τοῦ κοιλότητά τινα κεκτημένου μεγάλας τε καὶ μικρὰς εἰώθαμεν διαστολὰς ὀνομάζειν. καὶ πολλάκις γε μικρὸν μὲν τὸν ὄγκον εἶναί φαμεν τῆς γαστρὸς, μέγαν δ᾽ εἰ τύχοι τὸν τῆς κύστεως, καὶ μικρὸν μὲν τὸν τοῦ ἀσκοῦ, μέγαν δὲ τὸν τῆς γαστρός· εἴποιμεν δ᾽ ἄν ποτε καὶ τὴν κύστιν εἰς ὄγκον τε μέγαν καὶ διαστολὴν ἀφικέσθαι μεγίστην, τὸν δ᾽ ἀσκὸν καὶ τὸν σάκκον

fecutus eft, praetermittit quae discenda de muficis erant, imbutis probe in arte, mox, ut fi ea teneant, apud eos differit, quod medicinae conducit ex iis accipiens. Illi vero ut praeclaram iftam, quemadmodum ifti appellant, τεχνολογίαν de rhythmis enarrarunt, nihil poftea ftudent oftendere, qua ratione ex illis praefagiendi quid, vel denunciandi compares facultatem. Itaque etiam puerorum effe ajunt parvum pulfum, contradicente Herophilo, nec vero hactenus ftudent perpendere, ut quae apud mortales magna et parva diftentio dicatur, queant affequi. Quippe veficarum, follium fabrorum, utrium, uterorum, omnium denique rerum quae praedita cavitate aliqua funt, magnas et parvas diftentiones folemus vocare. Itaque parvum faepe effe tumorem ventris dicimus, magnum etiam, verbi gratia, veficae et parvum utris, ventris magnum. Dicemus etiam interdum magnopere veficam intumuiffe et diftentam effe maxime: utrem autem et faccum qui viginti ex ejusce-

εἴκοσι πολλάκις ἑαυτῶν ἐντὸς τοιαύτας κύστεις δέξασθαι δυναμένους μηδέπω τὴν μεγίστην ἔχειν διαστολήν. λογιζόμεθα γὰρ, οἶμαι, πρὸς τὴν ἑκάστου τῶν σωμάτων κοιλότητα τὴν διάστασιν αὐτοῦ χρῆναι παραβάλλειν, οὐχ ἁπλῶς ἀποφαίνεσθαι κατὰ πάντων ἑνὶ μέτρῳ χρωμένους. ἔστι γάρ τι τὸ μέτρον ἐν ἑκάστῳ, καθ᾽ ὃ μήτε τείνεσθαι τοὺς τὰς κοιλότητας ἑαυτῶν ἐντὸς ἔχοντας χιτῶνας μήτε χαλαροὺς εἶναι συμβέβηκεν. ὅταν οὖν ἤτοι τάσις ἐν αὐτοῖς, ἢ κοιλότης ἐμφαίνηται, τότε μεγάλας καὶ μικρὰς λέγομεν ὑπάρχειν τὰς διαστολάς. ἡνίκα δὲ μήτε αἰσθητὴν κοιλότητα δυνατὸν ἔτι θεάσασθαι μήτ᾽ ἤδη πονοῦσιν οἱ χιτῶνες ὑπὸ τῆς διαστολῆς τεινόμενοι, μετρίαν τέ τινα καὶ σύμμετρον καὶ κατὰ φύσιν τῷ σώματι τὴν τοιαύτην διάστασιν εἶναί φαμεν. τί δὴ οὖν χαλεπὸν ἐκ τούτων ὁρμηθέντας ἐννοῆσαι περὶ τῆς ἀρτηρίας, ὡς καὶ ταύτην σῶμα κοῖλον ὑπάρχουσαν, ἀναγκαῖον ὅρους ἔχειν τῆς ἐφ᾽ ἑκάτερα κινήσεως, καὶ μήτ᾽ εἰς ἄμετρον διΐστασθαι (ῥαγῆναι γὰρ ἂν) μήτ᾽ εἰς ἐλάχιστον συστέλλεσθαι· κωλύειν γὰρ τὴν τῶν χιτώνων φύσιν, σκληρὰν καὶ δυσσύμπτωτον ὑπάρχουσαν;

modi veficas capiant, nondum maximam diftentionem effe confecutos. Cenfemus enim, ni fallor, ad cujusque cavitatem corporis effe diftentionem aeftimandam, non abfolute pronunciandam ad eundem ubique modum. Nam eft certus in qualibet re modus, in quo nec intendi tunicas, quae cavitatem ipfam complectuntur, nec remitti contingit. Ergo ubi advertitur tenfio et in illis, vel cavitas, tum magnas dicimus et parvas diftentiones effe, quamdiu nec fenfibilem etiam cavitatem cernere poffis, neque dum tunicae laborent diftentae, modicam illam et moderatam et nativam corporis diftentionem dicimus effe. Quid ergo eft difficultatis ex his progreffos arteriam intelligere, quum fit corpus et hoc concavum, habere terminos oportere motus fui in utramque partem, nec nimium diftendi (rumperetur enim) neque in arctiffimum confidere; obftare fcilicet naturam tunicarum duram, quae aegre contrahitur?

Κεφ. δ'. Ἔστιν οὖν τις αὐτάρκης διαστολὴ τῆς ἀρτηρίας, ὡς μήτε διατείνειν μήτ' ἀπολιπεῖν τι χαλαρὸν αὐτῆς μόριον, ἣν σύμμετρόν τ' εἶναι φήσομεν καὶ κατὰ φύσιν· εἰ δὲ μὴ, καθ' ἕνα καὶ τὸν αὐτὸν ἄνθρωπον ἀναγκασθησόμεθα λέγειν μεγάλους τε καὶ μικροὺς καὶ συμμέτρους ὑπάρχειν σφυγμοὺς, καίτοι δεινὸν ἐν ἀρίστῃ φύσει τὸ μὴ πάντας εἶναι συμμέτρους, πολὺ δὲ δεινότερον τὸν αὐτὸν σφυγμὸν μέγαν θ' ἅμα καὶ μικρὸν καὶ σύμμετρον γίνεσθαι, τοῖς μὲν μικροτέροις παραβαλλόμενον μέγαν, τοῖς δὲ μείζοσι μικρὸν, ἀμφοτέροις δ' ὁμοῦ σύμμετρον, δέον, ὅταν μὲν τῷ μικροτέρῳ παραβάλληται, μείζονα καλεῖν αὐτὸν, ὅταν δὲ τῷ μείζονι, μικρότερον, ἀμφοῖν δὲ μέσον. οὕτως (70) γὰρ ἡμῖν ἔξεστι καλεῖν τοὺς ἐν ταῖς ἀρίσταις φύσεσι σφυγμοὺς, ἀλλήλων μὲν μείζονάς τε καὶ μικροτέρους, συμμέτρους δ' ἅπαντας, εἴπερ τι τῶν ἀνωτέρω λεχθέντων μνημονεύοιμεν, ὁπόταν πρὸς τὴν φύσιν τοῦ ὑποκειμένου σώματος ἀποβλέπειν ἐφάσκομεν δεῖν, ὅταν τὸ σύμμετρόν τε καὶ τὸ μέγα καὶ τὸ μικρὸν ἐξευρεῖν ᾖ προκείμενον, ὅταν δ' ἁπλῶς ἀλλήλοις παραβάλλωμεν

Cap. IV. Quare eſt quaedam juſta arteriae diſtentio, ut neque contendatur, neque laxam quampiam ſuam partem relinquat, quam eſſe moderatam et naturalem dicemus; ſin minus, in uno eodemque homine dicamus neceſſe erit magnos, parvos et moderatos pulſus eſſe. Atqui in optima natura abſurdum eſt non omnes moderatos eſſe, et longe hercle abſurdius, ſi idem ſit pulſus magnus ſimul et parvus ac moderatus, magnus, ſi cum minoribus comparetur, ſi cum majoribus, parvus, utrisque ſimul moderatus. Oportebat vero, quum minori confertur, eum majorem appellare, quum majoribus, minorem, quum utrisque, medium. Eo enim pacto nobis vocare licet optimarum naturarum pulſus, inter ſe illos quidem majores et minores, omnes tamen moderatos, ſi quid antedictorum meminimus, quum naturam diceremus propoſiti corporis ſpectandam eſſe, ubi indagare moderatum, magnum et parvum inſtituimus. Quod ſi corporum inter ſe ſimpliciter comparemus magnitudines,

τοὺς ὄγκους τῶν σωμάτων, μεῖζον μὲν καὶ ἔλαττον καὶ μέσον ἀμφοῖν ὀνομάζειν, μέγαν δὲ καὶ μικρὸν καὶ σύμμετρον μηδέπω. τὸ μὲν γὰρ μεῖζον τοῦ ἐλάττονός ἐστιν ὑπερέχον, τὸ δὲ μέγα τοῦ ὁμογενοῦς συμμέτρου μεῖζον, ὥστ᾽ ἄμφω μὲν ἐν τῷ πρός τι λεγεσθαι, ἀλλὰ τὸ μὲν μεῖζον πρὸς ἅπαντα τὰ μικρότερα παραβάλλωμεν, τὸ δὲ μέγα πρὸς ἓν μόνον τὸ ὁμογενὲς μέτριον· εἰ γὰρ ἐκείνου μεῖζον εἴη, μέγα καλεῖται. ἀντίστροφα δὲ τούτοις ἐπί τε μικροτέρου καὶ μικροῦ χρὴ νοεῖν. σύμμετρον δὲ καὶ μέτριον εἶναι λεκτέον τὸ κατὰ τὴν οἰκείαν φύσιν ἔχον, ὥσπερ ἀσύμμετρόν τε καὶ ἄμετρον τὸ παρὰ τὴν φύσιν. ἐπεὶ τοίνυν ἐστὶ σῶμα κοῖλον ἡ ἀρτηρία, τὴν διάστασιν αὐτῆς ἀνάγκη ποτὲ μὲν οἰκείως τε [138] καὶ συμμέτρως τῆς τε χρείας, ἧς ἕνεκα πρὸς τῆς φύσεως ἐγένετο τοιαύτη, καὶ προσέτι τῶν χιτώνων τῶν αὐτῆς, ποτὲ δ᾽ ἀμέτρως ἐπιτελεῖσθαι. δείκνυται δ᾽ ἐν ἑτέροις, ὡς ἐν ταῖς ἀρίσταις φύσεσιν εἰς τοσοῦτον διαστέλλεσθαι πέφυκεν, εἰς ὅσον τήν τε χρείαν ἱκανῶς πληρῶσαι καὶ μηδὲν τοὺς χιτῶνας λυπῆσαι. τὸν οὖν βουλόμενον ἑνὶ κανόνι προσέχειν ἐν ταῖς τῶν μεγάλων τε καὶ

majus, minus, medium inter utrumque nominabimus, magnum autem, vel parvum, vel moderatum haudquaquam; majus enim eſt quod minus excedit, at magnum quod moderatum ſui generis. Itaque refertur utrumque ad aliquid, ſed majus ad cuncta minora comparamus, magnum ad unum duntaxat ejusdem generis moderatum, quo ſi majus ſit, vocatur magnum. Idem vice verſa in minore et parvo accipiendum eſt. Moderatum et mediocre eſſe dicendum eſt quod in ſua propria natura conſtat, et immoderatum immodicumque quod naturam ſuam relinquit. Quando igitur corpus eſt cavum arteriae, diſtentio ejus neceſſe eſt interim proprie et moderate, ut poſtulat uſus, cujus gratia creata a natura talis eſt, praeterea ut ejus poſtulant tunicae, interim immodice perſiciatur. Oſtendi autem alio loco hactenus eam in optimis naturis ſolere dilatari, quoad uſus abunde impleatur et nihil offendantur tunicae. Proinde qui regulam velit attendere in magnis pulſibus et parvis digno-

μικρῶν σφυγμῶν διαγνώσεσι, τὴν ἀρίστην φύσιν ἐξευρόντα, καὶ γνόντα μιᾶς ἀρτηρίας ἡστινοσοῦν, ἐν αὐτῇ τόν τε τοῦ σώματος ὄγκον τόν τε τῆς διαστολῆς μεμνῆσθαι χρὴ καὶ συλλογίζεσθαι, μέχρι πόσου τὴν μείζονα ταύτης ἀρτηρίαν εἰκὸς ἔχειν μείζονα, καὶ τὴν διαστολὴν ἐν ταῖς ἀρίσταις φύσεσιν· εἶτ᾽ εἰ μὲν εὑρίσκοιτο τηλικαύτην ἡλίκην ἔσεσθαι στοχάζοιτο, σύμμετρον οὕτω καλεῖν τὸν σφυγμόν· εἰ δ᾽ ἤτοι μείζονα ταύτης, ἢ ἐλάττονα, μέγαν, ἢ μικρόν. εἴσεται δὲ τὸ τῆς ἀρτηρίας μέγεθος ἐπὶ τῆς ἀρίστης φύσεως ἤτοι διὰ τῆς ἀνατομῆς, εἴτ᾽ οὖν κατὰ περίπτωσιν εἴτε κατ᾽ ἐπιτήδευσιν γιγνομένης, ἢ συλλογισάμενος ἐκ τῶν ἐν τοῖς περὶ τῆς ἀρίστης κατασκευῆς εἰρημένων. καίτοι κἂν εἰ μὴ γιγνώσκῃ τίς ἐστιν ἡ ἀρτηρία τοῖς τὴν ἀρίστην φύσιν ἔχουσιν, ἀλλὰ τόν γε σφυγμὸν αὐτῶν μεμνημένος, εἶτ᾽ αὖθις συντυχὼν ἑτέρῳ τινὶ καὶ δυνάμενος συλλογίσασθαι, πότερον εἰκὸς μείζονας τοῦτον ἢ μικροτέρας ἐκείνου τὰς ἀρτηρίας ἔχειν, οὕτως ἤδη παραβάλλειν τε τῷ κατὰ τὴν διαστολὴν ὄγκῳ δυνήσεται καὶ στοχάζεσθαι, πότερα σύμμετρος, ἢ μέγας, ἢ μικρὸς ὁ σφυγμός ἐστιν. εἰ μὲν γὰρ ὅσῳ φαίνεται μείζονας τὰς ἀρτηρίας ἔχειν ὁ παρα-

cendis, optima natura inventa, cognitoque unius in illa arteriae cujuscunque tumore, corporis atque diſtentionis, recordandum illi et aeſtimandum eſt, arteriam hac majorem quanto oporteat majorem habere diſtentionem in optimis naturis. Quae ſi tanta reperiatur esse, quantam fore conjiciebat, ſic moderatum pulſum appellabit: ſin vel majorem hac, vel minorem, magnum, vel parvum. Arteriae deprehendat in optima natura magnitudinem, aut per diſſectionem, ſive ea caſu, ſive de induſtria fiat, aut colligendo ex ſignis, quae in libello de optima corporis conſtitutione prodidimus. Quod ſi nesciat etiam quanta ſit arteria praeditis optima natura, pulſus quidem certe eorum memor, ſi in alterum poſtea incidat et colligere poſſit, utrum par ſit majores hunc, an minores quam illum habere arterias, cum tumore jam diſtentionis conferre poterit, atque conjectare, an magnus, an parvus, an moderatus pulſus ſit. Etenim ſi quo videtur arterias majores habere homo qui compara-

βαλλόμενος ἄνθρωπος, τοσούτῳ καὶ τὴν διαστολὴν αὐτῶν ἔχοι μείζονα, σύμμετρον ἐροῦμεν τὸν σφυγμόν· εἰ δ' ἤτοι πλέονι τὸ τῆς ἀρτηρίας μέγεθος ἤπερ τὸ τῆς διαστολῆς ὑπερβάλλειν δόξειεν, ἢ ἔλαττον εἴη, μέγαν οὕτως ἢ μικρὸν καλέσομεν· εἰ μὲν τὸ τῆς ἀρτηρίας σῶμα φαίνοιτο μεῖζον ἤπερ τὸ τῶν σφυγμῶν, μικρόν· εἰ δὲ τὸ μὲν τῆς ἀρτηρίας ἔλαττον, τὸ δὲ τῶν σφυγμῶν μεῖζον, μέγαν. οὕτω δὲ καὶ κατὰ τὰ λοιπὰ γένη τῶν σφυγμῶν τό τε κατὰ τὴν κίνησιν αὐτὴν, ἐν ᾧ τάχος τε καὶ βραδύτητα διαγινώσκομεν, καὶ τὸ κατὰ τὴν ἠρεμίαν, ἐν ᾧ πυκνότητα καὶ ἀραιότητα, καὶ τὸ κατὰ τὸν τόνον, ἐν ᾧ σφοδρότητα καὶ ἀμυδρότητα, καὶ προσέτι τὸ κατὰ τὸ σῶμα τῆς ἀρτηρίας, ἐν ᾧ σκληρότητα καὶ μαλακότητα. ἐν ἅπασι γὰρ τούτοις τόν τε σύμμετρον ἐπὶ τῆς ἀρίστης φύσεως ἐξευρήσομεν τούς τε ἀμέτρους ἢ δι' ὑπερβολὴν, ἢ δι' ἔλλειψιν, οὐκ ἀλλήλοις, ἀλλὰ τῷ συμμέτρῳ παρεξετάσομεν.

tur, hoc majorem etiam habeat diftentionem, moderatum dicemus pulfum effe. Quod fi arteriae magnitudo videatur fuperare magnitudinem diftentionis, aut fit minor, magnum tunc vel parvum vocabimus; fi arteriae appareat majus corpus effe quam pulfus, parvum; fin arteriae minus et pulfus major, magnum. Haud aliter in reliquis generibus pulfuum, ut in genere ipfius motus, in quo celeritatem et tarditatem dignoscimus; in genere quietis, in quo crebritatem et raritatem; contentionis, in quo vehementiam et remiffionem; ad haec corporis arteriae, in quo duritiem et mollitiem. Nam per haec omnia tum moderatum inveniemus in optima natura tum immoderatos vel ob exceffum, vel ob defectum, non inter fe, fed cum moderato comparabimus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Γ.

Ed. Chart. VIII. [139.] Ed. Baſ. III. (70.)

Κεφ. α'. Ὅτι μὲν ἡ τοῦ συμμέτρου καθ᾽ ἕκαστον γένος σφυγμοῦ νόησίς τε καὶ διάγνωσις ἡγεῖται τῆς τῶν ἀμέτρων καὶ ὡς ἐν τοῖς ἄριστα κατεσκευασμένοις σώμασιν αἱ ἀρτηρίαι πᾶσαι σύμμετρον σφύζουσιν, ἐν τῷ πρὸ τούτου λόγῳ διήλθομεν· εἰς τίνα δὲ χρὴ σκοπούμενον γνωρίσματα, καθ᾽ ὅν τινα χρὴ τρόπον ἐπιβάλλοντα τοῖς σφυγμοῖς τοὺς δακτύλους ἀσκεῖν τὴν ἁφὴν διαγνωστικὴν ἐξ ἑτοίμου γίγνεσθαι τῆς τε συμμετρίας αὐτῶν καὶ τῆς ἀμετρίας, ἐφεξῆς ἐροῦμεν, ἀπὸ τοῦ κατὰ τὴν κίνησιν ἀρξάμενοι γένους. ὅτι

GALENI DE DIGNOSCENDIS PVLSIBVS LIBER III.

Cap. I. Moderatum pulſum in quovis genere intelligentia et dignotione priorem immoderatis eſſe atque arterias in corporibus optime comparatis cum mediocritate quadam pulſare, in ſuperiore libro declaravimus. At quae reſpicienda ſint indicia et quomodo pulſibus applicandi digiti, ut tactum exerceas ad facile prompteque cum mediocritatem eorum dignoscendam, tum exceſſus et defectus, deinceps dicemus, inducto a genere motus exordio. Atque

μὲν οὖν τὸ ποσὸν τοῦ χρόνου μόνον οὐχ ἱκανὸν γνώρισμα συμμέτρου τε καὶ ἀσυμμέτρου κινήσεως, ἀλλὰ καὶ τὰς διαστάσεις καθ᾽ ὧν ἠνέχθη τὸ κινούμενον ἐπιβλέπειν χρὴ, διὰ τῶν ἔμπροσθεν αὐτάρκως ἐπεδείξαμεν, ἔνθα καὶ τοὺς ἐξηγουμένους κακῶς τὸν ὅρον τοῦ ταχέος σφυγμοῦ διηλέγξαμεν, οὐ μὴν αὐτοί γ᾽ εἴπομεν ὅπως ἀκούειν χρὴ βέλτιον, ἀλλὰ νῦν ἐροῦμεν. οὔτε γὰρ μακροῦ δεησόμεθα λόγου, φθάνοντες ὅσα πρὸς τὴν νόησιν αὐτοῦ συντελεῖ διὰ τῶν ἔμπροσθεν ἐξηγήσασθαι, καὶ ἄλλως χρήσιμος ἡμῖν ὁ λόγος ἔσται πρὸς τὰ παρόντα. τοῦ τοίνυν ἐν ὀλίγῳ χρόνῳ περιγράφοντος ἡμῖν τὴν κίνησιν σφυγμοῦ ταχέος λεγομένου καὶ βραδέος αὖ τοῦ ἐν πολλῷ, πρὶν μὲν διορισθῆναι τὰ σημαινόμενα τῶν ὀνομάτων εἰκότως ἐσφάλλοντό τινες, οἰόμενοι ταὐτὸν ἔκ τε τοῦ πολλοῦ καὶ τοῦ πλείονος, ὀλίγου τ᾽ αὖ πάλιν καὶ ὀλιγωτέρου δηλοῦσθαι. δειξάντων δ᾽ ἡμῶν τὰ πρὸς ὁτιοῦν τὸ τυχὸν ἑκάστοτε λεγόμενα, τὰ δὲ πρὸς τὸ σύμμετρον ὁμογενὲς μόνον, [140] οὐκέτι χαλεπὸν οὐδὲ νῦν εἶναι, πῶς ἐν ὀλίγῳ μὲν χρόνῳ τὴν τοῦ ταχέος σφυγμοῦ κίνησιν περιγράφεσθαι λέγομεν,

temporis quantitatem folam moderati motus et immoderati non idoneum fignum effe, fed et per quae vectum intervalla fit, quod movetur, refpiciendum effe, fupra abunde demonftravimus, quo etiam loco illos confutabimus, qui definitionem perperam celeris pulfus interpretantur, at nos tamen ipfi, quemadmodum potiffimum accipienda fit, non aperuimus, fed nunc id faciemus. Neque enim multis verbis opus erit, quod quae ad eam pertinent intelligendam jam ante expofuerimus; nam etiam intereft ad rem praefentem haec narraviffe. Quum ergo quis terminat pulfus pauco tempore motum, nobis celer vocetur, et tardus, qui multo. Ante horum nominum explicatas fignificationes non injuria quidam funt hallucinati, exiftimantes idem multum ac plus, paucum et paucius fignificare. Nunc quia oftendimus haec quidem ad rem quamlibet femper referri, illa vero ad moderatum tantum fui generis, omnis jam fublata eft difficultas intelligendi, quemadmodum celeris pulfus pauco tempore motum dicamus terminari et multo motum

Ed. Chart. VIII. [140.] Ed. Baf. III. (70. 71.)

ἐν πολλῷ δὲ τὴν τοῦ βραδέος. εἰ γὰρ φθάνοιμεν γιγνώσκοντες ἐπὶ πόσῳ χρόνῳ πόσην ἤνυσε διάστασιν ὁ σύμμετρος σφυγμὸς, εἶθ' ἑτέρου τὸν ἴσον ἔχοντος χρόνον, ἐλάττονα τὴν διάστασιν εὕροιμεν, ἐν πολλῷ χρόνῳ τὸν τοιοῦτον ἐροῦμεν κεκινῆσθαι. θαυμαζέτω δὲ μηδεὶς, εἰ δυοῖν κινήσεων τὸ ποσὸν τοῦ χρόνου ταὐτὸν ἐχουσῶν, τὴν ἑτέραν μόνον ἐν πολλῷ χρόνῳ γεγονέναι φαμὲν, οὐ μὴν ἀμφοτέρας ὁμοίως. καὶ γὰρ δυοῖν ἅμα παίδων πεμφθέντων εἰς διαφέροντας τόπους, εἶτ' ἐπανελθόντων ἅμα, τὸν μὲν ἕτερον ἐπῃνέσαμεν, ὡς ἐν ὀλίγῳ χρόνῳ τὴν ὁδὸν ἀνύσαντα, τὸν δ' ἕτερον ἐμέμψαμεν, ὡς ἐν (71) πολλῷ. πρὸς γὰρ τὸ τῆς ὁδοῦ μῆκος ἀποβλέποντες ὀλίγον ἢ πολὺν τὸν χρόνον εἶναί φαμεν, οὐχ ἁπλῶς. κατὰ τοῦτο μὲν δὴ καὶ σφυγμὸν ἐροῦμεν ἐν ὀλίγῳ χρόνῳ γιγνόμενον ταχὺν εἶναι, καὶ βραδὺν ἐν πολλῷ, καὶ τοὺς ὅρους τοὺς εἰρημένους ἀποδεξόμεθα καθ' ὃν εἰρήκαμεν τρόπον ἐξηγούμενοι. εἰ δέ τῳ βίαιος ὁ τοιοῦτος εἶναι δοκεῖ τρόπος, ἀναμνησθεὶς ὅτι κατὰ θάτερον σημαινόμενον ἀκουόντων τῆς λέξεως, ἀπεδείχθησαν ψευδεῖς οἱ ὁρίσμοὶ, πειράσθω ποιεῖν ἑτέρους

tardi. Nam fi hoc prius nobis conftet moderatus pulfus quanto tempore quantum confecerit fpatium, deinde alterius offendamus, qui par habuit tempus, minus intervallum, multo hunc tempore dicemus motum effe. Atqui nemo mirari debet, fi duorum motuum, quorum temporis quantitas par fit, alterum tantum multo tempore dicamus factum effe, non perinde utrumque. Etenim fi duo pueri dimiffi in diverfa loca fint et fimul reverfi, alterum quod iter pauco tempore abfolverit, collaudamus, alterum culpamus, quod multo. Nam ex viae longitudine aeftimamus, quum paucum vel multum temporis dicamus, non abfoluto fermone. Eodem etiam modo pulfum dicemus, qui pauco tempore fit, celerem effe, ac tardum qui multo, definitionesque probabimus illas ita interpretando, ut diximus. Quod fi cui modus ille videatur coactior, memoria repetat demonftraffe nos, fi altera fignificatione dictio accipiatur, definitiones falfas effe, detque operam, ut alias definitiones

ὅρους. οὐ γὰρ πῶς ἂν ὁρίσαιτο, νῦν ἡμῖν πρόκειται σκοπεῖν, ἀλλὰ τὰς ἐννοίας τῶν πραγμάτων ἀκριβῶς διαρθρῶσαι, μή πῃ σφαλέντες ἐν ταύταις καὶ περὶ τὴν διάγνωσιν αὐτῶν τῶν σφυγμῶν σφαλῶμεν. ὅπερ οὖν ἀναγκαῖον ἦν εἰς τὴν διάγνωσιν, ὑφ᾽ ἡμῶν εἰρημένον. εἰ δέ τις βούλοιτο μαθεῖν ἐπ᾽ αὐτῷ συντιθέναι τινὰς ὁρισμοὺς, οὐκ ἄχαρι μὲν ἴσως γυμνάσιον γυμνάσαιτ᾽ ἂν, οὐ μὴν τοῖς γε προκειμένοις ἀναγκαῖον. ὅθεν οὐδ᾽ ἡμεῖς περὶ τοῦ πῶς ὁρίζεσθαι χρὴ τοὺς τοιούτους σφυγμοὺς ἐροῦμεν. οὔτε γὰρ ἀναγκαῖον ὅλως οὔτ᾽, εἴ τῳ καὶ ἀναγκαῖον φαίνοιτο, τῆς προειρημένης πραγματείας οἰκεῖον, ἀλλ᾽ ἐν τῷ τετάρτῳ περὶ διαφορᾶς σφυγμῶν ἱκανῶς εἴρηται περὶ αὐτῶν. τῆς δ᾽ ἐννοίας μόνης ἀξιώσαντες εἰς τὰ προκείμενα μνημονεύειν, ἐπὶ τὸ συνεχὲς τοῦ λόγου μεταβῶμεν. ἤδη γὰρ ὅπερ ἡμεῖς εὕρομεν ἐν αὐτοῖς, εἰπεῖν καιρὸς, εἰς τὴν διάγνωσιν αὐτοῦ συντελοῦν μέγα. μᾶλλον δ᾽ εἰ χρὴ τἀληθὲς εἰπεῖν, τὸ πᾶν ἤδη ῥηθήσεται. ἀξιοῦμεν γὰρ οὐδὲ τοῦ χρόνου καὶ τῆς διαστάσεως τὸ ποσὸν σκοπεῖν, ἀλλ᾽ οὐδὲ τὰς ἐν

fingat. Neque enim quomodo definiendum fit, hic inftituimus disceptare, caeterum ut rerum diligenter atque accurate notiones conftituamus, ut ne fi in his offenderimus, fimul in dignoscendis pulfibus offendamus. Proinde quid requiratur ad dignoscendum, declaratum a nobis eft. Jam fi discere etiam cupias haec definire, non illa quidem fortaffis ingrata exercitatio fit, non ad inftitutum tamen neceffaria. Quo nos minus de iftorum pulfuum ratione definiendi agemus: etenim quum omnino non eft neceffarium tum etiam fi cui neceffarium videtur, nihil cum hac inftituta commentatione eft conjunctum, verum in quarto libro de pulfuum differentiis fufficienter nos de his tractavimus. Notionis tantum in praefenti, quando inftituimus mentionem facere, feriem orationis perfequamur, nam nunc quidem, quod in iis invenimus, locus eft dicendi, ád eum dignoscendum magnopere faciens, atque adeo, fi verum dicendum eft, fummam jam aperiam. Nec quantitatem temporis, nec intervalli respiciendam cenfemus: imo ne pro-

Ed. Chart. VIII. [140.] Ed. Baf. III. (71.)

αὐτοῖς ἀναλογίας, ὑπὲρ ὧν ἐν τῷ πρὸ τοῦδε βιβλίῳ διεληλύθαμεν, ἡνίκα τὸν θάττονα καὶ τὸν βραδύτερον ἐδιδάσκομεν σφυγμόν. ἐκεῖ μὲν γὰρ ἀναγκαίως εἴρηται πρὸς τὸ τῆς πλάνης ἐπισχεῖν τοὺς τῷ ποσῷ τοῦ χρόνου μόνῳ διακρίνοντας αὐτοὺς, εἰς δὲ τὴν διάγνωσιν χαλεπὰ καὶ μακρὰ καὶ δυσσυλλόγιστα καὶ δύσκριτα καὶ σχεδὸν ἀδύνατα ἐμοί γ᾽ ὄντα ἐφάνη. τὸ μὲν γὰρ τάχος τε καὶ τὴν βραδύτητα κατὰ τὴν πρώτην ὁρμὴν τῆς ἀρτηρίας γνωρίζομεν, τὸν δὲ λόγον τοῦ χρόνου πρὸς τὸν χρόνον καὶ τῆς διαστάσεως πρὸς τὴν διάστασιν ἵν᾽ ἐξεύροιμεν, παμπόλλου δεόμεθα χρόνου. ὥστ᾽ οὐδ᾽ ἀναμένομεν αὐτὰ λογίζεσθαι πρὸς τὴν ἐπὶ τῶν ἀῤῥώστων διάγνωσιν, ἀλλ᾽ ὥσπερ εἰ καὶ παρόντα τινὰ θεασάμενοι τύχοιμεν, αὐτὸς ὁ ῥοῖζος τῆς ὁρμῆς ἱκανὸς τὸ τάχος ἐνδείξασθαι, οὕτως ἔχει κἀπὶ τῆς ἀρτηρίας. καὶ γὰρ ἢ ἠπειγμένην, ἢ ἐκλελυμένην ἔστιν εὑρεῖν τὴν κίνησιν αὐτῆς. ἕκαστον γὰρ τῶν κινουμένων σωμάτων ἐκ τῶν τόπων ἐν οἷς ἑκάστοτε γίγνεται διαγινώσκομεν ὅπως κινεῖται. ὅταν μὲν γὰρ ἐγχρονίζῃ τοῖς τόποις, βραδεῖαν εἶναι τὴν κίνησίν φαμεν· ὅταν δ᾽ ἀπαλλάττηται ῥαδίως,

portiones quidem illorum, de quibus verba fecimus in superiore libro, quum celeriorem pulfum et tardiorem doceremus. Illic enim non potui illa praeterire, quo errorem praedicerem his qui ex folius temporis quantitate de iis existimant, quae ad dignoscendum laboriofe mihi et longa difficilisque aeftimationis et judicii adeoque impoffibilia prope vifa funt. Nam celeritatem quidem et tarditatem, ut primum occurrit arteria, noscimus; rationem vero temporis ad tempus et intervalli ad intervallum ut exploremus, opus nobis longo tempore eft. Itaque ifta nihil nos morantur, ut expendamus ad pulfus in aegrotis dignoscendos. Sed ut fi ante oculos quempiam videamus, impetus motus celeritatem poteft oftendere, ita ufu venit in arteria, nam aut incitatum, aut remiffum ejus motum invenias. Omnia enim corpora quae moventur, ex locis, ubi moventur femper, dignoscimus quomodo moveantur; quae ubi in locis remorantur, tardum effe motum praedicamus, ubi facile discedunt, celerem. Hic fcio futurum, ut

ὠκεῖαν. οἶδα δὲ φυσικὴν ἐκδεξομένην ζήτησιν τὸν λόγον, εἰ τὸ κινούμενον σῶμα καὶ μένει κατά τί. δείκνυται μὲν οὖν καὶ αὐτὸ τοῦτο παντὸς μᾶλλον ἀληθὲς ἐν τοῖς περὶ τῆς κινήσεως. [141] ἀλλὰ νῦν φυλαξώμεθα τηλικούτοις ἡμᾶς αὐτοὺς προσαρτᾷν ζητήμασι. ὅπερ δὲ φαντάζεται μόνον ἡ αἴσθησις εἰς τὴν διάγνωσιν τῶν ταχέων τε καὶ βραδέων σφυγμῶν, τοῦτο ἀρκεῖ λεχθῆναι, τὸ τὴν μὲν ἀπολιποῦσαν φαίνεσθαι τοὺς τόπους ἐν οἷς ἑκάστοτε γίγνεται ῥᾳδίως, τὴν δ᾽ ἐπιπλέον ἐν αὐτῷ μένουσαν, καὶ καλεῖσθαι τὴν μὲν ὠκεῖαν οὕτως, τὴν δὲ βραδεῖαν κατὰ τὰς ἐκ τῶν τόπων μεταβάσεις, τῆς αἰσθήσεως τὴν διάγνωσιν ποιουμένης οὐ κατὰ τὸν τῆς ὅλης κινήσεως χρόνον, οὔτ᾽ ἰδίᾳ καὶ μόνον οὔθ᾽ ὅσα τῷ ποσῷ παραβάλλεται. καὶ κατὰ τοῦθ᾽ ἡμῖν ἑτοίμη τοῦ τάχους τε καὶ τῆς βραδύτητος ἡ διάγνωσις γίγνεται, οὐκ ἂν γενομένη, εἴπερ ἀνεμένομεν ποσότητα χρόνων τε καὶ διαστάσεων λαβόντες τὰς ἐν αὐτοῖς ἀναλογίας σκοπεῖσθαι, ἀλλ᾽ οὐκ ἀναμένομεν δηλονότι. κατὰ γὰρ τὴν πρώτην ἐπιβολὴν τῆς ὄψεως ἀῤῥήτῳ τινὶ χρόνου βραχύτητι προσχρησάμενοι τὴν μονὴν τοῦ κινουμένου σώματος ἐγνωρίσαμεν, ἐφ᾽ ᾗ συνελογισάμεθα τὴν

quaeſtio ſe phyſica offerat, an corpus, dum movetur, etiam maneat aliquo modo; atqui in commentariis de motu illud ita ut quod maxime probatur verum eſſe. At a tantis in praeſens quaeſtionibus declinemus, ne implicemus nos. Quod informat tantum ſenſus ad dignoscendos celeres et tardos pulſus, hoc ſatis eſt ſi dicamus, nimirum unum motum cedere videri locis facile, in quibus ſemper fit, alium diutius inibi commorari, itaque hunc tardum, illum celerem vocari. Nam ex locorum tranſitu ſenſus dignoscit, non ex totius motus tempore, nec ſeparatim et ſolo, nec quatenus cum quantitate comparatur. Itaque celeritatis et tarditatis facile notitiam conſequimur, non perinde conſecuturi, ſi quantitate temporis et intervallorum aucuputa, eorum ſuſtineremus proportiones obſervare. Enimvero non ſuſtinemus, nam ut primum aciem intendimus, momento temporis moram nos corporis quod movetur, deprehendi-

μετάβασιν. ὅσα γοῦν πόῤῥωθεν ὁρῶμεν, ἔστιν ὅτε ταῦτα μέχρι πλείονος ἡμῖν μένοντα φαντάζεται, κἂν ὅτι τάχιστα κινῆται, ᾧ καὶ δῆλον ὅτι συλλογισμῷ τὴν κίνησιν, οὐκ αἰσθήσει γνωρίζομεν. ὅταν μὲν γὰρ ἕκαστον τῶν πρώτων αἰσθητῶν μορίων τοῦ κινουμένου σώματος ἐν τῷ πρώτῳ αἰσθητῷ τόπῳ τὸν πρῶτον αἰσθητὸν χρόνον ὑπομένῃ, τηνικαῦτα ἀκίνητον εἶναι δοκεῖ τὸ βλεπόμενον· ὅταν δὲ τὸ πρῶτον αἰσθητὸν μόριον ἐν τῷ πρώτῳ αἰσθητῷ τόπῳ τοῦ πρώτου αἰσθητοῦ χρόνου βραχύτερον ὑπομένῃ χρόνον, τηνικαῦτα κινεῖσθαι δοκεῖ. ἕκαστον μὲν γὰρ τῶν εἰρημένων εἰς ἄπειρον τέμνεσθαι δύναται, πρός γε τὴν φύσιν, αἰσθήσει δὲ μετρούμενα, πρῶτά τινα καὶ ἄτμητα κέκτηται μόρια, ᾧ καὶ δῆλον ὅτι συλλογισμῷ μὲν ἅπασα κίνησις, οὐκ αἰσθήσει διαγιγνώσκεται. τῷ δὲ παρακεῖσθαι μὲν αἰσθήσει τὸν συλλογισμὸν, ταχίστην δ' εἶναι τοῦ νοῦ τὴν μετάβασιν, οὐ συλλλογισμῷ πολλάκις, ἀλλ' αἰσθήσει διαγινώσκεσθαι δοκεῖ. ὧν γὰρ ἐν τῷ πρώτῳ πρὸς αἴσθησιν χρόνῳ τὸ πρῶτον αἰσθητὸν μόριον ἐν τῷ πρώτῳ πρὸς αἴσθησιν τόπῳ μένει, τούτων μόνων τὰς κινήσεις ἐναρ-

mus, ex qua conjicimus tranſitum. Quo ſit ut quae eminus cernimus, haec nobis interim diutius videantur conſiſtere, licet agitentur velociſſime; unde liquet ratione nos motum colligere, non ſenſu deprehendere. Siquidem quum prima quaeque ſenſibilis pars corporis quod movetur in primo ſenſibili loco ſubſiſtat primo ſenſibili tempore, tum immobile, quod cernimus, videtur eſſe; at vero ubi prima ſenſibilis pars in primo ſenſibili loco quam primo ſenſibili tempore ſubſiſtat breviore tempore, tum videtur moveri. Singula enim quae diximus diſſecari, quod ad naturam attinet, in infinitum poſſunt, ſenſu vero ſi aeſtimes, primas certas habent et indiviſas partes. Quod planum facit, ratione omnem motum, non ſenſu dignosci. Quia vero ſenſui ratio conjuncta eſt et mentis eſt transcurſus velociſſimus, ſaepenumero non ratione, ſed deprehendi ſenſu videtur. Nam quorum primo ſenſibili tempore prima ſenſibilis pars in primo ſenſibili loco manet, horum tantum nos motus

γῶς ὁμολογοῦμεν, οὐκ αἰσθήσεσιν, ἀλλὰ συλλογισμῷ λαμβάνειν, ὥσπερ τῆς τε ἐπὶ γνώμονος σκιᾶς καὶ σελήνης καὶ ἡλίου καὶ τῶν ἄστρων ἁπάντων, ὅσα τ᾽ ἄλλα πλεῖστον ἡμῶν ἀφέστηκεν. ὧν δ᾽, ὡς ἐῤῥέθη, βραχύτερος ὁ χρόνος τοῦ πρώτου πρὸς αἴσθησιν, ἄχρονος ἥ τε μονὴ καὶ ἡ ἐξάλλαξις τῶν τόπων δοκεῖ, πᾶν γὰρ ὅ τι ἐν ἐλάττονι τοῦ πρώτου πρὸς αἴσθησιν χρόνῳ γίγνεται, τοῦτ᾽ ἄχρονον εἶναι φαντάζεται. ταῦτα μὲν οὖν ἰδίᾳ κάλλιον πεφιλοσοφῆσθαι τῷ προῃρημένῳ τά τε νῦν προκείμενα καλῶς ἐκμανθάνειν ἄλλα τε πολλὰ τῆς ἰατρικῆς. ἡμῖν δ᾽ ἀρκέσει καὶ τὰ τοσαῦτα πρὸς ἔνδειξιν τοῦ μὴ χρόνον καὶ διαστημάτων ἐπισκοπεῖσθαι τὸ ποσὸν, ἀλλ᾽ αὐτὸ τὸ ποιὸν τῆς κινήσεως, ὅπερ ἐστὶ μὲν δύσρητον, ἐξ ὧν δ᾽ εἴπομεν ὁρμώμενος, ἄν γε μὴ παντάπασιν ἀδύνατός τε καὶ ἀταλαίπωρος ᾖς, οὐ χαλεπῶς τεύξῃ τἀληθοῦς, εἰς δύναμιν ἀνθρωπίνην. ἔτι δὲ μᾶλλον, εἰ τοὺς ἀνωμάλους κατὰ τάχος καὶ βραδύτητα σφυγμοὺς διαγινώσκειν μελετῴης, εὕροις ἂν ὡς ἐν τῷ ποιῷ κινήσεως ἡ γένεσις αὐτοῖς. μιᾶς γοῦν διαστολῆς πολλάκις ἡ μὲν ἀρχὴ τῆς κινήσεως ἐναργῶς ὠκυτέρα φαίνεται, τὸ δ᾽

aperte fatemur non fenfibus, fed ratione animadvertere, ut gnomonis umbrae, lunae, folis, omniumque fiderum quae a nobis longiffime remota funt. Quorum autem, ut dixi, brevius eft tempus primo fenfibili, nullo tempore praedita horum manfio migratioque videtur; quippe quod minus primo fenfibili tempus habet, omni mora hoc putatur carere. Sed haec privatim praeftiterit commentari eum, qui cum haec de quibus agimus aveat probe ediscere tum alia in medicina multa. Nobis vero fatis haec erunt ad demonftrandum non effe temporum et intervallorum refpiciendam quantitatem, fed ipfam qualitatem motus; quae eft explicatu quidem difficilis, fed horum quae docuimus ope, nifi fis prorfus ftupidus et iners, non magno negotio verum, ut homini licet, confequere. Multoque magis, fi dignoscendos inaequales celeritate et tarditate pulfus mediteris, originem ducere eos invenias ex qualitate motus. Ac unius quidem diftentionis faepe initium motus plane celerius vide-

ἑξῆς βραδύτερον, αὖθις δὲ τὸ πέρας ὠκύτερον οὐ ποσότητάς τινας, ἢ χρόνων, ἢ δυνάμεων, ἢ διαστάσεων ἀριθμούντων ἡμῶν, ἀλλ' αὐτὸ μόνον τὸ ποιὸν τῆς κινήσεως σκοπουμένων. οὔκουν οὐδ' ἐπιπολῆς ψαυστέον, ὁπόταν τὸ γένος τοῦτο τῶν σφυγμῶν ἐπισκοποίμεθα. τοῦ γὰρ ἔξω πέρατος τῆς κινήσεως οὕτως ἂν αἰσθανοίμεθα μόνον, οὐ πάσης αὐτῆς. ἐκ δὲ τούτων οὐκ ἄδηλον ἤδη τὸ τοὺς τοιούτους σφυγμοὺς δεῖν εἶναι πάντως μήτε μικροὺς μήτε ἀμυδρούς. [142] οὐ γὰρ οἷόν τε τριχῇ τέμνειν τὴν κίνησιν, οὔτε ἐν ταῖς μικραῖς διαστάσεσιν οὔτ' ἐν ταῖς ἀῤῥώστοις δυνάμεσι. κωλύει γὰρ ἐπὶ μὲν τῶν προτέρων ἡ σμικρότης, οὐχ ὑπομένουσα τομὴν εἰς αἰσθητὰ μόρια, ἐπὶ δὲ τῶν δευτέρων ἡ ἀῤῥωστία τῆς φύσεως, ὀκλάζουσα πρὸς τὴν θλίψιν. διὰ τοῦτο γοῦν οὐδ' ἐπὶ τῶν ληθαργικῶν σφυγμῶν ἔστιν φωρᾶσαι τινὰ ἀνωμαλίαν, ἴσως οὖσαν, ὅτι δεῖται μὲν πάν(72)τως θλίψεως εἰς τὴν διάγνωσιν, οὐχ ὑπομένει δ' αὐτὴν ὑπ' ἀῤῥωστίας. συνετὸν οὖν ἱκανῶς καὶ τετριμμένον ἅμα περὶ τὰς διαγνώσεις εἶναι χρὴ τὸν μέλλοντα τὴν προσήκουσαν ἑκάστου τῶν σφυγμῶν ἐξευρήσειν ἐπαφήν.

tur, proximum tardius, iterum finis celerior, nec hic quantitates quasdam aut temporum, aut intervallorum, fed ipfam unam motus qualitatem attendimus. Quo minus leviter palpandum eft, ubi genus hoc perpendimus pulfuum, nimirum fic extremum motus finem fentiamus duntaxat, non integrum motum. Ex quibus jam liquet ejuscemodi pulfus prorfus non oportere parvos effe, nec languidos; neque enim trifariam poffis motum diffecare, nec in parvis intervallis, nec in facultatibus imbecillis, quod obftet illis parvitas, quae dividi fenfibiles partes non patitur, hic impediat facultatis infirmitas, quae concidit ad preffum. Quamobrem nec in pulfibus lethargicis deprehenderis inaequalitatem, quae tamen adeft forfitan, quia omnino quo dignoscatur, vult comprimi; at hoc prae imbecillitate non fuftinet. Quare qui cuique pulfui inventurus fit contrectationem appofitam, hunc fingulari prudentia effe et expertum in digno-

εἰ γὰρ ὁ μὲν μέγιστός θ᾽ ἅμα καὶ σφοδρότατος ἰσχυρᾶς ἀνέχεται θλίψεως, τῶν δ᾽ ἄλλων ἕκαστος εἰς ὅσον ἂν ἤτοι σφοδρότητος, ἢ μεγέθους ἐνδεῶς ἔχῃ, εἰς τοσοῦτον ἐλάττονος, πρῶτον μὲν ἀκριβῶς χρὴ πόσον ἀπολείπονται τοῦ μεγίστου θ᾽ ἅμα καὶ σφοδροτάτου διαγινώσκειν, δεύτερον δὲ συλλογίζεσθαι πόσον ἀρκεῖ τῆς θλίψεως ἐπενεῖναι τοῖς οὕτως ἔχουσιν. ἑκατέρως γὰρ ἁμαρτάνειν ἀναγκαῖον, εἴθ᾽ ὑπερβάλλοιμεν τῆς ἀναλογίας, εἴτ᾽ ἐλλείποιμεν· ἐφ᾽ ὧν μὲν γὰρ ἂν ἔλαττον ἤδη θλίψωμεν, ἐκφεύξεταί τι τῆς ἐντὸς ἡμᾶς κινήσεως, ἐφ᾽ ὧν δ᾽ ἂν πλέον, τῆς ἐκτός. ὥστε πρῶτον μὲν ἀνώμαλόν ποτε τὴν κίνησιν οὖσαν οὐ γνωριοῦμεν, ἔπειτα δὲ καὶ ψευδῶς ὑπὲρ ὅλης ἀποφανούμεθα πολλάκις ἀφ᾽ ὧν ἐν τοῖς μέρεσι κακῶς διέγνωμεν. εἰ γὰρ ἤτοι τὸ πρότερον αὐτῆς μόριον ὠκύτερον, ἢ τὸ δεύτερον ὑπάρχει, γιγνώσκοιτο δ᾽ ἡμῖν αὐτῶν θάτερον μόνον, ἀνάγκη πρῶτον μὲν ὡς ἀνώμαλός ἐστιν ἡ σύμπασα κίνησις ἀγνοεῖν, ἔπειτα δ᾽ ἤτοι ταχεῖαν, ἢ βραδεῖαν αὐτὴν εἶναι νομίσομεν, οὐδ᾽ ἑτέραν ἁπλῶς ὑπάρχουσαν. ἧς γὰρ κινήσεως τὸ μὲν πρότερον ᾖ μόριον ὠκὺ, τὸ δὲ δεύτερον βραδὺ,

scendo oportet. Nam fi maximus pariter et vehementiffimus validam fert compreffionem, atque alius quisque, quantum a vehementia vel magnitudine abeft, tanto minorem; primum quantum a maximo et vehementiffimo recefferunt, ad unguem perfpiciendum eft; deinde ratio ineunda eft quantum fufficiat compreffionis id genus pulfibus impertiviffe; utrobique enim offendamus neceffe eft, five excedamus proportionem, five non affequamur; quod ubi minus jam premamus, praeteritura nos fit interni pars motus, ubi vero amplius, externi. Itaque primum motum aliquando inaequalem effe non percipiemus, deinde male etiam de toto motu saepe judicabimus, eo quod male perpenderimus partes. Si enim vel pars ejus prima, vel altera celerior fit et nobis earum tantum altera fit explorata, non posfumus primum univerfum inaequalem motum effe fcire, deinde vel celerem, vel tardum arbitrabimur eum effe, quum neuter planum fit; fiquidem cujus celeris erat pars prima et altera tarda, hunc nec celerem abfolute, nec tar-

Ed. Chart. VIII. [142.] Ed. Baf. III. (72.)

ταύτην οὐκ ἄν τις οὔτ᾽ ὠκεῖαν ἁπλῶς οὔτε βραδεῖαν ἐν δίκῃ καλέσειεν. οὐκ οὖν, κεφαλὴν γὰρ ἐπιθέντας τῷ λόγῳ χρὴ μεταβαίνειν ἐφ᾽ ἕτερα, τὸν σύμμετρον κατὰ τὴν κίνησιν σφυγμὸν ἐπὶ τῆς ἀρίστης κατασκευῆς ἐξετάσαι προσῆκεν, οὐ κατὰ διαστάσεως καὶ χρόνων ποσότητα, ἀλλὰ καὶ αὐτὸ τὸ ποιὸν, ὡς εἴπομεν, ὅπως ἀπαλλάττηται τῶν τόπων ἐφάσκομεν δεῖν σκοπεῖσθαι, καὶ τούτου μνημονεύοντας, ὃς μὲν ἂν θᾶττον ἀπαλλαττόμενος φαίνηται, ταχὺν, ὃς δ᾽ ἂν βραδύτερον, βραδὺν ὀνομάσαι· ἐμφαίνεσθαι δὲ τοῦτο κατ᾽ αὐτὴν τὴν πρώτην ἐπιβολὴν τῆς ἁφῆς, πρὶν κατὰ πάσης τῆς διαστάσεως ἐνηνέχθαι τὴν ἀρτηρίαν· ὥστ᾽ εἴπερ ὁμαλὸς ὁ σφυγμὸς εἴη, οὐ περιμείναντας τὴν ὅλην διαστολὴν ἐκ τοῦ μέρους αὐτῆς περὶ πάσης ἔχειν τεκμήρασθαι· ἀνωμάλου δ᾽ ὄντος ἁπάσῃ τε χρῆναι παρακολουθεῖν ἐλέγομεν, ἐπιβαλεῖν τε τὴν ἁφὴν διαφερόντως, ὡς ἂν ἔχοι μεγέθους τε καὶ σφοδρότητος ὁ σφυγμός. περὶ μὲν δὴ τοῦ κατὰ τὴν κίνησιν γένους ἱκανὰ καὶ ταῦτα πρός γε τὸ παρόν. αὖθις γὰρ ἡμῖν ἐν ταῖς περὶ τῶν σφυγμῶν διαγνώσεσιν ἀναγκαῖον αὐτῆς ἔσται μνημονεῦσαι.

Κεφ. β'. Περὶ δὲ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐφεξῆς λέγωμεν· τριῶν δὴ διαστάσεων οὐσῶν τοῦ σώματος

dum jure vocaveris. Quare, ut oratione in fummam collecta alio me conferam, in optima conftitutione moderatus motu pulfus erat, non ex intervalli nec temporum quantitate explorandus; fed ex ipfa, ut diximus qualitate, quo pacto difcedat ex locis, dicebamus animadvertendum effe; cujus memores, qui decedere celerius videatur, celerem; qui tardius, tardum appellemus; repraefentari autem hoc, ut primum eft admotus tactus, prius quam totum arteria fpatium confecerit. Proinde, fi pulfus aequalis fit, non expectamus univerfam diftentionem, fed ex parte ejus facere de tota conjecturam poffumus; qui fi inaequalis fit, omnem affequi dicebamus oportere, tactumque pro magnitudine pulfus et vehementia varie explicare. Atque de genere motus haec in praefentia fatis funt: ejus enim nos iterum in pulfibus dignofcendis mentionem neceffe eft faciamus.

Cap. II. Deinceps de quantitate diftentionis agamus, nam quum corporis arteriae dimenfiones tres fint, longitudo,

τῆς ἀρτηρίας, μήκους καὶ πλάτους καὶ βάθους, οὐδεμιᾶς οἷόν τε πάσης αἰσθέσθαι. τῆς μὲν κατὰ τὸ μῆκος ἄντικρυς δῆλον, μέχρι μὲν γὰρ ἐσχάτου πέρατος ἑκατέρωθεν ἡ ἀρτηρία σφύζει, βραχεῖ δ᾽ αὐτῆς μέρει τὴν ἁφὴν ὑπερβάλλομεν, ὅσον ἂν ὑπερκύπτῃ τὸν ὄγκον τοῦ προκειμένου σώματος. αὐτὸ δὲ τοῦτ᾽ ἔστι τὸ ποιοῦν ἢ μακρὸν, ἢ βραχὺν εἶναι τὸν σφυγμὸν, τὸ μὴ πάσης ἅψασθαι δύνασθαι τῆς ἀρτηρίας κατὰ τὸ μῆκος, [143] ἀλλ᾽ εἶναί τι πάλιν κἀνταῦθα καθ᾽ ἑκάστην φύσιν σώματος ἐπιφανὲς ὑπὸ τῷ δέρματι, τῇ δ᾽ ἀρίστῃ φύσει δηλονότι τὸ σύμμετρον, οὗ τὸ μὲν πλέον μακρὸν, τὸ δ᾽ ἔλαττον βραχὺν ποιεῖ τὸν σφυγμὸν, οὐκ ἀριθμῷ δακτύλων ὁρισθῆναι δυνάμενον, ὥσπερ τινὲς, εἰ μὲν τοῖς τέτταρσιν ὑποπίπτοι, μακρὸν εἶναι λέγουσιν, εἰ δὲ τοῖς τρισὶ, μέσον, εἰ δὲ τοῖς δύο, βραχύν. οὐ γάρ ἐστιν ἓν μέτρον σώματος ἀρίστης φύσεως, ἀλλὰ καθ᾽ ἑκάστην οὐ χαλεπῶς ἐξευρήσεις τὸ ποσὸν, ἀπὸ μιᾶς ὁρμηθεὶς, εἰ μόνον συλλογίσασθαι δυνατὸς εἴης τὸ ἀνάλογον. ἐκείνῃ δὲ πάλιν τοὺς ἄλλους παραβάλλων ἀνθρώπους, τοὺς ἴσους κατὰ τὸ τοῦ παντὸς τοῦ σώματος μῆκος οὕτως ἐρεῖς ἢ μακροὺς, ἢ βραχεῖς ἔχειν τοὺς σφυγμούς· ὡσαύτως

latitudo et profunditas, nullam possumus totam sentire. De longitudine apertissimum est, utrinque enim arteria usque ad terminum extremum pulsat. At parvae ejus parti injicimus tactum, quanta extat ex objecti corporis mole; quae quidem ipsa efficit ut longus vel brevis pulsus sit, eo quod non possit attingi omnis arteriae longitudo. Sit tamen hic etiam aliquid in qualibet corporis natura, quod elucescat sub cute, in optima natura moderatum; si quid supra hoc sit, longum; si quid infra, brevem reddit pulsum, qui non potest numero digitorum definiri; sicuti quidam, si quatuor digitis obviet, esse dicunt longum; si tribus, medium; si duobus, brevem. Neque enim corporis optimae naturae una est mensura, sed in una qualibet facile quantitatem assequere, unius ope, modo colligere proportionem possis; cum qua postea si alios homines conferas pares totius corporis magnitudine, dices vel longos vel breves pulsus habere; eo-

δὲ ἢ πλατεῖς, ἢ στενοὺς, ἢ ὑψηλοὺς, ἢ ταπεινοὺς, καὶ κατὰ τὰς τρεῖς διαστάσεις ἅμα μεγάλους, ἢ μικροὺς, πανταχοῦ γὰρ ἐπὶ τὸ σύμμετρον ἀναφέρων τοὺς ἄλλους κρινεῖς. ὅτι δὲ καθ᾽ ἕκαστον μὲν τῶν ἄλλων ἐν τοῖς σφυγμοῖς γενῶν εἷς ὁ σύμμετρος, ἐν μόνῳ δὲ τῷ κατὰ τὸ ποιὸν οὐχ ἁπλῶς εἷς, ἀλλὰ καθ᾽ ἕκαστον μέρος σώματος ἴδιος, ἔμπροσθεν εἴρηται. νῦν δ᾽ οὐ τοῦτο προὔκειτο λέγειν, ἀλλ᾽ εἰρημένων ὑπομνήσαντας ἐπ᾽ αὐτὸ τὸ προκείμενον ἐπανελθεῖν ἤδη προσήκει· προὔκειτο δ᾽, οἶμαι, λέγειν, ὡς οὐδεμιᾶς διαστάσεως ἀκριβῶς οἷόν τε τὸ ποσὸν αἰσθήσει διαγνῶναι. ἡ δὲ αἰτία τὸ μέν τι κοινὸν ἐν ἁπάσαις ἔχει, τὸ δ᾽ ἴδιον ἐν ἑκάστῃ, πρότερον δ᾽ εἰρήσεται τὸ κοινόν. ἐπεὶ τοίνυν οὐδεμία μέν ἐστι τῶν ἀρτηριῶν γυμνὴ, περίκειται δὲ πάσαις αὐταῖς πολλαχόθι μὲν ἐλάττω τε καὶ λεπτότερα σώματα, πολλαχόθι δὲ πλείω τε καὶ παχύτερα, παντί που δῆλον, ὡς οὐκ ἴσον ἁπάσαις τὸ αἰσθητὸν ἔσται τῆς κινήσεως, ἀλλὰ ταῖς μὲν πλέον, ὅσαις ἐλάττονά τε καὶ λεπτότερα, ταῖς δ᾽ ἔλαττον, ὅσαις πλείονά τε καὶ παχύτερα περίκειται σώματα. τὸ μὲν δὴ κοινὸν τοῦτο, τὸ δ᾽ ἴδιον ἑκάστης τῶν διαστάσεων, τῆς μὲν

dem modo latos, anguftos, altos, humiles, ac in tribus fimul dimenfionibus, magnos, vel parvos, ubique enim ad moderatum referemus, quum alios aeftimamus. At enim fingulos effe in fingulis aliis pulfuum generibus moderatos; fed in fola quantitate non plane unum, fed fuum cuique corporis parti, antea explicavimus. Hoc tamen non eft hujus loci, fed volui dicti vos admonere, itaque ad inftitutum jam par eft reverti. Inftitui vero, ut puto, docere, fenfu nullius dimenfionis exacte dignosci poffe quantitatem; cujus rei caufa partim omnibus communis, partim fua cuique eft. Primo loco communem exponam. Nam quandoquidem inter arterias, quae nuda fit nulla eft, fed veftiunt eas multis locis pauciora et fubtiliora corpora, multis etiam locis plura et craffiora, plane in aperto eft, non perinde omnes arteriarum motus poffe fentiri, fed illarum magis, quas pauciora tenuioraque; harum minus, quas circumjiciunt plura ac craffiora corpora. Atque haec communis eft. Propria vero fingu-

κατὰ τὸ μῆκος παμπόλλην εἶναι διαφορὰν τοῦ κατ᾽ ἀλήθειαν ὑπάρχοντος πρὸς τὸ φαινόμενον, τῆς δὲ κατὰ τὸ πλάτος ὀλίγην, ἐλαχίστην δὲ τῆς κατὰ τὸ βάθος. ἐν μὲν γὰρ τῷ μήκει δύο καὶ τρεῖς πήχεις πολλάκις ἐπεχούσης ὅλης τῆς ἀρτηρίας, τρισὶν ἢ τέτταρσι μόνοις δακτύλοις ἡ κίνησις φαίνεται τῆς ἀρτηρίας, τοῦ λοιποῦ παντὸς διὰ τὸ πλῆθος τῶν προκειμένων σωμάτων ἐγκαλυπτομένου. κατὰ δὲ τὸ πλάτος, ὅταν ὑπὸ τῶν ἑκατέρωθεν ἐν αὐτῇ περικειμένων πολλῶν ἢ παχέων ὑπαρχόντων μήτ᾽ αὐτῷ τῷ σώματι τῆς ἀρτηρίας δυνατὸν ᾖ τὴν ἁφὴν ἐπιβάλλειν μήτε διὰ τὸ πάχος αὐτῶν, ἢ τὸ πλῆθος, εἰς τοὐκτὸς ἡ κίνησις διϊκνῆται, πολλαχόθι μὲν ἀπώλεια παντελὴς γίγνεται, πολλαχόθι δ᾽ εἰς ἐλάχιστον ἡ κίνησις στενοῦται, ὅλη δ᾽ οὐδαμοῦ φαίνεται, διὰ τὸ μηδὲ τὴν ἀρτηρίαν εἶναί που γυμνήν. οὐ μὴν οὐδὲ τὸ βάθος ἀκριβῶς ἐστί που γυμνὸν, ἵνα κατὰ τοῖτο γοῦν ἡ κίνησις αὐτῆς ἅπασα σαφὴς φαίνηται· ἀλλ᾽ εἰ καὶ μηδὲν ἄλλο, δέρμα γοῦν αὐτῷ περίκειται, δι᾽ οὗ τὸν σφυγμὸν αἰσθανόμεθα, πάντως που καὶ αὐτὸ κατακρύπτον. ὁπότ᾽ οὖν οὕτως ἔχει ταῦτα, πειρατέον ἐνδείξασθαι τὸν τρόπον τῆς ἀρίστης διαγνώσεως ἐν ἑκάστῃ

larum dimenfionum, longitudinis quod permultum interfit inter veram et apparentem; latitudinis quod parum; profunditatis, quod minimum. Nam quum faepe longa tres cubitos univerfa arteria fit, tres vel quatuor duntaxat digiti percipiunt arteriae motum, reliqua pars a corporum objectorum numero occultatur. In latitudine quum prae corporibus, quae illam utrinque cingunt, multis illis et craffis, neque tactus ipfi corpori arteriae applicari poffit, neque per craffitiem illorum et multitudinem foras motus perrumpat, multis locis omnino motus perit, multis etiam in maxime anguftum cogitur; totum vero, quod arteriam nullo loco videas nudam. At vero ne profunditas quidem usquam plane eft nuda, ut poffit faltem in ea elucere ejus univerfus motus; fed fi nihil aliud, cutis certe ambit eam, per quam pulfum fentimus; itaque tecta fuerit haec quoque certe aliquatenus. Quae quum ita fint, dabimus operam ut optimam rationem monftremus dignoscendarum fingularum di-

διαστάσει· καὶ περὶ πρώτης γε λεγέσθω τῆς κατὰ τὸ μῆκος. ὅτι μὲν δὴ καὶ ταύτην ἀρίστην ἡγητέον, ἥτις ἂν πλείστης αἰσθάνηται κινήσεως, ἄντικρυς δῆλον. ὡς γὰρ εἰ καὶ πάσης αἰσθέσθαι δυνατὸν ἦν, τοῦτ᾽ ἂν ἦν ἄριστον, οὕτως, ἐπειδὴ τοῦτ᾽ ἀδύνατον, ὅταν μηδὲν τῶν ἐνδεχομένων αὐτῆς γνωσθῆναι μορίων διαφεύγῃ, τὴν ἁφὴν ἀρίστην νομιστέον. ὅπως δ᾽ ἄν τις αὐτὴν ποιήσαιτο, πειρατέον εἰπεῖν ὑπομνήσαντας πρότερον ὡς ἐν τρισὶ τούτοις αἱ τῶν αἰσθητικῶν γνώσεων ἅπασαι συνίστανται διαφοραὶ, φύσει τε καὶ ἀσκήσει καὶ τρόπῳ τῆς ἐπιβολῆς. [144] ὃς μὲν γὰρ ἂν εὐαισθητότατον φύσιν τε καὶ τὸ αἰσθητήριον ἔχῃ γεγυμνασμένον ἱκανῶς καὶ καθ᾽ ὃν χρὴ τρόπον ἐπιβάλλῃ τοῖς αἰσθητοῖς, οὗτος ἂν ἄριστος εἴη γνώμων τῶν ἐντὸς ὑποκειμένων· ὃς δ᾽ ἂν κατά τι τούτων ἀπολίπηται, καθ᾽ ὅσον ἂν ἀπολίπηται, κατὰ τοσοῦτο χείρων εἰς ἀκριβῆ διάγνωσιν. εἰρήσεται δ᾽ οὖν τῷ πεφυκότι μὲν ἄριστα, γεγυ(73)μνασμένῳ δὲ μὴ ῥαθύμως, ὅπως ἂν ἐπιβάλλων τὴν ἁφὴν ἀκριβῶς αἰσθάνοιτο τῆς κατὰ τὴν ἀρτηρίαν κινήσεως εἰς δύναμιν ἀνθρωπίνην. καὶ ἐπειδὴ περὶ πρώτης τῆς κατὰ

menfionum; ac primo dicemus de longitudine. Atque effe hanc cenfendam optimam, quae motus maximam partem fentiat, clariffimum eft; nam ut fi fentire omnis valeat, primum hoc fit, ita pofteaquam hoc non poteft, ubi nulla pars ejus, quae quidem animadverti poffit, lateat, tactum exiftimamus optimum effe. Quomodo autem eum poffis inftituere, faciam ut declarem; fi ob oculos prius proponam in tribus his omnes pofitas effe fenfibilium cognitionum differentias, in natura, exercitatione et modo applicationis. Nam qui tactum natura appofitiffimum ad fentiendum et probe exercitatum habet, tum etiam fenfibilibus decenter admovet, optimus hic explorator fit eorum quae intus funt condita; qui hoc eft aliquatenus inferior, quam maxime ab illo abeft, tam peffime abfolutam cognitionem confequetur. Explicabo igitur huic, qui optime natura comparatus eft et exercitatus non fegniter, qua applicatione tactus ad unguem, ut homo poteft, motum fentiat arteriae. Et quia

τὸ μῆκος διαστάσεως προὐθέμεθα λέγειν, τὸν εἰς ταύτην ἐπιτηδειότατον τρόπον τῆς ἐπαφῆς ἐροῦμεν. ἄθλιπτος μὲν οὖν πάντως ἔστω, πολλαχόθι δὲ καὶ ψαύων ἐπιπολῆς καὶ οἷον αἰωρῶν τὴν χεῖρα. χρηστὸς δ᾽ ὁ τοιοῦτος μάλιστα τρόπος ἐν τοῖς μικροῖς ἅμα καὶ ἀῤῥώστοις σφυγμοῖς. θλιψάντων γὰρ τούτους κατά τι, πολὺ τῆς κινήσεως ἀπόλλυται, πολλάκις δὲ καὶ σύμπασα. παρά τε γὰρ τὸ ποσὸν τῆς θλίψεως καὶ προσέτι τὸ ποιὸν τοῦ κατὰ τὴν ἀρτηρίαν τόνου ποτὲ μὲν πολὺ ἀπολείπεται τῆς κινήσεως, ποτὲ δ᾽ ἔλαττον, ἔστι δ᾽ ὅτε καὶ πᾶσα, καὶ διὰ ταῦτα ἀσφαλέστατόν ἐστιν εἰς τὴν τοῦ μήκους διάγνωσιν ἀθλίπτως ἐπιβάλλειν τὴν ἁφήν. καὶ γὰρ οἱ σφοδροὶ σφυγμοὶ φέρουσι μὲν ἀλύπως τὴν μετρίαν θλίψιν, ἀλλ᾽ οὐδὲν οὐδ᾽ οὗτοι βλάψονται ψαυόντων ἀθλίπτως. ὅταν οὖν ὁ τοιοῦτος τρόπος τῆς ἐπαφῆς χρηστότατος μὲν ᾖ τοῖς ἀμυδροῖς σφυγμοῖς, ἀβλαβὴς δὲ καὶ τοῖς σφοδροῖς, οὐκ ἄν τις ἕτερον ἀντ᾽ αὐτοῦ προέλοιτο. χρὴ δὲ καὶ τοῦτο προσδιορίσασθαι φαινόμενον ἐναργῶς, ὡς ἐν ταῖς κατὰ διαφέροντα μόρια τοῦ μήκους τῆς ἀρτηρίας θλίψεσιν οὐχ ὁμοίως ἐν ἅπασιν ἡ

de prima dimenſione, videlicet longitudine, inſtitui dicere, accommodatiſſimum huic modum tactus aperiam. Omnino non premat, imo ſaepe leviter palpet et veluti ſuspendat manum. Accommodatum eſt hic in primis modus parvis pariter et imbecillis pulſibus; nam hos ſi aliquatenus premas, motus pereat magna ex parte et ſaepe vero etiam univerſus. Nam pro quantitate compreſſionis et qualitate praeterea arteriae contentionis modo multum imminuitur ejus motus, modo minus, eſt quum perit totus. Quocirca ad longitudinem dignoscendam ſumma cautio eſt, ut praeter omnem compreſſionem tactum admoveas. Etenim modicam compreſſionem non graviter ferunt quidem pulſus vehementes, non laedentur tamen ne hi quidem, ſi in palpando nihil premas. Quandoquidem igitur hic modus attingendi optimus eſt languidis pulſibus, nec incommodus etiam vehementibus, cave praeponas illi alium. Porro eſt illud etiam explicandum, quod non obscure advertitur, ubi diverſas partes premas longitudinis arteriae, motum non perinde videri

κίνησις φαίνεται βλαπτομένη, ἀλλ᾽ ἐν μὲν τοῖς ἀνώτερον μέρεσι μείζων ἡ βλάβη, βραχεῖα δ᾽ ἐν τοῖς κατώτερον, καὶ λανθάνουσά γε πολλάκις ἐν τοῖς σφοδροῖς σφυγμοῖς, οὐ μὴν ἔν γε τοῖς ἀμυδροῖς. ἔν γε τούτοις εἰ τὸ κατώτερον μέρος θλίψαιμεν, εὔδηλος ἡ περὶ τῶν ἀνωτέρων γίνεται βλάβη. τὰ δ᾽ ἀνώτερα καὶ κατώτερα πῶς ἐνταῦθα χρὴ νοεῖν, οὐκ ἄδηλον, ὅτι τὰ πορῤώτερα μὲν μέρη τῆς καρδίας κατωτέρω, τὰ δ᾽ ἐγγυτέρω καλοῦμεν ἀνωτέρω. τοῦτο ἐπὶ μὲν τῶν κώλων καὶ πάνυ σύνηθες· ἐπὶ δὲ τῶν ἐν τῇ κεφαλῇ μερῶν καὶ κατὰ τὸν τράχηλον οὐκ ἔθ᾽ ὁμοίως. κοινὸν δ᾽ οὖν ἐφ᾽ ἁπάντων, ὡς εἴρηται, τὸ τὰ τῆς καρδίας ἐγγυτέρω θλιβόμενα μεγάλην τὴν βλάβην ἐργάζεσθαι τοῖς ἐφεξῆς, τὰ δ᾽ ἀπωτέρω πολλάκις μὲν οὐδ᾽ ὅλως αἰσθητὴν, ὅταν ἱκανῶς ᾖ σφοδρὸς ὁ σφυγμὸς, ἔστι δ᾽ ὅτε καὶ φαινομένην ἐν τοῖς οὐ σφοδροῖς. περὶ μὲν οὖν τῆς κατὰ τὸ μῆκος διαστάσεως ἀρκέσει καὶ ταῦτα, περὶ δὲ τῶν λοιπῶν δυοῖν ἤδη λέγωμεν, ἃς οὐχ οὕτως εἶναι δύο χρὴ νομίζειν, ὡς ἐπὶ τῶν τετραπλεύρων καὶ κυβικῶν σωμάτων ἔστιν ἰδεῖν, ἰδίᾳ μὲν τὸ πλάτος, ἰδίᾳ δὲ τὸ βάθος ἀφωρισμέ-

in omnibus offenfum: caeterum in partibus altioribus major eft noxa, minor in inferioribus. Et vero frequenter noxa non animadvertitur in vehementibus pulfibus, fecus in languidis: nam in his fi inferiorem partem prefferimus, luculenta fuperioribus noxa datur. Superiores autem et inferiores quomodo hoc loco accipiendae funt, non eft obscurum: ut remotiffimae a corde partes inferiores, et viciniores appellentur fuperiores: hoc in artubus quidem perquam eft folemne, non item in capitis partibus et colli. Itaque ad omnes pertinet, ut diximus, cordi viciniores, fi premantur, magnam injuriam fubjectis facere; remotiores faepenumero nullam, quae animadverti poffit, fi bene vehemens pulfus fit, interim tamen manifeftam in non vehementibus. Atque de longitudine haec fatis fint. Nunc de reliquis duabus agamus, quas non ita oportet duas numerare, ut ficut in quadrangularibus et quadratis corporibus videas feparatim latitudinem, feparatim profunditatem di-

νον, ἀλλ' ὥσπερ ἐν κύκλῳ καὶ σφαίρᾳ συγκέχυται πάντα, καὶ μία τις ἢ γραμμῆς, ἢ ἐπιφανείας περιφέρεια φαίνεται, τὸν αὐτὸν τρόπον ἡγητέον ἔχειν καὶ ἐπὶ τῆς ἀρτηρίας, φαίνεται γὰρ ἐν ταῖς ἀνατομαῖς πολλαχόθι μὲν κυλινδροειδὴς, πολλαχόθι δὲ κωνοειδὴς τὸ σχῆμα. πῶς οὖν ἐπῆλθε τοῖς ἰατροῖς ἰδίᾳ μὲν περὶ πλάτους, ἰδίᾳ δὲ περὶ βάθους ἀρτηρίας διαλέγεσθαι, δέον, ὥσπερ ἐστί τε καὶ φαίνεται κατὰ τὰς διαιρέσεις, τὸ μέν τι μῆκος αὐτῆς, τὸ δέ τι κύκλον ὀνομάζειν; ἀμέλει καὶ ὀνομάζουσιν οὕτω πολλοὶ πολλάκις, οὐ μὴν διὰ παντός γε δυνατὸν οὔτε τούτοις οὔτ' ἄλλῳ τινὶ περὶ τῶν ἐναργῶς φαινομένων διηγουμένῳ μῆκος καὶ κύκλον ὀνομάζειν μόνον, ἀλλ' ἀναγκασθήσονται πολλάκις εἰπεῖν τινα διαστολὴν αὐτῆς ὑψηλὴν μὲν, στενὴν δὲ, καὶ αὖθις ἑτέραν ταπεινὴν μὲν, πλατεῖαν δέ· καὶ γὰρ φαίνεται ταῦθ' οὕτως ἐναργῶς, ὡς ἀμφισβητῆσαι [145] μηδένα. καὶ διὰ τὰ τοιαῦτα φαινόμενα διαφερούσας ἐννοίας πλάτους τε καὶ βάθους ἠναγκάσθημεν ἔχειν ἐπὶ τῶν ἀρτηριῶν. ὥσπερ δὲ τὰς τοιαύτας διαφορὰς αἰσθήσει διέγνωμεν, οὕτω πολλάκις ὁμολογοῦμεν ἀκρι-

ſtinctam: ſed ſicut in circulo et globo confuſa ſunt omnia, una vero quaedam, vel lineae, vel ſuperficiei videtur circumferentia, ſic eſſe in arteria putes: cujus cernitur in diſſectionibus figura multis locis cylindrum, multis etiam conum referre. Quomodo igitur medicis in mentem venit ſeorſum de latitudine, ſeorſum de profunditate diſſerere, quum deberent, ut eſt et conſpicitur ex partitionibus, unam longitudinem ejus appellare, alterum circulum, ut certe multi frequenter vocant? Non perpetuo poſſunt tamen, nec hi, nec alius quisquam, quum de exemplis evidentibus narrant, longitudinem et circulum tantum appellare; ſed exprimet ſaepe neceſſitas, ut diſtentionem altam quandam vocent et anguſtam, contra etiam aliam humilem latamque, etenim hoc ita clarum eſt, ut ambigat nemo. Sic propter haec manifeſta eventa habere diverſas latitudinis et profunditatis notiones coacti ſumus. Porro ſicut ſenſu percipimus eas differentias, ita circularem nos figuram ſaepe animad-

βῶς κυκλοτερῆ τὴν κίνησιν ἡμῖν φαίνεσθαι. καὶ νῦν ἐροῦμεν ὑπὲρ ἑκατέρων τῶν διαφορῶν κοινῇ, πῶς ἄν τις ἄριστα τὴν ἐπιβολὴν ποιούμενος τῶν δακτύλων διαγιγνώσκειν αὐτὰς δύναιτο. καὶ γὰρ οὐ σμικρά τις ἀπορία δόξειεν ἂν ἐν τῇ διαγνώσει ταύτῃ περιέχεσθαι, κατὰ μηδεμίαν ἐπιβολὴν ἁπάσης τῆς διαστάσεως ἡμῶν αἰσθάνεσθαι δυναμένων, μήθ' ὅταν ἐπιπολῆς ψαύωμεν, ἡ γὰρ τοιαύτη μόνων τῶν ἐσχάτων τῆς κινήσεως αἰσθανομένη τὸ πρὸ τοῦ πᾶν ἀγνοήσει, μήθ' ὅταν ἱκανῶς θλίβωμεν, πρὸς γὰρ τῷ κατὰ τοὺς σφοδροὺς σφυγμοὺς μόνους ἐγχωρεῖν τοῦτο δρᾷν, ἔμπαλιν ἡ τοιαύτη τῇ πρότερον τῶν ὑστέρων τῆς διαστάσεως ἀναίσθητος ἔσται, τῶν πρώτων μόνον αἰσθανομένη· κατὰ ταὐτὰ δ' ἱκανὸν εἰ μέσῃ τινὶ τῶν εἰρημένων ἐπιβολῶν ἑτέρᾳ χρησαίμεθα, τά τε πρῶτα καὶ τὰ τελευταῖα τοῦ διαστήματος ἀγνοήσομεν. ὅτι δ' ἀληθές ἐστιν ὃ λέγω, πειραθεὶς ὁ βουλόμενος γνώσεται. θλίψας γὰρ τοὺς σφοδροὺς σφυγμοὺς, τούτους γὰρ μόνους ἐγχωρεῖ θλίβειν, οὐκ εἴσεται πηλίκοι τινές εἰσιν. ἀπόλλυται μὲν γάρ τι καὶ αὐτῆς τῆς κινήσεως ἐν ταῖς πλείσταις τῶν θλίψεων, ὡς καὶ πρόσθεν εἴρηται· τὸ διάστημα δ' οὐκέτι μικρὸν, ἀλλ'

vertere clare fatemur. Itaque de utraque jam differentia dicemus in communi, qua potiffimum ratione applicandorum digitorum ad eas pervenire dignoscendas queas. Neque enim in iis dignoscendis mediocris ineffe fcrupulus videatur, quod nulla admovendi tactus ratione valeamus fentire intervallum totum: neque quum leniter palpemus (nam ea extremas tantum partes fentiat motus: quae praecedebat, ignoret univerfam) neque quum premimus multum. Ut enim omittam hoc in vehementibus tantum pulfibus permiffum effe, contra ac prior poftremam partem ignorabit intervalli, tantum fentiet primam. Jam fi alia utamur applicatione inter illas media, et prima pars intervalli et poftrema nos fugiet. Hoc verum effe quisque experientia discat. Nam vehementes pulfus fi premas (hos enim premere folos fas eft) nescies quanti fint, quod pereat fere in compreffionibus, ut ante fignificavimus, aliquid etiam de ipfo motu, ac intervallum non jam parva ex parte, fed prope corrumpatur uni-

ὀλίγου δεῖν ὅλον διαφθείρεται. ψαύσας δ' αὖ πάλιν ἐπιπολῆς οὐχ ἕξεις μαντεύσασθαι κατὰ πηλίκου διαστήματος ἡ κίνησις ἠνέχθη. ἡ μὲν οὖν ἀπορία τοιαύτη. λύσις δ' αὐτῆς τὸ μὴ ζητεῖν πάντως αἰσθήσει διαγνῶναι τὸ ποσὸν τῆς διαστολῆς, ἀλλ' εἰ καὶ συλλογισμῷ τινι δυνάμεθα μηδὲν ἡγεῖσθαι βεβλάφθαι. πρόκειται γὰρ ἡμῖν οὐκ αἰσθήσει πάντως γνῶναι τὰ συμβεβηκότα τοῖς σφυγμοῖς, ἀλλ' ἁπλῶς γνῶναι. πᾶσα μὲν οὖν ἡ τοιαύτη γνῶσις αἰσθήσεως δεῖται, οὐ μὴν μόνης γε ταύτης, οὐδ' ὡς ἀεὶ τὸ πᾶν εὑρίσκειν δυναμένης, ἀλλ' ἱκανὸν πολλάκις ἕν τι τῶν αἰσθητῶν παθημάτων γνώρισμα ποιήσασθαι τῆς τοῦ πράγματος ὅλης οὐσίας. ἔχει γοῦν οὕτως κἀπὶ τῶν νῦν προκειμένων. εἰ γὰρ ἐπιπολῆς ψαύοις, ἀναγκαῖον ἤτοι κατὰ πλείονα μόρια προσπιπτούσης αἰσθάνεσθαι τῆς ἀρτηρίας, ἢ κατ' ἐλάττονα, μεθ' ἣν διάγνωσιν συλλογισμὸς αἰσθήσει παρακείμενος ἡμᾶς εἰσέρχεται, μεγάλην μὲν εἶναι διαστολὴν τὴν κατὰ τὰ πολλὰ μόρια κινοῦσαν τὴν ἁφὴν, μικρὰν δὲ τὴν κατ' ὀλίγα. φέρε γὰρ εἶναι κυκλοτερῆ τὴν πρόσπτωσιν αὐτῆς, ἆρ' οὐ πρόδηλον, εἰ μὲν ἀξιόλογος εἴη τὸ μέγεθος ἡ τοῦ κύκλου περιφέρεια, καὶ τὴν ὅλην εἶναι διαστο-

verfum. Contra fi leniter palpes, per quantum intervalli fit motus delatus, non divines. Habes difficultatem quae fic explicatur, fi ut prorfus diftentionis quantitatem fenfu dignoscamus, non laboremus, fed et ratione quadam poffimus nihil laefam effe exiftimare. Neque enim hoc nos quaerimus, ut fenfu omnino, quae accidunt pulfibus, cognoscamus, fed ut fimpliciter cognoscamus. Ergo fenfum requirit quidem omnis talis notitia, attamen non hunc folum, neque quafi femper valeat quidlibet invenire: fed fatis eft frequenter, fi fenfibilis affectus unus totius rei denunciet effentiam. Eadem ratio eorum eft, de quibus nunc agimus. Nam fi leniter palpes, aut pluribus in partibus occurfum arteriae neceffe eft fentias, aut in paucioribus: quo cognito, ad fenfum ratio adjuncta, nobis magnam diftentionem fuggerit effe, quae multis partibus movet tactum; parvam, quae paucis. Age fac circularem ejus occurfum effe, quid? nonne clarum eft fi infigni fit circumferentia circuli magnitudine, totam etiam

λὴν τῆς ἀρτηρίας ἁδράν· εἰ δ' ἡ περιφέρεια μικρὰ, καὶ τὴν διαστολὴν ὅλην ἰσχνὴν εἶναι; οὔτε γὰρ τὴν ἰσχνὴν διαστολὴν μεγάλοις ὁρίζεσθαι κύκλοις δυνατὸν οὔτε τὴν ἁδρὰν μικροῖς, ἀλλ' ἀνάγκη ἀνάλογον ἔχειν τῷ ποσῷ τῆς διαστολῆς τὸ ποσὸν τοῦ περιγράφοντος αὐτὴν κύκλου. κατὰ ταὐτὰ δὲ, κἂν εἰ μὴ κύκλος ἀκριβὴς εἴη τὸ πέρας τῆς διαστολῆς, ἀλλ' οἷον κολοβὸς κατὰ μέρος, ὅπερ ἐν τοῖς ὑψηλοῖς καὶ στενοῖς ἢ ταπεινοῖς καὶ πλατέσιν εὑρίσκεται σφυγμοῖς, ὁ συλλογισμὸς ὁ τοῦ ποσοῦ τῆς διαστολῆς ὁμοίως ἂν γίγνοιτο. τά τε γὰρ τῆς διαστολῆς τά τε τῆς εἰς ὕψος ἀνόδου πέρατα τμήματα κύκλου πάντως ἔσται, καὶ ταῦτ' ἤτοι μείζονα, ἢ μείονα καθ' ἑκατέρωθεν, ἤτοι κοιλότερα τῆς περιφερείας ταύτης, ἢ κυρτότερα φαινόμενα πάντως ἤτοι μακροτέραν, ἢ βραδυτέραν ἀποφαίνει τῆς ἀκριβῶς κυκλοτεροῦς τὴν νῦν φαινομένην γραμμήν. καὶ οὕτως τό τ' ἄνισον τῆς εἰς πλάτος τε καὶ βάθος διαστάσεως τό τε διαστολῆς ὅλης τὸ ποσὸν ἀναλογιούμεθα. [146] φέρε γὰρ φαίνεσθαι κυρτοτέρας μὲν καὶ προπε(74)τεστέρας τὰς ἐν τοῖς πλαγίοις τῆς ἀρτηρίας προσπτώσεις, κοιλοτέραν δέ πως καὶ

craffam effe diftentionem arteriae et univerfam diftentionem gracilem, fi circumferentia fit parva? Neque enim magnis circumfcribi circulis gracilis diftentio poteft, nec craffa minutis: caeterum quantitati diftentionis neceffario respondet circuli circumfcribentis eam quantitas. Haud aliter etiam fi verus non fit et exactus circulus finis diftentionis, fed quafi mutilus partim, id quod in altis et anguftis, vel humilibus et latis ufu venit, ratio fimiliter fubducitur quantitatis diftentionis. Nam tum diftentionis tum ascenfus fines particulae prorfus erunt circuli, hique prout appareant majores, vel minores utrinque, vel concavi magis hac circumferentia, vel gibbofiores omnino, vel longiorem, vel anguftiorem, vel latiorem, quam eft exacte circularis, hanc lineam, quae in praefentia cernitur, oftendunt. Unde inaequalitatem nos latitudinis et profunditatis totiusque quantitatem diftentionis aeftimabimus. Age enim videantur gibbofiores ac praeruptiores obliqui occurfus arteriae, praeterea cava magis quodammodo et humilior in profunditate,

ταπεινοτέραν τὴν κατὰ βάθος, ὥστε μηδὲ κύκλου περιφέρειαν ἔτι δοκεῖν ὑπάρχειν, ἀλλ᾽ οἷον εὐθεῖαν γραμμὴν εἶναι, δῆλον, ὡς ὁ τοιοῦτος σφυγμὸς πλατὺς ἔσται καὶ ταπεινός. ἡ μὲν γὰρ εἰς τὸ πλάτος κίνησις ἐπὶ πλέον ἐκταθεῖσα πλατὺν εἰκότως ἐργάζοιτ᾽ ἄν, ἡ δ᾽ εἰς ὕψος κωλυθεῖσα ταπεινόν. ἔμπαλιν δὲ εἰ τὰ ἐν τοῖς πλαγίοις μόρια τῆς κινήσεως ἀπολείποιτο πολὺ τοῦ μέσου, τὸ μέσον δ᾽ αὐτὸ κυρτὸν ἱκανῶς φαίνοιτο, δῆλον, ὡς ὁ τοιοῦτος σφυγμὸς ὑψηλὸς μὲν ἔσται, στενὸς δέ· παντάπασι δὲ στενῆς τῆς κατὰ τὸ πλάτος αὐτοῦ προσβολῆς γενομένης, ὡς μὴ δοκεῖν μεμειῶσθαι μόνον τὴν ἐν τοῖς πλαγίοις κίνησιν, ἀλλ᾽ ὅλην τελέως ἀπολωλέναι, χαλεπὸν γνῶναι, μᾶλλον δ᾽ ἀδύνατον, ὅσον γ᾽ ἐπὶ τούτοις, ὁποῖός τίς ἐστιν ὁ σφυγμός. εἰ μὴ γὰρ διορισμούς τινας παραλάβοιμεν, οὐκ εἰσόμεθα πότερον ὑψηλὸς, ἢ ταπεινὸς, ἢ σύμμετρός ἐστι κατὰ τὸ βάθος. ἅπαντα γὰρ εἶναι δύναται. καὶ γὰρ εἰ ταπεινὸς ἅμα καὶ στενὸς εἴη, τοιοῦτος φανήσεται, καὶ εἰ ὑψηλὸς ἅμα καὶ στενὸς εἴη, τοιοῦτος φανήσεται, καὶ εἰ σύμμετρος κατὰ βάθος ἅμα καὶ στενός. τὸ μὲν γὰρ εἶναι στενῷ τῷ τοιούτῳ σφυγμῷ πάντως ὑπάρχει διὰ τὴν

adeo ut ne circuli quidem videatur circumſerentia manere, ſed veluti recta linea eſſe, profecto apertum eſt, talem pulſum latum fore et humilem. Nam motus in latum amplius exporrectus, latum merito efficiat, at motus ascenſu prohibitus humilem. E diverſo ſi motus obliqui partes longe citra medium conſtiterint, ac medium ipſum ſatis videatur gibboſum eſſe, plane is pulſus erit altus anguſtusque, ſi ſemel anguſtus ejus in latitudine occurſus evadat, ut non modo imminutus eſſe obliquus motus, ſed et totus ſemel videatur periiſſe, difficilis cognitu eſt, vel potius cognosci non poteſt, quantum in his eſt, qualis ſit pulſus. Nam niſi diſtinctiones adhibeamus quasdam, non aſſequemur, altusne ſit, an humilis, an moderatus profunditate: nam omnia eſſe poteſt. Etenim ſi humilis ſit pariter et anguſtus, talis videbitur eſſe, et ſi altus ſimul et anguſtus, ejuscemodi apparebit, denique ſi moderatus profunditate una et anguſtus, talem dicas eſſe; nam anguſtiam is pulſus prorſus ex motu

εἰς τὸ πλάτος κίνησιν κεκωλυμένην. ἡ δ' ἀπορία περὶ τοῦ βάθους ἐστὶν, ὃ κἂν ἐκ πολλοῦ διαστήματος, κἂν ἐξ ὀλίγου, κἂν ἐκ συμμέτρου τὴν κίνησιν ἀρχομένην ἔχῃ, τὴν αὐτὴν τοῖς ἐπιπολῆς ἁπτομένοις φαντασίαν ἐργάσεται. στενῆς γὰρ αἰσθήσονται τῆς κινήσεως. πῶς οὖν διορισθήσεται; πολλαχῇ μὲν καὶ τοῖς τῆς ἁφῆς παθήμασιν, διὰ παντὸς δὲ τῷ λογισμῷ. λεκτέα δὲ πρότερα τὰ τῆς ἁφῆς, ἐφ' ὧν ἐγχωρεῖ διὰ ταύτης τι λαβεῖν σαφές. ἐγχωρεῖ δ' ἐπὶ σφοδρῶν σφυγμῶν, ὑπὲρ ὧν εἴρηται πολλάκις, ὅτι μόνοι θλιβόντων τὴν ἀρτηρίαν οὐκ ἀπόλλυνται. ῥᾷστον οὖν ἐπί γε τῶν τοιούτων γνωρίσαι τὸ βάθος τοῦ σφυγμοῦ. θλίψαντι γάρ σοι τάχα μὲν καὶ δι' αὐτῆς τῆς ἁφῆς, ἐὰν ᾖ γεγυμνασμένη τε καὶ ἁπαλὴ καὶ ἀκριβῶς αἰσθανομένη φύσιν, γενήσεταί τις διάγνωσις τοῦ διαστήματος τῆς κινήσεως· εἰ δὲ μὴ, ἀλλ' ὅ γε χρόνος ὁ τῆς κινήσεως ἐνδείξεται τὸ ποσὸν τῆς διαστάσεως. εἰ γὰρ οἷός τ' εἴης διακρίνειν ἰδίᾳ μὲν τὸ ποιὸν τῆς κινήσεως, ἐν ᾧ τὴν κατὰ τάχος τε καὶ βραδύτητα διαφορὰν εὑρίσκομεν, ἰδίᾳ δὲ τὴν κατὰ τὸν χρόνον, ἐν ᾧ βραχυχρονίους κινήσεις διαγιγνώσκομεν, οὐκ ἂν

inhibito in latitudinem contraxit. Difficultas vero refidet in profunditate, quae et fi ex longo intervallo et fi ex brevi vel moderato motum ordiatur, eandem tamen tangentibus repraefentabit fpeciem, nam auguftum motum percipient. Qua ergo ratione explorabitur? frequenter quidem etiam tactus affectibus, perpetuo tamen ratione. Primum de tactus affectibus dicemus, in quibus poffis per eum manifefti deprehendere aliquid: licet autem in vehementibus pulfibus, qui ut faepe monuimus, foli preffa arteria non labefactantur. Prompta ergo in illis quidem notitia profunditatis eft pulfus. Nam fi prefferis, forfitan vel ipfo tactu, fi exercitatus fit et mollis fuaque fponte exacte fentiat, in notitiam aliquam pervenies intervalli motus: fin minus, tempus certe motus quantitatem declarabit intervalli. Nam fi discernere figillatim motus qualitatem poteris, in qua differentiam celeritatis et tarditatis reperimus, figillatim etiam temporis quantitatem, ubi breves motus animadvertimus,

λανθάνοι κατὰ τὴν ἐπίθλιψιν αὐτῶν οὐδέτερον. εἰ δ᾽ ἄμφω λάβοις, οὐ χαλεπῶς συλλογιῇ περὶ τῆς διαστάσεως. φέρε γὰρ εἶναι ταχεῖαν μὲν τὴν κίνησιν, πολυχρόνιον δὲ, παντί που δῆλον, ὡς κατὰ μεγίστης αὐτῇ διαστάσεως ἐνήνεκται. πάλιν οὖν ἔστω βραδεῖά τε καὶ βραχυχρόνιος, εἴη ἂν, οἶμαι, καὶ ἥδε κατ᾽ ἐλαχίστης διαστάσεως ἐνηνεγμένη. σφοδροῦ μὲν ὄντος τοῦ σφυγμοῦ, κατὰ τόνδε τὸν τρόπον διαγινώσκειν τοῦ βάθους τὸ ποσὸν, ἀμυδροῦ δ᾽ ὄντος, ἡ μὲν αἴσθησις ὠφελεῖν ἡμᾶς οὐδὲν ἔτι δύναται, θλιβόντων γὰρ ἀπόλλυται παντελῶς ἡ κίνησις ἐν τοῖς τοιούτοις σφυγμοῖς, τῷ λόγῳ δὲ τηνικαῦτα τὸ πᾶν ἐξιχνευτέον. εἰρήσεται δὲ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, ὡς οὐ πᾶσι πάσαις διαφοραῖς μίγνυσθαι δύνανται, καὶ διορισθήσεται, τίνες εἰσὶ καὶ ὁπότε καὶ ὅπως. ὥστ᾽ ἐκ τῶν ἄλλων τῶν φαινομένων ἐναργῶς εἰδέναι τί καὶ περὶ τῶν οὐ φαινομένων ἐν ἐκείνοις διδαχθήσεται, καὶ διότι στενός θ᾽ ἅμα καὶ ἀμυδρὸς σφυγμὸς ὑψηλὸς οὐκ ἄν ποτε γένοιτο. περὶ μὲν δὴ τούτων ἀρκέσει καὶ τὰ τοσαῦτα.

Κεφ. γ΄. [147] Περὶ δὲ τῶν ῥυθμῶν ἐφεξῆς ἐροῦμεν εἰς ταύτην τὴν τάξιν τῆς διδασκαλίας ἀγόμενοι κατὰ τὴν

neutra te harum, ſi premas, ſugiet. Quod ſi ambas aſſecutus ſis, facile de intervallo conjicies. Eſto celer motus et diuturnus, ſane apertiſſimum eſt maximo eum ſpatio delatum eſſe, contra tardus eſto et brevis, ſit utique et hic minimo ſpatio devectus. Atque hoc pacto ſi vehemens ſit pulſus, profunditatis quantitatem dignoscimus, qui ſi languidus ſit, nihil jam nobis ſenſus adjumenti adferre poterit, quod motus in ejuscemodi pulſibus compreſſione perditur univerſus, quare ratione hic tota res inveſtiganda eſt. Dicemus autem de cauſis pulſuum, non omnes cum omnibus differentiis poſſe confundi, diſtinguemusque, quae illae ſint et quando et quemadmodum. Itaque ex aliis, quae aperte ſunt conſpicua, quomodo etiam aliquid de obscuris deprehendas, inibi docebimus, ad haec cur anguſtus ſimul et languidus pulſus altus nunquam ſit. Sed de his hactenus.

Cap. III. Poſthac de rhythmis verba faciemus: quem ordinem ſecuti ſumus docendi, quod conjuncta ejus cum

Ed. Chart. VIII. [147.] Ed. Baf. III. (74.)

οἰκειότητα τῆς διαγνώσεως, ἐπεί τοι κατά γε τὴν φύσιν αὐτῶν τῶν πραγμάτων τὰ καθ᾽ ἓν μόριον σφυγμοῦ καὶ μάλιστα τὴν διαστολὴν συνιστάμενα γένη πρότερον ἐχρῆν ἐπελθεῖν, ὡς ἐν τοῖς περὶ διαφορᾶς σφυγμῶν ἐποιήσαμεν. ἀλλ᾽ ἐπεὶ τὰ μὲν ἐν ἑνὶ μορίῳ συνιστάμενα γένη τὰ μὲν εἰρημένων ὑπόλοιπα κοινῆς δεῖται διδασκαλίας, τὸ δὲ τῶν ῥυθμῶν τοῖς προειρημένοις δύο γένεσιν ἔζευκται κατὰ τὴν διάγνωσιν, ὡς αὐτὸς περὶ αὐτῶν λόγος ἐνδείξεται, διὰ τοῦτ᾽ ἐφεξῆς ἐροῦμεν περὶ ῥυθμῶν, τὸν περὶ σκληρότητος καὶ σφοδρότηρος λόγον εἰς τὸ μετὰ τούτου βιβλίον ἀναβαλλόμενοι, ὥσθ᾽ ἕκαστον τῶν ὑπομνημάτων τελείαν ἔχειν τῶν παρακειμένων ἀλλήλοις κατὰ τὴν διάγνωσιν τῶν γενῶν τὴν διδασκαλίαν. ἐπεὶ τοίνυν ὁ ῥυθμὸς ἐν τῷ παραβάλλειν τὸν χρόνον τῆς διαστολῆς τῷ χρόνῳ τῆς συστολῆς γίνεται, χρὴ δηλονότι διαγνωστικοὺς ἡμᾶς ὑπάρχειν ἰδίᾳ πρότερον ἑκατέρου τοῦ χρόνου. τοῦτο δ᾽ οὐ πάνυ τι ῥᾴδιον. εἰ γὰρ ἐν τῷ πρώτῳ βιβλίῳ λεχθέντων ἀναμνησθείημεν, ἡνίκ᾽ ἐζητοῦμεν πότερα πάσης αἰσθέσθαι δυνατόν ἐστι τῆς διαστολῆς καὶ τῆς συστολῆς, ἢ διαφεύγει τι τῆς

ſuperioris eſt exploratio. Nam natura quidem rerum ferebat, ut quae una in parte pulſus, maxime diſtentione, genera conſiſtunt, prius exponeremus, quod in commentariis de differentiis pulſuum fecimus; verum quia genera in una parte poſita, quae de ſuperioribus adhuc reliqua ſunt, flagitant communem tractatum, rhythmorum autem genus adjunctam cum ſuperioribus duobus generibus habet cognitionem, ut ipſe de his ſermo docebit, ideo poſthac de rhythmis narrabimus, de duritie et vehementia rejiciemus in proximum librum, ut abſolutam complectantur ſinguli commentarii generum disciplinam, quae conjuncta cognitione ſunt. Quia jam in comparatione temporis diſtentionis cum contractionis tempore rhythmus conſiſtit, prius paranda ſeparatim nobis utriusque temporis notitia eſt. Hoc vero parum facile eſt, nam (memoriam ſi conſervavimus eorum, quae primo in libro retulimus, ubi quaereremus, ecquid ſentire totam diſtentionem et contractionem poſſimus, an pars nos fugiat

κινήσεως ἡμᾶς ἑκατέρας, εἰσόμεθα ὅπως χαλεπόν ἐστι, μᾶλλον δ᾽ ἀδύνατον ἅπαντος τοῦ κατὰ ταύτας χρόνου τὴν διάγνωσιν ποιήσασθαι. δέδεικται γὰρ ἐκεῖ τά γε πρῶτα τῆς διαστολῆς, τὰ δὲ τελευταῖα τῆς συστολῆς ἄγνωστα. καθ᾽ ὅσον δ᾽ ἄν τι τῆς κινήσεως διαλανθάνῃ, κατὰ τοσοῦτον, οἶμαι, καὶ τοῦ χρόνου διαφεύξεται. πρῶτον δ᾽ αὐτὸ τοῦτο πάλιν ἀναμνηστέον τε καὶ διοριστέον, ὡς οὐ ταὐτὸν ἦν τό τ᾽ ἐν τῷ πρώτῳ βιβλίῳ ζητηθὲν καὶ τὸ νῦν ὀλίγον ἔμπροσθεν. ἐκεῖ μὲν γὰρ ἐζητεῖτο περὶ διαστολῆς ἁπλῶς, ἐνταυθοῖ δὲ περὶ τοῦ κατὰ τὸ ἐν αὐτῇ ποσὸν χρόνου. ἐν μὲν οὖν τῷ ζητεῖν ἁπλῶς εἰ πάσης αἰσθάνεσθαι δυνατόν ἐστι τῆς διαστολῆς, ὅσον ἂν διαφεύγῃ τῆς κινήσεως τὴν ἁφὴν, τοῦτ᾽ ἂν ἀδιάγνωστον εἶναι φήσομεν. ἐν δὲ τῇ διαγνώσει τοῦ κατ᾽ αὐτὴν ποσοῦ πηλίκον ἐστὶ τὸ διάστημα καθ᾽ οὗ κεκίνηται σκοπούμεθα. καὶ δέδεικται μικρῷ πρόσθεν, ὡς εἰ μόνου τοῦ πέρατος τῆς διαστολῆς ἀκριβῆ τὴν διάγνωσιν σχοίημεν, συλλογισμὸς ἡμῖν παρακείμενος αἰσθήσει τὴν ἔνδειξιν τοῦ κατ᾽ αὐτὴν ποσοῦ ποιήσεται. δυνατὸν οὖν ἐστι μηδενὸς ἄλλου μέρους τῆς κινήσεως πλὴν τοῦ ἔξω πέρατος αἰσθανομένους ὅση μέν τίς ἐστι κατὰ τὸν χρόνον ἀγνοεῖν,

utriusque motus) fciemus, quam fit laboriofum, adeoque praeter omnem noftram facultatem, ut notitiam comparare omnis harum temporis poffimus. Quo loco principium distentionis oftendimus et finem contractionis non cognosci poffe. Jam quatenus aliquid nos motus latet, hactenus etiam tempus fcilicet praeteribit. Primum id eft ipfum repetendum, declarandumque idem non effe, quod in primo libro quaereretur ac quod paulo fuperius, nam illic de distentione quaerebatur abfolute, hic de temporis ejus quantitate. Proinde quum abfolute quaeritur, an omnis fentiri diftentio poffit; quae tactum fugit motus pars, hanc confirmavimus non dignosci; in exploranda autem ejus quantitate, quantum promota fpatii fit, advertimus. Ac non ita dudum diximus, modo finis diftentionis habeamus veram notitiam, rationem nobis cum fenfu conjunctam fubjecturam effe ejus quantitatem. Itaque poffumus, quamvis nifi externum finem motus, partem aliam nullam fentiamus, quantum is

καθ' ὅσον ἐνήνεκται διαστήματος, διαγιγνώσκειν. τούτων οὖν τὸ μὲν ἕτερον ἐν τῷ πρώτῳ βιβλίῳ τὴν ζήτησιν ἔσχε, τὸ δ' ἕτερον οὐ πρὸ πολλοῦ πεπαύμεθα διεξιόντες. ἀναμνησθῶμεν οὖν πάλιν, ὡς ἐν τοῖς σφοδροῖς σφυγμοῖς, εἰ θλίψαιμεν συμμέτρως τὴν ἀρτηρίαν, τὰ μὲν πρῶτα κινήσεως γνωριοῦμεν, ἀγνοήσομεν δὲ τὸ ποσὸν τοῦ διαστήματος. ἔτι δὲ καὶ τοῦτο προσαναμνησθῶμεν, ὃ ἐν τῷ δευτέρῳ βιβλίῳ κατ' ἀρχὰς εὐθὺς ἐδείχθη, μὴ ταὐτὸν εἶναι ποσότητα χρόνου κινήσεως ἐξετάζειν καὶ τάχος, ἢ βραδύτητα διαγιγνώσκειν. τούτων γὰρ ἡμῖν εἰς τὰ παρόντα δεῖ πάντων, ἵν' ἀκριβῶς καὶ διηρθρωμένως εἰδῶμεν, εἰ διενήνοχεν ἡ τοῦ διαστήματος καθ' οὗ τὴν κίνησιν ἐνηνέχθαι συμβέβηκεν διάγνωσις τῆς τοῦ χρόνου, καὶ ὡς ἑκατέρων ἑτέρα τίς ἐστιν ἢ τάχος ἢ βραδύτητα σκοπουμένη. μετρεῖ γὰρ ἡ μὲν πρώτη λεχθεῖσα τοῦ διαστήματος τὸ ποσὸν, ἡ δὲ δευτέρα τοῦ χρόνου τῆς κινήσεως τὸ ποσὸν, ἡ δὲ τρίτη τὸ ποιὸν τῆς κινήσεως. [148] εἰς οὖν τὴν περὶ τῶν ῥυθμῶν διάγνωσιν οὔτε τῆς πρώτης οὔτε τῆς τρίτης, ἀλλ' αὐτῆς τῆς δευτέρας μόνης δεόμεθα. τοιαύτην τοιγαροῦν

habeat temporis ignorare; attamen ſcire, quantum intervalli pervectus ſit. Horum alterum in primo libro discusſum eſt, alterum non ita diu eſt quum explicavimus. Ergo iterum ad memoriam evocemus, quod in vehementibus pulſibus, ſi modice arteriam compreſſerimus, perſpiciemus quidem initium motus, ſed quantitatem ignorabimus intervalli. Nec vero hoc praetereamus, quod initio ſtatim ſecundi libri tradidimus, non idem eſſe quantitatem temporis examinare ac celeritatem vel tarditatem dignoscere. His enim nobis in praeſentia omnibus opus eſt, quo plane et diſtincte perſpiciamus, ecquid inter ſpatii dignotionem, quo ſertur arteria, et temporis interſit, et praeter utramque quandam eſſe aliam vel celeritatis vel tarditatis aeſtimatricem. Siquidem prima quam commemoravimus explorat intervalli quantitatem, quantitatem altera motus temporis, tertia qualitatem motus. Ad rhythmum igitur dignoscendum, nec primam quaerimus, nec etiam tertiam, ſed ipſam tantummodo ſecundam. Quare inſtituenda manus ea applica-

εἶναι χρὴ τὴν ἐπιβολὴν τῆς ἁφῆς, οἵα μάλιστ᾽ ἂν ἅπασαν ἀκριβῶς θεωρήσειε τὴν κίνησιν τῆς ἀρ(75)τηρίας. ὡς ὅσα κατὰ τὸ πρῶτον βιβλίον εἴρηται, ζητούντων ἡμῶν, εἰ πάσης αἰσθήσεσθαι δυνατόν ἐστι τῆς κινήσεως, ἀναμνησθῆναι προσήκει γνόντας ἓν καὶ ταὐτὸν ἐκεῖνό τε καὶ τοῦτ᾽ εἶναι τὸ πρόβλημα τῇ γε δυνάμει, προβάλλεσθαι δὲ τῇ λέξει διαφερόντως. εἰ δὴ ταῦτα πάντα προνοήσαιμεν, εἰσόμεθα τὸ χαλεπὸν τῆς προκειμένης διαγνώσεως. ἔστω γάρ τινα σφυγμὸν εἶναι μέγαν μὲν, ἀλλ᾽ ἀμυδρόν· οὔκουν οἷόν τε τούτου φωρᾶσθαι τῆς διαστάσεως ἁπάσης τὴν κίνησιν, ἀλλὰ μόνον τοῦ ἔξω πέρατος. ὡσαύτως δὲ καὶ τῆς συστολῆς, εἴπερ ἄρα, τὴν ἀρχὴν μόνην καὶ τὴν ἀποχώρησιν, ἄλλο δ᾽ οὐδέν. ἐπιπολῆς οὖν ψαύειν τῶν τοιούτων χρὴ σφυγμῶν, ὡς πολλάκις εἴρηται. τῇ δὲ τοιαύτῃ τῆς ἁφῆς ἐπιβολῇ τοῦ μὲν διαστήματος τῆς διαστολῆς τὸ ποσὸν οἷόν τε διαγνῶναι, τοῦ δὲ χρόνου τῆς κινήσεως ἀδύνατον. ἐπὶ δὲ τῆς συστολῆς οὐ μόνον τοῦ χρόνου τῆς κινήσεως ἀδύνατον ἐξευρεῖν τὸ ποσὸν, ἀλλὰ καὶ τοῦ διαστήματος αὐτοῦ. τελέως γὰρ αὐτῆς ἀναισθήτου γινομένης, ἀνάγκη πάντων ὁμοῦ τῶν ὑπαρχόντων αὐτῇ τὴν ἀπώλειαν

tio eſt, quae arteriae motum accuratiſſime intuetur omnem. Itaque primo libro, quae expoſita ſunt, quum quaereremus, poſſitne ſentiri univerſus motus, memoria repetenda ſunt, ſciendumque unam virtute eſſe et eandem quaeſtionem illam atque hanc, licet diverſis verbis ponatur. Quae omnia ſi cum animis noſtris prius cogitemus, praeſentis difficultatis aſſequemur explicationem. Sit enim pulſus quidam magnus, ſed languidus, hujus nequeas ſcilicet deprehendere totius diſtentionis motum, caeterum externi finis tantum, ſic etiam contractionis, ſi modo tantum poſſit, initium duntaxat et receſſum, praeterea nihil. Proinde leniter ſunt iſtiusmodi pulſus, ut jam dixi ſaepe, palpandi: qua tactus applicatione quantitatem animadvertere intervalli diſtentionis poteris, temporis motus non poteris. At vero in contractione non tantum temporis motus non invenias quantitatem, ſed ne ipſius quidem intervalli, nam illa ubi inſenſibilis evadat, omnium ſimul quae ei inſunt neceſſe eſt ſiat

γίγνεσθαι. ὥστ᾽ οὐ μόνον τὸ ποσὸν τοῦ διαστήματός τε καὶ τοῦ χρόνου τῆς κινήσεως, ἀλλὰ καὶ τὸ ποιὸν, ἐν ᾧ τάχους τε καὶ βραδύτητος διάγνωσις ἡμῖν ἐγίγνετο, παντάπασιν ἡμῖν ἀναίσθητον ἔσται. πῶς γὰρ ἂν ἔτι καὶ δύναιτο διαγιγνώσκεσθαι τὸ ποσὸν τῆς κινήσεως, ὅπου μηδόλως αἴσθησις γίνεται κινήσεως; ὑπάρχειν γὰρ δεῖ πρότερον τὴν οὐσίαν τοῦ πράγματος τῆς ποιότητος. ταύτης τοίνυν παντάπασιν ἐκφευγούσης τὴν αἴσθησιν, οὐχ οἷόν τε τὴν ποιότητα διαγιγνώσκεσθαι. πῶς οὖν ἐν τοῖς τοιούτοις σφυγμοῖς οἷόν τε διαγνῶναι τὸν ῥυθμὸν, ἐν οἷς ἄρδην μὲν ἀπόλωλεν ἡ συστολὴ, τῆς διαστολῆς δὲ μόνον τὸ ἐκτὸς ἀποσώζεται πέρας; ἀλλ᾽ οὐδ᾽ ἐπ᾽ ἄλλου τινὸς τῶν ἀμυδρῶν οἷόν τε τῆς συστολῆς αἰσθέσθαι. μόνων τοίνυν τῶν οὐκ ἀμυδρῶν γνωρίζοντες τὴν κίνησιν, τὴν ἐν τῷ διαστέλλεσθαι καὶ συστέλλεσθαι τὴν ἀρτηρίαν, μόνων τούτων καὶ τὸν ῥυθμὸν διαγνωσόμεθα, σύμμετρον οὕτω δηλονότι τὴν ἐπιβολὴν τῶν δακτύλων ποιούμενοι, καθὰ πρόσθεν εἴπομεν, ὡς μηδὲν τῆς ἐκτὸς κινήσεως κωλῦσαι. μᾶλλον γὰρ ἢ δεῖ θλίψαντες τὴν ἀρτηρίαν παύσασθαι τὴν κίνησιν αὐτῆς ἀναγκάσομεν, εἰ μή τις κἂν τούτοις ἀδιάγνωστος ὁ ῥυθμός·

jactura. Adeo non modo intervalli quantitas atque temporis motus, fed et qualitas in qua celeritatis et tarditatis continentur indicia, nulla ex parte a nobis fentietur. Qui enim motus etiamnum qualitas dignoscatur, univerfo fenfum latente motu? nimirum requiritur prius effentia rei quam ipfa qualitas, quae quando effentia prorfus fenfum praeterit, non poteft qualitatis parari notitia. Quae ergo jam eft in his pulfibus ratio, qua confequi notitiam rhythmi poffis, ubi funditus contractio periit et de diftentione falvus et integer folus externus finis eft? atqui nec fentire contractionem in ullo languido alio poffis. Itaque quandoquidem motum diftentionis atque contractionis arteriae noscimus tantum in his qui languidi non funt, in horum etiam folorum notitiam rhythmi veniemus, digitis ita moderate applicandis, uti diximus antea, ut externi motus ne quid intercellent. Nam fi plus jufto arteriam compresferimus, confiftere ejus motum cogemus; nifi etiam in his rhythmus non

εἴ γε διὰ παντὸς ἡμᾶς τά τε πρῶτα τῆς διαστολῆς καὶ τὰ τελευταῖα τῆς συστολῆς ἐκφεύγει, εἰ μή τι παντελῶς βραχέος ὄντος τοῦ διαφεύγοντος, οὐδὲν ὁ ῥυθμὸς μέγα βεβλάψεται. τάχα γὰρ ἂν τις εἴποι καὶ τοῦτο. διορισμοῦ μέντοι δεῖ τῷ λόγῳ. κατὰ μὲν γὰρ τοὺς σφοδροτάτους σφυγμοὺς ἀληθὲς ἂν εἴη τὸ λεγόμενον, κατὰ δὲ τοὺς ἄλλους οὐκέτ᾽ ἀληθὲς, καὶ μάλισθ᾽ ὅσοι σφοδρότητος ὀλίγον μετέχουσιν. ἱκανὸν γὰρ ἦν ἐπὶ τούτων τὸ διαφεῦγον τὴν αἴσθησιν καὶ βλάπτειν ἤδη τὸν ῥυθμὸν δυνάμενον. ἐκ τῶν εἰρημένων οὖν ἁπάντων σαφὲς ἤδη γέγονεν, ὡς ἐν τοῖς σφοδροτάτοις μόνοις σφυγμοῖς ἡ διάγνωσίς ἐστι τῶν ῥυθμῶν. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων ἢ καὶ παντάπασιν ἀδιάγνωστος, ὡς ἐπὶ τῶν ἀμυδρῶν, ἢ πόῤῥω τῆς ἀκριβοῦς, ὡς ἐπὶ τῶν ἧττον μὲν σφοδρῶν, οὐδέπω δὲ ἀμυδρῶν. ἡ μὲν οὖν ἀπορία τοιαύτη. πειρατέον δ᾽ αὐτὴν ἰᾶσθαι καθ᾽ ὅσον οἷόν τε. πρῶτον μὲν οὖν οὐκ ἐπὶ τῶν ἀμυδρῶν τε σφυγμῶν, οὐ μὴν ἱκανῶς γε σφοδρῶν, ὁμοίας τῆς βλάβης ἔν τε ταῖς διαστολαῖς καὶ ταῖς συστολαῖς γινομένης, ἔνεστί πως ἐντεῦθεν παραμυθήσασθαι τὴν ἀπορίαν. ὃν γὰρ

poſſit dignosci, ſiquidem perpetuo initium nos diſtentionis et contractionis finis latet, et niſi omnino parvum, quod praeterit, ſit, magnopere rhythmus laedetur. Nam hoc quidem fortaſſis etiam admittas, diſtincta oratione tamen opus eſt. In vehentiſſimis enim pulſibus vera eſt oratio, in aliis ſecus habet, praeſertim qui vehementiae parvam partem habent, quod ſatis magna pars ſenſum in his effugiat, quae jam offendere rhythmum valeat. Ita hoc jam omnia, quae attulimus, fecerunt planum, dignosci in ſolis vehementiſſimis pulſibus rhythmos, in aliis vero omnibus aut prorſus incognitos eſſe, ut in languidis, aut longe ab abſoluta notitia abeſſe, id quod uſu venit in minus vehementibus, non jam languidis tamen. Atque ſcrupulus quidem hic eſt: hunc nos pro viribus faciemus ut tollamus. Primum quia non cadit in pulſibus languidos et eos qui non ſunt vehementes, ſimile diſtentionis et contractionis incommodum, lenit hoc difficultatem nonnihil. Nam quam habet ratio-

ἔχει λόγον ὁ πᾶς τῆς διαστολῆς χρόνος πρὸς τὸν πάντα τῆς συστολῆς, [149] τὸν αὐτὸν ἔχει λόγον καὶ τὰ διαφεύγοντ᾽ αὐτῶν τὴν ἁφὴν μόρια, πρὸς ἄλληλα δηλονότι, καὶ τὰ σωζόμενα τὸν αὐτὸν ἕξει πρὸς ἄλληλα λόγον. ὥστ᾽ εἰς τὴν ἀπ᾽ αὐτῶν πρόγνωσιν οὐ μέγα βεβλαψόμεθα· διπλασίου γὰρ ὄντος, εἰ τύχοι, τοῦ παντὸς τῆς συστολῆς χρόνου τῷ παντὶ τῆς διαστολῆς παραβαλλομένου, διπλασίου δ᾽ ὁμοίως ὄντος καὶ σωζομένου παραμετρουμένου, τὴν ἀπὸ τῶν ῥυθμῶν πρόγνωσιν ὁμοίαν ἕξομεν ἐκ τῶν αἰσθητῶν μερῶν τῆς κινήσεως, ἣν ἂν καὶ πάσης αὐτῆς σωζομένης ἔσχομεν. ἐπὶ μέντοι τῶν ἀμυδρῶν τὴν ἀπορίαν οὐκ ἔθ᾽ ὁμοίως οἷόν τε παραμυθήσασθαι. καὶ γὰρ ἣν οἱ τὸν χρόνον τῆς διαστολῆς τῷ λοιπῷ παντὶ παραβάλλοντες εὑρίσκειν εὐπορίαν ζητοῦσιν, κίβδηλός ἐστι. πειρατέον δὲ πρότερον εἰπεῖν αὐτὴν σαφῶς, εἶθ᾽ οὕτως ὅπη μεμφόμεθα δεικτέον. ὄντων τοίνυν τεττάρων μορίων τοῦ σφυγμοῦ, διαστολῆς τε καὶ συστολῆς, καὶ δυοῖν ἠρεμιῶν, ἑτέρας μὲν ἐπὶ τῇ διαστολῇ πρὸ τῆς συστολῆς, ἑτέρας δ᾽ ἐπὶ τῇ συστολῇ πρὸ τῆς διαστολῆς, ὅσοι μὲν ἀδιάγνωστον αἰσθήσει τὴν συστολὴν εἶναί φασιν, ἰδίᾳ μὲν τὸν τῆς διαστολῆς

nem totum distentionis tempus ad totum contractionis, eandem quum rationem habeant inter se quidem partes, quae tactum latent, etiam quae salvae sunt, eandem habebunt inter sese rationem. Itaque ex illis praesentire non multum interpellabimur. Nam quum duplum sit, verbi gratia, omne contractionis tempus cum omni distentionis comparatum, duplum item sit quod est salvum, quum comparetur: per rhythmos praesensionibus non aliter abundabimus, ex partibus motus, quae sentiuntur, ac si totus is salvus sit. At in languidis non perinde difficultatem explices: quippe, quod investigant qui distentionis tempus cum toto reliquo conferunt remedium, adulterinum est, quod vobis prius faciam ut declarem, deinde aperiam ubi culpem id. Nam quum pulsus quatuor partes sint, distentio, contractio et duae quietes, una a distentione ante contractionem, altera a contractione ante distentionem: qui esse contendunt incognitam contractionem, privatim quidem distentionis tempus

χρόνον τιθέασιν, ὃν δὴ κινήσεως καλοῦσιν, ἰδίᾳ δὲ τῶν ὑπολοίπων δυοῖν μερῶν, ὃν ἠρεμίαν τε καὶ συστολὴν ὀνομάζουσιν, καὶ τὸν τούτων τῶν τριῶν χρόνων πρὸς ἀλλήλους λόγον ῥυθμὸν εἶναί φασιν. ὅσοι δὲ τῆς συστολῆς αἰσθάνεσθαί φασιν, οἱ μέν τινες αὐτῶν τὸν τῆς διαστολῆς μόνον χρόνον τῷ τῆς συστολῆς παραβάλλοντες τὸν ῥυθμὸν γίγνεσθαί φασιν, οἱ δέ τινες προσνέμουσιν ἑκατέρᾳ τῶν κινήσεων τὸν χρόνον τῆς μετ᾽ αὐτὴν ἡσυχίας. τριῶν οὖν τούτων δοξῶν οὐσῶν περὶ τῶν ἐν τοῖς σφυγμοῖς ῥυθμῶν, οἱ μὲν ἀπὸ τῆς δευτέρας ὁμολογήσουσι μηδὲν εἰπεῖν ἔχειν πρὸς τὰς εἰρημένας ἀπορίας, οἱ δ᾽ ἀπὸ πρώτης τε καὶ τρίτης ἴσως ἂν εὐπορεῖν δόξαιεν, οἱ μὲν, ὅτι τὸν τῆς φαινομένης κινήσεως χρόνον ἅπαντι τῷ λοιπῷ τῷ τῆς ἡσυχίας ὑπ᾽ αὐτῶν καλουμένης παραβάλλουσιν, οἱ δ᾽, ὅτι τὸν τῆς φαινομένης κινήσεως χρόνον ἅμα τῷ χρόνῳ τῆς μετ᾽ αὐτῶν ἡσυχίας πρὸς τὸν λοιπὸν, τὴν ἀρχὴν τῆς συστολῆς ὅρον τῆς τῶν προτέρων δυοῖν χρόνοιν συνθέσεως ποιούμενοι. ἄξιον δ᾽ ἑκατέρων θαυμάσαι, τῶν μὲν πρώτων, εἰ τὰ περὶ τῆς συστολῆς εἰρημένα μέμνηνται μόνα,

ponunt, quod fane motionis appellant, privatim vero tempus reliquarum duarum partium, quod quietem et contractionem vocant, horum trium temporum mutuam proportionem rhythmum effe confirmant. Qui vero contractionem dicunt fentiri, horum alii diftentionis tantum tempore comparato cum tempore contractionis, rhythmum dicunt fieri, alii utrique motui tempus attribuunt quietis, quae ipfum fequitur. Atque quum tres hae fint de pulfuum rhythmis opiniones, qui a fecunda ftant, ad dubia illa aperte fe fatentur quid dicant non habere, qui a prima et tertia, non defici confilio fortaffis videantur: illi quia confpicui motus tempus reliquo omni comparant quietis, ut ipfi vocant, hi vero quod confpicui motus tempus una cum tempore confequentis quietis reliquo, initium contractionis ftatuentes terminum conjunctionis priorum duorum temporum. Operae pretium autem eft utrosque demirari: primos, fi ea tantum meminerunt, quae de contractione funt dicta, quae de

τῶν ἐπὶ τῆς διαστολῆς ῥηθέντων ἐπιλαθόμενοι. ἐν γὰρ τοῖς ἀμυδροῖς σφυγμοῖς τὸ μὲν ποσὸν τοῦ διαστήματος ἐν ταῖς διαστολαῖς συλλογισμῷ γνωστὸν ἐδείκνυμεν ὑπάρχειν, τὸν δὲ χρόνον τῆς κινήσεως ἀδιάγνωστον ὑπάρχειν, μόνων τῶν ἐκτὸς αὐτῆς περάτων εἰς αἴσθησιν ἡκόντων. οὐκ οἶδ' οὖν ὅπως λέγουσι παραβάλλειν τὸν χρόνον τῆς διαστολῆς τῷ λοιπῷ παντὶ, καὶ γὰρ τοῦ ταύτης χρόνου τὸ αἰσθητὸν ὀλίγον παντάπασιν, εἰ μή τι τοῦτ' αὐτὸ μόνον ἐθέλουσι παραβάλλειν τῷ λοιπῷ παντί. καὶ γένοιτ' ἂν οὕτως ὁ ῥυθμὸς αὐτοῖς λόγος τοῦ φαινομένου χρόνου τῆς κατὰ τὴν διαστολὴν κινήσεως πρὸς τὸν λοιπὸν ἅπαντα. τοῦτο δ' εἰ λέγουσι, δυνατὸν μέν τι λέγουσιν, οὐ μὴν καὶ χρήσιμόν γε, μηδενὸς ἐκ τοῦ τοιούτου ῥυθμοῦ προγνωσθῆναι δυναμένου, καθ' ὃν ὁ χρόνος τοῦ φαινομένου μέρους τῆς διαστολῆς τῷ λοιπῷ παντὶ παραβάλλεται, τῷ συγκειμένῳ ἔκ τε τοῦ τῆς ἐκτὸς ἠρεμίας καὶ τῆς συστολῆς καὶ τρίτου τοῦ τῆς ἐντὸς ἠρεμίας καὶ τετάρτου τοῦ μὴ φαινομένου μέρους τῆς διαστολῆς. πρὸς δὲ τὸ μηδὲν χρήσιμον ἐκ τῆς τοιαύτης διδασκαλίας δύνασθαι λαβεῖν, ἔτι καὶ τὴν

diftentione, haec eos latuerunt; nam quantum fit in diftentione intervallum, in languidis pulfibus ratione demonftravimus fciri, tempus vero motus non poffe cognosci, quod ejus tantum externi fines ad fenfum perveniant. Miror igitur quemadmodum comparare fe dicant tempus diftentionis cum tempore omni reliquo, cujus tempus quod fentiri poffit, omnino fit paucum, nifi quidem hoc fane ipfum tantum comparatum cum reliquo toto volunt. Itaque rhythmus illis proportio fit confpicui temporis motus in diftentione ad reliquum omne. Quod fi dicunt, rem dicunt illam quidem, quae fieri poffit, fed tamen inutilem, quod praecognosci ex tali rhythmo nihil poffit, in quo tempus manifeftae partis diftentionis cum reliquo univerfo comparatur, quod ex tempore conftat externae quietis, contractionisque et tertio internae quietis, praeterea quarto partis diftentionis, quae confpicua non eft. Praeterquam vero quod nihil omnino commodi ex iftiusmodi doctrina percipi poteft,

ἔννοιαν οὗτοι τοῦ (76) ῥυθμοῦ συγχέουσιν, ὡς εἰ καὶ μουσικός τις εἶναι προσποιούμενος, οὐ τοῦ τῆς ἄρσεως χρόνου πρὸς τὸν τῆς θέσεως λόγον ἔφασκεν ὑπάρχειν τὸν ῥυθμὸν, ἀλλὰ τοῦ φαινομένου μέρους τῆς ἄρσεως πρὸς τὸν λοιπὸν πάντα. παραπλήσια δ᾽ αὐτοῖς καὶ οἱ ἀπὸ τῆς τρίτης αἱρέσεως ἁμαρτάνουσι, μόνῳ τῷ προσνέμειν τὸν χρόνον τῆς ἐκτὸς ἠρεμίας τῷ τῆς διαστολῆς βέλτιον ἐκείνων φρονοῦντες, [150] καθ᾽ ὅσον δ᾽ ἐπελάθοντο καὶ αὐτοὶ τὸν τῆς συστολῆς χρόνον ἀδιάγνωστον ὑπάρχειν αἰσθήσει κατὰ τοὺς ἀμυδροὺς σφυγμοὺς, ὁμοίως σφαλλόμενοι. τρίτον δ᾽ αὖ πάλιν ἐξαίρετον οὗτοι προσεπιτίθενται τὸ καὶ τῆς συστολῆς τὴν πρώτην ὁρμὴν αἰσθητὴν εἶναι διὰ παντὸς, οὔσης οὐδὲ ταύτης ἐπὶ τῶν ἀμυδρῶν σφυγμῶν αἰσθητῆς. κατὰ ταῦτ᾽ οὖν ἅπαντα τὰς ἐν ταῖς αἱρέσεσι πολλὰς ἀπορίας ἀνάγκη συμπίπτειν ἐν ταῖς τῶν ῥυθμῶν διαγνώσεσι, καὶ διὰ τοῦτ᾽ οἶμαι μηδ᾽ ἐπιχειρῆσαί τι γράψαι τοὺς μεθ᾽ Ἡρόφιλον εἰς τὴν ἀπ᾽ αὐτῶν πρόγνωσιν. αὐτὸς δὲ ὁ Ἡρόφιλος πολλαχόθι μὲν ῥυθμῶν εἰς τὰς προγνώσεις μνημονεύει, χαλεπὸν μὴν ἐξευρεῖν τί ποτε καὶ λέγει τὸν ῥυθμὸν, ἆρά γε τὸν λόγον το῀ τῆς διαστολῆς μόνον χρόνου πρὸς τὸν

notionem et rhythmi hi confundunt, ut fi quis fe muficum effe fimulans, non temporis elevationis ad pofitionis tempus proportionem effe diceret rhythmum, fed partis manifeftae elevationis ad reliquum totum. Nec minus errant illi a tertia fecta, qui eo duntaxat, quod tempus externae quietis tempori diftentionis addunt, illis funt fapientiores. Quod vero etiam ipfi obliti fuerint contractionis tempus fenfum in languidis pulfibus non dignoscere, aeque peccaverunt. Porro tertium etiam hi infigne ponunt, contractionis primum motum perpetuo fentiri; cum ne ille quidem in languidis pulfibus fentiri poffit. Itaque ex his omnibus dubitationes quam frequentes in fectis concurrant in pulfibus dignoscendis neceffe eft. Quo factum puto ut non aggreffi fcribere quid fint Herophili fucceffores in praefagitionem ex illis. Ipfe Herophilus rhythmos frequenter ad praefagiendum adducit: verum quid interpretetur rhythmum, difficile eft inventu, temporisne diftentionis folius

Ed. Chart. VIII. [150.] Ed. Baf. III. (76.)
τῆς συστολῆς μόνης, ἢ καὶ αὐτὸν τῆς ἑπομένης ἑκατέρᾳ τῶν κινήσεων ἠρεμίας προσνέμει. καὶ διὰ τοῦτο οὐδὲ τοῖς ὑπ' αὐτοῦ κληθεῖσιν Ἡροφιλείοις ὁμολογεῖται, τί ποθ' ὑπὲρ αὐτῶν φρονεῖ δεόντως. οὔτε γὰρ ἡ λέξις αὐτοῦ θάτερον ἐνδείκνυται σαφῶς οὔθ' ἡ τῶν πραγμάτων φύσις ἱκανὴ πιστώσασθαι. εἰ μὲν οὖν τὴν ἑτέραν τῶν δοξῶν φυλάττωμεν, ἑπόμενοι τοῖς μουσικοῖς, τοὺς τῶν ἡσυχιῶν χρόνους προσθήσομεν τοῖς τῶν προηγουμένων κινήσεων· εἰ δὲ τὴν εἰς τὰς προγνώσεις χρείαν, τὴν κίνησιν τῇ κινήσει παραβάλλοντες, ἰδίᾳ τὸν τῶν ἡσυχιῶν χρόνον ἐπισκεψόμεθα. ὅταν οὖν δυοῖν θάτερον, ἢ τὴν ἔννοιαν τῆς προσηγορίας ἀναγκαῖον ᾖ διαφθείρειν, ἢ τὴν χρείαν ἀνατρέπειν, ἐν ἀπορίᾳ δυσμεταχειρίστῳ καθιστάμεθα. χρὴ δ' ὅμως, ἐπειδὴ τὸ ἕτερον αὐτῶν ἑλέσθαι προσήκει, προτιμῆσαι τὸ χρήσιμον εἰς τὰς προγνώσεις, καταφρονήσαντα τοῦ παρὰ τοῖς μουσικοῖς ὀνόματος. τί γὰρ καὶ βλαβησόμεθα προγιγνώσκοντες μὲν ἐκ τοῦ λόγου τὸν κατὰ τὰς κινήσεις χρόνον, ὄνομα δ' ἴδιον αὐτοῦ μηδὲν ἔχοντες; οὐ γὰρ ἐν οἷς ἀποροῦμεν ὀνόμασιν, ἀλλ' ἐν οἷς προγιγνώσκειν ἀδυνατοῦμεν, ἡ τέχνη βλάπτεται. κείσθω

ad tempus contractionis folius proportionem, an ipfum etiam quietis tempus, quae comitatur utrumque motum, iis attribuat. Unde inter Herophilios, qui ab illo cognomen invenerunt, non convenit utrum de illis decenter fentiat, neutrum enim ejus oratio plane oftendit, neque confirmare rerum natura poteft. Quod fi jam alteram fententiam tueamur inftituto muficorum, tempora quietum praecedentibus motibus adjiciemus: fin quod facit ad praefagiendum, cum motu motum comparantes, feparatim quietum tempus aeftimabimus. Quum igitur alterutrum fit neceffe, aut notionem nominis labefactare, aut pervertere ufum, utrum faciamus potius, implicati tenemur. Tamen quandoquidem alterum eligendum eft, repudiato muficorum nomine, quod conducit ad praefagiendum potius ducam, nam quid tandem faciemus damni, fi quum motuum ex proportione tempus praefciamus, nomen nobis, quo id appellemus, deficiat? Etenim non eo, quod in nominibus haereamus, fed quia praefagire nequeamus, ideo ars laedatur. Ergo faciamus

τοίνυν διὰ τὴν χρείαν ἐν τῷ λόγῳ τοῦ χρόνου τῶν κινήσεων τὸν ῥυθμὸν συνίστασθαι, ζητησόντων ἡμῶν ἰδίᾳ ποτὲ τὸ δοκοῦν Ἡροφίλῳ. ἀλλὰ κἂν τοῦτο θῶμεν, ἔοικεν ἔτι μένειν ἡ ἀπορία, μήτε παντὸς τοῦ τῆς διαστολῆς χρόνου δυναμένου γνωσθῆναι, πλὴν ἐν τοῖς σφοδροτάτοις σφυγμοῖς, μήτε τῆς συστολῆς τὴν ἀρχὴν ἐπὶ πάντων αἰσθητὴν ἐχούσης. πῶς οὖν Ἡρόφιλος πρῶτός τινα πρὸς αἴσθησιν ὑποτίθεται χρόνον, ᾧ τοὺς ἄλλους μετρῶν ἢ δυοῖν, ἢ καὶ τριῶν, ἢ καὶ πλειόνων εἶναι φάσκει, ἤτοι τελέων τε καὶ ὡς αὐτοὶ καλοῦσιν ἀπαραύξων, ἢ καὶ ἀπηυξημένων ἐπ' ὀλίγον, ἢ ἐπὶ πλεῖον, ἢ ἐπὶ πλεῖστον; ὡς γὰρ ἐπὶ πάντων ἀκριβῶς τῶν σφυγμῶν διαγινώσκων τοὺς χρόνους εἴτε τῶν κινήσεων μόνων εἴτε καὶ τῶν μετ' αὐτοὺς ἡσυχιῶν, οὐδὲν γὰρ διαφέρει πρός γε τὴν παροῦσαν ἀπορίαν, ἔοικε ταῦτα γράφειν, εἰ μή τι οὐκ ἐπὶ πάντων, ἀλλ' ἐφ' ὧν δυνατὸν, ἐπὶ τούτων μόνον ἡγητέον αὐτὸν τὰ τοιαῦτα γράφειν. τοῦτο μὲν οὖν τάχ' ἂν ἰδίᾳ ποθ' ὕστερον ἐπισκεψόμεθα· νυνὶ δ', οὐ γὰρ πρόκειται τὸ δοκοῦν Ἡροφίλῳ ζητεῖν, ἀλλὰ τἀληθές τε ἅμα καὶ χρήσιμον ἐξευρεῖν,

utilitatis nomine confiftere rhythmum in proportione temporis motuum, ac expendamus fuo loco Herophili fententiam. Tamen et fi hoc pofitum fit, manere adhuc dubitatio videbitur, quod nifi in vehementiffimis pulfibus nec omne tempus poffit diftentionis innotescere, nec contractionis ubique principium fentiatur. Cur ergo tempus quoddam ad fenfum princeps Herophilus ftatuit, ad quod alia aeftimans, duorum, trium, quatuor, vel plurium dicit effe, horumque aut integrorum et ut vocant illi, *ἀπαραύξων*, aut diminutorum etiam aliquantum, vel plus, vel plurimum? Quafi enim in omnibus pulfibus ad unguem tempora dignosceret five motuum folorum, five etiam comitantium illos quietum, nihil enim ad propofitam dubitationem refert, ita videtur haec fcribere, nifi vero eum non de omnibus, fed in quibus poffunt dignosci, de his tantummodo exiftimandum eft ifta fcribere. At hoc quidem inferius fortaffe aliquando fuo loco confiderabimus. Nunc, quia non inftituimus quid Herophilus fentiat quaerere, fed quid verum fit fimul et

τοῦτο πειρατέον ἐνδείξασθαι σαφῶς, ὡς ἐπ' αὐτῶν τῶν ἔργων ἡμῖν πειρωμένοις εὑρέθη. ἔχει δὲ ὧδε· τὸ ποιὸν τῆς κινήσεως κατὰ τὴν διαστολὴν τῷ ποιῷ τῆς κατὰ τὴν συστολὴν κινήσεως παραβάλλοντες ἐννέα μὲν τὰς πρώτας εὑρίσκομεν διαφορὰς τὰς ἐν τῷ διαγράμματι δηλουμένας, ἐν ἑκάστῃ δ' αὐτῶν ἄλλας πολλὰς ἀῤῥήτους μὲν λόγῳ, τῷ δὲ μᾶλλον καὶ ἧττον ἐπ' αὐτῶν τῶν ἔργων διαγιγνωσκομένας. οἷον δέ τι δηλοῦν ἑκάστη διαφορὰ πέφυκεν, ἐν τοῖς περὶ προγνώσεως ἐροῦμεν. [151] ἀλλὰ νῦν γε πρῶτον ὑπογράψομεν τὸ διάγραμμα, σαφὲς ἑτοίμως γενησόμενον τοῖς ἐν τῷ πρώτῳ περὶ διαφορᾶς σφυγμῶν γεγυμνασμένοις. ἐφεξῆς δὲ μηνύσομεν, ὅπως πάλιν ἑκάστῃ διαφορᾷ πολλαὶ συνίστανται τῷ ποσῷ διαφέρουσαι, κᾂν ὁμογενεῖς ὦσι.

διαστολὴ	διαστολὴ	διαστολὴ
ταχεῖα	σύμμετρος	βραδεῖα
ταχεῖα	σύμμετρος	βραδεῖα
ταχεῖα	σύμμετρος	βραδεῖα

utile indagare, hoc clare aggrediar ad explicandum, quomodo in ipfis rebus experiundo invenimus. Nam fic habeto, quum qualitatem motus diftentionis cum qualitate conferimus contractionis motus, novem invenimus primas differentias, quas in tabella propofuimus, atque figillatim multas alias, quas oratione non exprimas, fed experiendo exceffum et defectum dignoscas. Quid vero foleat quaeque denunciare differentia, dicemus in commentariis De praefagitione. Sed nunc primum tabellam praefcribemus, quam intelligerent facile qui in primo commentario fe de differentiis pulfuum exercitaverint; deinde oftendemus, quemadmodum multas fingulae differentias conftituant quantitate dispares, tametfi ejusdem generis fint.

Diftentio	*Diftentio*	*Diftentio*
Celer	Moderata	Tarda
Celer	Moderata	Tarda
Celer	Moderata	Tarda

συστολὴ	συστολὴ	συστολὴ
ταχεῖα	ταχεῖα	ταχεῖα
σύμμετρος	σύμμετρος	σύμμετρος
βραδεῖα	βραδεῖα	βραδεῖα

τῆς τοίνυν πρώτης ἐν τῷ διαγράμματι γεγραμμένης διαφορᾶς ἑκατέραν τῶν κινήσεων ταχεῖαν ἐχούσης, ἐνδέχεται μὲν τὴν ἐν διαστολῇ κίνησιν ἐσχάτως ἠπεῖχθαι, τὴν δ᾽ ἐν τῇ συστολῇ βραχεῖ τινι τῆς συμμέτρου τε καὶ μέσης ὑπερέχειν, ἢ ἔμπαλιν βραχεῖ μὲν ὑπερέχειν τὴν ἐν τῇ διαστολῇ, παμπόλλῳ δὲ τὴν ἐν τῇ συστολῇ, ἢ ἀμφοτέραν ὀλίγῳ, ἢ ἀμφοτέραν παμπόλλῳ, ἢ τὴν μὲν ὀλίγῳ, τὴν δὲ πλέονι μὲν, ἢ κατ᾽ ὀλίγον ἐλάττονι, ἢ κατὰ πολὺ, ἢ ὁπωσοῦν ἑτέρως. ἡ γὰρ ποικιλία σαφής. καὶ οὐκ ἔστιν εἰπεῖν ἢ ὡς οὐ φαίνεται τοῦτο γιγνόμενον, ἢ ὡς δηλοῦν οὐδὲν πέφυκε. καὶ γὰρ καὶ γίνεται καὶ δηλοῖ μέγιστα. καὶ ἡμῖν ἀπὸ τῆς τοιαύτης διαγνώσεως ἤρκει προγινώσκειν, οὐ δεομένοις τῶν πρώτων χρόνων ὁλοκλήρων τε καὶ παρηυξημένων. ὅτι δ᾽ ἡ τοιαύτη διάγνωσις οὐ δεῖται πάσης

Contractio	*Contractio*	*Contractio*
Celer	Celer	Celer
Moderata	Moderata	Moderata
Tarda	Tarda	Tarda

Ac quum primae quidem defcriptae in tabella differentiae uterque celer motus eft, poteft motus diftentionis maxime concitatus effe, at motus contractionis paulo moderato et medio effe fuperior: aut contra, paulum motus diftentionis eum fuperare, motus vero contractionis permultum, aut uterque paulum, aut uterque permultum, aut hic paulum, ille plus, aut paulo minus, aut multo, aut alio quoquo modo, nam varietas aperta eft. Neque dicas vel non hoc cerni fieri, vel fignificare nihil: imo et fit et denunciat res maximas. Ex qua nos notitia potuimus praefentire, neque quicquam nobis opus fuit primis temporibus integris et amplificatis. Nam eam cognitionem totum non defiderare mo-

τῆς κινήσεως, ἀλλὰ καὶ διὰ μέρους αὐτῆς τοῦ τυχόντος δύναται γίγνεσθαι πρόδηλον παντὶ, πλὴν εἰ ἀνώμαλός ποτ᾽ εἴη· τηνικαῦτα γὰρ οὐκ ἔθ᾽ ὅμοιον τὸ μέρος τῷ ὅλῳ. κατὰ μέντοι τοὺς ἐσχάτως ἀμυδροὺς σφυγμοὺς οὐδὲ τῇ τοιαύτῃ χρῆσθαι δυνατόν. οὐ γάρ ἐστιν ἐπ᾽ ἐκείνων οὐδὲ τὴν πρώτην ἀρχὴν τῆς συστολῆς γνωρίσαι, μή τι γε δὴ μόριον αὐτῆς ἀξιόλογον.

tum, fed parari ex qualibet ejus parte poffe, nemini obscurum eft, nifi fi quando inaequalis fit, tum enim pars toto haudquaquam fimilis eft. At nec in pulfibus ad fummum languidis hac uti licet, in his enim ne primum quidem initium cognoscens contractionis, nedum infignem ejus ullam partem.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Δ.

Ed. Chart. VIII. [152.] Ed. Bas. III. (77.)

Κεφ. α'. Ὅσα μὲν ὑπάρχει τοῖς σφυγμοῖς κατὰ τὸν ἴδιον τῆς οὐσίας αὐτῶν λόγον, ἔμπροσθεν εἴρηται πάντα· περὶ δὲ τῶν ἄλλων, ὅσα μήτ' ἄνευ τῆς κινήσεως τῶν ἀρτηριῶν διαγνωσθῆναι δύναται μήτ' ἐστὶν αὐτῆς ἴδια, νῦν ἐροῦμεν. ἔστι δή τις ἐν τῷ διαστέλλεσθαι τὴν ἀρτηρίαν ἁπτομένοις ἡμῖν οἷον πληγὴ γιγνομένη κατὰ τὴν ἁφὴν, ἣν, ὅταν μὲν βίαιος ᾖ, κυρίως σοι δόξουσι πληγὴν καλεῖν, οὐ μὴν οὕτως κἂν ἀβίαστος ᾖ. περὶ ταύτης δὴ τῆς ὄντως πληγῆς, ἣν βίαιον προσβολὴν εἶναί φαμεν, σκεπτέον ἀκριβῶς. ἕπεσθαι

GALENI DE DIGNOSCENDIS PVLSIBVS LIBER IV.

Cap. I. Quae pulsibus insunt pro substantiae eorum propria ratione, antea omnia exposuimus: nunc de caeteris, quae nec citra motum arteriarum possunt dignosci, neque ejus tamen sunt propria, narrabimus. Est quidam in distentione arteriae veluti ictus, qui quum tangimus, tactum ferit, hunc ubi violentus sit, proprie existimabis ictum vocari: vocant ita tamen, etsi careat violentia. De hoc igitur vero ictu, quem violentum occursum dicimus esse, magna diligentia attendendum est, neque enim parum multarum

γὰρ οὐκ ὀλίγοις εἴδεσι σφυγμῶν δοκεῖ, σκληρῷ καὶ σφοδρῷ καὶ μεγάλῳ καὶ ταχεῖ καὶ ὑψηλῷ καὶ σπασμώδει καὶ κλονώδει. ἵν' οὖν τις μὴ ἐξαπατηθεὶς τῷ κοινῷ συμπτώματι περὶ τὴν διάγνωσιν αὐτῶν σφαλῇ, σκεπτέον ὑπὲρ ἁπάντων ἐπιμελῶς. εἰ μὲν γὰρ ἄλλοις γνωρίσμασι διακρίνειν αὐτοὺς δυνατόν ἐστι, ἐκεῖνα μαθόντες ἔχοιμεν ἂν ἤδη τὸ πᾶν· εἰ δ', ἀδύνατον, ἀποχρήσει γοῦν τὸ γιγνώσκειν, ὡς κοινὸν τοῦτο πλειόνων ἐστὶ σφυγμῶν. ἀρχὴ δὲ τῆς σκέψεως ἀρίστη τὸ μαθεῖν τὴν αἰτίαν δι' ἣν πολλοῖς οὕτω σφυγμοῖς ἓν κοινὸν ἕπεσθαι δοκεῖ πάθημα, τὸ βίαιον τῆς πληγῆς. ὧδ' οὖν, ἐπειδὴ χρὴ μὲν ἀπωσθῆναι τὴν ἁφὴν ὑπὸ τοῦ σφυγμοῦ, μέλλουσαν αἰσθήσεσθαι τῆς προσβολῆς αὐτοῦ, ὠθεῖται δ' οὐχ ὁμοίως διὰ παντὸς, ἀλλὰ ποτὲ μὲν μᾶλλον, ποτὲ δ' ἧττον, ποτὲ δὲ ὥστε ψαύειν μόνον, ὅσαι κινήσεις αὐτὴν ὠθοῦσι καὶ ἀνατρέπουσιν ἐπὶ πολὺ, βίαιον αὗται φαντασίαν ἐργάζονται τῆς πληγῆς. ἐπὶ πολὺ δ' ὠθεῖν δύνανται κινήσεις ἥ τε τῇ σκληρότητι τῆς ἀρτηρίας οἷον θλῶσα τὴν ἁφὴν καὶ ἡ τῇ ῥώμῃ τῆς κινούσης αὐτὰ δυνάμεως οἷον ἀνατρέπουσα, [153] καὶ ἡ τῷ μεγέθει

pulfuum fpecierum videtur comes effe, duri, vehementis, magni, celeris, alti, convulfivi et vibrati. Ne ergo deceptus quis communi fymptomate in iis dignoscendis labatur, fedulo omnes et accurate aeftimandi funt, nam fi aliis illi notis discerni poffint et has didicerimus, id quod totum eft, affecuti fuerimus, fi non poffint, hoc certe fatis erit noffe, commune hoc compluribus pulfibus effe. Hujus commentationis principium optimum fit, ut quamobrem unus tam multis pulfibus communis comitari affectus videatur, violentia ictus, caufam discamus, hoc modo. Quando impelli a pulfu tactum, modo fit ejus occurfum fenfurus, neceffe eft, impellitur autem non perinde femper, fed nunc plus, nunc minus, interdum ut palpet tantum, quicunque motus eum protrudunt, et fubmovent longe, violenti hi fpeciem ictus repraefentant. Ac protrudere longe poteft motus et durae arteriae veluti contundens tactum et qui robore moventis illam facultatis veluti evertit, praeterea qui magnitudine diftentio-

τῆς διαστολῆς ἐπὶ πλεῖστον ἐξικνουμένη, καὶ ἡ τῷ τάχει τῆς φορᾶς ὠθοῦσα συντόμως, καὶ ἡ διὰ τὸ ὕψος οἷον ἐγκαταβαίνουσα, καὶ ἡ διὰ τὸ τετάσθαι δυσκίνητος, καὶ ἡ διὰ τὸν κλόνον ἅμα τάσεώς τε καὶ σκληρότητος καὶ ταχείας προσβολῆς ἔμφασιν ἔχουσα. ταῦτ᾽ ἄρα παμπόλλοις ἐστὶν ἐντυχεῖν ὁσημέραι τῶν ἰατρῶν ἅπαντας τοὺς εἰρημένους σφυγμοὺς σφοδροὺς εἶναι λέγουσιν. εἰ μὲν οὖν ᾐσθάνοντο τῆς ἐν αὐτοῖς διαφορᾶς, τοῦ καλεῖν ὅπως ἠβούλοντο κοινῇ πάντες οὐδὲν ἂν ἐφροντίσαμεν· ἐπεὶ δ᾽ ὥσπερ ὄνομα κοινὸν ἐπιφέρουσιν, οὕτω καὶ τὴν φύσιν ἁπάντων μίαν εἶναι νομίζουσιν, πειρατέον αὐτοῖς ἐνδείξασθαι τὴν ἀπάτην ἀπὸ τῶν προφανεστάτων ἀρξαμένους, οἷον εὐθέως ἀπὸ τοῦ τάχεος. πρόχειρον γὰρ ἐντεῦθεν τὸ σφάλμα τῷ γε δυναμένῳ συνιδεῖν τὸ τάχος τῆς προσβολῆς οὐ ταὐτὸν ὂν τῷ βιαίῳ τῆς πληγῆς. τά τε γὰρ ἄλλα καὶ μέχρι πλείονος ὁ ταχὺς ὠθεῖν οὐ δύναται τὴν ἁφὴν, ἂν μὴ καὶ μέγας ᾖ. ᾧ δῆλον, ὅτι μὴ κατὰ τὴν ἑαυτοῦ φύσιν ἔχει τοῦτο σύμπτωμα. τὸ γὰρ ὅταν ᾖ ταχὺς μόνον, οὐ διὰ τὸ μέγεθος ὑπάρχον, τῇ δὲ τοῦ μεγέθους παρουσίᾳ προσγινόμενον

nis plurimum progreditur; jam etiam qui qua fertur celeritate, impellit valenter et qui prae altitudine veluti fubit ac intrat; ad haec qui quod tenfus fit, aegre movetur; denique qui ob vibrationem fimul tenfionis et duritiei celerisque occurfus fpeciem praebet. Quocirca incidas in multos quotidie medicos, qui illos omnes pulfus dicant vehementes effe. Qui fi quidem animadverterent, quam hi diftent, quomodocunque in communi omnes velint appellare, non laboraremus: fed quia ficut nomen attribuunt commune, fic naturam putant unam omnium effe, conabimur dolum illis detegere, a clariffimis et apertiffimis ingreffi, exempli gratia a veloci. Nam hinc facile errorem deprehendat, qui certe intelligere poteft, celeritatem occurfus non eandem effe et violentiam ictus, nam ut omittam alia, nec longius celer impellere valet tactum, ni fimul magnus fit. Unde liquet non hoc eum fua fponte obtinere fymptoma, nam quod illi quum celer tantum effet, non etiam magnus, non aderat, fed praefentia magnitudinis ei acceffit, qua ratione ei pro-

αὐτῷ πῶς ἄν τις ἴδιον εἶναι λέγοι; ὁ γοῦν ταχὺς ἅμα καὶ μικρὸς οὐκ ὠθεῖ μέχρι πολλοῦ τὴν ἁφὴν, ἀλλά τοι τὸ μέχρι τοῦ πολλοῦ μεγέθους ἐστὶν οἰκειότερον, ἢ καὶ τούτου κατὰ συμβεβηκός. ἂν γὰρ ἀναμνησθῶμεν ὅσα περὶ τῆς τοῦ μεγέθους διαγνώσεως εἰρήκαμεν, οὐ τῷ μέχρι πλείονος ἔσω χωρεῖν, ἀλλὰ τῷ κατὰ πολλὰ μόρια μήκους θ᾽ ἅμα καὶ πλάτους καὶ βάθους ἅπτεσθαι τῆς ἁφῆς ἐγνωρίζετο. τὴν γὰρ κατὰ κύκλον τοῦ σφυγμοῦ περιφέρειαν ἱκανὴν τὸ μέγεθος οὖσαν αἰσθήσει διαγνόντες, ἐπ᾽ αὐτῇ λοιπὸν ἤδη συνελογισάμεθα τὴν ἐκ πολλοῦ βάθους ἄνοδον, οὐκ ἀκολουθησάσης παντὶ τῷ διαστήματι τῆς ἁφῆς, ἀλλὰ τῆς ἐκτὸς τελευτῆς μόνης αἰσθομένης. εἰ γοῦν ἀπὸ τῆς πρώτης ὁρμῆς τοῦ διαστέλλεσθαι τὴν ἀρτηρίαν τῆς κινήσεως ἐθελήσαιμεν αἰσθάνεσθαι, πολὺ τοῦ μεγέθους, ὡς καὶ πρόσθεν ἐῤῥέθη, κωλύσομεν· ὥσθ᾽ ἡμῖν μηδὲ μέγαν ἔτι φαίνεσθαι τὸν σφυγμόν. ἀλλὰ καὶ αὐτὸ τοῦτ᾽ οὐκ ἐν ἅπασιν οἷόν τε ποιεῖν τοῖς μεγάλοις, ἀλλ᾽ ὅσοι πρὸς τῷ μεγέθει σφοδρότητος μετέχουσι. τοῖς γὰρ μεγάλοις μόνον, οὐ μὴν καὶ σφοδροῖς, οὐδ᾽ ἀπαντῆσαι δυνατὸν ἀνιοῦσιν, οὐδὲ

prium dices? quippe celer fimul et parvus non longe tactum impellit, fed longe impellere magis ad magnitudinem pertinet, vel etiam ad hanc per accidens. Nam fi colligamus quae de dignoscenda magnitudine diximus, non eo, quod longius intret, fed quia multis in partibus longitudinis pariter et latitudinis et profunditatis attingat tactum cognoscebatur. Ut enim circularem pulfus circumferentiam, quae fatis magna eft, fenfu perceperimus, ex illo deinceps ascenfum, qui ex multa profunditate venit, conjiciemus, ubi non totum tactus intervallum affequitur, caeterum externum tantum fentit finem. Itaque fi inde usque a primo impetu, quum diftenditur arteria, velimus motum fentire, magnitudinem magna ex parte, uti ante diximus, interpellabimus, ut ne magnum quidem jam pulfum effe arbitremur. Id quod non in omnibus tamen magnis facias, caeterum in his, qui cum magnitudine vehementiam aliqua ex parte conjunctam habent. Nam magnis quidem tantum, nec vehementibus tamen, ne occurrere quidem ascendentibus poteris, neque

θλῖψαι τὴν ἀρτηρίαν· ἀπόλλυνται γὰρ εὐθὺς ὅλοι. δῆλον οὖν, ὡς οὐδ᾽ ὁ μέγας διαγινώσκεται τῷ πλεῖστον ἔσω τὴν ἁφὴν ὠθεῖν, ἀλλὰ τῷ κατὰ πολλὰ μόρια τοῦ τε μήκους καὶ τοῦ κύκλου τῆς ἀρτηρίας προσπίπτειν. ἆρ᾽ οὖν ὁ ὑψηλὸς ἐπὶ πλεῖστον ἔσω βιάζεται; καὶ μὴν ὅπερ ὁ μέγας ἐν ταῖς τρισὶ διαστάσεσι, τοῦτο οὗτος ἐν μιᾷ κέκτηται. εἴπερ οὖν μηδ᾽ ἐκεῖνος, οὐδὲ οὗτος. ἀλλὰ μὴν ὁ μέγας ἐδείχθη χωρὶς τοῦ καὶ σφοδρὸς εἶναι μὴ δυνάμενος ἐπὶ πλέον ὠθεῖν τὴν ἁφήν. οὐκ οὖν οὐδὲ ὁ ὑψηλός. εἰ δὲ τῷ μεγάλῳ μὲν ὑπάρχει πολλάκις ἀμυδρότης, τῷ δ᾽ ὑψηλῷ μὲν, μὴ μεγάλῳ δὲ, τὰ πολλὰ μὲν ἡ σφοδρότης, ἀμυδρότης δὲ οὐδέποτε, τοῦθ᾽ ἕτερος λογος. ἕξει μὲν γὰρ, ὡς εἶπον, μέχρι πλείονος ὠθεῖν ὁ ὑψηλὸς, οὐ μὴν κατὰ τὸν ἴδιον λόγον, ἀλλ᾽ ὅτι πάντως σφοδρὸς, ἢ οὐκ ἀμυδρός γέ ἐστιν. ἅπαντες μὲν οὖν οἱ εἰρημένοι σφυγμοὶ φαίνονται σφοδρότητος δεόμενοι πρὸς τῷ μέχρι πολλοῦ τὴν ἁφὴν ὠθεῖν. καὶ διὰ τοῦτο ὅσοις μὲν αὐτῶν διὰ παντὸς σύνεστι σφοδρότης, ἀεὶ βιαίως πλήττουσι, ὅσοις δ᾽ οὐκ ἀεὶ μὲν, ὡς τὸ πολὺ δὲ, καὶ οὗτοι τὰ πολλὰ βίαιοι φαινόμενοι τοῖς

premere arteriam: pereunt enim mox toti. Unde planum eſt non hinc magnum, quo longiſſime intro tactum protrudit, dignosci, ſed quod multis partibus longitudinis et circuli arteriae occurrat. Quid igitur, intimene altus impellit? atqui, quod in tribus dimenſionibus magnus, hoc poſſidet hic in una, proinde ſi non ille, minime hic. At magnum oſtendimus, niſi vehemens quoque ſit, tactum non poſſe protrudere longius, quo minus altus. Quod ſi cum magno frequenter imbecillitas adjuncta eſt et cum alto, qui magnus non ſit, fere vehementia, imbecillitas nunquam, alia haec ratio eſt. Habebit enim, ut dixi, ſemper hoc altus, ut longius impellat, verum non ſua tamen ſponte, imo quod omnino vehemens, aut non imbecillus certe ſit. Omnes ergo illi pulſus, ut longe tactum impellant, plane vehementiam requirunt. Unde etiam qui ex illis cum vehementia perpetuo coniuncti ſunt, ſemper violenter feriunt, qui vero non ſemper, ſed frequenter, hi quia videntur ſere violenti eſſe,

ἀμελέστερον τὰ τοιαῦτ᾽ ἐπισκοποῦσιν ἐπιστεύθησαν ἀεὶ τοιοῦτοί τινες ὑπάρχειν. ἄλλοι δ᾽ αὖ σφυγμοὶ διὰ τὴν ἀχώριστον αὐτῶν σκληρότητα βιαίως πλήττουσιν, ὥσπερ ὅ τε κλονώδης καὶ ὁ σπασμώδης. [154] οὐδὲ γὰρ οὗτοι δι᾽ ἄλλο τι βίαιον ἔχουσι τὴν πληγὴν, ἀλλὰ διὰ τὴν ἀχώριστον αὐτῶν σκληρότητα. καὶ δύο ταῦτ᾽ ἔοικεν εἶναι μόνα σφυγμῶν εἴδη βιαίως πλήττοντα, τό τε τῶν σφοδρῶν καὶ τὸ τῶν σκληρῶν. εἰσὶ δ᾽ οἳ κἀν τούτοις δεῖσθαι σφοδρότητος ἔφασαν πρὸς τὴν σκληρότητα· μὴ γὰρ δύνασθαι μόνην βίαιον ποιήσασθαι πληγὴν, ὥσπερ οὐδ᾽ εἰ λίθον ἀτρέμα προσάγοις· δεῖ γὰρ δὴ καὶ τούτῳ τόνου τινὸς, εἰ μέλλοι πλήττειν ἰσχυρῶς. ἀλλὰ τούτους μὲν ἐρέσθαι δίκαιον, τί ποτε καὶ βούλονται, πότερον οὐδὲν ὅλως εἶναι σῶμα σκληρὸν, ἀλλὰ τοῦτο τοὔνομα τὸ σκληρὸν μάτην ὑπὸ τῶν ἀνθρώπων εἰρῆσθαι κατ᾽ οὐδενὸς ὑποκειμένου πράγματος, ἢ πρᾶγμα μὲν (78) εἶναί τι καθ᾽ οὗ λέγεται, διάγνωσιν δ᾽ αὐτοῦ μηδεμίαν ὑπάρχειν αἰσθήσει, ἢ δι᾽ ἄλλης τινὸς αἰσθήσεως, οὐ διὰ τῆς ἁφῆς γνωρίζεσθαι. πάντα γὰρ ἄτοπα τό τε μηδὲν εἶναι σῶμα σκληρὸν τό τε λόγῳ μᾶλλον

qui haec expendunt negligentius adducuntur ut credant eos nunquam non tales esse. Jam alii pulsus, a quibus divelli durities non potest, violenter feriunt, ut vibratus et convulsivus: nec hi enim aliunde violentum ictum compararunt quam a perpetua sua duritie. Quamobrem duo haec tantum genera habentur pulsuum violenter ferientium, vehementium atque durorum. Sunt tamen qui his etiam necessariam praeter duritiem dixerunt vehementiam esse: nec enim posse solam violentum efficere ictum, veluti nec si lapidem admoveas leniter, qui etiam ad valide feriendum aliquid desiderat contentionis. Verum de his aequum est ut quaeramus, quid tandem sibi velint, nullumne prorsus corpus esse durum, nomen vero hoc duri nequicquam ab hominibus usurpatum, cui nulla sit res subjecta, an rem esse certam, cui tribuatur, at dignosci nequaquam sensu posse, an alio illam sensu, non nosci tactu. Profecto sunt absurda omnia et corpus nullum durum esse et ratione potius quam

ἢ αἰσθήσει διαγινώσκεσθαι τό τ᾽ αἰσθήσει μὲν, ἄλλῃ δέ τινι μᾶλλον ἢ ἁφῇ. καὶ μὴν εἰ συγχωρηθείη γέ τι σκληρὸν εἶναι καὶ διὰ τῆς ἁφῆς γνωρίζεσθαι, τί λοιπὸν ἢ περὶ ὀνόματος ἐρίζοντες εὑρεθήσονται, φάσκοντες ἄνευ τόνου μὴ δύνασθαι βίαιον ἀπ᾽ αὐτοῦ γενέσθαι τὴν πληγήν; εἰ γὰρ καὶ μὴ βίαιον ἐθέλοιεν καλεῖν, ἀλλ᾽ οἷον θλῶσάν γε πάντως, ἢ ἀπωθουμένην, ἢ ἀνατρέπουσαν εἰπεῖν ἀναγκασθήσονται. τὸ μέν γε τοῦ τόνου διαμφισβητεῖται. τὴν ἀρχὴν γὰρ οἷός τίς ἐστιν ὁ τόνος ἐν τοῖς τῶν ζώων σώμασι οὐχ ὡμολόγηται πρὸς τῶν εἰς ἐλάχιστα, ἢ εἰς ἄτομα, ἢ εἰς ἄναρμα τὴν ὅλην οὐσίαν καταθραυόντων· μόνοις γὰρ ὁμολογεῖται τοῖς ἡνῶσθαι φάσκουσιν αὐτήν. ὥστ᾽ οὐδ᾽ αἰσθήσει διαγνωστὸς ὁ τόνος, ἀλλ᾽, εἴπερ ἄρα, διὰ σημείου τινὸς, ἢ σημείων, ἤτοι κατ᾽ ἔνδειξιν, ἢ κατ᾽ ἀπόδειξιν πιστός. σκληρὸν δὲ καὶ μαλακὸν σῶμα πάντες ἄνθρωποι διαγινώσκομεν αἰσθήσει. καὶ δίκαιον οὐ περὶ τῆς ὑπάρξεως αὐτῶν ζητεῖν, ἀλλὰ περὶ τῆς διαγνώσεως, μᾶλλον δ᾽ οὐδὲ περὶ ταύτης, ἀλλὰ περὶ τοῦ πῶς ἄν τις ἑρμηνεύοι ἑτέρῳ τὸ γιγνόμενον ἑαυτῷ πάθημα κατὰ τὴν ἁφὴν ἐν τῇ

fenfu dignosci et fenfu tamen alio quopiam potius quam tactu. Atqui fi durum concedant effe et dignosci tactu, quid aliud poftea quam de nomine contendere invenientur qui fine contentione negant violentum ab illo ictum edi? nam fi nec violentum appellare volent omnino, contundentem certe, aut repellentem, aut fubvertentem vocent neceffe eft: nam de contentione quidem controverfia eft. Omnino enim quae infit in animantium corporibus contentio, non ftatuitnr ab illis, qui in minima, vel individua, vel incompacta decerpunt totam fubftantiam: tantum convenit inter hos, qui unitam effe defendunt eam. Unde nec fenfu dignosci contentio poterit, fed fi poterit, a figno quodam, vel a fignis, vel ab indicatione, vel demonftratione, fidem capiet: at durum et molle corpus fenfu omnes nos homines dignoscimus. Itaque quaeftio inftitui de effentia eorum non debet, fed de ratione dignoscendi, atque adeo non de hac, imo de eo qua potiffimum ratione alteri interpretetur aliquis

προσβολῇ τῶν σκληρῶν σωμάτων, ὅπῃ τε διαφέρει τοῦτο τῶν σφοδρῶν. ἀλλ᾽ ἐπεὶ τοῖς ἔμπροσθεν παραλέλειπται, πειραθῶμεν ἡμεῖς αὐτὸ ποιῆσαι, ἀρχὴν τῷ λόγῳ τὰ πᾶσιν ἀνθρώποις ὁμολογούμενα θέμενοι. ἐπεὶ τοίνυν σφοδρά τινα καλοῦμεν οὐ ζῶα μόνον, ὥσπερ λέοντάς τε καὶ ταύρους, ἀλλὰ καὶ τῶν ἀψύχων ἔνια, καθάπερ τά τε τῶν ποταμῶν κατάντη ῥεύματα καὶ ἀνέμους τοὺς μεγάλους, ἕτερα δὲ σκληρὰ, καθάπερ χαλκὸν καὶ σίδηρον καὶ λίθους, ἀναμνησθῆναι χρὴ, τί δή ποτ᾽ ἐστὶν ἀφ᾽ ἑκατέρων αὐτῶν, ὅταν ὁμιλῶσιν ἡμῖν διάφορα ἐγγινόμενα τοῖς σώμασι παθήματα. τό τε γὰρ βίαιον τῆς προσβολῆς κοινὸν ἀμφοῖν, τῶν τε σφοδρῶν ἀνέμων καὶ τῶν σκληρῶν σωμάτων, πλεονεκτεῖ δ᾽, οἶμαι, κατὰ μὲν τοὺς ἀνέμους τε καὶ τὰ τῶν ποταμῶν ῥεύματα τὸ ἀνατρέπεσθαι πρὸς αὐτῶν, κατὰ δὲ τοὺς λίθους καὶ τὰ ξύλα τὸ θλίβεσθαί τε καὶ θλᾶσθαι. ἐπὶ μὲν γὰρ τῶν προτέρων, εἰ καὶ πάνυ προθυμηθείημεν ἐναντίοι βαδίζειν πρὸς αὐτὰ, πάντως ἰσχόμεθά τε καὶ ἀνατρεπόμεθα καὶ εἰς τοὐπίσω βιαίως ὠθούμεθα, χωρὶς τοῦ θλίβεσθαί τε καὶ θλᾶσθαι καὶ πιέζεσθαι τὰ μόρια τοῦ σώματος· ἐπὶ δὲ τῶν δευτέρων αὐτὸ

tactus fui affectum in occurfu durorum corporum, ac quatenus a vehementibus haec diftent. Verum quia hoc neglexerunt qui nos praecefferunt, id nos faciamus, orationem exorfi ab iis quae inter omnes mortales conftant. Quando vehementia quaedam non animalia modo vocamus, ut leones et tauros, fed et inanimata quaedam, ut fluviorum decurfus ventosque magnos, alia porro dura, ut aes, ferrum, lapides, memorare oportet, cur ab utrisque his, ubi nos attingant, diverfi corporibus affectus inferantur. Nam occurfus violentus communis utrisque eft, tam vehementibus ventis quam duris corporibus. Sed habent hoc prae caeteris fcilicet venti et fluviorum fluctus, ut evertamur ab iis, lapides et ligna, ut premamur et contundamur. Adverfus illos enim etiam fi magna vi contendamus ire contra, prorfus prohibemur atque evertimur, repellimurque violenter, fed praeter ullam compreffionem vel repreffionem corporis partium: in

τὸ θλίβεσθαί τε καὶ θλᾶσθαι καὶ πιέζεσθαι πλεονεκτεῖ. μάλιστα δ᾽ ἂν αὐτὸ μάθοις, εἴ τινι τῶν τοῦ σώματος μορίων ἐπιθείης λίθον μὴ πάνυ βαρὺν, ἀλλ᾽ ὥστε βουληθέντας ἀποῤῥῖψαι ῥᾳδίως. γνώσῃ γὰρ ὅπως ἐπικείμενος μὲν βαρύνει καὶ θλίβει καὶ θλᾷ καὶ οἷον ἐγκαταβαίνει τῷ δέρματι, ἀπολιπεὶς δὲ καταλείπει τι περὶ τὸ μόριον ἴχνος καὶ γνώρισμα τῆς θλίψεως. ἢ γὰρ κοιλότερον ἑαυτοῦ καὶ μέχρι πολλοῦ διασῶζον τὴν ἕδραν τὸ μέρος ἀπέφηνεν, ἢ πρὸς τούτῳ καὶ πελιδνόν. [155] οὐ μὴν ἄνεμός γε, κἂν ἰσχυρότατος ὢν τύχῃ, κἂν ἀνατρέψῃ τινὰ, κἂν καταβάλῃ, πιλεῖ που καὶ κοῖλον ἀπεργάζεται τὸ σῶμα. μαλακὸς γὰρ ἂν καὶ ῥᾳδίως περισχίζεταί τε καὶ περιῤῥεῖ. διὰ τοῦτο μέγιστα μὲν πλοῖα ῥᾳδίως ὠθεῖ καὶ καταβάλλει πολλάκις, οὐ μὴν κοιλότερόν γέ τι τῶν ξύλων τῶν ἐν αὐτοῖς εἰργάσατο, καθάπερ εἰ λίθος ἦν, ἢ σίδηρος τὸ προσπῖπτον. ταῦτα γὰρ θλάσαι μὲν καὶ συντρῖψαι δύναται, ἀπώσασθαι δὲ καὶ ἀνατρέψαι τοῖς ἀνέμοις παραπλησίως οὐ δύναται. μήποτ᾽ οὖν οἷς μὲν ἂν ὑπείκουσαν ἔχωμεν τὴν τῆς σαρκὸς φύσιν, ταῦτα μὲν σκληρὰ καλοῦμεν, ἃ δ᾽ ἂν αὐτῇ ὑπείκῃ τῇ σαρκὶ, καθάπερ τὸ ὕδωρ, μαλακὰ

aliis vero pollet compreſſio et contuſio et repreſſio. Perſpicies maxime, ſi cui corporis parti lapidem imponas non ita gravem, quem ſi velimus, facile abjiciamus: cognosces profecto quemadmodum impoſitus gravet, premat, contundat et veluti cutem ſubeat, dejectus autem relinquat quoddam corpori veſtigium et compreſſionis ſignum; nam aut cavam magis reddet partem ſolito et ut veſtigium diu ſervet, aut lividam praeterea. At non ventus, et ſi vehementiſſimus ſit et ſi maxime evertat ac dejiciat, ullo modo comprimat aut excavet corpus, quippe qui mollis ſit, facile circum corpus diffunditur et circumfluit. Quapropter maximas facile naves impellit et deturbat ſaepe, tamen nullum cavat in iis lignum, ut ſi lapis, vel ferrum impingatur, haec enim rumpere poſſunt et comminuere, at repellere ut venti et evertere non poſſint. An igitur quibus carnis noſtrae natura cedit, dura haec nuncupamus, quae ipſi carni, ut aqua,

κέκληται; καὶ, τοῦτ᾽ ἄῤ ἦν τὸ πρὸς τοῦ Πλάτωνος λεγόμενον, σκληρὰ μὲν, ὅσοις ἂν ἡμῶν ἡ σὰρξ ὑπείκῃ, μαλακὰ δ᾽, ὅσα ἂν τῇ σαρκί. φέρε γὰρ ἡμῶν τὴν ἁφὴν ὑποπίπτειν ὑγρῷ τινι, παντί που δῆλον, ὡς ἐγκαταβήσεται μὲν αὐτὰ, τὸ δ᾽ ὑγρὸν εἴξει τε καὶ ὑποδέξεται. σκληρῷ δ᾽ εἴ τινι προσπέσοι, δῆλον, ὡς αὐτὴ μᾶλλον εἴξει τε καὶ κοίλη γενήσεται. ἵν᾽ οὖν ἤδη συμπερανώμεθα τὸν λόγον, ἐπινοήσωμεν τὴν ἡμετέραν χεῖρα ποτὲ μὲν ὕδατος ὀξεῖ ῥεύματι, ἢ ἀνέμῳ σφοδρῷ ἐξ ἐναντίας ἀπαντῶσαν, ποτὲ δὲ λίθῳ τινὶ διὰ τῆς ἑτέρας χειρὸς ἀτρέμα προσαγομένῳ, ἆῤ οὐ πρόδηλον, ὡς ἀπὸ μὲν τῶν προτέρων ἀνατραπήσεται μὲν μὴ θλιφθεῖσα, τὸν δὲ λίθον αὕτη μὲν ἀνατρέψει, θλιφθήσεται δ᾽ ὑπ᾽ αὐτοῦ. τὸ μὲν γὰρ σκληρὸν, ὅσον ἐφ᾽ ἑαυτῷ, κωλύειν οὐχ ἱκανὸν ἡμᾶς ἰέναι πρόσω, ἀλλὰ ἤτοι διὰ βάρος, ἢ διὰ τὴν ἔξωθεν αὐτῷ προσιοῦσαν κίνησιν ἴσχειν ποτὲ δύναται· τὸ δὲ σφοδρὸν κατ᾽ αὐτὸ τοῦτο τὸ ἴσχειν τε καὶ κωλύειν καὶ ἀπωθεῖσθαι καὶ ἀνατρέπειν νενόηται. δῆλον οὖν, ὡς ἑτέρα μὲν αἴσθησις ἡμῖν ἐν τῇ τῶν σφοδρῶν, ἑτέρα δ᾽ ἐν τῇ τῶν σκληρῶν ὁμιλίᾳ γίγνεται. τὰ μὲν γὰρ θλίβει μόνον τὴν σάρκα, τὰ δ᾽ ἴσχει που πρόσω.

haec vocata mollia ſunt? Atque id eſt, quod Plato dicebat, dura eſſe quibus caro noſtra cedit, et mollia quae carni. Nam ſi incidat in humidam rem aliquam tactus noſter, clariſſimum eſt tactum eam diviſurum eſſe, humidam vero ceſſuram et excepturam: at in duram ſi incurrat, omnino ille potius cedet cavabiturque. Atque ut orationem tandem concludamus, ſingamus manum noſtram nunc aquae rapido fluctui, vel vento vehementi ex adverſo occurrere, nunc lapidi, quem altera manus ſenſim admoveat, aperte a prioribus perſpicies everti, non preſſam tamen: et lapidem ab hac everti, ſed preſſa ab illo. Nam durum quidem, quominus progrediamur, obſtare per ſe non poteſt, ſed aut per pondus, aut motum acquiſititium impedire interdum poterit: vehementis vero notio hoc ipſum obſtaculum, impedimentum, repulſionem, atque everſionem complectitur. Liquet ergo aliud nos, quum vehementia tangimus, aliud, quum dura, ſentire: nam haec premunt carnem tantum, illa im-

πολλάκις δ᾽ εἰς ταὐτὸν ἀμφοτέρων συνιόντων, ὡς εἶναι τὸ προσπῖπτον ἅμα μὲν σκληρὸν, ἅμα δὲ σφοδρῶς κινούμενον, ἀνάγκη καὶ τὴν αἴσθησιν ἡμῖν τὴν ἀπ᾽ αὐτῶν διπλῆν γίνεσθαι, τὴν μὲν ὡς θλίβοντος, τὴν δ᾽ ὡς ἀνατρέποντος. καὶ εἴπερ ταῦθ᾽ οὕτως ἔχει, καθάπερ οὖν ἔχει, τὴν τοῦ σκληροῦ σφυγμοῦ διάγνωσιν ἐν τῷ θλίβεσθαι θετέον τὴν ἁφὴν, ὥστ᾽ εἶναι τὸ μὲν τῆς πληγῆς βίαιον κοινὸν ἀμφοτέροις, τὸ δ᾽ ἴδιον ἑκατέρου, τὸ μὲν θλίβειν τοῦ σκληροῦ, τὸ δ᾽ ἀνατρέπειν τοῦ σφοδροῦ. τὰ μὲν δὴ πάθη τῆς ἁφῆς ταῦτα καὶ τὰ συνήθη τοῖς Ἕλλησιν ἐπ᾽ αὐτοῖς ὀνόματα.

Κεφ. γ΄. Δύναιτο δ᾽ ἄν τις καὶ δι᾽ ἑτέρων ὀνομάτων ταῦτα τὰ πράγματα δηλοῦν, ὥσπερ ἀμέλει ῥᾳδίως αὐτὸ ποιήσουσιν οἱ τὸ συνεχὲς τῆς ὅλης οὐσίας διακόπτοντες τῷ κενῷ, τοῦτ᾽ ἔστιν ἅπαντες ὅσοι σώματα αὐτὰ σμικρὰ καὶ ἀδιαίρετα καὶ ἄτμητα καὶ ἄναρμα, ποτὲ μὲν συγκρινόμενα, ποτὲ δὲ διακρινόμενα, τάς τε γενέσεις καὶ τὰς φθορὰς ἐργάζεσθαί φασιν, οὗτοι γὰρ, ὡς ἂν οὐδένα τόνον εἰδότες ζωτικὸν, ὅταν ἀθρόα καὶ πολλὰ καὶ ταχέως φέρηται ταυτὶ τὰ σμικρὰ σώματα, τότε τὴν ἀπ᾽ αὐτῶν πληγὴν σφοδρὰν φήσουσι γίνεσθαι, καθάπερ

pediunt progreffum. At quia faepe fit, ut ambo conveniant, atque quod occurrit durum fit, pariterque vehementer moveatur, non poteft fenfus etiam non duplex nobis offerri, unus veluti prementis, alter veluti evertentis. Quae fi fint ita, ut funt certe, duri pulfus in premendo tactu dignotio ponenda eft, ut violentia utrisque conveniat: fed proprium duri fit premere, evertere vehementis. Hi funt affectus tactus, haec etiam ufitata Graecis illorum nomina.

Cap. II. Atqui poffis aliis quoque haec nominibus interpretari: quod facile illi facient certe, qui continuitatem totius fubftantiae interpolant vacuo, id eft omnes, qui corpora ipfa parva et indivifa, individuaque et incompacta, quod modo concrescant, modo divellantur, ideo generationes et interitus contendunt efficere. Qui ut fi nullam agnoscant vitalem contentionem, ubi confertim multa et velociter ferantur haec parva corpora, tum ictum creare haec vio-

ἐπὶ τῶν ἀνέμων τε καὶ τῶν εἰς τὸ κάταντες φερομένων συμπίπτει ῥευμάτων. τὸ δὲ ἀθρόα καὶ πολλὰ καὶ πυκνὰ λέγειν ταὐτὸν εἶναι φήσουσιν τῷ βραχὺ παρεσπάρθαι κενὸν, τοῦτο δὲ τῷ πεπληρῶσθαι στερεᾶς οὐσίας τὴν εὐρυχωρίαν τῆς ἀρτηρίας ταὐτὸν ὑπάρχειν· τὴν γὰρ δὴ κένωσιν αὐτῆς, ὥσπερ καὶ αὐτὸ τοὔνομα δηλοῖ, παρὰ τὸ κενὸν ὠνομάσθαι, τοῦτο γὰρ ἐν ἅπασιν ἀεὶ τοῖς συγκρίμασι περιέχεσθαι· [156] τῷ δ' ἧττον, ἢ πλέον εἶναι ποτὲ μὲν σκληρὰ, ποτὲ δὲ μαλακὰ γίγνεσθαι τὰ σώματα, καὶ νῦν μὲν πλήρεις (79) αὐτῶν τὰς ἐντὸς κοιλίας, αὖθις δ', εἰ τύχοι, κενάς. τὸν μὲν οὖν χιτῶνα τῆς ἀρτηρίας σκληρὸν, ἢ μαλακὸν φήσουσι γίγνεσθαι διὰ τὸ ποσὸν τοῦ παραπεπλεγμένου τῷ συγκρίματι κενοῦ· τὴν δ' ἐντὸς εὐρύτητα πλήρη καὶ διάκενον, διὰ τὸ ποσὸν πάλιν κἀνταῦθα τῆς παρεσπαρμένης αὐτῇ κενότητος. μέγαν δέ τινα εἶναι φήσουσι σφυγμὸν, οὐ μὴν τό γ' ἀντιβατικὸν ἔχειν τὴν προσβολὴν, ὅταν πολὺ μὲν τὸ κατὰ τὴν κοιλότητα τῆς ἀρτηρίας κενὸν, ὀλίγα δὲ τὰ πρῶτα σώματα· μέγαν δ' ἅμα καὶ ἀνατρεπτικὸν, ὅταν ὀλίγον μὲν, τὸ κενὸν, πολλὰ δὲ τὰ σώματα. δῆλον οὖν ἤδη γέγονεν,

lentum confirmant, quemadmodum in ventis et fluctibus contingit decurrentibus. Conferta dicere et multa denfaque, perinde effe dicunt, ac paucum immixtum effe vacui, quod tantum valere, quantum folidas fubftantias capacitatem impleffe arteriarum: vacuitatem enim ejus, ut ipfum declarat nomen, effe a vacuo dictum, hoc enim in omnibus quidem concretionibus femper contineri; at prout id augetur vel imminuitur, ita nunc dura, nunc mollia corpora effici, ac nunc plenos fieri eorum internos ventriculos, rurfus forte vacuas. Ita tunicam quidem dicent arteriae duram, vel mollem fieri ex quantitate admixti concretioni vacui: internam capacitatem plenam et vacuam, ob quantitatem hic iterum commixti cum illa vacui. Magnum autem dicent quendam effe pulfum, fed innifum non habere in occurfu, ubi multum in cavitate arteriae vacui fit, ipfaque pauca fint prima corpora: at vero magnum effe et evertere, quum parum vacui et multa corpora fint. Itaque jam apertum

ὡς οὐδὲν κατ᾽ ἐκείνους διοίσει λέγειν πλήρη σφυγμὸν σφοδροῦ. καὶ γὰρ καὶ τὸ τῆς ἁφῆς πάθος ἓν ὑπάρχειν καὶ τοῦ σφυγμοῦ τὴν φύσιν μίαν εἶναι. κενοῦ γὰρ ὀλίγου ταῖς εὐρυχωρίαις τῶν ἀρτηριῶν παρακειμένου, διὰ μὲν τὸ πλῆθος τῶν ὄγκων πλήρη λέγεσθαι τὸν σφυγμὸν, διὰ δὲ τὸ τῆς πληγῆς ἰσχυρὸν σφοδρὸν, ὥστε τῶν ὀνομάτων τὸ μὲν ἕτερον αὐτῆς τῆς οὐσίας δηλωτικὸν εἶναι τοῦ σφυγμοῦ, τὸ δ᾽ ἕτερον τοῦ ποιοῦ τῆς προσβολῆς. οὔκουν εἶναι σφυγμὸν ἄλλον μὲν πλήρη, σφοδρὸν δ᾽ ἄλλον· δυοῖν γὰρ ὀνόμασιν ἓν πρᾶγμα δηλοῦσθαι κατὰ διαφόρους ἐννοίας. ἀλλ᾽ ἡμεῖς γε, ὅσοι ζωτικόν τινα τόνον εἶναί φαμεν, διττὴν μὲν ἐξ ἀνάγκης ὁμολογήσομεν ὑπάρχειν τὴν φύσιν τῶν σφυγμῶν· εἰ δὲ καὶ τὴν διάγνωσιν ἐπιμελέστερον τούτων ἐπισκεψαίμεθα. χαλεπὴ δὲ ἡ σκέψις μάλιστα γίνεται τῷ μηδένα τῶν ἔμπροσθεν ἀξιόλογον μηδὲν γράψαι περὶ διαγνώσεως σφυγμῶν, ἀλλὰ τοὺς μὲν τελέως παραλιπεῖν, τοὺς δὲ ἐπὶ μικρὸν κομιδῇ προσάψασθαι. Ἡρόφιλος μὲν οὖν, ὡς ἂν τὰ τῆς αἰσθήσεως πάθη γράφων, οὐδαμῆ πληρότητος ἐμνημόνευσεν, ἧς οὐδεπώποτε ᾔσθετο. οἱ δ᾽ ἀπ᾽ αὐτοῦ μὲν κληθέντες Ἡροφίλειοι, πάντα μᾶλλον

eſt, nihil apud illos intereſſe inter plenum pulſum et vehementem, quippe tactus unum eſſe affectum et unam naturam pulſus. Nam quum parum in capacitatibus arteriarum inſit vacui, ob multitudinem tumorum plenum pulſum dici et ob ictus violentiam vehementem: proinde ex nominibus illis alterum eſſentiam denotare pulſus, alterum qualitatem occurſus: non igitur diverſos eſſe pulſus plenum et vehementem, duobus enim unam rem nominibus ſignificari pro diverſis notionibus. Nos vero qui contentionem quandam ſtatuimus vitalem, geminam non poterimus non fateri pulſuum naturam eſſe, ſi dignoscendi rationem eorum diligentius attendamus. Eſt autem plena difficultatis haec commentatio, quod nihil oratione dignum veteres de dignoscendis pulſibus ſcripſerunt, ſed alii prorſus praeterierunt, alii ſane quam leviter attigerunt. Nam Herophilus ut qui affectus ſenſus conſcriberet, nusquam plenitudinis, quam ſenſit nunquam, meminit. Qui vero dicti ab illo Herophilii ſunt,

δόντες ἢ τοῦτο λέγεσθαι βούλονται, σοφισταὶ καὶ πολυλόγοι γενόμενοι σχεδὸν ἅπαντες, οὔτ᾽ ἄλλο τι τῶν Ἡροφιλείων θεωρημάτων ἐπ᾽ αὐτῶν τῶν ἔργων τῆς τέχνης προὐθυμήθησαν ἀσκῆσαι. καὶ πρὸς ἄλλοις πολλοῖς οἷς ἐλυμήναντο τὴν τέχνην, ἔτι τε καὶ τὸν πλήρη σφυγμὸν ἡμῖν ἐπεισήγαγον ταῖς διαγνώσεσιν, ἵνα δηλαδὴ μικρᾶς οὔσης τῆς τέχνης ἔχωμεν ἡμεῖς νῦν ὃ πράττωμεν. οὔτε γὰρ παρελθεῖν οἷόν τε σφυγμὸν ὑπ᾽ ἀνδρῶν οὕτως ἐνδόξων πεπιστευμένον οὔθ᾽ ὃν οὐδεπώποτε εὕρομεν ἐπὶ τῶν ἔργων διαγνῶναι προχείρως ἡμῖν θετέον, ἀλλοτρίαις ἀκολουθήσασιν ἀποφάσεσιν. ἀλλ᾽ ἀνάγκη δεῖξαι πρῶτον μὲν ὅτι μέχρι τῆς ἐννοίας ὁ σφυγμὸς οὗτος πρόεισιν, ἔπειτα ὡς οὐδ᾽ Ἡρόφιλος αὐτὸν αἰσθήσει διεγίνωσκεν. εἰ μὲν οὖν μὴ συγκεχύκεσαν αὐτοὶ τὸ σημαινόμενον τοῦ ὀνόματος, ἤδη εἶχόν τι κἀγὼ λέγειν ὧν ἐπαγγέλλομαι· ἐπεὶ δὲ πολυειδῶς ἐτάραξαν αὐτὸ πρός ἀλλήλους τε καὶ πρὸς ἑαυτὸν ἕκαστος οὐχ ὁμολογοῦντες, ἀναγκαῖόν ἐστιν ὑπὲρ τοῦ σημαινομένου πρότερον ἡμᾶς διασκέψασθαι, μή πῃ λάθωμεν ἡμᾶς αὐτοὺς ὡς κόρακες ἢ κολοιοὶ φωνὰς μόνας προφερό-

omnia potius concedentes quam id quod dici volunt, fophiftae fane et loquaces homines pene omnes: et quum nullum aliud Herophili praeceptum in ipfis artis operibus probare ftuduerunt, tum praeter alia quibus artem polluerunt, etiam plenum nobis pulfum invexerunt, ut, quafi parva fit ipfa ars, haberemus nunc quod ageremus. Neque enim pulfum praeterire fas eft, a viris conftitutum tam claris: neque quem experiundo nunquam invenimus, poffe prompte dignosci ftatuendum nobis eft, alienas fequentibus afſeverationes. Verum oftendendum eft primum ad notionem usque hunc pulfum progredi: deinde ne Herophilum quidem in ejus notitiam fenfu unquam perveniffe. Quod fi jam nihil ilii fignificationem confudiffent nominis, haberem nunc aliquid dicere de illis, quae dicturum recipio: fed quando variis eam modis conturbarunt, nec inter fe mutuo confentientes, nec fecum quisque: cogimur primo loco dispicere de fignificatione, ne quid imprudentes, ut corvi et graculi,

μενοι, τὰ δὲ πράγματα καθ᾽ ὧν αὗται λέγονται παντάπασιν ἀγνοοῦντες. ὄντων οὖν πολλῶν τῶν γραφόντων τοὔνομα τοῦ πλήρους σφυγμοῦ, τοὺς μὲν ἄλλους παραλείψειν μοι δοκῶ, πλὴν εἴ που κατὰ τὴν ἀνάγκην τοῦ λόγου μνημονεύσαιμι διὰ βραχέων. ἀποχρήσει δέ μοι τὰ πρὸς Ἀρχιγένους τε καὶ Ἀγαθίνου γεγραμμένα προχειρισαμένῳ διασκέψασθαι. λέγει δὲ ὁ μὲν Ἀρχιγένης ὑπὲρ αὐτοῦ τόνδε τὸν τρόπον· ἔστι δὲ πλήρης σφυγμὸς ὁ ναστοτέραν ἐπιδεικνὺς τὴν ἀρτηρίαν καὶ τὴν ὑπόπτωσιν αὐτῆς διασεσαγμένην ἐγχύλως, κενὸς δὲ ὁ πομφολυγώδη τὴν ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος, ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν. [157] ἐν τούτῳ δὲ δὴ τῷ λόγῳ πρῶτον τί δηλοῖ τὸ ναστοτέραν οὐ πάνυ σαφῶς οἶδα, διὰ τὸ μηδὲ σύνηθες εἶναι τοῖς Ἕλλησιν ὄνομα κατὰ τοῦ τοιούτου πράγματος λέγεσθαι. ἄρτον μὲν γάρ τινα ναστὸν ἐκάλουν, οὐ μὴν ἄλλο γέ τι σῶμα πρὸς αὐτῶν οὕτως ὠνομασμένον ἐπίσταμαι. αὐτὸς δὲ ὁ Ἀρχιγένης, δικαιότατον γὰρ τὴν ἐν τοῖς ὀνόμασιν αὐτοῦ συνήθειαν παρ᾽ αὐτοῦ μανθάνειν, δοκεῖ μοι τὸ ναστὸν ἀντὶ τοῦ πλήρους ὀνομάζειν, ἐν γοῦν τῷ περὶ σφοδρότητος σφυγμοῦ λόγῳ

dum voces edimus tantum, res ipfas, quibus attributae funt, prorfus ignoremus. Et quum nomen pleni pulfus multi fcripferint, ceteros certum mihi eft praetermittere, nifi fi quando, fi ita feries orationis ferat, ftrictim attingam: Archigenis autem et Agathini mihi fatis erit fcripta in manus fumere examinanda. Ac de eo Archigenes in hunc modum loquitur: *Ἔστι δὲ πλήρης μὲν σφυγμὸς ὁ ναστοτέραν ἐπιδεικνὺς τὴν ἀρτηρίαν καὶ τὴν ὑπόπτωσιν αὐτῆς διασεσαγμένην ἐγχύλως, κενὸς δὲ ὁ πομφολυγώδη τὴν ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος, ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν.* In ea definitione primum quid *τὸ ναστοτέραν* denotet, parum liquido novi, quod insolens apud Graecos fit ut ejuscemodi de re ufurpetur. Nam genus quoddam panis appellabant *ναστὸν*, aliud corpus ab iis ita ullum appellari haud fcio. Ipfe Archigenes (nam decet de illo nos ejus ufum nominum discere) *τὸ ναστὸν* pro pleno mihi videtur ufurpare: nam in libro De vehementia pul-

διηγούμενος τὰ ὑπὸ Μάγνου εἰρημένα κατὰ λέξιν οὕτω γράφει· ὅλως γάρ, φησὶν, ἡ σφοδρὰ πληγὴ οὐ γίγνεται, εἰ μὴ ναστοῦ ὄντος τοῦ προσπίπτοντος, μεγάλου καὶ ταχέος ἐπιφερομένου. ἐφ᾽ ἃ μετ᾽ ὀλίγον οὕτως ἄρα φησί· καὶ σφοδρότης σφυγμοῦ ἐκ τάχους, μεγέθους, σφοδρότητος, πληρότητός ἐστι σύνθετος. τὸ γὰρ ἀνωτέρω ναστὸν, τοῦτο νῦν πλῆρες ἐκάλεσεν, ὡς οὐδὲν διαφέρον ἢ οὕτως ἢ ἐκείνως εἰπεῖν. ἀλλὰ καὶ πανταχοῦ μοι δοκεῖ κατὰ τὸν αὐτὸν τρόπον χρῆσθαι τῇ τοῦ ναστοῦ προσηγορίᾳ. μεταλάβωμεν οὖν ἤδη τὸ ναστοτέραν εἰς τὸ πληρεστέραν, ἵνα καὶ γνῶμεν τί ποτ᾽ ἐστὶν ὃ λέγει. ἔστι δὲ ἡ λέξις τοιάδε· ἔστι δὲ πλήρης μὲν σφυγμὸς ὁ πληρεστέραν ἐπιδεικνὺς τὴν ἀρτηρίαν. ἀλλὰ τοῦτο μὲν δι᾽ ἑαυτοῦ δηλούμενον, οὐδὲν ἡμᾶς διδάξει πλέον. ἆρ᾽ οὖν ἄμεινον ὑπερβάντας ὅλον τὸ ναστοτέραν σκέψασθαι τὸ ἐπιφερόμενον ἐγχύλως. τοιοῦτον γάρ τι δηλοῦν ἔοικεν ἡ λέξις, ὡς τοῦ πλήρους σφυγμοῦ κατὰ τὴν προσβολὴν δεικνυμένου διασεσαγμένην ἐγχύλως τὴν ἀρτηρίαν. αὐτὸ δὲ πάλιν τὸ διασεσαγμένην πότερα ταὐτόν ἐστι τῷ μεμεστωμένην, ἢ

ſus, exponens Magni verba, ſic ad verbum ſcribit: Omnino, inquit, vehemens ictus non fit, niſi *ναστὸν* ſit quod occurrat et magnum et celere inferatur. A quibus paulo poſt in hunc modum ſcribit: Et vehementia pulſus ex celeritate et magnitudine, vehementia, plenitudine, conflata eſt: nam quod ſupra *ναστὸν*, id plenum hic vocavit, ut nihil differat, hoc pacto, an illo dicas. Et vero ubique mihi ita videtur nomine *τοῦ ναστοῦ* uti. At mutemus jam *τὸ ναστοτέραν* in pleniorem, ut quid dicat, intelligamus. Verba ejus haec ſunt: Plenus pulſus eſt qui pleniorem oſtendit arteriam. Atqui hoc vel ſua ſponte clarum eſt, nec nos novi quicquam docet. Praeſtat ergo totum hoc *ναστοτέραν* relinquere, ac quod in definitione ſequitur conſiderare. *Καὶ τὴν ὑπόπτωσιν αὐτοῦ διασεσαγμένην ἐγχύλως*. Tale quiddam ſignificare haec clauſula videtur, plenum pulſum in occurſu arteriam oſtendere *διασεσαγμένην ἐγχύλως*. Hic iterum *τὸ διασεσαγμένην* idemne ſit ac plenum, an aliud

ἄλλο τι δηλοῖ, σαφῶς οὐκ ἔχω συμβαλεῖν. καὶ γάρ τοι καὶ ἀντιθεὶς ἑξῆς τῷ τῇ πλήρους καὶ τοῦ ναστοτέρου τὸν ὁρισμὸν τοῦ κενοῦ, οὔτε τῷ ναστοτέραν τὸ ἐναντίον ἔλαβεν οὔτε τῷ διασεσαγμένην, δέον, οἶμαι, λαβεῖν, εἴπερ ἐναντίον πρᾶγμα ὡρίζετο. νῦν οὐδὲν ἔλαβεν, ἀλλὰ τί φησι; κενὸς δὲ ὁ πομφολυγώδη τὴν ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος. τοῦτο γὰρ τὸ πομφολυγώδη οὔτε τῷ ναστοτέραν οὔτε τῷ διασεσαγμένην ἐναντίον ἐστίν. ἀλλ᾽ εἴπερ ἄρα, μόνῳ τῷ ἐγχύλῳ, ἵνα τὸ μὲν ἔγχυλον οἷον ὑγρότερόν πως εἴη, τὸ δὲ πομφολυγῶδες ἀερωδέστερον. πάλιν δὲ τῷ τοῦ κενοῦ λόγῳ πρόσκειται, ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν· τίνι τῶν ἐκ τοῦ πλήρους ἐναντίον ἐστὶν, οὐκ ἂν εὕροις. τῷ μὲν γὰρ τῆς κενεμβατήσεως ὀνόματι τὸ τῆς ἀντιβάσεως μάλιστ᾽ ἀντιθείη. παραλέλειπται δ᾽ ὅλον τοῦτο ἐν τῷ πλήρους λόγῳ. καίτοι γ᾽ ἠδύνατο κατὰ τὸν αὐτὸν εἰρῆσθαι τρόπον, ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων ἀντίβασιν ὑποπίπτειν. ἀλλ᾽ οὐκ εἴρηται, εἰ μή τι ἄρα περὶ τὸ ναστοτέραν ἐπιδεικνύναι τὴν ἀρτηρίαν τοῦτό ἐστιν,

quid indicet, plane non habeo conjicere. Quinetiam quum opponeret postea definitioni pleni et τοῦ ναστοτέραν definitionem vacui, nec contrarium τῷ ναστοτέραν sumpsit, neque τῷ διασεσαγμένην, quod quidem si rem contrariam definiret, sumendum erat. At non sumpsit, sed quid ait? κενὸς δὲ ὁ πομφολυγώδη τὴν ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος. Hoc enim πομφολυγώδη nec τῷ ναστοτέραν, nec τῷ διασεσαγμένην contrarium est, sed si cui alii, certe soli τῷ ἐγχύλῳ contrarium est: ut τὸ ἔγχυλον veluti humidius quodammodo sit et τὸ πομφολυγῶδες magis aëreum. Jam vacui etiam definitioni additum est, ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν, cui verbo in definitione pleni, quod contrarium sit, non reperias. Nam τῆς κενεμβατήσεως nomini rectissime ἀντίβασιν opponeret; at hoc in pleni definitione praetermissum est universum: idque quum in eundem modum posset dici, ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων ἀντίβασιν ὑποπίπτειν. At non dixit, nisi id forte, pleniorem ostendere arteriam, hoc est, ut in utraque defini-

Ed. Chart. VIII. [157. 158.] Ed. Baf. III. (79. 80.)

ἵν᾽ ἐν ἑκατέρῳ τῷ λόγῳ μὴ τί ποτ᾽ ἐστὶν ὁ πλήρης σφυγμὸς ᾖ δηλούμενον, ἀλλὰ πῶς διαγινώσκεται. καὶ εἰ τοῦτο, τάχ᾽ ἂν ἀκολουθεῖν ἤδη δυναίμην. εἰ γὰρ τῶν ἡμετέρων κατὰ τὴν ἁφὴν παθημάτων ἐξήγησίς ἐστιν ὁ λόγος, οὐδαμοῦ τῆς τοῦ πράγματος αὐτοῦ φύσεως ἁπτόμενος ἀναμνησθῆναι δύναμαι πάντων ὧν κατὰ τὴν διαστολὴν τῆς ἀρτηρίας ἡ ἁφὴ πάσχει. τάχα οὖν εὑρήσομεν οὕτως, τί (80) ποτε βούλεται δηλοῦν ὁ Ἀρχιγένης. ἃ δὲ πάσχει, ταῦτ᾽ ἐστίν. αἰσθάνεται προσπίπτοντος αὐτῇ κινουμένου σώματος ἐν χρόνῳ τινὶ, καὶ τοῦτο ποτὲ μὲν κατὰ πολλὰ μόρια προσπίπτειν ἑαυτῇ φαντάζεται, ποτὲ δ᾽ οὒ, καὶ θλίβειν τε καὶ αὖθις μὴ θλίβειν, καὶ ἡμῶν θλιβόντων ἀντιβαίνειν, ἢ νικᾶσθαι. ταῦτ᾽ ἐστὶ τὰ πρῶτα καὶ οἷον στοιχεῖα τοῦ παντὸς περὶ τῶν σφυγμῶν λόγου, πάθη τῆς ἁφῆς. τὰ γὰρ ἄλλα πάντα τὰ μὲν ἐκ τούτων σύγκειται, τὰ δ᾽ ἐν τῷ πρός τι νενόηται, ἤτοι καὶ τὰ μόρια τῶν εἰρημένων ἀλλήλοις παραβαλλόμενον, ἢ ὅλων πρὸς ὅλα. [158] κατὰ τίνος οὖν λέγεται τούτων τὸ τοῦ πλήρους ὄνομα; πότερον κατὰ τῆς κινήσεως αὐτῆς; ἀλλ᾽ ἐν ἐκείνῃ τάχος ἦν καὶ βραδύτης καὶ τῶν ῥυθμῶν αἱ γενέσεις. ἀλλ᾽ ὅταν κατὰ

tione, non quid plenus pulfus fit, declaretur, fed quae fit ejus dignofcendi ratio. Quod fi eft, affequamur fortaffis. Nam fi affectuum tactus noftri haec definitio expofitio eft, nec rei ipfius usquam naturam attingit, meminiffe omnium poffum, quae in diftentione arteriae patitur tactus: fortaffe itaque affequemur Archigenis mentem, nam quae patitur, haec funt. Occurrens fibi fentit aliquamdiu corpus motum: idque modo multis in partibus videtur fibi occurrere, modo non, ac nunc premere, nunc non premere, ac quum nos premimus, reniti, vel vinci. Hic primi affectus tactus funt, veluti elementa totius de pulfibus commentationis: nam reliqua omnia, partim ex his conftant, partim in relatione intelliguntur, five partes commemoratas mutuo compares, five tota cum totis. At de quonam horum pleni nomen dicitur; an de ipfo motu? atqui celeritas in illo et tarditas erant rhythmique illic nafcebuntur. An ubi in multis

πολλὰ μόρια τῆς διαστολῆς αἰσθάνηται ἡ ἁφή; ἀλλ᾽ ἐνταῦθα μακροὶ καὶ πλατεῖς καὶ ὑψηλοὶ καὶ μεγάλοι γίνονται σφυγμοί. ἀλλ᾽ ὅταν κατ᾽ ὀλίγα; οἱ ἐναντίοι δηλονότι τῶν εἰρημένων. ἀλλ᾽ ὅταν θλίβηται; σκληρός. ἀλλ᾽ ὅταν ἀνατρέπηται; σφοδρός. τί γὰρ δεῖ περὶ τῶν ἐναντίων αὐτοῖς, ἢ μέσων μακρολογεῖν; πότ᾽ οὖν πλήρης γενήσεται; ἢ τί πάσχει πάθος ἡ ἁφή; πότερον, ὅταν θερμασίας πλείονος, ἢ δριμυτέρας αἰσθάνηται; ἀλλ᾽ οὐκ ἔστιν ἐκ τῶν κατὰ τοὺς σφυγμοὺς διαφορῶν ἡ τοιαύτη διάγνωσις. ἀλλ᾽ ὅταν ὑγρότητος, ἢ ξηρότητος; ἀλλ᾽ οὐδὲ ταῦτα τῆς τῶν σφυγμῶν διαφορᾶς ἐστι τὰ παθήματα. καὶ γὰρ καὶ χωρὶς τῶν σφυγμῶν ἔνεστιν αὐτὰ διαγινώσκειν ἐπιβάλλοντα τὴν χεῖρα τῷ σώματι τοῦ νοσοῦντος. μήτι οὖν τὸ τῆς ἀντιβάσεως εἶδος ἕτερον μὲν ἐν τοῖς σφοδροῖς, ἕτερον δὲ ἐν τοῖς πλήρεσιν ὀνομάζουσι; τάχα γὰρ καὶ ὁ Ἀγαθῖνος τοιοῦτόν τι βούλεται. ἀλλ᾽ εἰ τοῦτο, ἐχρῆν ἀποσαφῆσαι τοῦτ᾽ αὐτὸ ἡμῖν, καὶ μὴ Σφιγγὸς προβάλλειν αἰνίγματα. ἢ βούλονται μὴ μόνον περὶ τῶν πραγμάτων ἡμᾶς ζητεῖν οὕτω χαλεπῶν ὄντων, ἀλλ᾽ ἐξ ἐπιμέτρου τί ποτε

partibus diftentionem tactus fentit? imo longi hinc, lati, alti, magnique prodeunt pulfus. An quum in paucis? contrarii vero tum commemoratorum. An quum premitur? durus. An quum fummovetur? vehemens. Quid enim de contrariis horum et mediis multa difputem? Quando ergo exiftet plenus, aut quem patietur pulfus affectum? tumne ubi calorem largiorem, vel acriorem fentiat? atqui non ex pulfuum differentiis id dignofcitur. An quum humiditatem, vel ficcitatem? fed nec hi funt affectus differentiarum pulfuum, quum haec vel citra pulfus, fi manum admoveas corpori laborantis, explorare poffis. Ecquod ergo renifus genus aliud in vehementibus, aliud in plenis appellant? nam poteft tale quid etiam Agathinus fentire; verum fi hoc fentiebat, aperire debebat nobis, non Sphingis proponere aenigmata. An vero non folum res volunt ut inquiramus tam difficiles, fed ut pro cumulo, quid dicant, ex-

λέγουσι σκοπεῖν, καὶ πολλαπλάσιόν γε χρόνον εἰς τοῦτ᾽ ἀναλίσκειν, ἢ εἰς αὐτῶν τῶν πραγμάτων τὴν εὕρεσιν; ἴδωμεν οὖν ἤδη καὶ τὴν τοῦ Ἀγαθίνου ῥῆσιν, καὶ ζητήσωμεν εἰ τὸ τῆς ἀντιβάσεως εἶδος ἕτερον μὲν ἐν τοῖς σφοδροῖς, ἕτερον δὲ ἐν τοῖς πλήρεσιν εἶναι βούλεται. γράφει οὖν καὶ αὐτὸς ὧδε· παρακολουθεῖ γὰρ ἐν ταῖς ἐπισκέψεσι πληρότητος καὶ κενότητος σφυγμοῦ, τοῦ μὲν πλήρους τεταμένον καὶ ἐξεριστικὸν δι᾽ ὅλου τὸ πνεῦμα παριστάντος, τοῦ δὲ κενοῦ διαῤῥέον καὶ ταῖς ἀντιβάσεσιν ἐναφανιζόμενον, ὡς ῥήξει τινὸς ὑδατίνης πομφόλυγος ἐοικέναι. τούτῳ μὲν τό γε τοσοῦτον ἤδη χάριν ἴσμεν, ὅτι τε μὴ Σφιγγὸς αἰνίγματα προβάλλει, καθάπερ Ἀρχιγένης τε καὶ πολλοὶ τῶν ἄλλων. εἰ μὲν γὰρ ὀρθῶς, ἢ μὴ λέγει κατὰ σχολὴν ἔνεστι σκοπεῖσθαι. τὸ δ᾽ οὖν λεγόμενον αὐτὸ σαφές ἐστιν ἤδη. βούλεται γὰρ τεταμένον καὶ ἐξεριστικὸν δι᾽ ὅλου τὸ πνεῦμα κατὰ τοὺς πλήρεις ἐμφαίνεσθαι σφυγμοὺς, ἄῤῥωστον δὲ καὶ καταπῖπτον ῥᾳδίως καὶ μηδεμίαν ἔχον ἀντίβασιν ἐν τοῖς κενοῖς. εἴτε δὲ τὸ σύμφυτον πνεῦμα καὶ ζωτικὸν τὸ διὰ τῶν σωμάτων, ὡς αὐτοὶ βούλονται, τεταμένον, εἴτε τὸ ἀερῶδές τε καὶ ὑλικὸν τὸ ἐν

pendamus, ac infinitum tempus in eo ponamus, an in rebus ipfis inveniendis? At expendamus Agathini jam verba, atque hoc quaeramus, an renifus aliud in vehementibus genus, aliud in plenis ftatuat. Adeoque haec ejus verba funt: Confequitur enim in confideratione plenitudinis et vacuitatis pulfus, pleno tenfum et contentum perpetuo fpiritum repraefentante, vacuo diffluentem, et in renifu evanefcentem, ut inftar fit aquofae bullae, quae rumpitur. Huic quidem eo nomine gratias habemus, quod Sphingis non ponat aenigmata, ut fecit Archigenes, aliique non pauci, nam recte, an fecus dixit, per otium expendamus licet. Verba quidem certe ejus clara funt. Vult enim tenfum et contentum perpetuo fpiritum in plenis apparere pulfibus, infirmum et fractum, nec quicquam renitentem in vacuis, at nativusne fpiritus, atque vitalis fit qui per corpora, ut illi contendunt, tenfus eft, an aëreus et materialis, qui

ταῖς εὐρυχωρίαις, οὐ πάνυ μὲν ἡ λέξις ἀποσαφεῖ, τῇ δ᾽ ὅλῃ τῶν ἀνδρῶν γνώμῃ τεκμήραιτ᾽ ἄν τις τὸ ζωτικὸν αὐτὸν λέγειν. ἀλλ᾽ εἴτε τοῦτο, ἢ ἐκεῖνο, τό γε τοσοῦτον ἐν παρόντι παρακλητέον αὐτόν τε καὶ τοὺς ἀπ᾽ αὐτοῦ μηδέπω δόγματα τοῖς τῆς αἰσθήσεως ἀναμίγνύναι πάθεσιν, ἀλλ᾽ ὡς ἐμπειρικὸν, οὐ γὰρ ἀτιμάζει τὴν ἐμπειρίαν, διαλεχθῆναι πρότερον ἡμῖν ὑπὲρ αὐτῶν τῶν λεγομένων κατὰ τὴν ἁφὴν, εἶτ᾽ αὖθις, ὅπως ἐξ αὐτῶν χρὴ διὰ τοῦ λόγου μεταβαίνειν ἐπὶ τὰ δόγματα, διδάξαι. τίνα τοίνυν τὰ τῆς αἰσθήσεως πάθη κατ᾽ αὐτὸν, εἰ μεταθείημεν τὸ τοῦ πνεύματος ὄνομα, καὶ πληγὴν εἴποιμεν; ἔσται γὰρ ὁ λόγος τοιοῦτος· ὁ πλήρης σφυγμὸς τεταμένην καὶ ἐξεριστικὴν δι᾽ ὅλου τὴν πληγὴν παρίστησιν, ὁ δὲ κενὸς οἷον διαῤῥέουσαν καὶ ταῖς ἀντιβάσεσιν ἐμφανιζομένην, ὡς ῥήξει τινὸς ὑδατίνης πομφόλυγος ἐοικέναι. τούτων δὲ οὕτω καλῶς μετειλημμένων, μικρὸν ἐπελίξαντες αὐτοῦ τὸ βιβλίον, θεασώμεθα τί λέγει περὶ σφοδροῦ καὶ ἀμυδροῦ σφυγμοῦ. ἔχει δὲ ἡ λέξις οὕτως· διότι μὲν οὖν σφοδρός ἐστιν ὁ σφυγμὸς βιαίως κρούων τὴν ἁφὴν καὶ κατὰ τὴν πρόσαλσιν ἰσχυρῶς αὐτὴν ἀνατρέπων, δῆλόν τ᾽ ἐστὶν αὐτόθι

continetur in capacitatibus, parum verba declarant, tamen ex tota illorum fententia ipfum vitalem conjicias dici. Sed five hic fit, five ille, tantum in praefenti admonebimus illum ejusque affeclas, ne placita cum fenfus affectibus commifceant, fed ut decet empiricum. Neque enim experientiae imminuerint dignitatem, fi explicaverint prius nobis haec quae de tactu attulerunt ipfi, ac deinde quomodo ab iis oratione ad placita proficifci oporteat docuerint. Qui igitur fenfus affectus in ea erunt, fi nomen fpiritus immutemus, et ictum appellemus? erit enim haec oratio: Plenus pulfus tenfum et contentum perpetuo ictum repraefentat, vacuus vero diffluentem et in renifu evanefcentem, ut inftar fit aquofae bullae, quae rumpitur. His tam bene mutatis, proferamus hic parvum ejus librum, ut quid de vehemente et languido pulfu dicat videamus. Verba ejus fic habent: *Nam quod vehemens etiam pulfus fit qui violenter ferit tactum, et in occurfu fortiter evertit eum, conftat hinc,*

[159] καὶ συμφωνεῖται τοῖς πλείστοις. εἶτ' ἐπιφέρων φησί· τῶν ἐναντίων ἐπινενοημένων δηλονότι περὶ τὸν ἀμυδρὸν σφυγμόν. ἀμενηνῶς γὰρ καὶ ἐκλύτως πρόσεισι τῇ ἁφῇ. ταῦτ' ὀρθῶς ὁ Ἀγαθῖνος, ἀλλ' οὐ μὲν διαφέρει τῶν περὶ τοῦ πλήρους τε καὶ κενοῦ. τὸ μὲν γὰρ ἐξεριστικὴν δι' ὅλου τὴν πληγὴν εἶναι ταὐτόν ἐστι τῷ βιαίως τε κρούειν τὴν ἁφὴν καὶ ἰσχυρῶς ἀνατρέπειν, εἴρηται δ' αὐτῶν τὸ μὲν ἐπὶ τοῦ πλήρους, τὸ δὲ ἐπὶ τοῦ σφοδροῦ. τὸ δ' αὖ ταῖς ἀντιβάσεσιν ἀφανίζεσθαι ταὐτόν ἐστι τῷ ἀμενηνῶς καὶ ἐκλύτως ἐναφανίζεσθαι τῇ ἁφῇ. εἴρηται δὲ τούτων τὸ μὲν πρότερον ἐπὶ τοῦ κενοῦ, τὸ δὲ δεύτερον ἐπὶ τοῦ ἀμυδροῦ. ἆρ' οὖν ὁ μὲν Ἀγαθῖνος οὕτως ἐξηγήσατο τὰ τῆς ἁφῆς πάθη, κατά γε τοὺς σφοδροὺς σφυγμοὺς καὶ τοὺς ἀμυδροὺς, ὁ δ' Ἀρχιγένης ἑτέρως, οὐ μὴν ἀλλὰ κἀκεῖνος ὡδὶ γράφει· ὥστ' ἐκ τοῦ καθ' ἕνα χωρισμοῦ γίνεσθαι καθ' ἑαυτήν τις οὖσα ἡ σφοδρότης, ὁ τόνος, ὡς εἶπον, τῆς τῶν ἀρτηριῶν κινήσεως. εἶθ' ἑξῆς· φαίνεται δὲ καθ' ὅλην τὴν διαστολὴν τὸ τελανὸν τῆς ὁρμῆς, καθ' ὃ καὶ εἰ προσπιέσαιμεν τοὺς δακτύλους, στερεωτέρα

et convenit inter multos. Mox fubjicit: *Contraria intelliguntur de languido, nam debiliter et languide occurrit tactui.* Haec recte quidem Agathinus, fed nihil ab iis, quae de pleno et vacuo funt dicta differunt, nam contentum perpetuo ictum effe, nihil eft aliud, ac violenter ferire tactum et fortiter evertere: quorum illud quidem de pleno, hoc vero vehemente, dictum eft. Jam etiam in renifu evanescere, idem eft, quod debiliter et languide occurrere tactui: quorum etiam illud de vacuo, hoc de languido eft dictum. Atque Agathinus in hunc modum expofuit affectus tactus in vehementibus pulfibus et languidis. Archigenes alio modo, nam fic fcribit: *Itaque fi per fe aeftimetur, manifefte apparet fua fponte vehementiam contentionem effe, ut diximus, arteriarum motus.* Inde addit: Apparet porro per totam diftentionem firmitas impetus, ex qua, arteriam fi comprimamus digitis, firmior occurrit ictus. Haec quidem fic funt aperta, quae dixit de affectibus tactus: in quibus nullum habebimus proprium affectum monftrare

ὑποπίπτει ἡ πληγή. ταῦτα μὲν οὕτω φανερὰ τὰ περὶ τῶν τῆς ἀφῆς παθῶν, ἐν οἷς οὐχ ἕξομεν ἴδιον πάθος εἰπεῖν τῆς πληρότητος, εἰ μή τι ἄρα, καθάπερ τινὸς τῶν νῦν ἔλεγον, ὅταν ἐπὶ πλεῖστον ὁ σφυγμὸς ἐξαιρόμενος ἀντιβατικὸς εἴη. τοῦτο δὲ δύο ἐστὶν εἴδη σφυγμῶν, οὐχ ἕν. τὸ γὰρ ἐπιπλεῖστον ἐξαίρεσθαι κατὰ μὲν τὰς τρεῖς διαστάσεις γινόμενον μέγαν ποιεῖ τὸν σφυγμὸν, κατὰ δὲ μίαν μόνην ἢ μακρὸν, ἢ πλατὺν, ἢ ὑψηλόν. τὸ δ᾽ ἀντιβατικὸν εἶναι πάλιν ταὐτόν ἐστι τῷ σφοδρῷ. εἰ δέ τις τὸν μέγαν ἅμα καὶ σφοδρὸν ἑνὶ καλεῖν ὀνόματι τῷ τοῦ πλήρους βούλεται, καλείτω. περὶ γὰρ ὀνόματος οὐ διαφερόμεθα. γιγνωσκέτω δ᾽ οὐδεμίαν εἰσάγων ἔξωθεν παρὰ τὰς εἰρημένας διαφορὰς κατὰ νῦν, δύο δὲ καὶ τρεῖς ἐξ αὐτῶν λαμβάνων ἰδίοις ὀνόμασι προσαγορεύειν εἰ βούλοιτο, φθόνος οὐδὲ εἷς. ἀλλ᾽ ἡμῖν οὐ περὶ ὀνομάτων ἡ ζήτησις, ἀλλὰ περὶ πραγμάτων, ἐν οἷς εἴ τι πλέον ἔχοι τις λέγειν, ἡδέως μαθησόμεθα. τὸ μὲν γὰρ ἐπινοεῖσθαί τινα διαφορὰν σφυγμῶν κατὰ τὸ τῆς ἀρτηρίας ἔγχυμα, καλοῦσι γὰρ οὕτως τὸ περιεχόμενον ὑγρὸν ἐν αὐτῇ, κἀγὼ σύμφημι, καὶ δύναμαι νοῆσαι ποτὲ μὲν παχύτερον,

plenitudinis, nisi sane, ut quidam dixerunt hujus aetatis homines, quum plurimum pulsus elevatus renitatur. Atqui hae duae sunt species pulsuum, non una, nam quum plurimum attollitur, si quidem in tribus dimensionibus fiat, magnum efficit pulsum, in una duntaxat, vel longum, vel latum, vel altum; nam reniti idem est quod vehementem esse. Quod si quis magnum simul et vehementem volet uno nomine vocari, plene vocet, licet, de nomine enim non contendimus, tantum sciat, nihil se novae differentiae alicunde praeter commemoratas in praesenti adducere. Nam si duas, aut tres earum accipiat differentias, quas peculiaribus nominibus appellet, nulla invidia est: verum de nominibus non agimus, sed de rebus: de quibus, si quis habeat, quod praeter quae nos diximus afferat, libenter didicerimus. Excogitare vero differentiam quandam pulsuum ex arteriae infusione (sic enim quod in ea continetur humoris appellant) equidem comprobo: ac intelligere eam possum modo crassio-

ποτὲ δὲ λεπτότερον αὐτό. καὶ αὖθις γλισχρότερον, ἢ ὑδατῶδες, ἢ πλέον, ἢ ἔλαττον, ἢ ἀερωδέστερον, ἢ ὅπως οὖν ἄλλως ἔχον. καὶ γὰρ πνεῦμα μόνον ἐν αὐταῖς περιεχόμενον νοῶ, καὶ τοῦτο ποτὲ μὲν (81) καθαρὸν καὶ αἰθερῶδες, ποτὲ δ᾽ ἀχλυῶδές τε καὶ ὁμιχλῶδες. ἀλλ᾽ οὐ τοῦτο νῦν πρόκειται τῶν ἐνδεχομένων ἔννοιαν λαβεῖν, ἀλλὰ περὶ τῆς ὑπάρξεως αὐτῶν ζητεῖν. τὸ μὲν γὰρ ἐπινοεῖν τἀναντία δυνατὸν, τὸ δ᾽ ὑπάρχειν ἅμα ἀδύνατον. αὐτίκα γέ τοι καὶ περιέχειν νοοῦμεν τὰς ἀρτηρίας αἷμα, καὶ μὴ περιέχειν. ἢ οὐκ ἂν ἐζητοῦμεν ὑπὲρ οὗ μηδόλως ἐνενοοῦμεν. ἀλλ᾽ οὐ ταύτης ἐστὶν ἐν οἷς ζητοῦμεν τὸ προκείμενον, εἰς ἔννοιαν ἐλθεῖν αὐτῶν, ἀλλ᾽ ἀποδεῖξαι τὴν ὕπαρξιν· οὐδεὶς γάρ ἐστιν, ὃς οὐκ ἂν ἐπινοήσειεν ἐν ταῖς ἀρτηρίαις αἷμα περιεχόμενον, ἀλλ᾽ εἰ κατ᾽ ἀλήθειαν ἐν τῷ κατὰ φύσιν ἔχειν περιέχεται, ζητοῦμεν. καὶ πολλὰ περὶ αὐτοῦ λέγοντας οἶδα τοὺς περὶ τὸν Ἀρχιγένην. καίτοι γ᾽ εἴπερ αἰσθήσει διαγνωστὸν ἦν, μάτην πολλὰ ληροῦσιν, ἐὸν εἰπεῖν ἄντικρυς ψεύδεσθαι τὸν Ἐρασίστρατον, ἃ διὰ τῶν αἰσθήσεων ἐμάθομεν,

rem, modo tenuiorem et hercle etiam lentiorem, vel aquofam, vel copiofiorem, vel pauciorem, vel aëream, vel aliam, qualisqualis fit: liquidem fpiritum cogito tantum eas continere, atque hunc interim purum et ferenum, interim caliginofum nebulofumque. Sed hoc non eft inftituti noftri, ut animo concipiamus, quae effe poffunt, imo de effentia agimus eorum, quum vel contraria liceat concipere; ut fimul fint, fieri non poteft; ut fanguinem cogitemus continere arterias et non continere, neque enim quaeremus de eo, quod nequaquam concipimus animo. At non eft huic quaeftioni propofitum, ut in notionem eorum veniamus, fed effe monftremus: neque enim eft quisquam, quin in arteriis poffit intelligere fanguinem contineri; fed an re vera et quum naturae lege difpenfatur animal, fanguinem contineant, hoc quaerimus. Ac multa de eo fcio Archigenis fectatores verba facere; verum fi id poteft deprehendere fenfus, nequicquam multa nugantur, quum aperte mentiri dicere liceat Erafiftratum, qui id agit, ut quae fenfu didicimus, haec

ταῦτα μεταπείθειν ἡμᾶς λόγῳ πειρώμενον. ἀλλ᾽ οὐδεὶς ἐτόλμησεν εἰπεῖν αἰσθάνεσθαι τὴν ἁφὴν τῆς ἐν ταῖς ἀρτηρίαις ὑγρότητος. [160] ὡς ἐβουλόμην ἄν μοι τοῦτο παντὸς μᾶλλον ὑπάρχειν, ἵνα μὴ πράγματα ἔχοιμι, λόγῳ ζητῶν ἐξευρεῖν τὸ ἀληθές. τί ποτ᾽ οὖν ἐστιν ὃ βούλονται λέγειν, οὐ συνίημι. πλήρης ἐστὶν ὁ σφυγμὸς ὁ τὴν ὑπόπτωσιν τῆς ἀρτηρίας διασεσαγμένην ἐγχύλως ἐμφαίνων. πότερον, ὡς αὐτῆς τῆς ἁφῆς τοῦτο γνωρίσαι δυναμένης, ἢ ταύτης μὲν πασχούσης ὃ δὴ πάσχει, τοῦ πάθους δὲ ἀφορμὴν συλλογισμοῦ πρὸς ἔνδειξιν τῆς τῶν ἀρτηριῶν διαθέσεως παρασχεῖν δυναμένου; ἀλλ᾽ εἰ τοῦτο λέγουσιν, ὡς ἔστιν ἐκ τῶν κατὰ τὴν ἁφὴν παθῶν συλλογίσασθαί τι περὶ τῶν κατὰ τὰς ἀρτηρίας διαθέσεων, οὐκ ἀντιλέγω. καὶ γὰρ Πραξαγόρας αὐτὸ ποιεῖ καὶ Ἡρόφιλος καὶ πάντες ὀλίγου δεῖν, οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον, καὶ οἱ μὲν χεῖρον, οἱ δὲ βέλτιον. τὸ μέν γε τοῦ Πραξαγόρου καὶ θαυμαστὸν ἴσως σοι φανεῖται. μηδὲ γὰρ περιέχεσθαι λέγων ἐν ἀρτηρίαις τοὺς χυμούς, ὅμως ἐκ τῶν σφυγμῶν ἰδέας τινὰς αὐτῶν ἀναλογίζεσθαι πειρᾶται. ἀλλ᾽ οὐδαμῶς πάθος αἰσθήσεως ἐπεισάγει κοινόν. αἴνιγμα γὰρ ἂν οὕτως τὸν λόγον

fuadeat oratione aliter habere, verum nemo aufus eft confirmare pervenire ad tactum humorem, qui in arteriis eft. Sane nihil malim quam ut hoc obtinere poffem, ne, quum inveftigo ratione veritatem, negotium mihi exhiberetur; at quid tandem dicant, plane non intelligo. Plenus eft pulfus, qui occurfum arteriae humidae tumidum oftendit. Utrum ceu ipfe hoc tactus poffit cognoscere, an ceu hic patiatur quod patitur, affectus aperire viam poffit ftatus arteriae cognoscendi? At hoc fi dicat, ex affectibus tactus conjicere aliquid de ftatu arteriae licere, ego non contradico: etenim Praxagoras hoc et Herophilus facit, ac prope omnes partim plus, partim minus, partim etiam deterius, partim melius. Praxagoram autem forfitan etiam mireris, qui quum humores neget contineri in arteriis, ex pulfibus tamen colligere quasdam eorum fpecies molitur, at affectum fenfus haudquaquam communem adducit. Ea enim ratione aenigma

ποιήσειεν, ἵνα τις ἀναγινώσκων, εἶτα μὴ νοῶν, οἴηταί τι βύθιον ἐγκεκρύφθαι τῷ λόγῳ καὶ θαυμαστὸν, εἶτα κατατρίβηται δηλαδὴ, ζητῶν μὲν διὰ παντὸς, εὑρίσκων δ᾽ οὐδέν. πῶς γὰρ ἂν εὕροι τὸ μηδ᾽ ὅλως φαινόμενον; ἄνθρωπε μὴ μόνον, εἰ βούλει, χυμῶν ἰδέας διαγίνωσκε ταῖς τῶν σφυγμῶν διαφοραῖς, ἀλλὰ καὶ τὰ τῆς ψυχῆς ἤθη, καθάπερ Ἱπποκράτης ἐπιχειρεῖ. μόνον μοι φύλαττε τὰ τῆς αἰσθήσεως πάθη, καὶ μήθ᾽ ἃ μηδ᾽ ὅλως πάσχει καταψεύδεσθαι τόλμα μήτ᾽ ἐξ ἑνὸς παθήματος ἄλλοτ᾽ ἀλλοῖον σφυγμὸν γνωρίζειν ἐπαγγέλλου. ἔστι τις σφυγμὸς πολὺ τὸ ἀντιβατικὸν ἔχων, ὥστ᾽ εἰ καὶ θλίβοις τὴν ἀρτηρίαν, μὴ κινηθῆναι πρὸς τῆς χειρός. ἕνα τοῦτον φύλαττε, καλῶν ὅ τι βούλει. τὸ δὲ νῦν μὲν αὐτὸν σφοδρὸν, νῦν δὲ πλήρη καλεῖν, αὖθις δὲ ἴσως ἄλλο τι, καὶ τῷ πλήθει τῶν ὀνομάτων οἴεσθαι πολλὰ ποιεῖν πράγματα, δεινῶς ἄτοπον. ἔχω κᾀγὼ γνωρίσματα διὰ σφυγμῶν καὶ χυμῶν ἰδέας καὶ παθῶν ψυχῆς, ἀλλ᾽ ἀφ᾽ ὧν εἶπον ἔμπροσθεν αἰσθητῶν παθῶν ἅπαντα διαγινώσκειν πειρῶμαι, μηδαμοῦ μήτ᾽ ἀποκεκρημνισμένον

faciat orationem fuam, ut qui legat nec intelligat, profundi aliquid verbis et mirandi arbitretur fubeffe, ibique aetatem conterat, nimirum perpetuo quaerendo, nec tamen quicquam inveniendo: nam quomodo inveniatur quod nusquam exiftit? Quin tu non tantum humorum fpecies cedo ex pulfuum differentiis discerne, fed animi etiam mores, ut Hippocrates conatur; tantum quae fenfus patitur mihi serva; nec quae haudquaquam patitur, falfo aude ei tribuere, neque ex uno affectu diverfos pulfus jacta te cognoscere. Eft quidam pulfus, qui multum renititur; adeo ut fi premas etiam arteriam, non vincatur a manu: hunc retine, ac quovis voca nomine, nam fi modo vehementem, modo plenum vocas, interdum alio nomine, exiftimasque numero nominum multas te res efficere, quis te feret? Habeo figna ego etiam ex pulfibus de fpecie humorum et de affectibus animi, tamen ex fenfibilibus, quos nuper commemoravi, affectibus omnia conor dignoscere: nec dico usquam pul-

σφυγμὸν λέγων, μήτε κοῦφον, μήτε βαρὺν, μήτε ὑγροφανῆ, μήτε πνευματώδη, μήτε διηγκωνισμένον, μήτε διατενῆ, μήτε μογυλὸν, ἢ στεγνὸν, ἢ κατανενυγμένον, ἢ περιλελωσμένον, ἢ ῥοπαλώδη, μήτ᾽ ἄλλο μηδὲν ὧν οὗτοι λογικαῖς ἐπινοίαις ἀναπλάττουσιν, οὐκ αἰσθητοῖς πάθεσι διαγινώσκουσιν. ὥστ᾽ ἤδη καὶ τὰ τῆς ἀκοῆς μόνης αἰσθητὰ μεταφέρει ἐπὶ τὴν ἁφήν. οὐδὲν γάρ ἐστιν ἄλλο τὸ τρίζοντας λέγειν καὶ ψοφοῦντας καὶ βομβοῦντας σφυγμοὺς, ἢ περὶ τῆς ἁφῆς ὡς ἀκοῆς διαλέγεσθαι. εἶθ᾽ οὕτως ἀπιστεῖσθαι ποιοῦσιν δηλαδὴ καὶ αὐτὰ τἀληθῆ. καί τις τῶν νῦν ἀνὴρ οὐχ ὁ φαυλότατος περιλάλησιν ἔφησεν εἶναι τὴν τῶν σφυγμῶν θεωρίαν, ὀρθότατα λέγων, τῷ πολλὰς μὲν φωνὰς φθέγγεσθαι, μηδὲν δὲ χρηστὸν διδάσκειν. ἀλλ᾽ εἰ μὴ κἂν ταῖς διαλέξεσιν, ἐν γοῦν τοῖς συγγράμμασιν ἐχρῆν αἰδεῖσθαι παθεῖν ὅπερ ὁ Κωμικὸς ἔφη,

Λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν.

εἶτα γράφεις μοι πλήρη σφυγμὸν, μηδ᾽ ἄχρι τοσούτου σαφῶς ἐξειπεῖν δυνάμενος ὃ φαντάζῃ, πότερα τοῦ χιτῶνος τῆς

fum praeruptum, gravem, lenem, aquofae fpeciei, flatuofum, *διηγκωνισμένον*, diftentum, *μογυλὸν*, ftrictum, *κατανενυγμένον*, *περιλελωσμένον*, *ῥοπαλώδη*, neque quicquam aliud, quae ifti ratione excogitant, nec percipiunt affectibus fenfibilibus. Adeo jam etiam quae fentit auditus tantum ad tactum traducunt: nam quid aliud, quum ftridentes dicant et ftrepentes et refonantes pulfus, quam de tactu ceu de auditu disputant? itaque efficiunt denique ut fides etiam veris detrahatur. Ac vir quidam hujus aetatis minime malus verbositatem dixit effe commentationem pulfuum, qui hercle dixit rectiffime, quod multa verba funditent, nec quicquam doceant commodi. Qui hoc fi non in disputationibus, in fcriptis certe debebant vitare, quod dixit Comicus,

Garrire doctus, verum ineptus dicere.

Et mihi plenum pulfum fcribis, nec tantillum mihi potes, ut exponas mentem tuam, tunicaene arteriae fignifices qua-

Ed. Chart. VIII. [160. 161.] Ed. Baf. III. (81.)

ἀρτηρίας ποιότητα δηλοῖς, ἢ τὸ ποσὸν τῆς ἐγκεχυμένης οὐσίας αὐταῖς, ἢ τὸ ποιὸν, ἢ τοῦ πνεύματος, ἢ καὶ τῆς θερμασίας δύναμίν τινα, ἢ ποιότητα. πάντα γὰρ ταῦτα δοκεῖς μοι λέγειν ἀδιαρθρώτως τε καὶ συγκεχυμένως. ἢ τί σοι βούλεται πληρότητος οἴνου μνημονεύειν ὡς ἐν παραδείγματι; τί δ' ἐν τῷ περὶ πληρότητος λόγῳ ποτὲ μὲν λέγειν αὐτοῖς ὀνόμασιν οὕτως, [161] ὥστε καὶ εἴ τις τὸν πλήρη μὴ κατ' οὐσίαν, ἀλλὰ κατὰ δύναμιν θεωρεῖν βούλοιτο. καὶ μετ' ὀλίγον· τάχα δὲ τὸ ἐν δυνάμει Καρῶδες ἐπὶ τῶν τοιούτων τὸν πλήρη σφυγμὸν χαρακτηρίζει, ὀνόματα ὄντα τῆς δυσκρασίας τοῦ πνεύματος. καὶ ὃν τρόπον διαγευσάμενοι οἴνου τὸν πλήρη διαγινώσκουσιν οἱ οἰνογεῦσται, οὕτω καὶ οἱ σφυγμῶν ἔμπειροι τὸν πλήρη κατὰ τὸ Καρῶδες τῆς δυνάμεως, κἂν μεσόκενος ᾖ, διαθεωροῦσιν. ἐν τούτοις μὲν ἐπὶ τὴν δύναμιν ἀναφέρων, τὸν πλήρη σφυγμὸν δοκεῖ μοι νοεῖν, ἐν αὐτοῖς δὲ τοῖς περὶ τῆς πληρότητος λόγοις πάνθ' ὁμοῦ συγχεῖ καὶ ταράττει. μάθοι δ' ἄν τις ἐξ αὐτῆς τῆς λέξεως ἐχούσης οὕτως· ὃν τρόπον δὲ καὶ ἐρίων ἡ σύστασις αὐτόθεν ἐστὶ ληπτὴ, καθ' ἣν

litatem, an quantitatem infufae in eas fubftantiae, an qualitatem fpiritus, an denique caloris facultatem quandam, vel qualitatem, nam omnia mihi videris dicere non diftribute et confufe. Aut quo plenitudinis mihi vini mentionem facis pro exemplo? Quid etiam in tractatu de plenitudine in haec verba loqueris? *Itaque fi plenum non fubftantia, fed facultate velis aeftimare.* Et paulo poft: *Sopor facultatis in talibus plenum pulfum defignat, quae nomina funt intemperiei fpiritus. Et quemadmodum, ut guftarunt vinum guftatores vini, plenum dignofcunt, ita pulfuum periti plenum ex facultatis fopore, etiam fi femivacuus fit, animadvertunt.* In his ad facultatem referre mihi pleni pulfus notionem videtur: tamen ubi de plenitudine agit, univerfa mihi videtur confundere et mifcere. Id adeo ex ejus verbis intelliges, quae haec funt: *Quemadmodum autem lanarum contextus inde perceptibilis eft, ex quo va-*

κενὰ καὶ πλήρη λέγεται, καὶ οἴνου ποιότης οὐ προστάττουσα, ἀλλ᾽ αὐτόθι παρακειμένη τῇ γλώττῃ διαγινώσκεται, καθ᾽ ἣν τοὺς πλήρεις καὶ κενοὺς οἴνους διαχωρίζομεν, καὶ τοῦ σώματος δ᾽ αὐτοῦ κενοῦ καὶ πλήρους ἀντιλαμβανόμεθα, ἔν τε τῷ κατὰ φύσιν τι ἔχειν ἄλλο ἔν τε ταῖς παρὰ φύσιν διαθέσεσιν, καὶ ἐπὶ φλεγμονῆς, οἰδήματος, ἐμφυσήματος, οὕτω καὶ τὰς ἀγυμνάστους σάρκας τῶν γεγυμνασμένων διακρίνομεν. ἐν ταύτῃ πάλιν τῇ ῥήσει τὰ μὲν περὶ τοῦ οἴνου λεγόμενα τῇ κατὰ τὴν δύναμιν πληρότητι δόξειεν ἂν ὁμολογεῖν, τὰ δὲ περὶ φλεγμονῆς καὶ οἰδήματος τῇ κατὰ τὸ σῶμα τῆς ἀρτηρίας αὐτό· τὸ δὲ τῶν ἐρίων παράδειγμα ἐγὼ μὲν οὐδ᾽ ἐννοῶ τὴν ἀρχήν. οὐδὲ γὰρ ἤκουσά τινος λέγοντος πλῆρες καὶ κενὸν ἔριον, ἵν᾽ ἔρωμαι πῶς λέγει. καίτοι τὰ περὶ φλεγμονῆς καὶ οἰδήματος οὐδ᾽ αὐτὰ πρός τινος ἤκουσα λεγόμενα, πλὴν Ἀρχιγένους. ἀλλ᾽ ἐν τούτοις ἐπινοῆσαι δύναμαι, τί βούλεται δηλοῦν αὐτὸ τὸ πλῆρες ὄνομα. τὸ γὰρ ἐναντίον τῷ χαύνῳ πλῆρες καλεῖται. κενὰ δέ τινα καὶ πλήρη σώματα καὶ τὰ τῶν ἀνδρα-

cuae et plenae dicuntur et vini qualitas non pungens, fed illinc admota lingua dignoscitur, qua plena et vacua vina diftinguimus et ipfum etiam corpus apprehendimus, tum vacuum, tum plenum, tam in eo, quod naturaliter alius aliud habeat, quam in morbofis affectibus, ut in inflammatione, oedemate, inflatione, ita etiam inexercitatas carnes discernimus ab exercitatis. Rurfus in hac oratione quae de vino dicuntur convenire cum plenitudine facultatis videantur et quae de inflammatione et oedemate cum plenitudine, quae in ipfo eft corpore arteriae. At vero exemplum lanarum omnino non intelligo, neminem enim ego unquam audivi plenam et vacuam lanam qui diceret, ut rogarem, quemadmodum diceret, imo nec de inflammatione et oedemate ex quoquam audivi nifi ex Archigene. Tamen ex his intelligere poffum, quid fignificare velit nomen, plenum; nam quod contrarium laxo eft vocatur plenum. Vacua vero quaedam et plena corpora mangones et

ποδοκαπήλων καὶ τῶν παιδοτριβῶν ἤκουσα λεγόντων, ἀλλ' οὐκ ἀνάλογον οἰδήμασι καὶ φλεγμοναῖς, ἀλλ' ὥσπερ καὶ κυριώτατα καὶ συνηθέστατα λέγεται, παραπλησίως τοῖς ἀγγείοις τοῖς πλήρεσί τε καὶ κενοῖς ὠνόμαζον, καὶ ἀπολαμβάνοντές γε τοῦ δέρματος ἐπεσπῶντο, διαγινώσκοντες, εἰ χαλαρὸν, ἢ ἐσφιγμένον εἴη, καὶ οὕτως ἐκ μὲν τοῦ χαλαροῦ τὸ κενὸν, ἐκ δὲ τοῦ περιτεταμένου τὸ πλῆρες ἐτεκμήραντο. καὶ πολλάκις γε τὸν ἰσχνότερον τοῦ ἁδροτέρου (82) πληρέστερον ἐκάλουν ἀπὸ τῆς τοιαύτης διαγνώσεως. ταῦτα ἀναγκαζόμεθα ληρεῖν διὰ τὸ τοὺς πρώτους τὰ μηδὲν πρὸς ἔπος ληρήσαντας. ὥσπερ γὰρ ὀνομάτων ἐξήγησιν γράφων ὁ Ἀρχιγένης, οὐ πράγματα διδάσκειν ἐπιχειρῶν, συνεφόρησεν εἰς ταὐτὸ πολλὰ παραδείγματά τε καὶ ὀνόματα, μήτε πάντα καθ' ἑνὸς πράγματος ἁρμόττειν δυνάμενα μήτε συνήθως τοῖς Ἕλλησιν ὠνομασμένα· παρά τισι γὰρ Ἑλλήνων ἢ οἶνον, ἢ ἔρια πλήρη καὶ κενὰ δυνατὸν εὑρεῖν γεγραμμένα. δεῖ τοίνυν ἡμᾶς ἐπί τε τοὺς τῶν οἴνων καπήλους καὶ τὰς γυναῖκας ἰέναι, καὶ πυνθάνεσθαι, τί βούλονται δηλοῦν, καὶ ποῦ τοῦτο χρήσιμον. ἐνῆν γὰρ, εἴπερ ὅλως ἐπεθύμει χρήσασθαι τῷ τοῦ πλήρους ὀνόματι, μηνύσαντα τὸ

paedotribas audivi dicere; verum non in modum oedematum et inflammationum, fed ut in primis proprie et ufitate dicuntur, perinde ac vafa plena vacuaque appellabant, ac cutem prehendentes revellebant, ut viderent, remiffa effet, an contenta: itaque ex laxa vacuum, ex contenta plenum conjiciebant, et vero eum etiam, qui gracilior craffiore effet, ex iis indiciis pleniorem vocabant. Has nugas cogimur agere propter eos, qui primi ea quae nihil ad rem faciunt, funt nugati. Quafi enim nomina Archigenes interpretaretur et non declarare res inftitueret, multa coëgit in unum exempla et nomina, quae nec uni rei omnia congrua funt, nec ex ufu Graecorum appellata, nam apud quos Graecos aut vinum, aut lanas plenas et vacuas invenias fcriptum? Reftat ergo ut caupones mulieresque adeamus et ab iis quaeramus, quomodo interpretentur et quonam hoc conducat. Certe fi uti pleni nomine geftiebat, modo rem decla-

πρᾶγμα σαφῶς καθ' οὗ τοὔνομα ἐπέφερε, μηδὲν ἔτι παραδειγμάτων δεηθῆναι. ἀλλὰ περὶ τῆς κατὰ τοὔνομα χρήσεως κἀν τῷ τρίτῳ τῆς περὶ τῶν σφυγμῶν διαφορᾶς αὐτάρκως εἴρηται, καὶ νῦν ἐμνήσθημεν αὐτοῦ χάριν τοῦ δεῖξαι τὸ τεταραγμένον ἐν τῇ διδασκαλίᾳ τοῦ Ἀρχιγένους. οὐ γὰρ ἐχρῆν περιπλέκειν μακρὰ καὶ λαβεῖν ἀπέραντα, δι' ὀλίγων ἐπῶν δυναμένης τῆς διδασκαλίας ῥᾳδίως προϊέναι τόνδε τὸν τρόπον. εἰρήσεται γὰρ ὑφ' ἡμῶν διὰ βραχέων σαφῶς, ἃ διὰ πολλῶν ἐκεῖνος ἀσαφῶς ἔγραφεν.

Κεφ. γ'. [162] Ἔστι τι γένος σφυγμῶν αὐτὸ τὸ σῶμα τῆς ἀρτηρίας, ὡς ἔχει συστάσεως, ἐνδεικνύμενον· ἕτερον δὲ τῆς ἐν αὐτῇ περιεχομένης οὐσίας ποιότητα· καὶ τρίτον τοῦ συμφύτου πνεύματος αὐτῆς τὴν δύναμιν γνωρίζον. ὄνομα δὲ τοῖς τρισὶ τούτοις γένεσι πληρότης. ταῦτα γράψας, καὶ σαφῶς ἂν ἔγραψε καὶ ταχέως καὶ οὐκ ἂν νῦν ἡμᾶς ἐπέτριβε, ζητοῦντας πρότερον μὲν, τί λέγει, δεύτερον δὲ, εἰ κακῶς λέγει, ἀλλ' ἄντικρυς ἂν ὃ λέγει γνόντες ἐπὶ τὸ ζητεῖν εἰ κακῶς λέγει μεταβαίνομεν, ᾧδέ πως πάλιν καὶ

raſſet aperte, cui nomen tribueret, non eſſent neceſſaria exempla. Caeterum de nominis uſu etiam tertio in libro De pulſuum differentiis abunde tractavimus, ac nunc etiam meminimus, ut Archigenis in docendo confuſionem aperiremus. Neque enim multa complicare et infinita garrire oportebat, quum paucis verſiculis totum tradi facillime poſſet in hunc modum, nam quod obscure ille multis verbis conſcripſit, brevibus faciam ut plane explicem.

Cap. III. Genus eſt pulſuum, quod ipſum arteriae corpus quo ſtatu ſit, declarat, alterum quod qualitatem ſubſtantiae, quam contineat, ac tertium nativi ſpiritus ejus oſtendit facultatem. His tribus generibus plenitudo nomen eſt. Haec ſi ſcripſiſſet, et aperte ſcripſiſſet et compendioſe, nec hic nos enecaret, dum inquirimus, primum quid dicat, deinde ecquid erret: ſed mentem ejus aſſecuti plane, ad inveſtigandum nos, ecquid erret, conferremus, iterum in hunc

αὐτοὶ τὸν λόγον ποιούμενοι. τούτων τῶν τριῶν γενῶν, ὦ Ἀρχίγενες, τὸ μὲν πρῶτον ἔστι τε καὶ διαγινώσκεται τὸ κατὰ τὴν σύστασιν τῆς ἀρτηρίας, οὐ μὴν πληρότης γε πρὸς τῶν Ἑλλήνων ὀνομάζεται, καθάπερ ἐδείξαμεν ἐν τῷ τρίτῳ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς. ἐν ἐκείνοις γὰρ περὶ ὀνομάτων ἦν ἡμῖν ὁ λόγος, ἐνταυθοῖ δὲ, οὐ γὰρ ἔτι περὶ ὀνομάτων, ἀλλὰ περὶ διαγνώσεως αὐτῶν τῶν σφυγμῶν σκοπούμεθα, σὺ μὲν ὡς ἐθέλεις αὐτὸ κάλει, συγχωρήσεις δ᾽ ἡμῖν τοῖς τῶν Ἑλλήνων ὀνόμασι χρῆσθαι, σκληρόν τέ τινα σφυγμὸν ὀνομάζουσι καὶ μαλακὸν ἕτερον ἐναντίον αὐτῷ, καί τινα τρίτον ἀμφοῖν μεταξὺ τὸν σύμμετρόν τε καὶ κατὰ φύσιν ἐν τῇ συστάσει τοῦ τῆς ἀρτηρίας σώματος. τοῦτον οὖν ὃν σὺ μὲν πλήρη καλεῖς, ἐγὼ δὲ σκληρὸν, τίσιν αἰσθητοῖς παθήμασι τῆς ἁφῆς γνωριοῦμεν; ὅτι μὲν γὰρ ἀναγκαῖόν ἐστιν ἤτοι πεπιλημένον εἶναι τὸ σῶμα τῆς ἀρτηρίας, ἢ χαῦνον, οὐδεὶς ἀμφισβητεῖ. ἀλλ᾽ οὐ τοῦτο νῦν ἐστι τὸ προκείμενον, ἀλλὰ πῶς αὐτὸ διαγνωσόμεθα. τοῦτ᾽ οὖν ἡμᾶς δίδαξον σαφῶς, μὴ περιπλέκων. ἀλλ᾽ οὐ ποιεῖς, οὐ μὴν ἡμεῖς γέ σοι μεμφόμεθα τούτου χάριν, οὐδ᾽ ὅτι σαφῶς

modum rationem inftituentes. Horum trium generum, Archigenes, primum, quod in ftatu pofitum eft arteriae, tum eft, tum cognofcitur, verumtamen plenitudo a Graecis non appellatur: quod in tertio commentario de differentiis pulfuum demonftravimus. Illic enim egimus de nominibus, non de nominibus hoc loco, at de ipfis pulfibus dignofcendis, disceptamus, tu id pro tuo arbitrio voca. Dabis autem nobis, ut vocibus utamur Graecis, ac durum quendam pulfum appellemus, atque mollem alterum ei contrarium, praeterea tertium in medio utriusque pofitum, moderatum et nativum in ftatu corporis arteriae. Ergo quem plenum tu, ego durum voco, quibusnam affectibus tactus, qui fentiri poffint, deprehendemus? nam arteriae tunicam nemo ambigit quin neceffe fit vel contentam effe, vel remiffam, verum hoc non quaerimus, imo vero, quae ejus fit ratio dignoscendi. Hoc nos clare fac doceas nullis involucris utens. Atqui non facis, neque vero te eo accufamus, neque quia affici

ἐξηγησάμεθα τὸ πάθημα τῆς ἁφῆς· ἕτερον μὲν ἐπὶ τοῖς σφοδροῖς, ἕτερον δὲ ἐπὶ τούτοις τοῖς σφυγμοῖς γιγνόμενον, ἀγαλλόμεθα. δι᾽ ὑμᾶς γὰρ τοὺς πρεσβυτέρους, τοὺς περὶ τούτων ἐπιμελῶς ζητήσαντας, ἐξεύρηταί τι καὶ πρὸς ἡμῶν χρηστὸν, οὐκ ἂν ἄλλως εὑρεθὲν, εἰ μὴ πρὸς ὑμῶν τῶν προπονησάντων ἐν αὐτοῖς καὶ προκαμόντων ἐγυμνάσθημεν. τοῦτο μὲν δὴ καταλελείφθω τῷ θλιπτικῷ τῆς ἁφῆς παθήματι, διαγινωσκόμενόν τε καὶ διακρινόμενον τοῦ σφοδροῦ. τὸ γὰρ ἀνατρεπτικόν τε καὶ ἀντιβατικὸν ἀπεδώκαμεν ἐκείνῳ. ζητήσωμεν δ᾽ ἑξῆς ἐκείνῳ τὰ λοιπὰ δύο γένη τῆς πληρότητος, καὶ πρότερόν γε τὸ κατ᾽ αὐτὸ τὸ πνεῦμα νοούμενον, ὥς φατε, τί δή ποτ᾽ ἐστὶν, οὐδ᾽ αὐτὸ μὲν οἷόν τε ἐννοῆσαι, καθάπερ καὶ τοῦτο ἐν τῷ τρίτῳ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς ἐδείξαμεν. ἀλλ᾽ ἐπειδὴ νῦν συντέμνειν βούλομαι τὸν λόγον ἐν ἐκείνοις διὰ μακροτέρων εἰρημένον, ἤτοι τὸ τῆς θερμασίας πυρῶδες, ἢ τὸν τόνον αὐτοῦ λέγετε. ταῦτα γὰρ ἐκ τῶν ῥήσεων ὑμῶν ὥσπερ Λοξίου χρησμῶν ἐξευρεῖν ἠδυνήθημεν. νῦν οὖν ἤδη καιρὸς διδάσκειν αὐτῶν τὰ γνωρίσματα. τοῦ μὲν δὴ τόνου μεμαθήκαμέν τε καὶ χάριν ἴσμεν· ἀντιβαίνει μὲν γὰρ

aperte tactum explicavimus, aliter in vehementibus, aliter hisce in pulfibus, ideo jactamus. Nam vobis fenioribus, qui haec magna cura iuveftigaftis, referimus acceptum, fi quid nos invenimus boni, non inventuri certe, nifi ab iis, qui ante nos in iis operam pofuerunt et infudarunt, fuiffemus exercitati. Quare hoc relinquamus, quod affectu tactus, puta compreffione, discernitur et fecluditur a vehemente: fubvertendi enim vim illi et renifum tribuimus. Jam quaeramus fecundum illud de duobus plenitudinis reliquis generibus, quorum prius, quod de ipfo fpiritu, ut vultis, intelligitur, quidnam fit, nec hoc poffumus intelligere, ut etiam tertio in libro De pulfuum differentiis demonftravimus. Verum (quia illic quae fumus latius profecuti, hic brevibus volo perftringere) aut caloris ardorem, aut contentionem ejus dicitis: haec enim ex verbis veftris ut ex ambiguis Apollinis oraculis eruere potuimus: jam horum reliquum eft ut figna tradamus Contentionis quidem jam in-

θλιβόντων, ὥς φατε, καὶ ἀνατρέπει τὴν ἁφήν· τοῦ δὲ τῆς θερμασίας, τοῦ πυρώδους τούτου, μόνου δεόμεθα μαθεῖν, ἔστ᾽ ἄν γε τὴν ἁφὴν αἰσθανομένην ἔχωμεν. οὐ γὰρ ἀγνοήσομεν, οἶμαι, ψαύσαντες, οὐδεμίαν ἐν θερμότητι διαφοράν. ἐκεῖνο δὲ θαυμάζομεν ἡμῶν, εἰ τὰ τοιαῦτα ἐν ταῖς τῶν σφυγμῶν διαφοραῖς, ἀλλ᾽ οὐκ ἐν ταῖς τῶν πυρετῶν καταριθμεῖσθε. ἀλλ᾽ ἔα, τό γε νῦν περὶ τούτου μηδὲν διαφερώμεθα, [163] τοῦ δὲ λοιποῦ γένους τῆς πληρότητος ἐπισκεψώμεθα τὴν διάγνωσιν. οὐδὲ γὰρ ἐν τούτῳ διὰ τῆς ἁφῆς οὐδὲν ἔχω συμβαλεῖν, οὔτ᾽ εἰ πνεῦμα μόνον ἐν ταῖς ἀρτηρίαις οὔτ᾽ εἰ καὶ χυμοὶ περιέχονταί τινες. ἀλλ᾽ οὐδὲ δύνασθε, ὡς καὶ πρόσθεν ἔφην, ἐπειδὰν πρὸς Ἐρασίστρατον, ἢ Πραξαγόραν ἀντιλέγητε περὶ τοῦ τὰς ἀρτηρίας αἷμα περιέχειν, τὴν αἴσθησιν ἐπικαλεῖσθαι μάρτυρα, πάντως ἂν αὐτὸ ποιήσοντες, εἴπερ ἐναργὲς ἦν. ἀλλ᾽ οὐδ᾽ αὐτῶν ἐκείνων οὐδεὶς ἐπὶ τὴν αἴσθησιν μάρτυρα κατέφυγεν, ὡς εἶεν αἱ ἀρτηρίαι χυμῶν μὲν καθαραὶ, πνεύματος δ᾽ ὄργανα μόνου δεόντως. ἁφὴ γὰρ οὔτ᾽ εἰ πνεῦμα περιέχεται μόνον ὑπὸ τῶν ἀρτηριῶν οὔτ᾽ εἰ

dicia didicimus, gratiasque agimus, fcilicet renititur prementibus, ut confirmatis, tactumque fummovet. Ardorem autem hunc caloris nihil requirimus, nifi ut doceamur, quousque tactus nofter animadvertat, neque fane ulla tactum noftrum latebit differentia caloris. At non poffumus hic nos non mirari, fi in pulfuum differentia ea et non in febrium aggeretis. At hoc mittamus in praefentia, nec de eo contendamus. Reliquum genus quemadmodum dignoscatur attendamus plenitudinis. Hic tactu non habeo quid conjiciam, nec an fpiritus arteriis folus, nec an etiam quidam humores contineantur, imo non valetis, ut demonftravi antea, fi quando Erafiftratum refellitis, vel Praxagoram, quum afferitis fanguinem in arteriis effe, fenfum appellare teftem: haudquaquam id praetermiffuri, fi confpicuum fit. Nec vero illorum etiam ad fenfum quisquam confugit teftem, ut confirmaret arterias effe humoribus vacuas, fpiritusque tantum inftrumenta: et recte fane, quippe tactus fpiritus ne in arteriis tantum fit, an fimul humores aliqui, non valet

Ed. Chart. VIII. [163.] Ed. Baſ. III. (82.)

καὶ χυμοί τινες ἐνδείξασθαι δύναται. καταλιπόντες οὖν ἤδη τὴν ματαίαν αὐτῶν φλυαρίαν αὐτοὶ κατὰ μόνας εἴπωμεν, ὡς οὐκ ἔστιν ἅμα οὐδὲν τῶν αἰσθήσεων διαγνῶναι τὸ περιεχόμενον ἐν ταῖς ἀρτηρίαις αἷμα πόσον, εἶθ᾽ ὁποῖόν τί ἐστι. πρῶτον μὲν γὰρ ἀναμνήσομεν ἡμᾶς αὐτοὺς, ὡς οὐδὲ κατὰ τοὺς ὑδέρους ὑγρὸν, ἢ πνεῦμα περιεχόμενον ἐν τοῖς κατὰ γαστέρα χωρίοις ἁφῇ διαγνῶναι δυνάμεθα, μὴ βοθρουμένου γε πιεζόντων τοῦ δέρματος. ὥσπερ οὖν οὐδὲ φαίνεται βοθρούμενον πολλάκις ἔν τε τοῖς ἀσκίταις τοῖς ἀκριβέσι καὶ τοῖς τυμπανίταις καλουμένοις ὑδέροις, ἀλλ᾽ ἀναγκαζόμεθα πρὸς τὴν ἀκριβῆ διάγνωσιν πρῶτον μὲν κρούειν τὸ ἐπιγάστριον, ἵνα γνῶμεν εἰ οἷον τύμπανον ἐπηχεῖ, δεύτερον δὲ καὶ μετασχηματίζειν καὶ μεταβάλλειν ἐπὶ τὰς πλευρὰς τὸν ἄνθρωπον, ὑπὲρ τοῦ κλύδωνος αἰσθέσθαι τινός. καὶ ἡμῖν ὁ μὲν τυμπανώδης ψόφος πνεύματος σημεῖόν ἐστιν, ὁ δὲ κλύδων ὑγρότητος, τῇ δ᾽ ἁφῇ μόνῃ κατὰ τὴν ἐπιβολὴν τὸ τεταμένον ἐπιγάστριον οὐκ ἔστι διαγνῶναι, πότερον ἐξ ἀέρος, ἢ ὕδατος τοῦτο πέπονθε. καίτοι συντέτηκεν ἐπὶ τούτων τό τε δέρμα καὶ πᾶν εἴ τι σαρκῶδες ἐπὶ τῷ περιτοναίῳ καὶ

declarare. Itaque inanibus nugis horum repudiatis, ipſi dicamus apud nos ſoli, nullum prorſus ſenſum eſſe, quo dignoscas, in arteriis contentus ſanguis quam ſit multus et qualis. Ac primo loco nobiscum repetemus non poſſe in hydrope nos, humor ſit, an ſpiritus, qui in regionibus ventris continetur, tactu explorare, niſi cavata compreſſione cute. Et vero frequenter non cavari conſpicias in ſinceris ascitis et iis quos tympanites vocant: ſed ad veram notitiam comparandam pulſare cogimur abdomen, ut attendamus, ſi veluti tympanum reſonet, ſecundo loco aliter componere hominem et in latera convertere, quo ſluctuationem aliquam exaudiamus. Ac nobis ſtrepitus in modum tympani ſpiritum annuntiat, ſluctuatio humorem, uno vero admoto tactu diſtentum abdomen non deprehendas, ex aëre ſit, an ex aqua, tametſi cutis his et quicquid carnoſum erat ſecundum

πολύδερμον ἦν, διά τε τὴν λεπτότητα τῶν περικειμένων καὶ τὸ πλῆθος περιεχομένης οὐσίας τεκμαίρεσθαι, διά τε ἁφῆς, εἴθ᾽ ὑγρὸν εἴτε πνεῦμα τὸ περιεχόμενόν ἐστιν, ἀλλ᾽ ὅμως οὐδ᾽ ἐπὶ τούτων ἀσφαλὲς ἁφῇ μόνῃ πιστεύειν. πῶς οὖν ἐπὶ τῆς ἀρτηρίας, οὕτω μὲν παχὺν ἐχούσης χιτῶνα, ὡς ἑξαπλάσιον εἶναι τοῦ περιτοναίου, δέρματος δ᾽ ἱκανῶς παχέος ἐπικειμένου πολλάκις, οὐ γὰρ δὴ πάντας γε τοὺς νοσοῦντας φθινώδεις ἐπισκοπούμεθα, καὶ (83) τρίτου προσιόντος τοῦ τῆς κινήσεως, οὐ μικρὰν οὐδ᾽ αὐτοῦ δύναμιν εἰς τὸ συγχέειν μὲν τὴν διάγνωσιν ἔχοντος, εἰσόμεθά τι διὰ τῆς ἁφῆς ἀκριβές; καίτοι πρὸς τὸ συγχυθῆναι περὶ τὸ ὑποκείμενον ἤρκει τὸ διὰ παντὸς ἐν κινήσει τὴν ἀρτηρίαν εἶναι. πόθεν οὖν γνῶναι δυνατὸν ἢ ποσότητα τοῦ περιεχομένου χυμοῦ κατὰ τὰς ἀρτηρίας, ἢ ποιότητα; τῷ μὲν γὰρ μεγέθει τοῦ σφυγμοῦ τὸ πλῆθος τῆς περιεχομένης οὐσίας γνωρίζομεν, ἀλλ᾽ οὐ πάντως ὑγρὸν εἶναι χυμὸν αὐτὴν ἐντεῦθεν διαγινώσκομεν, τῇ δὲ σκληρότητι τὴν σύστασιν τοῦ τῆς ἀρτηρίας σώματος. τὸ δ᾽ ἀντιβατικὸν

peritonaeum contabuit, ac multo fuiſſet facilius, tum ob circumjectarum partium extenuationem, tum ob materiae contentae copiam, conjectari tactu, utrum humor, an ſpiritus ſit id, quod in eis continetur: attamen hic etiam ſoli tactui parum tuto ſidem habeas. Quomodo igitur in arteria tam craſſa munita tunica, ut peritonaei ſit ſextupla, et quam cutis ſaepe tegat bene craſſa? nec enim aegroti, quos viſimus, ſemper tabidi ſunt. Quum praeterea tertius accedat motus, qui etiam non parum ad confundendam notitiam valeat, quid tandem tactu comperire exacte poterimus? et ſi ad conturbandam notitiam ejus, quod continetur, ſatis erat arteriae perpetuus motus, quo ergo licebit ſigno, aut quantitatem contenti in arteriis humoris, aut qualitatem cognoscere? nam magnitudine quidem pulſus contenti humoris cognoscimus copiam, ſed non perpetuo hinc nobis humidum eſſe ipſum humorem conſtat, duritie vero ſtatum

πληγῆς, οὐ πάχους οὐσίας σημεῖον, ἀλλὰ τῆς ῥώμης τοῦ ζωτικοῦ τόνου. καὶ γὰρ ἂν καὶ γελοῖον εἴη, παχεῖαν οὕτως ἐν ταῖς κοιλότησι τῶν ἀρτηριῶν ὑπολαμβάνειν ὑγρότητα περιέχεσθαί ποτε, ὡς θλιβόντων ἀντιβαίνειν. εἰ γὰρ καὶ βόρβορος εἴη, ῥαδίως εἴξει θλιβόντων, εἰ μή τι λίθους τε καὶ ψάμμον ἐν ταῖς ἀρτηρίαις περιέχεσθαι νομίζουσιν. οὕτω γὰρ μόνως τὸ πάχος τῆς οὐσίας ἀντιβήσεται θλίβουσιν, ἄλλως δὲ οὐδαμῶς. ἐβουλόμην δ' ἂν ἀσκὸν πληρώσας ὑγρᾶς οὐσίας τοῖς οὕτως ἀκριβοῦν ἐπαγγελλομένοις τὴν ἁφὴν, ὡς τὴν ἀλήθειαν αὐτὴν ὑπερφθέγγεσθαι παρασχεῖν, εἰς διάγνωσιν ὁποία τίς ἐστιν ἡ περιεχομένη κατ' αὐτὸν οὐσία. [164] μόνον γὰρ οὐκ ἂν διακρίναιεν ὕδωρ λεπτὸν οἴνου παχέος. ἀλλ' οὐδ' εἰ τῶν ἀσκῶν ὁ μὲν εἴη πίττης ὑγρᾶς πλέων, ὁ δὲ ἀέρος, οὐδ' οὕτως διαγνώσονται. μόνοι γὰρ οἱ κλύδωνές τε καὶ ψόφοι δυνατοὶ διακρίνειν εἰσὶν, ὁποῖόν τι τὸ περιεχόμενόν ἐστιν, ἡ δὲ διὰ τῆς ἁφῆς αἴσθησις ὁμοία κατὰ πᾶν. οὐ μὴν οὐδ' οἱ κλύδωνες τὰς ποιότητας τῶν ὑγρῶν οἷοί τε δηλοῦν, ἀλλ' αὐτὸ τοῦτο μό-

arteriae corporis renifus ictus non craffitiem fubftantiae fignificat, fed robur vitalis contentionis. Nam ridiculum fit, fi adeo continere unquam craffum adducaris humorem arteriarum capacitatem, ut renitatur compreffioni, imo fi vel fit lutum, facile cedat prementi, nifi lapides in arteriis et arenam putamus contineri, nam ita renitetur denique materiae craffities prementibus, aliter nullo modo. Equidem libenter utrem repletum humida materia his, qui ita elimatum tactum jactabant, ut verbis veritatem fuperent, explorandum offerrem, quae infit in illo materia, nam ne aquam quidem tenuem a craffo vino discernant. Neque vero fi unus uter picis humidae fit plenus, alter aëre, fic etiam deprehendant: folae enim fluctuationes et ftrepitus facultatem habent discernendi, quid fit, quod contineatur: fenfus autem tactus usquequaque manet fimilis. Quin qualitates humorum ne fluctuationes quidem annunciant, verum

νον τὸ κοινὸν, ὅτι ὑγρὸν τὸ περιεχόμενον, καὶ οὐ πνεῦμα. καίτοι πῶς ἄν τις πιστεύσειε τοῖς δι᾽ ἑνὸς χιτῶνος τοῦ κατὰ τὸν ἀσκὸν μὴ δυναμένοις διαγνῶναι τοῦ περιεχομένου τὴν ποιότητα δυνατοῖς εἶναι διά τε δέρματος οὐχ ἧττον ἢ κατ᾽ ἀσκὸν παχέος καὶ ὑμένων τοὐλάχιστον δυοῖν καὶ χιτώνων ἐξ ἀνάγκης δυοῖν τὴν ἐντὸς τῆς ἀρτηρίας διαγνῶναι ποιότητα; ταῦτ᾽ οὖν αὐτοὶ μὲν λεγέτωσαν, Ἡροφίλου δὲ μὴ καταψευδέσθωσαν, μηδὲ δυσωπείτωσαν ὀνόματι σεμνῷ τοὺς ἀμαθεῖς τῶν Ἡροφίλου γραμμάτων, μηδ᾽ ἐκ τούτου τὴν πίστιν τῷ λόγῳ ποριζέσθωσαν. αἰσχρὸν γὰρ ἐπὶ μαρτύρων ἀγωνίζεσθαι, καθάπερ ἐν δικαστηρίῳ. εἰ λέγειν ἔχεις εἰς ἀπόδειξιν, ἡδέως ἀκουσόμεθά σου. τὸ δ᾽ Ἡρόφιλόν τε καὶ Ἡροφιλείους καλεῖν μάρτυρας, ἀποδιδράσκοντός ἐστι τὸν ἐξ εὐθείας ἀγῶνα, καὶ λόγον καὶ διαδύσεις τε καὶ μηχανὰς ἐξευρίσκοντος ἐλέγχου φόβῳ. δῆλον, ὡς ἕνεκα τοῦ μὴ περὶ πράγματος ἔτι ζητεῖν, ἀλλ᾽ ἱστορίας οἱ κατεψευσμένοι μάρτυρες ἐπεισάγονται. λέγει τοῦθ᾽ Ἡρόφιλος; οὐ μὲν οὖν. ἀλλὰ οὐδὲ ψεύσῃ; δεῖξον πῶς ψεύδομαι, δεῖξον πῶς λέγει.

hoc ipſum duntaxat commune, humorem qui continetur, non ſpiritum eſſe. Et quomodo credas, qui nec valent per unicam utris tunicam dignoscere contenti qualitatem, per cutem poſſe non minus utre craſſam membranasque minimum binas ac per tunicas neceſſario duas humorem, qui in arteria eſt, dignoscere? Atque haec quidem illi dicant, nec Herophilum onerent mendaciis: neque gravi nomine rudes territent Herophili librorum, neque hinc fidem verbis parent, turpe enim eſt, quaſi ad ſubſellia teſtibus certare. Si demonſtrationem afferre potes, audiemus te libenter, Herophilum vero ejusque aſſeclas proferre teſtes declinantis eſt rectum certamen et cauſas, exceptiones artesque commentantis, ne detegaris. Conſtat non jam inquirendae rei gratia, ſed hiſtoriae ſupponi falſo citatos teſtes. Haecne dicit Herophilus? minime vero. At an ne mentiris tu? oſtende quemadmodum mentiar, oſtende quomodo dicat,

Ed. Chart. VIII. [164.] Ed. Baf. III. (83.)

κἄπειτα λέξις, εἰ οὕτως ἔτυχεν, ἀμφίβολος προβάλλεται καὶ πόλεμος ἀμφ᾽ αὐτῇ συνίσταται, τί ποθ᾽ ἡ λέξις λέγει καὶ τί ποτε βούλεται, καὶ κατὰ ῥητὸν ἤδη καὶ διάνοιαν ἐπιχειρήματα ῥητορικὰ καλινδεῖται, καὶ κατ᾽ ἀμφιβολίαν ἕτερα καὶ κατὰ συλλογισμοὺς νὴ Δία. ἀλλὰ καὶ πᾶσαν οὕτω μεταφέρουσιν τὴν ῥητορικὴν, ὥσπερ ὑπόθεσιν μελετῶντες, οὐ τὸ προκείμενον περαίνοντες. τί γὰρ οὐκ εἴρηται τοῖς νεωτέροις ἰατροῖς εἰς τὸ πρόβλημα, τοῖς μὲν κατασκευάζουσιν ἐπίστασθαι τὸν Ἡρόφιλον καὶ ταύτην τοῦ σφυγμοῦ τὴν διαφορὰν, τοῖς δ᾽ ὡς οὐκ οἶδεν ἐγχειροῦσι δεικνύειν; ἀταλαίπωροι μὲν οὖν ἑκάτεροι καὶ ἐλεεῖσθαι δίκαιοι, τῆς μὲν ἀμαθείας οἱ πρότεροι, τῆς φιλονεικίας δ᾽ οἱ δεύτεροι. ἀταλαίπωροι δὲ καὶ ἡμεῖς, οἷς γε οὐκ ἀρκεῖ τὴν ἰδίαν ἀσκεῖν θεωρίαν τῆς τέχνης, ἀλλὰ τί μὲν Ἡρόφιλος εἶπεν, τί δ᾽ Ἡρακλείδης τε καὶ Χρύσερμος καὶ Ἡγήτωρ οὐκ ὀρθῶς ἐξηγήσαντο, τί δ᾽ ἂν εἶπεν Ἀπολλώνιός τε καὶ Βακχεῖος καὶ Ἀριστόξενος εἰδέναι βουλόμεθα. καὶ εἰ μὴ βουλόμεθα δὲ, πάντως ἀναγκαζόμεθα καὶ διττῶν ἀπολαύομεν κακῶν, ὅτι τε φλυαροῦμεν

deinde dictio forte ambigua profertur, eoque bellum convertitur, quidnam significet dictio et quid velit. Ibique in dicto et sententia vertuntur epicheremata quaedam rhetorica, in amphibolologia item alia et hercle in syllogismis etiam alia, imo omnem sic rhetoricam huc transferunt, ut si argumentum aliquod meditarentur, nec propositum studerent efficere. Quid enim non adduxerunt recentiores medici ad quaestionem, quum quidam scire Herophilum defendant et hanc pulsus differentiam, contra quidam nescire conentur probare? Miseri certe utrique et misericordia digni, illi quod imperiti, hi quod sunt contentiosi. Non minus nos tamen infelices, quibus, si artis colamus commentationem, non est satis, sed et quid Herophilus, quid Heraclides et Chrysermus et Hegetor non probe exposuit, quid porro Apollonius dixit et Bacchius, Aristoxenusque volumus scire; et si deprecamur, compellimur plane, duobusque exercitamur malis, tum quod abs re nugamur, tum quod inviti hoc

Ed. Chart. VIII. [164. 165.] Ed. Baſ. III. (83.)

οὐδὲν δέον ὅτι τε μὴ βουλόμενοι τοῦτο δρῶμεν, ὥσπερ ἐκεῖνοι· νῦν γοῦν ἐμὲ δεῖ δυοῖν θάτερον, ἢ δοκεῖν Ἀρχιγένει τε καὶ Ἡροφίλῳ καὶ μυρίοις ἄλλοις τἀναντία λέγειν, ἢ δεικνύειν, ὅτι καθ' Ἡρόφιλον οὐδείς ἐστι πλήρης σφυγμός. εἰ μὲν οὖν ὡς ἔργον αὐτὸ προὐχειρισάμην, ἦν ἂν ὁμοίως ἐκείνοις ἄξιος μέμψεως ἐπὶ τῇ ματαίᾳ σπουδῇ· νυνὶ δὲ κατ' αὐτὴν τῶν πραγμάτων τὴν ἀλήθειαν ἐξελέγξας αὐτῶν τὴν δόξαν, τοὺς μὲν πρὸς αὐτὰ τὰ ἔργα τῆς τέχνης σπεύδοντας ἀπολύσω πρὸς ἐκεῖνα, συντετελεσμένης ἡμῖν ἤδη τῆς προκειμένης ζητήσεως. ὅσοι δὲ καὶ ἱστορίαν ἐκμανθάνειν παλαιὰν ἐθέλουσι, καὶ χρόνον εἰς τοῦτ' ἔχουσιν, ἅπαντα προσθήσω, δεικνὺς ὅτι μηδαμοῦ χρῆται πρὸς μηδὲν Ἡρόφιλος τῷ πλήρει σφυγμῷ. πρῶτον δ' ἀπ' αὐτῆς ἄρξομαι τῆς λέξεως ἧς ἐκεῖνοι προβάλλουσιν ἐν τῷ πρώτῳ περὶ τῶν Ἡροφίλου περὶ σφυγμῶν γεγραμμένης, ἣν καὶ μόνην ἀνεγνωκέναι μοι δοκοῦσιν. [165] ἔχει δὲ οὕτως· καθόλου μὲν οὖν δοκεῖ διαφέρειν σφυγμὸς σφυγμοῦ πλήθει, μεγέθει, τάχει, σφοδρότητι, ῥυθμῷ. ταύτην γὰρ προβάλλοντες ἐρωτῶσι τί ποτ' ἐστὶ τὸ

faciamus, quod illi. Nunc quidem certe alterutrum mihi neceſſe eſt, aut ut Archigeni videar et Herophilo, ſexcentisque aliis refragari, aut demonſtrem, nullum de Herophili ſententia plenum pulſum eſſe. Ac ſi id ut operaepretium tractem, non aliter ac illi de inani ſedulitate reprehendendus ſim. Nunc quando ex ipſa rerum veritate illorum ſententiam coargui, qui ad ipſa artis opera properant, ad ea dimittam, quia jam propoſitam quaeſtionem abſolvimus. Quod ſi qui avent etiam veterum ſcripta cognoscere, temporeque ad id abundant, omnia adjiciam, ac declarabo nusquam Herophilum ad ullam rem uti pleno pulſu. Et primum ab ipſo capite exordiar, quod illi proferunt: quod ab Herophilo libro primo De pulſibus eſt ſcriptum, quod mihi ſolum videntur legiſſe. Atque ſic habet: *In ſumma, differre mihi videtur pulſus a pulſu, magnitudine, celeritate, vehementia, rhythmo.* Hoc in multis prolato, quid πλη-

πλῆθος, ὥσπερ εἰ μὴ γιγνώσκοιμεν ὁποῖόν τι δηλοῖ τῷ πλήθει, τῆς πληρότητος ἐξ ἀνάγκης ὑπ᾽ αὐτοῦ δηλουμένης. ἐγὼ τοίνυν, ὡς νομίζω, χαριέντως ἀποκρίνομαι. τὸ γὰρ πλήθει πυκνότητά φημι δηλοῦν. αὖθις δ᾽ ἂν ἑτέροις ἀποκριναίμην, τὸ πλήθει σφοδρότητα δηλοῦν, καὶ πάντα μᾶλλον ἢ πληρότητα φήσαιμ᾽ ἂν, ἵνα γνῶσιν ὅση τοῖς φλυαρεῖν βουλομένοις ἐστὶν ἐξουσία. διὰ τί γὰρ πληρότητι μᾶλλον, οὐ πυκνότητι δηλώσει τὸ πλῆθος; ἢ ὅτι τὴν πρώτην συλλαβὴν ἔν τε τῇ πληρότητι καὶ πλήθει διὰ τῶν αὐτῶν στοιχείων λέγομεν; ἀλλ᾽ εἰ τοῦτο, καὶ ἡ πληγὴ καὶ τὸ πλησίον καὶ ἡ πλησμονὴ καὶ τὸ πλῆκτρον καὶ μυρία ἕτερα τὴν πρώτην συλλαβὴν ἐκ τῶν αὐτῶν ἔχει στοιχείων συγκειμένην. ἀλλὰ πόῤῥω, φασὶν, ἔστι τὰ τούτων σημαινόμενα τοῦ κατὰ τὸ πλῆθος. τί δ᾽ οὐ καὶ τὸ τῆς πληρότητος σημαινόμενον πάμπολυ τοῦ κατὰ τὸ πλῆθος διενήνοχεν; ἀλλ᾽ εὔλογον, φασὶν, ἔστι καὶ τὴν κατὰ πληρότητα διαφορὰν ὑπάρχουσαν ἐν τοῖς σφυγμοῖς εἰρῆσθαι νῦν καὶ γινώσκεσθαι πρὸς

θος ſit, quaerunt, quaſi vero ſi nesciamus, quid πλήθει ſignificetur, quum neceſſario πληρότης ab eo, id eſt plenitudo, ſignificetur. Itaque ego ipſis lepide, ni fallor, reſpondeo: nam τῷ πλήθει crebritatem illum aſſirmo deſignare. Rurſus utique aliis respondeam, τῷ πλήθει vehementiam denotare, ac quidvis potius quam plenitudinem dicam, ut videant, nugari volentibus quanta licentia ſit. Nam cur plenitudinem potius quam crebritatem τὸ πλῆθος denotabit? num quia primam ſyllabam τῆς πληρότητος et πλήθοις iisdem elementis proferimus? Quod ſi eſt, etiam ἡ πληγὴ, τὸ πλησίον, ἡ πλησμονὴ, τὸ πλῆκτρον, τὸ πλημμυρεῖν, ſexcentaque ſunt alia, quorum ex iisdem elementis prima ſyllaba conſtat. At enim longe, inquiunt, remotae horum ſignificationes ſunt a τοῦ πλήθους. Qui autem minus plenitudinis ſignificatio a τοῦ πλήθους ſignificatione procul abeſt? Imo probabile eſt, inquiunt, differentiam plenitudinis, quae eſt in pulſibus, commemorari nunc at-

Ἡροφίλου. τί δ' οὐκ εὔλογον καὶ τὴν σκληρότητα γινώσκεσθαι καὶ λέγεσθαι; καὶ γὰρ καὶ αὗται διαφοραί τέ εἰσι σφυγμῶν καὶ πάντως αὐτὰς ἐγίνωσκεν Ἡρόφιλος. πόθεν οὖν τὴν κατὰ πληρότητα λέγει, κάλλιον ἦν, οἶμαι, μακρῷ πρότερον ἀναγνῶναι πάντ' αὐτοῖ τὰ περὶ σφυγμῶν συγγράμματα. καὶ γάρ μοι καὶ νόμος οὗτος ἐξηγήσεως, ἕκαστον τῶν ἀνδρῶν ἐξ ἑαυτοῦ σαφηνίζεσθαι καὶ μὴ κεναῖς ὑπονοίαις καὶ φάσεσιν ἀναποδείκτοις ἀποληρεῖν, ὅ τι τις βούλεται. ποῦ τοίνυν εὗρες ἀλλαχόθι τὸ τοῦ πλήρους ὄνομα παρ' Ἡροφίλῳ; τὸ μὲν γὰρ τοῦ πυκνοῦ μυριάκις. ὅταν οὖν ἡ μὲν κατὰ πληρότητα διαφορὰ μήτ' εἰς διάγνωσιν ἥκει, καθότι δέδεικται, μήθ' Ἡρόφιλος αὐτῆς ἑτέρωθι μνημονεύει, ἡ δὲ κατὰ πυκνότητα καὶ πρὸς ἁπάντων ὡμολόγηται, καὶ μυριάκις αὐτὴν Ἡρόφιλος εὑρίσκεται γράφων, εὐλογώτερον ἂν εἴη, πυκνότητα νομίζειν εἰρῆσθαι (84) μᾶλλον ἢ πληρότητα, καὶ οὐ τοῦτό φημι νῦν, ὡς τὸ πλήθει γέγραφεν Ἡρόφιλος ἀντὶ τοῦ πυκνότητι, γελοῖος γὰρ ἂν εἴην ὁμοίως

que ab Herophilo cognosci. Quin potius verifimile eft duritiem cognosci et appellari, quum et hae pulfuum differentiae fint, easque prorfus Herophilus cognosceret. Unde igitur differentiam plenitudinis dicat, multo praeftabat mea fententia, revolviffe antea omnes ejus de pulfibus libros. Mihi quidem hanc legem ftatui, ut unumquemque fcriptorem ex fe ipfo declarem, nec inanibus fufpicionibus et affirmationibus demonftratione vacuis delirem, quid aliquis dicat. Atque quo invenifti apud Herophilum alio loco nomen pleni, quum crebri invenias millies? Proinde quum differentia plenitudinis et incognita fit, ut demonftravimus, nec ejus alibi Herophilus meminerit: differentia porro crebritatis, quum apud omnes in confeffo fit, tum eam Herophilus fcribere millies comperiatur: probabilius multo fit crebritatem appellare putare illum, quam plenitudinem. Neque hoc dico τῷ πλήθει Herophilum pro crebritate fcripfiffe (hoc enim fi dicam, ridiculus fim non fecus ac ille

ἐκείνοις ἐξηγητὴς, εἰ τοῦτο λέγοιμι, ἀλλὰ ὅτι ῥᾷόν ἐστι καὶ πυκνότητα καὶ σκληρότητα καὶ πάντα μᾶλλον ἢ τὴν πληρότητα δεῖξαι δηλούμενα. ἐγὼ δὲ τί μὲν δηλοῖ τὸ πλήθει παρ' Ἡροφίλῳ, δι' ἑτέρων οἶμαι σαφῶς ἐξηγήσασθαι, νῦν δὲ, ὅτι οὐ δηλοῖ πληρότητα, πῶς οὖν ἀποδείκνυμεν αὐτό; πρῶτον μὲν ἐπιφέρων εὐθύς φησιν ὡδί· γράψω γὰρ τὴν ῥῆσιν ὅλην, ἵνα μᾶλλον θαυμάσῃς τὴν ἄνοιαν τῶν ἀνθρώπων, πληρότητι τὸ πλήθει νομιζόντων λέγεσθαι· καθ' ὅλου μὲν οὖν δοκεῖ διαφέρειν σφυγμὸς σφυγμοῦ πλήθει, μεγέθει, τάχει, σφοδρότητι, ῥυθμῷ. ἐκ τοῦ κατὰ ταῦτα διαφέρειν φανερὸς γίνεται ἐνίοτε ὅ τε οἰκεῖος καὶ οὐκ οἰκεῖος. φαίνεται δὲ διαφέρειν καὶ ἐπιγινώσκεσθαι καθόλου μὲν ἕτερος ἑτέρου σφυγμὸς, ὡς εἴρηται, ῥυθμῷ, μεγέθει, τάχει, σφοδρότητι. εἰ δὲ ἐν τῷ αὐτῷ ῥυθμῷ φαίνεται διαφέρειν ἕτερος ἑτέρου σφυγμὸς σφυγμοῦ τάχει, μεγέθει, σφοδρότητι, τίνα βούλει πιστότερον Ἡροφίλου λαβεῖν μάρτυρα τῆς Ἡροφίλου γνώμης; φαίνεται, φησὶν, ἕτερος ἑτέρου διαφέρειν σφυγμὸς, ὥσπερ εἴρηται, ῥυθμῷ, μεγέθει, τάχει, σφοδρό-

interpres) verum esse longe proclivius declaratu crebritatem et duritiem, adeoque quidvis potius quam plenitudinem significari. Equidem, quid Herophilo τῷ πλήθει significet, alias puto aperte declaratum esse, nunc non denotare plenitudinem, quonam pacto demonstramus hoc? Primum statim haec subdit, nam quo mireris magis hominum dementiam, qui pro plenitudine πλήθει accipiunt, apponam totum caput. *Atque in summa differre mihi videtur pulsus a pulsu* πλήθει, *magnitudine, celeritate, vehementia, rhythmo. Quia in his differunt, conspicuus interim fit et proprius et non proprius, Videtur porro differre et discerni universe pulsus alter ab altero, ut dictum est, celeritate, magnitudine, vehementia:* quem possis locupletiorem adducere Herophilo testem Herophili sententiae? Videtur, inquit, alter pulsus differre ab altero, ut est declaratum, rhythmo, magnitudine, celeritate, vehementia.

τητι. πῶς οὖν εἴπερ ὅλως διαφοράν τινα σφυγμῶν τὸ πλήθει δηλοῖ, παρέλιπεν αὐτὴν νῦν, [166] ἐπαναλαμβάνων τὸν λόγον, οὐχ ἁπλῶς, οὐδ᾽ ἀργῶς, ἀλλὰ μετὰ τοῦ προσθεῖναι, ὡς εἴρηται. πῶς δὲ τοὺς ἐν ταὐτῷ ῥυθμῷ σφυγμούς φησι, τάχει καὶ μεγέθει καὶ σφοδρότητι διαφέρειν; πῶς δ᾽ ἐφεξῆς τὰς καθ᾽ ἡλικίαν διαφορὰς ἐκτιθέμενος, ταῖς μὲν ἄλλαις διορίζει τοὺς σφυγμοὺς, παρέλιπε δὲ τὴν πληρότητα; καὶ κατὰ τὰ πάθη δὲ καὶ τὰς ὥρας καὶ τὰ ἐπιτηδεύματα καὶ τἄλλα πάντα διορίζων τοὺς σφυγμοὺς τῶν μὲν ἄλλων πασῶν ἀεὶ μνημονεύει διαφορῶν, τῆς πληρότητος δ᾽ οὐδαμοῦ. καὶ τὸ μεῖζον, αὐτὴν ταύτην τὴν λέξιν σχεδὸν καθ᾽ ἕκαστον αὐτῶν προσγράφων οὐδαμοῦ τὸ πλήθει προσέθηκεν, ἀλλ᾽ ἐν τῷ α΄ βιβλίῳ μόνον, οὐκ ἐν τοῖς ἅπασι λόγοις, οὐκ ἂν παραλιπὼν, εἴπερ ὄνομα διαφορᾶς ἦν σφυγμῶν. ταῦθ᾽ ὥσπερ ἐπιτομὴ τῶν εἰρημένων ἡμῖν ἐν τοῖς περὶ τῆς καθ᾽ Ἡρόφιλον ἐν τοῖς σφυγμοῖς διαφορᾶς ἔστω λελεγμένα. δι᾽ ἐκείνων γὰρ ἐπὶ πλέον ἐξηγησάμεθα τὴν Ἡροφίλου τῶν κατὰ

Quanam igitur ratione, fi omnino pulfuum certam differentiam *τῷ πλήθει* indicat, eam hoc loco praeteriit, quum orationem repetat non obiter, aut negligenter, fed addat, ut dictum eft? Qui autem fit, ut ejusdem rhythmi pulfus dicat celeritate, magnitudine vehementiaque diftare? Quomodo poftea quum exponat differentias pro aetatibus, reliquas differentias pulfus diftinguit, omifit autem plenitudinem? Praeterea pro affectibus, temporibus anni, vitae inftitutis et pro ratione aliorum omnium quando discernit pulfus, caeteras ubique omnes memorat differentias, plenitudinem nusquam. Et quod majus eft, qui hanc ipfam fingulis iis fere adfcribit orationem, nusquam addit *τῷ πλήθει*, fed in primo tantum libro, non in omnibus libris, certe non praetermiffurus, fiquidem nomen differentiae fit pulfuum. Haec pro compendio habeto eorum, quae in libris de differentiis pulfuum fecundum Herophilum differuimus, in illis enim latius Herophili ufum nominum pul-

σφυγμοὺς ὀνομάτων συνήθειαν. ἤδη τοιγαροῦν καταπαύσω τὸν περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν λόγον. ὅσα γὰρ ἢ περὶ τῆς διαστρόφου θέσεως τῶν ἀρτηριῶν, ἢ περί τινος ἄλλου τῶν κατὰ μέρος εἰς τόνδε τὸν λόγον ἀνεβαλλόμην, ταῦτ᾽ ἐν ταῖς ἐχομέναις δύο πραγματείαις εἰρήσεται, τῇ τε περὶ τῶν ἐν σφυγμοῖς αἰτίων κἀν τῇ δι᾽ αὐτῶν προγνώσει, τεττάρων ἑκατέρᾳ βιβλίων ἐσομένῃ.

ſuum explicavimus. Jam igitur finem faciam ſermonis de pulſibus dignoscendis; nam ſi quae de arteriarum perverſo ſitu, aut de qua alia ſingulari re ad hanc disputationem rejeci, haec in proximis duabus lucubrationibus declarabo, de pulſuum cauſis et de praeſagitione ex illis: quarum complectetur utraque quatuor libros.

LIPSIAE

LITERIS FRIDER. CHR. DÜRRII.

